Δέσποτα Κύριε Ἰησοῦ Χριστὲ ὁ Σωτὴρ ἡμῶν, ὁ καταξιώσας ἡμᾶς τῆς σῆς δόξης κοινωνοὺς γενέσθαι διὰ τῆς τῶν ἁγίων σου μυστηρίων ζωοποιοῦ μεταλήψεως, δι' ὧν τοῦ θανάτου σου καὶ τῆς ἀναστάσεως τὸν τύπον τελεῖν παραδέδωκας ἡμῖν, δι' αὐτῶν ἡμᾶς ἐν τῷ ἁγιασμῷ σου διαφύλαξον μεμνημένους τῆς σῆς χάριτος διὰ παντὸς καὶ σώζοντας τῷ ὑπὲρ ἡμῶν ἀποθανόντι καὶ ἐγερθέντι· τοῖς [1]) βασιλεῦσιν ἡμῶν νίκας δώρησαι, τὸν στρατὸν κατὰ τῶν πολεμίων ἐνίσχυσον καὶ τὸν περιεστῶτα λαὸν ἐν εἰρήνῃ καὶ ἀφέσει ἁμαρτιῶν διατήρησον, τοῖς διακόνοις τοῖς καλῶς ἡμῖν συλλειτουργήσασιν βαθμὸν ἀγαθὸν περιποίησαι, καταξιῶν αὐτοὺς ἀκατακρίτως καὶ τοῦ τιμίου πρεσβυτερείου· σὺ γὰρ εἶ ὁ Ἀληθινὸς καὶ ζωὴ ἡ αἰώνιος καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν.

л. 40 об. Εὐχὴ εἰς τὴν εὐλόγησιν τῶν ὑδάτων εἰς τὰ Ἅγια Θεοφάνια ἔσω ἐν τῇ ἐκκλησίᾳ.

Ποιοῦντος [τοῦ] διακόνου εὐχὴν συναπτήν· Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τοῦ ἁγίου οἴκου... Ὑπὲρ τοῦ ἀρχιεπισκόπου... Ὑπὲρ τοῦ ἁγιασθῆναι τὰ ὕδατα ταῦτα... Ὑπὲρ τοῦ καταπεμφθῆναι... Ὑπὲρ τοῦ ἀναδειχθῆναι... Ὑπὲρ τοῦ γενέσθαι αὐτὰ ἀποτρόπαιον καὶ καθαρτήριον πάσης ἐνεργείας καὶ ἐπιβουλῆς ὁρατῶν... Ὑπὲρ τοῦ ἀναδειχθῆναι αὐτὰ ἰατρεῖον καὶ καθαρισμὸν πάσης νόσου ψυχῶν τε καὶ σωμάτων... Ὑπὲρ τοῦ γενέσθαι αὐτὰ πᾶσι τοῖς χριωμένοις ἐξ αὐτῶν πίστει ἢ καὶ μεταλαμβάνουσιν εἰς καθαρισμὸν μολυσμοῦ σαρκὸς καὶ πνεύματος τοῦ Κυρίου δεηθῶμεν. Ὑπὲρ τοῦ εἰσακοῦσαι Κύριον... Ὑπὲρ τοῦ ῥυσθῆναι... Τῆς παναγίας ἀχράντου... Goar. p. 368. Καὶ τούτων λεγομένων ὑπὸ τοῦ διακόνου, ὁ ἀρχιερεὺς καθ' ἑαυτὸν ἐπεύχεται (τὴν εὐχὴν) Γερμανοῦ πατριάρχου· Κύριε Ἰησοῦ Χριστέ, ὁ μονογενὴς Υἱός, ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρός, ὁ ἀληθινὸς Θεός, ἡ πηγὴ τῆς ζωῆς καὶ τῆς ἀθανασίας Goar. p. 368. Καὶ μετὰ τὸ πληρῶσαι τὸν διάκονον, οὐδὲν ἐκφωνεῖ ὁ ἀρχιερεύς, ἀλλ' εὐθέως ἀπάρχεται τῆς φωνῆς καὶ λέγει· Οἱ τῶν ἀνωτάτων στοιχείων τὴν κτίσιν ἀθροίσαντες, ἔγνωμεν πῶς τὸ πλοῖόν σου πικρὰ φρίττει σε Δέσποτα· ἀδιάστατον γὰρ τὴν τούτων δημιουργίαν σκοπίσαντες, τὸ πολυσέβαστόν σου ἐκπληττόμεθα ὄνομα· ἐπειδὴ γὰρ προσῆκε τῇ κτίσει αἶνόν σοι προσαγαγεῖν, τούτου χάριν ἐπὶ τὰ δεύτερα τῶν ἀνωτάτων στοιχείων διαβχί-

---

[1]) Ркп. Син. № 959 τοῖς συλλειτουργήσασιν ἡμῖν, καὶ τοῖς θείοις σου μυστηρίοις διακονήσασι βαθμὸν ἀγαθὸν περιποίησαι καὶ πολλὴν παῤῥησίαν τὴν ἐπὶ τοῦ φοβεροῦ σου βήματος, σὺ γὰρ εἶ ὁ ἀληθινὸς Θεός.

νομεν κλίματα, ἅτινα ὑποπόδιόν σου τιμῆς ἠξιώθησαν· ὁρῶντες γὰρ τῆς γῆς τὴν κτίσιν ἀκίνητον, νοοῦμέν σου, τοῦ κρατοῦντος τὴν φύσιν ἀσύνοπτον, ἐφάμιλλόν τε καὶ τὸ τῆς θαλάσσης τεκμήριον, πῶς [εἰς τὸ] διηνεκὲς αἰνεῖσε τὸν ποιήσαντα· ἡ μὲν γὰρ ὀρινομένη τοῖς κύμασι τῇ χέρσῳ προσμάχεται, πάσης τῆς οἰκουμένης σπουδάζουσα κατακλῦσαι τὰ πέρατα καὶ τῇ ψάμμῳ κρουομένη δαμάζεται καὶ τὸν ὅρον σου φοβουμένη ἀφέλκει τὰ κύματα, ἀλλ' οὔτε πηγῶν ἀεννάων τὰ ῥεῖθρα μυρία δόξαν ἀναπέμπειν τῷ κράτει σου Δέσποτα· ποταμῶν βαθυγαίων ἀκατάσχετα ῥεύματα ἐν κιβωτῷ θεοφόρῳ ὧδε κἀκεῖσε δραμόντα αἴφνης τὴν φύσιν εἰνήσαντο καὶ τὴν ἄβατον οὐσίαν βάσιμον ἔδειξαν, καὶ σοὶ τῷ μόνῳ τῶν ὅλων Θεῷ τὴν δόξαν ἀναπέμπομεν. Ἰδοὺ γὰρ ὁ τῆς ἑορτῆς ἐπέστη ἡμῖν καιρὸς καὶ ἄγγελοι μετὰ ἀνθρώπων ἑορτάζουσι, καὶ χορὸς ἁγίων πλησιάζεται ἡμῖν. Σήμερον ἡ χάρις τοῦ ἁγίου Πνεύματος ἁγιάζουσα τὰ ὕδατα ἐπιφύεται. Σήμερον οὐρανὸς ἀγλαϊζόμενος δρόσον τῇ γῇ ἐπιμυρίζει. Σήμερον ὁ ἥλιος ἄδυτος. Goar. p. 369 съ нѣкоторыми измѣненiями. Ὅταν δὲ εὐλογεῖ ὁ πατριάρχης τὰ ὕδατα εἰς τὸ παλάτιον, προστίθησι τῇ παρούσῃ εὐχῇ καὶ τοῦτο· Καὶ σῶσον, Κύριε, τοὺς δούλους σου, τοὺς πιστοὺς βασιλεῖς ἡμῶν, καὶ φύλαξον αὐτοὺς ὑπὸ τὴν σκέπην τῶν πτερύγων σου ἐν εἰρήνῃ, ὑπόταξον αὐτοῖς πάντα ἐχθρὸν καὶ πολέμιον, χάρισαι αὐτοῖς πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα, ζωὴν αἰώνιον. Εἶθ οὕτως ἐπάγει· Ἵνα διὰ στοιχείων καὶ δι' ἀνθρώπων καὶ δι' ἀγγέλων, καὶ δι' ὁρωμένων καὶ δι' ἀοράτων, δοξάζηταί σου τὸ πανάγιον ὄνομα σὺν τῷ Πατρὶ καὶ τῷ Ἁγίῳ Πνεύματι... Καὶ μετὰ τοῦτο λέγει· Εἰρήνη πᾶσι. Καὶ τοῦ διακόνου λέγοντος· Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνομεν. Ἐπεύχεται ὁ ἀρχιερεύς· Κλῖνον, Κύριε, τὸ οὖς σου... Goar. pag. 371.

л. 49 об. Εὐχὴ ἄλλη εἰς τὸ ὕδωρ τῶν ἁγίων Θεοφανίων, λεγομένη ἐν τῇ φιάλῃ τοῦ μεσοαύλου τῆς ἐκκλησίας.

Ὁ Θεός, ὁ Θεὸς ἡμῶν, ὁ τὸ πικρὸν ὕδωρ ἐπὶ Μωσέως τῷ λαῷ εἰς γλυκὺ μεταποιήσας... См. Ркп. № 8 Св.—гроб. библ.· л. 22. Καὶ μετὰ τοῦτο λέγει· Εἰρήνη πᾶσι. Καὶ τοῦ διακόνου λέγοντος· Τὰς κεφαλας ἡμῶν, ἐπεύχεται ὁ ἱερεύς· Κλῖνον, Κύριε, τὸ οὖς σου... καὶ τὰ λοιπὰ πάντα, καθὼς κεῖνται. Καὶ μετὰ τοῦτο λέγει· τὸ Πληρωθήτω, καὶ ἀπολύει.

л. 51. **Чтенiя изъ апостола и евангелiя на важнѣйшiе праздники**[1]).

---

[1]) Креста, архангеловъ, Богородицы, апостола Петра, св. Николая, iерарховъ, св. Безсребренниковъ, мучениковъ, Георгiя, Iоанна Богослова,

л. 79 об. Τάξις γινομένης τῆς τριτοέκτης ἐν ταῖς νηστείαις.

Μετὰ τὸ τελεσθῆναι τὴν πρώτην ὥραν λέγει ὁ διάκονος· Κλίνοντες τὰ γόνατα ἐν εἰρήνῃ... Ὁ ἱερεὺς ποιεῖ τὴν εὐχήν· Ὁ Θεός, ἐπὶ τῶν Χερουβὶμ καθεζόμενος καὶ ὑπὸ τῶν Σεραφὶμ δοξαζόμενος, ἐπίβλεψον ἐφ' ἡμᾶς τοὺς ταπεινοὺς καὶ ἀναξίους δούλους σου καὶ διέγειρον ἡμῶν τὸν νοῦν πρὸς δοξολογίαν τῆς σῆς ἀγαθότητος, ἐξάρπασον δὲ ἡμᾶς ἀπὸ πάσης ἐπιβουλῆς τοῦ ἐχθροῦ, ἵνα τῷ φωτί σου καταλαμπόμενοι καὶ τῇ βουλῇ σου ὁδηγούμενοι πρὸς πᾶν ἔργον ἀγαθὸν ἀξιωθῶμεν τῆς ἐπουρανίου βασιλείας, συναριθμούμενοι πᾶσι τοῖς ἐκλεκτοῖς σου· Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν καὶ σοὶ τὴν δόξαν... Εὐχὴ ἀντιφώνου β'. Δεόμεθά σου, Κύριε ὁ Θεὸς ἡμῶν, μακροθύμησον ἐφ' ἡμῖν τοῖς ἁμαρτωλοῖς καὶ φεῖσαι τῶν ἔργων τῶν χειρῶν σου, ὁ εἰδὼς ἡμῶν τὴν ἀσθένειαν, λυτρούμενος ἡμᾶς ἀπὸ παντὸς πειρασμοῦ καὶ πάντων τῶν ἐνεστώτων καὶ ἐπερχομένων δεινῶν, καὶ τῆς ἐξουσίας τοῦ σκότους τοῦ αἰῶνος τούτου, καὶ μετάστησον εἰς τὴν βασιλείαν τοῦ μονογενοῦς σου Υἱοῦ καὶ Θεοῦ ἡμῶν. Ὅτι δεδόξασταί σου τὸ πανάγιον... Εὐχὴ ἀντιφώνου γ'. Κύριε ὁ Θεός, οὗ ἡ δόξα ἀκατάληπτος καὶ τὸ ἔλεος ἀμέτρητον, καὶ ἡ φιλανθρωπία ἄφατος· Σύ, κατὰ τὴν σὴν εὐσπλαγχνίαν, ἐπίβλεψον ἐφ' ἡμᾶς καὶ ἐπὶ πάντα τὸν λαόν σου, καὶ μὴ παραδῷς ἡμᾶς ταῖς ἁμαρτίαις ἡμῶν, ἀλλὰ ποίησον μεθ' ἡμῶν τὰ ἐλέη σου, ὁδήγησον ἡμᾶς ἐπὶ λιμένα θελήματός σου, καὶ ἐργάτας ἀληθινοὺς ἀνάδειξον τῶν σῶν ἐντολῶν, ἵνα μὴ καταισχυνθῶμεν ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως τῷ φοβερῷ βήματι τοῦ Χριστοῦ σου παριστάμενοι. Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεός... Εὐχὴ μετὰ τὴν εἴσοδον, γινομένης συναπτῆς ὑπὸ τοῦ διακόνου· Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν, ὁ διδοὺς εὐχὴν τῷ εὐχομένῳ καὶ προσδεχόμενος τὰς ἱκεσίας τῶν δούλων σου τῶν βοώντων πρὸς σὲ νυκτὸς καὶ ἡμέρας, κλῖνον καὶ τὸ οὖς σου, καὶ ἐπάκουσον τῆς δεήσεως ἡμῶν τῶν ἁμαρτωλῶν· μὴ ἀποστρέψῃς, Κύριε, τὸ πρόσωπόν σου ἀφ' ἡμῶν, μηδὲ μνησθῇς ἡμῶν ἀνομιῶν ἀρχαίων, ὁ γινώσκων τὸ πλάσμα ἡμῶν καὶ ἐπιστάμενος τὴν ἀσθένειαν ἡμῶν. Μνή-

---

Илiи пророка, ἐπὶ ἐλαίου ἀῤῥώστου ὁ ἀπόστολος καθολικῆς ἐπιστολῆς Ἰακώβου· Ἀδελφοί, ὑπόδειγμα λάβετε... Конецъ: πολὺ Ἰησοῦ Χριστοῦ ἡ δέησις δικαίου ἐνεργουμένη. Εὐαγγέλιον κατὰ Ματθαῖον· Τῷ καιρῷ ἐκείνῳ ἐλθὼν Ἰησοῦς εἰς τὴν οἰκείαν Πέτρου. Конецъ: ἠκολούθησαν αὐτῷ οἱ μαθηταί. Εἰς κοιμηθέντας πρὸς Κορινθίους· Ἀδελφοί, οὐ θέλομεν ὑμᾶς ἀγνοεῖν. Εὐαγγέλιον κατὰ Ἰωάννην· Εἶπεν ὁ Κύριος πρὸς τοὺς πεπιστευκότας πρὸς αὐτὸν Ἰουδαίους.

σθητι, Κύριε, ὅτι χοῦς ἐσμέν, πνεῦμα πορευόμενον καὶ οὐκ ἐπιστρέφον, καὶ τῇ μεγαλωσύνῃ τοῦ βραχίονός σου, περιποίησαι ἐλέει τὴν ζωὴν ἡμῶν, ὁδήγησον ἡμᾶς ἐν ὁδῷ εὐθείᾳ τοῦ πορευθῆναι ἐν τῇ τρίβῳ τῶν ἐντολῶν σου, δίδαξον ἡμᾶς τοῦ ποιεῖν τὸ θέλημά σου, λαλεῖν ἐν τοῖς μυστηρίοις σου, μελετᾶν τὸν νόμον σου ἡμέρας καὶ νυκτός, ἔντειλαι τοῖς ἁγίοις ἀγγέλοις σου τοῦ διαφυλάξαι ἡμᾶς ἐν πάσαις ταῖς ὁδοῖς ἡμῶν, καὶ ῥύσασθαι ἀπὸ βέλους πετομένου ἡμέρας, ἀπὸ πράγματος ἐν σκότει διαπορευομένου, ἀπὸ συμπτώματος καὶ δαιμονίου μεσημβρινοῦ, πλήρωσον τὸ στόμα ἡμῶν αἰνέσεως καὶ τὰ χείλη ἡμῶν ἀγαλλιάσεως τοῦ λαλεῖν ἑαυτοῖς ἐν ψαλμοῖς καὶ ὕμνοις, καὶ ᾠδαῖς πνευματικαῖς ἐν χάριτι, ᾄδειν τε καὶ ψάλλειν ἐν ταῖς καρδίαις ἡμῶν καὶ εὐχαριστεῖν ἐπὶ πᾶσι σοι τῷ Θεῷ τῶν ὅλων τῷ σώζοντι τοὺς ἐλπίζοντας εἰς τὸν πλοῦτον τοῦ ἐλέους σου. Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις. Εὐθὺς ψάλλει τὸ τροπάριον, καὶ μετὰ τοῦτο ἀναγινώσκει τὴν προφητείαν καὶ εὐθέως· τὸ Εἴπωμεν πάντες, καὶ λέγει ἐκτενήν. Καὶ λέγει ὁ διάκονος· Εὔξασθε, οἱ κατηχούμενοι. Καὶ ὁ ἱερεὺς ποιεῖ τὴν εὐχὴν τῶν κατηχουμένων· Κύριε παντοκράτορ καὶ φιλάνθρωπε, ἔπιδε ἐξ ὕψους ἁγίου σου ἐπὶ τοὺς δούλους σου κατηχουμένους, τοὺς κλίνοντάς σοι τὸν ἑαυτῶν αὐχένα καὶ ἀναμένοντας τὸ παρὰ σοῦ ἔλεος, ἀποκάλυψον αὐτοῖς τὸ εὐαγγέλιον τῆς δικαιοσύνης σου, συγκαταρίθμησον αὐτοὺς τῇ ἐκλεκτῇ ποίμνῃ, καὶ καταξίωσον αὐτοὺς ἐν καιρῷ εὐθέτῳ τῆς διὰ τοῦ βαπτίσματος ἀναγεννήσεως. Ἵνα καὶ αὐτοῖς σὺν ἡμῖν δοξάζωσι. Ὅσοι κατηχούμενοι προέλθετε, οἱ κατηχούμενοι προέλθετε, ὅσοι πρὸς τὸ φώτισμα προέλθετε и др. Goar. pag. 165, но съ нѣкоторою перестановкою прошеній. Οἱ πρὸς τὸ φώτισμα τὰς κεφαλάς... Αὕτη ἡ εὐχὴ γίνεται ἀπὸ τῆς τετράδος τῆς μέσης ἑβδομάδος τῶν ἁγίων νηστειῶν μέχρι τῆς ἁγίας παρασκευῆς, καὶ αὐτὴν ποιοῦντος [τοῦ] διακόνου μετὰ τὴν εὐχὴν τῶν κατηχουμένων. Ἑτέρα εὐχὴ ὑπὲρ τῶν πρὸς τὸ ἅγιον φώτισμα εὐτρεπιζομένων. Ἐπεύχεται ὁ ἱερεύς· Κύριε ὁ Θεὸς ἡμῶν, ἐπίφανον τοὺς οἰκτιρμούς σου ἐπὶ πάντας ἡμᾶς, καὶ ἐπὶ τοὺς πρὸς τὸ ἅγιον φώτισμα εὐτρεπιζομένους, τοὺς καὶ νῦν ὑποκεκλικότας σοι τὸν αὐχένα τὸν ἑαυτῶν εἰς τὸ ἐναυγάσαι αὐτοῖς τὸν φωτισμὸν τοῦ εὐαγγελίου σου, ἄγγελον φωτὸς ἐξαπόστειλον, ῥυόμενον αὐτοὺς ἀπὸ πάσης ἀντικειμένης ἐνεργείας, ἵνα τῆς ἀθανάτου σου δωρεᾶς ἀξιούμενοι καὶ τὰς ἐντολάς σου πολιτευόμενοι τῶν ἐπουρανίων σου ἀγαθῶν ἀπολαύσωσιν. Σῶσον, ἐλέησον,

φώτισον καὶ ἀντιλαβοῦ αὐτοῖς, ὁ Θεός, τῇ σῇ χάριτι. Ὁ ἱερεύς· Ὅτι σὺ εἶ ὁ φωτισμὸς ἡμῶν. Ὁ διάκονος· Ὅσοι πρὸς τὸ φώτισμα προέλθετε... Goar. p. 167. Εὐχὴ πιστῶν α'. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τῆς πολυθέου πλάνης διὰ τῆς σῆς παρουσίας ἀποστήσας τὸν ἄνθρωπον, καὶ διὰ τῶν θαυμάτων σου ποιήσας γνωρίζειν σὲ τὸν μόνον δημιουργὸν καὶ ποιητὴν τῶν ἁπάντων, καὶ τὴν ἐλπίδα τίθεσθαι ἐπὶ σοί, πολυέλεος ὑπάρχων, τήρησον ἡμᾶς ἐν τῷ ὀνόματί σου, καὶ ἁγίασον ἡμᾶς ἐν τῇ ἀληθείᾳ σου, καὶ κατάπεμψον τοὺς οἰκτιρμούς σου ἐφ' ἡμᾶς καὶ ἐπὶ πάντα τὸν λαόν σου. Ἀντιλαβοῦ, σῶσον, ἐλέησον. Σοφία. Ὅτι σὺ εἶ ὁ Θεός, ὁ Θεὸς ἡμῶν τοῦ ἐλεεῖν καὶ σώζειν... Εὐχὴ πιστῶν β'. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν ὀλίγῳ χρόνῳ τὴν πάροδον τῆς ζωῆς τοῦ ἀνθρώπου περιστείλας, διὰ τὸ ἀσθενὲς καὶ εὐάλωτον τῆς αὐτοῦ φύσεως καὶ ἀντάμειψιν αἰωνίων ἀγαθῶν ἐπαγγελλάμενος αὐτῷ καταγωνιζομένῳ τῶν ἔργων τοῦ ἐχθροῦ. Αὐτός, Δέσποτα, κραταίωσον ἡμᾶς ἐν τῷ φόβῳ σου, ἐνίσχυσον ἡμᾶς ἐν τῇ δικαιοσύνῃ[1]) σου. Ἀντιλαβοῦ, σῶσον, ἐλέησον. Σοφία. Ὅτι εὐλόγηται καὶ δεδόξασται τὸ πάντιμον... Κλίνοντες τὰ γόνατα ἔτι καὶ ἔτι... Εὐχὴ γ'. ἤγουν ἀπόλυσις· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ μόνος ἀγαθὸς καὶ φιλάνθρωπος, ὁ μόνος χρηστὸς καὶ ἐπιεικής, ὁ μόνος οἰκτίρμων καὶ ἐλεήμων Θεὸς ἡμῶν καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ ἐπὶ Ποντίου Πιλάτου σταυρωθέντος, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐξεγερθέντος, καὶ εἰσελθόντος εἰς τὴν δόξαν τὴν ἑαυτοῦ καὶ τὴν σήν. Ἐλθέτω ἡ χάρις σου ἐφ' ἡμᾶς τοὺς δούλους σου καὶ ἐνδυναμωσάτω ἡμᾶς, Κύριε, τὸ εὐαγγέλιον τῆς διδασκαλίας σου. Πάτερ εὐσπλαγχνίας, φώτισον ἡμῶν τὰ σπλάγχνα καὶ πάντα τὰ μέλη τῷ σῷ θελήματι, καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κακίας καὶ ἁμαρτίας, συντήρησον δὲ ἡμᾶς ἀσπίλους καὶ ἀμώμους ἀπὸ πάσης περιεργίας τοῦ[2]) ἀντικειμένης ἐνεργείας, (χάρισαι) ἡμῖν, Κύριε, κατὰ τὴν σὴν χρηστότητα τὰ σὰ νοεῖν, τὰ σὰ φρονεῖν ἐν τοῖς σοῖς ἀναστρέφεσθαι, τὸν σὸν φόβον φοβεῖσθαι καὶ ποιεῖν τὰ εὐάρεστά σοι ἕως τῆς ἐσχάτης ἡμῶν ἡμέρας καὶ ὥρας καὶ ἀναπνοῆς. Ἐπικαλούμεθά σε, Δέσποτα, τὸν ἀληθινὸν ἡμῶν Θεὸν ἡμεῖς οἱ ἁμαρτωλοί, ὅπως ἂν κατὰ τὸ ἀνεκδιήγητόν σου ἔλεος, σφραγίσῃς ἡμῶν τὸ σῶμα καὶ τὴν ψυχὴν καὶ τὸ Πνεῦμα, καὶ διατηρήσῃς[3]) ἀπὸ παντὸς πονηροῦ δαίμονος, ἀπὸ παντὸς ἑρπετοῦ ἰοβόλου, ἀπὸ παν-

[1]) Свит. Син. библ. № 956 ἐν τοῖς λογίοις σου, ὁδήγησον ἡμᾶς ἐν δικαιοσύνῃ, [2]) ἀντικειμένου καὶ χάρισαι ἡμῖν, Κύριε, κατὰ τὴν σὴν χρηστότητα, τὰ σὰ νοεῖν [3]) ἡμᾶς.

τὸς θηρίου τοῦ ἐπὶ τῆς γῆς, ἀπὸ πάσης ἀνομίας, ἀπὸ πάσης φαρμακείας, ἀπὸ πάσης πλάνης καὶ πάσης ματαιότητος, ἀπὸ πάσης πορνείας καὶ πλεονεξίας, ἀπὸ πάσης νόσου καὶ μαλακείας, ἀπὸ παντὸς ψεύδους καὶ πάσης ῥαδιουργίας, καὶ πάσης παγῖδος τοῦ ἀντικειμένου ἡμῖν. Πάτερ ἀφθαρσίας, σκέπασον ἡμᾶς τοὺς σοὺς δούλους τῇ σῇ εὐσπλαγχνίᾳ καὶ μὴ ἐγκαταλείπῃς ἡμᾶς, μηδὲ ποιήσῃς ἐπίχαρμα ἐχθρῶν καὶ ἐξουδένωμα λαοῦ καὶ καταπάτημα δαιμονίων, ἀλλ' ἵνα ἡ σὴ χάρις τὸ σὸν ἔλεος εἴη μεθ' ἡμῶν πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν. Ἀντιλαβοῦ, σῶσον. Τὴν ἡμέραν πᾶσαν τελείαν... Ὅτι σὸν τὸ κράτος καὶ σου. Εἰρήνη πᾶσιν. Ὁ διάκονος· Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ. Εὐχὴ τῆς κεφαλοκλισίας· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καθήμενος ἐπὶ θρόνου δόξης, καὶ ἐπιβλέπων ἀβύσσους, ὄμματι εὐσπλάγχνῳ τὴν ταπείνωσιν ἡμῶν ἐπισκεπτόμενος, εὐλόγησον πάντας ἡμᾶς τοὺς ὑποκεκλικότας σοι τὰς ἑαυτῶν κεφαλάς, καὶ ὕψωσον τὸ κέρας ἡμῶν ἐν τῇ εὐδοκίᾳ σου. Ἐκφώνησις· Εἴη τὸ πανάγιον ὄνομα τῆς φιλανθρωπίας σου εὐλογημένον. Ὁ λαός· Ἀμήν. Ὁ διάκονος· Ἐν εἰρήνῃ προέλθωμεν.

л. 87 об. Εὐχὴ ἀντιφώνου α'. τοῦ λυχνικοῦ.

Κύριε οἰκτίρμων καὶ ἐλεήμων, μακρόθυμε καὶ πολυέλεε Goar. p. 163.

л. 88. Εὐχὴ πρὸ τοῦ Κύριε ἐκέκραξα.

Ἑσπέρας καὶ πρωὶ καὶ μεσημβρίας αἰνοῦμεν, εὐλογοῦμεν, εὐχαριστοῦμεν Goar. p. 164. Εἰρήνη πᾶσι. Ὁ διάκονος· Τὰς κεφαλὰς ἡμῶν. Κύριε ὁ Θεός, ὁ κλίνας οὐρανοὺς καὶ καταβὰς ἐπὶ σωτηρίᾳ... p. 32.

л. 89. Нѣсколько евангельскихъ и апостольскихъ чтеній—мученикамъ, 4 недѣли, 16 недѣли, 5 недѣли и утреннее евангеліе.

**II.** № 956 Синайск. библ. Илитарій или Кондакіонъ рукопись 7 метровъ, 55 сантиметровъ писана на пергаминѣ четкимъ и крупнымъ почеркомъ X вѣка. Начала свитка нѣтъ. Каждая молитва имѣетъ заглавныя буквы, весьма художественно разрисованныя. Начинается Илитарій: τοὺς δὲ ἑαυτῶν ὑποτάξαντας αὐχένα ἐξ ἀνθρώπων ἀναμένοντες βοήθειαν, ἀλλὰ περιμένοντες ἔλεος τὴν σὴν ἀπεκδεχόμενοι σωτηρίαν, οὓς διαφύλαξον ἐν παντὶ καιρῷ καὶ κατὰ τὴν παροῦσαν ἑσπέραν καὶ τὴν προσιοῦσαν νύκτα ἀπὸ παντὸς ἐχθροῦ καὶ ἀπὸ πάσης ἀντικειμένης ἐνεργείας δ...[1]) γισμῶν ματαίων καὶ ἐνθυμήσεων... Εἴη τὸ κράτος τῆς βασιλείας σου. Ὁ διάκονος· Ἐν εἰρήνῃ προέλθωμεν.

---

[1]) Точки означаютъ, что эти мѣста рукописи или вытерты, или вовсе отсутствуютъ.

Εὐχή, λεγομένη ἐν τῷ σκευοφυλακίῳ τῶν καταγύρων.

Κύριε ὁ Θεός, ὁ θησαυρὸς τῶν αἰωνίων ἀγαθῶν, ὁ παντὸς ἁγιασμοῦ χορηγὸς ὁ... ἐπὶ ἔργοις ἀγαθοῖς ἵνα... τήσωμεν, ἐπίβλεψον... ἡμῶν καὶ ποίησον ἡμᾶς σκεύη ἡγιασμένα καὶ εὔχρηστα τῷ Δεσπότῃ ἀποδειχθῆναι πρὸς πᾶν ἔργον ἀγαθὸν ἐξηρτισμένους ἐποικοδομεῖν ἐπὶ τῷ θεμελίῳ τῆς σῆς ἐπιχ... σεως χρυσὸν ἄργυρον λίθους... τὰς θείας καὶ ζωοποιούς σου ἐντολ... πόλιν καὶ διαίτημα τῆς σῆς ἀγαθότητος τὴν ἡμετέραν γενέσθαι ψυχήν, ἵνα ἐν... ἐν ἡμῖν καὶ ἐν περιπάτῳ ὁδοποι... ἡμῖν καὶ τὴν εἰς τὴν αἰώνιον σου βασιλ... εἴσοδον καὶ δόξαν. Ὅτι ἅγιος εἶ... ἐπαναπαύει καὶ σοὶ τὴν δόξαν. Ὁ λαός· Ἀμήν. Εἰρήνη πᾶσιν. Καὶ τοῦ διακόνου λέγοντος· Τὰς κεφαλὰς ἡμῶν. Δέσποτα ἅγιε, ὑποκλίνοντές σοι τὸν αὐχένα τοῦ σώματος, δεόμεθα... τοτε ἐν ὀρθίῳ καὶ ἀκλινεῖ τὸ φρ...

Εὐχή, λεγομένη ἐν τῷ μεγάλῳ βαπτιστηρίῳ μετὰ τὸ πέρας τοῦ λυχνικοῦ.

Καὶ νῦν εὐχαριστοῦμέν σοι, Δέσποτα, τῷ Θεῷ τῷ ἱκανώσαντι ἡμᾶς εἰς τὴν μερίδα τοῦ κλήρου τῶν ἁγίων ἐν τῷ φωτί, ὅτι ἐρρύσω ἡμᾶς ἐκ τῆς ἐξουσίας τοὺς σκότους καὶ μετέστησας εἰς τὴν βασιλείαν τοῦ Υἱοῦ τῆς ἀγάπης σου... Τοῦ διακόνου λέγοντος· Τὰς κεφαλὰς ἡμῶν, ἐπεύχεται ὁ ἀρχιερεύς· Κύριε ὁ Θεός, ὁ διὰ τῆς κατὰ σάρκα ἐπιφανείας τοῦ μονογενοῦς σου Υἱοῦ καὶ Θεοῦ ἡμῶν, ἐγκαινίσας ἡμῖν ὁδὸν πρόσφατον καὶ ζῶσαν τὴν δι' ὕδατος καὶ Πνεύματος ἀναγέννησιν. Αὐτὸς Δέσποτα, τὴν ἐν αὐτῷ τῷ ἁγίῳ βαπτίσματι δεδομένην ἡμῖν τοῦ ἁγίου σου Πνεύματος χάριν... Ἀπόλυσις· Χριστὸς ἀληθινὸς Θεὸς ἡμῶν διὰ πρεσβειῶν [τῆς] τιμίας ἀχράντου Δεσποίνης ἡμῶν καὶ ἀειπαρθένου [Μαρίας], τοῦ ἁγίου προφήτου Προδρομόυ καὶ βαπτιστοῦ [Ἰωάννου], τῶν ἁγίων καὶ πανευφήμων ἀποστόλων καὶ πάντων αὐτοῦ τῶν ἁγίων ἐλεήσει καὶ φωτίσει τὰς ψυχὰς πάντων ἡμῶν. Ὁ ὢν εὐλογητὸς Θεὸς ἡμῶν πάντοτε νῦν καὶ ἀεὶ...

Εὐχαὶ τῆς παννυχίδος.

Οἱ κατὰ τὸν καιρὸν τῆς ἡμέρας τῇ θεωρίᾳ τῆς ἐν τῇ κτίσει μεγαλουργίας σου ἐντρυφήσαντες, Κύριε, καὶ διὰ αὐτῆς σὲ τὸν γενεσιουργὸν τῶν ἁπάντων καὶ ὑπερφυῶν θαυμάτων ποιητὴν ὑπερεκπλαγέντες καὶ δοξάσαντες, καὶ μετὰ τὴν ταύτης παρέλευσιν, κατανοοῦντες τῆς μεγάλης σου εὐσπλαγχνίας [2]) καὶ σοφίας τὴν πρόνοιαν, ὅτι ἔθου σκότος καὶ ἐγένετο νύξ, ἀνθρώπους μὲν κόπων ἀνάπαυσιν φέρουσα, θηρίοις δὲ τροφῆς πορισμόν, καὶ μετὰ τοῦ προφήτου βοῶμέν σοι· ὡς ἐμεγαλύνθη τὰ ἔργα σου,

---

[1]) Въ ркп. патріарш. александр. библ. (въ Каирѣ) XIV в. № 104 прибавлено: παρέλευσιν ἀξίως αἴνεσίν σοι προσάγομεν [2]) нѣтъ — εὐσπλαγχνίας καί.

Κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας [1]), δεόμεθα δέ, φιλάνθρωπε Δέσποτα, μὴ ἐπιδῦναι ἡμῖν ἐπὶ τῷ παροργισμῷ τῶν ἡμετέρων ἁμαρτιῶν [2]), σὲ τὸν τῆς δικαιοσύνης ἥλιον, ἀλλὰ τῷ φωτισμῷ τῆς σῆς καταλάμπεσθαι χάριτος, ἵνα ἐν ἡμέρᾳ καὶ νυκτὶ δοξάζωμεν τὴν ἀκατάληπτόν σου μεγαλειότητα. Ὅτι πρέπει σοι πᾶσα δόξα. Εὐχὴ ἀντιφώνου β΄. Σὲ τὸ ἀνέσπερον καὶ ἀΐδιον φῶς, ὁ Θεὸς ἡμῶν, παρ' ᾧ οὐκ ἔστι παραλλαγὴ ἢ τροπῆς [3]) ἀποσκίασμα ἐν τῷ παρελθόντι [4]) τῆς νυκτὸς μέτρῳ, ἀνυμνοῦντες δεόμεθα συγγρηγορεῖν τοῖς σωματικοῖς ὀφθαλμοῖς, καὶ τοὺς τῆς διανοίας ἡμῶν λογισμοὺς ἐν τῇ θεωρίᾳ τῆς δόξης σου καταξίωσον, καὶ μή τινα νυσταγμὸν ψυχῆς ὑπομείναντες στερηθῆναι τῆς πνευματικῆς φωνῆς [5]), ἀλλ' ἐν ψαλμοῖς καὶ ὕμνοις, καὶ ᾠδαῖς πνευματικαῖς, ᾄδοντες ἐν ταῖς καρδίαις ἡμῶν καὶ ἐν τῷ στόματι ἡμῶν σοι τῷ Θεῷ τῆς παρά σου σωτηρίας τυχεῖν ἡμᾶς, ὅπως καὶ τοῦ ἤχου τῶν ἑορταζόντων ἐν οὐρανοῖς ἀπολαύειν αἰωνίως ἀξιωθῶμεν. Ὅτι ἡγίασται καὶ δεδόξασται. Εὐχὴ ἀντιφώνου γ΄. Ὁ τὴν ἄϋπνον καὶ ἀκατάπαυστον δοξολογίαν ὑπὸ τῶν ἐν οὐρανοῖς ἀσωμάτων καὶ νοερῶν δυνάμεων δεχόμενος Θεός, αἷς οὐχ ὑπάρχει φῶς ὑλικόν, ἀλλὰ τῆς σῆς ἀπροσίτου δόξης ἡ ἀΐδιος ἔλλαμψις τὸ ἀδιάστατον αὐταῖς τῆς ἁγιαστικῆς σου λατρείας χαρίζεται, ἐπίβλεψον ἐπὶ τὴν ἡμετέραν ταπείνωσιν καὶ πρόσδεξαι τὴν ἐν συμμέτρῳ τῆς ἀνθρωπίνης ἀσθενείας μιμήσει τῶν ἐπουρανίων νοερῶν προσαγομένην σοι παρ' ἡμῶν νυκτερινὴν ὑμνῳδίαν μὴ πρὸς τὸ ἀνάξιον ἀφορῶν τῆς ἡμετέρας ζωῆς, ἀλλὰ πρὸς τὸ ἄμετρον τῆς σῆς ἀγαθότητος, δι' ἧς παρήγαγες ἡμᾶς ἐκ μὴ ὄντων καὶ πρὸς τὸ εἶναι συντηρεῖς, καὶ τῆς σῆς αἰνέσεως τὴν εὐωδίαν διὰ τῶν ἁγίων σου γραφῶν ἐνέπνευσας ἡμῖν, ἐν ᾗ σὲ τὸν μόνον ἅγιον ἄρρητόν τε καὶ ἀκατάληπτον τῶν ἁπάντων ποιητήν τε καὶ Δεσπότην προσκυνοῦντες δοξάζομεν [6]), αἰτούμενοι τὴν ἐκ τοῦ σκότους τῆς ἁμαρτίας ἀπολύτρωσιν καὶ τὴν ἐν τῷ φωτὶ τοῦ προσώπου σου ἀτελεύτητον μακαριότητα. Ὅτι σὸν τὸ κράτος... Εὐχὴ τετάρτη τῆς ἀπολύσεως. Δέσποτα παντοκράτορ ἀκατάληπτε, ἡ ἀρχὴ φωτὸς καὶ ἀπερινόητος οὐσία [7]) ὁ τῆς μονογενοῦς καὶ ἐνυ-

---

[1]) Прибавлено: διὸ и опущена частица δὲ [2]) нѣтъ—τῶν ἡμετέρων ἁμαρτιῶν. [3]) ἀποτροπῆς [4]) ἐν τῷ παρόντι καιρῷ τῆς νυκτός, ἀνυμνοῦντες [5]) прибавлено: τῆς ἐν σοὶ ἀγαλλιάσεως καὶ ἐξομολογήσεως [6]) Ркп. Син. библ. № 962 ἐν ᾗ καὶ τὴν παροῦσαν ἑσπέραν ἡμᾶς ἐν εἰρήνῃ καταξίωσον διελθεῖν πρεσβείαις τῆς ἁγίας Θεοτόκου καὶ πάντων τῶν ἁγίων σου. Ὅτι Θεὸς ἐλέους. [7]) Ркп. александр. библ. № 104 δύναμις.

ποστάτου σου σοφίας Πατήρ, ὁ τοῦ ζωοποιοῦ καὶ ὁμοδυνάμου σου Πνεύματος προβολεύς, ὁ διὰ σπλάγχνα ἐλέους καὶ ἄφατον ἀγαθότητα, μὴ παριδὼν τὴν τῶν ἀνθρώπων φύσιν τῷ σκότει τῆς ἁμαρτίας συνεχομένην, ἀλλὰ τὰ θεῖα φῶτα τῶν ἱερῶν σου διδαγμάτων διὰ νόμου καὶ προφητῶν ἀναλάμψας ἡμῖν, ὕστερον δὲ ἡμῖν αὐτὸν τὸν ἀληθινὸν καὶ ἄδυτον τῆς δικαιοσύνης ἥλιον, τὸν μονογενῆ σου Υἱὸν εὐδόκησας διὰ σαρκὸς ἀνατεῖλαι καὶ πρὸς τὴν λάμψιν ἡμᾶς τοῦ σοῦ φωτισμοῦ ὁδηγῆσαι, γενηθήτω τὰ ὦτα σου προσέχοντα εἰς τὴν φωνὴν τῆς δεήσεως ἡμῶν καὶ δωρῆσαι ἡμῖν ἐν ἀγρύπνῳ καὶ νηφούσῃ ψυχῇ πᾶσαν τὴν τοῦ παρόντος βίου νύκτα ἡμᾶς διελθεῖν ἐκδεχομένους τῆς ἡμέρας τοῦ Χριστοῦ σου καὶ Θεοῦ ἡμῶν, τοῦ κριτοῦ τῶν ἁπάντων τὴν παρουσίαν, ἵνα μὴ ἀναπεπτωκότες καὶ ὑπνοῦντες, ἀλλὰ γρηγοροῦντες καὶ διεγηγερμένοι ἐν τῇ ἐργασίᾳ, τῶν αὐτοῦ ἐντολῶν εὑρεθῶμεν καὶ εἰς τὴν χαρὰν αὐτοῦ τοῦ Κυρίου εἰσέλθωμεν, ἔνθα ἀπέδρα ὀδύνη λύπη καὶ στεναγμός, ἔνθα εὐφραινομένων πάντων ἡ κατοικία ἐν σοί. Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν. Ὁ λαός· Ἀμήν. Ὁ ἀρχιερεύς· Εἰρήνη πᾶσιν. Καὶ τοῦ διακόνου λέγοντος· Τὰς κεφαλὰς ἡμῶν. Ἐπεύχεται ὁ ἀρχιερεύς· Κύριε [1]) ὁ Θεὸς ἡμῶν, κλῖνον τὰς καρδίας ἡμῶν εἰς ὑπακοὴν τῶν θείων σου προσταγμάτων καὶ ἀπόστρεψον τοὺς ὀφθαλμοὺς τῆς διανοίας ἡμῶν, τοῦ μὴ προσκεῖσθαι τῇ κοσμικῇ ματαιότητι, ἀλλ' ἐνατενίζειν τῷ κάλλει τῆς δόξης σου διὰ παντὸς καταξίωσον. Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν, Θεὸς τοῦ ἐλεεῖν καὶ σώζειν [2])...

Εὐχὴ τοῦ νιπτῆρος.

Λέγοντος τοῦ διακόνου τὴν συναπτήν, ἐπεύχεται ὁ ἀρχιερεύς· Κύριε ὑπεράγαθε, ὁ ἀπρόσιτος τῇ θεότητι... Goar. p. 592.. Ὁ λαός· Ἀμήν. Ὁ ἀρχιερεύς· Εἰρήνη πᾶσιν. Καὶ ἐπεύχεται ὁ ἀρχιερεύς· Δέσποτα Κύριε τῆς δόξης... Ibid. Εὐχὴ μετὰ τὸ νίψασθαι, τοῦ διακόνου λέγοντος· Τοῦ Κυρίου δεηθῶμεν, εὔχεται ὁ ἀρχιερεύς· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ κατὰ τὸ πολυέλεός σου κενώσας ἑαυτόν... Goar. p. 594.

Εὐχαὶ τῆς ἁγίας Πεντηκοστῆς εἰς τὴν γονυκλισίαν.

Εὐχὴ ἀντιφώνου α΄. Ἄχραντε ἀμίαντε... Goar. p. 597. Καὶ ἐπισυνάπτει τὴν πρώτην εὐχὴν τοῦ λυχνικοῦ· Εὐλογητὸς Κύριε Δέσποτα παντοκράτορ, ὁ φωτίσας τὴν ἡμέραν τῷ φωτὶ τῷ ἡλιακῷ... pag. 598. Εὐχὴ ἀντιφώνου δευτέρου· Κύριε ὁ Θεὸς

---

[1]) Ркп. Син. библ. X в. № 958: Εὐχὴ τῆς κεφαλοκλισίας [2]) Ὁ διάκονος· Σοφία. Ὁ λαός· Εὐλόγησον, ἅγιοι, εὐλόγησον. Ὁ ἱερεύς· Ὁ ὢν εὐλογητὸς Χριστὲ ὁ Θεὸς ἡμῶν.

ἡμῶν ὁ τὴν σὴν εἰρήνην δεδωκὼς τοῖς ἀνθρώποις... Ibid. p. 599. Καὶ ἐπισυνάπτει λέγων· Κύριε, Κύριε, ὁ ῥυσάμενος ἡμᾶς... p. 600. Εὐχὴ ἀντιφώνου τρίτου· Ἡ ἀεννάως βρύουσα ζωτικὴ καὶ φωτικὴ πηγή. Καὶ ἐπισυνάπτει τὴν εὐχὴν τοῦ Τρισαγίου· Ὁ Θεὸς ὁ μέγας ὁ αἰώνιος, ὁ ἅγιος καὶ φιλάνθρωπος, ὁ καταξιώσας ἡμᾶς... Goar. p. 601. Конецъ: καὶ μετὰ παῤῥησίας δοξάσωμεν ἐπὶ πᾶσι σὲ τὸν μόνον ἀληθινὸν καὶ φιλάνθρωπον Θεόν. Ἐκφώνως· Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν καὶ σοὶ τὴν δόξαν... Εὐχὴ τῆς ἀπολύσεως· Σὸν γὰρ ὡς ἀληθῶς καὶ μέγα ὄντως μυστήριον... Ibid. pag. 601. Конецъ: Σὺ γὰρ εἶ ἀνάπαυσις τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ καὶ συναϊδίῳ Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι νῦν... Καὶ ἐπισυνάπτει τὴν εὐχὴν τῆς ἀπολύσεως· Ὁ Θεὸς ὁ μέγας καὶ ὕψιστος, ὁ μόνος ἔχων ἀθανασίαν... Goar. pag. 602. Ἐκφώνησις· Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις... Εἶτα ἐπεύχεται ὁ ἀρχιερεύς· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ κλίνας οὐρανοὺς καὶ καταβὰς ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων... Ibid. pag. 603.

Εὐχὴ ἐπὶ χειροτονίᾳ τῆς διακονίσσης.

Μετὰ τὸ γενέσθαι τὴν ἀναφορὰν καὶ ἀνοιγῆναι τὰς θύρας προσφέρεται ἡ μέλλουσα χειροτονεῖσθαι, καὶ ὁ ἀρχιερεὺς ἐκφωνεῖ· τὸ Ἡ θεία χάρις, κλινούσης αὐτῆς τὴν κεφαλὴν καὶ ἐπιτίθησι τὴν χεῖρα αὐτοῦ ἐπὶ τὴν κεφαλὴν αὐτῆς, καὶ ποιῶν σταυροὺς τρεῖς, ἐπεύχεται· Ὁ Θεὸς ὁ ἅγιος καὶ παντοδυνάμος... Goar. p. 218. Καὶ μετὰ τὸ Ἀμήν, ποιεῖ εἷς τῶν διακόνων εὐχὴν καὶ ἐν τῷ γενέσθαι ταύτην, ὁ ἀρχιεπίσκοπος, ἔχων τὴν χεῖρα ἐπὶ τὴν κεφαλὴν αὐτῆς, ἐπεύχεται οὕτως· Δέσποτα Κύριε, ὁ μηδὲ γυναῖκας ἀναθεμένας αὐτάς... Ibid p. 218. Конецъ, какъ у Гоара р. 218—219 съ тою разницею, что, вмѣсто ектеньи: Πάντων ἁγίων, въ Илитаріѣ διάκονος λέγει· Πληρώσωμεν, т. е. указывается, что рукоположеніе это могло совершаться и на прежде-освященной литургіи.

Дальше въ Илитаріѣ слѣдуетъ обратная сторона, а поэтому, какъ и на первой, начала нѣтъ. Вторая сторона начинается концомъ молитвы: Συντριβήτωσαν ὑπὸ τὴν σημείωσιν τοῦ σταυροῦ σου... и далѣе продолжается чинъ крещенія, какъ въ предыдущемъ спискѣ. Разница сравнительно весьма незначительная: не говорится о томъ, что священникъ ποιεῖ ἐξ αὐτοῦ (т. е. св. елея) εἰς τὸ ὕδωρ τρεῖς σταυρούς пальцемъ и о троекратномъ пѣніи: Μακάριοι ὧν.

Послѣ молитвы: Εὐλογητὸς εἶ, Κύριε ὁ Θεὸς Παντοκράτωρ, ἡ πηγὴ τῶν ἀγαθῶν... καὶ ἀπάρχεται ὁ ἱερεὺς ψάλλειν· Ὅσοι εἰς Χριστόν... εἶτα χρίει τῷ ἁγίῳ μύρῳ τοὺς βαπτισθέντας, ποιεῖ σταυροῦ τύπον ἐπὶ τοῦ μετώπου καὶ τῶν ὀφθαλμῶν, καὶ τῶν μυκτήρων, καὶ τοῦ στόματος, καὶ τῶν ὤτων, λέγων· Σφραγὶς δωρεᾶς Πνεύματος Ἁγίου. Καὶ μετὰ τὸ Ἀμὴν ἀπάρχεται· Ὅσοι εἰς Χριστόν, εἶτα Μακάριοι ὧν, καὶ τελεῖται ἡ λειτουργία.

Εὐχή, γινομένη εἰς τὸ ὕδωρ τῶν ἁγίων Θεοφανίων.

Κύριε Ἰησοῦ Χριστὲ ὁ μονογενὴς Υἱός, ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρός... Goar. p. 388 εἶτα προσλέγει τὸ Ἀμὴν καθ' ἑαυτὸν καὶ εὐθὺς ἀπάρχεται· Μέγας Κύριε καὶ θαυμαστὰ τὰ ἔργα σου.. p. 370. Ὁ λαός· Ἀμήν. Ὁ ἀρχιερεύς· Εἰρήνη πᾶσιν. Ὁ διάκονος· Τὰς κεφαλάς. Κλῖνον, Κύριε, τὸ οὖς σου καὶ ἐπάκουσον ἡμῶν... p. 371.

Εὐχὴ ἀντιφώνου α'. τῆς τριτοέκτης.

Тѣже 10 молитвъ и въ томъ же порядкѣ, что и въ ркп. № 957, но безъ діаконскихъ возгласовъ. См. стр. 9—12.

Εὐχὴ ἐπὶ χειροτονίᾳ ἐπισκόπου.

Μετὰ τὸ Τρισάγιον, ὅτε κατέλθωσιν οἱ ψάλται, ἵσταται ὁ ἀρχιεπίσκοπος εἰς τὴν κρηπῖδα ἔμπροσθεν τῆς ἁγίας τραπέζης, καὶ γενομένων τῶν, κατὰ συνήθειαν, παρεστώτων καὶ τῶν λοιπῶν ἐπισκόπων, ποιῶν τρεῖς σταυροὺς ἐπὶ τὴν κεφαλὴν αὐτοῦ καὶ ἐπιτιθεὶς αὐτῷ τὴν χεῖρα, ἐπεύχεται· Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ νομοθετήσας ἡμῖν διὰ τοῦ πανευφήμου σου ἀποστόλου Παύλου Goar. p. 250. Καὶ γίνεται συναπτὴ ὑπὸ ἐπισκόπου καὶ ἐν τῷ γίνεσθαι, ἔχων ὁμοίως τὴν χεῖρα ἐπὶ τὴν κεφαλὴν τοῦ χειροτονουμένου, ὁ ἀρχιεπίσκοπος· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ διὰ τὸ μὴ δύνασθαι τὴν ἀνθρώπου φύσιν τὴν τῆς θεότητός σου ἐπενεγκεῖν οὐσίαν... p. 251. Καὶ μετὰ τὸ Ἀμὴν ἐπαίρει τὸ εὐαγγέλιον ὁ ἀρχιεπίσκοπος [1]) καὶ ἀποτίθεται ἐν τῇ ἁγίᾳ τραπέζῃ, καὶ τότε ἐπιτίθησι τῷ χειροτονηθέντι τὸ ὠμοφόριον [2]) καὶ ἀσπάζεται αὐτὸν καὶ πάντες οἱ ἐπίσκοποι, καὶ ἀνέρχεται εἰς τὸ σύνθρονον, καὶ εἶθ' οὕτως τελεῖται ἡ λειτουργία.

Εὐχὴ ἐπὶ χειροτονίᾳ πρεσβυτέρου.

Μετὰ τὸ εἰσενεχθῆναι καὶ ἀποτεθῆναι τὰ ἅγια δῶρα ἐν τῇ τραπέζῃ, γενομένου τοῦ κατὰ συνήθειαν, εἰσάγεται ὁ μέλλων χειροτονεῖσθαι,

---

[1]) Ксеноф. Илитар. XI—XII в. № 163 ὁ πατριάρχης [2]) λέγων αὐτὸς πρῶτος τὸ Ἄξιος, εἶτα οἱ συμπαρόντες ἐκ τρίτου καὶ οἱ ἔξω τοῦ βήματος γ'. и т. д.



БИБЛИОТЕКА Лен.-Правосл. Дух. Академии
ОТД. №
№

καὶ τούτου γονυκλιτοῦντος, ποιῶν σταυροὺς γ'. ἐπὶ τὴν κεφαλὴν καὶ ἔχων ἐπικειμένην τὴν χεῖρα, ἐπεύχεται οὕτως· Ὁ Θεὸς ὁ ἄναρχος καὶ ἀτελεύτητος ὁ πάσης κτίσεως πρεσβύτατος ὑπάρχων Goar. p. 242. Καὶ ποιοῦντος τοῦ πρεσβυτέρου συναπτήν, ἐπεύχεται ὁ ἀρχιερεύς, ἔχων τὴν χεῖρα ἐπὶ τὴν κεφαλήν· Ὁ Θεὸς ὁ μέγας ἐν δυνάμει, καὶ ἀνεξεχνίαστος ἐν συνέσει... p. 243. Καὶ μετὰ τὸ Ἀμὴν φέρει τὸ ὄπισθεν τοῦ ὠραρίου ἐπὶ τὰ ἔμπροσθεν καὶ ἐνδύει αὐτὸν τὸ φελώνιον, καὶ δοὺς αὐτῷ ἀγάπην, ἱστᾷ αὐτὸν μετὰ τῶν λοιπῶν πρεσβυτέρων, καὶ τότε λέγει ὁ διάκονος· Πληρώσωμεν τὴν δέησιν. Καὶ ὅτε ἐπαρθῇ τὸ καταπέτασμα τῶν ἁγίων δώρων καὶ εἰπῇ ὁ λαός· Ἄξιον καὶ δίκαιον, τότε ὁ ἀρχιερεὺς ἐπιδίδωσι τῷ χειροτονηθέντι πρεσβυτέρῳ ἕνα ἄρτον ἐκ τοῦ δίσκου εἰς τὰς χεῖρας αὐτοῦ καὶ κλίνει αὐτὸν ἐπάνω τῆς ἁγίας τραπέζης μέχρι τοῦ ῥηθῆναι· Τὰ ἅγια τοῖς ἁγίοις. Καὶ τότε ἀποδίδωσι τὸν ἄρτον τῷ ἀρχιεπισκόπῳ, καὶ κοινωνεῖ πρῶτος.

Εὐχὴ ἐπὶ χειροτονίᾳ διακόνου. Goar. p. 211. Codex. S. M.

Εὐχὴ ἐπὶ χειροτονίᾳ ὑποδιακόνου., p. 204. Codex Barber. S. Marci.

Εὐχὴ ἐπὶ ἀναγνώστου καὶ ψάλτου. Μετὰ τὸ χρῆναι τὸν μέλλοντα χειροτονεῖσθαι ἀναγνώστην ἢ ψάλτην... Codex. Barber. S. Marc. p. 195.

Εὐχὴ ἐπὶ προχειρίσει ἡγουμένου. Тотъ же кодексъ. Goar. pag. 396, нѣтъ лишь словъ: ἐπιτίθησι τὴν χεῖρα ἐπὶ τὴν κεφαλὴν αὐτοῦ ὁ πατριάρχης.

Εὐχὴ ἐπὶ θεμελίῳ ἐκκλησίας

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐρασθεὶς καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομηθῆναί σοι ἐκκλησίαν... Goar. p. 485.

Εὐχαὶ ἑωθιναί.

Εὐχὴ ἑωθινὴ α'. Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς ἡμῶν, τῷ ἐξαναστήσαντι ἡμᾶς ἐκ τῶν κοιτῶν ἡμῶν... Goar. p. 39. Εὐχὴ ἑωθινὴ γ'. (2 молитвы нѣтъ) Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμα ἡμῶν πρὸς σέ, ὁ Θεὸς ἡμῶν... p. 40. Εὐχὴ ἑωθινὴ ς'. Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς τῶν σωτηρίων ἡμῶν... Ibid. Εὐχὴ τοῦ πεντηκοστοῦ. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὴν διὰ μετανοίας ἄφεσιν τοῖς ἀνθρώποις δωρησάμενος... p. 42. Εὐχὴ τῶν αἴνων. Ὁ Θεὸς ὁ Θεὸς ἡμῶν, ὁ τὰς νοερὰς καὶ λογικὰς ὑποστησάμενος δυνάμεις τῷ σῷ θελήματι... Ibid. Εὐχὴ τῆς ἀπολύσεως τοῦ ὄρθρου. Αἰνοῦμεν καὶ ὑμνοῦμεν, καὶ εὐλογοῦμεν, καὶ δοξολογοῦμεν Goar. p. 42. Ὁ λαός· Ἀμήν. Ὁ ἀρχιερεύς·

Εἰρήνη πᾶσι. Καὶ τοῦ διακόνου λέγοντος· Τὰς κεφαλάς, ἐπεύχεται ὁ ἀρχιερεύς· Κύριε ἅγιε, ὁ ἐν ὑψηλοῖς κατοικῶν... Goar. 44.

**III.** № 958 Εὐχολόγιον, ркп. Синайск. библ. въ 4 долю листа, 115 листовъ, писана на толстомъ покоробленномъ пергаменѣ крупною скорописью X вѣка. Евхологій полный и хорошо сохранившійся. Грамматическія формы и правописаніе писца страдаютъ большими неправильностями.

л. 1. Ἡ θεία λειτουργία τοῦ ἁγίου Βασιλείου.

Чинъ состоитъ изъ молитвъ, какъ и въ рукописи Румянц. Муз. № 374 X в.—XI в. Н. Θ. Красносельцевъ. „Свѣдѣнія о нѣкоторыхъ литургическихъ рукописяхъ ватиканской библіотеки". Казань 1885 стр. 237. Народъ и діаконъ являются участниками въ богослуженіи, по этому списку, лишь въ самыхъ рѣдкихъ случаяхъ. Важнѣйшими варіантами къ указанному списку могутъ быть слѣдующія особенности. Огсутствуютъ возгласы въ молитвѣ входа и Трисвятаго. Молитва: „Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν οὐρανοῖς κατοικῶν... (стр. 421) надписывается: „εὐχὴ τῶν κατηχουμένων", молитва: „Οὐδεὶς ἄξιος (стр. 245)—„εὐχή, ἣν ποιεῖ καθ' ἑαυτὸν ὁ ἱερεύς", молитва: Κύριε ὁ Θεὸς ἡμῶν, ὁ κτίσας ἡμῶν καὶ ἀγαγὼν εἰς τὴν ζωὴν ταύτην.—„Εὐχὴ μετὰ τὸ ἀποτεθῆναι τὰ δῶρα ἐν τῇ ἁγίᾳ τραπέζῃ". Послѣ этой послѣдней молитвы чинъ литургіи описывается такъ: Καὶ μετὰ τὸ πληρῶσαι τὰ διακονικά, λέγει ὁ διάκονος· Ἀγαπήσωμεν ἀλλήλους. Ὁ διάκονος· Τὰς θύρας. Ὁ διάκονος· Στῶμεν καλῶς. Ὁ ἱερεύς· Ἡ χάρις τοῦ Κυρίου ἡμῶν... Ἄνω σχῶμεν τὰς καρδίας. Εὐχαριστήσωμεν. Καὶ ἀπάρχεται ὁ ἱερεὺς τῆς θείας καὶ ἁγίας ἀναφορᾶς. Ὁ ὢν Δέσποτα Κύριε Θεὲ Πάτερ (стр. 251). Καὶ ἀνιστάμενος σφραγίζει τὰ ἅγια δῶρα καὶ λέγει· Τὸν μὲν ἄρτον... Τὸ δὲ ποτήριον... Τὸ ἐκχυθὲν ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς... (стр. 262) Εὐχή· Ἡμᾶς δὲ πάντας τοὺς ἐκ τοῦ ἑνὸς ἄρτου... (стр. 263). Молитвы: Χαῖρε κεχαριτωμένη—нѣтъ, о діаконѣ не упоминается предъ молитвою: Ὁ Θεὸς ἡμῶν, ὁ Θεὸς τοῦ σώζειν, а говорится просто: ὁ ἱερεὺς ἐπεύχεται. (стр. 271). Послѣ возгласа: Χάριτι καὶ οἰκτιρμοῖς... ὁ ἱερεὺς καθ' ἑαυτόν· Πρόσχες Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν... (стр. 275). Καὶ μετὰ τὸ πάντας μεταλαβεῖν, ἐπεύχεται ὁ ἱερεύς· Εὐχαριστοῦμέν σοι, ὁ Θεὸς ἡμῶν (стр. 276). Εὐχὴ τῆς ἀπολύσεως ἐν τῷ σκευοφυλακίῳ· Ἤνυσται καὶ τετέλεσται (стр. 27J).

*

л. 15. Εὐχὴ κατηχουμένων τοῦ Χρυσοστόμου· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν ὑψηλοῖς κατοικῶν. Красноc. стр. 241. Εὐχὴ πιστῶν α'. μετὰ τὸ ἁπλωθῆναι τὸ εἰλητόν· Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς τῶν δυνάμεων... (стр. 242). Εὐχὴ πιστῶν β'. Πάλιν καὶ πολλάκις σοι προσπίπτομεν... (стр. 244). Εὐχὴ τῆς προσκομιδῆς τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου μετὰ τὸ ἀποτεθῆναι τὰ δῶρα ἐν τῇ ἁγίᾳ τραπέζῃ καὶ πληρῶσαι τὸν λαὸν τὸν μυστικὸν ὕμνον. Ὁ ἱερεὺς λέγει· Κύριε ὁ Θεὸς παντοκράτορ, ὁ μόνος ἅγιος... (стр. 247). Дальнѣйшій порядокъ молитвъ, что въ ркп. Севаст. № 374 (Красноc. стр. 251—280), но молитвы слѣдуютъ непрерывно, безъ замѣчаній Севастьяновскаго списка: ὁ ἱερεὺς εὔχεται λέγων, εἶτα κλινόμενος πάλιν λέγει и т. п. Моментъ пресуществленія описывается такъ: καὶ σφραγίζων τὰ ἅγια δῶρα, λέγει· Καὶ ποίησον τὸν μὲν ἄρτον... Τὸ δὲ ποτήριον... Μεταλαβὼν τῷ Πνεύματί σου τῷ Ἁγίῳ. Въ концѣ литургіи одна молитва: εὐχή, λεγομένη ἐν τῷ σκευοφυλακίῳ· Ἡ ἀρχὴ καὶ τὸ πλήρωμα τοῦ νόμου καὶ τῶν προφητῶν... (стр. 180) Codex. Daniel.

л. 20 об. Ἀκολουθία τῶν προηγιασμένων τῆς ἁγίας τεσσαρακοστῆς.

Μετὰ [τὰ] ἀναγνώσματα λέγεται τὸ Κατευθυνθήτω καὶ μετὰ τοῦτο λιτανεύει ὁ διάκονος, καὶ λέγει ὁ λαὸς τὸ Κύριε ἐλέησον. Καὶ μετὰ τοῦτο γίνεται εὐχὴ κατηχουμένων ἐπὶ τῶν προηγιασμένων οὕτως· Ὁ Θεὸς ὁ Θεὸς ἡμῶν, ὁ κτίστης καὶ δημιουργὸς τῶν ἁπάντων... Goar. p. 165. Γινώσκει δέ, ὅτι καὶ τὴν εὐχὴν ταύτην καὶ τὰ διακονικὰ ἀπὸ τῆς τετράδος τῆς μεσοεβδομάδος τῶν νηστειῶν λέγει· Ὅσοι κατηχούμενοι и т. д. Εὐχή· Ἐπίφανον, Δέσποτα, τὸ πρόσωπόν σου... p. 165. Ὅσοι πρὸς τὸ φώτισμα προέλθετε... ἔτι καὶ ἔτι οἱ κλίνοντες τὰ γόνατα ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν. Εὐχὴ πιστῶν α'. Ὁ Θεὸς ὁ μέγας καὶ αἰνετός... p. 166. Εὐχὴ πιστῶν β'. Δέσποτα ἅγιε, ὑπεράγαθε, δυσωποῦμέν σε... Ibid. Ἐκφώνως· Κατὰ τὴν δωρεὰν τοῦ Χριστοῦ σου... Πληρώσωμεν τὴν δέησιν... Ὑπὲρ τῶν προτεθέντων. Εὐχὴ μετὰ τὸ ἀποτεθῆναι τὰ ἅγια δῶρα· Ὁ τῶν ἀρρήτων καὶ ἀθεάτων μυστηρίων Θεός... Ibid. Καὶ καταξίωσον ἡμᾶς, Δέσποτα. Ὁ λαός· Πάτερ ἡμῶν. Εὐχὴ τῆς κεφαλοκλισίας· Ὁ Θεὸς μόνος ἀγαθὸς καὶ εὔσπλαγχνος p. 167. Πρόσχες Κύριε Ἰησοῦ... Ibid. Ὁ διάκονος· Πρόσχωμεν. Ὁ ἱερεύς· Τὰ προηγιασμένα ἅγια τοῖς ἁγίοις. Καὶ μετὰ τὸ πάντας μεταλαβεῖν, ἐπεύχεται ὁ ἱερεύς· Εὐχαριστοῦμέν σοι τῷ Σωτῆρι τῶν ὅλων Θεῷ... p. 168. Ἐν εἰρήνῃ προέλθωμεν. Ὁ λαός· Ἐν ὀνόματι Κυρίου. Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν. Ὁ λαός· Κύριε ἐλέησον. Εὐχὴ ὀπισθάμβωνος· Δέσποτα ὁ Θεὸς παντοκράτορ, ὁ πα-

σαν τὴν κτίσιν ἐν σοφίᾳ δημιουργήσας... p. 168. Εὐχή, λεγομένη ἐν τῷ διακονικῷ· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἀγαγὼν ἡμᾶς εἰς τὰς πανσέπτους ταύτας ἡμέρας. Goar. p. 168.

л. 24. Ἀκολουθία τοῦ λυχνικοῦ.

Первыя четыре молитвы съ надписью: ἀντιφώνου πρώτου, δευτέρου и т. д., что у Goar. p. 28—29. Εὐχὴ ἀντιφώνου πέμπτου· Εὐλογητὸς εἶ, Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ... p. 35. Εὐχὴ ἀντιφώνου ἕκτου, εὐχὴ ἀντιφώνου ἑβδόμου тѣже, что и у Гоара на пятомъ и шестомъ мѣстахъ pag. 29. Εὐχὴ ἀντιφώνου ὀγδόου, πρὸ τοῦ Κύριε ἐκέκραξα· Ἑσπέρας καὶ πρωὶ καὶ μεσημβρίας p. 31. Καὶ μετὰ τὸ προκείμενον καὶ Κύριε ἐλέησον, γίνεται εὐχὴ ὑπὸ τοῦ ἱερέως, ἐν ᾧ ψάλλεται· Ταῖς πρεσβείαις τῆς Θεοτόκου. Εὐλογητὸς εἶ, Κύριε Δέσποτα παντοκράτορ, ὁ φωτίσας τὴν ἡμέραν τῷ φωτὶ τῷ ἡλιακῷ... Далѣе слѣдуютъ: εὐχὴ ἀντιφώνου β'. ἐν ᾧ ψάλλεται· Ὁ μονογενὴς Υἱός, εὐχὴ ἀντιφώνου γ'. τοῦ Τρισαγίου [1]), εὐχὴ κατηχουμένων μετὰ τὸ Τρισάγιον [2]) τοῦ λυχνικοῦ, εὐχὴ πιστῶν α'. [3]) εὐχὴ πιστῶν β'. [4]) εὐχὴ γ'. ἤγουν ἡ ἀπόλυσις [5]) и на главопреклоненіе. Goar. pag. 35—37.

л. 30. Εὐχαὶ ἑωθιναί.

Первыя шесть молитвъ въ томъ же порядкѣ, что у Гоара p. 39—40 и также надписываются, за исключеніемъ одной четвертой: εὐχὴ ἑωθινὴ ἀντιφώνου δ'. Седьмая: εὐχὴ ἑωθινὴ τοῦ πεντηκοστοῦ у Гоара считается 10, восьмая: εὐχὴ ἑωθινὴ η'. и у Гоара занимаетъ тоже мѣсто, девятая: εὐχὴ θ'. εἰς τοὺς αἴνους стоитъ у Гоара на двѣнадцатомъ мѣстѣ, которое здѣсь занимаетъ молитва εὐχὴ ι'. ἤγουν ἀπόλυσις. Одинадцатое и послѣднее мѣсто въ данной рукописи остается за молитвою на главопреклоненіе Goar. p. 41—42, 44.

л. 34 об. Εὐχαὶ ὀπισθάμβωνοι τῶν ἑορτῶν. Εἰς τὴν Χριστοῦ γέννησιν.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ πρὸ πάντων αἰώνων ἀπαθῶς ἐξ ἀνάρχου Πατρὸς ἐκλάμψας, ἐπ' ἐσχάτοις δὲ τοῖς χρόνοις ἐκ Παρθένου ἀρρήτως σαρκωθεὶς καὶ γεννηθείς... Переводъ этой молитвы см. у еп. Порфирія Успенскаго. Первое путешеств. въ аѳон. монастыри и скиты въ 1846 г. ч. II, отд. I, Кіев. 1877 г. стр. 461—462.

---

[1]) Ркп. № 959 Синайск. библ. τοῦ λυχνικοῦ [2]) нѣтъ [3]) τοῦ λυχνικοῦ [4]) тоже [5]) тоже.

л. 35. Εὐχὴ ὀπισθάμβωνος τῶν Φώτων.

Ἄφατος ἡ πρὸς ἡμᾶς σου ἀγαθότης, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὅτι τὸν μονογενῆ σου Υἱόν, εὐδοκήσας ἐκ γυναικὸς ἀφθόνου τεχθεῖναι καὶ κατὰ πάντα ὅμοιον ἡμῖν γενέσθαι χωρὶς ἁμαρτίας καὶ βαπτισθῆναι, ὡς ἄνθρωπος δι' ἡμᾶς ὑπὸ Ἰωάννου... Переводъ см. тамъ же стр. 458.

л. 36. Εὐχὴ ὀπισθάμβωνος τῆς Ὑπαπαντῆς.

Δέσποτα Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ τὸν μονογενῆ σου Υἱὸν ἐξαποστείλας εἰς τὸν κόσμον, ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ καὶ διὰ τοῦ Πνεύματος τὴν αὐτοῦ παρουσίαν τῷ πρεσβευτῇ Συμεὼν προευαγγελισάμενος... Переводъ см. тамъ же стр. 457.

— Εὐχὴ ὀπισθάμβωνος τῆς μέσης νηστίμου· Εὐλογητὸς εἶ, Κύριε δεδοξασμένε, ὑπερυψούμενε καὶ ἀγαθέ, ὁ τῇ θείᾳ προνοίᾳ τὸν κύκλον τοῦ ἐνιαυτοῦ διαπεράσας, ἡμᾶς δὲ τῷ λιμένει προσορμήσας τῷ γαληνῷ τούτων τῶν ἡμερῶν...

л. 37. Εὐχὴ ὀπισθάμβωνος τοῦ Εὐαγγελισμοῦ· Κύριε ὁ Θεὸς ὁ παντοκράτορ, ὁ εὐδοκήσας τὸν μονογενῆ σου Υἱὸν σαρκωθεῖναι ἐξ ἀπειρογάμου γυναικὸς καὶ ἐνανθρωπῆσαι διὰ τὴν ἡμετέραν σωτηρίαν... Переводъ см. тамъ же стр. 463.

Εὐχὴ ὀπισθάμβωνος τῷ σαββάτῳ τοῦ Λαζάρου· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τετραήμερον τὸν Λάζαρον ἐκ νεκρῶν ἀναστήσας τῇ σῇ φωνῇ ἐκ τῶν τοῦ ᾅδου μοχλῶν λύσας καὶ πρὸς ζωὴν ἀναγαγών... Переводъ см. тамъ же стр 464.

л. 37 об. Τῇ κυριακῇ τῶν Βαΐων.

Ὑμνοῦμέν σοι τὴν ἄφατον συγκατάβασιν, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὅτι θρόνον ἔχων τὸν οὐρανὸν καὶ ὑποπόδιον τὴν γῆν, κατηξίωσας οὐ μόνον ἐν φάτνῃ ἀλόγων, ὡς βρέφος ἀνακλιθεῖναι, ἀλλὰ καὶ πώλῳ ἐπικαθεῖσαι...

л. 28. Τῷ μεγάλῳ σαββάτῳ.

Παντοδύναμε καὶ πολυεύσπλαγχνε Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ μετὰ σταυρὸν καὶ ἑκούσιον νέκρωσιν ἐντεθεῖναι ἐν τάφῳ καὶ ὡς πλάνῳ συκοφαντηθῆναι, φρουρηθῆναί τε καὶ διὰ τούτων ὑπὸ λίθον σφραγισθῆναι καταδεξάμενος...

л. 39. Τῇ ἁγίᾳ καὶ μεγάλῃ κυριακῇ.

Μονογενὴ Υἱὲ καὶ Λόγε τοῦ Θεοῦ, ὁ ἀχώριστος τοῦ Πατρὸς καὶ δι' ἡμᾶς ἄτρεπτος γενόμενος ἄνθρωπος, ὁ τῷ τιμίῳ σου πάθει καταργήσας τὸν θάνατον καὶ τοὺς ἐξ Ἀδὰμ ἅπαντας συναγείρας...

л. 39 об. Εὐχὴ ὀπισθάμβωνος τῆς Ἀναληψίμου· Ὕψωσον ἡμῶν, Δέσποτα, πρὸς οὐρανὸν τὸ φρόνημα, τῶν ἐπὶ γῆς προσκυνούντων σου τὸ

κράτος, καὶ τὸν νοῦν ἡμῶν ὕψωσον ἀπὸ τῶν γηΐνων φροντίδων πρὸς ἑαυτόν. Переводъ см. тамъ же стр. 463.

л. 40. Εὐχὴ ὀπισθάμβωνος τῆς Πεντηκοστῆς.

Ἐπάκουσον ἡμῶν, ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς καὶ τῶν ἐν θαλάσσῃ μακρᾷ, ὁ κατὰ τὴν ἡμέραν αὐτῆς ἁγίας Πεντηκοστῆς τὸ μυστήριον τῆς ἁγίας Τριάδος καὶ τὴν δωρεὰν τοῦ Ἁγίου Πνεύματος...

л. 40 об. Εὐχὴ ὀπισθάμβωνος τῆς Μεταμορφώσεως· Δέσποτα Χριστὲ ὁ Θεὸς ἡμῶν, ἀνάγαγε ἡμᾶς εἰς τὸ τῆς ἀγάπης σου ὑπεράγιον ὄρος, ὡς τοὺς κορυφαίους σου μαθητὰς καὶ ἀποστόλους εἰς ὄρος ὑψηλὸν ἀνήγαγες, καὶ διάνοιξον ἡμῶν τοὺς νοεροὺς ὀφθαλμούς...

л. 41. Εὐχὴ ὀπισθάμβωνος τῆς Θεοτόκου.

Δέχου τοίνυν πανευμενεστάτη τίμια δῶρα Κυρίου καὶ Σοὶ μόνῃ ἁρμόζουσα παναγία Παρθένε Θεομήτορ παρ' ἡμῶν τῶν ἀναξίων δούλων σου, ἡ πασῶν γενεῶν ἐνδοξοτέρα καὶ πάντων ὁρατῶν τε καὶ ἀοράτων δημιουργημάτων τιμιωτέρα φανεῖσα...

л. 42. Εὐχὴ ὀπισθάμβωνος εἰς τὴν Μεταμόρφωσιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Таже молитва, что на об. 40 л. см. выше.

л. 43. Εὐχὴ εἰς τὴν Περιτομὴν τοῦ Κυρίου καὶ εἰς τὸν ἅγιον Βασίλειον.

Ὁ Θεὸς ὁ αἰώνιος, ὁ ἅγιος καὶ φιλάνθρωπος, ὁ φοβερὸς τῇ βουλῇ καὶ θαυμαστὸς τοῖς ἔργοις, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ τὴν θάλασσαν καὶ πάντα ἐν αὐτοῖς, ὁ φυλάσσων τὴν διαθήκην σου...

л. 43 об. Εὐχὴ ὀπισθάμβωνος εἰς ἀποστόλους καὶ εἰς προφήτας.

Ὁ ἐνδοξαζόμενος ταῖς βουλαῖς τῶν ἁγίων σου, Χριστὲ ὁ Θεὸς ἡμῶν, τῶν ἀποστόλων τὸ καύχημα, τῶν προφητῶν τὸ ἀγαλλίαμα, τῶν μαρτύρων τὸ στήριγμα, τῶν ὁσίων ἡ χαρὰ καὶ τῆς τεκούσης ὁ στέφανος...

л. 44. Εὐχὴ ὀπισθάμβωνος εἰς μάρτυρας.

Ἅγιε, ἐν ἁγίοις ἀναπαυόμενος, ὕψιστε, ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ τὰ ταπεινὰ ἐφορῶν, ὁ χαρισάμενος τοῖς ἁγίοις σου μάρτυσι τὸν ἀγῶνα τὸν καλὸν ἀγωνίσασθαι...

Εὐχαὶ τῆς παννυχίδος. См. выше стр. 13—15.

л. 47. Ἀκολουθία τῆς γονυκλισίας τῆς ἁγίας Πεντηκοστῆς.

Τίς Θεὸς μέγας, ὡς ὁ Θεὸς ἡμῶν. Καὶ μετὰ τοῦτο λέγει ὁ διάκονος· Σοφία, ὀρθοὶ ἀκούσωμεν τοῦ ἁγίου εὐαγγελίου. Εὐαγγέλιον κατὰ Ἰωάννην· Οὔσης ὀψίας τῇ ἡμέρᾳ ἐκείνῃ· Τέλος· ἄν τινων κρατῆτε, κεκράτηνται. Ὁ διάκονος. Εἴπωμεν πάντες... Ἐξ ὅλης ψυχῆς καὶ ἐξ ὅλης... Κύριε

παντοκράτορ... Ὁ πλούσιος ἐν ἐλέει καὶ ἀγαθότητι... Ὁ μὴ βουλόμενος τὸν θάνατον... Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου... Ὑπὲρ τοῦ παρόντος λαοῦ ἐν τῷ ἁγίῳ ναῷ τούτῳ καὶ ἀπεδεχομένους τὴν χάριν τοῦ ἁγίου Πνεύματος δεόμεθά σου ἐπάκουσον καὶ ἐλέησον. Ὑπὲρ τοῦ εὐδοκῆσαι Κύριον τὸν Θεὸν ἐφ' ἡμᾶς καὶ ἐπὶ τὴν γονυκλισίαν ταύτην δεόμεθα. Ὑπὲρ τοῦ προσδεχθῆναι τὴν δέησιν ἡμῶν πρὸς τελείαν εὐαρέστησιν δεόμεθα. Ὑπὲρ τοῦ καταπεμφθῆναι ἡμῖν πλούσια τὰ ἐλέη Κυρίου τοῦ Θεοῦ ἡμῶν δεόμεθα. Ὑπὲρ τῶν κλινόντων τὰς καρδίας καὶ τὰ γόνατα δεόμεθα. Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς... Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας ἀχράντου. Ἔτι καὶ ἔτι κλίνοντες τὰ γόνατα. Ὁ λαός· Κύριε ἐλέησον. Ὁ ἱερεὺς κλινόμενος λέγει εὐχὴν α'. Ἄχραντε, ἀμίαντε, ἄναρχε, ἀόρατε. Goar. p. 597. Молитва: Εὐλογητὸς εἶ, Κύριε Δέσποτα присоединяется непосредственно къ первой. Ἀντιλαβοῦ, σῶσον, ἐλέησον ἡμᾶς... Τῆς παναγίας ἀχράντου... Ἐκφων. Σὸν γάρ ἐστι τὸ ἐλεεῖν καὶ σώζειν... Καὶ ψάλλου(σι)ν στιχηρὸν ἦχος γ'. Νῦν εἰς σημεῖον τοῖς... Καὶ μετὰ τὸ πληρῶσαι τοὺς ψάλτας, λέγει ὁ ἱερεύς· Ἔτι καὶ ἔτι κλίνοντες τὰ γόνατα ἐν εἰρήνῃ. Εὐχὴ β'. Κύριε Ἰησοῦ Χριστὲ ἡμῶν, ὁ τὴν σὴν εἰρήνην δεδωκὼς τοῖς ἀνθρώποις...' p. 599. И къ этой молитвѣ непосредственно премыкаетъ молитва: „Κύριε, Κύριε, ὁ ῥυσάμενος ἡμᾶς... pag. 600. Ἀντιλαβοῦ, σῶσον. Τῆς παναγίας... Εὐδοκίᾳ καὶ χάριτι τοῦ μονογενοῦς σου Υἱοῦ... Καὶ ψάλλουσι στιχηρόν, ἦχος γ'. Νῦν τὸ παράκλητον Πνεῦμα... Καὶ μετὰ τὸ πληρῶσαι τοὺς ψάλτας, λέγει ὁ ἱερεύς· Ἔτι καὶ ἔτι κλίνοντες... Ἡ ἀεννάως βρύουσα ζωτικὴ καὶ φωτιστικὴ πηγή... Goar. p. 600. Непосредственно слѣдуетъ и молитва: Ὁ Θεὸς ὁ μέγας καὶ αἰώνιος..., но лишь до словъ: μετὰ παῤῥησίας δοξάσωμεν ἐπὶ πᾶσιν σὲ τὸν μόνον ἀληθινὸν φιλάνθρωπον Θεόν. p. 601. Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας... Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεός. Καὶ ψάλλου(σι)ν στιχηρόν, ἦχος γ'. Νῦν περιβάλλονται κράτος... Καὶ μετὰ τοῦτο λέγει ὁ ἱερεύς· Ἔτι καὶ ἔτι κλίνοντες τὰ γόνατα. Εὐχὴ δ'. Σὸν γὰρ ὡς ἀληθῶς, καὶ μέγα ὄντως μυστήριον, Δέσποτα τῶν ἁπάντων καὶ ποιητά... Goar. p. 601. Конецъ: Σὺ γὰρ εἶ ἡ ἀνάπαυσις τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου Πατρί... Καὶ ἐπισυνάπτει τὴν εὐχὴν τῆς ἀπολύσεως τοῦ λυχνικοῦ· Ὁ Θεὸς ὁ μέγας καὶ ὕψιστος, ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον... Goar. p. 602. Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν... Εὐχὴ τῆς κεφαλοκλισίας· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ κλίνας οὐρανούς... Goar. p. 603. Ὁ ἱερεύς· Εἰρήνη πᾶσιν. Ὁ λαός· Καὶ τῷ πνεύ-

ματί σου. Ὁ διάκονος· Τὰς κεφαλὰς ἡμῶν. Ὁ ἱερεὺς εὔχεται οὕτως· Ὑπεράγαθε Κύριε ὁ Θεὸς ἡμῶν, ὁ κλίνας τὴν ἡμέραν, καὶ δοὺς ἡμῖν ἐντρυφῆσαι τῆς περὶ πάντα διοικουμένης σου σοφίας. Αὐτὸς καὶ νῦν, Δέσποτα, πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὡς θυμίαμα ἐνώπιόν σου καὶ μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ τῶν ἁμαρτιῶν ἡμῶν, ὁ τῆς δικαιοσύνης σου ἥλιος, ἀλλ᾽ ἄνες ἡμῖν καὶ συγχώρησον πρεσβείαις τῆς ἁγίας Θεοτόκου καὶ πάντων τῶν ἁγίων σου, καὶ τῆς βασιλείας σου ἀξίους ἡμᾶς ποίησον, ὁ ὢν εὐλογητὸς Θεὸς ἡμῶν νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας...

л. 58. Εὐχὴ εἰς τὸ κατασφραγίσαι παιδίον, λαμβάνον ὄνομα τῇ η᾽. ἡμέρᾳ.

Κύριε ὁ Θεὸς ἡμῶν, σοῦ δεόμεθα καὶ σὲ ἱκετεύομεν, σημειωθήτω τὸ φῶς τοῦ προσώπου σου... Goar. p. 264. Καὶ σφραγίζει αὐτῷ τὸ μέτωπον, τὸ στόμα καὶ τὸ στῆθος καὶ ἀπολύει.

л. 58 об. Εὐχὴ εἰς τὸ ἐκκλησιάσαι παιδίον.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν τεσσαράκοντα ἡμέραις κατὰ τὸν νόμον Μωϋσέως εἰς τὸ ἱερὸν ἀνελθὼν ὑπὸ Μαρίας τῆς [1]) ἁγίας μητρός σου, καὶ ἐν ταῖς ἀγκάλαις τοῦ δικαίου Συμεὼν δεχθείς [2]), αὔξησον τὸν δοῦλόν σου τόν δε τῇ δυνάμει σου [3]), ἵνα, τυχὼν [4]) καὶ τοῦ λουτροῦ τῆς ἀφθαρσίας, γένηται τέκνον φωτὸς καὶ ἡμέρας καὶ τυχὼν τῆς μερίδος καὶ τοῦ κλήρου τῶν ἐκλεκτῶν σου, κοινωνὸς γένηται καὶ τοῦ τιμίου σώματος καὶ αἵματος τοῦ Χριστοῦ σου, φυλαττόμενος σὺν ἡμῖν τῇ χάριτι τῆς ἁγίας καὶ ὁμοουσίου καὶ ἀδιαιρέτου Τριάδος [5]) εἰς δόξαν σὴν καὶ τοῦ μονογενοῦς Υἱοῦ καὶ παναγίου καὶ ζωοποιοῦ Πνεύματος νῦν καὶ ἀεὶ... Срав. Прилож. къ „Богосл. въ русск. Церкви въ XVI в.“ ч. I, стр. 19.

л. 59. Εὐχὴ εἰς τὸ ποιῆσαι κατηχούμενον.

Начало чина см. Прилож. стр. 9—10. Послѣ молитвы: Ἐξέλασον ἀπ᾽ αὐτοῦ или вѣрнѣе: Καὶ μετὰ τὸ Ἀμὴν ἀποδυομένου καὶ ἀπολυομένου τοῦ βαπτιζομένου, ἀποστρέφει αὐτοὺς ὁ ἱερεὺς ἐπὶ δυσμάς, ἄνω τὰς χεῖρας ἔχοντας, καὶ λέγει· Ὡς λέγω, λέγετε· Ἀποτάσσομαι τῷ σατανᾷ, καὶ πᾶσι τοῖς ἔργοις αὐτοῦ, καὶ πάσῃ τῇ λατρείᾳ αὐτοῦ, καὶ πᾶσι τοῖς ἀγγέλοις αὐτοῦ, καὶ πάσῃ τῇ πομπῇ αὐτοῦ. Ταῦτα λέγει ὁ ἱερεὺς ἐκ τρίτου, ἀποκρινομένων τῶν συνόντων αὐτῷ, καὶ μετὰ τοῦτο πάλιν λέγει ὁ ἱερεύς· Ἀπετάξω τῷ σατανᾷ; Ἀπεταξάμην. Καὶ ὅτε εἴπῃ

---

[1]) Ркп. Синайск. библ. 1153 г. № 973 τῆς ἀχράντου [2]) εἰσδεχθεὶς καὶ ἐν τῷ ναῷ εἰσελθὼν [3]) нѣтъ — τῇ δυνάμει σου [4]) прибавлено: τῆς μερίδος τοῦ κλήρου τῶν ἁγίων, κοινωνὸς [5]) Ὅτι πρέπει σοι πᾶσα δόξα...

γ΄. λέγει ὁ ἱερεύς· Ἐμφύσησον αὐτῷ. Καὶ λέγει ὁ ἱερεύς· Στραφεῖτε ἐπὶ ἀνατολὰς κάτω τὰς χεῖρας ἔχοντες καὶ λέγοντες· Καὶ συντάσσομαι τῷ Χριστῷ καὶ Πιστεύω εἰς ἕνα Θεὸν Πατέρα παντοκράτορα ἕως τέλους. Ἀποκρινομένων τῶν κατηχουμένων ἢ τοῦ ἀναδόχου αὐτοῦ καὶ ὅταν εἴπουν αὐτὸ γ΄. ἐρωτᾷ αὐτοὺς ὁ ἱερεὺς γ΄. Συνετάξασθε τῷ Χριστῷ. Καὶ ἀποκρίνονται· Συνεταξόμεθα. Καὶ λέγει αὐτοῖς· Προσκυνήσατε αὐτῷ. Καὶ πάντων προσκυνούντων, ἐπεύχεται ὁ ἱερεύς· Δέσποτα ὁ Θεός, προσκάλεσαι τὸν δοῦλόν σου τόνδε πρὸς τὸ ἅγιόν σου φώτισμα... p. 281.

Εὐχὴ τοῦ ἁγίου βαπτίσματος, γινομένη ἐν τῷ βαπτιστηρίῳ.

Λαβόντος τοῦ ἱερέως θυμιατήριον θυμιᾷ, καὶ μετὰ τὸ θυμιᾶσαι γίνεται εὐχὴ ὑπὸ τοῦ διακόνου οὕτως· Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τοῦ ἀρχιεπισκόπου... Ὑπὲρ τοῦ ἁγιασθῆναι... Ὑπὲρ τοῦ προσερχομένου πρὸς τὸ ἅγιον φώτισμα... Ὑπὲρ τοῦ γενέσθαι αὐτῷ τὴν κολυμβήθραν ταύτην λουτρὸν παλιγγενεσίας τῆς ἀφέσεως τῶν ἁμαρτιῶν καὶ τοῦ ἐνδύματος τῆς ἀφθαρσίας τοῦ Κυρίου. Ὑπὲρ τοῦ γενέσθαι αὐτὸ σύμφυτον καὶ κοινωνὸν τοῦ θανάτου καὶ τῆς ἀναστάσεως Χριστοῦ τοῦ Θεοῦ. Ὑπὲρ τοῦ ἀναδειχθῆναι αὐτὸν Υἱὸν φωτὸς καί... Ὑπὲρ τοῦ συγκαταριθμηθῆναι αὐτόν... Ὑπὲρ τοῦ διαφυλαχθῆναι αὐτῷ τὴν στολήν... Ὑπὲρ τοῦ ῥυσθῆναι... Ἀντιλαβοῦ, σῶσον. Τῆς παναγίας... Τούτων δὲ λεγομένων, εὔχεται ὁ ἱερεὺς καθ' ἑαυτὸν ταύτῃ· Ὁ εὔσπλαγχνος καὶ ἐλεήμων Θεός...p. 288. Εὐχὴ ἄλλη τοῦ ἁγίου βαπτίσματος· Μέγας εἶ, Κύριε, καὶ θαυμαστὰ τὰ ἔργα σου... p. 288. Окончаніе см. въ рκп. № 958 стр. 2—3, примм.

л. 69. Εὐχὴ εἰς τὸ ἀπολοῦσαι νεοφώτιστον.

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ διὰ τῆς θείας κολυμβήθρας τὴν οὐράνιον ἔλλαμψιν τοὺς φωτιζομένους παρέχων παντὸς ῥύπου ἁμαρτιῶν ἀμόλυντον διατήρησον καὶ τὴν πνευματικὴν σφραγίδα ἐν τῇ φοβερᾷ ἡμέρᾳ τῆς κρίσεώς σου, ἀνεξάλειπτον διαφύλαξον ἔλεος αὐτοῖς καὶ ἡμῖν γενόμενος κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου. Ὅτι ηὐλόγηται καὶ δεδόξασται τὸ πάντιμον.

л. 69 об. Εὐχὴ εἰς τὸ κουρεῦσαι παιδίον.

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὅτι εἰκόνι σου τιμήσας... Goar. p. 306. Εἰρήνη πᾶσιν. Τὰς κεφαλάς. Ὁ ἱερεὺς εὔχεται· Σὲ ἱκετεύομεν, Κύριε ὁ Θεὸς ἡμῶν... p. 307..

л. 70 об. Εἰς τὴν εὐλόγησιν τῶν ὑδάτων τῶν ἁγίων Θεοφανίων.

Ἀπερχόμενοι ἐν τῇ φιάλῃ ψάλλου(σι)ν τροπάριον, ἦχος πλ. δ΄. Φωνὴ Κυρίου... καὶ εὐθὺς ὁ διάκων ἄρχεται· Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν

καὶ τὰ ἑξῆς ἕως Ὑπὲρ πλεόντων, καὶ ἐπισυνάπτει τάδε· Ὑπὲρ τοῦ ἐξ ὕψους ἐλέους καὶ σωτηρίου τῶν ψυχῶν ἡμῶν. Ὑπὲρ τοῦ εἰσακοῦσαι Κύριον τὸν Θεὸν τῆς δεήσεως ἡμῶν. Ὑπὲρ τοῦ ἁγιασθῆναι τὰ ὕδατα... Ὑπὲρ τοῦ καταπεμφθῆναι αὐτοῖς ἐξ ἁγίων ὑψωμάτων τὴν χάριν καὶ τὴν εὐλογίαν τοῦ Ἰορδάνου. Ὑπὲρ τοῦ ἀναδειχθῆναι αὐτὰ ἀποτρόπαιον καὶ καθαρτήριον πάσης ἐνεργείας καὶ ἐπιβουλῆς ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν τοῦ Κυρίου δεηθῶμεν. Ὑπὲρ τοῦ γενέσθαι αὐτὰ πᾶσι τοῖς χριωμένοις ἐξ αὐτῶν καὶ μεταλαμβάνουσιν εἰς καθαρισμὸν μολυσμοῦ σαρκὸς καὶ πνεύματος τοῦ Κυρίου. Ὑπὲρ τοῦ ἐπιφανῆναι Κύριον τὸν Θεὸν ἡμῶν τῷ προσώπῳ αὐτοῦ καὶ ἀνακαινῆσαι, καὶ εὐλογῆσαι, καὶ ἁγιᾶσαι τὰ ὕδατα ταῦτα. Ὑπὲρ τοῦ καταφοιτῆσαι αὐτοῖς τὴν καθαρτικὴν τῆς.. Ὑπὲρ τοῦ ῥυσθῆναι... Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας ἀχράντου. Τούτων δὲ ὑπὸ τοῦ διακόνου λεγομένων, ὁ ἱερεὺς καθ' ἑαυτὸν εὔχεται· Κύριε Ἰησοῦ Χριστὲ ὁ μονογενὴς Υἱὸς Goar. p. 368. Ζήτει ἀπόστολον καὶ εὐαγγέλιον. Καὶ μετὰ τὸ εἰπεῖν τὸν διάκονα· Τῆς παναγίας.., ὁ ἱερεὺς οὐκ ἐκφωνεῖ, ἀλλ' ἄρχεται μετὰ φωνῆς λέγει· Δοξάζομέν σε, Δέσποτα πανάγιε, παντοκράτορ, προαιώνιε βασιλεῦ, ἐν γὰρ τῇ προλαβούσῃ ἑορτῇ νήπιόν σε εἴδομεν ὄντα, ἐν δὲ ταύτῃ τῇ ἑορτῇ τέλειόν σε ὁρῶμεν ὄντα, τὸν ἐκ τελείου τέλειον καὶ ἐπιφανέντα ἡμῖν. Σήμερον γὰρ ὁ τῆς ἑορτῆς ἐπέστη ἡμῖν καιρός... Goar. p. 309. Μέγας εἶ, Κύριε, καὶ θαυμαστὰ τὰ ἔργα σου... Ibid. p. 370. Ἄλλη εὐχὴ τῶν Φώτων· Ὁ Θεὸς ὁ Θεὸς ἡμῶν, ὁ τὸ πικρὸν ὕδωρ ἐπὶ Μωϋσέως τῷ λαῷ εἰς γλυκύτατα μεταποιήσας... Ркп. № 8 Св.-гроб. библ. л. 22 Εἰρήνη πᾶσι. Ὁ διάκονος· Τὰς κεφαλὰς ἡμῶν. Ὁ λαός· Σοὶ Κύριε. Ὁ ἱερεὺς εὔχεται· Κλῖνον, Κύριε, τὸ οὖς σου. Goar. p. 371. Καὶ φωτίζει ὁ ἱερεὺς τοὺς ζωοποιοὺς σταυρούς, ψάλλων σὺν τῷ λαῷ τροπάριον, ἦχος α'. Ἐν Ἰορδάνῃ βαπτιζομένου... Ἄλλο, ἦχος πλ. δ'. Ἔτρεμεν ἡ χεὶρ τοῦ Βαπτιστοῦ, ὅταν ἐβαπτίζετο ὁ Ἰησοῦς (Υἱὸς) τοῦ Θεοῦ, Ἰωάννης ἔτρεμεν, Ἰορδάνης ἔφευγεν, ἡ θάλασσα ἐβόα, λέγουσα· ὁ μετρίσας με Θεὸς σήμερον βαπτίζεται. Καὶ εἰσέρχονται ἐν τῇ ἐκκλησίᾳ, ψάλλοντες τὰ τροπάρια καὶ ἀπολύει. Μετὰ τὸ ἐκφωνεῖν τὸν ἱερέα λέγει· Σοφία, καὶ εὐθὺς αἱ προφητεῖαι, εἶθ' οὕτως λέγει ὁ ἱερεύς· Εἰρήνη πᾶσιν, Σοφία, προκείμενον· Ἴδοσάν σε ὕδατα, στίχος· Ἡ θάλασσα ἴδε καὶ ἔφυγεν. Ὁ ἀπόστολος πρὸς Κορινθίους... Εὐαγγέλιον ἐκ τοῦ κατὰ Μάρκον Goar. p. 367. Καὶ λέγει τὰς εὐχὰς μέχρι τέλους καὶ ἀπολύει.

л. 77 об. Κανὼν ἐκκλησιαστικός, ἠκριβωμένος εἰς μνῆστρα. Ἵστα(ν)ται ὁ ἱερεὺς ἐν τῷ ἱερατείῳ, οἱ δὲ ἁρμαζόμενοι πρὸ τῶν θυρῶν

τοῦ θυσιαστηρίου. Λαμβάνων ὁ ἱερεὺς δακτυλίδιον ἐκ τοῦ νεωτέρου, τίθησιν αὐτὸ ἐν τῇ ἁγίᾳ τραπέζῃ, καὶ ὁ διάκονος ἐγγὺς τοῦ πρεσβυτέρου ποιεῖ εὐχὴν οὕτως· Ἐν εἰρήνῃ καὶ τὰ ἑξῆς. Ὑπὲρ τῶν νῦν μνηστευομένων ἀλλήλοις καὶ τῆς σωτηρίας αὐτοῦ τοῦ Κυρίου... Ὑπὲρ τῶν δούλων τοῦ Θεοῦ τοῦ δε καὶ τῆς δε καὶ τῆς ἐν Χριστῷ ἀγάπης καὶ σωτηρίας τοῦ Κυρίου δεηθῶμεν. Ὑπὲρ τοῦ παρασχεθῆναι αὐτοῖς τε καὶ ἡμῖν πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα τοῦ Κυρίου δεηθῶμεν. Ὑπὲρ τοῦ ῥυσθῆναι... Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας. Καὶ μετὰ τὸ πληρῶσαι τὴν διακόνου (εὐχὴν), λέγει ὁ ἱερεὺς· Ὁ Θεὸς ὁ αἰώνιος ὁ τὰ διῃρημένα... Goar. p. 311. Εἰρήνη πᾶσιν. Τὰς κεφαλάς. Ὁ ἱερεὺς εὔχεται· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὴν ἐξ ἐθνῶν μνηστευσάμενος ἑαυτῷ ἐκκλησίαν p. 311. Εἶθ' οὕτως λαμβάνει ὁ ἱερεὺς τὸ δακτυλίδιον ἐκ τῆς ἁγίας τραπέζης καὶ ἐπιδίδει τῷ νεωτέρῳ, καὶ ὁ νεώτερος ἐπιδίδει τῷ κορασίῳ καὶ φιλεῖ τὴν κεφαλὴν αὐτῆς, κἀκείνη φιλεῖ τὴν δεξιὰν χεῖρα τοῦ νεωτέρου. Καὶ λέγει ὁ διάκονος· Πρόσχωμεν, καὶ ὁ ἱερεὺς ὑψοῖ τὸ ἅγιον ποτήριον, λέγει· Τὰ προηγιασμένα ἅγια τοῖς ἁγίοις. Καὶ μετὰ τὸ λαβεῖν αὐτούς, λέγει ὁ διάκονος· Ὀρθοὶ οἱ μεταλαβόντες τῶν θείων καὶ ἀχράντων... Καὶ μετὰ τὴν ἐκφώνησιν τοῦ πρεσβυτέρου καὶ τὰ σφραγίζει αὐτοὺς καὶ ἀπολύει.

л. 78 об. Κανὼν ἐκκλησιαστικὸς εἰς γάμον.

Ἵστανται ὁ πρεσβύτερος καὶ ὁ διάκονος ἔσωθεν τοῦ ἱερατείου καὶ τίθενται τὰ στέφανα ἐν τῇ ἁγίᾳ τραπέζῃ καὶ τὸ ἅγιον ποτήριον τῆς θείας κοινωνίας, καὶ οἱ μέλλοντες εὐλογεῖσθαι πρὸ τῶν θυρῶν τοῦ ἱερατείου, καὶ λέγει ὁ διάκονος· Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν καὶ τὰ λοιπά. Ὑπὲρ τῶν νυνὶ συναπτομένων, πρὸς γάμου κοινωνίαν καὶ συμβιώσεως τοῦ Κυρίου δεηθῶμεν. Ὑπὲρ τοῦ εὐλογηθῆναι τὸν γάμον τοῦτον, ὡς τὸν ἐν Κανᾷ τῆς Γαλιλαίας τοῦ Κυρίου... Ὑπὲρ τῶν δούλων τοῦ Θεοῦ τοῦ δε καὶ τῆς δε καὶ τῆς ἐν Χριστῷ συζεύξεως αὐτῶν τοῦ Κυρίου... Ὑπὲρ τοῦ εὐλογηθῆναι... Ὑπὲρ τῶν δούλων... (эти два прошенія повторяются въ рукописи). Ὅπως Κύριος ὁ Θεὸς χαρίσεται αὐτοῖς τίμιον γάμον... Ὑπὲρ τοῦ παρασχεθῆναι αὐτοῖς σωφροσύνην καὶ καρπὸν τέκνων συμφέρον τοῦ Κυρίου... Ὑπὲρ τοῦ δωρηθῆναι αὐτοῖς τε καὶ ἡμῖν... Ὑπὲρ τοῦ ῥυσθῆναι... Καὶ ὑπὲρ πάντων τῶν χριζόντων... Ἀντιλαβοῦ, σῶσον.. Τῆς παναγίας ἀχράντου... Ὁ ἱερεὺς εὔχεται· Ὁ Θεὸς ὁ ἅγιος, ὁ πλάσας τὸν ἄνθρωπον... Goar. p. 317. Καὶ πάλιν εὔχεται· Ὁ Θεὸς τοῦ οὐρανοῦ, ὁ Θεὸς τῶν φώτων τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ τὸν οὐρανὸν κρεμάσας καὶ τὰ ὕψη στερεώσας καὶ τὴν χλοηφόρον γῆν ἀν-

θεσι κατακοσμήσας καὶ τὰς ὀμβροτόκους πηγὰς ποιησάμενος, καὶ τοὺς βλαστοφόρους ποταμοὺς διωδεύσας, καὶ τῷ ὑψηλῷ σου βραχίονι πλάσας τὸν ἄνθρωπον καὶ εἶπας Δέσποτα· οὐ καλὸν εἶναι τὸν ἄνθρωπον μόνον ἐπὶ τῆς γῆς, ποιήσωμεν αὐτῷ βοηθὸν κατ' αὐτὸν διὰ τὸ ἀρέσαι τῇ σῇ μεγαλειότητι καὶ μεγαλοπρεπείᾳ καθ' ὅτι οὐκ ἔλειπε χρείας διάπλασις, ἀλλ' ἐκ τῆς σαρκὸς σάρξ καὶ ἐκ τῶν ὀστῶν ὀστᾶ, ἵνα αὐτῆς τῆς συγγενείας πόθῳ συμπλέκονται· ἐν τούτῳ γὰρ καταλείπει ἄνθρωπος τὸν πατέρα καὶ τὴν μητέρα αὐτοῦ καὶ προσκολληθήσεται τῇ ἰδίᾳ γυναικί, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν. Ὅτε παρεγένετο Κύριος ὁ Θεὸς ἡμῶν ἐν Κανᾷ τῆς Γαλιλαίας, τότε Μιχαὴλ τὰ νυμφικὰ ηὐτρέπιζεν, ὁ δὲ Γαβριὴλ ταῖς συζυγίαις στέφανα ἔπλεκεν, οἱ ἄγγελοι ἔχαιρον, στρατιαὶ τῶν ἀγγέλων πρὸς εὐφημίαν συνέτρεχον, ὁ ἥλιος καὶ ἡ σελήνη ἀκτινοφόροι παρίστανται, χοροὶ τῶν ἀγγέλων λαμπαδηφόροι παρίστανται, ὁ ἀὴρ ἐστιλβοῦτο ἐπὶ τῇ εὐτρεπίσει τοῦ γάμου, ὅταν τα πετεινὰ χαρμονεῖ, τὰ ζῶα εἰς συνάντησιν τοῦ γάμου συνέτρεχον, τὰ δένδρα λυγιζόμενα τοῖς κλάδοις κατεσείουν, ἡ θάλασσα καὶ πᾶσα κτίσις ἐφαιδρύνετο, τὸ Πνεῦμα τὸ Ἅγιον ἐνυμφαγώγει, ὁ Πατὴρ τῶν ἁπάντων ἐπευλόγει, τότε τῶν ἀχωρήτων χοροὶ ἐπισυνάγονται, τότε ὁ ἕτερος τῇ ἑτέρᾳ ἔλεγε· διὰ σοῦ ὁ οὐρανὸς καὶ διὰ σοῦ σωτηρία δι' ἀχράντου σου χειρός, τότε ὁ Πλάστης τὸν ἄνθρωπον ηὐλόγει· εὐλογηθεὶς καὶ σύ, νυμφίε, ὡς ὁ Ἀβραάμ, δοξασθεὶς ὡς ὁ Ἰακώβ, δῴη σοι Κύριος τὴν σύνεσιν τοῦ Ἰωσὴφ καὶ ἀγαπήσεις γυναῖκα, ἣν ἔδωκέ σοι Κύριος ὁ Θεός· αὕτη γὰρ ἔσται σοι γυνή, ὡς ἡ ἄμπελος ἀνθοῦσα καὶ ὡς ἡ ἐλαία καλῶς εὐθηνοῦσα, καὶ ὡς τρυγὼν ἡ μονόζυγος, καὶ ἡ περιστερὰ ἄμεμπτος, εὐλογηθεὶς καὶ σύ, νύμφη, ὡς ἡ Σάῤῥα, δοξασθεὶς ὡς ἡ Ῥεβέκκα, πληθυνθεὶς ὡς ἡ Ῥαχήλ, δῴη σοι, Κύριε, σύνεσιν τῆς Ἀσυνὲθ καὶ ἀγαπήσεις ἄνδρα, ὃν ἔδωκέ σοι Κύριος ὁ Θεός· αὐτὸς γάρ σου ἐστὶν ἀνήρ, ὡς πόλις ὀχυρὰ καὶ τεῖχος ὀχυρόν. Εὐλόγησον, Κύριε ὁ Θεὸς ἡμῶν, καὶ τοὺς παρανύμφους, ὡς εὐλόγησας τὸν οἶκον Ὀνησιφόρου διὰ Παύλου τοῦ ἀγαπητοῦ σου, ἅμα καὶ τὸν συμπαρόντα λαὸν εὐλόγησον, Κύριε ὁ Θεὸς ἡμῶν. Ἐκφώνως· Σὺ γὰρ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις. Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ἐλέησον. Ὁ ἱερεὺς εὔχεται· Ὁ Θεὸς ὁ ἄχραντος καὶ πάσης κτίσεως δημιουργός, ὁ τὴν πλευρὰν τοῦ πρωτοπλάστου Ἀδὰμ εἰς γυναῖκα μεταμορφώσας καὶ εὐλογήσας εἰπών· Αὐξάνεσθε καὶ πληθύνεσθε καὶ πληρώσατε τὴν γῆν, καὶ ἀμφοτέρους αὐτοὺς εἰς ἓν μέλος ἀναδείξας διὰ τῆς συζυγίας· ὁ τὸν θεράποντά σου Ἀβραὰμ εὐλογήσας, καὶ διανοίξας μήτραν Σάῤῥας, καὶ πατέρα πλήθους ἐθνῶν καὶ ἀναριθμήτου λαοῦ

ποιήσας, ὁ τὸν Ἰσαὰκ τῇ Ῥεβέκκα συζεύξας καὶ τὸν καρπὸν αὐτῶν εὐλογήσας, ὁ τὸν Ἰωσὴφ τῇ Ἀσυνὲθ συζεύξας καὶ καρπὸν αὐτοῖς τὸν Ἐφραὶμ καὶ τὸν Μανασσῆν χαρισάμενος, οἱ ἐκ τῆς ῥίζης Ἰεσσαὶ τὸ κατὰ σάρκα βλαστήσαντες, ὁ τὸν Ζαχαρίαν εὐλογήσας καὶ τὴν Ἐλισάβετ προσδεξάμενος, καὶ τούτοις Ἰωάννην τὸν Πρόδρομον χαρισάμενος, ὁ ἐν τῇ μήτρᾳ τῆς ἀπειρογάμου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας καὶ ἐξ αὐτῆς σαρκωθεὶς καὶ τεχθεὶς εἰς σωτηρίαν ἡμῶν. Εὐλόγησον αὐτούς, Κύριε, καὶ ἀξίωσον αὐτοὺς ἰδεῖν τέκνα τέκνων, ἔμπλησον τοὺς οἴκους αὐτῶν σίτου καὶ οἴνου, καὶ ἐλαίου, καὶ πάσης ἀγαθότητος νῦν καὶ ἀεὶ καὶ εἰς τούς... Ὅτι σὺ εἶ ὁ στέφανος τῶν ἁγίων καὶ σοὶ τὴν δόξαν... Conf. Goar. pag. 315—316 Καὶ σφραγίζει ὁ ἱερεὺς τὰς κεφαλὰς αὐτῶν γ'. καὶ λαμβάνει τὰ στεφάνια καὶ λέγει οὕτως· Ἔθηκας ἐπὶ τὰς κεφαλάς... См. XV в. ркп. Свят.-гроб. библ. № 8 л. 49 и т. д. Καὶ στέφει ἀμφοτέρους καὶ λέγει· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ δόξῃ καὶ τιμῇ στεφανώσας τοὺς ἁγίους σου... Ibidem. Καὶ κρατήσας ὁ ἱερεὺς τὰς δεξιὰς αὐτῶν χεῖρας παραδίδει ἀλλήλοις καὶ λέγει· Εἰρήνη πᾶσιν. Ὁ λαός· Ἐν τῷ πνεύματί σου. Ὁ διάκονος· Τὰς κεφαλάς. Ὁ ἱερεὺς εὔχεται· Κύριε ὁ Θεὸς ἡμῶν, ἔκτεινον τὴν χεῖρά σου καὶ εὐλόγησον τοὺς δούλους σου τούτους... Ibidem. ἐπίθες ἐπὶ τὰς κεφαλὰς αὐτῶν, Κύριε ὁ Θεὸς ἡμῶν, ὡς ἡ ἐλαία κατάκαρπος καὶ ὡς ἡ ἄμπελος εὐθηνοῦσα ἐν ταῖς κλίτεσιν αὐτῆς, οἱ υἱοὶ αὐτῶν, ὡς νεόφυτα ἐλαιῶν κύκλῳ τῆς τραπέζης αὐτῶν. Δὸς αὐτοῖς, Κύριε, ἐκ τῆς δρόσου τοῦ οὐρανοῦ καὶ ἐκ τῆς πιότητος τῆς γῆς, ἔμπλησον τὸν οἶκον αὐτῶν ἀπὸ παντὸς ἀγαθοῦ· σίτου, οἴνου καὶ ἐλαίου καὶ πάσης ἀγαθοσύνης πρεσβείαις τῆς ἁγίας Θεοτόκου καὶ τῶν ἁγίων καὶ ἐνδόξων πανευφήμων ἀποστόλων καὶ πάντων τῶν ἁγίων σου. Ὅτι ἅγιον ὑπάρχεις τὸ ὄνομα τοῦ Πατρός... Διάκονος· Σοφία, πρόσχωμεν. Προκείμενον, ἦχος βαρύς· Δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτόν. Στίχος· Κύριε ὁ Κύριος ἡμῶν, ὡς θαυμαστόν. Ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, βασιλείαν ἀσάλευτον παραλαμβάνοντες, ἔχομεν χάριν, δι' ἧς λατρεύομεν εὐαρέστως τῷ Θεῷ. Τέλος· Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας. Ἀλληλούια, ἦχος πλ. δ'. Τὴν ἐπιθυμίαν τῆς καρδίας αὐτοῦ. Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ἰωάννην· Τῷ καιρῷ ἐκείνῳ γάμος ἐγένετο ἐν Κανᾷ τῆς Γαλιλαίας. Goar. p. 318. Ὁ διάκονος· Σοφία, ὀρθοί. Ἐν εἰρήνῃ... Τὴν ἡμέραν πᾶσαν τελείαν, ἁγίαν καὶ τὰ ἑξῆς. Ὁ ἱερεὺς ἐκφώνως· Καὶ καταξίωσον ἡμᾶς, Δέσποτα... Ὅτι σοῦ ἐστιν ἡ βασιλεία... Εἰρήνη πᾶσιν. Εὐχή· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν σωτηριώδει σου οἰκονομίᾳ καταξιώσας ἐν Κανᾷ τῆς Γαλιλαίας τίμιον ἀναδεῖξαι τὸν γάμον

διὰ τῆς σῆς παρουσίας, καὶ νῦν, Δέσποτα, οὓς εὐδόκησας συναφθῆναι ἀλλήλοις ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ διαφύλαξον, καὶ ἀξίωσον αὐτοὺς ἐν γήραϊ πίονι, ἐργαζομένους τῶν ἐντολῶν σου τὰ προστάγματα. Σὺ γὰρ εἶ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρὶ καὶ τῷ Υἱῷ... Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ... Conf. Goar. p. 318. Ὁ ἱερεύς· Πρόσχες, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐξ ἁγίου κατοικητηρίου Goar. p. 65. Ὁ διάκονος· Πρόσχωμεν. Ὁ ἱερεύς· Τὰ προηγιασμένα ἅγια τοῖς ἁγίοις. Κοινωνικόν· Ποτήριον σωτηρίου. Καὶ μεταδίδει αὐτοὺς τῆς ζωοποιοῦ κοινωνίας καὶ λέγει εὐχὴν τοῦ κοινοῦ ποτηρίου· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ εὐλογήσας τὸ ποτήριον τῶν ἁγίων ἀποστόλων εἰς ὁμόνοιαν καὶ ὁμοπιστίαν, καὶ νῦν, Κύριε, τὸ ποτήριον τοῦτο εὐλογηθῆναι παρά σου, εὐδόκησον τῷ δυνάμει τοῦ ἁγίου σου Πνεύματος καὶ τοὺς ἐξ αὐτοῦ μεταλαμβάνοντας ὁμόνοιαν χάρισαι καὶ ἐλέους ἀξίωσον. Ὅτι ηὐλόγηταί σου τὸ ὄνομα. Καὶ μετὰ τὸ ἐκφωνῆσαι ἀποδίδει πρῶτον τῷ νεωτέρῳ ἐκ τοῦ κοινοῦ ποτηρίου καὶ ἀπογεύεται, εἶθ' οὕτως ἡ νύμφη, καὶ πάλιν δίδει τῷ νεωτέρῳ, καὶ τελειοῖ τὸ ποτήριον. Καὶ μετὰ τοῦτο ἐπιδίδει ἀλλήλοις ὁ ἱερεὺς τὰς δεξιὰς αὐτῶν χεῖρας καὶ ἀπολύει ἐν εἰρήνῃ.

л. 84. Εὐχὴ εἰς τὸ ἐπᾶραι στέφανα ἀπὸ τὰς κεφαλὰς τῶν νεονύμφων.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ θάλαμον εὐπρεπείας διδοὺς καὶ στέφανον εὐφροσύνης, ὡς ἐπάθλῳ παρθενίας τούτους κατακοσμῶν, αὐτὸς εὐλόγησον καὶ τούτους τοὺς δούλους σου κατὰ τὴν εὐλογίαν τῶν πατέρων ἡμῶν Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, χάρισαι αὐτοῖς παιδοποιίαν ἀγαθὴν καὶ γῆρας τίμιον. Ὅτι ηὐλόγηται καὶ δεδόξασται. Cм. ркп. XIII в. № 189 библ. лавр. Аѳанасія.

л. 84 об. Εὐχὴ εἰς τὸ λῦσαι στέφανα.

Ὁ Θεός, ὁ τὰ πάντα ποιήσας τῇ ἰσχύϊ σου, καὶ στερεώσας τὴν οἰκουμένην, καὶ κατακοσμήσας καὶ στεφανώσας πάντα τὰ πεποιημένα ὑπ' αὐτοῦ, αὐτὸς εὐλόγησον καὶ τοὺς δούλους σου τούτους, διαλύσοντας κατ' αὐτὸν ἐγειρομένας τοῦ διαβόλου πανουργίας ἐπιβλαβεῖς ἐπὶ τῇ λύσει στεφάνων αὐτῶν, παράσχου αὐτοῖς τὴν εὐλογίαν σου ἐν τέκνων αὐξήσει καὶ προκοπῇ βίου καὶ ἐκπληρώσει τῶν προσταγμάτων σου γῆρας τίμιον καὶ τέλος βίου εὔχρηστον αὐτοῖς χαριζόμενος. Ὅτι σὸν ἐστὶν τὸ ἐλεεῖν καὶ σώζειν...

л. 85. Εὐχὴ εἰς ἀδελφοποίησιν.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ πάντα πρὸς σωτηρίαν ἡμῖν χαρισάμενος Goar. p. 707. Εὐχὴ ἑτέρα· Δέσποτα Κύριε ὁ ποιήσας τὸν ἄνθρωπον

κατ' εἰκόνα σήν, καὶ ὁμοίωσιν ὁ εὐδοκήσας τοὺς ἁγίους σου ἀποστόλους Φίλιππον καὶ Βαρθολομαῖον ἀδελφοὺς γενέσθαι οὐ δεσμουμένους φύσεως νόμῳ, ἀλλὰ Πνεύματος Ἁγίου καὶ πίστεως τρόπῳ, ὁ εὐδοκήσας τοὺς ἁγίους σου μάρτυρας Σέργιον καὶ Βάκχον ἀδελφοὺς καταξίωσας κληθῆναι. Αὐτὸς εὐλόγησον καὶ τούτους τοὺς δούλους σου ὁ δεῖνα τοὺς δεσμῷ πνευματικῷ ἑαυτοὺς δείσαντας οὐ νόμῳ φύσεως, ἀλλὰ πίστεως καὶ ἀγάπης τρόπῳ, δὸς αὐτοὺς ἀγαπᾶν ἀλλήλους ἀσκανδαλίστως πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτῶν, διαφύλαξον αὐτοὺς ἀπὸ πάσης δαιμονικῆς ἐπειρίας, ἵνα καὶ δι' αὐτῶν δοξάζηται τὸ πανάγιον ὄνομά σου τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ.

л. 85 об. Εὐχὴ εἰς τὸ ἐκκλησιάσαι γυναῖκα.

Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ παραγενόμενος ἐπὶ σωτηρίαν τοῦ γένους τῶν ἀνθρώπων... Goar. p. 267 διὰ τὴν ἄφιξιν τῶν τεσσαράκοντα ἡμερῶν αὐτῆς καταξιουμένη διὰ τῶν τιμίων εὐχῶν τοῦ πρεσβυτερίου τοῦ γενέσθαι αὐτὴν] ἁγίου ναοῦ κατοικητήριον. Ὅτι ἡγίασται καὶ δεδόξασται τὸ ὄνομα τοῦ Πατρός.

л. 86. Εὐχὴ εἰς τὸ ἐπᾶραι παιδίον ἀπὸ ἐκκλησίαν.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ διὰ τοῦ ἠγαπημένου σου παιδὸς Ἰησοῦ... Goar. p. 561.

л. 86 об. Εὐχὴ ἐπὶ τῶν βραδέως κοινωνούντων.

Δέσποτα Κύριε, ὁ πλάσας τὸν ἄνθρωπον καὶ γινώσκων τὰ αὐτῷ ἐκ διαβολικῆς ἐνεργείας καὶ συμπλοκῆς προσγίνονται, τῆς φύσεως προφανῶς χρείαις ἐξυπηρετούμενος, αὐτὸς Δέσποτα, καὶ τὸν δοῦλόν σου τόν δε τὸν βιωτικαῖς συμπλοκαῖς συμποδισθέντα καὶ χρονήσαντα τῆς τοῦ ἁγίου σώματος μεταλήψεως, πρόσδεξαι τὸν δοῦλόν σου δουλοπρεπῶς σοι προσπίπτοντα, ὡς τὸν τελώνην καὶ ὡς τὴν πόρνην δακρύουσαν, καὶ ὡς ἐκεῖνοι ἔτυχον συγχωρήσεως καὶ ἀφέσεως, καὶ τὸν νῦν κλίνοντα ἄνες, ἄφες, συγχώρησον καὶ καταξίωσον ἀκατακρίτως μετασχεῖν τῶν θείων σου μυστηρίων χάριτι καὶ οἰκτιρμοῖς...

л. 87. Εὐχὴ εἰς τὸ ἀποκλεῖσαι ἔγκλειστον.

Κύριος ὁ Θεὸς ἡμῶν, ὁ τῶν ἀγαθῶν χορηγὸς καὶ τῆς ἐναρέτου πολιτείας φυτουργὸς καὶ φύλαξον καὶ τὸν δοῦλόν σου τόν δε ἐν τῷ κελλίῳ τούτῳ, ὃ ἐξελέξατο εἰς κατοικίαν ἑαυτῷ, ἔνδυσον αὐτὸν τὸ φῶς τῆς ἁγιωσύνης σου, καὶ τὴν στολὴν τῆς σωφροσύνης σου, ἵνα μεριμνᾷ τὰ τοῦ Κυρίου πῶς ἀρέσει τῷ ἑαυτοῦ Δεσπότῃ καὶ ἀξιωθῇ τῆς αἰωνίου σου ζωῆς τοῦ εἰσελθεῖν εἰς τὸν οὐράνιον νυμφῶνα ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Εὐχὴ εἰς φρέαρ νέον, μέλλον ὀρύσσεσθαι.

Δέσποτα Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, οὗ τὸ πανάγαθον καὶ πανάγιον Πνεῦμα κατ' ἀρχὰς ἐφέρετο ἐπάνω τοῦ ὕδατος καὶ τὴν φύσιν αὐτοῦ εὐλογήσας, καὶ ἐν αὐτῷ τὴν τῶν ἀνθρώπων φύσιν ἀποκαθάρας τῆς ἐν Ἰορδάνῃ ἐπιφανείας σου, ὁ εὐλογήσας τὴν πηγὴν τοῦ Σιλωάμ, εὐλόγησον καὶ τὸ νεωστὶ ὀρυχθὲν φρέαρ ἐπὶ τῷ ὀνόματί σου, καὶ ποίησον αὐτὸ ἁγιασμοῦ δῶρον, νοσημάτων ἀλεξητήριον, πηγὴν ἀφθαρσίας πᾶσι τοῖς χριομένοις πίστει καὶ μεταλαμβάνουσιν ἐξ αὐτοῦ, φυγάδευσον ἀπ' αὐτοῦ πᾶσαν φαντασίαν δαιμονιώδη, ἐπὶ βλάβῃ ἀνθρώπων καὶ κτηνῶν παντοίων καὶ τετραπόδων προσγινομένην, ἐν τῇ σφραγίδι τοῦ Ἁγίου σου Πνεύματος, ἵνα καὶ ἐν τούτῳ εὐχαριστοῦντες δοξάσωμεν τὸ παντοδύναμον ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος νῦν καὶ ἀεί.

л. 37 об. Εὐχὴ ἀποδημούντων.

Ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, ὁ συνωδεύσας τῷ θεράποντί σου Ἰακὼβ καὶ συγξενιτεύσας τῷ δούλῳ σου Ἰωσήφ, συνόδευσον καὶ τὸν δοῦλόν σου τόνδε, Δέσποτα, καὶ ῥῦσαι αὐτὸν ἀπὸ πειρατηρίων καὶ ληστηρίων καὶ πάσης χειμασίας, ἐν εἰρήνῃ καὶ εὐρωστίᾳ ἀποκατάστησον, δικαιοσύνης πάσης πρόνοιαν ποιούμενον κατὰ τὰς ἐντολάς σου, καὶ πληρωτὴν τῶν βιωτικῶν καὶ ἐπουρανίων σου ἀγαθῶν γενόμενον, πάλιν ἐπανελθεῖν εὐδόκησον. Ὅτι σοῦ ἐστὶν ἡ βασιλεία τοῦ Πατρός.

л. 88. Εὐχὴ ἐπὶ ἐξομολογουμένων.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τῷ Πέτρῳ καὶ τῇ πόρνῃ διὰ δακρύων ἄφεσιν ἁμαρτιῶν δωρησάμενος... Goar. p. 537.

— Εὐχὴ ἐπὶ θεμελίου ἐκκλησίας.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐρασθεὶς καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομηθῆναί σοι ἐκκλησίαν... p. 485.

л. 88 об. Εὐχὴ ἐπὶ θεμελίου οἴκου.

Ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ ποιήσας τοὺς ἀνθρώπους, τοὺς οὐρανοὺς ἐν συνέσει... p. 483.

л. 89. Εὐχὴ ἐπὶ ἀνομβρίας.

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ διὰ τὸν πρὸς σὲ ζῆλον ἐπακούσας Ἠλιοῦ τοῦ προφήτου... Goar p. 613.

л. 89 об. Εὐχὴ ἐπὶ ἀρίστου.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐπουράνιος καὶ ζωοποιὸς ἄρτος καὶ ἀληθινὴ τροφὴ τοῦ παντὸς κόσμου.. Goar. p. 569.

— Εὐχὴ ἐπὶ μετανοούντων.

Ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, ὁ διὰ τοῦ προφήτου σου Νάθαν μετανοήσαντι τῷ Δαβίδ... Goar. p. 536.

л. 90. Εὐχὴ ἐπὶ χειμαζομένων ὑπὸ πνευμάτων ἀκαθάρτων.

Ὁ τὸν τυραννήσαντα διάβολον. Goar. p. 584.

л. 90 об. Τάξις, γινομένη, εἰ συμβῆ μιαρὸν ἢ ἀκάθαρτον προσφάτως ἐμπεσεῖν εἰς ἀγγεῖον οἴνου ἢ ἐλαίου.

Χρὴ τὸ ἐμπεσὸν ἀκάθαρτον πχραχρῆμα ῥίπτεσθαι ἔξω καὶ ἕτερον ἀγγεῖον πλυνέσθω καθαρῶς ἔσωθεν καὶ ἔξωθεν. Ἐπαίρει ἐφημέριος ὁ ἱερεὺς θυμιατὸν καὶ κηροὺς ἅπτοντας καὶ θυμιᾷ τὸ ἀγγεῖον γυρόθεν, εἶθ' οὕτως καινοῖ ὕδωρ τῶν ἁγίων θεοφανίων σταυροειδῶς τρίτον εἰς τὸ πλυθὲν ἀγγεῖον, καὶ εἶθ' οὕτως μεταβλίσκεται τὸ μιανθὲν εἶδος εἰς τὸ πλυθὲν ἀγγεῖον καὶ θυμιάσεως γενομένης ὁ ἱερεὺς εὔχεται· Ὁ Θεὸς ὁ μέγας καὶ θαυμαστός, ὁ ἀνεκδιηγήτῳ ἀγαθωσύνῃ... Goar. p. 479. Καὶ μετὰ τὸ ποιῆσαι τὴν εὐχὴν ἐπικαινοῖ εἰς τὸ μεταβληθὲν εἶδος ἐκ τοῦ ὕδατος τῶν ἁγίων θεοφανίων σταυροειδῶς γ'. καὶ οὕτως ἀπογεύεται ἐξ αὐτοῦ πρῶτον ὁ ἱερεὺς καὶ μετὰ τοῦτο πᾶς ὁ παρὼν ὄχλος. Εἰ δὲ συμβῇ τὸ ἐμπεσὸν ἀκάθαρτον χρονίσαι ἐν τῷ ἀγγείῳ καὶ σαπῆναι, ἐκχέσθω ἔξω τοῦτο καὶ μηδὲν τὸ σύνολον ἀπογεύεσθαι τινά.

л. 91 об. Εὐχὴ ἐπὶ τῶν ἐν βρώμασι σκανδαλισθέντων.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τῷ κορυφαίῳ τῶν ἀποστόλων σου Πέτρῳ Goar. p. 535.

л. 92. Εὐχὴ ἐπὶ μιαροφαγησάντων.

Δέσποτα Κύριε ὁ Θεός, ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ τὰ ταπεινὰ ἐφορῶν Goar. p. 534.

л. 92 об. Εὐχὴ ἐπὶ φρέατος μιασθέντος.

Χρὴ πρῶτον ἀντλῆσαι ἐξ αὐτοῦ κάδους μ'. καὶ τότε ἀπέρχεται ὁ ἱερεὺς μετὰ τοῦ θυμιατοῦ καὶ κηρῶν ἁπτόντων καὶ λέγει τὴν εὐχήν· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ δι' ὀπτασίας καὶ φωνῆς νομοθετήσας τῷ κορυφαίῳ τῶν ἀποστόλων τοῦ μονογενοῦς σου Υἱοῦ Πέτρῳ μηδὲν κοινὸν ἢ ἀκάθαρτον ἡγεῖσθαι τῶν παρὰ σοῦ δημιουργηθέντων εἰς ἀπόλαυσιν τῶν ἀνθρώπων, ὁ καὶ διὰ τοῦ σκεύους τῆς ἐκλογῆς Παύλου πάντα καθαρὰ τοῖς καθαροῖς κηρύξας, προηγουμένως δὲ καὶ διὰ Μωϋσέως τοῦ θεράποντός σου θεσπίσας, ὅτι πᾶν ἀκάθαρτον ἐμπίπτον εἰς πηγὰς ὑδάτων καὶ λάκκους, εἰς συναγωγὰς ὑδάτων καθαρὰ εἶναι τὰ τούτων ῥεῖθρα. Αὐτὸς καὶ νῦν ἔπιδε ἐκ τῶν ἁγίων σου ὑψωμάτων ἐπὶ τὴν δέησιν τῶν δούλων σου καὶ εὐλόγησον τὸ σύστημα τῶν ὑδάτων τούτων, καὶ καθάρισον

αὐτὸ ἐκ τῶν ἐμπιπτόντων εἰς αὐτὸ ἀκαθάρτων, καὶ τὴν κηλῖδα τῶν ψυχῶν ἡμῶν καθάρισον, μεταλαμβάνειν ἐκ τοῦ πώματος αὐτοῦ, ὡς ποιητὴς καὶ δεσπότης καὶ δημιουργὸς τῶν ἁπάντων καὶ σοὶ δόξα καὶ ἀνάπαυσις.

л. 93. Εὐχὴ ἐπὶ σκεύους μιασθέν(τος).

Δέσποτα Κύριε καρδιογνῶστα... ркп. XV в. Свят.-гроб. библ. № 8 л. 50.

л. 93 об. Εὐχὴ ἐπὶ ἀῤῥώστου См. выше стр. 5.

— Εὐχὴ ἐπὶ ἐλαίου ἀῤῥώστου.

Κύριε, ὁ ἐν τῷ ἐλέει καὶ τοῖς οἰκτιρμοῖς σου ἰώμενος τὰ συντρίμματα τῶν ψυχῶν Goar. p. 335.

л. 94. Εὐχὴ ἐπὶ τελευτῶντος.

Ὁ Θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκὸς Goar. p. 424.

л. 94 об. Εὐχὴ ἐπὶ κολύβων ἁγίου.

Ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ τὴν θάλασσαν, καὶ πάντα ἐν αὐτοῖς, ὁ εὐλογήσας τοὺς πέντε ἄρτους καὶ πεντάκις χιλίους χορτάσας· αὐτὸς εὐλόγησον καὶ τοὺς καρποὺς τούτους καὶ τοὺς μεταλαμβάνοντας ἐξ αὐτῶν ἐπὶ ὑγείᾳ καὶ σωτηρίᾳ τῶν ψυχῶν καὶ σωμάτων αὐτῶν, καὶ τοὺς προσενεγκόντας μισθὸν οὐράνιον παράσχου πρεσβείαις τῆς ἀχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας καὶ τοῦ ἁγίου τοῦδε, οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν καὶ πάντων τῶν ἁγίων σου. Ὅτι ηὐλόγηται.

— Εὐχὴ εἰς ἀρχὴν σπόρων.

Ὁ ὢν Δέσποτα Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ Πατὴρ τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ κτίστης καὶ δημιουργὸς ἁπάντων... Goar p. 557. Молитва не окончена, по отсутствію нѣсколькихъ листовъ.

л. 95. Чтенія апостольскія и евангельскія на день мучениковъ, умершихъ, въ недѣлю и на Пасху.

л. 100. Εὐαγγέλια ἑωθινὰ ια'.

л. 100 об. Εὐχαὶ τῶν ἀντιφώνων τῶν ὡρῶν.

Εὐχὴ ἀντιφώνου πρώτου ὥρας πρώτης· Ὁ ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ἡμῶν, ὁ παραγαγὼν ἡμᾶς ἐν εἰρήνῃ τὴν νύκτα καὶ ἀναγαγὼν ἡμᾶς εἰς τὴν ἀρχὴν τῆς ἡμέρας ἀποδοῦναί σοι τὰς εὐχὰς ἡμῶν, παράσχου ἡμῖν νίκην κατὰ τῶν ἀντικειμένων πνευμάτων τῆς πονηρίας. Χάριτι καὶ οἰκτιρμοῖς... Εὐχὴ ἀντιφώνου β'. ὥρας α'. Ἀκουστὸν ποίησον ἡμῖν τὸ πρωῒ τὸ ἔλεός σου, ὁ Θεὸς ἡμῶν, ὅτι πρὸς σὲ προσευξόμεθα, Κύριε, τὸ πρωῒ εἰσακούσει τῆς δεήσεως ἡμῶν, τὸ πρωῒ παρα-

*

στησόμεθα καὶ ἐπόψει ἡμᾶς, ὅτι ἀγαθὸν τὸ ἐξομολογεῖσθαί σοι καὶ ἀναγγέλειν τὸ πρωῒ τὸ ἔλεός σου, πλήρωσον οὖν τὸ στόμα ἡμῶν αἰνέσεως, ὅπως ὑμνήσωμεν τὴν δόξαν σου ὅλην τὴν ἡμέραν τὴν μεγαλοπρέπειάν σου, καὶ ἔμπλησον ἡμᾶς τὸ πρωῒ τὸ ἔλεός σου καὶ τὰ ἔργα τῶν χειρῶν ἡμῶν, κατεύθυνον κατὰ τὸ θέλημά σου καὶ φύλαξον ἡμᾶς εἰς τὸν φόβον σου. Διὰ τῶν οἰκτιρμῶν... Εὐχὴ ἀντιφώνου γ'. ὥρας α'. Ὁ φῶς τὸ ἀληθινὸν τὸ γεννηθὲν ἐκ τοῦ Πατρὸς τῶν φώτων, ἐκ Θεοῦ ἀληθινοῦ, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ φωτίζων πάντα ἄνθρωπον, ἐρχόμενον εἰς τὸν κόσμον, φώτισον τοὺς ὀφθαλμοὺς τῶν διανοιῶν ἡμῶν εἰς τὸ ἀκαταπαύστως κατ' ἀξίαν δοξάζειν σε σὺν τῷ ἀθανάτῳ σου Πατρὶ καὶ τῷ ζωοποιῷ σου Πνεύματι νῦν καὶ ἀεί. Ὅτι σὺ εἶ τὸ φῶς τὸ ἀληθινόν, Χριστὲ ὁ Θεὸς ἡμῶν... Εὐχὴ τῆς ἀπολύσεως ὥρας πρώτης· Τριὰς ἄναρχε καὶ ὁμοούσιε καὶ σύνθρονε καὶ συναΐδιε, δι' οὗ τὰ πάντα συνέστηκε τά τε ἐν τῷ οὐρανῷ καὶ ἐπὶ τῆς γῆς, καὶ τὰ ἐν ταῖς θαλάσσαις καὶ ἐν πάσῃ τῇ κτίσει σου, Σὲ πᾶσα πνοὴ καὶ κτίσις δοξάζει τὸν τῶν ὅλων ὄντα Θεόν, πρόσδεξαι καὶ ἡμῶν τῶν ἁμαρτωλῶν τὴν δέησιν τῇ ἐν τῇ πρώτῃ ὥρᾳ προσφερομένην σοι, καὶ ἀντικατάπεμψον ἡμῖν πλούσια τὰ ἐλέη σου καὶ τοὺς οἰκτιρμούς σου πρεσβείαις καὶ ἱκεσίαις τῆς ἀχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τοῦ ἁγίου πρωτομάρτυρος Στεφάνου καὶ πάντων τῶν ἁγίων σου. Ἐκφώνως· Ὅτι σὺ εἶ ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν καὶ διαμένει σου ἡ βασιλεία τοῦ Πατρός... Ὁ ἱερεύς· Εἰρήνη πᾶσιν. Ὁ διάκονος· Τὰς κεφαλὰς ἡμῶν. Εὔχεται ὁ ἱερεὺς οὕτως· Ὁ εὐήκοος καὶ ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ἡμῶν, κλῖνον τὸ οὖς σου καὶ ἐπάκουσον ἡμῶν τῆς δεήσεως, καὶ εὐλόγησον ἡμᾶς τοὺς κλίνοντας τὰς ἑαυτῶν κεφαλὰς εὐλογίᾳ πνευματικῇ καὶ ἀναφαιρέτῳ. Ἐκφώνως· Ὅτι ηὐλόγηται καὶ δεδόξασται... Ὁ διάκονος· Σοφία. Ὁ ἱερεὺς εὔχεται· Ὁ Θεὸς ὁ Θεὸς ἡμῶν, τὸ ἀπρόσιτον φῶς ὁ καταξιώσας ἡμᾶς ἐλθεῖν πρὸς τὰς ἀρχὰς τῆς ἡμέρας, ἀνάτειλον ἐν ταῖς καρδίαις ἡμῶν τὸν τῆς δικαιοσύνης σου ἥλιον, φωταγωγοῦντα ἡμᾶς τὴν ὁδὸν τῶν ἐντολῶν σου πορευθῆναι νῦν καὶ ἀεί...

Εὐχὴ ἀντιφώνου πρώτου ὥρας γ'. Ὁ Θεός, ὁ καταξιώσας ἡμᾶς ἐν τῇ ὥρᾳ ταύτῃ ἐλθεῖν, ἐν ᾗ τὸ Πνεῦμά σου τὸ ἅγιον ἐξέχεας ἐπὶ τοὺς ἁγίους σου ἀποστόλους ἐν εἴδει γλωσσῶν πυρίνων, διαμερίζων αὐτοὺς τὴν δωρεὰν καὶ τὴν χάριν σου. Αὐτὸς καὶ νῦν, Δέσποτα προσκυνητέ, παράσχου καὶ ἡμῖν τὴν αὐτὴν εὐλογίαν, ἵνα καὶ ἡμεῖς, διὰ ψαλμῶν καὶ ὕμνων καὶ ᾠδῶν πνευματικῶν ἐξιλεούμενοί σε τὸν εὔσπλαγχνον Δεσπότην, τύχωμεν τῶν αἰωνίων σου ἀγαθῶν

Ὅτι ηὐλόγηται καὶ δεδόξασται. Εὐχὴ ἀντιφώνου β΄. ὥρας γ΄. Ὁ Θεὸς ἡμῶν, τῆς τοῦ ἁγίου σου Πνεύματος χάριτος τῇ τρίτῃ ὥρᾳ ἐμπλήσας τοὺς ἁγίους σου ἀποστόλους, ἀπόσμηξον πάντα σπῖλον καὶ ῥυτῖδα ἀπὸ τῶν διανοιῶν ἡμῶν, ὅπως, ἐν καθαρῷ συνειδότι προσερχόμενοι τῷ φοβερῷ ὀνόματί σου, ἀπολαύσωμεν τῶν αἰωνίων σου ἀγαθῶν. Διὰ τῶν οἰκτιρμῶν. Ἀντιφώνου γ΄. ὥρας γ΄. Ὁ Θεός, ὁ τὴν ὑπερκόσμιον κτίσας δύναμιν πρὸς ἀέναόν σου δοξολογίαν καὶ τοὺς ἀνθρώπους θελήσας κατὰ δύναμιν πρὸς τὸ οἰκεῖον συμφέρον προσφέρειν σοι δεήσεις καὶ ἱκεσίας ὑπὲρ τῶν ἰδίων ἁμαρτημάτων καὶ εὐχαριστεῖν σοι τῶν εὐεργεσιῶν χάριν, ὧν ἐποίησας εἰς ἡμᾶς, πρόσδεξαι καὶ τὰς κατὰ τὴν παροῦσαν ὥραν ἀναφερομένας σοι παρ' ἡμῶν προσευχὰς καὶ παράσχου ἡμῖν πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα. Ἐκφώνως· Ὅτι σοῦ ἐστὶν ἡ βασιλεία. Εὐχὴ γ΄. ἤγουν ἀπολύσεως ὥρας γ΄. Ὁ Θεός, ὁ τῇ σῇ εἰκόνι τιμήσας ἡμᾶς καὶ αὐτεξουσίῳ περιβχλὼν θελήματι, λύτρωσαι ἡμᾶς ἀπὸ πάσης θλίψεως, περιεχούσης ἡμᾶς, ἐν πίστει καὶ ἀγάπῃ διατηρῶν ἡμᾶς πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν, προκόπτοντας ἐν ταῖς ἐντολαῖς σου διαπαντός. Ὅτι σὸν τὸ κράτος... Εὐχὴ τῆς κεφαλοκλισίας· Κλῖνον, Κύριε, τὸ οὖς σου καὶ ἐπάκουσον τῆς προσευχῆς ἡμῶν καὶ πάντας τοὺς ὑποκεκλικότας σοι τὰς ἑαυτῶν κεφαλάς, εὐλόγησον, ἁγίασον χάριτι καὶ οἰκτιρμοῖς. Ὁ διάκονος· Σοφία. Ὁ ἱερεὺς εὔχεται· Πανάγιε Κύριε ὁ Θεὸς ἡμῶν, ὁ κατὰ τὴν παροῦσαν ὥραν τὸν Παράκλητόν σου καὶ Ἅγιον Πνεῦμα τοῖς ἁγίοις σου ἐκπέμψας ἀποστόλοις καὶ ἡμᾶς τοὺς ἀναξίους δούλους σου πρεσβείαις τῆς ἁγίας Θεοτόκου καὶ πάντων τῶν ἁγίων σου, τῆς αὐτῆς σου δωρεᾶς καὶ χάριτος μετόχους ἀνάδειξον, ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ διατήρησον τὴν ζωὴν ἡμῶν νῦν καὶ ἀεί.

Εὐχὴ ἀντιφώνου α΄. ὥρας ϛ΄. Ἅγιε Δέσποτα ὁ Θεὸς ἡμῶν, ὁ κατὰ τὴν παροῦσαν ὥραν ἐν τῷ προσκυνητῷ σου σταυρῷ τὰς ἀχράντους σου χεῖρας ἐκτείνας καὶ τὸ τῶν ἡμετέρων ἁμαρτιῶν ἐν αὐτῷ προσηλώσας καὶ ἐξαλείψας χειρόγραφον, ἄφες ἡμῖν καὶ νῦν πᾶν ἁμαρτημάτων ὄφλημα καὶ πάσης τῆς ἐξ ἔργων καὶ ἐνθυμήσεων πονηρῶν κατακρίσεως ἐλευθέρους ἡμᾶς ἀνάδειξον, ἵνα ἐν καθαρᾷ καρδίᾳ τὴν ὀφειλομένην σοι δοξολογίαν ἐν παντὶ καιρῷ προσφέρωμεν. Ὅτι πρέπει σοι... Εὐχὴ ἀντιφώνου β΄. ὥρας ϛ΄. Ὁ Θεὸς ὁ Θεὸς ἡμῶν, ὁ (διὰ) τοῦ κορυφαίου τῶν ἀποστόλων σου Πέτρου ὑποδείξας ἡμῖν προσεύχεσθαι, καὶ κατὰ τῶν καιρῶν τῆς ἕκτης ὥρας ἐπίβλεψον ἐφ' ἡμᾶς τοὺς ἀχρείους καὶ ἀναξίους δούλους σου καὶ ῥῦσαι ἡμᾶς ἀπὸ παντὸς συμπτώματος καὶ δαιμονίου μεσημβρινοῦ, καὶ διατήρησον ἡμᾶς τὸ ὑπόλοιπον τῆς ἡμέρας

ἀπὸ παντὸς κακοῦ, ὁ Θεὸς ἡμῶν. Ὅτι σὸν τὸ κράτος... Εὐχὴ ἀντιφώνου γ'. ὥρας ς'. Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὸν οὐρανὸν ἔχων θρόνον καὶ τὴν γῆν ὑποπόδιον, ὁ περιέχων τὰ σύμπαντα καὶ ὑπ' οὐδενὸς περιεχόμενος, μὴ ἐκκλίνῃς ἐν ὀργῇ ἀπὸ τῶν δούλων σου, ἀλλὰ φύλαξον ἡμᾶς ἀπὸ πάσης ματαιότητος κοσμικῆς ἡμᾶς ἐπὶ τὸ σὸν θέλημα. Ὅτι ἡγίασται. Εὐχὴ τῆς ἀπολύσεως ὥρας ς'. Ὁ Θεὸς ὁ αἰώνιος, ὁ φῶς οἰκῶν ἀπρόσιτον, ὃν εἶδεν οὐδεὶς ἀνθρώπων, οὐδὲ ἰδεῖν δύναται, ὁ ἀνελλιπὴς θησαυρὸς τῶν αἰωνίων ἀγαθῶν. Αὐτὸς Δέσποτα τῶν ἁπάντων, ὑπερασπιστὴς ἡμῶν γενοῦ τῶν ἐλπιζόντων ἐπὶ σὲ καὶ σῆς ἡμᾶς ἔμπλησον θείας καὶ προσκυνουμένης χάριτος. Ὅτι σὸν τὸ κράτος... Εὐχὴ τῆς κεφαλοκλισίας· Ὁ Θεὸς ἡμῶν, ὁ ἐκ τῶν ἁγίων σου ὑψωμάτων ἐπιβλέπων ἐπὶ τὴν κτίσιν σου πάντας τοὺς ὑποκεκλικότας τὸν ἑαυτῶν αὐχένα τῷ ζυγῷ τοῦ Χριστοῦ σου ἐν εἰρήνῃ καὶ πᾶσιν ἀγαθοῖς διαφύλαξον. Ὅτι ηὐλόγηται... Ὁ διάκονος· Σοφία. Ὁ ἱερεὺς εὐχή· Ἰησοῦ Χριστὲ παντοδύναμε, κατὰ τὴν παροῦσαν ὥραν τῷ τιμίῳ σου καὶ ζωοποιῷ σταυρῷ θριαμβεύσας τὰς ἀντικειμένας δυνάμεις, ῥῦσαι ἡμᾶς ἀπὸ συμπτώματος καὶ δαιμονίου μεσημβρινοῦ καὶ καθήλωσον ἐν τῷ φόβῳ σου, ἐκκλίνοντας ἀπὸ παντὸς κακοῦ καὶ ἐνεργοῦντας εἰς τὰς σωτηρίους σου ἐντολὰς νῦν καὶ ἀεὶ...

Εὐχὴ ἀντιφώνου α'. ὥρας θ'. Δέσποτα ὁ Θεὸς τῶν δυνάμεων καὶ πάσης δόξης, ὁ ἐπακούσας τῶν ἁγίων σου ἀποστόλων Πέτρου καὶ Ἰωάννου, πορευομένων ἐπὶ τὴν ὥραν τῆς προσευχῆς τὴν ἐννάτην, καὶ ποιήσας δι' αὐτῶν ἴασιν ἐνώπιον παντὸς τοῦ λαοῦ, ποίησον καὶ μεθ' ἡμῶν σημεῖον εἰς ἀγαθὸν τοῦ καταφρονεῖν τῶν ὅπλων τοῦ ἐχθροῦ καὶ βέλη νηπίων ἡγεῖσθαι τοὺς ἐπαγωμένους ἡμῖν ὑπ' αὐτοῦ πειρασμούς. Ὅτι σοῦ ἐστίν... Εὐχὴ ἀντιφώνου β'. ὥρας θ'. Κύριε ὁ Θεὸς ἡμῶν, ἐν ἁμαρτίαις περιπεσόντα τὸν ἄνθρωπον μὴ παριδών, ἀλλὰ τῆς οὐρανίου καταξιώσας βασιλείας διὰ τῆς σῆς οἰκονομίας καὶ τῶν σῶν ἀχράντων μυστηρίων, ὡς φιλάνθρωπος βασιλεὺς τῇ σῇ ἀρρήτῳ θεότητι ἡμῖν τοῖς ἐπικαλουμένοις σε ὅπλον καταφυγῆς καὶ σωτηρίας γενοῦ εἰς τὸ ἐκκλίνειν πάντα τὰ σκάνδαλα (τὰ) ἐπαγώμενα ἡμῖν διὰ τῶν παγίδων τοῦ ἐχθροῦ, ἐλπίζειν τε ἐπὶ σοὶ τῷ εὐεργέτῃ καὶ λυτρωτῇ καὶ Σωτῆρι ἡμῶν. Ὅτι ἡγίασται... Εὐχὴ ἀντιφώνου γ'. ὥρας θ'. Ὅταν τὴν ὑπόστασιν ἡμῶν λογισώμεθα καὶ ἐνθυμηθῶμεν τὰ παραπτώματα ἡμῶν, καὶ ἐν ἐπιγνώσει τῶν πλημμελημάτων ἡμῶν γενώμεθα, κατὰ νοῦν τε λάβωμεν τὴν φοβερὰν τῆς κρίσεως ἡμέραν, μίαν καὶ μόνην καταφυγὴν ἔχομεν τὴν σήν, φιλάνθρωπε, ῥοπήν, διὸ δεόμεθά σου, καὶ νῦν

καὶ τότε παράσχου ἡμῖν τῆς σῆς εὐσπλαγχνίας τὸ μέγα ἔλεος. Χάριτι καὶ οἰκτιρμοῖς... Εὐχὴ δ'. ἤγουν ἀπολύσεως· Κύριε ὁ Θεός, ὁ κατὰ πᾶσαν ὥραν θελήσας τὸν ἄνθρωπον ἀδιαλείπτως προσεύχεσθαι καὶ μὴ ἐκκακεῖν πρὸς τὸ τὴν ὑπεναντίαν πάροδον μὴ εὑρεῖν τοῦ ἐπιβουλεύειν ταῖς ἡμετέραις ψυχαῖς, φύλαξον ἡμᾶς ἀπὸ τῆς γενεᾶς ταύτης, καὶ ἀξίους ἀνάδειξον συναριθμηθῆναι τοῖς ἐκ δεξιῶν σου ἐν τῇ ἡμέρᾳ τῆς ἀνταποδόσεώς σου τῆς δικαίας. Ὅτι πρέπει σοι. Εὐχὴ τῆς κεφαλοκλισίας· Κλῖνον, Κύριε, τὸ οὖς σου καὶ ἐπάκουσον τῆς προσευχῆς ἡμῶν καὶ πάντας τοὺς ὑποκεκλικότας σοι τὰς ἑαυτῶν κεφαλὰς εὐλόγησον, ἁγίασον καὶ τῆς σῆς φιλανθρωπίας ἀξίωσον. Σοὶ γὰρ εἶ ὁ Θεὸς ἡμῶν καὶ διαμένει σου ἡ βασιλεία. Ὁ διάκονος· Σοφία. Ὁ ἱερεὺς εὔχεται· Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ κατὰ τὴν παροῦσαν ὥραν τῇ ὑποδείξει τοῦ κορυφαίου τῶν ἀποστόλων σου Πέτρου ἐκδιδάξας ἡμᾶς προσεύχεσθαι καὶ ἐξιλεοῦσθαί σοι, ἀπονέκρωσον τὸ τῆς σαρκὸς ἡμῶν φρόνημα, ἵνα τῷ σῷ ζῶντες θελήματι εὐαρεστοῦμέν σοι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας.

## XI—XII ВѢКЪ.

**IV**. Εὐχολόγιον, ркп. Пантелеимоновской библіотеки на Аѳонѣ № 162 или № 1890, въ 8 долю листа, 47 листовъ, писана на пергаменѣ почеркомъ X—XI вѣка. Начала и конца рукописи нѣтъ.

л. 1... (γενεσι)ουργὸν τῶν ἁπάντων καὶ τῶν ὑπερφυῶν θαυμάτων ποιητήν... т. д. Первая молитва „паннихидная", а за нею слѣдуютъ остальныя. См. выше стр. 13—15.

л. 4 об. Εὐχαὶ ἑωθιναί.

Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς ἡμῶν, τῷ ἐξαναστήσαντι ἡμᾶς ἐκ τῶν κοιτῶν ἡμῶν. Goar. p. 39, но неоконченная.

Листовъ 5 и 6 нѣтъ.

л. 7. Молитвы оглашенія изъ чина крещенія, который сходенъ съ чиномъ въ Илитаріѣ № 956 Синайск. библ. См. выше стр. 16—17.

л. 23. (Вставочные листы до 25 и письмо другой руки). Εὐχὴ εἰς τὸ ἀπολοῦσαι νεοφώτιστον.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ λύτρωσιν ἁμαρτιῶν. Goar. p. 308. Μετὰ δὲ τὴν εὐχὴν ἀπολούει αὐτὸν καὶ ῥαντίζει αὐτὸν τὸ ὕδωρ, λέγων· Ἐβαπτίσθης, ἐφωτίσθης, ἐδικαιώθης, ἡγιάσθης, ἀπελούσω εἰς τὸ ὄνομα.

л. 23 об. Εὐχὴ μετὰ τὸ ἀπολοῦσαι νεοφώτιστον.

Ὁ Θεὸς ὁ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ διὰ τῶν χειρῶν τῶν ἁγίων ἀποστόλων καταπέμψας τὸ ἅγιόν σου Πνεῦμα ἐπὶ τοῖς βαπτιζομένοις, αὐτὸς καὶ νῦν, Δέσποτα, κατάπεμψον ἐφ' ἡμᾶς τὸ ἅγιόν σου Πνεῦμα καὶ ἁγίασον ἡμᾶς ὁλοτελῶς καὶ συγκαταρίθμησον μετὰ τῶν εὐαρεστησάντων τῷ ἁγίῳ ὀνόματί σου. Ὅτι σὺ εἶ ὁ φωτισμὸς καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

— Εὐχὴ εἰς τὸ κουρεῦσαι παιδίον.

Σὲ ἱκετεύομεν, Κύριε ὁ Θεός. Goar, p. 307.

Нѣтъ нѣсколькихъ листовъ.

л. 24. Εὐχὴ ἐπὶ θεμελίου οἴκου.

Ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, ὁ καταξιώσας ὑπὸ τὴν στέγην Ζακχαίου εἰσελθεῖν. Goar. pag. 484.

— Εὐχὴ ἐν εἰσόδῳ οἴκου.

Ὁ Θεὸς ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ ἐπιβλέπων τὰ σύμπαντα.

л. 25. Εὐχὴ εἰς σαραντίσαι γυναῖκα.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ παραγενόμενος ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων... Goar. 267.

л. 26. Ἀκολουθία τῶν ἁγίων Θεοφανίων.

Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῆς εἰρήνης... Ὑπὲρ τοῦ ἁγίου οἴκου... Ὑπὲρ τοῦ ἁγιασθῆναι τὰ ὕδατα ταῦτα τῇ δυνάμει... Ὑπὲρ τοῦ καταφοιτῆσαι τοῖς ὕδασι τούτοις τὴν καθαρτικὴν τῆς ὑπερουσίου Τριάδος ἐνέργειαν τοῦ Κυρίου. Ὑπὲρ τοῦ δωρηθῆναι αὐτοῖς τὴν χάριν τῆς ἀπολυτρώσεως τὴν εὐλογίαν τοῦ Ἰορδάνου... Ὑπὲρ τοῦ εἰσακοῦσαι Κύριον τὸν Θεὸν Λόγον τῆς ἡμετέρας δεήσεως καὶ ἀναδεῖξαι τὴν κοινὴν ταύτην καὶ σωτηριώδη πηγὴν ἁγιασμοῦ δῶρον, ἁμαρτημάτων λυτήριον... Ὑπὲρ τοῦ ἐπισκιᾶσαι οὐρανόθεν ἐφ' ἡμᾶς τὴν χάριν τοῦ Ὑψίστου καὶ ἁγιάσαι τὰ ὕδατα ταῦτα εἰς ἀναγέννησιν ἀνθρωπότητος καὶ κόσμου παντὸς τοῦ Κυρίου... Ὑπὲρ τοῦ καταπέμψαι Κύριον τὸν Θεὸν ἐφ' ἡμᾶς τὸ ἅγιον αὐτοῦ Πνεῦμα καὶ ἀποφᾶναι τὰ ῥεῖθρα ταῦτα νοσημάτων ἀλεξητήριον, δαίμοσι καὶ πάσαις ταῖς ἐναντίαις δυνάμεσιν ἀπρόσιτον... Ὑπὲρ τοῦ ἀνακαινίσαι Κύριον τὸν Θεὸν τὸ φῶς τῶν ὀφθαλμῶν τῶν καρδιῶν ἡμῶν καὶ φωτίσαι ἡμᾶς τοῦ Κυρίου... Ὑπὲρ τοῦ ῥυσθῆναι... Καὶ ὑπὲρ πάντων τῶν χριστιανῶν... Ἀντιλαβοῦ... Τῆς παναγίας... Προοίμιον τῆς εὐχῆς τῶν ἁγίων Θεοφανίων· Δοξάζομέν σε, Δέσποτα πανάγιε, παντοκράτωρ... Εὐχὴ ἄλλη τῶν ἁγίων Θεοφανίων· Ὁ Θεὸς ἡμῶν, ὁ τὸ πικρὸν ὕδωρ ἐπὶ Μωϋσέως τῷ λαῷ εἰς γλυκύτατα μεταποιήσας... и молитва на главопреклоненіе. См. выше стр. 27.

л. 31 об. Διακονικὰ εἰς μνῆστρα.

Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῶν νυνὶ μνηστευομένων... Не достаетъ далѣе одного листа. Слѣдующій затѣмъ листъ содержитъ въ себѣ конецъ молитвы: Κύριε ὁ Θεὸς ἡμῶν ὁ ἐξ ἐθνῶν προμνηστευσάμενος... Goar. p. 311. Очевидно, весь чинъ состоитъ изъ ектеньи, двухъ первыхъ молитвъ нынѣшняго чина (Ibid.) и обрученія кольцами.

л. 32. Διακονικὰ εἰς γάμους.

Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῶν νυνὶ συναπτομένων πρὸς γάμου κοινωνίαν καὶ συμβίωσιν τοῦ Κυρίου... Ὑπὲρ τοῦ εὐλογηθῆναι τὸν γάμον τοῦτον, ὡς τὸν ἐν Κανᾷ τῆς Γαλιλαίας τοῦ Κυρίου... Ὑπὲρ τῶν νεονύμφων τοῦδε καὶ τῆσδε καὶ τῆς ἐν Χριστῷ συζεύξεως αὐτῶν τοῦ Κυρίου.—Ὅπως Κύριος ὁ Θεὸς ἡμῶν χαρίσηται αὐτοῖς τίμιον τὸν γάμον καὶ τὴν κοίτην ἀμίαντον τοῦ... Ὑπὲρ τοῦ παρασχεθῆναι αὐτοῖς σωφροσύνην, ὁμοφροσύνην, καρπὸν τέκνων πρὸς τὸ συμφέρον τοῦ Κυρίου..· Ὑπὲρ τοῦ εὐφρανθῆναι αὐτοὺς ἐν ὁράσει υἱῶν αὐτῶν καὶ θυγατέρων τοῦ Κυρίου... Ὑπὲρ τοῦ δωρηθῆναι αὐτοῖς τε καὶ ἡμῖν πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα τοῦ Κυρίου... Ὑπὲρ τοῦ ῥυσθῆναι... Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας... Εἰς τὸ στεφανῶσαι γάμους· Ὁ Θεὸς ὁ ἅγιος, ὁ πλάσας τὸν ἄνθρωπον καὶ ἐκ τῆς πλευρᾶς αὐτοῦ ἀνοικοδομήσας γυναῖκα... Goar. p. 317. Εἶτα στέφει ἀμφοτέρους καὶ λέγει· Χριστὸς στεφανοῖ. Καὶ κρατήσας αὐτῶν τὰς δεξιὰς χεῖρας, παραδίδωσιν ἀλλήλοις καὶ λέγει· Χριστὸς παραγίνεται. Εἶτα λέγει ὁ ἱερεύς· Εἰρήνη πᾶσιν. Ὁ διάκονος· Τὰς κεφαλάς. Ἐπεύχεται ὁ ἱερεύς· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν τῇ σωτηριώδει σου κοινωνίᾳ... Goar. p. 318. Εὐχή, ὅτε θέλῃ θήσειν τὸν στέφανον, ἐπαίρει αὐτὸν καὶ ἄρχεται λέγειν· Ὁ Θεός, ὁ δόξῃ καὶ τιμῇ στεφανώσας τοὺς ἁγίους μάρτυρας, αὐτὸς δώρησαι τοὺς δούλους σου τόνδε καὶ τήνδε στέφανον εἰρήνης, στέφανον ἀγαλλιάσεως, στέφανον δόξης καὶ τιμῆς εἰς αἴνεσίν σου καὶ δόξαν τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων... Εὐχὴ ἄλλη τοῦ κοινοῦ ποτηρίου. Ὁ Θεὸς ὁ φιλάνθρωπος, ὁ τῇ σῇ οἰκονομίᾳ διοικῶν τὰ σύμπαντα, σὺ οὐρανόθεν ἐξαπόστειλον τὸ Πνεῦμά σου τὸ ἅγιον ἐπὶ τὴν συζυγίαν ταύτην καὶ ἁγίασον αὐτούς, καὶ εὐλόγησον τὸ ποτήριον τοῦτο τῇ τούτων μεταλήψει, καὶ ἀντιλαβοῦ αὐτοὺς ἐν ταῖς ἁγίαις τρίβοις σου, χάρισαι αὐτοῖς, ὁ τῶν δυνάμεων Κύριος, βίον εὐσχήμονα, πολιτείαν σεμνὴν καὶ δώρησαι αὐτοῖς ἐν καιρῷ εὐθέτῳ τεκνογονίαν ἀγαθὴν καὶ ζωὴν αἰώνιον, κληρονομῆσαι ἐν τῷ Χριστῷ σου τῇ πρεσβείᾳ

τῆς ἀειμνημονεύτου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ πάντων τῶν ἁγίων σου νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Сн. стр. 4—5.

л. 35. Εὐχὴ τῆς Ν'. ἤτοι τῆς γονυκλισίας. Молитвы обычныя.

л. 37. Τάξις, γινομένη, εἰ συμβῇ μιαρὸν ἢ ἀκάθαρτόν τι προσφάτως πεσεῖν εἰς ἀγγεῖον οἴνου ἢ ἐλαίου, ἢ ἑτέρου τινός.

**V.** № 959 Рукопись Синайск. библ. на пергаменѣ въ 16 долю листа, 152 листа, написана наклоннымъ скорописнымъ по мѣстамъ мелкимъ, а по мѣстамъ крупнымъ почеркомъ XI вѣка. Рукопись не имѣетъ ни начала ни конца. Орѳографія весьма дурная.

л. 1 Изъ литургіи Василія великаго εὐχὴ ἀντιφώνου γ'. Ὁ τὰς κοινὰς ταύτας καὶ συμφώνους ἡμῖν χαρισάμενος... Красносельцевъ „Опис. ват. ркп." стр. 239. Текстъ молитвъ и порядокъ ихъ тотъ же, что въ рукописи Рум. Муз. № 374 (Ibid.) Есть нѣсколько особенностей лишь въ надписаніи молитвъ. Молитва надъ оглашенными не носитъ имени Василія великаго. Первая молитва вѣрныхъ надписывается: „Εὐχὴ πιστῶν α'. μετὰ τὸ ἁπλωθῆναι τὸ εἰλητόν", молитва: Οὐδεὶς ἄξιος—„Εὐχή, ἣν ποιεῖ καθ' αὐτὸν ὁ ἱερεύς, λεγομένου τοῦ χερουβικοῦ". Молитва: Ὁ ὢν Δέσποτα Κύριε Θεὲ Πάτερ παντοκράτορ—неполная, по отсутствію листа. Замѣчанія о времени чтенія молитвы: Πρόσχες Κύριε—нѣтъ. Молитва: Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς ἡμῶν надписывается такъ: „Εὐχὴ μετὰ τὴν μετάληψιν", а молитва: Ἤνυσται καὶ τετέλεσται—„Εὐχὴ μετὰ τὴν ἀπόλυσιν ἐν τῷ διακονικῷ".

л. 19. Εὐχὴ ὀπισθάμβωνος ἀναστάσιμος.

Δέσποτα Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ διὰ σαρκὸς ἐπιλάμψας τῷ κόσμῳ καὶ τὸ μέγα καὶ ἀποκεκρυμμένον τῆς εὐσεβείας μυστήριον ἡμῖν ἀποκαλύψας, διὰ σταυροῦ τὴν ἁμαρτίαν κατασκευάσας καὶ τὸ φῶς τῆς ἀληθείας ἀναλάμψας, ὁ τῷ θανάτῳ σου νεκρώσας τὸν θάνατον, τῇ δωρεᾷ τοῦ παναγίου Πνεύματος θεουργήσας ἡμῶν τὴν φύσιν, καὶ καταξιώσας ἡμᾶς τοὺς ἁμαρτωλοὺς ἐν μετουσίᾳ γενέσθαι τῶν ἀχράντων σου μυστηρίων, εὐλόγησον τὸν λαόν σου καὶ διατήρησον τὴν κληρονομίαν σου, φώτισον ἡμῶν τοὺς ὀφθαλμοὺς τῆς διανοίας τῷ φωτὶ τοῦ προσώπου σου, δὸς ἡμῖν χάριν καὶ ἔλεος εὑρεῖν ἐνώπιόν σου, παρορῶν τὰς ἁμαρτίας ἡμῶν τῷ πλήθει τῶν οἰκτιρμῶν σου, διατήρησον ἡμᾶς ἐν τῷ ἁγιασμῷ τῶν μυστηρίων σου, στήριξον ἡμᾶς ἐν τῇ σῇ πίστει [καὶ] ὁμολογίᾳ, φύλαξον ἐν ταῖς

καρδίαις ἡμῶν τὸν θησαυρὸν τοῦ παναγίου σου Πνεύματος καὶ τῆς μερίδος τῶν σωζομένων ἡμᾶς ἀνάδειξον. Ὅτι σὸν τὸ κράτος...

л. 20. Εὐχὴ ἄλλη ἀναστάσιμος.

Ἄφατος ἡ πρὸς ἡμᾶς ἀγάπη σου, ἄπειρον τὸ πέλαγος τῆς σῆς ἀγαθότητος, ἐπεὶ ἀπεστράφημέν σε, τὸν φιλάνθρωπον, οὐκ ἤνεγκας τῶν ποθουμένων τὴν στέρησιν, ἀλλ' ἐξαπέστειλας τὸν μονογενῆ σου Υἱὸν πρέσβυν παρακαλοῦντα δι' ἡμᾶς, ὃς τῇ ἐκχύσει τοῦ ἰδίου αἵματος τὰς πρὸς σὲ τὸν Θεὸν καὶ Δεσπότην καταλλαγὰς ἡμῶν ἐποιήσατο, ἑνωθεὶς ἡμῖν καὶ ἑνώσας ἑαυτῷ τε καὶ σοὶ τῇ μετουσίᾳ τοῦ ἀχράντου αὐτοῦ σώματος καὶ τοῦ τιμίου αἵματος, ἀλλ' ἱκετεύομέν σε, Βασιλεῦ τῶν αἰώνων, μὴ παραδῷς αἰωνίῳ πυρὶ σάρκας τὰς ἑνωθείσας σοι, μὴ διαῤῥήξῃς τὴν ἕνωσιν, ἀλλ' εὐδόκησον τελείαν γενέσθαι τὴν σύγκρισιν ἐνταῦθα διὰ βίου καὶ θεωρίας ἱμεῖ (?) δε λυθέντων τῶν ἐσόπτρων ἡμῶν. Ὅτι εὐλογητὸς εἶ σὺν τῷ μονογενεῖ σου Υἱῷ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ...

л. 20 об. Εὐχὴ ὀπισθάμβωνος ἑτέρα ἀναστάσιμος ркп. Син. № 957 л. 39. См. выше стр. 7.

л. 21. Εὐχὴ ὀπισθάμβωνος ἑτέρα ἀναστάσιμος.

Ὁ Θεὸς ὁ αἰώνιος, ὁ κτίστης καὶ δημιουργὸς τῶν ἁπάντων, ὁ ὢν καὶ ἀεὶ ὤν, ὁ ἐλθὼν εἰς τὸν κόσμον τοῦ φωτίσαι αὐτὸν καὶ σαρκωθεὶς καὶ ἐνανθρωπήσας διὰ τὴν ἡμετέραν σωτηρίαν, καὶ παθὼν σαρκί, καὶ ἀναστὰς τῇ τρίτῃ ἡμέρᾳ, καὶ ἀνελθὼν εἰς τοὺς οὐρανούς, καὶ καθεσθεὶς ἐν δεξιᾷ τῆς μεγαλωσύνης τῆς δόξης τοῦ Πατρός, καὶ πάλιν ἐρχόμενος μετὰ φοβερῶν δυνάμεων κρῖναι ζῶντας καὶ νεκρούς, οὗ τῆς βασιλείας οὐκ ἔσται τελος, ὃν ὑμνοῦσιν ἄγγελοι, ὃν προσκυνοῦσι τὰ χερουβὶμ καὶ δοξολογεῖ τὰ Σεραφίμ, ὃν τρέμει πᾶσα φύσις, Υἱὲ καὶ Λόγε τοῦ Πατρὸς Ἰησοῦ Χριστέ, εὐλόγησον τὸν λαόν σου, οὓς ἐξηγόρασας τῷ τιμίῳ αἵματί σου, καὶ ἁγίασον τὴν κληρονομίαν σου, τὸ πλήρωμα τῆς ἐκκλησίας σου φύλαξον, ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ οἴκου σου, καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς, ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, τοὺς ἐλπίζοντας ἐπὶ σέ, εἰρήνην τῷ κόσμῳ σου δώρησαι, ταῖς ἐκκλησίαις σου, τοῖς ἱερεῦσι, τοῖς πιστοῖς βασιλεῦσιν ἡμῶν καὶ παντὶ τῷ λαῷ σου.

л. 23. Εὐχὴ κατηχουμένων τοῦ Χρυσοστόμου[1]) τῆς ἁγίας ἀναφορᾶς. См. выше стр. 20, ркп. Син. библ. № 958. Чинъ состоитъ изъ молитвъ. Послѣдняя молитва: Ἡ ἀρχὴ καὶ τὸ πλήρωμα τοῦ νόμου надписывается: Εὐχὴ τῆς ἀπολύσεως, γινομένη ἐν τῷ διακονικῷ.

---

[1]) Въ чинѣ литургiи поминается монахъ Iоанникiй заупокой.

л. 31. Διακονικὰ τῶν ἁγίων Θεοφανίων.

Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῆς εἰρήνης... Ὑπὲρ τοῦ ἁγίου οἴκου... Ὑπὲρ τῶν εὐσεβεστάτων... Ὑπὲρ τοῦ ἀρχιεπισκόπου... Ὑπὲρ τοῦ ἁγιασθῆναι τὰ ὕδατα... Ὑπὲρ τοῦ καταφοιτῆσαι αὐτοῖς... Ὑπὲρ τοῦ ἀναπεμφθῆναι αὐτοῖς τὴν χάριν τῆς ἀπολυτρώσεως τὴν εὐλογίαν... Ὑπὲρ τοῦ γενέσθαι ἁμαρτημάτων λυτήριον, νοσημάτων... Ὑπὲρ τοῦ εἰσακοῦσαι τὸν Θεὸν λόγον τῆς ἡμετέρας δεήσεως καὶ ἀναδεῖξαι τὴν κοινὴν ταύτην καὶ σωτηριώδη πηγὴν ἁγιασμοῦ δῶρον, ἁμαρτημάτων λυτήριον τοῦ Κυρίου δεηθῶμεν. Ὑπὲρ τοῦ ἐπισκιάσαι οὐρανόθεν ἐφ' ἡμᾶς τὴν χάριν τοῦ Ὑψίστου καὶ ἁγιάσαι τὰ ὕδατα ταῦτα εἰς ἀναγέννησιν ἀνθρωπότητος καὶ κόσμου παντὸς τοῦ Κυρίου... Ὑπὲρ τοῦ καταπέμψαι Κύριον τὸν Θεὸν ἐφ' ἡμᾶς τὸ ἅγιον αὐτοῦ Πνεῦμα καὶ ἀποφάναι τὰ ῥεῖθρα ταῦτα νοσημάτων ἀλεξητήριον... Ὑπὲρ τοῦ ἀνακαινίσαι Κύριον τὸ Θεὸν... Goar. p. 372. Ὑπὲρ τοῦ καταπέμψαι Κύριον τὸν Θεὸν ἐφ' ἡμᾶς τὸ Ἅγιον αὐτοῦ Πνεῦμα καὶ γλυκάναι τὰ νάματα ταῦτα ὑπὲρ μέλιτος ἐκ πέτρας πηγάσαν εἰς ἀναψυχὴν τοῖς ἐξ αὐτῶν μεταλαμβάνουσι τοῦ Κυρίου δεηθῶμεν. Ὑπὲρ τοῦ εὐσεβεστάτου... Ὑπὲρ τοῦ συμπολεμῆσαι... Ὑπὲρ τοῦ ῥυσθῆναι... Καὶ ὑπὲρ πάντων τῶν χριστιανῶν... Ἀντιλαβοῦ... Τῆς παναγίας ἀχράντου, ὑπερευλογημένης Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τῶν ἁγίων ἐπουρανίων δυνάμεων ἀσωμάτων, ἀρχαγγέλων, τοῦ ἁγίου καὶ ἐνδόξου προφήτου σου Προδρόμου, βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων καὶ πανευφήμων ἀποστόλων μετὰ πάντων τῶν ἁγίων μνημονεύσωμεν...

л. 32. Εὐχή, λεγομένη εἰς τὸ ὕδωρ τῶν ἁγίων Θεοφανίων, ποιοῦντος τοῦ διακόνου τὴν συναπτήν. Молитвы тѣже, что въ Илитаріѣ № 956. См. выше стр. 17.

л. 36. об. Ἀκολουθία τῶν προηγιασμένων.

Μετὰ τὸ ῥηθῆναι τὰ ἀναγνώσματα ἐν τῷ λυχνικῷ καὶ τὸ Κατευθυνθήτω, λέγει ὁ διάκονος· Εἴπωμεν πάντες... Ектенья и молитва за готовящихся къ просвѣщенію произносятся отъ среды крестопоклонной недѣли до св. великой пятницы. Въ концѣ литургіи: Εὐχὴ μετὰ τὴν ἀπόλυσιν, γινομένη ἐν τῷ διακονικῷ· Ἐκ δυνάμεως εἰς δύναμιν μετατιθέμεθα τὰ ἅγια τῶν ἁγίων ἀπὸ σοῦ εἰς σὲ καταφεύγοντες, ἀνυμνοῦμεν τὴν βασιλείαν σου, Κύριε ὁ Θεὸς ἡμῶν, ποίησον τὰ ἐλέη σου μεθ' ἡμῶν τῶν λειτουργῶν καὶ παντὸς τοῦ λαοῦ σου. Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις...

л. 42 об. Εὐχαὶ τῆς γονυκλισίας τῆς ἁγίας Ν'.

Чинъ состоитъ изъ молитвъ. Первыя двѣ см. Goar. p. 597—599, вторыя двѣ послѣ сугубой ектеньи p. 599—600. Послѣ „Сподоби Господи"—Ἡ ἀεννάως βρύουσα ζωτικὴ... и Ὁ Θεὸς ὁ μέγας καὶ αἰώνιος... p. 600—601 до словъ: ἐπὶ πᾶσι σὲ τὸν μόνον ἀληθινὸν καὶ φιλάνθρωπον Θεόν. Ἐκφώνως· Ὅτι ἅγιος εἶ ὁ Θεός... Καὶ ὁ ἱερεὺς εὔχεται καθ' ἑαυτὸν ταῦτα, τοῦ διακόνου μέχρι τῆς συμπληρώσεως τῆς εὐχῆς τὴν συναπτὴν ποιοῦντος, ἐκ β'. καὶ γ'. Εὐχὴ τῆς ἀπολύσεως· Σὸν γὰρ ὡς ἀληθῶς... p. 601. Καὶ ἐπισυνάπτει· Ὁ Θεὸς ὁ μέγας καὶ ὕψιστος... p. 602.

л. 55. Εὐχὴ ἐπὶ κολύβων εἰς μνήμην ἁγίου См. выше стр. 35.

л. 55. об. Εὐχὴ ἑτέρα ἐπὶ κολύβων. Goar. p. 524.

л. 56. Εὐχὴ εἰς νοσοῦντας.

Ὁ Θεός, ὁ μόνος ἔχων ἐξουσίαν ἁμαρτίας ἀφιέναι καὶ ψυχὰς σώζειν, καὶ σώματα ἰᾶσθαι, τὴν σὴν ἱκετεύομεν ἀγαθότητα, δεῖξον καὶ νῦν τὸ ἔλεός σου εἰς τὸν δοῦλόν σου τόνδε, τὸν καταπονούμενον ὑπὸ τῆς νόσου, ἴασαι αὐτὸν τῷ λόγῳ σου τῷ ἀθανάτῳ, μετάστησον αὐτὸν ἀπὸ ἀσθενείας εἰς δύναμιν, ἀπὸ ὀλιγοψυχίας εἰς παράκλησιν· σὺ γὰρ εἶ ὁ Θεὸς ἡμῶν, ὁ παιδεύων καὶ πάλιν ἰώμενος, ὁ τύπτων καὶ μὴ θανατῶν, ὁ πάντα ποιῶν ἐπ' εὐεργεσίᾳ τῆς ἡμετέρας ζωῆς, καὶ σοὶ πρέπει μόνῳ πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις.

л. 56. об. Εὐχὴ ἄλλη ἐπὶ νοσοῦντος ἀσκητοῦ.

Κύριε τῶν δυνάμεων, ἐπίσκεψαι τοὺς ἀδελφοὺς ἡμῶν ἐν ἐλέει καὶ οἰκτιρμοῖς τὴν παρὰ σοῦ ὑγείαν καὶ ὁλοκληρίαν δωρούμενος, ῥυόμενος αὐτοὺς ἀπὸ πάσης νόσου καὶ μαλακίας ψυχικῆς καὶ σωματικῆς, ἀνιστῶν αὐτοὺς ἀπὸ κλίνης... Далѣе слова вытерты.

л. 57. Εὐχὴ ἐπὶ προσφέροντας καρποὺς παντοίας ὀπώρας.

Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεός, καὶ προσφέρομεν ἀπαρχὴν καρπῶν τόδε, οὓς ἔδωκας ἡμῖν εἰς μετάληψιν... Goar. p. 522.

— Εὐχὴ ἐπὶ ἐξομολογουμένων.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τῷ Πέτρῳ καὶ τῇ πόρνῃ διὰ δακρύων ἄφεσιν ἁμαρτιῶν δωρησάμενος... Goar. p. 537.

л. 57. Εὐχὴ ἐπὶ σκεύους μιασθέντος. См. выше стр. 35.

л. 58. Εὐχὴ ἐπὶ μιαροφαγησάντων. pag. 534.

л. 58 об. Εὐχὴ ἐπὶ φρέατος μιασθέντος. См. выше стр. 34. Одна лишь молитва.

л. 59. Εὐχὴ εἰς θῦμα· Ὁ Θεὸς ὁ φιλάνθρωπος καὶ ἀγαθός, ὁ τῷ ἐλέει σου καὶ τῇ φιλανθρωπίᾳ σου συνέχων τὰ πάντα, ὁ τοῖς οἰκτιρμοῖς σου τοῖς πλουσίοις καὶ ἀγαθοῖς καθῆκας ἡμᾶς, ὁ εὐλογήσας ἡμᾶς εὐλογίαν πνευματικὴν καὶ διαφόρους εὐεργεσίας ἡμῖν χαρισάμενος, ὁ τὴν τετράποδόν σου κτίσιν εὐλογήσας· καὶ τὰ μὲν καθαρὰ ἔδωκας ἡμῖν εἰς μετάληψιν καὶ ἀπόλαυσιν τῶν ψυχῶν ἡμῶν, αὐτὸς καὶ νῦν, Δέσποτα, εὐλόγησον τὴν θυσίαν ταύτην, ὡς προσεδέξω Ἄβελ τὰ δῶρα, Νῶε τὰς θυσίας, Ἀβραὰμ τὰς ὁλοκαυτώσεις καὶ πάντων σου τῶν ἁγίων τὰς ἐντεύξεις καὶ ἱκεσίας· σὺ γὰρ εἶ ὁ ἐπαγγελάμενος ἡμῖν διὰ Ἱερεμίου τοῦ προφήτου λέγοντος· εὐφραινέσθω ὁ λαός μου καὶ ἀγαλλιάσθω ἐπὶ τοῖς ἀγαθοῖς μου· σίτου, οἴνου καὶ ἐλαίου καὶ ἀπὸ τῶν καρπῶν τῆς γῆς, βοῶν τε καὶ προβάτων καὶ εὔφρανον τοὺς ἱερεῖς σου σὺν τῷ λαῷ, ὅτι ἐγὼ Κύριος ἐλάλησα, καὶ μνήσθητι, Κύριε, τοὺς δούλους σου τούσδε, ὅτι δι' αὐτῶν εὐχαριστία σοι ἀναπέμπεται, καὶ δὸς Κύριε, τοῖς ἔχουσι μεταλαβεῖν ἐκ τῆς θυσίας ταύτης σοφίαν καὶ χάριν,πίστιν ἀκαταίσχυντον, ἀγάπην ἀνυπόκριτον εἰς ἕνωσιν τοῦ Χριστοῦ σου. Χάριτι καὶ οἰκτιρμοῖς...

л. 60. Εὐχὴ ἐπὶ προσφερόντων θυσίαν.

Εὐλογητὸς εἶ Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν καὶ εὐλογημένον τὸ ὄνομα τῆς δόξης σου τὸ ἅγιον, εὐλογητὸς εἶ Κύριε ὁ Θεός, εὐλογήσας τὴν θυσίαν Ἀβραὰμ ἐν τῇ δρυῒ τῇ Μαμβρῇ καὶ τὸν μόσχον τὸν ἁπαλὸν καὶ τὸν κριόν, τὸν κατεχόμενον ἐν τῷ φυτῷ Σαβὲκ τῶν κεράτων, εὐλογητὸς εἶ, Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν, ὁ προσδεξάμενος Ζαχαρίου τὰ θυμιάματα καὶ Ἠλιοῦ τοῦ πιστοῦ τὰς ὁλοκαυτώσεις, οὕτως πρόσδεξαι καὶ τὴν θυσίαν ταύτην εἰς ὀσμὴν εὐωδίας τοὺς βόας αὐτῶν παχεῖς ποίησον, τὴν σιτοποιΐαν αὐτῶν πλήθυνον, τὰ ποίμνια αὐτῶν πολυτόκα πλήθυνον, τὰ ἐν ταῖς ἐξόδοις αὐτῶν καὶ εἰσόδοις ἀγγελικῇ δυνάμει κατασφάλισον, ἵνα πάντοτε πᾶσαν αὐταρκίαν ἔχοντες περισσεύωνται εἰς πᾶν ἔργον ἀγαθὸν κατὰ τὸ σὸν εὐάρεστον, δοξάζοντες τὸ ὄνομά σου τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ.

л. 60 об. Εὐχὴ ἐπὶ σπόρου.

Εὐλογητὸς εἶ, Κύριε ὁ Θεὸς τῶν πατέρων, ὁ ἐν ἀρχῇ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ κελεύσας αὐτὴν βλαστάνειν πᾶν σπέρμα σπόριμον κατὰ γένος καὶ καθ' ὁμοιότητα, ὁ πλάσας τὸν ἄνθρωπον κατ' εἰκόνα σὴν καὶ ὁμοίωσιν καὶ κελεύσας αὐτὸν ἐργάζεσθαι τὴν γῆν καὶ ἄρχειν πάντων τῶν ὑπὸ σοῦ κτισθέντων, ὁ προσδεξάμενος Ἄβελ τοῦ δικαίου τὰ δῶρα, ἔπιδε καὶ ἐπὶ τὴν κτίσιν σου ταύτην, ἐπ' ἐλπίδι τῆς

σῆς ἀναστάσεως μέλλουσαν σπείρεσθαι, καὶ εὐλόγησον, καὶ αὔξησον, καὶ παράσχου τῇ γῇ τὸν μακαρισμὸν τῆς ἐν Αἰγύπτῳ γῆς, καὶ τελεσφορίαν εὐδόκησον παρασχεῖν τοῖς οἰκέταις σου, ἣν παρέσχου τῷ θεράποντί σου Ἰσαὰκ τῷ πατριάρχῃ τὴν ἑκατοστεύουσαν, τοὺς αὔλακας αὐτῆς μέθυσον ἐν ἐπισκέψει, εὔκρατον ἀέρα δὸς καὶ ἐπωφελεῖ, πλήθυνον τὰ γεννήματα αὐτῆς ἐκφέρειν τοῖς δούλοις σου ἐν τριάκοντα καὶ ἐν ἑξήκοντα καὶ ἐν ἑκατόν, καὶ εὐλόγησον τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου, ἵνα ἐρχόμενοι οἱ δοῦλοί σου ἐν ἀγαλλιάσει αἴρωνται τὰ δράγματα αὐτῶν, σὲ δοξάσωσι τὸν μόνον ἀληθινὸν ἐπὶ πάντων ὄντως ὄντα Θεόν. Σὺ γὰρ εἶ ἡ ζωὴ ἡμῶν ἡ ἄφραστος καὶ ἀνέκλειπτος καὶ σοὶ τὴν δόξαν...

л. 61 об. Εὐχὴ ἐπὶ θέρους. Goar. p. 524.

л. 62. Εὐχὴ εἰς τὸ φυτεῦσαι ἀμπελῶνα.

Σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ ὁ Πατήρ σου ὁ γεωργός ἐστιν. Goar. p. 551.

л. 62 об. Εὐχὴ εἰς μετάληψιν σταφυλῆς.

Εὐλόγησον, Κύριε ὁ Θεὸς ἡμῶν, τὸν καρπὸν τοῦτον τὸν νέον τῆς ἀμπέλου διὰ τῆς τοῦ ἀέρος εὐκρασίας καὶ τῶν σταγόνων τῆς βροχῆς καὶ τῆς τῶν καιρῶν γαληνιάσεως, ὃς ταύτην τὴν ὡριμότητα ἐλθεῖν εὐδόκησας, ἵνα εἴη ἐν ἡμῖν εἰς εὐφροσύνην, καὶ προσενέγκωμέν σοι δῶρον ἐξ ἱλασμῶν ἁμαρτιῶν διὰ τοῦ ἱεροῦ ἁγιάσματος τοῦ Χριστοῦ σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ Παναγίῳ καὶ ἀγαθῷ...

л. 63. Εὐχὴ ἐπὶ τρύγης.

Ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, ὁ εὐδοκήσας ἄμπελον κληθῆναι τὸν μονογενῆ σου Υἱὸν καὶ Θεὸν ἡμῶν τὸν Κύριον Ἰησοῦν Χριστόν. Goar. p. 552.

л. 63 об. Εὐχὴ εἰς ποίμνην.

Δέσποτα Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ ἀληθινὸς ἀμνός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. Goar. p. 589.

л. 64. Εὐχὴ ἐπὶ μετανοούντων.

Ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, ὁ διὰ τοῦ προφήτου σου Νάθαν μετανοήσαντι τῷ Δαβὶδ ἐπὶ τοῖς ἰδίοις πλημμελήμασιν ἄφεσιν δωρησάμενος... p. 536.

л. 64 об. Εὐχὴ εἰς τὸν προπετῶς ὀμνύοντα... p. 534.

— Εὐχὴ ἐπὶ τῶν ἐν βρώμασι σκανδαλισθέντων... p. 535.

л. 65. Εὐχή, γινομένη πρὸς χριστιανοὺς ἀπαχθέντας μὲν ἐθνικῇ πλάνῃ, ἐπιστρέψαντας [δὲ] ἐξ αὐτῆς καὶ τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ προσδραμόντας· Κύριε Κύριε, ὁ τῶν πάντων ποιητὴς καὶ δεσπότης, ἡ πηγὴ τῆς ἀγαθότητος... Goar. p. 690.

л. 66 об. Εὐχὴ ἐπὶ χειμαζομένων ὑπὸ πνευμάτων ἀκαθάρτων.

Ὁ Θεὸς ὁ αἰώνιος, ὁ λυτρωσάμενος ἐκ τῆς αἰχμαλωσίας τοῦ διαβόλου τὸ γένος τῶν ἀνθρώπων... Goar. p. 581.

л. 67. Εὐχὴ εἰς φρέαρ μιασθέν.

Κύριε παντοκράτωρ, ἐπουράνιε, ὁ Θεὸς ὁ μέγας καὶ ἀνεξιχνίαστος καὶ πάσης κτίσεως ὁρατῆς τε καὶ ἀοράτου ποιητής, ὁ τῷ κορυφαίῳ τῶν ἀποστόλων τοῦ Πέτρου διὰ ῥήματος καὶ φωνῆς νομοθετήσας μηδὲν κοινὸν ἢ ἀκάθαρτον ἡγεῖσθαι τῶν ὑπὸ σοῦ δημιουργηθέντων καὶ διὰ τοῦ σκεύους τῆς ἐκλογῆς Παύλου τοῦ ἀποστόλου πάντα καθαρὰ ἡμῶν τῶν τοῖς καθαροῖς κηρύξας, αὐτὸς καὶ νῦν, Δέσποτα, ἔπιδε ἐπὶ τὴν δέησιν ἁμαρτωλῶν καὶ ἀναξίων δούλων σου καὶ καθάρισον διὰ τῆς τοῦ ἁγίου σου Πνεύματος ἐπιφοιτήσεως τὸ ὕδωρ τοῦτο, ἐν ᾧ συνέβη πεσεῖν ἐκ τῶν ἀπηγορευμένων ἐν νόμῳ ἁγίῳ σου ἀκαθάρτων, καὶ ἀξίωσον ἡμᾶς ἐξ αὐτοῦ κεχρῆσθαι, καὶ τὴν κηλῖδα τῆς συνειδήσεως ἡμῶν ἀπόσμηξον, καὶ τοῦ λοιποῦ ῥῦσαι ἡμᾶς ἀπὸ πάσης ἀκαθάρτου βρώσεως ἔτι δὲ καὶ πράξεως, καὶ τὰ σὰ προστάγματα βεβαίωσον ἐφ' ἡμᾶς, χαριζόμενος ἡμῖν καὶ τὴν μετάληψιν τῶν ἁγίων μυστηρίων ἀκατάκριτον πρεσβείαις τῆς ἁγίας τῆς Θεοτόκου καὶ πάντων τῶν ἁγίων σου. Ὅτι ἡγίασται καὶ δεδόξασται.

л. 67. об. Τάξις, γινομένη, εἰ συμβῇ μιαρὸν ἢ ἀκάθαρτόν τι προσφάτως πεσεῖν εἰς ἀγγεῖον οἴνου ἢ ἐλαίου ἢ ἕτερόν τι.

Χρὴ τὸ ἐμπεσὸν ἀκάθαρτον ἐπαίρεσθαι παραχρῆμα καὶ ῥίπτεσθαι ἔξω καὶ ἕτερον ἀγγεῖον καινὸν πλύνεσθαι καθαρῶς ἔσωθεν καὶ ἔξωθεν καὶ λοιπά, ὁ (δὲ) ἱερεὺς λαμβάνει θυμιατὸν καὶ θυμιᾷ ἔξωθεν καὶ ἔσωθεν τὸ πλυθὲν ἀγγεῖον, μετὰ τοῦτο βάλλει κάτω ὕδωρ ὀλίγον τῶν ἁγίων θεοφανίων τρεῖς σταυρούς, καὶ τότε μεταβλίσκεται ὁ οἶνος ἢ τὸ ἔλαιον ἐκ τοῦ μιασθέντος ἀγγείου εἰς τὸ καταπλυθέν, καὶ ἵσταται ὁ ἱερεύς, ποιῶν τὴν εὐχὴν ταύτην· Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ ἐν τῇ κατὰ σάρκα σου σωτηρίῳ οἰκονομίᾳ διαστειλάμενος. Goar. p. 482. Καὶ ἐπιχέει ὁ ἱερεὺς ἐκ τοῦ ὕδατος τῶν ἁγίων θεοφανίων σταυροειδῶς ἐν τῷ τοιούτῳ ἀγγείῳ, ἀπογευέσθω πρῶτος τοῦ ἐν αὐτῷ ἐλαίου ἢ οἴνου.

Εἰ δε συμβῇ ἐμπεσεῖν τὸ αὐτὸ ἀκάθαρτον εἰς φρέαρ ὕδατος, χρὴ πρῶτον ἀντλῆσαι ἐκ τοῦ φρέατος κάδους ιε'. καὶ ἐκχῦσαι, καὶ εἶθ' οὕτως βάλλειν ὕδωρ τῶν ἁγίων θεοφανίων, καὶ μετὰ τοῦτο θυμιᾶν πέριξ τοῦ φρέατος καὶ οὕτως ποιεῖν τὴν εὐχήν. Εἰ δὲ συμβῇ τὸ ἐμπεσὸν ἀκάθαρτον χρονίσαι ἐν τῷ ἀγγείῳ τοῦ οἴνου ἢ τοῦ ἐλαίου καὶ συσσαπῇ, εἶναι αὐτὸ ἄχρηστον καὶ χύνεσθαι τὸν τοιοῦτον οἶνον καὶ μηδένα τὸ σύνολον ἐξ αὐτοῦ ἀπογεύεσθαι.

л. 69. Εὐχὴ ἑτέρα ἐπὶ παντὸς εἴδους μιασθέντος· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ μόνος ἀγαθὸς καὶ φιλάνθρωπος, ὁ μόνος ἅγιος καὶ ἐν ἁγίοις ἀναπαυόμενος. Goar. p. 483.

л. 70. Εὐχὴ ἐπὶ ἀσθενοῦντος.

Δέσποτα Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ἐπικαλεῖ σε δι' ἡμῶν τῶν ἁμαρτωλῶν ὁ ἀσθενῶν ἀδελφὸς ἡμῶν, Κύριε ὁ Θεός, ὁ πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἰώμενος ἐν τῷ λαῷ σου, ἴασον καὶ τὸν δοῦλον τόνδε ἐκ τῆς κατεχούσης αὐτὸν ἀσθενείας, ὁ ἐκ Πατρὸς προαιωνίως γεννηθείς, ὁ Δεσπότης τῶν ἀγγέλων, ὁ τῶν ἁπάντων ποιητής, ὁ τὸν οὐρανὸν στερεώσας καὶ τὴν γῆν θεμελιώσας, καὶ τὴν θάλασσαν ἁπλώσας, ἐλέησον, Κύριε, καὶ ἀνάστησον τὸν δοῦλον τόνδε, ὁ τὸν ἥλιον ἡγεμόνα καὶ στρατηγὸν δεδωκὼς τῇ ἡμέρᾳ, ὁ κεράσας τῆς νυκτὸς τὸν ζόφον τῷ σεληνιαίῳ φωτί... Молитва эта такъ дурно написана, что нѣтъ никакой возможности разобрать ее.

л. 70 об. Εὐχὴ ἐπὶ ἐλαίου ἀῤῥώστου.

Κύριε, ὁ ἐν τῷ ἐλέει καὶ τοῖς οἰκτιρμοῖς σου ἰώμενος. Goar. p. 335.

л. 71. Εὐχὴ ἐπὶ θεμελίου, τιθεμένου ἐν ἐκκλησίᾳ· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐρασθεὶς καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ... Goar. p. 485.

— Εὐχὴ εἰς τὴν λιτὴν τῶν ἐγκαινίων τῆς ἁγιωτάτης τῆς μεγάλης ἐκκλησίας· Λέγεται δὲ πρὸ τῆς εἰσόδου, πρὶν εἰπεῖν τὸ Ἄρατε πύλας, οἱ ἄρχοντες, Ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας... Goar. p. 662. Ἡ δὲ αὐτὴ εὐχὴ λέγεται καὶ εἰς ἐγκαίνια ναοῦ τῆς Θεοτόκου, ὀλίγον ἐναλάσσοντος, ἀντὶ τοῦ εἰπεῖν· ταύτης τῆς ἁγιωτάτης ἐκκλησίας, λέγονται· τοῦ σεβασμίου ναοῦ τῆς ἁγίας ἀχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ὃν στερέωσον μέχρι τῆς συντελείας τοῦ αἰῶνος καὶ τὰ λοιπά.

л. 72 об. Εὐχὴ ἄλλη τῶν ἀνοίξεων.

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, δυσωπουμέν σε τὸν ἵλεων καὶ εὐμενῆ ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν, εἰσάκουσον τῆς δεήσεως τῶν δούλων σου... Goar. p. 494.

л. 73. Εὐχὴ εἰς κόλυμβον διακονίας, ἤγουν λούσματος.

Ὁ Θεὸς ὁ μέγας, ὁ ὕψιστος, ὁ ἐν Τριάδι ἁγίᾳ προσκυνούμενος, ἡ προαιώνιος φύσις, ἡ ὑπερούσιος καὶ ἀτελεύτητος μεγαλειότης σου, ἡ ἀνεξιχνίαστος δύναμις, ἡ ἄῤῥητος ἐξουσία, ἡ τῆς σοφίας πηγή, ἡ τῆς ἀγαθότητος ἄβυσσος, τὸ τῆς εὐσπλαγχνίας ἀπεριόριστον πέλαγος. Σὺ φιλάνθρωπε Δέσποτα, ὁ τῶν προαιωνίων θαυμασίων Θεός, ὃν οὔτε ἔννοια καταλαβέσθαι δύναται, οὔτε λόγος ἑρμηνεῦσαι ἰσχύει, ἐπίβλεψον καὶ τὰ νῦν ἐφ' ἡμᾶς τοὺς ταπεινοὺς καὶ ἀναξίους δούλους σου, καὶ δὸς ἐν τῇ διανοίᾳ ἡμῶν καὶ

ἐν τῷ στόματι ἡμῶν πνεῦμα σοφίας καὶ γνώσεως, λόγον εὐσεβείας καὶ συνέσεως ἄξιον σοῦ εἰς τὰ ὦτα φθάσαι τῆς σῆς ἀγαθότητος καὶ τὸ ἔλεος τῆς σῆς ἐπισπάσασθαι χάριτος· ἐκ σοῦ γὰρ καὶ τῆς σῆς ζωοποιοῦ δωρεᾶς καὶ τὸ θέλειν καὶ ἐνεργεῖν ὑπὲρ τῆς κατὰ τὸ θέλημα τὸ σὸν καὶ τῆς σῆς εὐδοκίας τοῖς ἀνθρώποις ὑπάρχει, καὶ κατάπεμψον ἡμῖν τὴν σὴν εὐλογίαν καὶ τῶν ἰαμάτων τὴν χάριν ἐπὶ τὸ ὕδωρ τοῦτο. Ὁ τὸ λουτρὸν τῆς παλιγγενεσίας τῷ γένει ἡμῶν δωρησάμενος πρὸς ἀπόνιψιν τοῦ τῆς ἁμαρτίας μολυσμοῦ καὶ ἀνάκτησιν τῶν συμβάντων ἡμῖν παντοίων ἀρρωστημάτων, καὶ καταξίωσον ἡμᾶς, ῥεραντισμένους τὰς καρδίας ἀπὸ συνειδήσεως πονηρᾶς καὶ λελουμένους τὸ σῶμα ὕδατι καθαρῷ ἐν παντὶ ἔργῳ, λόγῳ ἀγαθῷ καρποφορεῖν καὶ αὐξάνεσθαι, καὶ τὴν εἰς τοὺς δεομένους γινομένην παντοίαν συμπάθειαν ἀόκνῳ σπουδῇ πρὸς θεραπείαν τῶν πεπονηκότων ἀδελφῶν ἡμῶν διὰ παντὸς ἐπιδείκνυσθαι, καὶ τῆς σῆς εὐσπλαγχνίας διὰ παντὸς καταξιοῦσθαι, τῶν τε ψυχικῶν ἀρρωστημάτων καὶ τῶν σωματικῶν ἀλγηδόνων τὴν ἀπολύτρωσιν κομιζομένους, καὶ κατάπεμψον ἡμῖν τὰ τῆς σῆς φιλανθρώπου δωρεᾶς ἰάματα ἐν τῷ παρόντι ἡμῶν λούσματι οὐ πρὸς ἡδονὴν σαρκός, ἀλλὰ πρὸς ἴασιν ψυχῆς τε καὶ σώματος ἐπὶ τῇ εἰς σὲ τὸν Θεὸν ἡμῶν πίστει ἐπιτελουμένῃ παρ' ἡμῶν πνευματικῇ λατρείᾳ, τῇ μεσιτείᾳ καὶ ἱκεσίᾳ τῆς ἁγίας ἀχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τοῦ ἁγίου προφήτου Προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων πανευφήμων ἀποστόλων καὶ τῶν ἁγίων καὶ θαυματουργῶν Κοσμᾶ καὶ Δαμιανοῦ, Κύρου καὶ Ἰωάννου, καὶ Παντελεήμονος, καὶ πάντων τῶν ἁγίων σου, ὧν ταῖς πρεσβείαις φύλαττε τοὺς δούλους σου τοὺς πιστοὺς ἡμῶν, χάρισαι αὐτοῖς κατὰ πάντα ψυχῇ τε καὶ σώματι καὶ τὴν ἐμπιστευθεῖσαν αὐτοῖς τῶν χριστιανῶν ῥωμαϊκὴν πολιτείαν τὸ ὑγιές τε καὶ ἄνωσον κατὰ πάντα, εὔφημόν τε καὶ σωτήριον. Μνήσθητι, Κύριε, τοῦ πρώτου ἡμῶν τοῦδε καὶ πάσης ἐν Χριστῷ ἀδελφότητος ἡμῶν. Μνήσθητι, Κύριε, τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν τῇ ἁγίᾳ διακονίᾳ ταύτῃ καὶ μεμνημένων τῶν πενήτων. Μνήσθητι, Κύριε, τοῦ περιεστῶτος λαοῦ καὶ τῶν δι' εὐλόγους αἰτίας ἀπολειφθέντων ἀδελφῶν ἡμῶν καὶ ἐλέησον καὶ ἐπίσκεψαι καὶ ἴασαι πάντας κατὰ τὸ μέγα ἔλεος. Ὅτι σὺ εἶ πηγὴ τῶν ἰαμάτων, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν...

л. 75. Εὐχὴ τοῦ ἁγιασμοῦ τῆς λειτουργίας.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ μέγας τῇ βουλῇ καὶ θαυμαστὸς ἐν ἔργοις, ὁ πάσης φαινομένης καὶ νοουμένης κτίσεως δημιουργός, ὁ φυλάσσων τὴν διαθήκην σου καὶ τὸ ἔλεος τοῖς ἀγαπῶσι σὲ καὶ τοῖς τηρῶσι τὰ σὰ προστάγματα, ὁ πάντων τῶν ἐν ἀνάγκῃ ἐλεεινὰ προσδεχόμενος δάκρυα·

τάχα γὰρ διὰ τοῦτο παραγέγονας ἐν δούλου μορφῇ, οὐ φάσμασιν ἡμᾶς ἐκδειματούμενος, ἀλλ' ὑγείαν τῷ σώματι ἀληθῆ ὀρέγων καὶ λέγων· Ἴδε ὑγιὴς γέγονας μηκέτι ἁμάρτανε φήσας, ἀλλὰ καὶ ἐκ πηλοῦ ζῶντος ὀφθαλμοὺς εἰργάσω καὶ τούτῳ νίψασθαι κελεύσας, τὸ φῶς οἰκήσειν παρασκευάσας λόγῳ τὰς τῶν ἐναντίων παθῶν σπιλάδας ταράττων τὴν τοῦ βίου τούτου ἁλμυρὰν θάλασσαν καταστείλας, τὰ ἀφρόφορα τῶν ἡδονῶν κατασβέσας κύματα. Αὐτὸς οὖν, φιλάνθρωπε Δέσποτα, ὁ δοὺς ἡμῖν χιονόφεγγον φορέσαι στολὴν ἐξ ὕδατος καὶ πνεύματος, ἀπόσμηξον ἡμᾶς διὰ τῆς τῶν ὑδάτων τούτων καταδύσεώς τε καὶ ῥαντισμοῦ τῇ σῇ εὐλογίᾳ τοῦ ῥύπου τῶν παθῶν. Ναὶ Δέσποτα, ταπείνωσιν ἡμῶν ἐπισκεπτόμενος πρεσβείαις καὶ ἱκεσίαις τῆς ἁγίας ἀχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τῶν ἁγίων καὶ ἐπουρανίων δυνάμεων, τοῦ ἁγίου Ἰωάννου τοῦ Προδρόμου καὶ βαπτιστοῦ, τῶν ἁγίων πανευφήμων ἀποστόλων, τῶν ἁγίων καὶ δικαίων Ἰωακεὶμ καὶ Ἄννης, τῶν ἁγίων καὶ ἐνδόξων θαυματουργῶν ἰατρῶν καὶ ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ, Κύρου καὶ Ἰωάννου καὶ Παντελεήμονος καὶ πάντων σου τῶν ἁγίων, ὧν ταῖς πρεσβείαις φύλατε, Κύριε, τοὺς δούλους σου, τοὺς πιστοὺς βασιλεῖς ἡμῶν, χάρισαι αὐτοῖς κατὰ πάντα ψυχῇ τε καὶ σώματι καὶ τῶν τῆς δουλικῆς σου ταύτης τῶν χριστιανῶν πολιτείας πράγμασι(;) τὸ ὑγιές τε καὶ ἄνωσον κατὰ πάντα εὔφημόν τε καὶ σωτήριον. Μνήσθητι, Κύριε, τοῦ ἀρχιεπισκόπου ἡμῶν τοῦδε. Μνήσθητι, Κύριε, τοῦ πρώτου ἡμῶν τοῦδε καὶ πάσης τῆς ἐν Χριστῷ ἀδελφότητος ἡμῶν. Μνήσθητι, Κύριε, τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν τῷ ἁγίῳ οἴκῳ τούτῳ καὶ μεμνημένων τῶν πενήτων. Μνήσθητι, Κύριε ὁ Θεὸς ἡμῶν, περιεστῶτος λαοῦ καὶ τῶν δι' εὐλόγους αἰτίας ἀπολειφθέντων ἀδελφῶν ἡμῶν καὶ ἐλέησον, καὶ ἐπίσκεψαι, καὶ ἴασαι πάντας κατὰ τὸ μέγα σου ἔλεος. Ὅτι σὺ εἶ ἡ πηγὴ τῶν ἰαμάτων ὁ Θεὸς ἡμῶν.

л. 76 об. Εὐχὴ εἰς λύσιν ὅρκου.

Δέσποτα Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων καταξιώσας καταπατῆσαι τὴν γῆν, ὁ εἰπών· ὅσα ἂν λύσηται ἐπὶ τῆς γῆς ἔσται λελυμένα ἐν τῷ οὐρανῷ, καὶ ἡμεῖς τῇ σῇ προστάξει ἐλύσαμεν τὸν δοῦλόν σου τόνδε τοῦ ὅρκου τούτου, οὗ ὤμοσε, καὶ δεόμεθα καὶ παρακαλοῦμέν σε, ὅπως συγχωρήσῃς αὐτῷ καὶ μὴ λογισθῇς αὐτῷ εἰς ἁμαρτίαν, ἀλλὰ ἄφεσιν ἁμαρτιῶν αὐτῷ καὶ ἡμῖν χάρισαι· σὺ γὰρ μόνος ἀναμάρτητος καὶ δυνάμενος ἀφιέναι ἁμαρτίας. Ὅτι σοῦ ἐστὶν ἡ βασιλεία.

— Εὐχὴ καθολικὴ ἐπὶ πάντα ἄνθρωπον ἐπὶ θλίψει ὄντα.

Ὁ Θεὸς ἡμῶν, ὁ Θεὸς τοῦ σώζειν, κλῖνον τὸ οὖς σου εἰς τὴν δέησιν τῶν σῶν ἱκετῶν καὶ μετάδος ἡμῖν τῶν ἐκ τῆς σῆς ἀγαθότητος οἰ-

κτιρμῶν, περίελε ἀφ' ἡμῶν πάσας τὰς σαρκικὰς ἐννοίας καὶ χάρισαι ἡμῖν πᾶσαν πολιτείαν πνευματικήν, τοὺς πλανωμένους ἐπίστρεψον, τοὺς ἐν νόσοις ἴασαι, τοὺς ἐν πτωχείᾳ διάθρεψον, τοὺς ἐν πειρασμοῖς λύτρωσαι, τοὺς ἐν θλίψει παρακάλεσον, σὺ εἶ πάντων καταφυγὴ καὶ παρὰ σοῦ πάντες ἐπιζητοῦμεν τὴν ἐπὶ πᾶσι βοήθειαν. Ὅτι σοῦ ἐστὶν ἡ βασιλεία.

л. 77. Εὐχὴ ἐπὶ κρυπτοῦ πράγματος ἤδη εἰς τὸν φανερωθέντα.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ φανερώσας τῷ Ἰωσὴφ τὰ ἐνύπνια Φαραῶ καὶ δημοσιεύσας τὰ δι' Ἀχὰρ κλαπέντα ἐκ τοῦ ἀναθήματος, ὁ διὰ τοῦ ξύλου τοῦ ῥιφθέντος ἀπὸ Ἐλισσαίου ἐν τῷ ὕδατι τῷ σιδήρῳ ἀναγαγών, ὁ ἀποκαλύψας Δανιὴλ τὸ ἐνύπνιον Ναβουχοδονόσορ καὶ τὴν σύγκρισιν αὐτοῦ, ὁ τῷ αὐτῷ Δανιὴλ γνωρίσας τὴν ἐν τῷ τεύχει γραφὴν τὴν ἐπὶ τοῦ Βαλτάσαρ, ὁ δημοσιεύσας τὴν βουλὴν Ἀνανίου καὶ Σαπφείρης τῆς τούτου γαμετῆς ἐπὶ τῇ κλοπῇ τοῦ τιμήματος τοῦ πραθέντος παρ' αὐτοῖς χωρίου διὰ Πέτρου τοῦ κορυφαίου τῶν ἀποστόλων. Αὐτὸς φανέρωσον καὶ τὸ νῦν ἐπιζητούμενον πρᾶγμα τοῦ δούλου σου τοῦδε εἰς δόξαν τοῦ ἁγίου σου ὀνόματος καὶ τοῦ κατασχυνθῆναι τοὺς πράσσοντας παρὰ τοὺς δούλους σου εἰ καὶ ἀθωοθῆναι τοὺς μάτην συκοφαντουμένους καὶ ὑπονοουμένους κατ' αὐτοῦ. Σοὶ γὰρ πρέπει πᾶσα δόξα τιμή.

л. 77 об. Εὐχὴ πρὸ τοῦ εὐαγγελίου τοῦ ὄρθρου.

Ἔλλαμψον ἐν ταῖς καρδίαις ἡμῶν, Κύριε, τὸ τῆς σῆς θεογνωσίας φῶς ἀκήρατον Goar. p. 41.

л. 78. Εὐχὴ μετὰ τὸ εὐαγγέλιον.

Ὁ τὸ φῶς σου τὸ ἀληθινὸν ἀνατείλας κατὰ πᾶσαν τὴν οἰκουμένην, τὸν Κύριον ἡμῶν καὶ Θεὸν καὶ Σωτῆρα Ἰησοῦν τὸν Χριστὸν τὸν τῆς δικαιοσύνης ἥλιον, καὶ φωταγωγήσας ἡμᾶς δι' αὐτοῦ πρὸς τὴν σὴν ἀπλανῆ ἐπίγνωσίν τε καὶ πίστιν. Αὐτὸς καὶ νῦν, Δέσποτα, φώτισον τοὺς ὀφθαλμοὺς τῆς διανοίας ἡμῶν καὶ διάνοιξον τὰ ὦτα τῶν καρδιῶν ἡμῶν εἰς τὸ ἐναργῶς ὁρᾶν τε καὶ ἀκούειν καὶ ὑποδέχεσθαι τὸν θεῖον καὶ ἐπουράνιον αὐτοῦ σπόρον τὸν εὐαγγελικὸν λόγον, τὸν κατὰ πᾶσαν τὴν οἰκουμένην ὑπ' αὐτοῦ σπαρέντα, ὅπως, διὰ τῆς τούτου ἐπεισαγωγῆς εἰς ἡμᾶς, καρποφορήσωμέν σοι τῷ ἐπουρανίῳ γεωργῷ ἐν τριάκοντα καὶ ἐν ἑξήκοντα καὶ ἐν ἑκατὸν καὶ τύχωμεν τῶν αἰωνίων μονῶν, ὧν ἡτοίμασας τοῖς ἀγαπῶσί σε Κύριε. Ὅτι σὺ εἶ ὁ φωτισμὸς καὶ ἁγιασμὸς καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν καὶ σοὶ τὴν δόξαν...

л. 78 об. Εὐχὴ τοῦ θυμιάματος τῆς λειτουργίας· Θυμίαμα προσφέρομεν ἐνώπιόν σου. Goar. p. 50.

— Εὐχή, ὅτε ἀμφιέννυται ὁ ἱερεὺς τὴν στολὴν αὐτοῦ καὶ παρασκευάζεται λειτουργῆσαι.

Δέσποτα Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν, ἐξαπόστειλόν μοι δύναμιν ἐξ ὕψους. Goar. p. 48.

л. 79. Εὐχὴ (εἰς) τὸ κατασφραγίσαι παιδίον, λαμβάνον ὄνομα τῇ η'. ἡμέρᾳ.

Κύριε ὁ Θεὸς ἡμῶν, σοῦ δεόμεθα καὶ σὲ ἱκετεύομεν. Goar. p. 264.

л. 79 об. Εὐχὴ εἰς τὸ ἐκκλησιάσαι παιδίον εἰς τὰς μ'. ἡμέρας.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν τεσσαράκοντα ἡμέραις τοῦ νόμου εἰς τὸ ἱερὸν ἐλθὼν ὑπὸ Μαρίας, τῆς μητρός σου, καὶ ἐν ταῖς ἀγκάλαις τοῦ Δικαίου Συμεὼν εἰσελθών, αὔξησον[1]) καὶ τὸν δοῦλόν σου τόνδε τῇ δυνάμει σου, ἵνα καὶ τυχὼν τοῦ λουτροῦ τῆς ἀφθαρσίας γενήσεται[2]) τέκνον φωτὸς καὶ ἡμέρας, καὶ τυχὼν[3]) τῆς μερίδος καὶ τοῦ κλήρου τῶν ἐκλεκτῶν σου, κοινωνὸς γενήσεται καὶ τοῦ τιμίου σώματος καὶ αἵματος τοῦ Χριστοῦ σου, φυλαττόμενος τῇ χάριτι τῆς ἁγίας καὶ ὁμοουσίου καὶ ζωοποιοῦ Τριάδος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας...

л. 80. Εὐχὴ εἰς τὸ ἐκκλησιάσαι γυναῖκα εἰς τὰς μ'. ἡμέρας.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ παραγενόμενος ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων, ἔπιδε ἐπὶ τὴν δούλην σου ταύτην καὶ δώρησαι αὐτὴν καταφυγεῖν τῇ ἁγίᾳ σου καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ, καὶ ἀπόπλυνον αὐτῆς τὸν ῥύπον τοῦ σώματος καὶ τὸν σπῖλον τῆς ψυχῆς διὰ τῶν τεσσαράκοντα ἡμερῶν καταξιωθῆναι εἰσελθεῖν διὰ τοῦ τιμίου πρεσβυτέρου καὶ γενέσθαι ἀξίαν ναοῦ καὶ δόξαν σοι ἀναπέμψαι τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι νῦν καὶ ἀεί.

л. 80 об. Εὐχὴ εἰς τὸ ποιῆσαι κατηχούμενον.

Чинъ имѣетъ весьма большое сходство съ чиномъ въ рукописи № 957. См. стр. 1—4. Разница самая незначительная. Такъ, совершителемъ таинства крещенія является священникъ. Оговорокъ о крещаемомъ и о воспріемникѣ въ родѣ слѣдующихъ: εἰ μέγας ἐστίν, ἐὰν ᾖ παιδίον ἢ βάρβαρος—нѣтъ[4]). Формула отрицанія написана слитно. Διακονικὰ εἰς τὸ βάπτισμα изложены такъ: Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν[5])... Ὑπὲρ τοῦδε προεστῶτος ἱερέως καὶ τῶν ἔργων τῶν χειρῶν αὐτοῦ τοῦ Κυρίου δεηθῶμεν[6]). Ὑπὲρ τοῦ καταφοιτῆσαι... Ὑπὲρ τοῦ πᾶσαν

[1]) Ркп. № 962 Синайск. библ. XII в. ἀξίωσον [2]) γενέσθαι [3]) τύχει. [4]) Ркп. Синайск. библ. № 1036 XII—XIII в. эта оговорка есть. [5]) Ὑπὲρ τῆς εἰρήνης... Ὑπὲρ τοῦ ἁγιασθῆναι τὸ ὕδωρ τοῦτο τῇ χάριτι... Ὑπὲρ τοῦ ἐπιφοιτῆσαι τὸ πανάγιον Πνεῦμα ἐπὶ τὸ ὕδωρ τοῦτο καὶ ἀναδεῖξαι αὐτὸ πηγὴν ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον τοῦ... [6]) Этого прошенія нѣтъ.

ἐν αὐτοῖς τοῦ ψυχοκτόνου πολεμίου τὴν δύναμιν βυθισθῆναι τοῦ Κυρίου [1]). Ὑπὲρ τοῦ τέκνα φωτὸς ἀναδειχθῆναι τοὺς ἐν αὐτοῖς βαπτιζομένους τοῦ Κυρίου [2]). Ὑπὲρ τοῦ θείαν αὐτοὺς κατὰ τῶν ἀντιπάλων... Ὑπὲρ τοῦ σκεύη... Ὑπὲρ τοῦ περιπατῆσαι αὐτοὺς ἀξίως τῆς κλήσεως, ἧς ἐκλήθησαν ὑπὸ τοῦ Κυρίου... Ὑπὲρ τοῦ ἀσφαλῆ καὶ βεβαίαν [3])... Ὑπὲρ τοῦ ἀκατακρίτως... Ὑπὲρ τοῦ ῥυσθῆναι... Ἀντιλαβοῦ... Τῆς παναγίας... Goar. p. 295. Τούτων δὲ τελειουμένων, εὔχεται ὁ ἱερεὺς καθ' ἑαυτὸν τὴν εὐχὴν ταύτην· Ὁ εὔσπλαγχνος καὶ ἐλεήμων Θεός. Моментъ мvропомазанія описывается такъ: Καὶ μετὰ τὸ Ἀμὴν (т. е. послѣ молитвы: Δέσποτα Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν) ὁ διάκονος· Πρόσχωμεν. Καὶ ὁ ἱερεὺς λαμβάνει τὸ τρυβλίον τοῦ ἁγίου ἐλαίου καὶ ποιεῖ ἐξ αὐτοῦ εἰς τὸ ὕδωρ σταυροὺς τρεῖς, ψάλλων τὸ Ἀλληλούια γ'. σὺν τῷ ὄχλῳ. Καὶ μετὰ τοῦτο ἐκφωνεῖ, λέγων· Εὐλογητὸς ὁ Θεός... Ὁ λαός· Ἀμήν. Καὶ προσφέρεται ὁ βαπτιζόμενος τῷ πρεσβυτέρῳ καὶ ἀλείφει αὐτὸν ἐκ τοῦ ἐλαίου, ποιῶν σταυροῦ τύπον ἐπὶ τοῦ μετώπου καὶ τοῦ στήθους, καὶ τῶν μεταφρένων, λέγων· Χρίεται ὁ δεῖνα ἔλαιον ἀγαλλιάσεως... Καὶ τότε χρίεται ὑπὸ τοῦ διακόνου ὅλον τὸ σῶμα ἐκ τοῦ ἐλαίου καὶ προσφέρεται τῷ ἱερεῖ, καὶ βαπτίζει αὐτόν, λέγων οὕτως· Βαπτίζεται ὁ δοῦλος τοῦ Θεοῦ ὁ δεῖνα... Καὶ μετὰ τὸ βαπτισθῆναι ἄρχονται ψάλλειν· Μακάριοι ὧν... καὶ λέγει σὺν τῷ λαῷ τὸν στίχον τοῦτον γ'. καὶ δοξάζει. Καὶ ποιοῦντος τοῦ διακόνου εὐχὴν συναπτήν, ποιεῖ ὁ ἱερεὺς τὴν εὐχὴν ταύτην· Εὐλογητὸς εἶ, Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ἡ πηγὴ τῶν ἀγαθῶν... Goar p. 290. Καὶ μετὰ τὴν εὐχήν, λέγοντος τοῦ ψάλτου· Ὅσοι εἰς Χριστόν... χρίει αὐτοὺς τῷ ἁγίῳ μύρῳ, ποιῶν τὸν τοῦ σταυροῦ τύπον ἐπὶ τοῦ μετώπου καὶ τῶν ὀφθαλμῶν, καὶ τῶν μυκτήρων, καὶ τοῦ στόματος, καὶ τῶν ὤτων, καὶ τὰς χεῖρας, λέγων· Σφραγὶς δωρεᾶς [4])... Здѣсь чинъ обрывается. Въ рукописи не достаетъ листа. Слѣдующій листъ (95) начинается концемъ молитвы на омовеніе младенца въ восьмой день: Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ διὰ τῆς κολυμβήθρας... См. выше стр. 26, ркп. Син. библ. № 958. Καὶ τοῦ διακόνου λέγοντος· Τὰς κεφαλὰς ἡμῶν, ἐπεύχεται ὁ ἱερεύς· Κύριε Ἰησοῦ Χριστέ, Υἱὲ τοῦ Θεοῦ τοῦ ζῶντος

---

[1]) Ὑπὲρ τοῦ πάσας ἐν αὐτοῖς καταδῦναι τὰς ἁμαρτίας τῶν μεθεξόντων τοῦ σωτηρίου λουτροῦ. [2]) Этого прошенія нѣтъ [3]) тоже [4]) Конецъ изложенъ такъ: Καὶ μετὰ τοῦτο ἀπάρχεται ὁ ψάλτης λέγει· Μακάριοι ὧν... καὶ εἰσέρχεται ὁ ἱερεὺς μετὰ τῶν νεοφωτίστων εἰς τὴν εἴσοδον, καὶ γίνεται ἀκολουθία τῆς θείας λειτουργίας.

μονογενῆ, εὐλόγησον τοὺς δούλους σου, αὔξησον αὐτοὺς ἐν τῇ πίστει, θεμελίωσον αὐτοὺς ἐν τῇ ὁμολογίᾳ σου, τελείωσον ἀῤῥαβῶνι τῆς μελλούσης κληρονομίας, εὐφόρησον τῇ ψυχῇ αὐτῶν τὸ ἅγιόν σου Πνεῦμα πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτῶν. Ἐκφών· Ὅτι σὺ εἶ ὁ φωτισμὸς τῶν ψυχῶν ἡμῶν... Εὐχὴ ἑτέρα σύντομος· Οἱ ἐνδυσάμενοί σε τὸν Χριστὸν καὶ Θεὸν ἡμῶν ὑπέκλιναν τὰς ἑαυτὰς κεφαλάς, τοὺς δὲ ἑαυτῶν ἐπέταξαν αὐχένας, οὓς διαφύλαξον ἀηττήτους ἀγωνιστάς, τῷ δὲ σῷ ἀφθάρτῳ στεφάνῳ νικητὰς πάντας ἡμᾶς ἀνάδειξον. Ἐκφώνησις· Ὅτι σοῦ ἐστὶν ἡ βασιλεία...

л. 95 об. Πρόλογος τῆς εὐχῆς τῶν ἁγίων Θεοφανίων.

Ἰδοὺ ὁ τῆς ἑορτῆς ἐπέστη ἡμῖν καιρός, καὶ ἄγγελοι μετὰ ἀνθρώπων ἑορτάζουσι, καὶ χορὸς ἁγίων πλησιάζει ἡμῖν... Goar. p. 369. Μέγας εἶ Κύριε... p. 370.

л. 97. Εὐχὴ ἄλλη εἰς τὸ ὕδωρ τῶν ἁγίων Θεοφανίων, λεγομένη ἐν τῇ φιάλῃ τοῦ μεσιαύλου τῆς ἐκκλησίας.

Ὁ Θεὸς ὁ Θεὸς ἡμῶν, ὁ τὸ πικρὸν ὕδωρ ἐπὶ Μωϋσέως τῷ λαῷ εἰς γλυκὺ μεταποιήσας... Goar. pag. 363. Εἰρήνη πᾶσι. Καὶ τοῦ διακόνου λέγοντος· Τὰς κεφαλάς, ἐπεύχεται πάλιν ὁ ἱερεύς· Κλῖνον, Κύριε, τὸ οὖς καὶ τὰ ἑξῆς.

л. 97 об. Εὐχὴ εἰς τὸ κουρεῦσαι παιδίον.

Σὲ ἱκετεύομεν, Κύριε ὁ Θεὸς τῆς σωτηρίας ἡμῶν, ὁ ἐκ τοῦ πληρώματος τῆς κολυμβήθρας... Goar. p. 306 ἐπιφοιτῶν αὐτῷ τὸ Πνεῦμά σου τὸ ἅγιον καὶ ἐν τῇ ἀπαρχῇ τοῦ κείρασθαι αὐτοῦ τὴν κόμην, δὸς αὐτῷ προκόψαι ἐν ἡλικίᾳ πεπληρωμένῃ καὶ πολιᾷ γήρως, ὅπως ἴδῃ τὰ ἀγαθὰ Ἱερουσαλὴμ καὶ εὐαρεστήσῃ ἐν ἔργοις ἀγαθοῖς, οἷς προητοίμασας, ἵνα ἐν αὐτοῖς περιπατήσῃ. Ἐκφώνως· Ὅτι πρέπει σοι πᾶσα δόξα...

л. 98. Εὐχὴ ἑτέρα εἰς τὸ κουρεῦσαι παιδίον.

Δέσποτα ὁ Θεὸς ἡμῶν, ὁ τῇ εἰκόνι σου τιμήσας τὸν ἄνθρωπον... Goar. p. 306. Καὶ λέγει διάκονος· Τὰς κεφαλάς... Ὁ ἱερεὺς λέγει· Σὲ ἱκετεύομεν, Κύριε ὁ Θεὸς ἡμῶν, что выше.

л. 99. Εὐχὴ εἰς τὸ κουρεῦσαι ἄνδρα τέλειον.

Δέσποτα Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν [1]), ὁ τὸν προπάτορα ἡμῶν Ἀβραὰμ ἐξαποστείλας κεῖραι τὴν κόμην [2]) τοῦ σοῦ ἀρχιερέως Μελχισεδὲκ [3]) καὶ πᾶσαν αὐτοῦ ἀπαρχὴν θῦσαι εἰς ναὸν Κυρίου, ὁ παραγενόμενος ἐπὶ τῇ εὐλογίᾳ καὶ κουρᾷ τῶν ἁγίων σου ἀποστόλων [4]) καὶ χαρισά-

---

[1]) Ркп. Син. библ. № 973 ὁ ἐντειλάμενος Ἀβραὰμ [2]) κεφαλὴν τοῦ σοῦ θεράποντος [3]) ὁ παραγενόμενος и т. д. [4]) καὶ μαθητῶν καὶ δωρησάμενος.

μενος αὐτοῖς ἀντὶ [1]) τῆς κουρᾶς τῶν τριχῶν θρόνους ἀρχιερωσύνης. Αὐτὸς καὶ νῦν, Δέσποτα, δώρησαι καὶ τῷ δούλῳ σου τῷδε ἀντὶ τῆς κουρᾶς τῶν τριχῶν λογισμὸν δικαιοσύνης καὶ πολιτείαν ἐνάρετον [2]), τόνδε διὰ τῆς σῆς ἀγαθότητος τεκνοποιούμενον ἀνάδειξον, ὡς Συμεὼν τὸν δίκαιον, τὸν ὑποδεξάμενον ἐν ἀγκάλαις αὐτοῦ σε τὸν μόνον ἀληθινὸν Θεὸν καὶ Κύριον ἡμῶν Ἰησοῦν Χριστόν· Ἐκφων· Ὅτι πρέπει σοι.

л. 99 об. Εὐχὴ εἰς τὸ κουρεῦσαι γένεια.

Κύριε ὁ Θεὸς τῶν δυνάμεων, ὁ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ τῇ σῇ οἰκονομίᾳ ἡμᾶς... Goar. p. 308.

л. 100. Εὐχὴ ἑτέρα εἰς τὸ κεῖραι κόμην ἢ πώγωνα.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι τὰ πάντα παραγαγών... p. 309... κεφαλὴν ἢ τὸν πώγωνα σὺν τῷ πιστῷ σου δούλῳ αὐτοῦ ἀναδόχῳ πᾶσι τοῖς παρὰ σοῦ χαρίσμασι κατακόσμησον, ἀξιῶν αὐτὸν ἐν εἰρήνῃ καὶ ὁμοφροσύνῃ πνευματικῇ τὸν ἐπίλοιπον χρόνον τῆς ζωῆς αὐτοῦ διανῦσαι. Ἐκφώνησις· Σοὶ γὰρ εἶ ὁ δοτὴρ τῶν ἀγαθῶν καὶ σοὶ τὴν δόξαν.

л. 100 об. Εὐχὴ εἰς ἀδελφοποίησιν.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ πάντα πρὸς σωτηρίαν ἡμῖν χαρισάμενος... Goar. p. 707.

Нѣсколько листовъ не достаетъ.

л. 101. Εὐχὴ ἐπὶ ἐλαίου ἀῤῥώστου.

Ὁ πολὺς ἐν ἐλέει καὶ πλούσιος ἐν ἀγαθότητι, Κύριε, ὁ Πατὴρ τῶν οἰκτιρμῶν... Goar. p. 341. Ναὶ δεόμεθά σου, παντοδύναμε Δέσποτα ὁ Θεὸς τοῦ σώζειν, ὁ μόνος τῶν ψυχῶν καὶ σωμάτων ἰατρός, ὅπως καὶ μετάσχοντες τῆς σῆς ἀφάτου φιλανθρωπίας, δοξάζωμέν σε τὸν ποιοῦντα μεγάλα καὶ θαυμαστά. Ἐκφώνως· Ὅτι Θεὸς ἐλέους καὶ οἰκτιρμῶν ὑπάρχεις...

л. 101 об. Εὐχὴ ἄλλη ἐπὶ ἀῤῥώστου.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὰ χρόνια πάθη λόγῳ θεραπεύσας, ὁ τὴν πενθερὰν Πέτρου πυρέσσουσαν ἰασάμενος, αὐτὸς καὶ νῦν, Δέσποτα, ἴασαι καὶ τὸν δοῦλόν σου ἀπὸ τῆς νόσου τῆς συνεχούσης αὐτόν, ἀπὸ στρωμνῆς

---

[1]) Ркп. Син. библ. № 973 ἀντὶ τῶν τριχῶν πίστιν καὶ λόγους μεταδόσεως. Αὐτὸς καὶ τὸν δοῦλόν σου τόνδε παράσχου λογισμὸν δικαιοσύνης. [2]) ἵνα κατὰ τὰς ἐντολάς σου πολιτευσάμενος καὶ τὰ ἀρεστά σου ποιῆσαι καταξιωθῇ, καὶ τῆς ἐκ δεξιῶν σου στάσεως τῷ δὲ πίστει δεχομένῳ ταύτας δώρησαι καὶ αὐτῷ εὐλογίαν, ἣν ἐδωρήσω τῷ δικαίῳ Συμεών, τῷ δεξαμένῳ ἐν ἀναγκάλαις τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. Ὅτι ηὐλόγηται καὶ δεδόξασται...

κακώσεως καὶ κλίνης ὀδυνηρᾶς παρεχόμενος τὴν τελείαν ἀῤῥωστίαν. Ὅτι σὺ ἰατρὸς τῶν νοσούντων καὶ σωτὴρ τῶν ψυχῶν ἡμῶν.

— Εὐχὴ ἐπὶ τελευτήσαντος.

Ὁ Θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκός... Goar. p. 424 Καὶ τοῦ διακόνου λέγοντος· Τὰς κεφαλὰς ἡμῶν, ἐπεύχεται ὁ ἱερεὺς τούτῳ· Κύριε, Κύριε, ἡ τῶν θλιβομένων παραμυθία καὶ τῶν πενθούντων παράκλησις... p. 453.

л. 102 об. Εὐχὴ ἐπὶ τελευτήσαντος πρεσβυτέρου.

Ὁ μέγας ἀρχιερεὺς ὁ δίκαιος, τὸν μεθ' ἡμῶν σοι δουλεύσαντα, ἐξ ἡμῶν δὲ ἐκδημήσαντα ἱερέα, φιλάνθρωπε, τῆς ἐκεῖθεν ζωῆς κληρονόμον ἀνάδειξον, τὰ ἐντεῦθεν αὐτῷ πλημμεληθέντα λήθην ποιούμενος, ὡς ἁμαρτίας ἐλεύθερος, καὶ ἡμῶν τὸν βίον ἐν γαλήνῃ διάγαγε, ἵνα σοι εὐαρέστως ὑπηρετούμενοι τοῖς ἡτοιμασμένοις τοῖς σε θεραπεύουσι τύχωμεν. Ἐκφώνησις· Ὅτι ηὐλόγηται.

л. 103. Εὐχὴ εἰς ψυχὴν κρινομένην.

Δέσποτα Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ πάντα ἄνθρωπον θέλων σωθῆναι... Goar. p. 587.

л. 103 об. Εὐχὴ ἐπὶ προσφερόντων ἀπαρχάς.

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὰ σὰ ἐκ τῶν σῶν προσφέρειν σοι κατὰ πρόθεσιν ἑκάστῳ, κελεύσας καὶ τῶν αἰωνίων σου ἀγαθῶν Goar p. 522.

— Εὐχὴ ἐπὶ εὐλογίᾳ οἴκου.

Ὁ Θεὸς ὁ Σωτήρ, ὁ καταξιώσας ὑπὸ τὴν σκηνὴν Ζακχαίου εἰσελθεῖν... Goar. p. 484.

л. 104. Εὐχὴ ἐν τῷ μέλλειν ἀριστᾶν.

Κύριος ὁ Θεὸς ἡμῶν, ὁ ἐπουράνιος καὶ ζωοποιὸς ἄρτος Goar. p. 569.

л. 104 об. Εὐχὴ μετὰ τὸ ἀναστῆναι ἐκ τοῦ ἀρίστου.

Σοὶ τῷ ἀληθινῷ καὶ φιλανθρώπῳ Θεῷ ἡμεῖς οἱ ἁμαρτωλοί... Goar. p. 569.

— Εὐχὴ εἰς τὸ ἀναδήσασθαι γυναῖκα.

Ὁ Θεός, ὁ ἐν προφήταις λαλήσας, προκηρύξας τὸν φωτισμόν... Goar. p. 399.

л. 105 об. Εὐχὴ ἐπὶ πλοίου, μέλλοντος ἀποπλεῖν.

Δέσποτα Κύριε ὁ Θεὸς τῶν πατέρων, ὁ ἐντειλάμενος τῷ Νῶε κατασκευάσαι κιβωτόν... Ркп. Ватопед. библ. XVI в. № 134. л. 104 варіанты.

л. 106. Εὐχὴ ἄλλη ἐπὶ πλεόντων.

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καταξιώσας συμπλεῦσαι τοῖς ἁγίοις σου μαθηταῖς... Goar. p. 684 τὰ κύματα κελεύσας. Αὐτὸς καὶ νῦν σύμπλευσον ἡμῖν καὶ πάντα ἐναντίον ἄνεμον καταπαύων, διέγειρον τοὺς ἐπιτηδείους ἀνέμους, κυβερνήτης καὶ βοηθὸς πανταχοῦ γενόμενος. Ἐκφώνως· Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος. Καὶ μετὰ τὸ Ἀμὴν σφραγίζει τὴν θάλασσαν.

л. 106 об. Εὐχὴ εἰς λιτήν, γινομένην οὐ διὰ φόβον, ἀλλὰ εἰς ἡμέραν ἑορτάσιμον.

Ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ ὢν εὐλογητὸς εἰς αἰῶνας... p. 640. Καὶ τοῦ διακόνου λέγοντος· Τὰς κεφαλὰς ἡμῶν, ἐπεύχεται ὁ ἱερεύς· Δέσποτα Κύριε, κλῖνον τὰς καρδίας ἡμῶν... p. 641.

л. 107. Εὐχὴ ἐν λιτῇ, λεγομένη διὰ φόβον.

Πάλιν σου, Κύριε, τοῦ φιλανθρώπου Δεσπότου... Goar. 636 καὶ ταχὺ προκαλαβέτωσαν ἡμᾶς οἱ οἰκτιρμοί σου, Κύριε. Ἐκφώνησις· Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος.

л. 107 об. Εὐχὴ ἐπὶ σεισμῶν.

Ὁ φοβερὸς καὶ θαυμαστὸς καὶ μέγας καὶ ὑπερένδοξός τε καὶ ἀληθινὸς Θεός... Gaor. p. 623.

л. 108. Ἐπὶ παντὸς φόβου.

Δέσποτα Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ Πατὴρ τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, δεόμεθα καὶ παρακαλοῦμέν σε, Κύριε ὁ Θεὸς ἡμῶν, φεῖσαι ἡμῶν τῶν ἔργων τῶν χειρῶν σου καὶ ῥῦσαι ἡμᾶς καὶ τὸν λαόν σου ἀπὸ πάσης ἐπαγωγῆς κακῶν ἐνεγηγερμένων, ῥῦσαι ἡμᾶς ἀπὸ πάσης πληγῆς ὀδυνηρᾶς.

л. 109 об. Εὐχὴ ἐπὶ μετανοούντων.

Ὁ Θεὸς τῶν δυνάμεων, ὁ ἰώμενος πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐν τῷ λαῷ, ἱλάσθητι τοῖς δούλοις σου καὶ μὴ δῷς ἀνθρωπινίαν καὶ δαιμονικοινωνίαν (;) ἐπιτήμοις ἀκαθάρτοις δαίμοσιν, σύντριψον τὸν σατανᾶν ὑπὸ τοὺς πόδας τῶν δούλων σου καὶ ἐγκαίνισον τῷ ἁγίῳ σου Πνεύματι, ἕνωσον αὐτὸς τῇ ἁγίᾳ σου ἐκκλησίᾳ, καὶ πάσης ἐνεργείας τοῦ ἀντικειμένου λυτρωσάμενος, παράστησον τοῖς ἁγίοις σου θυσιαστηρίοις καὶ τῶν ἐπουρανίων καὶ ζωοποιῶν μυστηρίων καταξίωσον. Ὅτι σὺ εἶ ὁ Θεὸς τῶν μετανοούντων.

л. 110. Εὐχὴ εἰς ἐνυπνιαζόμενον ἀδελφόν.

Πολυεύσπλαγχνε Κύριε, ἀκήρατε, ἀμόλυντε, μόνε ἀναμάρτητε. Goar. p. 529.

— Εὐχὴ ἐν ἐπιτιμίῳ ὄντων ἢ λόγῳ ἑαυτοὺς δεσμούντων· Εὔσπλαγχνε Κύριε, ἀγαθὲ καὶ φιλάνθρωπε, ὁ διὰ τοὺς οἰκτιρμοὺς ἐξαποστείλας τὸν μονογενῆ σου Υἱὸν εἰς τὸν κόσμον... Goar. p. 531.

л. 110 об. Εὐχὴ εἰς ἀσθενοῦντα.

Εὐλογητὸς εἶ, Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἀγαθὸς ἰατρὸς τῶν ψυχῶν ἡμῶν καὶ τῶν σωμάτων, ὁ τὰς νόσους ἡμῶν ἀπόνως βαστάσας, ὁ τῷ μώλωπί σου

πάντας ἰασάμενος, ὁ ποιμὴν καλός... Молитва большая, но неоконченная, по отсутствію листовъ въ Евхологіѣ.

л. 113. Ἀπόταξις καὶ σύνταξις, γινομένη ὑπὸ τοῦ ἀρχιεπισκόπου τῇ ἁγίᾳ παρασκευῇ.

Συναγομένων πάντων τῶν κατηχουμένων ἐν τῇ ἁγίᾳ Εἰρήνῃ τῇ ἀρχαίᾳ, ἔρχεται ὁ ἀρχιεπίσκοπος... Goar. 279—281. Разница небольшая въ текстѣ: Στῆτε μετὰ φόβου καὶ τρόμου... Первое прошеніе читается: Ὑπὲρ τῆς οἰκουμενικῆς καταστάσεως καὶ εὐσταθείας τῶν ἁγίων ἐκκλησιῶν καὶ τῆς τῶν πάντων ἑνώσεως εἴπωμεν Κύριε ἐλέησον... Καὶ μετὰ τὸ Ἀμὴν λέγει· Ἐνδύσασθε καὶ ὑποδύσασθε. Καὶ κατέρχεται καὶ εἰσέρχεται ἐν τῷ ἁγίῳ θυσιαστηρίῳ, καὶ γινομένης τῆς πρὸς τὸ ἅγιον φώτισμα εὐτρεπιζομένοις συνήθους εὐχῆς παρ' ἑνὸς τῶν διακόνων, ποιεῖ ὁ ἀρχιεπίσκοπος τὴν εὐχὴν ταύτην, μὴ λέγων τὴν συνήθη ἐκφώνησιν ἐν τῷ τέλει τῆς εὐχῆς· Δέσποτα Κύριε ὁ Θεός, προσκάλεσαι... Καὶ πάντας χειροθετῶν ὁ πατριάρχης ἄνδρας τε καὶ γυναῖκας ἔρχεται πάλιν ἐγγὺς τῆς ἁγίας τραπέζης... Καὶ μετὰ τὸ Ἀμὴν (т. е. послѣ молитвы: Ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν ὁ πάντας θέλων σωθῆναι), λέγει ὁ διάκονος· Ἐν εἰρήνῃ προέλθετε. Ἐν δὲ τῷ ἁγίῳ σαββάτῳ γίνεται ἅπασα ἡ ἀκολουθία τῶν ἁγίων βαπτισμάτων ἀπὸ τοῦ Ὁ εὔσπλαγχνος καὶ ἐλεήμων Θεὸς μέχρι τέλους τῆς πάσης ἀκολουθίας τῶν ἁγίων βαπτισμάτων.

л. 120. Εὐχὴ ἤγουν ποίησις μύρου, γινομένη τῇ ἁγίᾳ πέμπτῃ ὑπὸ μόνου ἐπισκόπου. Goar. pag. 503.

л. 122 об. Εὐχὴ ἐπὶ χειροτονίᾳ ἡγουμένου. Codex. S. Marci Goar. p. 397.

л. 123 об. Εὐχὴ ἐπὶ χειροτονίᾳ ἐπισκόπου. Тотъ же кодексъ. Goar. p. 251—252. Прибавка лишь слѣдующая: Ἡ θεία χάρις καὶ τὰ λοιπὰ τὰ πρὸς συνήθειαν, ἅπερ ἀναγινώσκει εἰς ἐπήκοον πάντων, καὶ μετὰ τοῦτο προσάγεται αὐτὸς ὁ μέλλων χειροτονεῖσθαι καὶ ἀναπτύσσων ὁ ἀρχιεπίσκοπος...

л. 126. Εὐχὴ ἐπὶ προχειρίσεως βασιλέως.

Μετὰ τὸ φορέσαι τὸν μέλλοντα σὺν Θεῷ βασιλεύειν πάντα τὰ βασιλικὰ ἱμάτια ἄνευ τοῦ χλαμυδίου καὶ τοῦ στέμματος· ταῦτα γὰρ ἐν τῇ ἁγίᾳ τραπέζῃ σὺν τῇ φίβλᾳ προαποτίθενται. Ἵσταται ὁ πατριάρχης ἔμπροσθεν τοῦ μέλλοντος στέφεσθαι, καὶ ποιοῦντος τοῦ διακόνου εὐχήν, ἐπεύχεται ὁ πατριάρχης οὕτως· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ βασιλεὺς τῶν αἰώνων καὶ Κύριος τῶν κυριευόντων... Goar. p. 726. Καὶ μετὰ τὸ Ἀμήν, ἐπαίρει ἐκ τῆς ἁγίας τραπέζης καὶ ἐπιδίδωσιν ὁ πατριάρχης τὸ χλαμύ-

διον, τὴν φίβλαν τοῖς βεστήτορσι καὶ ἐν τῷ περιτιθέσθαι αὐτὰ ταῦτα λέγει· Ἐν εἰρήνῃ. Καὶ λέγοντος τοῦ διακόνου· Τὰς κεφαλὰς ἡμῶν, ἐπεύχεται ὁ πατριάρχης ταῦτα· Σοὶ τῷ μόνῳ βασιλεῖ τῶν αἰώνων, ὁ τὴν ἐπὶ γῆς βασιλείαν ὑπὸ σοῦ πιστευθείς... Goar. p. 727. Καὶ μετὰ τὸ Ἀμὴν ἐπαίρει ἐκ τοῦ ἁγίου θυσιαστηρίου τὸ στέμμα, καὶ κρατῶν αὐτὸ ταῖς δυσὶ χερσί, στέφει αὐτὸν λέγων· Ἐν ὀνόματι τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. Εἶτα μετὰ τοῦτο, ποιῶν προηγιασμένα, μεταδίδωσιν αὐτῷ τῆς ζωοποιοῦ κοινωνίας.

л. 128. Εὐχὴ ἐπὶ καθιερώσεως ναοῦ καὶ τῆς ἐν αὐτῷ ἁγίας τραπέζης.

Πρὸ μιᾶς ἡμέρας τῶν ἐγκαινίων πρὸ τοῦ ἐπιγίνεσθαι τὸν πατριάρχην ἐν τῷ μέλλοντι ἐγκαινίζεσθαι ναῷ, προπέμπεται ὁ ἐπὶ τῶν χειροτονιῶν, καὶ παρασκευάζει τοὺς μαρμάρους στῆσαι τὴν τράπεζαν. Καὶ πληρούντων αὐτῶν τῶν ἔργων καὶ ἀναχωρούντων, ἐπιγίνεται ὁ πατριάρχης, ἔρχεται ἐν τῷ ναῷ, καὶ πάντων τῶν λαϊκῶν ἐξερχομένων καὶ μηδενὸς ἔσω μένοντος σὺν αὐτῷ, πλὴν κληρικῶν μόνων, καὶ πανταχόθεν ἀσφαλιζομένης ἐκκλησίας, ποιεῖ εἷς τῶν διακόνων εὐχήν. Καὶ λέγοντος αὐτοῦ· Κλίνοντες τὰ γόνατα, κλίνει γόνυ ὁ πατριάρχης ἐπὶ τὰς θύρας τοῦ ἱερατείου, διὰ τὸ μήπω τὴν ἐν αὐτῷ ἀποτεθεῖσαν ἁγίαν τράπεζαν ἁγιασθῆναι, καὶ ὅτε ἀναστῇ ὁ πατριάρχης, ὁ διάκονος λέγει· Ἀντιλαβοῦ, σῶσον... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῆς εἰρήνης... Ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν τοῦδε ἱερωσύνης, διακοσύνης (sic), εἰρήνης, ὑγείας καὶ σωτηρίας αὐτοῦ καὶ τῶν ἔργων τῶν χειρῶν αὐτοῦ... Ἐ κ τ ε ν έ σ τ ε ρ ο ν· Ὑπὲρ αὐτοῦ καὶ τῶν συμπαρόντων αὐτῷ ἱερέων τῆς ἐν Χριστῷ διακονίας παντὸς τοῦ κλήρου καὶ τοῦ λαοῦ... Ὑπὲρ τοῦ ἁγιασθῆναι τὸν οἶκον τοῦτον καὶ τὸ ἐν αὐτῷ θυσιαστήριον... Ὑπὲρ τῶν εὐσεβεστάτων... Ὑπὲρ τῆς εὐκρασίας ἀέρων... Ὑπὲρ πλεόντων, ὁδοιπορούντων... Ὑπὲρ τοῦ ῥυσθῆναι... Καὶ ὑπὲρ πάντων τῶν χρῃζόντων... Τῆς παναγίας... Conf. pag. 664. Ὁ δὲ πατριάρχης ἔν τε τῷ γονυκλιτεῖν, ἔν τε τῷ ἱστάναι αὐτὸν καὶ γίνεσθαι τὴν τοῦ διακόνου εὐχήν, ἐπεύχεται ταῦτα· Ὁ Θεὸς ὁ ἄναρχος καὶ ἀΐδιος, ὁ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι τὰ πάντα παραγαγών, ὁ φῶς οἰκῶν ἀπρόσιτον... Goar. p. 657. Ἐκφώνως· Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, καὶ ἐν ἁγίοις ἐπαναπαύῃ... Καὶ μετὰ τὸ Ἀμὴν ἐπιδίδοται τῷ πατριάρχῃ νίπτρα λευκὰ καὶ ταῦτα ῥίπτει εἰς τὴν ἁγίαν τράπεζαν σταυροειδῶς, καὶ φέρεται σίτλα τοῦ ἁγίου ὕδατος χλιαροῦ, καὶ ἐπικλίνων αὐτῇ τὴν κεφαλὴν ὁ πατριάρχης, ἐπεύχεται οὕτως· Κύριε ὁ Θεὸς ἡμῶν ὁ ἁγιάσας τὰ ῥεῖθρα τοῦ Ἰορδάνου... Goar. p. 569. Καὶ μετὰ τοῦτο ἐπιχέει γ'. τῇ τραπέζῃ ἐκ τοῦ χλιαροῦ, λέγων· Εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος. Καὶ μετὰ τῶν ἐπι-

τεθέντων νιπτρῶν, ἀποσμήχει τὴν τράπεζαν καὶ τοὺς κίονας αὐτῆς ταῖς χερσίν, εἶτα μετὰ σπόγγου καινοῦ καθαροῦ ἐκ τοῦ ὑπολοίπου χλιαροῦ ἐκμάσσει αὐτήν. Ἐν δὲ τῷ ταῦτα γίνεσθαι, λέγει τὸν πγ'. ψαλμὸν ἅπαξ ἢ καὶ πολλάκις, πάντων αὐτῷ συμψαλλόντων μέχρις οὗ τελείως αὐτὰ ἀποσμήξῃ καὶ ἀποπλύνῃ, καὶ τότε δοξάζει· Δόξα τῷ Θεῷ εἰς τοὺς αἰῶνας. Καὶ μετὰ τοῦτο λαμβάνει καινὴν κολάθην καὶ ἐπιχέει αὐτῷ γ'. σταυροειδῶς λέγων· Ῥαντιεῖς με ὑσσώπῳ... ἕως ὀστέα τεταπεινωμένα. Τοῦτο γ'. λέγει καὶ εἶθ' οὕτως ἐπισυνάπτει τὰ λοιπὰ τοῦ αὐτοῦ ψαλμοῦ μέχρι τέλους, καὶ οὕτως δοξάζει καὶ ἐπεύχεται τούτῳ· Εὐλογητὸς ὁ Θεὸς εἰς τοὺς αἰῶνας. Καὶ μετὰ τοῦτο λαμβάνει σάβανον καινούργιον καὶ ἐπιτίθησιν ἐπάνω τῆς τραπέζης, καὶ μετ' αὐτοῦ ἀποσπογγίζει αὐτήν, λέγων τὸν ρλα'. ψαλμὸν ἅπαξ ἢ καὶ β'. μέχρις οὗ τελείως ἀποσπογγίσῃ, καὶ οὕτως δοξάζει καὶ ἐπιλέγει πάλιν· Δόξα Χριστῷ τῷ Θεῷ εἰς τοὺς αἰῶνας. Καὶ λαμβάνει τὸ ἀγγεῖον τοῦ μύρου, καὶ λέγοντος τοῦ διακόνου· Πρόσχωμεν, ἐπιχέει ἐξ αὐτοῦ ἐν τῇ τραπέζῃ γ'. σταυροειδῶς, ποιῶν σταυροὺς γ'. πρῶτον καὶ β'. ἑκατέρωθεν, λέγων γ'. Ἀλληλούια, ὡς ἐπὶ τοῦ ἁγίου βαπτίσματος· καὶ ἀποδιδοὺς τὸ ἀγγεῖον τοῦ μύρου, ἐκ τῶν γενομένων γ'. σταυροὺς ἐν τῇ ἁγίᾳ τραπέζῃ ἀλείφει αὐτὴν τῇ χειρὶ πᾶσαν, ποιεῖ σταυροὺς εἰς τοὺς κίονας τῆς αὐτῆς τραπέζης, λέγων τὸν ρλβ'. ψαλμὸν ὅλον, καὶ δοξάζει ἐπιλέγων· Δόξα σοι ἁγία Τριάς, ὁ Θεὸς ἡμῶν εἰς τοὺς αἰῶνας. Καὶ μετὰ τοῦτο νιπτόμενος τὰς χεῖρας, λαμβάνει τὸ ἅπλωμα καὶ περιβάλλει τῇ ἁγίᾳ τραπέζῃ, λέγων 4θ'. ψαλμὸν ἅπαξ ἢ καὶ πόλλακις ἕως οὗ τελείως αὐτὴν ἐνδύσῃ καὶ οὕτως δοξάζει. Καὶ μετὰ τὸ Ἀμήν, ἐπιδίδοται τῷ ἀρχιεπισκόπῳ θυμιατήριον καὶ θυμιᾷ τὴν ἁγίαν τράπεζαν, καὶ τὸ ἱερατεῖον, καὶ ὅλον τὸν ναόν, λέγων τὸν κε'. ψαλμὸν ἅπαξ ἢ καὶ πολλάκις, μέχρις οὗ ἀποθυμιάσῃ. Ἐν δὲ τῷ θυμιᾷν αὐτόν, εἷς τῶν συμπαρόντων ἐπισκόπων, βαστάζων τὸ ἀγγεῖον τοῦ μύρου, ἀκολουθεῖ ὄπισθεν αὐτοῦ καὶ ποιεῖ σταυροὺς ἐκ τοῦ μύρου εἰς ἕκαστον κίονα καὶ ὀπίσω τοῦ αὐτοῦ ναοῦ. Εἶτα μετὰ τὸ πληρῶσαι, ὡς εἴρηται, τὸ θυμιᾶσαι καὶ τὸν τοιοῦτον ψαλμὸν δοξάσαι, ποιοῦντος διακόνου εὐχὴν συναπτὴν συνήθη· καὶ μετὰ τὸ Ἀντιλαβοῦ, λέγοντος· Τῆς παναγίας ἀχράντου καὶ τοῦ ἁγίου Goar. p. 665. Κλινόμενος ὁ πατριάρχης πλησίον τῆς ἁγίας τραπέζης, οὐ μέντοι γονυκλιτῶν ἐπεύχεται ταῦτα· Κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὁ τὴν ἁγίαν σου ἐκκλησίαν ἀρρήτῳ σοφίᾳ θεμελιώσας... Goar. p. 660. Καὶ μετὰ τὸ Ἀμήν, λέγει· Εἰρήνη πᾶσι. Καὶ τοῦ διακόνου λέγοντος· Τὰς κεφαλὰς ἡμῶν, ἐπεύχεται ὁ ἀρχιερεύς· Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς τῶν δυνάμεων, ὅτι ἣν ἐξέχεας χάριν ἐπὶ τοὺς ἁγίους σου ἀποστόλους Goar. p. 491. Весь чинъ сходенъ, за немногими

исключеніями, съ Барбериновскимъ, напечатаннымъ у Goar. pag. 664—665.

л. 135. Τάξις, γινομένη ἐπὶ τῶν ἐγκαινίων τοῦ ἤδη καθιερωθέντος ναοῦ.

Τῇ αὐτῇ ἡμέρᾳ, ἐν ᾗ καθιεροῦται ὁ εὐκτήριος οἶκος, γινομένου λυχνικοῦ καὶ παννυχίδος, ἐν μιᾷ τῶν σύνεγγυς τοῦ καθιερωθέντος εὐκτηρίου ἐκκλησιῶν, τῇ δηλωθησομένῃ διὰ τοῦ κηρυττικοῦ τῶν συνάξεων, ἔνθα δηλονότι καὶ τὰ ἅγια μένονται λείψανα. Παραγίνεται ἔωθεν ὁ πατριάρχης, ποιοῦντος διακόνου εὐχὴν συναπτήν, ἐπεύχεται ὁ πατριάρχης, λέγων οὕτως· Κύριε ὁ Θεός ἡμῶν, ὁ πιστὸς ἐν τοῖς λόγοις σου Goar. p. 661. Καὶ μετὰ τὸ Ἀμήν, λέγει· Εἰρήνη πᾶσι. Καὶ τοῦ διακόνου λέγοντος· Τὰς κεφαλάς, ἐπεύχεται ὁ ἀρχιερεύς· Κύριε ὁ Θεὸς ἡμῶν, πρεσβείαις τῆς ἁγίας Δεσποίνης ἡμῶν Θεοτόκου. p. 661. Ἐκφώνως· Εἴη τὸ πανάγιον ὄνομά σου... Καὶ μετὰ τὸ Ἀμήν, ἀπάρχεται ὁ πατριάρχης ταῦτα· Δόξα σοι, Χριστέ, ἀποστόλων καύχημα... Καὶ βαστάζων τὰ ἅγια λείψανα ἅμα τοῖς συμπαροῦσιν αὐτῷ ἐπισκόποις, παραγίνεται μετὰ λιτῆς ἐν τῷ ἐγκαινιαζομένῳ ναῷ. Καὶ ὅταν εἰσέλθῃ εἰς τὸν νάρθηκα καὶ παρχστῇ ἐν τῷ μέσῳ τῶν πυλῶν τοῦ ναοῦ καὶ εἰπῇ· Εὐλογητὸς εἶ Χριστὲ ὁ Θεὸς ἡμῶν, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Ἄρχονται οἱ ψάλται τοῦτο τροπάριον· Ἄρατε πύλας οἱ ἄρχοντες. Καὶ εἶθ οὕτως ἀνοίγονται οἱ πυλῶνες, καὶ εἰσέρχεται σὺν παντὶ τῷ λαῷ. Ἐν δὲ τῷ ψάλλεσθαι τὰ εἰρημένα τροπάρια, ἀποτίθεται ὁ πατριάρχης τὰ ἅγια λείψανα ἐν τῇ ἑτοιμασθείσῃ αὐτοῖς θέσει, καὶ ἐπεύχεται ταῦτα· Ὁ Θεὸς ὁ Θεὸς ἡμῶν, ὁ καὶ ταύτην τὴν δόξαν τοῖς ὑπὲρ σοῦ ἀθλήσασιν ἁγίοις μάρτυσι δωρησάμενος Goar. p. 663. Εἶτα δοξάζουσιν οἱ ψάλται καὶ ἐπισυνάπτουσι τὸ Τρισάγιον καὶ γίνεται ἀκολούθως ἡ θεία λειτουργία. Слич. Goar. pag. 665.

л· 137. Εὐχὴ ἀντιφώνου α'. τοῦ λυχνικοῦ.

Молитвы тѣже и въ томъ же порядкѣ, что и въ рукописи Син. библ. № 958 л. 24. См. выше стр. 21.

л. 144. Γερμανοῦ πατριάρχου εὐχαὶ εἰς παννυχίδα. Тѣже, что и въ ркп. Син. библ. № 956. См. выше стр. 13—14.

л. 147. Εὐχαὶ μεσονυκτικαί.

Κύριος ὁ Θεὸς ἡμῶν, ὁ διὰ Πνεύματος ἁγίου τοῦ Δαβὶδ χορηγήσας πρὸς ἡμετέραν ὑποτύπωσιν ψάλλειν σοὶ καὶ ἐν ταύτῃ τῇ ὥρᾳ τῆς νυκτός [1]) καὶ λέγειν· μεσονύκτιον ἐξεγειρόμην τοῦ ἐξομολογεῖσθαί σοι ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου, ἱκάνωσον ἡμᾶς τοῦ ἐξομολογεῖσθαί σοι ἐν ὅλῃ καρδίᾳ ἡμῶν, ἐπίσκεψαι ἐν ἐλέει καὶ οἰκτιρμοῖς τὴν ταπείνωσιν ἡμῶν πιστοὺς καὶ φρονίμους οἰκονόμους, καὶ ἡμᾶς ἀνάδειξον ἐν τῇ φοβερᾷ ἡμέ-

ρᾳ τῆς ἐξετάσεως σου πρεσβείαις τῆς Θεοτόκου καὶ πάντων τῶν ἁγίων σου. Ἐκφώνως· Ὅτι πρέπει πᾶσα. Εὐχὴ ἀντιφώνου β'. Καὶ νῦν ἐπὶ τὸ μέσον τῆς νυκτὸς καταντήσαντες, Κύριε, τῆς κατὰ δύναμιν εὐχαριστίας σοι προσφέρομεν καὶ δεόμεθά σου τὸν δωρηθέντα ταῖς καρδίαις ἡμῶν τῆς γνώσεώς σου θησαυρὸν ἀνεξάληπτον διαφύλαξον, ἔμβαλε εἰς τὸ στόμα ἡμῶν τὸν σοφίας σου λόγον καὶ ῥῦσαι ἡμᾶς ἀπὸ παντὸς πράγματος ἐν σκότει διαπορευομένου. Ἐκφώνως· Ὅτι σὸν τὸ κράτος. Εὐχὴ ἀντιφώνου γ'. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ Πατὴρ τῶν αἰώνων, ὁ μήτε ἀρχήν, μήτε τέλος ἔχων, ὁ λυτρωτὴς τῶν ψυχῶν ἡμῶν, καὶ θεμελιωτὴς φρονημάτων, καὶ φύλαξ τῶν καρδιῶν ἡμῶν, ὁ διὰ τῶν κτισμάτων σου ὑποδείξας ἡμῖν τῆς σῆς δημιουργίας τὴν ἄφραστον δύναμιν. Αὐτὸς Δέσποτα, καὶ κατὰ τὴν παροῦσαν τῆς νυκτὸς ὥραν πρόσδεξαι ἡμῶν τὴν δέησιν καὶ τὴν ἑκάστου ἔνδειαν, ἀναπλήρωσον εἰς πλειο(νό)τητα, καὶ ἀξίους ἡμᾶς ἀνάδειξον τῆς σῆς ἀγαθότητος. Ἐκφώνως· Ὅτι ηὐλόγηται... Εὐχὴ δ'. τῆς ἀπολύσεως· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ διὰ πολλὴν χρηστότητα καὶ πλῆθος οἰκτιρμῶν σου δωρησάμενος ἡμῖν καὶ τὸ παρελθὸν μῆκος τῆς νυκτὸς ἀνεπηρέαστον ἀπὸ παντὸς ἐκκλῖναι κακοῦ. Σύ, Δέσποτα ἁπάντων, Δημιουργέ, δὸς ἡμῖν κατανοῆσαι καὶ ἐπὶ τὰς ἑωθινὰς εὐχάς, καὶ κατάλαμψον ἐν ταῖς καρδίαις ἡμῶν τῷ ἀληθινῷ φωτὶ τὸν τῆς γνώσεώς σου θησαυρὸν εἰς τὸ ποιεῖν τὸ θέλημά σου. Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεός. Εὐχὴ τῆς κεφαλοκλισίας· Σοὶ τῷ Θεῷ τῷ τῶν αἰώνων Δημιουργῷ καὶ πάσης κτίσεως ἡμεῖς, οἱ ἀχρεῖοι δοῦλοί σου, ἐκλίναμεν τὰς ἑαυτῶν κεφαλὰς καὶ δεόμεθά σου· ἐξαπόστειλον τὴν εὐλογίαν σου τὴν πνευματικὴν ἐφ' ἡμᾶς καὶ ἐν πάσῃ σεμνότητι καὶ ὑπακοῇ τῶν ἐντολῶν σου, διαφύλαξον τὴν ζωὴν ἡμῶν. Ἐκφώνως· Σὺ γὰρ εἶ ὁ Θεὸς ἡμῶν, Θεὸς τοῦ ἐλεεῖν καὶ σώζειν.

л. 148 об Εὐχὴ πρὸ τοῦ ὕπνου.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὴν τοῦ ὕπνου χρῆσιν εἰς σωτηρίαν τῷ γένει τῶν ἀνθρώπων χαρισάμενος, καὶ αὐτός, ὡς πάντα τὰ φυσικὰ καὶ ἀδιάκλητα ἡμῶν πάθη, καὶ τὸν ὕπνον καταδεξάμενος, χάρισαι ἡμῖν ὕπνον εἰρηνικόν, ἀπέλασον ἀφ' ἡμῶν πᾶσαν φαντασίαν καὶ ἐπιβουλὴν δαιμόνων, ῥῦσαι ἡμᾶς τῆς τῶν ῥυπαρῶν καὶ αἰσχρῶν λογισμῶν ἐνθυμήσεως, ἁγίασον ἡμῶν τὸν νοῦν καὶ τὴν ψυχὴν καὶ τὸ σῶμα, ἅγνισον ἡμῶν τὸν λογισμόν, τὴν παρθενίαν συντήρησον, ἐγρήγορον καὶ ἐλαφρὸν τὸν ὕπνον ἡμῶν ποίησον, καὶ ἀνάστησον ἐν καιρῷ εὐθέτῳ παραστῆναι καὶ ἀποδοῦναί σοι τὰς εὐχὰς ἡμῶν πρεσβείαις τῆς ἀχράντου σου Μητρὸς καὶ ἐπουρανίων δυνάμεων, τοῦ ἁγίου προφήτου Προδρόμου καὶ βαπτιστοῦ Ἰωάν-

νου, τῶν ἁγίων καὶ πανευφήμων ἀποστόλων, προφητῶν καὶ μαρτύρων, καὶ πάντων τῶν ἁγίων σου νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

л. 149. Εὐχὴ μεσονυκτική.

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ διὰ στόματος τοῦ ἁγίου σου προφήτου καὶ βασιλέως Δαβὶδ εἰπών· μεσονύκτιον ἐξεγειρόμην τοῦ ἐξομολογεῖσθαί σοι ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου, καὶ τὰ νῦν ἐπίβλεψον ἐπὶ τὴν προσευχὴν ἡμῶν τῶν ταπεινῶν καὶ ἀχρείων δούλων σου, καὶ μὴ ἐξουδενώσῃς ἡμᾶς ἀπὸ τοῦ προσώπου σου, ποίησον ἡμῖν κατὰ τὸ ἔλεός σου, καὶ τὰ διακαιώματά σου δίδαξον ἡμᾶς, φώτισον τοὺς ὀφθαλμοὺς τῶν διανοιῶν ἡμῶν, καὶ ἐξέλασον ἀφ' ἡμῶν πᾶν πονηρὸν καὶ ἀκάθαρτον λογισμόν, ἀσφάλισαι ἡμῶν τὴν ζωήν, τὸν λογισμὸν κυβέρνησον, τὰ διαβήματα κατεύθυνον, καὶ ῥῦσαι ἡμᾶς ἐπὶ βουλῆς τοῦ ἀοράτου καὶ πολεμήτορος ἐχθροῦ, φαίδρυνον τὰς λαμπάδας τῶν ψυχῶν ἡμῶν τῷ ἐλαίῳ τῆς χρηστότητος καὶ τῆς ἀφάτου φιλανθρωπίας σου, ἵνα ἐγρηγόρως καὶ ἀνυστάκτως ὑπαντήσωμέν σοι τῷ ἀγαθῷ νυμφίῳ τῶν ψυχῶν ἡμῶν καὶ συνεισέλθωμεν εἰς νυμφῶνα τὸν σὸν ἐν τῇ χαρᾷ τῆς βασιλείας σου μετὰ τῶν φρονημάτων παρθένων πρεσβείαις τῆς ἁγίας καὶ Θεοτόκου Μητρός σου καὶ πάντων τῶν ἁγίων νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας...

л. 149. Εὐχαὶ ἑωθιναί.

Первыя семь, что у Гоара p. 39—41. Седьмая молитва неокончена. Дальнѣйшихъ листовъ въ рукописи нѣтъ.

**VI.** № 962. Εὐχολόγιον, рукопись Синайск. библ. въ 16 долю листа, 195 листовъ, на пергаменѣ писана четкимъ почеркомъ XI—XII в. Первые три листа составляютъ окончаніе какой-то неизвѣстной намъ молитвы.

л. 3 об. Εὐχολόγιον, σὺν Θεῷ ἀρχόμενον τὴν θείαν λειτουργίαν τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου.

Εὐχή, λεγομένη ἐν τῷ σκευοφυλακίῳ, ἀποτιθεμένου τοῦ ἄρτου· Ὁ Θεὸς ὁ Θεὸς ἡμῶν, ὁ τὸν οὐράνιον ἄρτον. Goar p. 51. Весь чинъ состоитъ изъ молитвъ и отличается отъ предыдущихъ списковъ опущеніемъ молитвъ: „Οὐδεὶς ἄξιος... и въ концѣ литургіи: ἐν τῷ σκευοφυλακίῳ· Ἥνωται καὶ τετέλεσται. Надъ молитвою: Κύριε ὁ Θεὸς ἡμῶν, ὁ κτίσας ἡμᾶς... имени св. Василія Великаго нѣтъ. Оканчивается чинъ заамвонною молитвою: Δέσποτα Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ὁ Σωτὴρ ἡμῶν, ὁ καταξιώσας... *Красносельцевъ.* Опис. ватиканскихъ ркп. стр. 278.

л. 34 об. Ἡ θεία λειτουργία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου.

Не достаетъ нѣсколькихъ листовъ, содержащихъ въ себѣ окончаніе молитвы оглашенныхъ и молитвъ первой и второй вѣрныхъ. Молитва: Οὐδεὶς ἄξιος надписывается: Εὐχή, ἣν ποιεῖ ὁ ἱερεὺς καθ' ἑαυτόν, а молитва: Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ μόνος ἅγιος...—καὶ μετὰ τὸ ἀποτεθῆναι τὰ ἅγια δῶρα ἐν τῇ ἁγίᾳ τραπέζῃ. Въ остальномъ списокъ литургіи сходенъ съ предыдущими.

л. 48. Ἀκολουθία τῶν προηγιασμένων.

Отъ предыдущихъ списковъ отличается молитвою прилежнаго моленія Goar. p. 56, съ которой настоящій чинъ начинается, и отсутствіемъ въ концѣ молитвы, читаемой въ діаконникѣ: „Εὐχή, λεγομένη ἐν τῷ διακονικῷ· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἀγαγὼν ἡμᾶς εἰς τὰς πανσέπτους ταύτας ἡμέρας. Относительно ектеньи и молитвы за готовящихся къ просвѣщенію говорится, что онѣ произносятся лишь до среды страстной седмицы.

л. 58. Εὐχαὶ τοῦ λυχνικοῦ.

Первыя три молитвы, что у Гоара p. 28 и надписываются εὐχὴ ἀντιφώνου α'. εὐχὴ ἀντιφώνου β'. и εὐχὴ ἀντιφώνου γ'. На *четвертомъ* мѣстѣ стоитъ молитва: Ἑσπέρας καὶ πρωὶ καὶ μεσημβρίας... Goar. p. 35. съ надписью: Εὐχὴ εἰς τὸ Κύριε ἐκέκραξα. Пятое мѣсто занимаетъ молитва: Ὁ Θεὸς ὁ μέγας καὶ ὕψιστος, ὁ μόνος ἔχων ἀθανασίαν Goar. p. 29 съ надписью: Εὐχὴ τῆς ἀπολύσεως и шестое—εὐχὴ τῆς κεφαλοκλισίας· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ κλίνας οὐρανούς... Goar. p. 32.

л. 63. Εὐχαὶ τῶν παννυχίδων.

Первыя три молитвы, что въ ркп. № 956 Син. библ., а послѣднихъ двухъ нѣтъ. См. выше стр. 13—14.

л. 66 об. Εὐχαὶ ἑωθιναί.

Первыя пять тѣже самыя, что у Гоара p. 39—40 съ надписями: Εὐχὴ ἑωθινὴ ἀντιφώνου α'. β'. γ'. κ. τ. λ. На шестомъ мѣстѣ стоитъ десятая: Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὴν διὰ μετανοίας ἄφεσιν τοῖς ἀνθρώποις δωρησάμενος... Goar. p. 42. съ надписью: εὐχὴ τοῦ πεντηκοστοῦ, на седьмомъ—12: Αἰνοῦμεν, ὑμνοῦμεν, εὐλογοῦμεν p. 42 съ надписью: εὐχὴ τῆς ἀπολύσεως εἰς τὸ Δόξα ἐν ὑψίστοις. Восьмое и послѣднее мѣсто занимаетъ молитва: εὐχὴ τῆς κεφαλοκλισίας· Κύριε, ἅγιε, ὁ ἐν ὑψηλοῖς κατοικῶν Goar. p. 44.

л. 74. Εὐχὴ εἰς τὸ ἀναδῆσαι γυναῖκα. Goar. p. 309.

л. 75 об. Εὐχὴ ὑπὲρ ἀφέσεως ἁμαρτιῶν.

Δέσποτα Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ πηγάσας ἁμαρτωλοῖς σωτηρίαν τῷ πάθει σου, τρόπαιον κατὰ τοῦ διαβόλου τὸν σταυρὸν ἀναδείξας, ὁ εἰπών· θαρσεῖτε, ἐγὼ νενίκηκα τὸν κόσμον, νίκησον ἐν ἡμῖν πᾶσαν ἁμαρτίαν, φιλάνθρωπε, καὶ ἀπέλασον ἀφ' ἡμῶν πάντα λογισμὸν ἐναντίον τῶν προσταγμάτων σου, καὶ ἄγαγε ἡμᾶς εἰς μετάμελον, ὧν ἡμάρτομεν, ἀγαθέ, πρεσβείαις τῆς ἀχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ πάντων τῶν ἁγίων σου, ὅτι εὐλογημένος ὑπάρχεις, καὶ σοὶ πρέπει ἡ δόξα σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι.

л. 76. Εὐχὴ ἐπὶ συμφορᾷ.

Δέσποτα Κύριε οὐρανοῦ καὶ γῆς καὶ πάσης κτίσεως ὁρατῆς τε καὶ ἀοράτου, παντοδυνάμῳ θελήματι τῆς σῆς ἀγαθότητος ἔπιδε ἐπὶ τὸν λαόν σου, τὸν ἐπισυναχθέντα ἐπ' ἐλπίδι τῆς παρὰ σοῦ εὐλογίας, καὶ εὐλόγησον ἡμᾶς ἐν πάσῃ εὐλογίᾳ πνευματικῇ, καὶ μὴ καταισχύνῃς ἡμᾶς, ὁ Θεός, ἀπὸ τῆς προσδοκίας ἡμῶν, ἀλλὰ γενοῦ βοηθὸς καὶ ὑπερασπιστὴς ἡμῶν ἐν ἡμέρᾳ θλίψεως, τὸν κόσμον εἰρήνευσον, νίκας τῷ βασιλεῖ ἡμῶν δώρησον, τοὺς πεπλανημένους ἐπίστρεψον, τὴν ἐκκλησίαν σου ἀτάραχον φύλαξον, πάντας κυβέρνησον, Δέσποτα, ἑκάστῳ τὴν ὀφείλουσαν ποιούμενος πρόνοιαν· σὺ γὰρ εἶ ὁ ἐπιστάμενος τὸν νοῦν τῶν ἀνθρώπων καὶ εἰδὼς ποιεῖν ὑπερεκπερισσοῦ, ὧν αἰτούμεθα ἢ νοοῦμεν, ἡ πηγὴ τῶν εὐλογιῶν, ὁ θησαυρὸς τῶν ἀγαθῶν καὶ σοὶ τὴν δόξαν καὶ εὐχαριστίαν ἀναπέμπομεν τῷ Πατρί...

л. 77. Εὐχὴ τοῦ νιπτῆρος τῆς ἁγίας πέμπτης.

Κύριε, ὑπεράγαθε, ὁ ἀπρόσιτος τῇ θεότητι Goar. p. 592. Εὐχὴ τῆς ἀπολύσεως· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ κατὰ τὸ πολὺ ἔλεός σου κενώσας ἑαυτόν... p. 594. Εὐχὴ τῆς κεφαλοκλισίας· Δέσποτα, Κύριε τῆς δόξης, ὁ ὑποδείξας ἡμῖν μέτρα ταπεινώσεως... p. 592.

л. 80. (Εὐχὴ) εἰς νοσοῦντας.

Ὁ Θεὸς ὁ μόνος ἔχων ἐξουσίαν ἁμαρτίας ἀφιέναι καὶ ψυχὰς σώζειν Ркп. № 959 Синайск. библ. См. выше стр. 45.

л. 80 об. Εὐχαὶ ὀπισθάμβωνοι τῶν ὡρῶν.

Εὐχὴ τῆς α'. ὥρας. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καταξιώσας ἡμᾶς πρὸς τὰς ἀρχὰς τῆς ἡμέρας ἐλθεῖν, ἀνάτειλον ἐν ταῖς καρδίαις ἡμῶν τὸν ἀληθινὸν ἥλιον τῆς δικαιοσύνης σου, φωταγώγησον ἡμῶν τὸν νοῦν καὶ τὴν διάνοιαν, ἵνα, ἐν τῇ ὁδῷ τῶν ἐντολῶν σου πορευόμενοι, καταξιωθῶμεν καὶ τῶν αἰωνίων σου ἐπιτυχεῖν ἀγαθῶν πρεσβείαις τῆς ἁγίας Θεοτόκου καὶ πάντων τῶν ἁγίων σου νῦν καὶ ἀεὶ... См. выше стр. 36. Εὐχὴ τῆς γ'. ὥρας. Τρισάγιε Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὸ παράκλητον καὶ ἅγιόν σου

Πνεῦμα ἐν τῇ τρίτῃ ὥρᾳ τοῖς ἁγίοις σου ἀποστόλοις καταπέμψας καὶ ἡμῖν τοῖς ἀναξίοις δούλοις σου τῆς αὐτῆς σου δωρεᾶς καὶ χάριτος μετόχους ἀνάδειξον, ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ συντηρῶν τὴν ζωὴν ἡμῶν πρεσβείαις τῆς παναγίας Θεοτόκου καὶ πάντων τῶν ἁγίων σου νῦν καὶ ἀεί. См. тамъ же стр. 36. Εὐχὴ τῆς ς'. ὥρας. Δέσποτα Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν. ὁ κατὰ τὴν παροῦσαν ὥραν... См. выше стр. 38 ἐκ τοῦ φόβου σου τὰς σάρκας ἡμῶν ἐκκλίνοντας ἀπὸ παντὸς κακοῦ καὶ ἐνεργοῦντας τὰς θείας σου καὶ σωτηρίους ἐντολὰς πρεσβείαις τῆς ἁγίας Θεοτόκου καὶ πάντων τῶν ἁγίων σου νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας. Εὐχὴ τῆς θ'. ὥρας. Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τῇ ὑποδείξει τῶν ἁγίων σου ἀποστόλων Πέτρου καὶ Ἰωάννου ἐκδιδάξας ἡμᾶς προσεύχεσθαι καὶ ἐξιλεοῦσθαί σοι, καὶ κατὰ τὸν τῆς ἐννάτης ὥρας καιρὸν ἀπονέκρωσον τὸ τῆς σαρκὸς ἡμῶν φρόνημα, ἵνα τῷ σῷ ζῶντες θελήματι ἐν ἀμέμπτῳ πολιτείᾳ διὰ παντὸς εὐαρεστοῦμεν τὴν σὴν ἀγαθότητα πρεσβείαις τῆς ἁγίας Θεοτόκου καὶ πάντων τῶν ἁγίων σου νῦν καὶ ἀεί....

л. 82 об. Εὐχὴ τοῦ τε λυχνικοῦ καὶ ἑωθινοῦ καὶ πρὸς πᾶσαν σύναξιν ἐπιτηδεία.

Δέσποτα Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ὁ μόνος ἀγαθὸς καὶ φιλάνθρωπος, δυσωπούμενος ὑπὸ τῆς ἰδίας σου εὐσπλαγχνίας πρεσβείαις τῆς ἀχράντου σου Μητρός, τῶν ἁγίων καὶ ἐπουρανίων δυνάμεων, τοῦ ἁγίου προφήτου Προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων καὶ πανευφήμων ἀποστόλων καὶ τοῦ ἁγίου τοῦδε, οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων τῶν ἁγίων σου ἐλέησον, ἁγίασον, φρούρησον, εἰρήνευσον τὴν ζωὴν ἡμῶν, προσδεκτὴν τὴν προσευχὴν ἡμῶν ποίησον ἐν ἀφέσει ἁμαρτιῶν, διαφύλαξον πάντας ἡμᾶς. Ὁ ὢν εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε νῦν καὶ ἀεί.

л. 83. Εὐχὴ ὀπισθάμβωνος εἰς τὴν λειτουργίαν.

Ὁ Θεὸς ὁ ἅγιος, ὁ καταξιώσας ἡμᾶς στῆναι ἐνώπιον τῆς ἀχράντου σου δόξης καὶ ἀναπέμψαι σε τὰς ὑπὲρ πάντων ἡμῶν εὐχαριστίας, πρόσδεξαι ταύτας εἰς τὸ ἐπουράνιον καὶ ἅγιόν σου θυσιαστήριον εἰς ὀσμὴν εὐωδίας, καὶ παράσχου ἡμῖν πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα, σῶσον τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου, καὶ ποίησον μεθ' ἡμῶν καὶ τῶν ἀδελφῶν ἡμῶν τῶν συλλειτουργούντων καὶ ὑπὸ τὴν σὴν ἀγαθότητα τεταγμένων πλούσια τὰ ἐλέη σου, ὅτι τὸ ὄνομά σου, Κύριε, ἀεὶ δοξάζομεν. Σὸν γὰρ ἐστὶ τὸ ἐλεεῖν...

л. 83 об. Εὐχὴ εἰς μνήμην τῶν ἁγίων ἀποστόλων.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ διὰ τῶν ἁγίων σου ἀποστόλων γνωρίσας ἡμῖν τὸ μυστήριον τοῦ Χριστοῦ σου, ὁ φωτίσας ἡμᾶς διὰ τοῦ κηρύγματος αὐ-

*

τῶν, καὶ ὁδηγήσας εἰς τὴν ἀλήθειαν διὰ τῆς λαμψάσης ἐν αὐτοῖς χάριτος τοῦ Μονογενοῦς σου, χάρισαι ἡμῖν ταῖς μνήμαις αὐτῶν κοινωνοῦντας καὶ τῶν αἰωνίων σου τυχεῖν ἀγαθῶν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ εὐλογητὸς εἶ καὶ δεδοξασμένος σὺν τῷ παναγίῳ.

л. 84. Εὐχὴ εἰς διαφόρους ἁγίους.

Ὁ ἐνδοξαζόμενος ἐν ταῖς βουλαῖς τῶν ἁγίων σου, Κύριε, τῶν ἀποστόλων τὸ καύχημα, τῶν προφητῶν τὸ ἀγαλλίαμα καὶ τῶν μαρτύρων τὸ στήριγμα, τῶν ὁσίων ἡ χαρὰ καὶ τῆς τεκούσης ὁ στέφανος, τὴν σὴν εἰρήνην δώρησαι ἡμῖν, ὁδηγῶν καὶ φρουρῶν τὴν ζωὴν ἡμῶν, ἵνα μετὰ τοῦ ἐλέους τῆς σῆς ἀγαθότητος ἀξιωθῶμεν ζηλῶσαι αὐτῶν τοὺς ἄθλους καὶ εὐάρεστοί σοι γενόμενοι τυχεῖν σὺν αὐτοῖς τῆς μελλούσης μακαριότητος. Σὺ γὰρ εἶ ὁ χορηγὸς τῶν αἰωνίων ἀγαθῶν, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν. См. выше стр. 23.

л. 84. об. Εὐχὴ εἰς μνήμην.

Ἅγιε, ὁ ἐν ἁγίοις ἀναπαυόμενος, Ὕψιστε, ὁ ἐν ὑψηλοῖς κατοικῶν, ὁ τὰ ταπεινὰ ἐφορῶν, ὁ χαρισάμενος τοῖς ἁγίοις σου τὸν καλὸν ἀγῶνα ἀγωνίσασθαι, τὸν δρόμον τῆς εὐσεβείας ἐκτελέσαι καὶ τὴν ὁμολογίαν τηρῆσαι τῆς πίστεως. Μνήσθητι ἡμῶν, Κύριε, ἐν τῇ εὐδοκίᾳ τοῦ λαοῦ σου, ἐπίσκεψαι ἡμᾶς ἐν τῷ σωτηρίῳ σου καὶ χάρισαι ἡμᾶς, Δέσποτα, μνημονεύειν τῶν ἁγίων σου ἐν παντὶ καιρῷ καὶ κοινωνεῖν τοῖς αὐτῶν παθήμασιν, ὅπως, μιμηταὶ αὐτῶν γενόμενοι, τύχωμεν τῶν ἀποκειμένων αὐτοῖς ἀγαθῶν. Ὅτι σοὶ πρέπει δοξολογία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Πνεύματι... См. выше стр. 23.

л. 85. Ἐπὶ μνήμην ἁγίων.

Εὐχαριστοῦμέν σοι, Δέσποτα Θεὲ Παντοκράτωρ, ὅτι κατηξίωσας ἡμᾶς τοὺς ἁμαρτωλοὺς καὶ ἐπὶ τοῦ παθόντος ἐπιτελέσαι τὸ μέγα τῆς ἐνανθρωπήσεως τοῦ Χριστοῦ σου μυστήριον, καὶ δεόμεθά σου, βασιλεῦ τῆς δόξης, ἐνοίκησον ἐν ἡμῖν, ἀγαθέ, καὶ ἐμπεριπάτησον κατὰ τὴν ἀψευδῆ σου ἐπαγγελίαν, καὶ ποίησον ἡμᾶς ναοὺς τοῦ Ἁγίου σου Πνεύματος, χαριζόμενος ἡμῖν πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα· σὺ γὰρ εἶ ὁ εὐλογῶν καὶ ἁγιάζων τὰ σύμπαντα καὶ ὁ μονογενής σου Υἱὸς καὶ τὸ Πνεῦμά σου τὸ πανάγιον νῦν καὶ ἀεὶ...

л. 86. Εὐχὴ εἰς τὸ κατασφραγίσαι παιδίον, λαμβάνον ὄνομα τῇ η'. ἡμέρᾳ.

Κύριε ὁ Θεὸς ἡμῶν, σοῦ δεόμεθα καὶ σὲ ἱκετεύομεν... Goar. p. 264.

λ. 87. Εὐχὴ εἰς τὸ σαραντῆσαι παιδίον.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν τεσσαράκοντα ἡμέραις τοῦ νόμου εἰς τὸ ἱερὸν ἐλθών. См. выше стр. 53.

л. 87 об. Εὐχὴ εἰς τὸ ἐκκλησιάσαι γυναῖκα, ἤγουν μετὰ τὸ σαραντῆσαι.

Δέσποτα Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ πᾶσαν φύσιν λογικὴν διὰ τοῦ λόγου σου δημιουργήσας, ὁ τὰ πάντα ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι παραγαγών, δεόμεθα καὶ παρακαλοῦμέν σε, Κύριε, ὁ διασώσας τὴν δούλην σου τήνδε ἐκ τῆς συνελθούσης αὐτῇ τεκνογονίας λύπης καὶ τὰ νῦν, φιλάνθρωπε, ἔπιδε ἐπ' αὐτὴν καὶ καθάρισον αὐτὴν ἀπὸ πάσης ἁμαρτίας καὶ παντὸς ῥύπου, προσερχομένην ἐν τῇ ἐκκλησίᾳ, ἵνα ἀκατακρίτως ἀξιωθῇ μετασχεῖν τῶν ἁγίων σου μυστηρίων. Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος. Confer. Εὐχολ. Goar. p. 267.

л. 88 об. Εὐχὴ εἰς τὸ κουρεῦσαι παιδίον.

Σὲ ἱκετεύομεν, Κύριε ὁ Θεὸς τῆς σωτηρίας ἡμῶν, ὡς ἐκ τοῦ πληρώματος τῆς κολυμβήθρας Goar. pag. 306.

л. 89. Εὐχὴ εἰς τὸ ποιῆσαι κατηχούμενον.

Начало чина до отриданія отъ сатаны сходно съ ркп. Такт. № 279 М. Синод. библ. см. Прилож. къ Богослуж. въ русск. ц. въ XVI в. ч. 1. стр. 9—10. Особенности небольшія. Молитва: Ὁ ὢν Δέσποτα Κύριε надписывается: ἀφορκισμὸς μετὰ τὸν πρὸς ὥραν βαπτιζόμενον. При чтеніи: Ἐξέλασον ἀπ' αὐτοῦ замѣчается: καὶ ἐμφυσᾷ τὸ πρόσωπον αὐτοῦ καὶ σφραγίζει и т. д. Отриданія написаны слитно. Въ словахъ: Καὶ συντάσσομαι τῷ Χριστῷ нѣтъ прибавки: καὶ βαπτίζομαι. Καὶ συντάσσομαι τῷ Χριστῷ καὶ Πιστεύω εἰς ἕνα Θεὸν καὶ τὰ λοιπὰ ἕως τρίτου. Καὶ πάλιν λέγει αὐτῷ ὁ ἱερεύς· Συνετάξω τῷ Χριστῷ. Καὶ ἀποκρίνεται· Συνεταξάμην и т. д. Διακονικὰ εἰς τὸ ἅγιον ὕδωρ· Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῆς εἰρήνης. Ὑπὲρ τοῦ ἁγιασθῆναι... Ὑπὲρ τοῦ καταφοιτῆσαι... Ὑπὲρ τοῦ γενέσθαι αὐτῷ πρὸς καθαρισμὸν ψυχῶν... Ὑπὲρ τοῦ σκεύη γενέσθαι αὐτά... Ὑπὲρ τοῦ τέκνον φωτός... Ὑπὲρ τοῦ ῥυσθῆναι... Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας... Μέγας εἶ Κύριε καὶ θαυμαστὰ... p. 288. Καὶ ἐμφυσῶν τῷ ὕδατι, σφραγίζει γ'. καὶ λέγει· Συντριβήτωσαν ὑπὸ τὴν σημείωσιν... p. 289. Καὶ λαμβάνει ὁ ἱερεὺς τὸ τρυβλίον τοῦ ἐλαίου καὶ δίδει αὐτὸ διακόνῳ, καὶ κλίνει ὁ ἱερεὺς τὴν κεφαλὴν ἐν τῷ τρυβλίῳ καὶ φυσᾷ γ'. καὶ σφραγίζει τῷ δακτύλῳ καὶ εὔχεται τὴν εὐχὴν ταύτην· Δέσποτα Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν... p. 289. Καὶ τοῦ διακόνου λέγοντος τὸ Πρόσχωμεν, λαμβάνει ὁ ἱερεὺς τὸ τρυβλίον τοῦ ἁγίου ἐλαίου καὶ ποιεῖ ἐξ αὐτοῦ εἰς τὸ ὕδωρ τρεῖς σταυρούς, ψάλλων τὸ Ἀλληλούια σὺν τῷ ὄχλῳ γ'. ἦχος πλ. β'. Καὶ μετὰ τοῦτο ἀποτίθεται τὸ τρυβλίον καὶ ἐκφωνεῖ· Εὐλογητὸς εἶ ὁ Θεός... Καὶ προσ-

φέρεται ὁ βαπτιζόμενος τῷ πρεσβυτέρῳ, καὶ λαμβάνει ὁ πρεσβύτερος ἐκ τοῦ ἁγίου ἐλαίου τῷ δακτύλῳ αὐτοῦ καὶ ποιεῖ σταυροῦ τύπον ἐπὶ τοῦ μετώπου καὶ τοῦ στήθους, καὶ τῶν μεταφρένων τοῦ βαπτιζομένου καὶ λέγει· Χρίεται ὁ δοῦλος τοῦ Θεοῦ.. Τότε χρίεται ὑπὸ τοῦ διακόνου ὅλον τὸ σῶμα, καὶ μετὰ τοῦτο βαπτίζεται ὑπὸ τοῦ ἱερέως, λέγων οὕτω· Βαπτίζεται ὁ δοῦλος.. (слитно). Καὶ μετὰ τὸ βαπτισθῆναι ἀπάρχεται ὁ ἱερεύς, Μακάριοι ὧν... καὶ λέγει γ'. καὶ δοξάζει.

л. 111. Εὐχὴ τοῦ μύρου.

Εὐλογητὸς εἶ, Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ἡ πηγὴ τῶν ἀγαθῶν... Goar. p. 290. Καὶ μετὰ τὸ 'Αμήν, χρίει ὁ ἱερεὺς τῷ μύρῳ τοὺς βαπτιζομένους, ποιῶν σταυροῦ τύπον ἐπὶ τοῦ μετώπου καὶ τῶν ὀφθαλμῶν, καὶ τῶν ῥινῶν, καὶ τοῦ στόματος, καὶ τῶν δύω ὤτων, καὶ τοῦ στήθους καὶ λέγει οὕτως· Σφραγὶς δωρεᾶς Πνεύματος ἁγίου, 'Αμήν. Καὶ μετὰ τῶν νεοφωτίστων, ψάλλων οὕτως, τὸ Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, καὶ γίνεται ἡ θεία λειτουργία καὶ ἀπολύονται.

л. 113 об. Εὐχὴ εἰς τὸ ἀπολοῦσαι παιδίον.

Ὁ λύτρωσιν ἁμαρτιῶν διὰ τοῦ ἁγίου σου βαπτίσματος τοῖς δούλοις σου... Goar. p. 303. Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεός... καὶ ῥαντίζει τὰ πρόσωπα αὐτῶν ὕδατι, λέγων· 'Εδικαιώθητε, ἡγιάσθητε, ἐκαθαρίσθητε, ἀπολούσασθε εἰς τὸ ὄνομα τοῦ Πατρός, καὶ λύει τὰ ἄμφια αὐτῶν καὶ ἀπολύει.

л. 114. 'Ακολουθία τῶν ἁγίων Θεοφανίων.

Τροπάριον, ἦχος πλ. δ'. Φωνὴ Κυρίου... Διακονικὰ εἰς τὸ ἅγιον ὕδωρ· 'Εν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῆς εἰρήνης... Ὑπὲρ τοῦ ἁγιασθῆναι τὰ ὕδατα... Ὑπὲρ τοῦ δωρηθῆναι αὐτοῖς τὴν χάριν... Ὑπὲρ τοῦ ἀναδειχθῆναι αὐτὰ πηγὴν ἀφθαρσίας... Ὑπὲρ τοῦ γενέσθαι αὐτὰ πηγὴν ἁγιασμοῦ πάντα πάθη... Ὑπὲρ τοῦ ἀναδειχθῆναι αὐτὰ ἁγιασμοῦ δῶρον, νοσημάτων ἀλεξητήριον... Ὑπὲρ τοῦ ῥυσθῆναι... 'Αντιλαβοῦ... Τῆς παναγίας. Πρόλογος τοῦ ἁγίου Βασιλείου· Δοξάζομέν σε, Δέσποτα πανάγιε Θεέ, παντοκράτωρ, δοξάζομέν σε, προάναρχε, προαιώνιε βασιλεῦ, δοξάζομέν σε τὸν πάσης κτίσεως ποιητὴν καὶ δημιουργὸν τῶν ἁπάντων· ἐν γὰρ τῇ προλαβούσῃ ἑορτῇ νήπιόν σε εἴδομεν, ἐν δὲ ταύτῃ τῇ ἑορτῇ τέλειόν σε ὁρῶμεν, τὸν ἐκ τελείου τέλειον ὄντα Θεὸν καὶ ἐπιφανέντα ἡμῖν, σήμερον πανεύφημον ἑορτὴν ἑορτάζομεν τῆς παγκοσμίου ἐπιφανείας σου καὶ τῆς Προδρόμου εὐσπλάγχνου συγκαταβάσεως, σήμερον ὁ τῆς ἑορτῆς ἐπέστη ἡμῖν καιρός. Goar. 365 и двѣ остальныя молитвы.

л. 120 об. Εὐχὴ ἑτέρα εἰς τὸ ἅγιον ὕδωρ. Τὸ αὐτὸ καὶ εἰς ἁγιασμὸν διακονίας. Goar. p. 363.

л. 121 об. Εὐχαὶ διάφοραι. Εὐχὴ εἰς φρέαρ μιασθέν. Ἐκχέει πρῶτον μ΄. κάδους καὶ εἶθ' οὕτως θυμιᾷ καὶ εὔχεται· Κύριε παντοκράτωρ ἐπουράνιε. См. выше стр. 48. Καὶ εἶθ' οὕτως βάλλει τὸ ἁγίασμα τῶν ἁγίων θεοφανίων σταυροειδῶς εἰς τὸ φρέαρ καὶ ἀπογεύεται τοῦ ὕδατος (ὁ ἱερεὺς) καὶ εἶθ' οὕτως ὁ λαός.

л. 123 об. Εὐχὴ ἐπὶ μετανοούντων. Goar. p. 536 (первая).

л. 124 об. Εὐχὴ ἐπὶ ἐξομολογουμένων p. 537 (первая).

л. 125. Εὐχὴ εἰς εὐλογίαν οἴκου. См. ркп. XV в. Свят.-гроб. библ. № 8. л. 66 об.

л. 126. Εὐχὴ ἐπὶ ἐλαίου ἀῤῥώστου. Goar. p. 335.

л. 126 об. Εὐχὴ ἐπὶ ἀῤῥώστου. Ркп. № 957. л. 36 об. См. выше стр. 5.

л. 127. Εὐχὴ εἰς ἀδελφοποίησιν Goar. p. 707.

л. 128. Εὐχὴ εἰς κόλυβα μνήμης ἁγίων Ркп. № 958. л. 94 об. См. выше стр. 35.

л. 129. Εὐχὴ ἐπὶ μιαροφαγησάντων. Goar. p. 534.

л. 130. Εὐχὴ ἐπὶ τῶν ἐν βρώμασι σκανδαλισθέντων. Goar. p. 535.

л. 131. Τάξις γινομένη, εἰ συμβῆ μιαρὸν ἢ ἀκάθαρτον προσφάτως ἐμπεσὸν ἐν ὑποληνίῳ ἢ εἰς ἕτερον εἶδος.

Χρὴ οὖν λοιπὸν ἐπάραι τὸ ἐμπεσὸν ἀκάθαρτον καὶ ῥίψαι ἔξω, ἐὰν μὴ συσσαπῇ καὶ μετὰ τοῦτο πλύνεσθαι ἕτερον ἀγγεῖον καθαρῶς ἔσωθεν καὶ ἔξωθεν καὶ ἐπιῤῥαντίζειν ὕδωρ τῶν ἁγίων θεοφανίων εἰς τὸ ἀγγεῖον σταυροειδῶς γ΄. καὶ οὕτω τὸ μιασθὲν μεταβαλεῖν ἐν αὐτῷ τῷ ἀγγείῳ τῷ καθαρῷ, καὶ φέρει δύο μανουάλια σὺν κηροῖς, ἅπτονται καὶ θυμιᾷ τριγύρωθεν τὸ ἀγγεῖον καὶ εἶθ' οὕτως ἱστάμενος κατὰ ἀνατολὰς λέγει τὴν εὐχὴν ταύτην· Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ ἐν τῇ κατὰ σάρκα σου οἰκονομίᾳ διαστειλάμενος Goar. p. 482.

л. 133. Εὐχὴ ἐπὶ χειμαζομένων ὑπὸ πνευμάτων ἀκαθάρτων Goar. p. 581.

л. 134. Ἐπὶ ἀνομβρίας Goar. p. 613.

л. 135. Εὐχὴ ἀποδημούντων. Ркп. Син. библ. № 958. л. 87 об. См. выше стр. 33.

л. 136. Εὐχὴ προπετῶς ὀμνυόντων. Goar p. 534.

л. 136 об. Εὐχὴ ἐπὶ μαγαρισάντων. Ркп. палимпсестъ Арх. Антонина XIII в. л. 28 въ варіантахъ.

л. 138 об. Εὐχὴ εἰς ἀρχὴν σπορίμων. Goar. p. 557.

л. 139. Εὐχὴ ἐπὶ πλεόντων.

Ὁ Θεὸς ὁ φιλάνθρωπος, ὁ ὑπάρχων πρὸ τῶν αἰώνων, ὁ πρὸ ἑωσφόρου γεννηθεὶς τὸ φῶς τὸ ἐκ φωτός, ὁ Λόγος τοῦ Πατρός, ὁ τεθεὶς ἐν θαλάσσῃ ὁδὸν καὶ ἐν ὕδατι ἰσχυρῷ τρίβον, ὁ τῷ Ἄβελ συναθλήσας καὶ τῷ Ἀβραὰμ πλουτήσας, ὁ τῷ Ἰσαὰκ συνδεθεὶς καὶ τῷ Ἰακὼβ συνωδεύσας, ὁ τῷ Ἰωσὴφ συμπραθείς, καὶ τῷ Μωϋσεῖ συστρατηγήσας, καὶ τῷ Ἰησοῦ τῷ υἱῷ Ναβῆ τὸν λαὸν κατακληροδοτήσας καὶ τιμίῳ ξύλῳ ὑποτάξας. Αὐτὸς Δέσποτα, συνόδευσον τοῖς εἴτε διὰ θαλασσῶν ἢ λιμνῶν ἢ ὁδοιποριῶν τὴν πορείαν ποιουμένοις καὶ πάντας, Χριστέ, ἀποκατάστησον εἰς λιμένας σωτηρίας, σύμπλους καὶ συνοδοιπόρος αὐτῶν γενέσθαι καταξίωσον, καὶ τὴν πορείαν αὐτῶν κατευόδωσον καὶ ἡμῶν, Δέσποτα, τὴν παρεπιδημίαν τὴν ἐν τῷ βίῳ τούτῳ ἀχείμαστον καὶ ἀβλαβῆ διαφύλαξον. Χάριτι καὶ οἰκτιρμοῖς.

л. 134. Εὐχή, λεγομένη εἰς τὸ κτῖσαι καράβιν. Τὸ αὐτὸ καὶ εἰς οἶκον.

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καταξιώσας ἡμᾶς ἐπὶ τῷ ὀνόματί σου τῷ ἁγίῳ οἰκοδομῆσαι σκάφος αὐτούς, τοὺς τὰ σὰ ἐκ τῶν σῶν ἐργαζομένους ἐν τῇ ἀνοικοδομῇ τοῦ πρὸς τὴν σὴν δοξολογίαν κτιζομένου πλοίου, ἐν τῷ πλήθει τῶν σῶν ἐπουρανίων ἀγαθῶν ἀντάμειψαι, καὶ τοὺς ὑπουργοῦντας ἐπίσχυσον, αὐλαβεῖς διαφυλάττων, τὰ θεμέλια αὐτοῦ ἀρραγῆ καὶ ἀσάλευτα διατήρησον, καὶ τέλειον ἀνάδειξον σκεῦός σου, ὅπως ἂν καὶ ἐν αὐτῷ πανευφήμοις δοξολογίαις ἀνυμνῶμέν σε τὸν ἀληθινὸν Θεὸν ἡμῶν· σὺ γὰρ εἶ ὁ Σωτὴρ ἡμῶν, ὁ διασώζων καὶ κατευοδῶν ἐν πᾶσι καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρὶ καὶ τῷ Υἱῷ.

л. 134 об. Εὐχὴ εἰς τὸ εὐλογῆσαι δίκτυα.

Ὁ πλούσιος καὶ ἄφθονος Θεός, ὁ μέγας καὶ μεγαλόδωρος, ὁ τὸν οὐράνιον ἄρτον καὶ τὴν αἰώνιον ζωὴν ἐξαποστείλας τῷ κόσμῳ εἰς σωτηρίαν, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, αὐτὸς ἀγαθὸς καὶ φιλάνθρωπε, καὶ τὰ νῦν δι' αὐτοῦ προκείμενα δίκτυα εὐλόγησον καὶ πλήθυνον τὰ ἀγαθά σου ἐν αὐτοῖς, καὶ δὸς ἡμῖν ἐξ αὐτῶν μεταλαβεῖν ἰχθύων ἐν εἰρήνῃ καὶ ἀγάπῃ, δοξάζοντές σου τὸ πανάγιον ὄνομα τοῦ Πατρός.

л. 135 об. Εὐχὴ ἐπὶ τρυγῆς ἀμπέλου.

Ὁ προσκυνητὸς καὶ Σωτὴρ τῶν ἁπάντων Θεός, ὁ τῆς ἀμπέλου φυτείαν τῷ δικαίῳ Νῶε ὑποδείξας καὶ τὸν λαόν σου Ἰσραὴλ τὸ τῆς σταφυλῆς αἷμα ποτίσας εἰς οἶνον καὶ εἰς γῆν, ῥέουσαν μέλι καὶ γάλα, αὐτὸς ἀγαγὼν καὶ τοὺς ἀμπελῶνας αὐτῶν καὶ ἐλαιῶνας εὐλογήσας. Αὐτὸς Δέσποτα, εὐλόγησον καὶ πλήθυνον τὸν τρυγητὸν τῶν δούλων σου, καὶ τῷ σῷ προστάγματι ὑπερεχυθήσονται αἱ ληνοὶ τοῦ τε οἴνου καὶ τοῦ ἐλαίου αὐ-

τῶν, ἵνα, τὰ σὰ ἐκ τῶν σῶν σοὶ προσφέροντες καὶ τῶν σῶν δωρεῶν ἀπολαύοντες, δοξάζωμεν τὸ πανάγιον ὄνομα τοῦ Πατρός.

л. 136. Εὐχὴ ἐπὶ θέρους.

Ἀγαγὼν ἡμᾶς εἰς τὸν καιρὸν τοῦτον διὰ τὴν σὴν ἀγαθότητα, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν, ὁ πλάσας θέρος καὶ ἔαρ, ὁ τὰς κοιλάδας πληθύνας σίτου, καὶ εὐλογήσας τὸν κύκλον τοῦ ἐνιαυτοῦ καὶ στεφανώσας αὐτὸν τῇ τῶν γεννημάτων καρποφορίᾳ εἰς ἀποστροφὴν τῶν σῶν δούλων. Κύριε, παράσχου τὴν μετάληψιν τῶν γεννημάτων εἰρηνικὴν καὶ ἀκατάκριτον καὶ τὴν εἰσκομιδὴν εὐλογημένην ποίησον, καὶ τοὺς θερίζοντας ἐνίσχυσον καὶ σκέπασον τῇ κραταιᾷ σου χειρί, ἵνα καὶ ὁ θερίζων ὁμοῦ χαίρῃ καὶ ὁ συνάγων, εὐλόγησον τὰ δράγματα καὶ τὴν ἅλωνα, καὶ πλήρωσον τῶν σῶν ἀγαθῶν τὰς τῶν δούλων σου ἀποθήκας, ἵνα, πᾶσαν εὐθηνίαν παρὰ σοῦ λαβόντες, πλουτήσωσιν ἐν ἔργοις ἀγαθοῖς κατὰ τὰς ἐντολάς σου. Ὅτι ηὐλόγηται.

л. 137. Διακονικὰ εἰς μνῆστρα.

Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῶν μνηστευομένων ἀλλήλοις... Ὑπὲρ τοῦ δούλου... Ὑπὲρ τοῦ παρασχεθῆναι αὐτοῖς τε καὶ ἡμῖν... Ὑπὲρ τοῦ ῥυσθῆναι... Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας... Ὁ Θεὸς αἰώνιος Goar. p. 311. Εἰρήνη πᾶσιν. Τὰς κεφαλάς. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὸν ἐξ ἐθνῶν... Ibid.

л. 138 об. Ἀκολουθία εἰς γάμους καὶ εἰς στεφάνωμα.

Ἵσταται ὁ ἱερεὺς ἐν τῷ θυσιαστηρίῳ καὶ οἱ δύο οἱ ἁρμοζόμενοι ἔμπροσθεν εἰς τὰ ἅγια θύρια καὶ λαμβάνει ὁ ἱερεὺς τὸ δακτυλίδιον ἐκ τοῦ νεωτέρου καὶ τίθησιν αὐτὸ ἐν τῇ ἁγίᾳ τραπέζῃ, ἐν ᾗ ἀπόκειται καὶ τὸ ἅγιον ποτήριον, καὶ εἶθ' οὕτως ἄρχεται ὁ διάκονος· Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῶν νυνὶ συναπτομένων πρὸς γάμου κοινωνίαν καὶ συμβίωσιν τοῦ... Ὑπὲρ τοῦ εὐλογηθῆναι τὸν γάμον αὐτῶν, ὡς τὸν ἐν Κανᾷ τῆς Γαλιλαίας. Ὑπὲρ τοῦδε καὶ τῆσδε καὶ τῆς ἐν Χριστῷ συζεύξεως αὐτῶν. Ὅπως Κύριος ὁ Θεὸς ἡμῶν... Ἀντιλαβοῦ... Τῆς παναγίας... Ὁ Θεὸς ὁ ἅγιος πλάσας τὸν ἄνθρωπον Goar. p. 317. Εἶτα στεφανοῖ ἀμφοτέρους καὶ δίδωσιν αὐτοῖς τὰ δακτυλίδια, τὸ μὲν χρυσοῦν τῷ ἀνδρί, τῇ δὲ γυναικὶ τὸ σιδηροῦν, καὶ καταλάσσουσιν ἀμφότεροι, καὶ κρατήσας αὐτῶν τὰς δεξιὰς χεῖρας παραδίδωσιν ἀλλήλοις, λέγει· Εἰρήνη πᾶσιν. Ὁ διάκονος· Τὰς κεφαλάς. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν τῇ σωτηριώδει σου οἰκονομίᾳ καταξιώσας Goar. p. 318 τὰς ἐντολάς σου. Εὐλόγησον αὐτοὺς ὁ Θεός, ὡς εὐλόγησας τὸν Ἰσαὰκ καὶ τὴν Ῥεβέκκαν, εὐλόγησον αὐτούς, ὁ Θεός, ὡς εὐλόγησας τὸν Ἰακὼβ καὶ τὴν Ῥαχήλ, εὐλόγησον αὐτούς, ὁ Θε-

ός, ὡς εὐλόγησας τὸν Ἰωσὴφ καὶ τὴν Ἀσυνέθ, εὐλόγησον αὐτούς, ὁ Θεός, ὡς εὐλόγησας τὸν Μωϋσῆν καὶ τὴν Σεπφόραν, εὐλόγησον, ὁ Θεός, ὡς εὐλόγησας τὸν Ἐλεάζαρ καὶ τὴν Σαλώμην, εὐλόγησον αὐτούς, ὁ Θεός, ὡς εὐλόγησας τὸν Ζαχαρίαν καὶ τὴν Ἐλισάβετ. Καὶ δὸς αὐτοῖς, Κύριε, εὐλογίαν ἀνέκλειπτον καὶ τὸ σπέρμα αὐτῶν πλήθυνον καὶ ἀξίωσον αὐτοὺς τῶν αἰωνίων σου ἀγαθῶν τῆς εὐλογήσεως. Χρὴ οὖν εἰδέναι, ὅτι ἐὰν ἕνα σταφανῶμεν, θένται (sic) τὰ στεφάνια μετὰ τῶν δακτυλιδίων ἐν τῇ ἁγίᾳ τραπέζῃ, ἔνθα κεῖται τὸ ἅγιον ποτήριον, καὶ προτίθεται ἡ εὐχὴ αὕτη· Στεφάνωσον αὐτούς, ὁ Θεός, ὁ στεφανώσας τὸν κύκλον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου, στεφάνωσον αὐτούς, ὁ Θεός, ὁ στεφανώσας τὴν γῆν τῇ τῶν ποικίλων ἀνθέων εὐκοσμίᾳ καὶ ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ διατήρησον αὐτοὺς καὶ εὐλόγησον ἐν ἀγαθοῖς τὴν ζωὴν αὐτῶν, καὶ παράσχου τοῖς δούλοις σου τούτοις καρπὸν κοιλίας ἐνάρετον καὶ παιδοποιίαν εὔτακτον, μακροημέρευσιν εὐεκτέαν καὶ γῆρας τίμιον καὶ πολυχρόνιον, ἵνα ὡς ἐξ ἀγαθῆς ῥίζης ἀγαθὰ καὶ τὰ βλαστήματα ὑπάρχουσιν. Ὅτι σὺ εἶ ὁ στέφανος καὶ τὸ καύχημα τῶν ἁγίων μαρτύρων... Καὶ καταξίωσον ἡμᾶς. Ὁ λαός· Πάτερ ἡμῶν. Ὁ ἱερεὺς ὑψοῖ τὰ προηγιασμένα ἅγια. Ὁ λαός· Εἷς ἅγιος. Εὐχὴ τοῦ ποτηρίου· Ὁ Θεός, ὁ πάντα ποιήσας τῇ ἰσχύϊ σου Goar. p. 319. Καὶ ποτίζει αὐτοὺς καὶ ἀπολύει.

л. 143. Εὐχὴ εἰς τὸ ἐπᾶραι τὰ στεφάνια ἐκ τοῦ θαλάμου. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ παραγενόμενος ἐν Κανᾷ τῆς Γαλιλαίας Goar. p. 322.

л. 144. Εὐχὴ εἰς ἀσθενοῦντας καὶ τῶν ἁγίων ἑπτὰ παίδων τῶν ἐν Ἐφέσῳ.

Εὐλογητὸς εἶ, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ ποιῶν μεγάλα καὶ θαυμάσια, ὁ ποιήσας ἐνδοξότερα ἐπὶ τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ, ὁ θεραπεύων πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν, ὁ τοῖς ἁγίοις σου ἑπτὰ παισὶ Μαξιμιλιανῷ, Ἰαμβλίχῳ, Μαρτίνῳ, Διονυσίῳ, Ἰωάννῃ, Ἐξακουστοδιανῷ καὶ Ἀντωνίνῳ τὸν ὕπνον πρόξενον σωτηρίας χαρισάμενος εἰς τὸ ἐκφυγεῖν τοῦ παρανόμου βασιλέως τὴν ἀπειλήν, αὐτὸς καὶ τὸν δοῦλόν σου τόνδε δὸς ὕπνον γλυκὺν καὶ ῥῶσιν σώματος· εἰ καὶ ὡς ἄνθρωπός τι τῶν ἐντολῶν σου παρέβη, συγχώρησον, Κύριε, καὶ ἀνάστησον καὶ φώτισον αὐτοῦ τὴν ψυχὴν καὶ καθάρισον αὐτὸν ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, καὶ διαφύλαξον αὐτὸν τῇ σῇ χάριτι, σῶον, ὑγιῆ, μακροημερεύοντα, ἀπὸ παντὸς κακοῦ καὶ πάσης ἐνεργείας σατανικῆς τῶν ἀχράντων χειρῶν σου τὸ πλάσμα πρεσβείαις τῆς ἀχράντου Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας καὶ πάντων τῶν ἁγίων σου. Ὅτι σὺ εἶ ὁ ἰατρὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων...

л. 145. Εὐχὴ, λεγομένη, ὅταν ἐνυπνιάζεταί τις ὑπὸ πονηρῶν φαντασμάτων.

Πολυέλεε, εὔσπλαγχνε Κύριε, ἀκήρατε, ἀμόλυντε, ἀναμάρτητε Goar. p. 529.

л. 146. Εὐχὴ τοῦ Χρυσοστόμου, πρὸ τῆς ἁγίας κοινωνίας λεγομένη καὶ εἰς τὸν κοσμικόν, ἐὰν πάσας ἡμέρας μὴ κοινωνήσῃ.

Κύριε οὐκ εἰμὶ ἄξιος οὔτε ἱκανὸς и т. д. Нынѣ въ молитвахъ ко причащенію.

л. 148 об. Εὐχὴ τῆς γονυκλισίας καὶ ἁγίας Πεντηκοστῆς.

Первыя пять молитвъ и на главопреклоненіе, что у Гоара pag. 597—603. Нѣтъ молитвъ: „Ὁ Θεὸς ὁ μέγας, ὁ αἰώνιος, ὁ ἅγιος καὶ φιλάνθρωπος... и Ὁ Θεὸς ὁ μέγας καὶ ὕψιστος... т. е. третье чтеніе состоитъ всего изъ одной молитвы.

л. 165. Чтенія апостольскія и евангельскія на разные дни праздниковъ и чтимыхъ святыхъ. О евангеліи отъ Луки: „Во время оно воставше Маріамъ“ замѣчается: εὐαγγέλιον τῆς Θεοτόκου ἀναγινώσκομεν ἐπὶ παννυχίδας καὶ εἰς ὄρθρον.

**VII.** № 961. Εὐχολόγιον, рукопись Синайск. библ. въ 16 долю листа, 100 листовъ, на пергаменѣ писана мелкимъ небрежнымъ[1]) почеркомъ XI—XII вѣка.

л. 1. Εὐχολόγιον σὺν Θεῷ τελειωμένον τοῦ ἁγίου Βασιλείου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου.

Литургія, хотя состоитъ изъ молитвъ, какъ и въ предыдущихъ спискахъ, но имѣетъ нѣсколько интересныхъ особенностей. Начинается чинъ молитвою: „Εὐχὴ ἐν σκευοφυλακίῳ, ἀποτιθεμένου τοῦ ἄρτου τῆς προθέσεως ἐν δίσκῳ“—Ὁ Θεὸς ὁ Θεὸς ἡμῶν, ὁ τὸν οὐράνιον ἄρτον. Εὐχὴ κατηχουμένων· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν οὐρανοῖς κατοικῶν именемъ Василія Великаго не надписывается. Молитва: Οὐδεὶς ἄξιος τῶν συνδεδεμένων...не имѣетъ никакого надписанія. Κύριε ὁ Θεὸς

---

[1]) Почеркъ настоящей рукописи столь неопредѣленный, что архимандритъ Антонинъ относитъ ее къ XI в. (Библіотечный ркп. каталогъ), а Гардгаузенъ къ XIII в. (Catalog. cod. graecorum Sinait. Oxon. 1886 an. p. 204), но вѣрнѣе это почеркъ не XI и не XIII в., а переходнаго времени отъ XI вѣка къ XII в. Начертаніе буквъ подтверждаетъ это наше соображеніе.

ἡμῶν, ὁ κτίσας ἡμᾶς надписывается, какъ въ Севаст. спискѣ № 374 *Красносельцевъ*. Опис. стр. 247. Послѣ возгласа діакона: Ἀγαπήσωμεν ἀλλήλους замѣчено: *καὶ μετὰ τὸ δοθῆναι τὴν ἀγάπην καὶ νίψασθαι πάντας, λέγει ὁ διάκονος*· Τὰς θύρας τὰς θύρας. *Καὶ ὁ ἀρχιδιάκονος*· Ἐν σοφίᾳ πρόσχωμεν. *Καὶ μετὰ τὸ εἰπεῖν τὸν λαὸν τὸ ἅγιον σύμβολον καὶ τὸν διάκονον*· Στῶμεν καλῶς, *καὶ λέγει ὁ ἀρχιερεύς*· Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. *Ὁ λαός*· Καὶ μετὰ τοῦ πνεύματός σου. *Ὁ ἱερεύς*· Ἄνω σχῶμεν τὰς καρδίας. *Ὁ λαός*· Ἔχομεν πρὸς τὸν Κύριον. *Ὁ ἱερεὺς ἄρχεται τῆς ἁγίας ἀναφορᾶς*· Ὁ ὢν Δέσποτα Θεὲ Πάτερ παντοκράτορ... *Красное.* стр. 251 *Ὁ διάκονος*· Πρόσχωμεν (т. е. послѣ молитвы: Δέσποτα Πάτερ τῶν οἰκτιρμῶν καὶ Θεὸς πάσης παρακλήσεως) *καὶ μετὰ τὸ εἰπεῖν τὸν διάκονον τὸ* Πρόσχωμεν, *εὐχὴν ποιεῖ ὁ ἱερεὺς καθ' ἑαυτόν, μέλλων ὑψῶναι τὸν ἅγιον ἄρτον, λέγων οὕτως*· Πρόσχες Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν Тамъ же стр. 275. Τὰ ἅγια τοῖς ἁγίοις. *Καὶ μετὰ τὸ εἰπεῖν τὸν λαὸν τὸ* Εἷς ἅγιος, *λαμβάνει ἐκ τοῦ ἁγίου σώματος μερίδα ὁ ἱερεὺς καὶ βάλλει εἰς τὰ ποτήρια, λέγει*· Πλήρωμα Πνεύματος Ἁγίου. *Καὶ μεταδιδοὺς ἐπιφθέγγεται*· Σῶμα τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Σῶμα τοῦ ἐκ τοῦ Πατρὸς γεννηθέντος καὶ οὐ ποιηθέντος. Σῶμα τοῦ ὑπὸ τῶν προφητῶν κηρυχθέντος. Σῶμα Δεσπότου τῶν ἀγγέλων. *Ποιοῦντος τοῦ διακόνου τὴν εὐχήν, ὁ ἱερεὺς ἐπεύχεται*· Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς ἡμῶν, ἐπὶ τῇ μεταλήψει... Тамъ же стр. 276 *Ὁ διάκονος*· Ἐν εἰρήνῃ προέλθωμεν. *Ὁ λαός*· Ἐν ὀνόματι Κυρίου. Εὐχὴ ὀπισθάμβωνος· Ὁ εὐλογῶν τοὺς εὐλογοῦντάς σε Κύριε... Тамъ же стр. 278. Εὐχὴ τοῦ σκευοφυλακίου· Ἥνωσται καὶ τετέλεσται... Тамъ же стр. 279.

л. 20. *Εὐχὴ κατηχουμένων ἄλλη πρὸ τῆς ἁγίας ἀναφορᾶς τοῦ Χρυσοστόμου.*

Чинъ состоитъ изъ молитвъ, какъ и предыдущіе списки. Εὐχὴ πιστῶν α΄. *μετὰ τὸ ἁπλωθῆναι τὸ εἰλητόν*· Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς τῶν δυνάμεων... Молитва: Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ μόνος ἅγιος, ὁ δεχόμενος θυσίαν αἰνέσεως надписывается: Εὐχὴ γ΄. προσκομιδῆ Ἰωάννου τοῦ Χρυσοστόμου. Нѣтъ молитвы: Οὐδεὶς ἄξιος. Εὐχὴ ὀπισθάμβωνος ἄλλη· Ὁ Θεὸς ὁ καλέσας, ἁγιάσας (ἡμᾶς), Δέσποτα, καταξίωσον τῆς κλήσεώς σου, φύλαξον ὑπὸ τὴν σκέπην σου, βεβαίωσον ἐν τῇ ὀρθοδόξῳ πίστει, ῥῦσαι ἀπὸ τοῦ πονηροῦ καὶ πάντων αὐτοῦ τῶν ἐπιτηδευμάτων...

л. 27. *Εὐχὴ ἀντιφώνου πρώτου τοῦ λυχνικοῦ.*

Первыя одинадцать молитвъ тѣже, что въ ркп. № 958 (См. выше стр. 21) и съ тѣми же надписаніями, но послѣ молитвы τοῦ

Τρισαγίου· Ὁ Θεὸς ὁ μέγας, ὁ αἰώνιος, ὁ ἅγιος ὁ φιλάνθρωπος Goar. p. 36 непосредственно слѣдуютъ εὐχὴ τῆς ἀπολύσεως· Ὁ Θεὸς ὁ μέγας, ὁ ὕψιστος, ὁ μόνος ἔχων ἀθανασίαν Goar. p. 29 и εὐχὴ τῆς κεφαλοκλισίας· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ κλίνας οὐρανοὺς καὶ καταβάς... Goar. p. 32.

л. 34. Εὐχὴ ἀντιφώνου α'. τῆς παννυχίδος.

Тѣже, что въ рукописи Синайск. библ. № 956. См. выше стр. 13—15.

л. 37 об. Εὐχὴ μεσονυκτινὴ ἀντιφώνου α'.

Тѣже, что въ рукописи № 959 Синайск. библ. См. выше стр. 62—63.

л. 39. Εὐχὴ ἑωθινή.

Всѣхъ утреннихъ молитвъ 11. Порядокъ ихъ до 8 включительно тотъ же, что и у Гоара p. 39—41. Надписываются онѣ: Εὐχὴ ἑωθινὴ α'. εὐχὴ ἑωθινὴ β'. и т. д., а восьмая—εὐχὴ ἑωθινὴ η'. πρὸ τοῦ πεντηκοστοῦ. Молитва девятая: Λάμψον, Δέσποτα βασιλεῦ отсутствуетъ, посему на девятомъ мѣстѣ стоитъ десятая съ надписью: εὐχὴ τοῦ πεντηκοστοῦ, на десятомъ—одинадцатая съ надписью: εὐχὴ τῶν αἴνων, на одинадцатомъ и послѣднемъ—двѣнадцатая съ надписью: εὐχὴ ἤγουν ἀπόλυσις. Къ нимъ присоединяется безъ всякаго надписанія двѣнадцатая молитва на главопреклоненіе: Κύριε ἅγιε, ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ τῷ παντεφόρῳ ὄμματι ἐπιβλέπων. Goar. p. 44.

л. 46. Εὐχὴ ἀντιφώνου α'. γινομένης τριτέκτης.

Тѣже, что въ рукописи № 957 Синайск. библ. (См. выше стр. 9—12), но молитва отпуста неокончена, по отсутствію дальнѣйшихъ листовъ, вырванныхъ изъ рукописи. Вырвано четыре листа.

л. 51. Конецъ молитвы: Ὁ τῶν ἀρρήτων καὶ ἀθεάτων μυστηρίων Θεός... Goar. p. 166 въ чинѣ литургіи преждеосвященныхъ даровъ, и далѣе идетъ окончаніе этой литургіи, ничего въ себѣ особеннаго незаключающее. Εὐχὴ ἐν τῷ συστεῖλαι τὰ ἅγια—нѣтъ.

л. 52. Εὐχὴ εἰς τὸ κατασφραγίσαι παιδίον, λαμβάνον ὄνομα τῇ η'. ἡμέρᾳ τῆς γενέσεως αὐτοῦ.

Κύριε ὁ Θεὸς ἡμῶν, σοῦ δεόμεθα καὶ σὲ ἱκετεύομεν. Goar. pag. 264.

л. 53 на половину оторванный. На об. его содержится молитва ὅταν ἔρχεται παιδίον μετὰ τῆς μητρός... μέραις εἰς τὸν ναόν· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν τεσσαράκοντα ἡμέραις τοῦ νόμου εἰς τὸ ἱερὸν ἐλθὼν... Прилож. къ „Богослужен. въ русск. ц. въ XVI в. ч. I“, стр. 19.

— ... ὅταν προσφέρει εἰς τῆς μητρός του... λέγει οὕτως.

... Δέσποτα Παντοκράτωρ, ὁ φυλάσσων τὰ νήπια καὶ φρουρῶν αὐτά, ὁ (διὰ) τὴν ἀκακίαν ἐν τῷ ἀγκαλισαμένῳ αὐτά, καὶ τὰ νῦν Κύριε εὐλόγησον τὸ σὸν παιδίον, τὸ σὸν κτίσμα, τὴν σὴν δημιουργίαν καὶ αὔξησον, καὶ σόφισον αὐτὸν καὶ τέλειον ἀνάδειξον τὸν δοῦλόν σου τῇ χάριτι τῆς ἁγίας ὁμοουσίου καὶ ἀδιαιρέτου Τριάδος εἰς δόξαν σὴν καὶ τοῦ μονογενοῦς σου. Conf. Goar. p. 265.

л. 54.Εὐχὴ εἰς τὸ ποιῆσαι κατηχούμενον.

До ектеньи буквально сходенъ съ чиномъ въ Тактиконѣ № 279 М. Синод. библ. (Прил. стр. 9—11). Вопросы отрицанія написаны слитно. Διακονικὰ τοῦ βαπτίσματος. Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τοῦ καταφοιτῆσαι... Ὑπὲρ τοῦ ψυχοκτόνου πολεμίου τὴν δύναμιν ἀφανῆσαι τῷ ἐλαίῳ χρίσεως τοῦ Κυρίου. Ὑπὲρ τοῦ τέκνα φωτός... Ὑπὲρ τοῦ θείαν αὐτοὺς κατὰ τῶν ἀντιπάλων... Ὑπὲρ τοῦ σκεύη γενέσθαι... Ὑπὲρ τοῦ περιπατῆσαι αὐτοὺς ἀξίως τῆς κλήσεως, ἐν ᾗ ἐκλήθησαν ὑπὸ τοῦ Κυρίου. Ὑπὲρ τοῦ ἀσφαλῆ καὶ βεβχίαν... Ὑπὲρ τοῦ καταπλουτηθῆναι αὐτούς..· Ὑπὲρ τοῦ ἀκατακρίτως αὐτοὺς μεταλαμβάνειν τῶν ζωοποιῶν μυστηρίων. Ὑπὲρ τοῦ κληρονόμους ἀναδειχθῆναι... Ὑπὲρ τοῦ ῥυσθῆναι... Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας... Conf. Goar. p. 295. Ὅτι πρέπει. Τότε ἐπεύχεται ὁ ἱερεὺς τὴν εὐχὴν ταύτην καθ' ἑαυτόν· Εὔσπλαγχνος καὶ ἐλεήμων Θεός, ὁ ἐτάζων... p. 288. Καὶ τὸ Ἀμὴν καθ' ἑαυτὸν λέγει. Μετὰ τὸ συμπληρῶσαι τὸν ἀρχιδιάκονον, ἄρχεται ὁ ἱερεὺς τῆς τῶν ἁγίων βαπτισμάτων εὐχῆς, λέγει οὕτως· Μέγας εἶ Κύριε... p. 288. Далѣе до момента погруженія крещаемаго въ воду буквально сходно съ Тактикономъ № 279 (Прилож. 13 стр.). Καὶ τότε χρίεται ὑπὸ τοῦ διακόνου ὅλον τὸ σῶμα, καὶ μετὰ τοῦτο βαπτίζεται ὑπὸ τοῦ ἱερέως, λέγων οὕτως· [2]) Βαπτίζεται ὁ δεῖνα εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος νῦν καὶ ἀεί. Καὶ μετὰ τὸ βαπτισθῆναι πάντας ἀπάρχεται ὁ ἱερεύς· Μακάριοι ὧν.. καὶ λέγει σὺν τῷ λαῷ τὸν στίχον τοῦτον γ'. καὶ δοξάζει. Ποιοῦντος τοῦ διακόνου τὴν εὐχήν, τότε ὁ ἱερεὺς ἐπεύχεται εἰς τὸ ἅγιον μῦρον. Εὐχὴ τοῦ μύρου· Εὐλογητὸς εἶ Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ἡ πηγὴ τῶν ἀγαθῶν Goar. p. 290. Εὐχὴ τοῦ σα-

---

[1]) Ркп. Синайск. библ. № 973 нѣтъ этого, а стоитъ: αὐτὸς τῇ αὐτοῦ ἀγαθότητι δωρήσεταί σοι ὑγείαν. [2]) Чинъ этотъ въ рукописи изложенъ спутанно, а посему въ немъ дважды говорится о погруженіи крещаемаго.

βάνου. Λαμβάνει ὁ ἱερεὺς τὸ σάβανον, ὅταν χρίσῃ τῷ ἁγίῳ ἐλαίῳ καὶ περιτίθησι τῷ ἀναδόχῳ, λέγων οὕτως τὴν εὐχὴν ταύτην· Ὁ Δεσπότης καὶ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ὁ ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας, εὐλογήσει [1]) σοι ἐπὶ τῇ ἀγαθῇ σου πίστει καὶ δώσει σοι Κύριος ὑγείαν ψυχῆς καὶ σώματος, χαρίσεταί σοι τὰ πνευματικά σου καὶ τὰ σαρκικά σου τέκνα, καὶ ἔσει εὐλογημένος ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. Μετὰ τοῦτο βαπτίζεται ὑπὸ τοῦ ἱερέως, λέγων οὕτως· Βαπτίζεται ὁ δοῦλος ὁ δεῖνα τοῦ Θεοῦ... Καὶ μετὰ τὴν εὐχὴν τοῦ μύρου, χρίει ὁ ἱερεὺς τῷ ἁγίῳ μύρῳ τὸν βαπτιζόμενον, ποιῶν τύπον σταυροῦ ἐπὶ τοῦ μετώπου, τῶν ὀφθαλμῶν καὶ τῶν μυκτήρων, καὶ τοῦ στόματος καὶ β'. ὤτων, καὶ τῶν μεταφρένων, λέγων οὕτως· Σφραγὶς δωρεᾶς Πνεύματος ἁγίου εἰς τὴν πλήσμην σοφίας, εἰς ὑπακοὴν πίστεως νῦν καὶ ἀεί. Εὐχὴ τοῦ κουκουλίου· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν σου καταπέμψας τὸ πανάγιόν σου Πνεῦμα εἰς τοὺς ἁγίους σου μαθητὰς καὶ ἀποστόλους, κατάπεμψον καὶ ἐπὶ τὸν δοῦλόν σου τὸν νεοφώτιστον τὸ πανάγιόν σου Πνεῦμα, συγκαταρίθμησον αὐτὸν μετὰ τῶν εὐαρεστησάντων τὸ ὄνομά σου τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος νῦν καὶ ἀεί. Καὶ εἶθ' οὕτως ἄρχεται ὁ ἱερεύς· Ὅσοι εἰς Χριστόν... καὶ εἰσέρχεται εἰς τὸ ἅγιον βῆμα μετὰ τῶν νεοφωτίστων καὶ ποιεῖ εὐχὴν καὶ ἀπολύει.

λ. 68. Εὐχή, ὅταν ἀποδώσῃ τὸ παιδίον εἰς τὸν οἶκον καὶ δίδει (εἰς) τὴν μητέρα αὐτοῦ.

Ὁ Δεσπότης καὶ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ὁ ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας, αὐτὸς καὶ νῦν τὸν δοῦλόν σου τοῦτον εὐλόγησον ἐπὶ τῇ ἀγαθῇ αὐτοῦ πίστει καὶ δώρησαι αὐτῷ καὶ τοῖς γονεῦσι, καὶ ἀναδόχοις αὐτοῦ, καὶ πᾶσι τοῖς συμπαρεστῶσιν ὑγείαν ψυχῆς καὶ σώματος καὶ πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα, καὶ χάρισαι αὐτοῖς τὰ σαρκικὰ καὶ πνευματικὰ αὐτῶν τέκνα καὶ ἔσει εὐλογημένος διὰ παντὸς εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Χάριτι καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου.

λ. 68. Εὐχὴ (εἰς τὸ) ἀποδιαδῆσαι.

Ὁ λύτρωσιν ἁμαρτιῶν διὰ τοῦ βαπτίσματος τὸν δοῦλόν σου δωρησάμενος, Δέσποτα Κύριε, τὸν φωτισμὸν τοῦ προσώπου σου ἐν τῇ καρδίᾳ αὐτοῦ ἐναυγάζειν διὰ παντὸς εὐδόκησον, τὸν θυρεὸν τῆς πίστεως ἐπὶ τῇ σῇ πέτρᾳ θεμελίωσον, τὸ ἔνδυμα τῆς ἀφθαρσίας παντὸς ῥύπου ἁμαρτημάτων ἀμόλυντον διατήρησον, τὴν πνευματικὴν σφραγίδα ἐν τῇ ἡμέρᾳ τῆς φοβερᾶς κρίσεως ἀνεξάλειπτον διαφύλαξον, ἵλεως αὐτῶν τε καὶ ἡμῶν γε-

νόμενος κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου. Ὅτι ἀγαθός. Εὐχὴ τῆς κεφαλοκλισίας· Οἱ ἐνδυσάμενοί σε τὸν Χριστὸν Goar. p. 304.

л. 69. Πρόλογος εἰς τὸ ὕδωρ τῶν ἁγίων Θεοφανίων.

Εὐλογητὸς εἶ, Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ πανάγιος, εὐλογητὸς εἶ ὁ δεδοξασμένος εἰς τοὺς αἰῶνας, εὐλογημένος εἶ ὁ καθήμενος ἐπὶ θρόνου δόξης σου, ὁ μέγας καὶ φοβερὸς καὶ ὑπερένδοξος, ὁ ἐπὶ πᾶσι τοῖς ἔργοις... Σήμερον γὰρ ἡ χάρις τοῦ ἁγίου σου Πνεύματος ἐν εἴδει περιστερᾶς τοῖς ὕδασιν ἐπιφαίνεται, σήμερον ὁ ἥλιος ἄδυτος καὶ ὁ κόσμος τῷ φωτὶ Κυρίου καταυγάζεται... τὸ τῆς μεγάλης οἰκουμένης μυστήριον, ὅτι ὁ πρὸ αἰώνων Θεὸς ἐκ Παρθένου τεχθῆναι οὐκ ἀδόξησεν, οὐδὲ ὑπὸ Ἰωάννου βαπτισθῆναι ἀπηξίωσεν, οὐδὲ ὁ Λόγος τὴν φύσιν ἤλεγξεν, οὐδὲ τὸ βάπτισμα τὴν δεσποτικὴν ἀξίαν ἠλλοίωσεν... Εὐχὴ εἰς τὸ ὕδωρ τῶν ἁγίων Θεοφανίων, λεγομένη ἔσω ἐν τῇ ἐκκλησίᾳ· Μέγας εἶ, Κύριε, καὶ θαυμαστὰ τὰ ἔργα σου... Καὶ μετὰ τὸ Ἀμήν, λέγει· Εἰρήνη πᾶσι. Καὶ τοῦ διακόνου λέγοντος· Τὰς κεφαλάς, ἐπεύχεται ὁ ἱερεύς· Κλῖνον, Κύριε, τὸ οὖς σου.

л. 76. Διακονικὰ τῶν φώτων.

Εἴπωμεν πάντες... Ἐξ ὅλης ψυχῆς... Ὁ πλούσιος ἐν ἐλέει... Ὁ μὴ βουλόμενος... Ὑπὲρ τοῦ ἐπισκόπου... Ὑπὲρ τοῦ ἁγιασθῆναι τὰ ὕδατα ταῦτα... Ὑπὲρ τοῦ καταφοιτῆσαι... Ὑπὲρ τοῦ δωρηθῆναι αὐτοῖς... Ὑπὲρ τοῦ εἰσακοῦσαι τὸν Θεὸν λόγον... Ὑπὲρ τοῦ ἐπισκιάσαι οὐρανόθεν. Ὑπὲρ τοῦ καταπέμψαι Κύριον τὸν Θεόν. Ὑπὲρ τοῦ ἀνακαινίσαι Κύριον τὸν Θεόν. Ὑπὲρ τοῦ καταπέμψαι τὸν Κύριον τὸν Θεὸν ἐφ' ἡμᾶς... εἴπωμεν πάντες. Ὑπὲρ τοῦ ῥυσθῆναι. См. выше стр. 44.

л. 77. Εὐχὴ διὰ φόβον ἐν λιτῇ. Ркп. XVI в. Есфигмен. библ. № 208. л. 78.

л. 77 об. Εὐχὴ τοὺς ἀπὸ αἱρέσεως ἐπιστρέφοντας.

Ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, ὁ βουλόμενος πάντας ἀνθρώπους σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθινὴν εἰσελθεῖν... Εὐχὴ τῆς κεφαλοκλισίας· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καταξιώσας τέλειον ἀναδεῖξαι τὸν δοῦλόν σου... Goar pag. 695.

л. 78 об. Εὐχὴ ἐπὶ κουρεύτρων.

Δέσποτα Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν τοῦ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, ὁ τὴν τούτων πολλὴν εὐλογίαν τῆς χρηστότητος ἀναδείξας καὶ ὑποδείξας αὐτοῖς θύραν παραδείσου καὶ πύλας οὐρανοῦ ἀνεῴξας αὐτοῖς, ὁ δι' αὐτῶν τε καὶ τῶν ἁγίων σου ἀποστόλων, καὶ προφητῶν ὑποδείξας καταγγέλλειν τὰ μεγάλα τῆς ἀχράντου καὶ ζωοποιοῦ Τριάδος. Αὐτὸς καὶ νῦν

εὐλόγησον τὸν δοῦλόν σου τόνδε ἐπὶ τομῇ τῶν αὐτοῦ τριχῶν, χάρισαι αὐτῷ ὑγείαν ψυχῇ καὶ σώματι, χάρισαι αὐτῷ μακροημέρευσιν, καὶ τοὺς σωματικοὺς αὐτοῦ γονεῖς εὐλόγησον καὶ διαφύλαξον. Ὅτι ηὐλόγηται καὶ δεδόξασται... Εὐχὴ τῆς κεφαλοκλισίας· Ὁ Δεσπότης καὶ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ὁ ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας, εὐλογήσει καὶ αὐτόν σε (sic) ἐπὶ τῇ ἀγαθῇ πίστει, δωρήσεταί σοι ὑγείαν ψυχῇ καὶ σώματι, καὶ πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα, χαρίσεταί σοι ὁ Θεὸς τὰ πνευματικὰ καὶ σαρκικά σου τέκνα, καὶ ἔσει εὐλογημένος εἰς τοὺς αἰῶνας.

л. 79. Εὐχὴ εἰς φρέαρ.

Δέον τὸν ἱερέα θυμιᾶν κύκλῳ τοῦ φρέατος γ'. ἐξαντλῆσαι τὸ ὕδωρ, καὶ οὕτως ἐκ τῶν ἁγίων θεοφανίων ἐπιβάλλειν ὕδωρ ἁγίασμα, καὶ οὕτως κεχρῆσθαι. Κύριε παντοκράτωρ, ἐπουράνιε ὁ Θεός, ὁ μέγας καὶ ἀνεξιχνίαστος... См. выше стр. 48.

л. 80. Εὐχὴ ἐπὶ τῶν ἐν βρώματι σκανδαλισθέντων. Goar. p. 535.

л. 81. Εὐχὴ ἐπὶ μιαροφαγησάντων. Goar. p. 534.

л. 81 об. Τάξις, γινομένη, εἰ συμβῇ μιαρὸν καὶ ἀκάθαρτόν τι προσφάτως ἐμπεσὸν ἐν ἀγγείῳ οἴνου ἢ ἐλαίου. Ркп. № 962 л. 131. См. выше стр. 71.

л. 83. Εὐχὴ ἐπὶ τελευτήσαντος ἱερέως καὶ μοναχοῦ· Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς ἡμῶν, ὅτι σοῦ μόνον τὸ ζῆν, ἀθάνατε... Goar. p. 452.

л. 84. Εὐχὴ ἄλλη ἐπὶ τελευτήσαντος.

Ὁ Θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκός... p. 424. Καὶ τοῦ διακόνου λέγοντος· Τὰς κεφαλάς, ἐπεύχεται ὁ ἱερεύς· Κύριε, Κύριε, ἡ τῶν θλιβομένων... p. 453.

л. 85. Εὐχὴ ἄλλη ἐπὶ τελευτήσαντος.

Ὁ διδοὺς πνοὴν πάσῃ σαρκὶ καὶ πάλιν ἀναλαμβάνων ἀπὸ κόσμου τὰς ψυχάς, ἐπιστρεφούσας ἐπὶ σέ, καὶ κατοικῶν ἐν μοναῖς, αἷς ἡτοίμασας, πρόσδεξαι τὸ πνεῦμα τοῦ δούλου σου, κατατάσσων ἐν ἀνέσει καὶ κατασκηνῶν εἰς τόπον χλόης καὶ ἀναπαύσεως, διδοὺς ἁμαρτημάτων συγχώρησιν, πλημμελημάτων ἄφεσιν, πάσης τῆς ἐν τῷ βίῳ κακίας συγγνώμην, ὅτι φιλάνθρωπος εἶ καὶ ἀγαθὸς εἰδὼς συγχωρεῖν πλημμελήματα καὶ ὑπερβαίνοντα ἁμαρτήματα, τὴν ψυχὴν αὐτοῦ ἐκεῖ ἀνάπαυσον, ἡμᾶς δὲ ἐνταῦθα εἰρήνευσον καὶ διαφύλαξον, τοῖς συνελθοῦσι τὸν κάματον εἰς δικαιοσύνην δώρησαι. Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος.

л. 85 об. Εὐχὴ εἰς τὸ κουρεῦσαι παιδίον.

Σὲ ἱκετεύομεν, Κύριε ὁ Θεὸς τῆς σωτηρίας ἡμῶν. Goar. p. 306.

л. 86. Εὐχὴ εἰς ἀδελφοποίησιν. Goar. p. 707.

л. 86 об. Εὐχὴ εἰς κόλυβον ἁγίων. Ркп. № 958 Син. библ. См. выше стр. 35.

л. 87. Εὐχὴ ἐπὶ ἀῤῥώστου Ркп. № 958. См. выше стр. 5.

л. 87 об. Εὐχὴ ἐπὶ ἐλαίου ἀῤῥώστου... Goar. p. 335.

л. 88. Εὐχὴ εἰς εὐλογίαν οἴκου. Ркп. XV в. Св.-гроб. библ. № 8. л. 66 об.

л. 88 об. Εὐχὴ ἐν τῷ μέλλειν ἀριστᾶν. Goar. p. 569.

— Εὐχὴ μετὰ τὸ ἀνιστάναι ἐκ τοῦ ἀρίστου. Ibidem.

л. 89. Εὐχὴ εἰς οἰκοδομίαν ἐκκλησίας. Goar. p. 485.

л. 89 об. Εὐχὴ ἐπὶ ἀνομβρίας. Goar. p. 613.

л. 90. Εὐχὴ τοῦ ὄρθρου τοῦ εὐαγγελίου. pag. 41.

л. 90 об. Εὐχή, γινομένη τῇ ἁγίᾳ Πεντηκοστῇ, γινομένης γονυκλισίας. Первая молитва Goar. 597. Возгласъ: Σὸν γάρ ἐστι τὸ ἐλεεῖν καὶ σώζειν. Καὶ λοιπὸν συνάπτει, λέγει· Εὐλογητὸς εἶ, Κύριε Δέσποτα Παντοκράτωρ, т. е. прибавленіе къ первой молитвѣ. p. 598.

л. 93. Εὐχὴ ἐπὶ τοῦ μέλλοντος λαμβάνειν σχῆμα μοναχικόν.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἀξίους σου νομοθετήσας τοὺς τὰ βιωτικὰ πάντα καταλιπόντας... Goar. p. 380. Εἰπέ, τέκνον, τί συνήλθαμεν ἐνταῦθα; Καὶ ἀποκρίνεται ὁ ἀποταξάμενος· Ποθοῦντα τὸν βίον τῆς ἀσκήσεως, ἐκ γ'. Εὐχὴ εἰς σχημοναχούς· Καλὸν ἐπεπόθησας, βίος ἀποστολικὸς ἐστίν. Εἰ οὖν βούλῃ μοναχὸς γενέσθαι, πρὸ πάντων καθάρισον ἑαυτὸν ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, ἐπιτελῶν ἁγιωσύνην ἐν φόβῳ Θεοῦ, κτῆσαι ταπεινοφροσύνην, δι' ἧς κληρονόμος γενήσῃ τῶν αἰωνίων ἀγαθῶν, ἀπόθου τῆς βιωτικῆς συνηθείας τὸ θράσος, ὑπακοὴν ἔχε πρὸς πάντας, ἀγόγγυστος ἔσο ἐν ταῖς ἐπιτασσομέναις σοι διακονίαις, ἐν τῇ εὐχῇ προσκαρτερικός, ἐν ταῖς ἀγρυπνίαις μὴ κατόκνει, ἐν πειρασμοῖς μὴ ἀθύμει, ἐν τῇ νηστείᾳ μὴ ἐκλύου, γινώσκων, ὅτι διὰ προσευχῆς καὶ νηστείας δεῖ ἐξιλεώσασθαι τῷ Θεῷ, ἐν ἀσθενείαις μὴ ὀλιγώρει, ἐπιτήρει δὲ τοὺς πονηροὺς λογισμούς, ὅτι οὐκ ἔχει παύσασθαι ὁ ἐχθρός, ὑποβάλλων σοι μνήμην τοῦ προτέρου βίου καὶ μῖσος πρὸς τὴν ἐνάρετον ταύτην καὶ ἀγγελικὴν πολιτείαν· σὺ οὖν, τέκνον, νῆφε ἐν πᾶσι, κακοπάθησον, ὡς καλὸς στρατιώτης Χριστοῦ· Αὐτὸς γὰρ ὁ Κύριος ἡμῶν καὶ Θεός, πλούσιος ὢν δι' ἡμᾶς ἐπτώχευσεν, ἵνα ἡμεῖς πλουτήσωμεν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. Μιμητὴς γενοῦ τοῦ Κυρίου, προκόπτων ἐν ταῖς ἐντολαῖς αὐτοῦ ἡμέρας καὶ νυκτός. Ἐὰν οὕτως διαμαίνῃς διατελῶν, ἀξιωθῇς καὶ τῆς τελειότητος τοῦ ἀποστολικοῦ τούτου χαρίσματος καὶ συγχωρεύσῃς ἅμα τῇ ἐκλεκτῇ ταύτῃ ποίμνῃ ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν ἅμα τῷ Πατρὶ δόξα σὺν τῷ παναγίῳ. Conf. Goar. p.

383—384. Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ῥυσάμενος τὸν δοῦλόν σου τόνδε Goar. p. 378. Εὐχὴ τῆς κεφαλοκλισίας· Κύριε, Κύριε, ἡ δύναμις τῆς σωτηρίας ἡμῶν. Goar. p. 379.

л. 96 об. Евангельскія чтенія и апостольскія на праздники и на различные случаи.

# XII ВѢКЪ.

**VIII.** 973. Εὐχολόγιον, рукопись Синайск. библ. на бомбицинѣ въ 16 долю листа, 169 листовъ, писана весьма четкою и прямою скорописью 1153 года. Время написанія опредѣляется слѣдующею припискою въ концѣ евхологія: Ἐγράφη ἡ βίβλος αὕτη διὰ χειρὸς Αὐξεντίου πρεσβυτέρου ἔτους ͵ϛχξα'. ἰνδικτιῶνος α'. Εὔχεσθε οἱ ἀναγινώσκοντες ὑπὲρ αὐτοῦ διὰ τὸν Κύριον.

л. 1. Πίναξ σὺν Θεῷ τῆς βίβλου. Κύριε, εὐλόγησον.

л. 3. Ἡ θεία λειτουργία τοῦ ἁγίου Ἰωάννου Χρυσοστόμου.

Ὁ Θεός ὁ Θεὸς ἡμῶν, ὁ τὸν οὐράνιον ἄρτον, τὴν τροφὴν τοῦ παντὸς κόσμου... Goar. p. 51. Εὐχὴ τοῦ θυμιάματος· Θυμίαμα προσφέρομεν ἐνώπιόν σου, Κύριε ὁ Θεός... Goar. p. 51. Λέγει ὁ διάκονος· Εὐλόγησον, δέσποτα. Ἐκφώνησις· Εὐλογημένη ἡ βασιλεία... Ὁ διάκονος· Ἐν εἰρήνῃ κ. τ. λ. p. 52. Εὐχὴ ἀντιφώνου πρώτου· Κύριε ὁ Θεὸς ἡμῶν, οὗ τὸ κράτος ἀνείκαστον... Ὁ διάκονος· Ἀντιλαβοῦ, σῶσον... Ἐκφώνησις· Ὅτι πρέπει σοι... Ὁ διάκονος· Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι... Ὁ λαός· Καὶ ψάλλειν τῷ... Τοῦ ἀναγγέλλειν τὸ πρωΐ... Ὁ λαός· Ὅτι εὐθὺς Κύριος... Δόξα Πατρὶ καὶ Υἱῷ καὶ νῦν. Ταῖς πρεσβείαις. Ἔτι καὶ ἔτι... Εὐχὴ ἀντιφώνου β'. Κύριε ὁ Θεὸς ἡμῶν, σῶσον τὸν λαόν σου... Ἀντιλαβοῦ. Ἐκφώνησις· Ὅτι σὸν τὸ κράτος. Ὁ διάκονος· Ὁ Κύριος ἐβασίλευσεν. Ὁ λαός· Ἐνεδύσατε κ. τ. λ. Καὶ νῦν. Ὁ μονογενὴς Υἱός. Εὐχὴ ἀντιφώνου γ'. Ὁ τὰς κοινὰς ταύτας καὶ συμφώνους ἡμῖν... Ὁ διάκονος· Ἔτι καὶ ἔτι... Ἐκφώνησις· Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος... Ὁ διάκονος· Δεῦτε ἀγαλλιασώμεθα. Ἀλαλάξωμεν... Εὐχὴν λέγει ὁ ἱερεὺς τῆς εἰσόδου· Δέσποτα Κύ- ὁ Θεὸς ἡμῶν, ὁ καταστήσας ἐν οὐρανοῖς τάγματα... Σοφία, ὀρθοί. Δεῦτε προσκυνήσωμεν, καὶ εὐθὺς τὸ τροπάριον τῆς ἡμέρας, εἶτα τὸ Τρισάγιον, ὁ δὲ ἱερεὺς λέγει εὐχὴν τοῦ Τρισαγίου· Ὁ Θεὸς ὁ ἅγιος, ὁ ἐν ἁγίοις ἀναπαυόμενος ὁ τρισαγίῳ φωνῇ ὑπὸ τῶν σεραφὶμ ἀνυμνούμενος, καὶ ὑπὸ πάσης ἐπουρανίου δυνάμεως προσκυνούμενος... Εἶτα τὸ προκείμενον. Ὁ ἱερεύς· Πρόσχωμεν. Εἰρήνη πᾶσι. Σοφία. Καὶ εὐθὺς μετὰ τὸ προκείμενον,

*

ὁ ἀπόστολος καὶ τὸ Ἀλληλούια, καὶ εὐθὺς τὸ εὐαγγέλιον. Goar. pag. 52—66. Εἶτα ὁ διάκονος· Εἴπωμεν πάντες... Κύριε παντοκράτωρ... Ὁ μὴ βουλόμενος τὸν θάνατον ἡμῶν... Ὁ πλούσιος ἐν ἐλέει καὶ ἀγαθὸς ἐν οἰκτιρμοῖς... Ἐλέησον ἡμᾶς... Ἔτι ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων ἡμῶν βασιλέων, καὶ ὑποτάξαι ὑπὸ τοὺς πόδας... Ἔτι ὑπὲρ συστάσεως καὶ εἰρήνης τῶν χριστιανῶν, ἀναῤῥύσεως τῶν αἰχμαλώτων, ἰάσεως τῶν ἀσθενούντων καὶ ὑπὲρ ἀναπαύσεως τῶν ἐν πίστει κεκοιμημένων... Ἔτι ὑπὲρ τοῦ δούλου τοῦ Θεοῦ τοῦδε ὑπὲρ ὑγείας... Ἔτι ὑπὲρ τοῦ δούλου τοῦ Θεοῦ τοῦδε κοιμήσεως... Ἔτι ὑπὲρ καρποφορούντων... Ἔτι ὑπὲρ τοῦ εἰσακοῦσαι Κύριον τὸν Θεὸν τῆς φωνῆς... Εὐχὴ τῆς ἐκτενοῦς· Κύριε ὁ Θεὸς ἡμῶν τὴν ἐκτενῆ ταύτην ἱκεσίαν... Goar. p. 56. Ἐκφώνησις· Ὅτι ἐλεήμων... Ὁ διάκονος· Εὔξασθε οἱ κατηχούμενοι κ. τ. λ. Εὐχὴ κατηχουμένων· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ τὰ ταπεινὰ ἐφορῶν. Goar. p. 56. Ἐκφώνησις· Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξάσωσι... Ὁ διάκονος· Ὅσοι κατηχούμενοι προέλθετε... Εὐχὴ τῶν κατηχουμένων· Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς τῶν δυνάμεων... Goar. p. 57. Ἀντιλαβοῦ, σῶσον. Σοφία. Ὅτι πρέπει σοι πᾶσα δόξα... Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ... Λέγει ὁ ἱερεύς· Πάλιν καὶ πολλάκις σοὶ προσπίπτομεν... Goar. p. 57. Ἀντιλαβοῦ, σῶσον... Σοφία. Ὅπως ὑπὸ τοῦ κράτους... Ὁ λαός· Οἱ τὰ χερουβίμ. Ὁ ἱερεὺς λέγει τὴν εὐχήν· Οὐδεὶς ἄξιος τῶν συνδεδεμένων ταῖς σαρκικαῖς ἐπιθυμίαις... Goar. pag. 58. Ὁ διάκονος· Πληρώσωμεν τὴν δέησιν... Εὐχὴν λέγει ὁ ἱερεύς· Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ μόνος ἅγιος, ὁ δεχόμενος θυσίαν αἰνέσεως... pag. 59. Καὶ σφραγίζων τὰ δῶρα. Λέγει ὁ διάκονος· Ἀντιλαβοῦ, σῶσον... Τὴν ἡμέραν πᾶσαν τελείαν... Ἐκφώνησις· Διὰ τῶν οἰκτιρμῶν τοῦ μονογενοῦς σου Υἱοῦ... Εἰρήνη πᾶσιν. Ὁ διάκονος· Ἀγαπήσωμεν ἀλλήλους. Τὰς θύρας, τὰς θύρας, (ἐν σοφίᾳ) πρόσχωμεν. Ὁ λαός· Πιστεύω εἰς ἕνα Θεόν... Στῶμεν καλῶς... Ὁ λαός· Ἔλεον εἰρήνης... Ἐκφώνησις· Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ... Ὁ λαός· Καὶ μετὰ τοῦ Πνεύματός σου. Ἄνω σχῶμεν τὰς καρδίας. Ἔχομεν πρὸς τὸν Κύριον. Εὐχαριστήσωμεν τῷ Κυρίῳ. Ἄξιον καὶ δίκαιον. Ὁ ἱερεὺς ἐπεύχεται· Ἄξιον καὶ δίκαιον σὲ ὑμνεῖν, σὲ εὐχαριστεῖν... Ἐκφώνησις· Τὸν ἐπινίκιον ὕμνον... Здѣсь не достаетъ многихъ листовъ. Ἐκφώνησις· Ἐξαιρέτως τῆς παναγίας ἀχράντου... Καὶ εὐθὺς λέγει τὴν εὐχήν· Τῶν ἁγίων καὶ ἐπουρανίων δυνάμεων, τοῦ ἁγίου καὶ ἀχράντου τοῦ Σταυροῦ, τοῦ ἁγίου Ἰωάννου τοῦ Προδρόμου καὶ βαπτιστοῦ, τῶν ἁγίων καὶ πανευφήμων ἀποστόλων, τῶν ἁγίων προφητῶν, ἀποστόλων, ἱεραρχῶν, ἱερομαρτύρων, μαρτύρων, ἀσκητῶν καὶ τῶν ἁγίων γυναικῶν ὁ χορός, τοῦ

ὁσίου πατρὸς ἡμῶν Ὀνουφρίου καὶ ἁγίου μεγαλομάρτυρος Γεωργίου, τοῦ ἁγίου τοῦδε, δι' οὗ σήμερον τὴν μνήμην τελοῦμεν, καὶ πάντων τῶν ἁγίων σου, ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς, ὁ Θεός. Καὶ μνήσθητι πάντων τῶν κεκοιμημένων ἐπ' ἐλπίδει ἀναστάσεως ζωῆς αἰωνίου καὶ ἀνάπαυσον αὐτούς, ὅπου ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου. Τὰ δίπτυχα τῶν κεκοιμημένων· Ἔτι παρακαλοῦμέν σε, μνήσθητι, Κύριε, πάσης ἐπισκοπῆς... *Красносельцевъ*. Опис. ркп. Ват. библ. стр. 265. Ἐκφώνησις· Ἐν πρώτοις μνήσθητι, Κύριε... Ὁ διάκονος τὰ δίπτυχα τῶν ζώντων. Εὐχὴν λέγει ὁ ἱερεύς· Μνήσθητι, Κύριε, τῆς πόλεως, ἐν ᾗ παροικοῦμεν, καὶ πάσης πόλεως καὶ χώρας... Тамъ же стр. 269 καὶ ἐπὶ πάντας ἡμᾶς τὰ ἐλέη σου ἐξαπόστειλον. Μνήσθητι, Κύριε, καὶ τῆς ἐμῆς ἀναξιότητος, συγχώρησόν μοι πᾶν πλημμέλημα ἑκούσιον καὶ ἀκούσιον. Ἐκφώνησις· Καὶ δὸς ἡμῖν ἐν ἑνὶ στόματι... Καὶ ἔσται τὰ ἐλέη... Ὁ διάκονος· Πάντων τῶν ἁγίων... Εὐχὴν λέγει ὁ ἱερεύς· Σοὶ παρακατατιθέμεθα τὴν ζωὴν ἡμῶν... Goar. p. 64. Ὁ διάκονος· Ἀντιλαβοῦ, σῶσον... Τὴν ἡμέραν πᾶσαν... Ἐκφώνησις· Καὶ καταξίωσον ἡμᾶς... Πάτερ ἡμῶν... Ὅτι σοῦ ἐστὶν ἡ βασιλεία... Εἰρήνη πᾶσιν. Ὁ διάκονος· Τὰς κεφαλάς. Ὁ ἱερεὺς ἐπεύχεται· Εὐχαριστοῦμέν σοι, βασιλεῦ ἀόρατε... pag. 65. Ἐκφώνησις· Χάριτι καὶ οἰκτιρμοῖς.. Εὐχὴν λέγει ὁ ἱερεύς· Πρόσχες, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν... p. 65. Ὁ δὲ ἱερεὺς ὑψοῖ τὸν ἄρτον, λέγει· Πρόσχωμεν. Ὁ ἱερεύς· Τὰ ἅγια τοῖς ἁγίοις. Εἷς ἅγιος. Βάλλει τὰς μερίδας εἰς τὸ ποτήριον, λέγει· Πλήρωμα Πνεύματος Ἁγίου. Ἀμήν. Καὶ μετὰ τὸ μεταλαβεῖν, ὁ ἱερεὺς λέγει τὴν εὐχήν· Εὐχαριστοῦμέν σοι, Δέσποτα φιλάνθρωπε, εὐεργέτα τῶν ψυχῶν ἡμῶν... pag. 67. Ἐκφώνησις· Ὀρθοὶ οἱ μεταλαβόντες... Ἐκφώνησις· Ὅτι σὺ εἶ ὁ ἁγιασμός... Ἐν εἰρήνῃ προέλθωμεν. Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν. Εὐχὴ ὀπισθάμβωνος· Ὁ εὐλογῶν τοὺς εὐλογοῦντάς σε, Κύριε... pag. 68. Εὐχὴ εἰς τὸ συστεῖλαι· Τὸ πλήρωμα τοῦ νόμου καὶ τῶν προφητῶν... Goar. p. 69.

л. 12. Ἡ θεία λειτουργία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου.

Εὐχὴ κατηχουμένων· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν οὐρανοῖς κατοικῶν... Goar. p. 138. Далѣе излагается обычный порядокъ этой литургіи. Въ настоящемъ чинѣ лишь двѣ особенности, достойныя замѣчанія. Во первыхъ, чтеніе молитвы послѣ возгласа: Ἐξαιρέτως τῆς παναγίας ἀχράντου... въ такомъ видѣ: Τῶν ἁγίων καὶ ἐπουρανίων δυνάμεων, τοῦ ἁγίου Ἰωάννου τοῦ Προδρόμου καὶ βαπτιστοῦ, τῶν ἁγίων καὶ πανευφήμων ἀποστόλων, τοῦ ἁγίου καὶ ἐνδόξου μεγαλομάρτυρος Θεοδώρου καὶ τοῦ ἁγίου τοῦδε, οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων

τῶν ἁγίων σου, ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς, ὁ Θεός, καὶ μνήσθητι πάντων τῶν κεκοιμημένων ἐπ' ἐλπίδει ἀναστάσεως ζωῆς αἰωνίου, καὶ ἀνάπαυσον αὐτούς, ὅπου ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου. Во вторыхъ, чтеніе особой молитвы, вмѣсто „Πρόσχες, Κύριε", съ надписью: Εὐχὴ τῆς ὑψώσεως· Ἐπίβλεψον, Κύριε ὁ Θεὸς ἡμῶν, ἐξ ὕψους ἁγίου σου καὶ ἐπὶ τὴν κληρονομίαν, καὶ καταξίωσον ἡμᾶς μεταλαβεῖν τοῦ ἀχράντου σώματος καὶ τοῦ τιμίου αἵματος καὶ δι' ἡμῶν παντὶ τῷ λαῷ...

л. 21 об. Ἡ θεία λειτουργία τῆς ἁγίας τεσσαρακοστῆς.

Εὐχὴ τῆς προθέσεως· Κύριε οἰκτίρμον καὶ μακρόθυμε, καὶ πολυέλεε, ἐνώτισαι τὴν προσευχὴν ἡμῶν Goar. p. 163. Καὶ εὐθὺς λέγει· Εὐλογημένη ἡ βασιλεία. Ὁ λαός· Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον. Εἶτα λέγει ὁ διάκονος· Ἐν εἰρήνῃ τοῦ Κυρίου... Εὐχή, ἣν λέγει ὁ ἱερεύς· Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς ἡμᾶς... p. 163. Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας, ἀχράντου... Ὅτι πρέπει. Εὐχὴ ἀντιφώνου γ'. Κύριε ὁ Θεὸς ἡμῶν, μνήσθητι ἡμῶν τῶν ἁμαρτωλῶν... p. 163. Εὐχὴ ἀντιφώνου δ'. Ὁ τοῖς ἀσιγήτοις ὕμνοις καὶ ἀπαύστοις δοξολογίαις ἐν τοῖς ὑψίστοις... Goar. p. 29. Ἀντιλαβοῦ, σῶσον. Τῆς παναγίας ἀχράντου. Ἐκφώνησις· Ὅτι σὸν τὸ κράτος. Εὐχὴ πρὸ τοῦ Κύριε ἐκέκραξα· Ἑσπέρας καὶ πρωΐ καὶ μεσημβρίας Goar. p. 164. Εἶτα Κύριε ἐκέκραξα, τὰ στιχηρά, ὁ δὲ ἱερεὺς εἰσοδεύων λέγει· Σοφία, ὀρθοί. Φῶς ἱλαρόν. Πρόσχωμεν. Εἰρήνη πᾶσι καὶ εὐθὺς τὸ πρῶτον ἀνάγνωσμα, καὶ μετὰ τὸ τέλος τοῦ προκειμένου, ἀνιστάμενος ὁ ἱερεύς, κρατῶν δὲ καὶ τὸν θυμιατόν, σφραγίζων λέγει· Σοφία, ὀρθοί. Φῶς Χριστοῦ φαίνει πᾶσιν. Εἶτα τὸ δεύτερον ἀνάγνωσμα, καὶ μετὰ τὸ τέλος τοῦ δευτέρου ἀναγνώσματος, λέγει ὁ ἱερεὺς τὸ Σοφία, ὀρθοί. Πρόσχωμεν. Εἰρήνη πᾶσιν. Εἶτα ὁ ψάλτης τὸ Κατευθυνθήτω καὶ τὰ μεσόστιχα. Ὁ διάκονος· Εἴπωμεν πάντες κ. τ. λ. Εὐχή· Κύριε ὁ Θεὸς ἡμῶν, τὴν ἐκτενῆ ταύτην ἱκεσίαν Goar. p. 114. Ἐκφώνησις· Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεός... Εὔξασθε οἱ κατηχούμενοι... Οἱ πιστοί, ὑπὲρ τῶν κατηχουμένων... Εὐχή, ἣν ποιεῖ ὁ ἱερεύς· Ὁ Θεός, ὁ Θεὸς ἡμῶν, ὁ κτίστης καὶ δημιουργὸς τῶν ἁπάντων... Goar. p. 165. Ἐκφώνησις· Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξάζωσι... Ὁ διάκονος· Ὅσοι κατηχούμενοι κ. τ. λ. Ταῦτα τὰ διακονικὰ λέγονται μέχρι τῆς μεσονηστίμου, ἀπὸ δὲ τῆς μεσονηστίμου προσετέθησαν καὶ ταῦτα· Εὔξασθε οἱ πρὸς τὸ φώτισμα. Οἱ πιστοί, ὑπὲρ τῶν πρὸς τὸ ἅγιον φώτισμα εὐτρεπιζομένων... Εὐχὴν λέγει ὁ ἱερεύς· Ἐπίφανον, Δέσποτα, τὸ πρόσωπόν σου... p. 165. Ἐκφώνησις· Ὅτι σὺ εἶ ὁ φωτισμός. Ὅσοι πρὸ τὸ φώτισμα προέλθετε... Εὐχή, ἣν ποιεῖ ὁ

ἱερεύς· Ὁ Θεὸς ὁ μέγας καὶ αἰνετός... p. 166. Ἀντιλαβοῦ, σῶσον. Σοφία. Ἐκφώνησις· Ὅτι πρέπει. Ἔτι καὶ ἔτι κλίνοντες τὰ γόνατα ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν. Εὐχή, (ἣν) λέγει ὁ ἱερεύς· Δέσποτα ἅγιε, ὑπεράγαθε, δυσωποῦμέν σε τὸν ἐν ἐλέει πλούσιον... Goar. p. 166. Ἀντιλαβοῦ, σῶσον. Σοφία. Ἐκφώνησις· Κατὰ τὴν δωρεὰν τοῦ Χριστοῦ σου... Ὁ λαός· Νῦν αἱ δυνάμεις. Εὐχή, (ἣν) λέγει ὁ ἱερεύς· Ἐπισκεψάμενος ἡμᾶς ἐν ἐλέει καὶ οἰκτιρμοῖς τὴν ταπείνωσιν ἡμῶν, Δέσποτα Κύριε, καὶ χαρισάμενος ἡμῖν τοῖς ταπεινοῖς καὶ ἀναξίοις δούλοις σου... Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμή. C. A. Swainson. The Greek liturgies. London. 1884 pag. 254—258. Ἡ θεία λειτουργία τοῦ ἁγίου ἀποστόλου Ἰακώβου. Cod. Rossanens. Πληρώσωμεν τὴν δέησιν... Εὐχή, ἣν λέγει ὁ ἱερεύς· Ὁ τῶν ἀρρήτων καὶ ἀθεάτων μυστηρίων Θεός... Goar. p. 166. Ἀντιλαβοῦ, σῶσον. Τὴν ἑσπέραν πᾶσαν... Ἐκφώνησις· Καὶ καταξίωσον ἡμᾶς. Ὁ λαός· Πάτερ ἡμῶν. Ἐκφώνησις· Ὅτι σοῦ ἐστὶν ἡ βασιλεία. Εἰρήνη πᾶσι. Τὰς κεφαλὰς ἡμῶν. Εὐχή, ἣν ποιεῖ ὁ ἱερεύς· Ὁ Θεός, Ὁ Θεός, ὁ μέγας καὶ θαυμαστός, ὁ φυλάσσων τὴν διαθήκην σου, ὁ ἐν ὑψηλοῖς κατοικῶν p. 167. Ἐκφώνησις· Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ... Εὐχὴν λέγει ὁ ἱερεύς· Ἐπίβλεψον, Κύριε ὁ Θεός, ἐξ ὕψους ἁγίου σου. (См. стр. 86 въ литургіи В. Великаго). Ὁ ἱερεὺς ὑψοῖ τὸν ἄρτον. Ὁ διάκονος λέγει· Πρόσχωμεν. Τὰ ἅγια τοῖς ἁγίοις. Ὁ λαός· Εἷς ἅγιος, εἷς Κύριος. Εὐχὴ μετὰ τὴν μετάληψιν· Εὐχαριστοῦμέν σοι τῷ Σωτῆρι τῶν ὅλων Θεῷ... p. 168. Ὁ διάκονος· Ὀρθοὶ οἱ μεταλαβόντες... Ἐκφώνησις· Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν... Ἐν εἰρήνῃ προέλθωμεν. Τοῦ Κυρίου δεηθῶμεν. Εὐχὴ ὀπισθάμβωνος, ἣν λέγει ὁ ἱερεύς· Δέσποτα Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ πᾶσαν τὴν κτίσιν ἐν σοφίᾳ δημιουργήσας... p. 168. Εὐχή, λεγομένη ἐν τῷ σκευοφυλακίῳ· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἀγαγὼν ἡμᾶς εἰς τὰς πανσέπτους ἡμέρας ταύτας... p. 168.

л. 27. Εὐχαὶ ὀπισθάμβωνοι τῶν μεγάλων ἑορτῶν. Εὐχὴ ὀπισθάμβωνος εἰς τὰ ἅγια Χριστούγεννα. См. выше стр. 21.

л. 27 об. Εὐχὴ ὀπισθάμβωνος εἰς τὰ ἅγια Θεοφάνια. См. выше стр. 22.

л. 28. Εὐχὴ ὀπισθάμβωνος εἰς τὸν Εὐαγγελισμόν.

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ συνάναρχος τῷ Πατρὶ καὶ συναΐδιος τῷ ἁγίῳ σου Πνεύματι...

л. 27 об. Εὐχὴ ὀπισθάμβωνος εἰς τὸ ἅγιον Πάσχα.

Λαμπρὰ ἡμῖν καὶ σωτήριος ἡμέρα ἐπέφανεν, ἀδελφοί, ἡ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἀνάστασις, καὶ διὰ τοῦτο διαφόροις ἄνδρασι κεκόσμηται ὁ τοῦ Κυρίου ναός...

л. 29. Ἀκολουθία σὺν Θεῷ τοῦ ἑσπερινοῦ.

Ὁ διάκονος λέγει· Εὐλόγησον, δέσποτα. Εὐλογημένη ἡ βασιλεία. Ὁ λαὸς λέγει· Εὐλόγει ἡ ψυχή μου, καὶ εὐθὺς ὁ διάκονος· Ἐν εἰρήνῃ τοῦ Κυρίου... Εὐχὴ τοῦ ἑσπερινοῦ· Ἑσπέρας καὶ πρωῒ καὶ μεσημβρίας... Goar. p. 31. Τὰς δὲ λοιπὰς εὐχὰς ζήτει εἰς τὴν λειτουργίαν τῆς ἁγίας τεσσαρακοστῆς. Ἀντιλαβοῦ, σῶσον... καὶ εὐθὺς τὸ Κύριε ἐκέκραξα, τὰ στιχηρά, τὸ Φῶς ἱλαρόν, καὶ εὐθὺς ὁ διάκονος· Πρόσχωμεν. Εἰρήνη πᾶσι. Σοφία καὶ εὐθὺς προκείμενον. Ὁ δὲ διάκονος· Εἴπωμεν πάντες κ. τ. λ. Εὐχή· Κύριε ὁ Θεὸς ἡμῶν, τὴν ἐκτενῆ ταύτην... Goar. p. 164. Ἐκφώνησις· Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος. Ὁ λαός· Καταξίωσον, Κύριε. Εἶτα τὰ στιχηρά, Νῦν ἀπολύεις. Ἐκφώνησις· Ὅτι σοῦ ἐστὶν ἡ βασιλεία, καὶ εὐθὺς τὸ ¡τροπάριον τῆς ἡμέρας, καὶ εὐθὺς ὁ διάκονος· Πληρώσωμεν τὴν ἑσπερινήν... Εὐχὴν λέγει ἱερεύς· Ὁ Θεὸς ὁ μέγας, ὁ ὕψιστος, ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον... Goar. p. 29. Ἐκφώνησις· Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεός... Εὐχὴ τῆς κεφαλοκλισίας· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ κλίνας οὐρανούς... p. 32. Ἐκφώνησις· Εἴη τὸ κράτος τῆς βασιλείας... Σοφία. Ὁ λαός· Ἐν ὀνόματι Κυρίου. Εὐλογητὸς ἅγιος, εὐλόγησον πάντας... Ὁ ὢν εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε. Ὁ λαός· Ἀμήν. Στερεώσει ὁ Θεὸς καὶ ἀπολύει.

л. 30 об. Ἀκολουθία σὺν Θεῷ τοῦ ὄρθρου.

Μετὰ τὸ εἰπεῖν τὸν διάκονον· Εὐλόγησον, δέσποτα, ἐκφωνεῖ (ὁ ἱερεύς)· Εὐλογημένη ἡ βασιλεία, καὶ εὐθὺς ὁ λαὸς ἄρχονται τὸν ἑξάψαλμον. Καὶ μετὰ τὸ τέλος ὁ διάκονος λέγει· Ἐν εἰρήνῃ τοῦ Κυρίου... Εὐχὴ ἀντιφώνου πρώτου· Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς ἡμῶν. Goar. p. 39. Ἀντιλαβοῦ, σῶσον. Τῆς παναγίας. Ὅτι πρέπει σοι πᾶσα δόξα... Εὐχὴ ἀντιφώνου β'. Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμα ἡμῶν... Ibidem. Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας. Ὅτι ηὐλόγηται καὶ δεδόξασται... Εὐχὴ ἀντιφώνου γ'. Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμα ἡμῶν πρὸς σέ, ὁ Θεός... p. 40. Εἶτα τὸ κάθισμα. Ἀπὸ δὲ τῆς ἕκτης ᾠδῆς, λέγει τὸ κοντάκιον. Προσετέθησαν καὶ ἕτεραι εὐχαὶ διὰ τὸν πολυέλαιον(τῆς) κυριακῆς, ἐν τῇ ἁγίᾳ τεσσαρακοστῇ, γινομένης στιχολογίας, λέγει δὲ καὶ αὐτάς. Εὐχή· Δέσποτα ὁ Θεὸς ὁ ἅγιος, ὁ ἀκατάληπτος... Goar. p. 40. Εὐχὴ ἀντιφώνου ε'. Ἀγαθῶν θησαυρέ, πηγὴ ἀέναος... Ibid. Εὐχὴ ἀντιφώνου ς'. Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς τῶν σωτηρίων ἡμῶν... Goar. p. 40. Εὐχὴ ζ'. Ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ ἐξαναστήσας ἡμᾶς εἰς δοξολογίαν... p. 41. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὴν τοῦ ὕπνου ῥαθυμίαν ἀποσκεδάσας ἀφ' ἡμῶν... p. 41. Εἶτα κοντάκιον καὶ ὁ πεντηκοστός, καὶ εὐθὺς ὁ διάκο-

νος· Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν. Εὐχὴν θ'. λέγει ὁ ἱερεύς· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὴν διὰ μετανοίας ἄφεσιν τοῖς ἀνθρώποις δωρησάμενος... p. 42. Ἀντιλαβοῦ, σῶσον... Τὴν ὀρθρινὴν καὶ τὴν... Ἄγγελον εἰρήνης... Συγγνώμην... κ. τ. λ. καὶ εὐθὺς τὰς ᾠδάς, καὶ μετὰ τὴν θ'. ᾠδὴν λέγει ὁ διάκονος· Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ. Εὐχὴν λέγει ὁ ἱερεύς· Ὁ Θεὸς ὁ Θεὸς ἡμῶν, ὁ τὰς νοερὰς καὶ λογικὰς ὑποστησάμενος δυνάμεις... p. 42. Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας ἀχράντου. Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις... Εἶτα ὁ ἐξαποστηλάριος καὶ οἱ αἶνοι, τὰ στιχηρά. Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ λέγει τροπάριον, ἦχος β'. Σήμερον σωτηρία... Ἀναστὰς ἐκ τοῦ μνήματος... Ὁ ψάλτης· Ἀνάστηθι, Κύριε καὶ εὐθὺς εὐαγγέλιον ἑωθινόν. Ὁ διάκονος. Εἴπωμεν πάντες κ. τ. λ. Εὐχὴ τῆς ἐκτενοῦς· Κύριε ὁ Θεὸς ἡμῶν τὴν ἐκτενῆ ταύτην ἱκεσίαν... p. 164. Ἐκφώνησις· Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος.,. Εὐχή, ἣν λέγει ὁ ἱερεύς· Αἰνοῦμεν καὶ ὑμνοῦμεν, καὶ εὐλογοῦμεν, καὶ δοξάζομεν, καὶ εὐχαριστοῦμέν σοι, ὁ Θεός... p. 42.. Πληρώσωμεν τὴν ἑωθινὴν δέησιν κ. τ. λ. Ὅτι Θεὸς ἐλέους καὶ οἰκτιρμῶν... Εἰρήνη πᾶσι. Τὰς κεφαλὰς ἡμῶν. Εὐχὴ τῆς κεφαλοκλισίας· Κύριε ἅγιε, ὁ ἐν ὑψηλοῖς κατοικῶν... p. 44. Ἐκφώνησις· Σὺ γὰρ εἶ ὁ Θεὸς ἡμῶν... Ὁ λαός· Ἀμήν. Σοφία. Ὁ λαός· Εὐλόγησον, δέσποτα. Ὁ ὢν εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε.

л. 35 об. Ἀκολουθία σὺν Θεῷ εἰς τὸ ὕδωρ τῶν ἁγίων Θεοφανίων.

Μετὰ τὴν ἀπόλυσιν τῆς θείας λειτουργίας, διακλυομένων πάντων τῶν τῆς θείας μεταλαβόντων δωρεᾶς, μόνου δὲ τοῦ ἱερέως, τοῦ μέλλοντος ποιῆσαι τὴν τῶν ὑδάτων εὐλόγησιν, οὕτω μένοντος. Μετὰ τὸ εἰπεῖν τὴν ὀπισθάμβωνον εὐχήν, ἐξέρχονται πάντες ἐν τῷ λουτῆρι, ψάλλοντες ὁμοφώνως τροπάριον, ἦχος πλ. δ'. Φωνὴ Κυρίου... Καὶ μετὰ τὸ τρισσευθῆναι το αὐτὸ τροπάριον, δίδοται ὑπὸ τοῦ διακόνου· Σοφία, εἶθ' οὕτως ἀναγνώσματα γ'. Goar. pag. 367. Εἶτα λέγει ὁ διάκονος· Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῆς εἰρήνης... Ὑπὲρ τῶν εὐσεβεστάτων... Ὑπὲρ τοῦ συμπολεμῆσαι... Ὑπὲρ τοῦ ἀρχιεπισκόπου... Ὑπὲρ τῆς πόλεως... Ὑπὲρ τοῦ εὐλογηθῆναι ἡμᾶς ἐν πάσῃ εὐλογίᾳ πνευματικῇ τοῦ Κυρίου... Ὑπὲρ τοῦ εἰσακοῦσαι Κύριον... Ὑπὲρ τοῦ ἁγιασθῆναι τὰ ὕδατα... Ὑπὲρ τοῦ καταπέμψαι Κύριον τὸν Θεὸν ἡμῶν ἐπ' αὐτὰ τὴν εὐλογίαν τοῦ Ἰορδάνου τοῦ Κυρίου... Ὑπὲρ τοῦ ἀναδειχθῆναι αὐτὰ πηγὴν ἀφθαρσίας... Ὑπὲρ τοῦ ἐπισκηνῶσαι οὐρανόθεν ἐφ' ἡμᾶς τὴν χάριν τοῦ ὑψίστου Θεοῦ καὶ ἁγιάσαι τὰ ὕδατα ταῦτα ὑπὲρ μέλι τὸ ἐκ πέτρας πηγάσαν τοῖς ἐξ αὐτοῦ μεταλαμβάνουσι τοῦ Κυρίου... Ὑπὲρ τοῦ ἐπιφοιτῆσαι ἐφ' ἡμᾶς τὸ ἅγιον Πνεῦμα καὶ συντριβῆναι τὸν σατανᾶν ὑπὸ τοὺς

πόδας ἡμῶν ἐν τάχει, καὶ διασκεδασθῆναι πᾶσαν βουλὴν πονηράν, κινουμένην καθ' ἡμῶν τοῦ Κυρίου... Ὑπὲρ τοῦ ἐπιφοιτῆσαι ἐφ' ἡμᾶς τὸ ἅγιον Πνεῦμα καὶ ἐξαλειφθῆναι τὸ χειρόγραφον τῶν ἁμαρτιῶν, καὶ εὐλογηθῆναι ἡμᾶς διὰ τοῦ νάματος τοῦ Ἰορδάνου τοῦ Κυρίου... Ὑπὲρ τῶν ἀντλούντων καὶ ἀρυομένων εἰς ἁγιασμὸν ψυχῆς καὶ σώματος τοῦ Κυρίου... Ὑπὲρ τοῦ ἐνοικῆσαι καὶ ἐμπεριπατῆσαι Κύριον τὸν Θεὸν ἐν ταῖς καρδίαις ἡμῶν καὶ ἐλεῆσαι ἡμᾶς... Ὑπὲρ τοῦ ῥυσθῆναι... Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας ἀχράντου ὑπερευλογημένης Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τοῦ ἁγίου Ἰωάννου τοῦ Προδρόμου καὶ βαπτιστοῦ μετὰ πάντων τῶν ἁγίων. Ὁ ἱερεὺς λέγει τὴν εὐχήν. Χρὴ δὲ γινώσκειν, ὅτι οὐκ ἐκφωνεῖ, ἀλλὰ καὶ τὸ Ἀμὴν καθ' ἑαυτὸν λέγει, καὶ μετὰ τὸ πληρῶσαι τὴν ὑποκειμένην εὐχήν, ἄρχεται λέγειν τὸ Μέγας εἶ, Κύριε, καὶ καθεξῆς τὴν λοιπὴν ἀκολουθίαν καὶ τελειοῖ. Οὕτω γὰρ παρελάβομεν ἀπὸ (τῆς) μεγάλης ἐκκλησίας. Κύριε Ἰησοῦ Χριστὲ ὁ μονογενὴς Υἱός, ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρός, ὁ ἀληθινὸς Θεὸς ἡμῶν. Goar. p. 368. Ἐκφώνησις· Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν... Εἶτα τὸ Τρισάγιον καὶ εὐθὺς τὸ προκείμενον, ἦχος βαρύς· Εἴδοσάν σε ὕδατα... στίχος· Ἡ θάλασσα εἶδε. Πρὸς Κορινθίους· Ἀδελφοί, οὐ θέλομεν ὑμᾶς ἀγνοεῖν... Ἀλληλούια δ'. Ἡ θάλασσα εἶδε καὶ ἔφυγεν. Εὐαγγέλιον κατὰ Μάρκον· Τῷ καιρῷ ἐκείνῳ ἦλθεν ὁ Ἰησοῦς ἀπὸ Ναζαρέτ... Goar. p. 367. Εἴπωμεν πάντες... Κύριε παντοκράτωρ... Ὁ μὴ βουλόμενος... Ὁ πλούσιος ἐν ἐλέει... Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ποιῶν μεγάλα καὶ ἀνεξιχνίαστα, ἔνδοξά τε καὶ ἐξαίσια, ὧν οὐκ ἔστιν ἀριθμός, δεόμεθά σου ἐπάκουσον. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὸν δίκαιον Νῶε ἐν ὕδατι διατηρήσας καὶ δικαιοσύνης κήρυκα ἀναδείξας... Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν ῥείθροις βαπτισθῆναι Ἰορδάνου καταδεξάμενος καὶ τὰς ἐκεῖ ἐμφωλευούσας κεφαλὰς δρακόντων συντρίψας... Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ὑπὸ Πατρὸς μαρτυρηθεὶς καὶ ὑπὸ Πνεύματος ἁγίου ὑποδειχθεὶς ἐν Ἰορδάνῃ... Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τῆς ἁγίας Τριάδος τὸ μυστήριον ἀποκαλυφθῆναι εὐδοκήσας... Σῶσον τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου, ἐπίσκεψαι τὸν κόσμον σου ἐν ἐλέει καὶ οἰκτιρμοῖς, καὶ ὕψωσον κέρας χριστιανῶν τῇ δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ, τῇ πρεσβείᾳ τῆς ἁγίας Θεοτόκου, τοῦ Προδρόμου σου Ἰωάννου, τῶν ἁγίων ἀποστόλων καὶ πάντων τῶν ἁγίων ἱκετευομέν σε, πολυέλεε Κύριε, ἐπάκουσον. Εὐχή· Κύριε ὁ Θεὸς ἡμῶν, τὴν ἐκτενῆ ταύτην ἱκεσίαν πρόσδεξαι παρὰ τῶν σῶν δούλων καὶ ἐλέησον ἡμᾶς... Goar. p. 56. Ἐκφώνησις· Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν... Προοίμιον εἰς τὸ Μέγας εἶ Κύριε. Δεῦτε πάντα τὰ ἔθνη μετ' εὐφροσύνης

τὸν ἐπιφανέντα Θεὸν ἀνυμνήσωμεν, λέγοντες· δοξάζομέν σε, Δέσποτα πανάγιε παντοκράτωρ προαιώνιε βασιλεῦ... Goar. pag. 369. Μέγας εἶ, Κύριε, καὶ θαυμαστὰ τὰ ἔργα σου... pag. 370. Εὐχὴ ἑτέρα· Ὁ Θεός, ὁ Θεὸς ἡμῶν, ὁ τὸ πικρὸν ὕδωρ ἐπὶ Μωϋσέως τῷ λαῷ. Gaor. pag. 363. Τὰς κεφαλάς. Κλῖνον, Κύριε, τὸ οὖς σου... Goar. p. 371. Ἐκφώνησις· Σὺ γὰρ εἶ βασιλεύς... Καὶ εὐθὺς ὁ ἱερεύς, λαμβάνων τὸν τίμιον σταυρόν, εὐλογεῖ τὰ ὕδατα, λέγων· Βαπτίζεται ὁ Χριστός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. Βαπτίζει ὁ Ἰωάννης τὸν Κύριον, τὸν αἴροντα τὴν ἁμαρτίαν. Βαπτίζεται ὁ Χριστός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. Καὶ πάντων ἁγιαζομένων ἐκ τῆς τῶν ὑδάτων ῥαντίσεως, ἄρχονται οἱ ψάλται τροπάριον, ἦχος α'. Ἐν Ἰορδάνῃ βαπτιζομένου σου, Κύριε... Καὶ τοῦτο ψάλλουσιν ἐκ τρίτου ἐν τῇ φιάλῃ καὶ ἐν τῷ (ν)άρθηκι καὶ ἐν τῷ ναῷ, ἄρχονται καὶ ἕτερον ἦχον, ἦχος πλ. δ'. Σήμερον Τριὰς ἐν μονάδι θεότητος ἔδειξεν ἡμῖν... Εἶτα ἡ μεγάλη (συναπτὴ) εἰς τὸ Νῦν καὶ ἀεὶ καὶ ἡ ἀπόλυσις, εἶτα λέγοντες· Εὐλογήσω τὸν Κύριον, καὶ δίδονται καὶ αἱ εὐλογίαι. Εἰ μὲν νηστεία οὐκ ἔστι, πᾶσα μὲν ἡ ἀκολουθία οὕτως γίνεται κατὰ τάξιν, συναπτὴ δὲ εἰς τὸ Τρισάγιον γίνεται. Μετὰ δὲ τὸ Εὐλογητὸς καὶ τὴν μεγάλην ἐκτενήν, γίνεται ὁ ἁγιασμὸς τῶν ὑδάτων, ὡς προδεδήλωται.

л. 44 об. Εὐχὴ εἰς τὸ κατασφραγίσαι παιδίον, λαμβάνον ὄνομα τῇ ὀγδόῃ ἡμέρᾳ τῆς γεννήσεως αὐτοῦ.

Κύριε ὁ Θεὸς ἡμῶν σοῦ δεόμεθα Goar. p. 264.

— Εὐχὴ εἰς τὸ σαρανταρῆσαι παιδίον.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν τεσσαράκοντα ἡμέραις τοῦ νόμου εἰς τὸ ἱερὸν ἀνελθὼν... См. выше стр. 25 примѣчанія; Сп. Прилож. къ Богослуж. въ русск. ц. въ XVI в. ч. I, стр. 19. Εἶτα βαστάζων ὁ ἱερεὺς τὸ παιδίον, προσκυνεῖ τὴν ἁγίαν τράπεζαν, λέγει οὕτως· Νῦν ἀπολύεις.

л. 45. Εὐχὴ εἰς τὸ σαρανταρῆσαι γυναῖκα.

Δέσποτα Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ Πατὴρ τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ πᾶσαν φύσιν λογικὴν διὰ τοῦ λόγου σου δημιουργήσας, ὁ τοὺς πιστοὺς ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγών, δεόμεθα καὶ παρακαλοῦμέν σε, τῷ σῷ θελήματι διέσωσας τὴν δούλην σου τήνδε, καὶ καθάρισον αὐτὴν ἀπὸ παντὸς ῥύπου, προσερχομένην τῇ ἁγίᾳ σου ἐκκλησίᾳ, ἵνα ἀκατακρίτως ἀξιωθῇ τῶν ἀχράντων μυστηρίων, καὶ τὸ ἐξ αὐτῆς γεννημένον παιδίον εὐλόγησον, αὔξησον, καλοφρόνησον, ὅτι σὺ παρήγαγες αὐτὸ ἐν καιρῷ σωτηρίας, καὶ συγκαταρίθμησον αὐτὸ τῇ ἁγίᾳ σου ποίμνῃ, διὰ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ... Conf. Goar. p. 267.

-ϰᵞ, л. 45 об. Τάξις, γινομένη εἰς τὸ κατηχῆσαι παιδίον.

Ἀποδύει αὐτὸν καὶ ἀπολύει, καὶ ἵστησιν αὐτὸν κατὰ ἀνατολάς, καὶ ἐμφυσᾷ αὐτῷ τρίτον, καὶ σφραγίζει τὸ μέτωπον αὐτοῦ καὶ τὸ στόμα, καὶ τὸ στῆθος, καὶ λέγει· Ἐπὶ τῷ ὀνόματί σου, Κύριε... Goar. p. 275. Ἀφορκισμὸς πρῶτος. Ἐπιτιμᾷ σοι Κύριος, διάβολε... p. 275. Ἀφορκισμὸς β'. Ὁ Θεὸς ὁ ἅγιος, ὁ φοβερὸς καὶ ἔνδοξος... p. 276. Ἀφορκισμὸς γ'. Κύριε Σαβαὼθ ὁ Θεὸς τοῦ Ἰσραήλ... p. 276. Εὐχὴ μετὰ τὸ ποιῆσαι κατηχούμενον πρὸς ὥραν βαπτιζόμενον· Ὁ ὤν, Δέσποτα Κύριε, ὁ ποιήσας τὸν ἄνθρωπον... p. 276. Καὶ ἐμφυσᾷ αὐτῷ τρίτον, καὶ σφραγίζει τὸ μέτωπον αὐτοῦ, καὶ τὸ στόμα, καὶ τὸ στῆθος, καὶ λέγει· Ἐξέλασον (ἀπ') αὐτοῦ πᾶν πονηρόν... p. 277. Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ... Καὶ μετὰ τὸ Ἀμήν, ἀποδυομένου καὶ ἀπολυομένου τοῦ βαπτιζομένου, ἀποστρέφει αὐτὸν ὁ ἱερεὺς ἐπὶ δυσμάς, ἄνω τὰς χεῖρας ἔχοντα, καὶ λέγει γ'. Ἀποτάσσομαι τῷ σατανᾷ. Καὶ πᾶσι τοῖς ἔργοις αὐτοῦ... Καὶ ἀποκρίνεται ὁ κατηχούμενος πρὸς ἕκαστον τούτων, ἢ ὁ ἀνάδοχος αὐτοῦ, ἐὰν ᾖ παιδίον, ἢ βάρβαρος. Καὶ μετὰ τοῦτο πάλιν λέγει ὁ ἱερεύς· Ἀπετάξασθε τῷ σατανᾷ. Καὶ ἀποκρίνεται ὁ κατηχούμενος· Ἀπεταξάμην. Καὶ ὅτε εἴπῃ γ'. λέγει ὁ ἱερεύς· Ἐμφύσησον αὐτῷ. Καὶ μετὰ τὸ ἐμφυσῆσαι, ἱστᾷ αὐτὸν πάλιν κατ' ἀνατολάς, κάτω τὰς χεῖρας ἔχοντα, καὶ λέγει γ'. Καὶ συντάσσομαι τῷ Χριστῷ καὶ Πιστεύω εἰς ἕνα Θεόν... καὶ τὰ ἑξῆς μέχρι τέλους. Ἀποκρινομένου καθ' ἕκαστον τοῦ κατηχουμένου, ἢ τοῦ ἀναδόχου αὐτοῦ, ὡς εἴρηται. Καὶ ὅτε πληρώσῃ γ'. ἐρωτᾷ ὁ ἱερεὺς τὸν βαπτιζόμενον· Συνετάξω τῷ Χριστῷ. Καὶ ἀποκρίνεται· Συνεταξάμην. Καὶ ὅτε εἴπῃ γ'. λέγει ὁ ἱερεύς· Καὶ προσκύνησον αὐτῷ. Λέγει εὐχήν· Δέσποτα Κύριε ὁ Θεός, προσκάλεσαι τὸν δοῦλόν σου. Goar. p. 278. Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῆς εἰρήνης... Ὑπὲρ τοῦ καταφοιτῆσαι τοῖς ὕδασιν... Ὑπὲρ τοῦ πᾶσαν ἐν αὐτοῖς τοῦ ψυχοκτόνου πολεμίου τὴν δύναμιν βυθισθῆναι... Ὑπὲρ τοῦ πᾶσαν ἐν αὐτοῖς καταδῦναι τὴν ἀνομίαν τῇ μεθέξει τοῦ σωτηρίου λουτροῦ τοῦ Κυρίου... Ὑπὲρ τοῦ τέκνα φωτὸς ἀναδειχθῆναι τῶν τοῖς δικαίως βιοῦσιν ἐπηγγελμένων τοῦ Κυρίου... Ὑπὲρ τοῦ θείαν αὐτοῖς κατὰ τοῦ ἀντιπάλου ἐνδύσασθαι δύναμιν τὸ ἔλαιον τῆς χρίσεως. Ὑπὲρ τοῦ σκεύη γενέσθαι... Ὑπὲρ τοῦ περιπατῆσαι αὐτοὺς ἀξίους τῆς κλήσεως, ἧς ἐκλήθησαν τοῦ Κυρίου... Ὑπὲρ τοῦ ἀκατακρίτως αὐτοῖς μεταλαβεῖν τῶν ζωοποιῶν μυστηρίων τοῦ Κυρίου... Ὑπὲρ τοῦ ἀσφαλῆ καὶ βεβαίαν... Ὑπὲρ τοῦ καταπλουτῆσαι αὐτούς... Ὑπὲρ τοῦ κληρονόμους αὐτοὺς ἀναδειχθῆναι... Ὑπὲρ τοῦ ῥυσθῆναι... Τῆς παναγίας ἀχράντου Goar. p. 295. Εὐχὴν λέγει ὁ ἱερεὺς

καθ' ἑαυτόν· Ὁ εὔσπλαγχνος καὶ ἐλεήμων Θεός, ὁ ἐτάζων καρδίας καὶ νεφρούς... Goar. p. 288. Δεῖ εἰδέναι, ὅτι οὐδὲ ταῦτα ἐπὶ τέλους ἐκφωνεῖ, ἀλλὰ καὶ τὸ Ἀμὴν καθ' ἑαυτὸν λέγει, εὐθὺς λέγει εὐχὴν τῶν ἁγίων βαπτισμάτων· Μέγας εἶ, Κύριε, καὶ θαυμαστὰ τὰ ἔργα σου Goar. p. 288. Καὶ ἐμφυσᾷ εἰς τὸ ὕδωρ τρίτον, καὶ σφραγίζει τῷ δακτύλῳ τρίτον, καὶ λέγει· Συντριβήτωσαν ὑπὸ τὴν σημείωσιν τοῦ τύπου τοῦ σταυροῦ τοῦ Χριστοῦ σου... p. 289. Εἰρήνη πᾶσι. Τὰς κεφαλὰς ἡμῶν. Κλίνει ὁ ἱερεὺς τὴν κεφαλὴν εἰς τὸ ἀγγεῖον τοῦ ἁγίου ἐλαίου, βασταζόμενον ὑπὸ τοῦ διακόνου καὶ ἐμφυσᾷ αὐτῷ τρίτον καὶ σφραγίζει γ'. καὶ λέγει· Δέσποτα Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν, ὁ τοῖς ἐν τῇ κιβωτῷ τοῦ Νῶε περιστερὰν ἀποστείλας... p. 289. Λαμβάνει ὁ ἱερεὺς τὸ τρυβλίον τοῦ ἁγίου ἐλαίου καὶ ποιεῖ ἐξ αὐτοῦ εἰς τὸ ὕδωρ σταυροὺς γ'. ψάλλων τὸ Ἀλληλούϊα γ'. σὺν τῷ ὄχλῳ, καὶ μετὰ τοῦτο ἀποτίθεται τὸ τρυβλίον, ἐκφωνεῖ οὕτως· Εὐλογητὸς ὁ Θεός, ὁ φωτίζων καὶ ἁγιάζων... Καὶ προσφέρεται ὁ βαπτιζόμενος ἀπὸ τῶν πρεσβυτέρων, καὶ λαμβάνει ὁ πρεσβύτερος ἐκ τοῦ ἁγίου ἐλαίου τῷ δακτύλῳ αὐτοῦ, ποιεῖ σταυροῦ τύπον ἐπὶ τοῦ μετώπου καὶ τῶν φρενῶν, καὶ τοῦ στήθους τοῦ βαπτιζομένου καὶ λέγει· Χρίεται ὁ δεῖνα ἔλαιον ἀγαλλιάσεως εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος νῦν καὶ ἀεί. Καὶ τότε χρίεται ὑπὸ τοῦ διακόνου ὅλον τὸ σῶμα ἐκ τοῦ ἁγίου ἐλαίου, καὶ μετὰ τοῦτο βαπτίζεται ὑπὸ τοῦ ἱερέως, λέγει οὕτως· Βαπτίζεται εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. Καὶ μετὰ τὸ βαπτισθῆναι πάντας ἀπάρχεται ὁ ἱερεὺς ψάλλων καὶ λέγει· Μακάριοι, ὧν ἀφέθησαν αἱ ἀνομίαι... λέγει γ'. εἶτα Δόξα, καὶ λέγει· Τὴν χάριν ἔλαβες, τὸν Χριστὸν ἐνδέδυσαι, τὴν πίστιν τετήρησο, τὴν πηγὴν τῆς ζωῆς τὸν Υἱὸν τοῦ Θεοῦ. Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῶν καταξιωθέντων ἀδελφῶν ἡμῶν ἀναγεννηθῆναι διὰ τοῦ ἁγίου βαπτίσματος καὶ δέξασθαι τὴν χάριν τοῦ ἁγίου Πνεύματος τοῦ Κυρίου... Ὅπως Κύριος ὁ Θεὸς ἡμῶν ἀσπίλους καὶ ἀμώμους αὐτοὺς διατηρήσῃ μέχρι τέλους ζωῆς αὐτῶν... Ὑπὲρ τοῦ ῥυσθῆναι. Εὐχὴν λέγει τοῦ μύρου· Εὐλογητὸς εἶ, Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ. Goar. p. 290. Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας ἀχράντου... Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν, Θεὸς τοῦ ἐλεεῖν καὶ σώζειν... Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε. Ὁ δὲ ἱερεὺς χρίει τῷ μύρῳ τοὺς βαπτισθέντας, ποιῶν σταυροῦ τύπον ἐπὶ τοῦ μετώπου αὐτῶν, καὶ τῶν ὀφθαλμῶν, καὶ τῶν μυκτήρων, καὶ τοῦ στόματος, καὶ τῶν δύο ὤτων καὶ λέγει· Σφραγὶς δωρεᾶς Πνεύματος Ἁγίου. Καὶ μετὰ τὸ χρισθῆναι τοὺς νεοφωτίστους τὸ ἅγιον μύρον, κρατούμενον τὸ διάδημα ὑπὸ

τοῦ διακόνου, λέγει ὁ ἱερεὺς τὴν εὐχὴν τοῦ διαδήματος· Τὴν ἐν τῷ φωτὶ ζωὴν ἔδωκας, Δέσποτα, τοῖς δούλοις σου διὰ τοῦ ἁγίου σου βαπτίσματος καὶ τῶν φρικτῶν μυστηρίων τοῦ ἀχράντου σώματος καὶ τοῦ τιμίου αἵματος τοῦ Χριστοῦ σου, καὶ ἀξίωσον ἐνοικεῖσαι ἐν αὐτοῖς, καὶ ποίησον αὐτοὺς ναὸν τοῦ Ἁγίου σου Πνεύματος, καὶ σκέπασον αὐτοὺς ὑπὸ τὴν κραταιάν σου χεῖρα πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτῶν. Σὺ γὰρ εἶ ὁ εὐλογῶν καὶ ἁγιάζων τὰ σύμπαντα καὶ σοὶ τὴν δόξαν... Καὶ μετὰ τὸ Ἀμὴν ἐπιτίθησι τὸ διάδημα, λέγει τὴν εὐχήν· Εὐλογητὸς εἶ, Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν, ὁ ἐνδύσας τὸν δοῦλόν σου Πνεύματος Ἁγίου δικαιοσύνην, καὶ τὸν στέφανον τῆς δόξης ἐπέθηκας ἐπ' αὐτόν, καὶ ἠγαλλιάσατο ἡ ψυχὴ αὐτοῦ, οὐ φοβηθήσεται ὅρασιν διωγμῶν ἀπὸ θλίψεως, ὅτι ἐπέθηκας ἐπ' αὐτὸν τὴν χεῖρά σοῦ, ἵνα δοξάζῃ τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου... Καὶ εἰσέρχεται ὁ ἱερεὺς μετὰ τῶν νεοφωτίστων εἰς τὴν εἴσοδον καὶ γίνεται ἀκολούθως πᾶσα ἡ θεία λειτουργία.

л. 55 об. Εὐχὴ εἰς τὸ λῦσαι τὸ διάδημα.

Ὁ λύτρωσιν ἁμαρτιῶν διὰ τοῦ ἁγίου σου βαπτίσματος τοῖς δούλοις σου δωρησάμενος. Αὐτός, Δέσποτα Κύριε, τὸν φωτισμὸν τοῦ προσώπου σου ἐν ταῖς καρδίαις αὐτῶν ἐναυγάζειν διὰ παντὸς εὐδόκησον. См. выше стр. 79—80. Conf. Goar. p. 303. Εἰρήνη πᾶσιν. Ὁ διάκονος· Τὰς κεφαλὰς ἡμῶν. Οἱ ἐνδυσάμενοί σε Χριστὸν τὸν Θεὸν ἡμῶν... Goar p. 304. Καὶ ἐπαίρει ὁ ἱερεὺς τὸν νεοφώτιστον καὶ ἀπέρχεται ἐν τῷ σκευοφυλακίῳ, ψάλλων· Κύριος ποιμαίνει με. Καὶ ἐπαίρει τὸ διάδημα ἐκ τῆς κεφαλῆς τοῦ νεοφωτίστου, καὶ λέγει εὐχὴν τοῦ ἀπονῖψαι τὸν νεοφώτιστον· Κύριε ὁ Θεὸς ἡμῶν, ἡ πηγὴ τῶν εὐλογιῶν καὶ τῶν ἰαμάτων χορηγέ, ὁ φυλάσσων τὰ νήπια καὶ ἐναγκαλισάμενος τὰ προσενεχθέντα σοι βρέφη, ὁ ἐν τῇ κολυμβήθρᾳ τοῦ Σιλωὰμ τὸ αἰσθητὸν σκότος τοῦ πάλαι τυφλοῦ... καὶ φωτίσας αὐτοῦ τοὺς νοεροὺς ὀφθαλμοὺς τῆς ψυχῆς. Αὐτὸς καὶ νῦν, Δέσποτα, τοὺς ἀναγεννηθέντας διὰ τοῦ ἁγίου σου βαπτίσματος καὶ δεξαμένους τὴν χάριν τῆς ἀθανάτου σου δωρεᾶς διαφύλαξον, τοὺς μικροὺς μετὰ τῶν μεγάλων, ἀπὸ πάσης ἐνεργείας τοῦ ἀντικειμένου, ἵνα καὶ ἐν τῇ δευτέρᾳ σου παρουσίᾳ ἀκατακρίτως παραστῶσι τῷ φοβερῷ καὶ φρικτῷ βήματί σου, καὶ τῶν αἰωνίων σου ἀγαθῶν καταξίωσον. Ὅτι σὺ εἶ ὁ φωτισμὸς ἡμῶν, Χριστὲ ὁ Θεός, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν... Καὶ λαβὼν ὕδωρ, ἀπονίπτει τὸ πρόσωπον τοῦ νεοφωτίστου, λέγει· Ἐδικαιώθης, ἡγιάσθης ἀπελούσω ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἐν τῷ Πνεύματι τοῦ Θεοῦ ἡμῶν τοῦ ἐν τοῖς οὐρα-

νοῖς. Ὁμοίως καὶ τὴν δεξιὰν χεῖρα καὶ τὸν δεξιὸν πόδα, καὶ λέγει οὕτως· Αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Εἰρήνη πᾶσι. Τὰς κεφαλὰς ἡμῶν. Εὐχὴν λέγει· Δέσποτα Χριστέ, Υἱὲ μονογενὲς τοῦ ζῶντος Θεοῦ, εὐλόγησον τὸν δοῦλον τόνδε, αὔξησον αὐτὸν ἐν τῇ πίστει σου, θεμελίωσον αὐτὸν ἐν τῷ ἀῤῥαβῶνι τῆς μελλούσης κληρονομίας σου, ἐνθρόνησον ἐν τῇ ψυχῇ αὐτοῦ τὸ ἅγιόν σου Πνεῦμα πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ. Ὅτι πρέπει... См. выше стр. 54—55.

л. 56. Εὐχὴ εἰς τὸ κουρεῦσαι παιδίον.

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τῇ εἰκόνι σου τιμήσας τὸν ἄνθρωπον... Goar. p. 306. Καὶ κουρεύει αὐτὸν σταυροειδῶς, καὶ συμπιάνει τὰς τρίχας μετὰ κηρίου ἀργοῦ, καὶ βάλλει αὐτὰς ἐν τῷ δίσκῳ μετὰ καὶ μανδηλίου καινουργοῦς, καὶ ἐπιδίδει τῷ ἀναδόχῳ, λέγει· Εἰρήνη πᾶσι. Τὰς κεφαλὰς ἡμῶν. Ὁ ἱερεὺς λέγει εὐχήν· Παναγία Τριὰς ὁ Θεὸς ἡμῶν, εὐλόγησον τὸν δοῦλόν σου, τὸν παῖδα τοῦτον, εὐλογίαν πνευματικήν, χάρισαι αὐτὸν τοῖς δούλοις σου, τοῖς γονεῦσιν αὐτοῦ, ἀβλαβῆ καὶ ἀνεπηρέαστον φυλαττόμενον ὑπὸ τὴν σὴν εὐσπλαγχνίαν, εἰς αὔξησιν καὶ εἰς σύνεσιν, καὶ εἰς πᾶν ἔργον ἀγαθὸν εὐοδούμενον, καὶ εἰς ζωὴν τὴν ἐν σοὶ εὐάρεστον κυβερνούμενον, πρεσβείαις τῆς ἁγίας Θεοτόκου καὶ τῶν ἁγίων σου ἀποστόλων, καὶ πάντων τῶν ἁγίων σου. Ὅτι σὺ εἶ, Κύριε, φύλαξ καὶ σκέπη πάντων ἡμῶν καὶ σοὶ τὴν δόξαν... Λέγει δὲ εὐχὴν τῷ ἀναδόχῳ· Ὁ Δεσπότης καὶ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ὁ ὢν εὐλογητός. См. ркп. № 961 Синайск. библ. выше стр. 79.

л. 56 об. Ἀκολουθία, ὅπως χρὴ δέχεσθαι τοὺς ἀπὸ αἱρέσεων προσερχομένους ἐν τῇ ἁγίᾳ τοῦ Θεοῦ καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ. Goar. p. 694—695. Особенности заключаются въ слѣдующемъ замѣчаніи: Ἐὰν δὲ μὴ εἰδῇ λαλῆσαι, ὑπακούει ὁ ἀνάδοχος αὐτοῦ, καὶ ἐπικλίνοντος τοῦ μετερχομένου, ἐπιτίθησιν ὁ ἱερεὺς τὴν χεῖρα ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, ἐπεύχεται· Ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, ὁ βουλόμενος πάντα ἄνθρωπον σωθῆναι... Ibid. Въ концѣ чина замѣчено: ἀλλὰ καθὼς οἱ βαπτιζόμενοι οὕτως διατελεῖται ἑπτὰ ἡμέρας, καὶ τῇ η'. ἡμέρᾳ ἀπολούσασθαι.

л. 58. Εὐχὴ εἰς ἀῤῥαβῶνα γάμου.

Ὁ τῷ παιδὶ τοῦ πατριάρχου Ἀβραὰμ συμπορευθεὶς ἐν τῇ Μεσοποταμίᾳ, στελλομένῳ νυμφεύσασθαι Ἰσαὰκ γυναῖκα, καὶ διὰ μεσιτείας ὑδρεύσεως ἀῤῥαβωνίσασθαι αὐτῷ τὴν Ῥεβέκκαν ἀποκαλύψας. Αὐτός, φιλάνθρωπε Κύριε, εὐλόγησον τοὺς δούλους καὶ στήριξον παρ' αὐτοῖς τὸν λαληθέντα λόγον, καὶ βεβαίωσον τῇ τελειότητι τῆς παρὰ σοῦ ἁγίας αὐ-

τῶν ἑνώσεως· σὺ γὰρ ἀπ' ἀρχῆς ἐδημιούργησας ἄρσεν καὶ θῆλυ ἐποίησας αὐτούς, καὶ παρὰ σοῦ ἁρμόζεται ἀνδρὶ γυνὴ εἰς βοήθειαν καὶ διαδοχὴν τοῦ γένους τῶν ἀνθρώπων, τοὺς συμπαρόντας δὲ καὶ συνευχομένους ἁγίασον καὶ διαφύλαξον εὐχαῖς καὶ πρεσβείαις τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας. Ὅτι σὺ εἶ φύλαξ καὶ σκέπη πάντων ἡμῶν, ὁ Θεός, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν.

л. 58 об. Ἀκολουθία ἐπὶ μνηστείας.

Ἵσταται ὁ ἱερεὺς ἔσωθεν τοῦ ἱερατείου, οἱ δὲ ἁρμοζόμενοι πρὸ τῶν θυρῶν, καὶ λαμβάνει ὁ ἱερεὺς τὰ δακτυλίδια ἐκ τοῦ νεωτέρου, καὶ τίθησιν αὐτὰ ἐν τῇ τῶν καγκέλων τραπέζῃ, στέκει δὲ καὶ τὸ ποτήριον τῆς ἁγίας κοινωνίας ἐν τῇ τραπέζῃ. Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῆς εἰρήνης... Ὑπὲρ τῶν νυνὶ μνηστευσαμένων... Ὑπὲρ τοῦ δούλου τοῦ Θεοῦ τοῦδε... Ὑπὲρ τοῦ παρασχεθῆναι... Ὑπὲρ τοῦ εἰσακοῦσαι Κύριον τὸν Θεὸν τῆς φωνῆς... Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας... Ὁ Θεὸς ὁ αἰώνιος ὁ διῃρημένα... Goar. p. 311. Εἰρήνη πᾶσι. Τὰς κεφαλὰς ἡμῶν. Ὁ δὲ ἱερεὺς λέγει εὐχήν· Ὁ Θεός, ὁ Θεὸς ἡμῶν, ὁ τὴν ἐξ ἐθνῶν μνηστευσάμενος... p. 311. Καὶ λαμβάνει ὁ ἱερεὺς τὰ δακτυλίδια ἐκ τῆς ἁγίας τραπέζης καὶ ἐπιδίδει τῷ νεωτέρῳ, καὶ ὁ νεώτερος τῷ κορασίῳ καὶ φιλεῖ τὴν κεφαλὴν αὐτῆς, καὶ τὸ κοράσιον φιλεῖ τὴν δεξιὰν χεῖρα τοῦ νεωτέρου, καὶ ἐπεύχεται ὁ ἱερεὺς λέγει· Ὁ Θεὸς τῆς εἰρήνης καὶ ἀγάπης ἔστω μεθ' ἡμῶν... Слич. ркп. № 958 стр. 27—28.

л. 59. Κανὼν ἐκκλησιαστικὸς εἰς γάμους.

Ἵσταται ὁ ἱερεὺς ἔσωθεν τοῦ ἱερατείου καὶ οἱ ἁρμοζόμενοι πρὸ τῶν θυρῶν, καὶ λαμβάνει ὁ ἱερεὺς τὴν χεῖρα τοῦ νεωτέρου τὴν δεξιὰν καὶ τὴν χεῖρα τῆς κόρης ἐκ τοὺς (τῶν) παρανύμφους (ων), καθ' ὅτι οἱ γονεῖς τῶν νεονύμφων παραδιδόασι τὰς δεξιὰς χεῖρας τῶν ἁρμοζομένων τοῖς παρανύμφοις, οἱ δὲ παράνυμφοι τῷ ἀρχιερεῖ. Ὁ δὲ ἱερεύς, ἐπισφραγίσας αὐτούς, παραδίδωσιν αὐτῶν τὰς δεξιάς, λέγει· Θέλοντα καὶ θελομένων. Καὶ τῶν παρόντων ἀποκρινομένων· Ναὶ ἂν θέλῃ ὁ Θεός. Τοῦτο ἐρωτᾷ ἐκ τρίτου, πάντων ἀποκρινομένων. Τίθησι δὲ καὶ τὰ στέφανα ἐν τῇ ἁγίᾳ τραπέζῃ καὶ τὸ ποτήριον, ὁμοίως τῆς ἁγίας κοινωνίας, καὶ ἱσταμένων τῶν νεονύμφων πρὸ τῶν θυρῶν τοῦ ναοῦ, λέγει ὁ διάκονος· Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῶν συναπτομένων ἀλλήλοις πρὸς γάμου κοινωνίαν καὶ συμβίωσιν τοῦ Κυρίου... Ὑπὲρ τοῦ εὐλογηθῆναι τὸν γάμον τοῦτον... Ὑπὲρ τῆς συζυγίας τῆς συναπτομένης καὶ τῆς σωτηρίας αὐτῶν τοῦ Κυρίου... Ὑπὲρ τοῦ στεφανωθῆναι αὐτοὺς τῇ χάριτι καὶ δυνάμει τοῦ ἁγίου Πνεύματος τοῦ Κυρίου... Ὑπὲρ τοῦ δω-

ρεθῆναι αὐτοῖς πίστιν καθαρὰν καὶ ἀμίαντον, τέκνα πιστὰ καὶ ἀγαθά. Ὑπὲρ τοῦ δωρηθῆναι αὐτοῖς βίον ἀνυπόκριτον καὶ ἄμωμον πολιτείαν... Ἔτι ὑπὲρ αὐτῶν καὶ ὑπὲρ παρόντων νυμφοστόλων... Ἔτι ὑπὲρ τοῦ δούλου τοῦ Θεοῦ τοῦδε... Ὅπως Κύριος ὁ Θεὸς χαρίσεται αὐτοῖς τίμιον τὸν γάμον... Ὑπὲρ τοῦ παρασχεθῆναι αὐτοῖς σωφροσύνην... Ὑπὲρ τοῦ δωρηθῆναι αὐτοῖς καρπὸν κοιλίας, εὐτεκνίας ἀπόλαυσιν καὶ ἀκατάγνωστον διαγωγήν... Ὑπὲρ τοῦ δωρηθῆναι αὐτοῖς τε καὶ ἡμῖν... Ὑπὲρ τοῦ εἰσακοῦσαι Κύριον... Ὑπὲρ τοῦ ῥυσθῆναι... Ἀντιλαβοῦ, σῶσον... Καὶ λέγει εὐχὴν τῆς συζεύξεως· Ὁ Θεὸς ὁ αἰώνιος, ὁ Πατὴρ ὁ οὐράνιος, ὁ διδοὺς εὐχὴν τῷ εὐχομένῳ καὶ εὐλογήσας ἔτη δικαίου, ἐπάκουσον ἡμῶν δεομένων σου καὶ προσκυνούντων, ἔπιδε ἐπὶ τῶν συναπτομένων τὸν γάμον τοῦτον καὶ ἐπὶ τῇ συζεύξει τῶν χειρῶν αὐτῶν, σκέπασον αὐτοὺς τῇ δεξιᾷ σου τῇ κραταιᾷ καὶ τῷ βραχίονί σου τῷ ὑψηλῷ, καὶ φύλαξον αὐτοὺς πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτῶν, ὁδηγῶν αὐτοὺς ἐν παντὶ ἔργῳ ἀγαθῷ. Ὅτι σὸν τὸ κράτος καὶ σοῦ ἐστίν... Εὐθὺς λέγει τὸν ψαλμὸν τοῦτον· Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν... διά τοῦτο εὐλόγησέ σε, ὁ Θεός, εἰς τὸν αἰῶνα. Ὁ δὲ ἱερεὺς τὸν νεόνυμφον ζώννυσι τ ὸ ν σ π ά θ ο ν καὶ λέγει· Περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου, δυνατέ... ἡ δεξία σου. Goar. p. 48. Καὶ ἐπισφραγίζων, λέγει εὐχήν· Ὁ Θεὸς ὁ ἅγιος, ὁ πλάσας τὸν ἄνθρωπον... Goar. p. 317. Εὐχὴ ἑτέρα· Ὁ ὤν, Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ποιήσας κατ' εἰκόνα σὴν καὶ ὁμοίωσιν τὸν ἄνθρωπον, ἐποίησας αὐτοὺς ἄρσεν καὶ θῆλυ καὶ εἶπας· ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται τῇ γυναικὶ αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν· οὐ γὰρ εἰσὶ δύο, ἀλλὰ σὰρξ μία· καὶ οὓς ὁ Θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω. Ἔτι εὐλόγησας αὐτοὺς καὶ εἶπας· Αὐξάνεσθε καὶ πληθύνεσθε, καὶ πληρώσατε τὴν γῆν, καὶ ἐγένετο οὕτως. Καὶ νῦν, Δέσποτα Κύριε, ὁ ἀναγαγὼν τοὺς δύο ἐπὶ τὸ αὐτὸ εἰς ἕνωσιν ἀδιάκριτον, εἰς πίστιν ἀκαταίσχυντον, εἰς κοίτην ἀνεπιβούλευτον, ἐγκαίνησον εἰς αὐτούς, Κύριε ὁ Θεὸς ἡμῶν, χάριν, πίστιν, ὁμοφροσύνην, εἰς τὸ ἀγαπᾶν ἀλλήλους, καὶ οὕτως εὐλόγησον τὴν συζυγίαν ταύτην, ὡς εὐλόγησας Ἰωσὴφ καὶ τὴν Ἀσυνέθ· εὐλόγησον, Κύριε, τὴν συζυγίαν ταύτην, ὡς εὐλόγησας τὸν Ἐφραὶμ καὶ τὸν Μανασσῆν· εὐλόγησον αὐτούς, Κύριε, ὡς εὐλόγησας τὰ στέφανα τῶν ἁγίων σου ἀποστόλων· εὐλόγησον, Κύριε, τὴν συζυγίαν ταύτην, ὡς εὐλόγησας τὰ στέφανα τῶν ἁγίων σου μαρτύρων ἐν τοῖς ἀγῶσιν αὐτῶν· εὐλόγησον, Κύριε, τὴν συζυγίαν ταύτην, ὡς εὐλόγησας τὴν Δέσποιναν Θεοτόκον καὶ ἐβλάστησε τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. Δὸς βλα-

στῆσαι τὴν συζυγίαν ταύτην, ὡς ἐλαίαν κατάκαρπον, ὡς ἄμπελον εὐθηνοῦσαν ἐν ταῖς κλίτεσι τῆς οἰκίας σου. Ἔτι δὲ ἔλθῃ ἡ εὐλογία σου ἡ πνευματική, ἣν εἶπεν ὁ προφήτης Δαβίδ· ἡ γυνή σου, ὡς ἄμπελος εὐθηνοῦσα, οἱ υἱοί σου ὡς νεόφυτα ἐλαιῶν κύκλῳ τῆς τραπέζης σου· ἰδοὺ οὕτως εὐλογηθήσεται ἄνθρωπος, ὁ φοβούμενος τὸν Κύριον, εὐλογήσαι ὑμᾶς ὁ Κύριος ἡμῶν καὶ ἰδεῖν τε τὰ ἀγαθὰ Ἱερουσαλὴμ πάσας τὰς ἡμέρας τῆς ζωῆς ὑμῶν ἕως τρίτης καὶ τετάρτης γενεᾶς. Δός, Κύριε, τῷ γάμῳ τούτῳ εὐλογίαν, τὴν δὲ κοίτην ἀμίαντον διατήρησον, παρασχόμενος αὐτοῖς χάριν καὶ ὁμόνοιαν· καὶ γὰρ αὐτὸς κατεδέξω, Δέσποτα, νυμφίος ὀνομασθῆναι, τοὺς δὲ παραγενομένους εἰς τὸν γάμον τοῦτον χάρισαι τὸν στέφανον τὸν ἐπουράνιον καὶ πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα εὐχαῖς καὶ πρεσβείαις τῆς ἁγίας Θεοτόκου καὶ πάντων τῶν ἁγίων σου. Ὅτι ηὐλόγηται καὶ δεδόξασται τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ... Εὐχὴ στεφανόνων· Κύριε ὁ Θεὸς ὁ βασιλεὺς πάντων ἡμῶν, ὁ πάντοτε πανταχοῦ παρών, ὁ ἐκ ποικίλων καὶ διαφόρων ἀνθέων στεφανῶν τὸ γένος τῶν ἀνθρώπων, ὁ παραγενόμενος ἐν Κανᾷ τῆς Γαλιλαίας καὶ εὐλογήσας τὸν γάμον, καὶ ἐν αὐτῷ θαυματουργήσας, Θεός. Αὐτὸς εὐλόγησον τοὺς στεφάνους τούτους, καὶ ἁγίασον αὐτούς, ἵνα, καταξιούμενοι τῆς τούτων στέψεως, λάβωσιν ἔλεος καὶ χάριν, εὕρωσιν εἰς εὔκαιρον βοήθειαν. Ὅτι ηὐλόγηται καὶ δεδόξασται. Καὶ λέγει ψαλμὸν κ΄. Κύριε, ἐν τῇ δυνάμει σου εὐφρανθήσεται ὁ βασιλεύς... Εἶτα στέφει ἀμφοτέρους, ποιῶν σταυροῦ τύπον ἐπὶ τὴν κεφαλὴν αὐτῶν, λέγων γ΄. Δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτούς, ἔθηκας ἐπὶ τὴν κεφαλὴν αὐτῶν στέφανον ἐκ λίθων τιμίων. Λέγει ἐκ γ΄. καὶ στέφει αὐτούς. Καὶ μετὰ τὸ στέψαι αὐτούς, ἐπισφραγίσας λέγει· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε νῦν καὶ ἀεί... Πρόσχωμεν. Εἰρήνη πᾶσι. Τὰς κεφαλάς. Εὐχὴν λέγει· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν τῇ σωτηριώδει σου οἰκονομίᾳ καταξιώσας τίμιον ἀναδεῖξαι αὐτοῖς γάμον ἐν Κανᾷ τῆς Γαλιλαίας... Goar. p. 318. Εὐχὴ ἑτέρα· Ὁ κτίστης καὶ δημιουργὸς τῶν ἁπάντων, ὁ ποιήσας τὸν ἄνθρωπον κατ' εἰκόνα σὴν καὶ ὁμοίωσιν, καὶ δοὺς αὐτῷ βοηθὸν κατ' αὐτοῦ, ἐπίβλεψον ἐπὶ τὴν συζυγίαν ταύτην, καὶ εὐλόγησον αὐτούς, ὡς εὐλόγησας τὸν Ἀβραὰμ καὶ τὴν Σάῤῥαν, τὸν Ἰσαὰκ καὶ τὴν Ῥεβέκκαν, τὸν Ἰακὼβ καὶ τὴν Λείαν καὶ τὴν Ῥαχήλ, τὸν Ἰωσὴφ καὶ τὴν Ἀσυνέθ· παράσχου αὐτοῖς πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα, καὶ δώρησαι αὐτοῖς εἰρήνην, ἀγάπην καὶ ὁμόνοιαν, εὐτεκνίαν, γῆρας τίμιον, ἵνα ἐπὶ πᾶσι δοξάζωμέν σου τὸ πανύμνητον κράτος καὶ τὴν ἄφατον φιλανθρωπίαν τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος... Εὐχὴ ἑτέρα· Ὁ Θεὸς ὁ ἀγαθὸς καὶ φιλάνθρωπος, ὁ ζῶν εἰς αἰ-

Εὐχὴ

ῶνα αἰῶνος, ᾧ παρεστήκεσαν χιλιάδες ἀρχαγγέλων, ὁ ὁδηγῶν καὶ εὐθήνων πάντα ἄνθρωπον, ἐρχόμενον εἰς τὸν κόσμον, ὁ καθοδηγῶν τὴν γῆν τὴν ἀόρατον καὶ ἀκατασκεύαστον, ὁ ἐπιτάξας ἥλιον γενέσθαι τῇ βουλῇ σου, οὐρανόν τε καὶ γῆν ποιήσας καὶ πάντα τὰ ἐν αὐτοῖς· χοῦν λαβὼν ἀπὸ τῆς γῆς, ἔπλασας τὸν ἄνθρωπον κατ' εἰκόνα σὴν καὶ ὁμοίωσιν, καὶ λαβὼν μίαν τῶν πλευρῶν αὐτοῦ, ἔπλασας τὴν Εὔαν καὶ ἀγαγὼν αὐτὴν τῷ Ἀδὰμ ἰδεῖν τί καλέσει αὐτήν, καὶ εἶπεν Ἀδάμ· τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστῶν μου, καὶ σάρξ ἐκ τῆς σαρκός μου, αὕτη κληθήσεται ζωή, ὅ ἐστὶ μεθερμηνευόμενον γυνή. Καὶ συναγαγὼν αὐτάς, εἶπας· Αὐξάνεσθε καὶ πληθύνεσθε, καὶ πληρώσατε τὴν γῆν καὶ κατακυριεύσατε αὐτῆς. Αὐτός, Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ παραγενόμενος ἐν Κανᾷ τῆς Γαλιλαίας καὶ ἐπιδείξας τὴν ἀρχὴν τῶν σημείων, καὶ μετέβαλες τὸ ὕδωρ εἰς οἶνον. Αὐτὸς εὔφρανον αὐτοὺς ἐν ὁράσει υἱῶν αὐτῶν καὶ θυγατέρων, παράσχου αὐτοῖς ἐκ τῆς δρόσου τοῦ οὐρανοῦ καὶ ἐκ τῆς πιότητος τῆς γῆς· σὺ γὰρ εἶ, ὁ Θεὸς ἡμῶν, ὁ τῆς ζωῆς ἀρχηγὸς καὶ τῶν αἰώνων ποιητής, ὁ στιλβώσας τὸ φῶς καὶ ὡρίσας τὴν ἡμέραν, ὁ τὴν μεγάλην καὶ εὐρύχωρον θάλασσαν ὁροθετήσας, ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας. Εὐλόγησον αὐτούς, ὡς τὸν Ἀβραὰμ καὶ τὴν Σάῤῥαν, ὡς τὸν Ἰσαὰκ καὶ τὴν Ῥεβέκκαν, ὡς τὸν Ἰακὼβ καὶ τὴν Ῥαχήλ, ὡς τὸν Ἰωσὴφ καὶ τὴν Ἀσυνέθ. Αὐτὸς εὐλόγησον τὸν γάμον τοῦτον καὶ τοὺς κεκλικότας τὰς ἑαυτῶν κεφαλὰς δέξασθαί τὸν ἀρχικὸν τοῦ κόσμου στέφανον, τοῖς δὲ παρανύμφοις δός, Κυριε ὁ Θεὸς ἡμῶν, πίστιν καὶ ὁμόνοιαν, καὶ τὸν παρελθόντα λαὸν τῇ μυστικῇ σου ἐκκλησίᾳ, καὶ πάντας τοὺς παραγενομένους εἰρήνευσον ἐν πᾶσιν. Εὐλογοῦ, ὦ νυμφίε, ὡς ὁ Ἀβραάμ, μεγαλύνθητι, ὡς Ἰσαάκ, δῴη σοι Κύριος κατὰ τὴν καρδίαν σου καὶ πᾶσαν τὴν βουλήν σου πληρῶσαι· εὐφραίνου, νύμφη, μετὰ τοῦ νυμφίου, καὶ τίμα τὸν ἄνδρα σου, ὃν ἡτοίμασέ σοι Κύριος ὁ Θεός, καὶ ἰδεῖν τε υἱοὺς τῶν υἱῶν ὑμῶν, καὶ εὐλογήσατε Κύριον τὸν Θεόν, τὸν συζεύξαντα ὑμᾶς, καὶ ἔστωσαν οἱ εὐλογοῦντες ὑμᾶς εὐλογημένοι ὑπὸ Κυρίου. Ὅτι δεδόξασται ἡ βασιλεία τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. Εἶτα τὸ προκείμενον, ἦχος δ'. Δόξῃ καὶ τιμῇ ἐστεφάνωσας. Κύριε, ὁ Κύριος ἡμῶν... Ὁ ἀπόστολος πρὸς Ἐφεσίους· Ἀδελφοί, ὑποτασσόμενοι ἀλλήλοις ἐν φόβῳ Θεοῦ αἱ γυναῖκες τοῖς ἰδίοις ἀνδράσιν, ὑποτάσσεσθε, ὡς τῷ Κυρίῳ... Τέλος· ἀλλὰ ἐκτρέφεται αὐτὰ ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου. Ἀλληλούια δ'. Ἡ γυνή σου, ὡς ἄμπελος. Εὐαγγέλιον κατὰ Ἰωάννην· Τῷ καιρῷ ἐκείνῳ, γάμος ἐγένετο ἐν Κανᾷ τῆς Γαλιλαίας Goar. p. 318. Εἴπωμεν πάντες... Κύριε παντοκράτωρ... Ὁ μὴ βουλό-

μενος... Ὁ πλούσιος ἐν ἐλέει... Ἐλέησον ἡμᾶς... Ἔτι ὑπὲρ τῶν δουλων τοῦ Θεοῦ τοῦδε καὶ τῆς δούλης τοῦ Θεοῦ. Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος... Εἰρήνη πᾶσι. Τὰς κεφαλὰς ἡμῶν. Εὐχὴν λέγει ὁ ἱερεύς· Εὐλογητὸς εἶ, Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν, ὁ τὰ ἐν οὐρανοῖς συστησάμενος καὶ τὰ ἐπὶ γῆς κατειρηνεύσας, ὁ Θεός, ὁ παραγενόμενος ἐν Κανᾷ τῆς Γαλιλαίας καὶ εὐλογήσας τὸν γάμον, εὐλόγησον καὶ τούτους τοὺς δούλους σου. Ὁ Θεός, ἐν τῇ σωτηριώδει σου οἰκονομίᾳ τίμιον αὐτῶν τὸν γάμον ἀνάδειξον διὰ τῆς σῆς παρουσίας, ἀμίαντον αὐτῶν τὴν κοίτην διαφύλαξον, ἀκηλίδωτον αὐτῶν τὴν συμβίωσιν διαμεῖναι εὐδόκησον, καὶ καταξίωσον αὐτοὺς ἐν γήραϊ πίονι πᾶσαν αὐτάρκειαν αὐτῶν ἐπὶ τῆς γῆς πληθῆναι, ὥσπερ τοῦ θεράποντός σου Ἰώβ, ἵνα, πάντοτε πᾶσαν αὐτάρκειαν ἔχοντες οἱ δοῦλοί σου, περισσεύωνται εἰς πᾶν ἔργον ἀγαθόν, καὶ ποιοῦντες τὸ εὐάρεστον, προσθήσεις τοὺς χρόνους αὐτῶν, ὡς τοῦ Ἰάρεδ καὶ Ἐζεκίου. Καὶ εὐλόγησον, Κύριε, πάντας τοὺς παραγενομένους ἐπὶ τὸν γάμον τοῦτον, καὶ ἀξίωσον ἡμᾶς ἀγαπᾶν καὶ φοβεῖσθαί σε ἐξ ὅλης τῆς καρδίας, καὶ ποιεῖν ἐν πᾶσι τὸ θέλημά σου. Ὅτι ηὐλόγηται καὶ δεδόξασται... Καὶ ἄρχεται ἡ θεία λειτουργία. Καὶ ὅτε ἔρχωνται εἰς τὴν ὥραν τῆς ζωοποιοῦ κοινωνίας, ἐπιδίδει αὐτοῖς τῶν θείων ἁγιασμάτων. Καὶ μετὰ τὸ τέλος τῆς θείας λειτουργίας, φέρει ὁ ἱερεὺς ποτήρια δύο ἤτοι καυκία, καὶ βάλλει εἰς τὰ ἀμφότερα οἶνον, καὶ λέγει τὸν ψαλμὸν τοῦτον· Ἐξομολογησώμεθά σοι, ὁ Θεός, ἐξομολογησώμεθά σοι καὶ ἐπικαλεσώμεθα τὸ ὄνομά σου... Καὶ μετακινεῖ τὸ ἓν εἰς τὸ ἄλλο καὶ λέγει· Καὶ ἔκλινεν ἐκ τούτου εἰς τοῦτο, καὶ δίδει τὰ ποτήρια τοῖς παρανύμφοις, καὶ λέγει τὴν εὐχὴν τῶν ποτηρίων· Ὁ Σωτὴρ τῆς οἰκουμένης, ὁ ἐλθὼν εἰς τὸν κόσμον μετὰ δόξης πολλῆς, ὁ παραγενόμενος ἐν τῇ τρίτῃ ἡμέρᾳ ἐν Κανᾷ τῆς Γαλιλαίας, καὶ μεταποιήσας τὸ ὕδωρ εἰς οἶνον, καὶ χαρὰν ποιησάμενος ἐν μέσῳ τοῦ νυμφίου, ἐλθέ, παντοδύναμε Κύριε, ἐπὶ τὴν συγκέρασιν τοῦ οἴνου τούτου καὶ τοῖς ἔχουσι μεταλαβεῖν ἐξ αὐτοῦ στήριξον αὐτοὺς ἐν ἀγάπῃ κραταιᾷ, καὶ εἰρήνευσον αὐτους, ἀγαθὲ καὶ φιλάνθρωπε, πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν. Ὅτι σὺ εἶ ὁ Πατὴρ ἐν τῷ Υἱῷ καὶ ὁ Υἱὸς ἐν τῷ Πατρὶ ἅμα τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ Πνεύματι νῦν καὶ ἀεί... Εἶτα ἐπιδιδόασιν οἱ παράνυμφοι τοῖς νεονύμφοις τὰ ποτήρια καὶ πίνουσι, καὶ εὐθὺς σφραγίζει αὐτοὺς ὁ ἱερεύς, λέγει· Ἐν εἰρήνῃ προήλθετε καὶ ἐν ἀγάπῃ πορεύεσθε. Ὁ λαός· Ἐν ὀνόματι Κυρίου. Καὶ ἀπέρχονται εἰς τὸν παστὸν οἶκον, ἀπέρχεται καὶ ὁ ἱερεύς, λέγει εὐχὴν τῶν στεφάνων· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ παραγενόμενος ἐν Κανᾷ τῆς Γαλιλαίας μετὰ τῆς

ἀχράντου σου Μητρὸς καὶ τῶν ἁγίων σου ἀποστόλων, καὶ λύσας τὸ κατὰ τὴν Εὔαν κατάκριμα τὸ διὰ τῆς τοῦ ξύλου βρώσεως. Αὐτὸς καὶ νῦν εὐλόγησον τὸν γάμον τοῦτον εὐλογίαν πνευματικήν, καὶ ἕνωσον καὶ διαφύλαξον τοὺς δούλους σου ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ, καὶ δὸς αὐτοῖς τὸν στέφανον τῆς ἀφθαρσίας, κληρονόμους αὐτοὺς ἀνάδειξον τῆς ἐπουρανίου σου βασιλείας. Σοὶ γὰρ πρέπει πᾶσα δόξα, τιμή... Εἰρήνη πᾶσι. Τὰς κεφαλάς. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἀναγαγὼν Ἠλίαν ἐν ἅρματι πυρίνῳ, ὁ μετατεθεὶς τὸν Ἐνὼχ ἐντεῦθεν τοῦ μὴ ἰδεῖν θάνατον, ὁ φυλάξας τὸν Ἰωάννην ἐν ἁγνείᾳ παρθενίας, ἀπόδεξαι καὶ τοὺς στεφάνους τούτους ἀσπίλους καὶ ἀμώμους, καὶ ἀνεπιβουλεύτους μέχρι τῆς ἐσχάτης αὐτῶν ἀναπνοῆς. Ὅτι ἡγίασται καὶ δεδόξασται τὸ πάντιμον...

л. 67. Ἀκολουθία τῆς γονυκλισίας τῆς ἁγίας Πεντηκοστῆς.

Στιχηρὰ εἰς τὸ Κύριε ἐκέκραξα, ἦχος δ'. Τῶν ἀποστόλων τόν... Τοὺς ἀγραμμάτους... Διασπαρέντες ἐπὶ γῆς... Εἰς τὸ Δόξα, Ἀγνοοῦντα τὰ... Προκείμενον, ἦχος βαρύς· Τίς Θεὸς μέγας... Καὶ εἶπα νῦν... Ὁ διάκονος· Εἴπωμεν πάντες... Ἐξ ὅλης ψυχῆς... Κύριε παντοκράτωρ... Ὁ μὴ βουλόμενος... Ὁ πλούσιος ἐν ἐλέει... Ἐλέησον ἡμᾶς... Ἔτι ὑπὲρ τῶν εὐσεβεστάτων... Ἔτι ὑπὲρ τοῦ εἰσακοῦσαι... (Εὐχή)· Κύριε ὁ Θεὸς ἡμῶν, τὴν ἐκτενῆ ταύτην ἱκεσίαν πρόσδεξαι... Goar. pag. 56. Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος.. Λέγει ὁ ἱερεὺς ἀπὸ τοῦ βήματος εἰς ἐπήκοον πάντων· Κλίνοντες τὰ γόνατα ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν. Ὁ δὲ λαός· (Κύριε ἐλέησον). Πάντων ἐπὶ γόνυ κεκλιμένων, λέγει ὁ ἱερεὺς τὴν εὐχήν· Ἄχραντε, ἀμίαντε, ἄναρχε, ἀόρατε... р. 597 съ прибавочною молитвою. Далѣе, какъ въ рук. Син. библ. № 958 (См. выше стр. 24—25), съ тою разницею, что къ стихирамъ имѣются въ данномъ спискѣ припѣвы, къ первой: Μὴ ἀποῤῥίψῃς με, а ко второй: Ἀπόδος μοι τὴν ἀγαλλίασιν. Послѣ молитвы: Ὁ Θεὸς ὁ μέγας καὶ αἰώνιος слѣдуютъ стихиры: Νῦν περιβάλλονται κράτος, Δόξα, πάλιν τὸν αὐτὸν στίχον, Καὶ νῦν, Βασιλεῦ οὐράνιε, ἀπολυτίκιον (ἦχος) πλ. δ'. Εὐλογητὸς εἶ, Χριστὲ ὁ Θεός, καὶ ἀπόλυσις.

л. 73 об. Τάξις καὶ ἀκολουθία τοῦ ἁγίου ἐλαίου.

Ἐν τῇ ἡμέρᾳ, ἐν ᾗ δόξει γίνεσθαι τοῦ ἁγίου ἐλαίου ἐπὶ ἀῤῥώστου, συνάγονται ἑπτὰ πρεσβύτεροι καὶ ποιοῦσι τὸν ἑσπερινὸν καὶ παννυχίδα, καὶ ψάλλοντες κανόνα, τὸν γεγραμμένον εἰς τὸ τέλος τῆς βίβλου· ὁμοίως καὶ εἰς τὸν ὄρθρον ψάλλουσι κανόνας τοὺς ἁρμόζοντας. Καὶ μετὰ τὸ τέλος τοῦ ὄρθρου λειτουργοῦσιν οἱ ἑπτὰ πρεσβύτεροι εἰς διαφόρους ἐκκλησίας ἐπ' ὀνόματος τοῦ ἀρχιστρατήγου Μι-

χαήλ, εἶτα συνάγονται εἰς μίαν ἐκκλησίαν, καὶ οὕτως γίνεται κατὰ τάξιν ἡ ἀκολουθία τοῦ ἁγίου ἐλαίου, καθὼς ὑποτέτακται. Τοῦ πρώτου πρεσβυτέρου ποιοῦντος τὴν πρόθεσιν καὶ θυμιῶντος ὅλον τὸν ναόν, καὶ φέρει τὸ τρυβλίον, καὶ λέγει ὁ αὐτὸς πρεσβύτερος· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε νῦν καὶ ἀεὶ... καὶ εἶθ' οὕτως βάλλει ὕδωρ τῶν ἁγίων θεοφανίων καὶ οἶνον, καὶ ἔλαιον, ἐπισφραγίζων αὐτά, ὁμοίως καὶ ὁ β'. πρεσβύτερος βάλλει καὶ αὐτὸς ὕδωρ τῶν ἁγίων θεοφανίων καὶ οἶνον, καὶ ἔλαιον ἐν τῷ τρυβλίῳ, ἐπισφραγίζων λέγει· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε... Ὁμοίως ποιοῦσι καθεξῆς οἱ ἑπτὰ πρεσβύτεροι. Μετὰ δὲ τοῦτο λέγει ὁ ἀρχιδιάκονος· Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῆς εἰρήνης... Ὑπὲρ τοῦ συγχωρηθῆναι ἡμῖν πᾶν πλημμέλημα ἑκούσιον... Ὑπὲρ τοῦ ῥυσθῆναι... Ὁ ἱερεὺς λέγει εὐχήν· Ὁ Θεὸς ὁ μέγας καὶ θαυμαστός, ὁ φυλάσσων τὴν διαθήκην σου καὶ τὸ ἔλεός σου τοῖς ἀγαπῶσί σε. Goar. p. 337. Конецъ: διὰ τοῦ ἁγιάσματος τούτου τοῦ μέλλοντος ἐπάγεσθαι. Καὶ ἐμφυσᾷ αὐτὸ ὁ ἱερεὺς σταυροειδῶς καὶ σφραγίζει τῷ δακτύλῳ αὐτοῦ, καὶ πάλιν λέγει εὐχήν· Γένοιτο, Κύριε, τὸ ἔλαιον τοῦτο до конца. Goar. p. 338. Ἀντιλαβοῦ, σῶσον... Ὑπὲρ τοῦ ἵλεων καὶ εὐμενῆ καὶ εὐδιάλλακτον γενέσθαι τὸν φιλάνθρωπον Θεὸν ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν, καὶ ἐλεῆσαι ἡμᾶς. Καὶ ὑπὲρ ὑγείας καὶ σωτηρίας καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τοῦ δούλου τοῦ Θεοῦ τοῦδε... Ὑπὲρ τοῦ εἰσακοῦσαι Κύριον τὸν Θεὸν τῆς φωνῆς... Ὑπὲρ τῶν αἰτησαμένων τὴν λειτουργίαν ταύτην ὑπὲρ ὑγείας, σωτηρίας καὶ ἀφέσεως τῶν ἁμαρτιῶν αἰτησώμεθα ταῖς πρεσβείαις τῆς Θεοτόκου, τῶν ἀρχαγγέλων, τοῦ Προδρόμου, Κοσμᾶ, Δαμιανοῦ, Παντελεήμονος καὶ πάντων τῶν ἁγίων... Ὑπὲρ τοῦ δούλου Θεοῦ τοῦδε καὶ τῆς ἀπὸ κλίνης ἐγέρσεως αὐτοῦ, καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτῷ πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον... Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου... Κύριε ἐλέησον μ'. Ὁ ἱερεὺς λέγει τὴν εὐχὴν ταύτην· Ὁ Θεὸς ὁ μέγας, ὁ ὕψιστος, ὁ ὑπὸ πάσης κτίσεως προσκυνούμενος... Goar. p. 339 Конецъ: καὶ ἴασαι αὐτοὺς ἐν τῷ πλήθει τοῦ ἐλέους σου πρεσβείαις τῆς ἀχράντου Θεοτόκου, τῶν ἀρχαγγέλων, τῶν ἀποστόλων, τοῦ Προδρόμου σου Ἰωάννου, τῶν ἁγίων ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ, Παντελεήμονος καὶ πάντων τῶν ἁγίων. Ἐκφώνησις· Ὅτι ἐλεήμων καὶ πάντων τῶν ἁγίων. Καὶ εὐθὺς ἄρχονται λέγειν Τρισάγιον, Πάτερ ἡμῶν, τὸν Ν'. ψαλμόν, Ἀλληλούια, Ἀλληλούια δόξα... γ'. Εἶτα λέγει ἀντίφωνον α'. ἦχος β'. Μακάριος ἀνήρ, ὃς οὐκ ἐπορεύθη... Ὑπόψαλμος· Ἀντιλαβοῦ μου, Κύριε и т. д. Δόξα, τροπάριον ἦχος πλ. β'. Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς... Καὶ νῦν, Τῆς εὐσπλαγχνίας... Καὶ εἶθ' οὕτως λέγει ὁ

πρῶτος πρεσβύτερος· Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τοῦ δούλου τοῦ Θεοῦ τοῦδε καὶ τῆς ἄνωθεν ἐκ Θεοῦ βοηθείας καὶ ἀγαθῆς ἐπισκέψεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν αὐτοῦ... Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως... Καὶ εὐθὺς ὁ ἱερεὺς ποιεῖ τὴν εὐχήν· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καθήμενος ἐπὶ τῶν χερουβὶμ καὶ ἐπιβλέπων ἀβύσσους, ἔπιδε ἐπὶ τὸν δοῦλόν σου τοῦτον καὶ ἐπίσκεψαι αὐτὸν τῇ φιλανθρωπίᾳ σου καὶ τῇ ἀμετρήτῳ σου δυνάμει,· ἔκτεινον[1]) τὴν δεξιάν σου τὴν κραταιάν, καὶ ἀντικατάπεμψον τὴν ἰαματικήν σου δύναμιν ἐξ ἁγίου ὑψώματός[2]) σου, καὶ ἀνάστειλον ἀπ᾽ αὐτοῦ πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν, καὶ ἀποκατάστησον αὐτὸν[3]) τῇ ἁγίᾳ σου ἐκκλησίᾳ ὑγιαίνοντα πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ. Сн. Дмитріевскаго. Прилож. къ Богосл. въ русск. ц. въ XVI в. ч. I, стр. 115. Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τῶν ἁγίων καὶ ἐπουρανίων δυνάμεων, τοῦ ἁγίου Ἰωάννου τοῦ Προδρόμου καὶ βαπτιστοῦ, τῶν ἁγίων καὶ πανευφήμων ἀποστόλων, τοῦ ἁγίου καὶ ἐνδόξου πρωτομάρτυρος καὶ ἀρχιδιακόνου Στεφάνου, τῶν ἁγίων καὶ θαυματουργῶν Παντελεήμονος καὶ Ἑρμολάου μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες... Ἐκφώνησις· Ὅτι σὺ εἶ ὁ ἰατρὸς καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν... Εἶτα λαβὼν ὁ αὐτὸς πρεσβύτερος τὸ ἀπτρὶν ἐκ τῆς κανδήλας, ποιεῖ μετ᾽ αὐτοῦ σταυροὺς γ΄. εἰς τὸ αὐτὸ ἅγιον ἔλαιον, εἶθ᾽ οὕτως ἀνάπτει αὐτό. Εἶτα πάλιν ἀμφότεροι ποιοῦσι Τρισάγιον καὶ τὸν Ν΄. Ἀντίφωνον β΄. Κύριε ὁ Θεός μου, ἐπὶ σοὶ ἤλπισα, σῶσόν με ἐκ πάντων... Ὑπόψαλμος· Πρεσβείαις τῆς... Δόξα, Αἱ ἀνομίαι ἡμῶν καὶ αἱ ἀπειθεῖς ἡμῶν πράξεις περιεκύκλωσαν ἡμᾶς... Καὶ νῦν, Πολλὰ τὰ πλήθη τῶν... Εἶτα πάλιν λέγει ὁ πρεσβύτερος τὰ προγραφέντα κηρύγματα, καὶ ὁ β΄. πρεσβύτερος καὶ τὴν εὐχήν· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν τῷ ἐλέει καὶ τοῖς οἰκτιρμοῖς σου Goar. p. 335. Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας... (что выше). Καὶ μετὰ τὴν ἐκφώνησιν ὁμοίως καὶ αὐτὸς λαβὼν ἀπτρίν, ἐπισφραγίσας εἰς τὸ ἅγιον ἔλαιον, ἅπτει αὐτό. Ὁμοίως καὶ καθεξῆς γίνεται ἕως τῶν ἑπτὰ πρεσβυτέρων. Εἰ δὲ τύχῃ καὶ οὐ πάρεισιν ἑπτὰ πρεσβύτεροι, ποιοῦσι τὴν ἀκολουθίαν δύο ἢ τρεῖς. Εἶτα πάλιν τὸν Ν΄. καὶ εἶθ᾽ οὕτως ψάλλουσιν ἀντίφωνον γ΄. ψαλμὸς ιθ΄. Ἐπακούσαι σου, Κύριε, ἐν ἡμέρᾳ θλίψεως... Ὑπόψαλμος· Ὑπάκουσόν μου, Κύριε... Δόξα, Κύριε ἐλέησον ἡμᾶς, ἐπὶ

---

1) Ркп. Син. библ. № 960 нѣтъ до словъ ἐξ ἁγίου 2) κατοικητηρίου 3) ὑγιαίνοντα πάσας.

σοι... Καὶ νῦν, Δι' εὐσπλαγχνίας οἰκτιρμῶν, Χριστέ, κατῆλθες ἐπὶ γῆς καὶ ἐκ Παρθένου σαρκωθείς... Εὐχὴ γ'. Ἔκπεμψον, Κύριε, τὴν πιότητα τοῦ ἐλέους σου ἐπὶ τὸν καρπὸν τῆς ἐλαίας τοῦτον, δι' οὗ ἔχρισας ἱερεῖς, προφήτας, βασιλεῖς, τοκάς(;) μάρτυρας καὶ ἐνέδυσας τῇ χρηστότητί σου δικαιοσύνης ἔνδυμα, ἵνα γένηται παντὶ τῷ ἀλειφομένῳ καὶ γευομένῳ εἰς ὄνησιν καὶ ὠφέλειαν ψυχῆς καὶ σώματος (καὶ) πνεύματος, εἰς ἀποτροπὴν παντὸς κακοῦ, εἰς ὑγείαν τῷ χριομένῳ διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ. Ἐκφώνησις· Ὅτι εὐλογητὸς εἶ καὶ δεδοξασμένος σὺν τῷ παναγίῳ... Καὶ λαβὼν ὁμοίως τὸ ἀπτρὶν ἐπισφραγίσας ἅπτει αὐτό. Εἶτα πάλιν τὸν Ν'. ἀντίφωνον δ'. Κύριος ποιμαίνει με... Ὑπόψαλμος· Ἐλέησόν με, Κύριε... Δόξα καὶ νῦν, Τὴν ἀσθενοῦσάν μου ψυχὴν ἐπίσκεψαι, πανάγιε, καὶ τὸ ἄλγος τῆς καρδίας μου... Εὐχὴ δ'. Αἰτούμεθά σε, Κύριε ὁ Θεός, ὅπως προστάξῃς τὸ ἔλεός σου ἐπὶ τὸ ἔλαιον τοῦτο καὶ τοὺς χριομένους ἐξ αὐτοῦ ἐν ὀνόματί σου, ἵνα γένηται αὐτοῖς εἰς ἴασιν ψυχῆς καὶ σώματος, καὶ εἰς καθαρισμὸν καὶ ἀπαλλαγὴν παντὸς πάθους καὶ πάσης νόσου καὶ μαλακίας, καὶ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, ἵνα καὶ ἐν τούτῳ δοξασθῇ σου τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ. Ἐκφώνησις· Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις... Conf. Goar. pag. 347. Καὶ πάλιν ὁμοίως λέγει τὸν Ν'. καὶ εὐθὺς ἀντίφωνον ε'. Κρῖνόν μοι, Κύριε, ὅτι ἐγὼ ἐν ἀκακίᾳ μου ἐπορεύθην... Ὑπόψαλμος· Βοήθησόν με, Κύριε... Τροπάριον πλ. β'. Κύριε, ὁ καθήμενος ἐπὶ τῶν χερουβὶμ καὶ ἀσιγήτοις δοξαζόμενος ἀεί, δέξαι παρ' ἡμῶν τὸν τρισάγιον ὕμνον... Καὶ νῦν. Ἐλπὶς τοῦ Κυρίου μου ἀγαθὴ Θεοτόκε παρθένε τὴν γῆν... Εὐχὴ πέμπτη· Ὁ πολὺς ἐν ἐλέει καὶ πλούσιος ἐν ἀγαθότητι, καὶ Πατὴρ τῶν οἰκτιρμῶν, καὶ Θεὸς πάσης παρακλήσεως... Goar. p. 341. Конецъ: ὁ μόνος ψυχῶν καὶ σωμάτων ἰατρός, ἴασαι καὶ τὸν δοῦλόν σου τὸν δεῖνα διὰ τοῦ ἐλαίου τῆς σῆς χρηστότητος, ὅπως καὶ νῦν, μετέχοντες τῆς σῆς φιλανθρωπίας, δοξάζωμέν σε τὸν ποιοῦντα μεγάλα καὶ θαυμαστὰ ἐν δόξῃ τε καὶ ἐξουσίᾳ. Ἐκφώνησις· Ὅτι Θεὸς ἐλέους, οἰκτιρμῶν καὶ φιλανθρωπίας ὑπάρχεις... Καὶ λαβὼν καὶ αὐτὸς ἀπτρίν, ἐπισφραγίσας ἅπτει. Καὶ πάλιν λέγει τὸν Ν'. εἶτα ψάλλουσιν ἀντίφωνον ς'. Ἐπὶ σοί, Κύριε, ἤλπισα μὴ καταισχυνθείην... Ὑπόψαλμος· Ἐξελοῦ ἡμᾶς, Κύριε, Δόξα, Ὁ σταυρός σου, Κύριε, ἡγίασται ἐν αὐτοῖς... Καὶ νῦν, Ἐν τῷ ναῷ ἑστῶτες... Εὐχὴ ς'. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν τῷ ἐλέει καὶ τοῖς οἰκτιρμοῖς σου... Goar. p. 335. Καὶ πάλιν ποιοῦσι τὸν Ν'. ψαλμόν, εἶτα ἀντίφωνον ζ'. Ὑπομένων, ὑπέμεινα τὸν Κύριον. Δόξα, Ἀπόστολε Κυρίου τῶν πολεμουμένων ἡ εἰρήνη, τῶν χειμαζομένων ἡ γαλήνη... Καὶ νῦν, Παναγία Θεοτόκε,

τὸν χρόνον τῆς ζωῆς... Εὐχὴ ζ΄. Ἀγαθὲ καὶ πολυέλεε, καὶ πολυεύσπλαγχνε, καὶ δημιουργέ, καὶ βασιλεῦ, καὶ προνοητά, καὶ εὐεργέτα τῶν ἁπάντων, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ διὰ πλήθους οἰκτιρμῶν καὶ πέλαγος φιλανθρωπίας, καὶ ἀφάτου ἀγαθότητος, μὴ παριδὼν τὸ οἰκεῖον πλάσμα, τὸν ἄνθρωπον, ὑπὸ τοῦ ἀρχεκάκου καὶ βασκάνου δράκοντος τυραννούμενον, ἀλλ' ἐκ τῆς πανάγνου καὶ παναμώμου δαβιτικῆς ἀειπαρθένου κόρης Μαρίας σαρκωθεὶς καὶ γέγονας καθ' ἡμᾶς κατὰ πάντα, πλὴν τῆς ἁμαρτίας ἄνθρωπος, τὴν ἡμετέραν (οὐσίαν;) διὰ τῆς ἀφάτου σου ἐνσάρκου σωτηριώδους οἰκονομίας οἰκονομήσας, ἐν Ἰορδάνῃ τὴν ὑγρανθεῖσαν τοῖς ἁμαρτήμασιν ἡμῶν οὐσίαν ἐκκάθηράς τε καὶ ἐκαινούργησας, τὸν δυσμενῆ καὶ δελεαστὴν καὶ πειραστὴν ἐχθρὸν κατεπάλαισας, καὶ τὴν αὐτοῦ τυραννίδα κατήργησας, καὶ τοῖς ἀνθρώποις τὰς πηγὰς τῶν θείων σου εὐεργεσιῶν ἐπέβλυσας, τυφλοὺς ἐφώτισας, λεπροὺς ἐκαθάρισας, χωλοὺς συνέσφιγξας, πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐθεράπευσας, καὶ νῦν πάρεσο ἡμῖν, τοῖς ἐπικαλουμένοις σε, ἐλεήμων, ὁ καὶ ψυχῶν καὶ σωμάτων ἰατρὸς[1]), αὐτοπροαιρέτῳ σῷ νεύματι καὶ λόγῳ τοῦ προστάγματός σου, παντοίαν σωματικὴν νόσον ἰώμενος καὶ πᾶσαν πλάνην τοῦ φθονεροῦ ἀπελαύνων, ὁ κατὰ πᾶσαν γενεὰν θαυματουργῶν ἔνδοξά τε καὶ ἐξαίσια, ὧν οὐκ ἔστιν ἀριθμός· ὁ καὶ πάλαι μὲν τοὺς τρεῖς παῖδας ἀπὸ τῆς φλογὸς ἀπαθεῖς διασώσας, ὕστερον δὲ τῷ ἐκ γενετῆς τυφλῷ τὸ βλέπειν χαρισάμενος, καὶ Λάζαρον τετραήμερον ἐκ νεκρῶν ἀναστήσας, καὶ ἐπιτιμήσας τῷ πυρετῷ τῆς πενθερᾶς Πέτρου καὶ παραχρῆμα τοῦ νοσήματος αὐτὴν ἀπαλλάξας, ὥστε ἀναστᾶσαν αὐτὴν διακονεῖν. Ἐπίσκεψαι, Δέσποτα, προσκυνητὲ Κύριε, τὸν δοῦλόν σου τόνδε τὸν τοῖς σοῖς οἰκτιρμοῖς καταφεύγοντα, καὶ ἴασαι αὐτὸν ἀπὸ πάσης ἀσθενείας, δεσμεύων τὰ συντρίμματα καὶ πᾶσαν ἐνέργειαν κακοῦσαν καὶ θλίβουσαν αὐτῷ καὶ ἐκμοχλεύων· ἐλθέτω δύναμις ἐκ τῆς σῆς εὐσπλαγχνίας, καὶ ἀπελασάτω ἀπ' αὐτοῦ τὴν ἐκ τῆς ἀῤῥωστίας μάστιγα, ἐπίσταξον αὐτῷ δρόσον ἰαμάτων, ῥῦσαι αὐτὸν ἀπὸ πόνων καὶ ἀλγημάτων, ἀποδίωξον ἀπ' αὐτοῦ διὰ τοῦ τύπου τοῦ ζωοποιοῦ σου σταυροῦ πᾶσαν διαβολικὴν διαβουλὴν καὶ κακουργίαν, ἐπίχεε ἐπὶ τὴν κεφαλὴν αὐτοῦ τὴν σὴν ἰαματικὴν χάριν, καὶ παυσάτω ἀπὸ παντὸς μέλους αὐτοῦ καὶ ὀστέου πᾶσα ἀλγηδὼν καὶ λυπητικὴ ὄχλησις, ἐξέγειρον αὐτὸν ἀπὸ κλίνης ὀδυνηρᾶς καὶ ἀπὸ στρωμνῆς κακώσεως, καὶ δὸς αὐτῷ καιρὸν διηγήσασθαι πάντα τὰ θαυμάσιά σου καὶ ἐξειπεῖν τὸ σωτήριόν σου. Ἐκφώνησις· Ὅτι Θεὸς ἐλέους καί... Καὶ μετὰ τὸ πληρῶσαι ἕνα

[1]) Подобную молитву см. выше въ ркп. Син. библ. № 957 стр. 6.

ἕκαστον τὰς εἰρημένας εὐχὰς καὶ ἀνάψαι τὰ ζ'. τουβία αὐτῶν, ποιοῦντες μετ' αὐτοῦ σταυροὺς τρεῖς εἰς τὸ αὐτὸ ἅγιον ἔλαιον, καὶ εἶθ' οὕτως ἄρχονται οἱ ζ'. πρεσβύτεροι τὴν θείαν λειτουργίαν, τοῦ πρώτου πρεσβυτέρου προσκομίσαντος ἢ τοῦ ἡγουμένου, καὶ τῶν λοιπῶν συλλειτουργούντων, ἤτοι συμβοηθούντων· καὶ λέγει ὁ μὲν προκείμενον, ὁ δὲ ἀπόστολον, ἕτερος τὸ Ἀλληλούια, ἄλλος τὸ εὐαγγέλιον καὶ ἕτερος διακονικά.

Καὶ εὐθὺς λέγει εἷς· Εὐλόγησον, δέσποτα. Ὁ πρωτοπαπάς· Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ... Ἀντίφωνον τῆς λειτουργίας τὸ α'. ψαλμὸς ρβ'. Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον... ἕως τέλους. Ὑπόψαλμος· Πρεσβείαις τῆς Θεοτόκου... Δόξα καὶ νῦν, Πρεσβείαις. Ἀντίφωνον β'. ψαλμὸς ρλγ'. Δόξα. Αἴνει ἡ ψυχή... λέγει ἕως τοῦ τέλους τοῦ ψαλμοῦ, εὐθὺς Δόξα, Ὁ μονογενὴς Υἱός... Ἀντίφωνον γ'. Λαμβάνει ὁ πρωτοπαπὰς καὶ ἐξέρχεται ἐκ τοῦ βήματος τὸ ἅγιον εὐαγγέλιον εἰς τὴν εἴσοδον καὶ λέγει πλ. β'. Ἐν τῇ βασιλείᾳ σου... Μνήσθητί μου, ὁ Θεός. Πάριδέ μου τὰ ἐν γνώσει καὶ ἀγνοίᾳ πεπραγμένα... Ὁ τοῦ Πέτρου προσδεξάμενος τὸν θρῆνον, πρόσδεξαί μου, Χριστέ... Ὅταν ἔλθῃς ἐν τῇ δόξῃ μετὰ ἀγγέλων... Εἶτα εἴσοδος, καὶ λέγει τροπάριον, ἦχος πλ. β'. Ὁ γινώσκων τὰ πάθη τῶν ἀνθρώπων καὶ τὰς ὀδύνας τῆς φύσεως ἡμῶν, οὐρανόθεν ἰατρὲ τῶν ἀσθενούντων... Δόξα, Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς... Καὶ νῦν, Τῆς εὐσπλαγχνίας... Προκείμενον, ἦχος δ'. Ἐγὼ εἶπα· Κύριε, ἐλέησον... στίχος· Μακάριος ὁ συνιών. Καθολικῆς ἐπιστολῆς Ἰακώβου· Ἀδελφοί, ὑπόδειγμα λάβετε... Goar. p. 337. Εὐαγγέλιον κατὰ Μάρκον· Τῷ καιρῷ ἐκείνῳ προσκαλεσάμενος ὁ Ἰησοῦς τοὺς δώδεκα μαθητὰς αὐτοῦ... Τέλος· καὶ δαιμόνια πολλὰ ἐξέβαλλον καὶ ἤλειφον ἐλαίῳ πολλοὺς ἀῤῥώστους καὶ ἐθεράπευον. Εἴπωμεν πάντες... Κύριε παντοκράτωρ... Ὁ μὴ βουλόμενος... Ὁ πλούσιος ἐν ἐλέει... Ὑπὲρ τοῦ ἵλεων... Ὑπὲρ τοῦ εἰσακοῦσαι .. Ὑπὲρ συστάσεως... Εἰσάκουσον, Κύριε, τῆς δεήσεως ἡμῶν, ὡς ἐπήκουσας τοὺς ἁγίους σου ἀποστόλους Πέτρου καὶ Ἰωάννου, πορευομένων αὐτῶν ἐπὶ τὴν ὥραν τῆς προσευχῆς τὴν ἐνάτην καὶ δι' αὐτῶν ποιήσας σημεῖον ἐνώπιον παντὸς τοῦ λαοῦ, ἐλέησον καὶ τὸν δοῦλόν σου τόνδε, εἴπωμεν.—Κύριε, ὡς ἐπήκουσας τοὺς ἁγίους σου τρεῖς παῖδας ἐν καμίνῳ, ἐπάκουσόν καὶ ἡμῶν τῶν ἁμαρτωλῶν, δεομένων ὑπὲρ αὐτοῦ.—Τῇ πρεσβείᾳ τῶν τιμίων καὶ ἐνδόξων προφητῶν, ἀποστόλων καὶ μαρτύρων, καὶ πάντων τῶν ἁγίων, τῶν ἐν ὅλῳ τῷ κόσμῳ ὑπὲρ αὐτοῦ δυσωπουμένων, ἐλέησον καὶ τὸν δοῦλόν σου τόνδε.—Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεος... Ἔτι ὑπὲρ τοῦ δούλου τοῦ Θεοῦ ὑπὲρ ὑγείας, σωτηρίας καὶ ἀφέσεως τῶν ἁμαρτιῶν αὐτοῦ, εἴπωμεν. Ὁ λαός· Κύριε ἐλέησον μ'. Κύ-

ριε ὁ Θεὸς ἡμῶν, τὴν ἐκτενῆ ταύτην ἱκεσίαν πρόσδεξαι Goar. pag. 56. Ἐκφώνησις· Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος... Ἐν δὲ τῷ διαβαίνειν τὰ ἅγια, πίπτει ὁ ἀσθενῶν ἐπὶ πρόσωπον αὐτοῦ μέσον τοῦ ναοῦ, ὁ δὲ πρωτοπρεσβύτερος ἵσταται ἐνώπιον τῆς ἁγίας τραπέζης, λέγει· Οὐδεὶς ἄξιος τῶν συνδεδεμένων ταῖς σαρκικαῖς... Goar. p. 58. Οἱ δὲ λοιποὶ πρεσβύτεροι, βαστάζοντες τὰ ἅγια, ὁ μὲν τὸν δίσκον, καὶ ἕτερος τὴν λαβίδα, καὶ ἄλλοι μανουάλια μετὰ κηρίων, καὶ πατοῦσι τὸν ἀσθενῆ εἷς καθ' (ἕνα), καὶ εἰσέρχονται, νίπτεται δὲ τὰς χεῖρας ὁ πρωτοπρεσβύτερος. Κοινωνικόν· Ποτήριον σωτηρίου. Καὶ τελειοῦται ἡ θεία λειτουργία μέχρι τοῦ Εὐλογήσω τὸν Κύριον, καὶ οὐκ ἀπολύουσιν, ἀλλ' εὐθὺς ἄρχονται τὸν Ν'. ὁ δὲ πρωτοπρεσβύτερος λέγει· Τοῦ Κυρίου δεηθῶμεν. Καὶ λέγει τὴν εὐχήν· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν τῷ ἐλέει καὶ τοῖς οἰκτιρμοῖς... Goar. p. 335. Καὶ μετὰ τὴν ἐκφώνησιν, λαβὼν ὁ αὐτὸς πρεσβύτερος τὸ τουβὶν ἐκ τῆς κανδήλας, ποιεῖ μετ' αὐτοῦ σταυροὺς τρεῖς εἰς τὸ ἅγιον ἔλαιον καί, σβεννύων αὐτό, τίθησιν ἔξω τῆς κανδήλας, ὁμοίως οἱ λοιποὶ πρεσβύτεροι ποιοῦσιν. Εἶτα πάλιν ἀμφότεροι τὸν Ν'. καὶ ὁ δεύτερος πρεσβύτερος λέγει εὐχήν· Πάτερ ἅγιε, ἰατρὲ ψυχῶν καὶ σωμάτων... Goar. p. 338. διὰ τῆς χάριτος τοῦ Χριστοῦ σου, καὶ ζωοποίησον αὐτὸν κατὰ τὸ σοὶ εὐαρεστεῖν τῇ ὀφειλομένῃ σοι εὐχαριστίᾳ ἐν ἀγαθοεργίᾳ ἀποπληροῦντι. Ὅτι σὸν τὸ κράτος καί σου... Εὐχὴ γ'. Κύριε παντοκράτωρ, ἅγιε βασιλεῦ, ὁ Θεός, ὁ παιδεύων καὶ μὴ θανατῶν... Прилож. стр. 127. εὐαρεστοῦντα καὶ ποιοῦντα τὸ θέλημά σου πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ. Ἐκφώνησις· Ὅτι σὺ εἶ, ὁ Θεὸς ἡμῶν, ὁ Θεὸς τοῦ ἐλεεῖν... Εὐχὴ δ'. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ πάντων Δεσπότης καὶ τῶν ὅλων ποιητής, ὁ τῶν ἀσθενούντων ἰατρὸς καὶ τῶν ἐν θλίψει ἀντιλήπτωρ, ἐυιλατεύων τὰς ἀνομίας ἡμῶν καὶ ἰώμενος τὰς νόσους ἡμῶν, ἀπόστρεψον πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἀπὸ τὸν δοῦλόν σου τόνδε διὰ τοῦ μονογενοῦς σου Παιδός, ὃν ἀπέστειλας εἰς τὸν κόσμον εὐεργετοῦντα καὶ ἰώμενον πάντας τοὺς καταδυναστευομένους ὑπὸ τοῦ διαβόλου, τὴν τοῦ σώματος ἀσθένειαν ἀπείργων διὰ τῆς σῆς χρηστότητος, ἀφ' ἧς τὰς ἐξ ἁμαρτίας καὶ τὰς ἐξ ἁμαρτιῶν κακώσεις διαλύων, κατὰ τὴν ἄφατον ἐξουσίαν καὶ τὴν ὑπερβάλλουσαν ἀγαθότητα, δι' ἧς ἰάσατο ὁ μονογενής σου Υἱὸς καὶ Θεὸς ἡμῶν, λύων τὰς ἐξ ἁμαρτιῶν κακώσεις. Δεόμεθά σου, Δέσποτα, τάχυνον τὴν βοήθειάν σου, καὶ ἐπίβλεψον ἐπὶ τὸν δοῦλόν σου ἐν ἐλέει καὶ οἰκτιρμοῖς, ὅπως ἰαθεὶς διὰ τῆς σῆς εὐσπλαγχνίας δοξάσῃ τὸ ἅγιον ὄνομά σου τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καί... Ὅτι σὴ ἐστὶν ἡ δόξα καὶ ἡ βασιλεία... Εὐχὴ ε'. Ὁ ἰατρὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, ὁ ἀναλαβὼν εἰς ἑαυτὸν τὰς ἀσθενείας τοῦ λαοῦ καὶ τοὺς πόνους βαστά-

σας, μνήσθητι καὶ τὸν δοῦλόν σου τόνδε, τὸν ἐν ἀῤῥωστίᾳ ἐξεταζόμενον καὶ τοῦ ἐλέους σου ἐπιδεομένου, κατάπεμψον τὴν ἰατρικήν σου χάριν καὶ ἴασαι αὐτὸν ἐκ τῆς κλίνης ἀῤῥωστοῦντα, παράσχου αὐτῷ ὑγείαν ὁλόκληρον σώματος καὶ ψυχῆς καὶ πνεύματος, ἀποκατάστησον αὐτὸν ὑγιῆ τῇ ἁγίᾳ σου καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ εἰς προσκύνησιν καὶ εἰς δόξαν τοῦ ἁγίου σου ὀνόματος. Σὺ γὰρ εἶ ὁ Θεὸς ἡμῶν, Θεὸς τοῦ ἐλεεῖν... Εὐχὴ ς'. Ὁ Θεὸς ἡμῶν, ὁ Θεὸς τοῦ σώζειν, ποιῶν ἔλεος εἰς χιλιάδας καὶ μυριάδας τοῖς ἀγαπῶσί σε καὶ φυλάσσων τὰ προστάγματά σου, ὁ θεραπεύων πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν, ὁ ἰώμενος τοὺς συντετριμμένους τῇ καρδίᾳ καὶ δεσμεύων τὰ συντρίμματα αὐτῶν, ὁ μόνος ἰατρὸς ψυχῶν τε καὶ σωμάτων, ἡ καταφυγὴ τῶν ἀσθενούντων, καὶ βοήθεια τῶν ἀβοηθήτων. Ἐπάκουσον ἡμῶν, ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, ἐπίφανον τὸ πρόσωπόν σου ἐφ' ἡμᾶς καὶ ἐπὶ τὴν σκέπην ταύτην καὶ πάντας τοὺς ἐνοικοῦντας ἐν αὐτῇ ἐπίσκεψαι, ὁ Θεός, καὶ ἐξαπόστειλον τὸ ἔλεός σου ἐπὶ τὸν δοῦλόν σου τόνδε, τὸν ἐπικεκλημένον ἐπὶ τὸ ὄνομα τοῦ Χριστοῦ, καὶ ἴασαι αὐτοῦ πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν, καὶ πᾶσαν ἀσθένειαν σωματικήν τε καὶ ψυχικήν, λύσον ἁμαρτίας καὶ τὰ ἐξ ἁμαρτιῶν ἐπίπονα, ὁ πάντα τὰ πάθη φυγαδεύων τῷ λόγῳ σου καὶ πᾶσαν βασκανίαν τοῦ ἐχθροῦ καὶ ἐνέργειαν, ὡς γνόφον ἀφάνισον τῷ θελήματί σου, ἐπίνευσον εἰς τὴν δέησιν τῶν δούλων σου, εἰς ἐπίσκεψιν τοῦ κάμνοντος. Κύριε, δὸς αὐτῷ χεῖρα βοηθείας καὶ ἐξέγειρον αὐτὸν ἐκ τῶν συμπτωμάτων τῆς ἀσθενείας, τὴν φανερὰν ἰώμενος ἀῤῥωστίαν, τὴν ἀφανῆ διορθούμενος καχεξίαν, ἵνα καὶ τῷ σώματι ῥωσθῇ καὶ τῷ πνεύματι σωθῇ, ῥῦσαι αὐτὸν ἔργοις τῆς εὐσπλαγχνίας σου, εὐθυπορῶν πρὸς τὴν βασιλείαν σου, μεθ' οὗ καὶ τὰς ἡμῶν ἀσθενείας ἰάτρευσον, ὁ δι' αὐτὰς γενόμενος ἄνθρωπος, ἵνα καὶ ἐν τούτῳ δοξασθείη τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ... Εὐχὴ ζ'. Πάτερ ἅγιε, ἰατρὲ ψυχῶν καὶ σωμάτων (см. выше). Καὶ μετὰ τοῦτο λέγει τὴν εὐχὴν τ ο ῦ ἁ γ ί ο υ Ἰ ω ά ν ν ο υ τ ο ῦ Θ ε ο λ ό γ ο υ ἐπάνω τοῦ ἀσθενοῦντος· Βασιλεῦ, ἀόρατε, ἀκατανόητε, ἀπερίληπτε, ἀπερίγραπτε, εὔσπλαγχνε, πολυέλεε, ὑπεράγαθε, ἀνεξίκακε, φιλάνθρωπε καὶ μακρόθυμε, ὕψιστε, ὁ ἐν οὐρανοῖς κατοικῶν καὶ τὰ ταπεινὰ ἐφορῶν, ὁ θανατῶν καὶ ζωογονῶν, ὁ παιδεύων καὶ πάλιν ἰώμενος, σοῦ δεόμεθα καὶ σὲ ἱκετεύομεν, κλῖνον τὸ οὖς σου καὶ ἐπάκουσον ἡμῶν, σπλαγχνισθεὶς ἐφ' ἡμᾶς τῇ σῇ ἀγαθότητι, καὶ ἴασαι τὸν δοῦλόν σου ἐν τάχει καὶ κάθαρον αὐτοῦ πᾶν μέλος τοῦ σώματος ἀπὸ παντὸς μολυσμοῦ καὶ νόσου, ἀπὸ κορυφῆς κρανίου καὶ ἡμικρανίου, καὶ ἡγεμονικοῦ, ταραχῆς, αἰχμαλωσίας τε καὶ συγχύσεως, ἀπὸ ἀρτηριῶν καὶ ἄρθρων, καὶ μηνίγγων ὀδύνης, ἀπὸ δακρυῤῥοΐας ὀφθαλμῶν, ἀπὸ ῥευμάτων συνοχῆς, ἀπὸ φάρυγγος καὶ στομά-

χου, καὶ ἥπατος, καὶ σπληνός, καὶ ὀμφαλοῦ, καὶ κοιλίας, καὶ ἀπὸ πάθους νεφρικοῦ καὶ δυσουριακοῦ, καὶ σχεδιακοῦ, καὶ ἀναδοτικοῦ, καὶ ναρκιασμοῦ, καὶ πωρώματος, καὶ ἀλγήματος ἁρμονιῶν, καὶ ἀπὸ φρίκης, καὶ ῥίγους, καὶ πυρετοῦ, καὶ τριταίου, καὶ ναρκήσεως νεύρων καὶ ὀστέων καὶ τζίρματος, καὶ πάσης κακώσεως, καὶ νόσου καὶ θλίψεως· ἴασαι τὸν δοῦλόν σου ὁ δεῖνα τῇ βοηθείᾳ καὶ συνεργίᾳ τοῦ ἁγίου σου Πνεύματος, καὶ ἀνάστησον αὐτὸν ἀπὸ στρωμνῆς κακώσεως, καὶ σβέσον τὸν πυρετόν, πράϋνον τὸ πάθος, καὶ ἀποδίωξον ἀπ' αὐτοῦ πᾶσαν μαλακίαν καὶ νόσον, καὶ ἀδικίαν, καὶ ῥαθυμίαν, καὶ στενοχωρίαν, καὶ ὀλιγοψυχίαν, καὶ ἀγρυπνίαν καταψύχων αὐτοῦ τὴν ψυχὴν καὶ τὸ σῶμα τῇ γλυκείᾳ σου θεραπείᾳ. Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεός... Καὶ μετὰ τοῦτο ἄρχονται οἱ ἱερεῖς τροπάριον ἦχος β'. Ἀρχιστράτηγε Θεοῦ... Οἱ τὴν χάριν λαβόντες... Ἅγιοι ἀνάργυροι... Καὶ ταῦτα ψάλλομεν ἐκ γ'. κρατῶν τὴν κεφαλὴν τοῦ ἀσθενοῦντος, λέγει εὐχήν· Πάτερ ἅγιε, ἰατρὲ ψυχῶν... (См. выше) Καὶ μετὰ τὸ πληρῶσαι ἕνα ἕκαστον τὴν εὐχὴν ταύτην, ἀλείφουσιν αὐτὸν εἷς ἕκαστος πρεσβύτερος ἐκ τοῦ ἁγίου ἐλαίου, ποιοῦντες σταυροῦ τύπον ἐπὶ τοῦ μετώπου αὐτοῦ, καὶ τοῦ μυκτῆρος, καὶ τοῦ πώγωνος, καὶ τοῦ αὐχένος, καὶ τῶν δύο ὤτων, καὶ ἐπὶ τῶν χειρῶν, ψάλλουσι τροπάριον· Ἅγιοι, ἀνάργυροι... Καὶ ἐν τῷ ἀλείφειν τὸν ἄῤῥωστον, ἀλείφουσι καὶ τὸν λαόν, εἶτα δίδωσιν αὐτῷ τῶν θείων ἁγιασμάτων καὶ κοινωνεῖ. Εἶτα λέγουσι τὸ Εὐλογήσω τὸν Κύριον καὶ ἡ ἀπόλυσις. Ἐν δὲ τῷ τελειοῦσθαι ἅπαντα, αἴρουσι τὸν ἄῤῥωστον καὶ ἀπέρχονται εἰς τὸν οἶκον αὐτοῦ, ψάλλοντες· Τῇ Θεοτόκῳ ἐκτενῶς, λέγουσι καὶ τὸν Ν'. ἔχοντες καὶ τὸ ἅγιον ἔλαιον, χρίοντες τὴν κλίνην τοῦ ἀσθενοῦντος σταυροειδῶς καὶ τὸν οἶκον, καὶ τὴν θύραν. Λέγει καὶ εὐαγγέλιον κατὰ Λουκᾶν· Τῷ καιρῷ ἐκείνῳ, διήρχετο ὁ Ἰησοῦς τὴν Ἱεριχώ... Goar. p. 339. (Εὔχεσθε καὶ ὑπὲρ τοῦ γράψαντος Αὐξεντίου, πρεσβύτεροι). Ὀφείλει δὲ πρῶτον ὁ ποιῶν τοῦ ἁγίου ἐλαίου ἐξαγόρευσιν (sic), ὀφείλει δὲ καὶ λούεσθαι καὶ οὕτω προσέρχεσθαι. Δεῖ εἰδέναι, ὅτι τὰς ζ'. ἡμέρας φυλάττει τοῦ μὴ ἀπολούεσθαι, καθάπερ οἱ νεοφώτιστοι.

л. 87 об. Εὐχὴ ἐπὶ τῶν μετανοούντων.

Ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, ὁ διὰ τοῦ προφήτου σου Ναθὰν μετανοήσαντι τῷ Δαβὶδ Goar. p. 536.

л. 88. Εὐχὴ ἐπὶ ἐξομολογουμένων.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τῷ Πέτρῳ καὶ τῇ πόρνῃ διὰ δακρύων... Goar. p. 537.

— Εὐχὴ ὑπὸ τῶν ἀλόγως ἀφοριζομένων ἢ ἑαυτοὺς ὅρκῳ δεσμεύσαντας.

Ὁ Θεὸς ὁ φοβερὸς καὶ δυνατός, ὁ διὰ τοὺς σοὺς οἰκτιρμοὺς ἐξαποστείλας τὸν μονογενῆ σου Υἱὸν εἰς τὸν κόσμον. Goar. p. 531.

л. 88 об. Εὐχὴ εἰς τοὺς ἐν ἐπιτιμίοις ὄντας καὶ ἢ ὅταν πληρώσῃ τὰς εὐχὰς καὶ τὰς νηστείας καὶ τὸν κανόνα τῶν ἁμαρτημάτων αὐτοῦ, καὶ λύων αὐτὸν καὶ εἰς τοὺς ἑαυτοὺς ὅρκῳ δεσμοῦντας, ὅτε σταυρωπατήσωσιν.

Δέσποτα Κύριε Ἰησοῦ Χριστέ, ὁ μονογενὴς Λόγος τοῦ Πατρός, ὁ πάντα δεσμὸν τῶν ἁμαρτιῶν ἡμῶν τῷ σῷ ἑκουσίῳ πάθει διαῤῥήξας... Goar. p. 528.

л. 89. Εὐχὴ εἰς τὸ λῦσαι κανόνα.

Εὐλογητὸς εἶ, Κύριε ὁ Θεός, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς, ὁ λύσας τὰς ὀδύνας, τὸν θάνατόν σου καὶ δεξάμενος τὸν τίμιόν σου κανόνα τὸν δεξάμενον ὁ δοῦλός σου ὁ δεῖνα, ὁδηγῶν αὐτὸν εἰς πᾶν ἔργον ἀγαθόν. Ὅτι σὸν τὸ κράτος καὶ σοῦ ἐστὶν ἡ βασιλεία.

л. 49 об. Ἀκολουθία ἐπὶ ψυχομαχοῦντα καὶ βιαζόμενον.

Λέγει Τρισάγιον, Πάτερ ἡμῶν, τὸν Ν'. ψαλμόν, τροπάριον· Ἐλέησον ἡμᾶς... Κύριε, ἐλέησον... Τῆς εὐσπλαγχνίας τὴν πύλην. Καὶ λέγει τὴν εὐχήν· Δέσποτα Κύριε, ὁ Θεός, ὁ παντοκράτωρ, ὁ πάντα ἄνθρωπον θέλων σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν Goar. p. 587.

— Ἀκολουθία ἐπὶ τελευτήσαντος.

Λέγει Τρισάγιον, εὐθύς· Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τοῦ συγχωρηθῆναι ἡμῖν... Ὑπὲρ τοῦ μὴ ἀποβλήτους ἡμᾶς γενέσθαι ἐν τῇ φοβερᾷ ἡμέρᾳ... Ὑπὲρ τοῦ ἀδελφοῦ ἡμῶν τοῦδε κοιμήσεως... Ὑπὲρ τοῦ ἀμέμπτως παραστῆναι αὐτὸν τῷ φοβερῷ... Ὑπὲρ τοῦ καταξιωθῆναι αὐτὸν ἐν τρυφῇ παραδείσου, ἐν κόλποις Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ μετὰ πάντων τῶν δικαίων. Ὑπὲρ τῶν ἐν λύπῃ καὶ ἀπογνώσει βαρυνθέντων ψυχῶν καὶ τῆς ἐν Θεῷ παρακλήσεως αὐτῶν... Ὅπως Κύριος ὁ Θεὸς παράσχῃ αὐτοῖς... Ὑπὲρ τοῦ ῥυσθῆναι... Εὐθὺς λέγει τὴν εὐχήν· Ὁ Θεὸς τῶν πατέρων καὶ πάσης σαρκός... Goar. p. 424. Τὰ ἐλέη τοῦ Θεοῦ καὶ τὴν βασιλείαν τῶν οὐρανῶν... Ὅτι σὺ εἶ ἡ ζωὴ καὶ ἡ ἀνάπαυσις... Εἰρήνη πᾶσιν. Ὁ διάκονος· Τὰς κεφαλάς. Εὐχή· Κύριε, Κύριε, ἡ τῶν θλιβομένων παραμυθία καὶ τῶν πενθούντων παράκλησις. Goar. p. 453.

л. 90 об. Εὐχὴ ἐπὶ κολύβων εἰς κοιμηθέντας.

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν τῷ φωτὶ κατοικῶν καὶ ἐν τῇ γῇ παριών, Σωτὴρ καὶ εὐεργέτης ὑπάρχων, ὁ εἰσαγαγὼν ἐν τοῖς σκηνώμασι τὰς ψυχὰς καὶ ἐξαγαγὼν πάλιν εἰς τὰς αἰωνίους μονάς, αὐτὸς καὶ τὴν ψυχὴν τοῦ δούλου σου τοῦδε ἀνάπαυσον ἐν τόπῳ φωτεινῷ, ἐν χώρᾳ ἁγίων, ἐν κόλποις Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, ἐν μερίδει τῶν ἐκλεκτῶν σου, ἐν τῇ γῇ τῶν πραέων, ἐν τῇ κληρονομίᾳ τῶν ζώντων, ἔνθα ἀπέδρα ὀδύνη καὶ λύπη καὶ στεναγμός, ὅπου ἐπισκοπεῖ τὸ φῶς τοῦ προ-

σώπου σου, ἐκεῖ αὐτὸν ἀνάπαυσον, καὶ ἡμῖν δὸς πολιτεύεσθαι τὰς ὑπολοίπους ἡμέρας τῆς ζωῆς ἡμῶν, κατὰ τὸ σοὶ εὐάρεστον καὶ δραμεῖν τὸ στάδιον τοῦ βίου ἀπρόσκοπτον καὶ τυχεῖν τῶν ἐπαγγελιῶν σου, ὧν ἐπηγγείλω τοῖς ἀγαπῶσί σε, τοὺς συνελθόντας καὶ τῷ ὁμοίῳ πάθει τιμήσαντας εὐλόγησον εὐλογίᾳ τῇ σῇ, ἕκαστον τὴν συνδρομὴν εἰς δικαιοσύνην λογιζόμενος, τοὺς πενθοῦντας παρακάλεσον, τοὺς ὀλιγοψύχους καὶ ἐν θλίψει ὑπάρχοντας παραμύθησαι, εὐλόγησον δὴ καὶ τὰ σπέρματα ταῦτα, τὰ ἐκ τῶν σῶν δωρεῶν προσενεχθέντα, καὶ ὅθεν ἀπελήφθησαν ἑκατονταπλασίονα τὸν μισθὸν δώρησαι πρεσβείαις τῆς ἁγίας Δεσποίνης ἡμῶν Θεοτόκου καὶ πάντων τῶν ἁγίων σου. Ὅτι Θεὸς ἐλέους, οἰκτιρμῶν καὶ φιλανθρωπίας ὑπάρχεις.

л. 91. Εὐχὴ ἐπὶ κολύβων εἰς κοιμηθέντας. Λέγει εἰς τὰ γ'. καὶ θ'. καὶ μ'.

Εὐλογητὸς εἶ, Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν, ὁ πλάσας τὸν ἄνθρωπον καὶ εἰσαγαγὼν αὐτὸν εἰς τὸν κόσμον τοῦ πολιτεύεσθαι ἐπ' ἐλπίδι ζωῆς αἰωνίου, ἁμαρτήσαντος δὲ αὐτοῦ θάνατον ἑαυτῷ ἐπεισήγαγες, καὶ τὸ μὲν (σῶμα) ἐκ τῆς γῆς εἰς γῆν ἀναλύσας, τὴν δὲ ψυχὴν πρὸς ἑαυτὸν προσκαλεσάμενος. Αὐτὸς οὖν, Δέσποτα φιλάνθρωπε Χριστὲ ὁ Θεὸς ἡμῶν, προσερχομένης καὶ τῆς ψυχῆς τοῦ δούλου σου τοῦδε ἐπὶ τὸν ἅγιόν σου θρόνον, εἴ τι ὡς ἄνθρωπος ἥμαρτεν, ἐν σαρκὶ ἔτι ζῶν, ἢ κατ' ἄγνοιαν, ἢ ἐν ἔργῳ, ἢ ἐν λόγῳ, αὐτός, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, ἄνες, ἄφες, συγχώρησον, παρορῶν αὐτοῦ καὶ τὰ ἡμῶν πλημμελήματα, καὶ ἀνάπαυσον αὐτόν, ὅπου ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου, τῶν δὲ πενθούντων, Κύριε, Κύριε, γενοῦ ἀντιλήπτωρ, παῦσον τὴν λύπην, τὴν ἀθυμίαν, τὸν στεναγμόν, διὰ τῶν προκειμένων σου δώρων, καὶ τοὺς κάμνοντας καὶ προσενεγκόντας ταῦτα σὺν αὐτοῖς μισθὸν οὐράνιον παράσχου, καὶ τοὺς ἔχοντας μεταλαβεῖν ἐξ αὐτῶν ἐπὶ ὑγείας ψυχῆς καὶ σώματος καταξίωσον, πρεσβείαις καὶ ἱκεσίαις τῆς ἁγίας Θεοτόκου καὶ πάντων τῶν ἁγίων σου. Ὅτι ηὐλόγηται καὶ δεδόξασται.

л. 91 об. Εὐχὴ κολύβων εἰς μνήμην ἁγίου.

Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ ποιήσας τὴν γῆν, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς... См. выше стр. 35.

л. 92. Εὐχὴ κολύβων εἰς τοὺς ἁγίους μάρτυρας.

Εὐλογητὸς εἶ, Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Λέγει τρίτον. Εὐλογητὸς εἶ, Κύριε, ὁ μόνος φιλάνθρωπος καὶ μόνος ἀναμάρτητος, ὁ ὑποδείξας ἡμῖν τὴν εἴσοδον τῶν ἁγίων σου τοῦ ἑορτάζειν ἡμᾶς ἐν ταῖς μνείαις αὐτοῦ· σήμερον, ἀδελφοί, ἁγίων σύνοδος, σήμερον μαρτύρων μνήμη, σήμερον ἀθλοφόρων πανήγυρις, σήμερον ἀνδρῶν θεοσεβῶν ἑορτή, καλὴν καὶ μεγά-

λην ἡμέραν ἐξελέξασθε, ἀδελφοί μου ἀγαπητοί, οἱ ἐπιτελοῦντες τὰς μνείας τῶν ἁγίων, μιμησάμενοι τὴν τοῦ Ἀβραὰμ δοχήν, τὴν σκηνὴν αὐτοῦ τὴν φιλόχριστον, τὴν τοὺς ἁγίους ἀγγέλους ὑποδεξαμένην· ἐν τούτῳ γὰρ δοξάζεται ὁ Θεὸς καὶ ἡ ἁγία καὶ ἔνδοξος αὐτοῦ Μήτηρ, καὶ πάντες οἱ ἅγιοι ἀγάλλονται ἐπὶ τῇ ἁγίᾳ συνδρομῇ ταύτῃ· θεωρεῖ γὰρ ἀγγέλους εἰσερχομένους, ἀνθρώπους προσερχομένους, κλῆρον δοξάζοντα καὶ λαὸν φαιδρυνόμενον καὶ πίστιν φαιδρυνομένην. Αὕτη οὖν ἀγάπη, ἀγαπητοί, ἀνέρχεται εἰς οὐρανοὺς προσκυνῆσαι τὴν δόξαν Κυρίου, οἱ δὲ ἄγγελοι, θεασάμενοι αὐτὴν πανευειδῆ καὶ καλήν, ἠσπάσαντο αὐτήν, λέγοντες· χαῖρε, ἀγάπη, φίλη Θεοῦ, χαῖρε, ἀγάπη, ἀγγέλων σύσκηνε, χαῖρε, ἀγάπη, προφητῶν διδάσκαλε, χαῖρε, ἀγάπη, ἀποστόλων καύχημα, χαῖρε, ἀγάπη, μαρτύρων ἀγαλλίαμα, χαῖρε, ἀγάπη, ὁσίων ἐγκαλλώπισμα, χαῖρε, ἀγάπη, ἱεραρχῶν δόξα, χαῖρε, ἀγάπη, ἡ ἀεὶ τὸ ψεῦδος μισήσασα, χαῖρε, ἀγάπη, δι' ἧς ὁ Δεσπότης Χριστὸς διὰ τὴν ἄφατον αὐτοῦ καὶ ἀνεκδιήγητον ἀγαθότητα ἐπὶ τῆς γῆς καταβὰς καὶ σαρκωθεὶς ἐκ Παρθένου, γενόμενος ἄνθρωπος, ἵνα τὸν ἄνθρωπον εἰς οὐρανοὺς ἀνάγῃ· ταύτην οὖν τὴν ἀγάπην θεασάμενος, ὁ ἔνδοξος μάρτυς ὁ δεῖνα καὶ πάντες οἱ ἅγιοι σὺν αὐτῷ, τὰ σώματα ταῖς βασάνοις παρέδωκαν καὶ ἀμαραντίνους καὶ ἀφθάρτους στεφάνους ἐνδυσάμενοι, Χριστῷ τῷ Θεῷ ἡμῶν ἐν δόξῃ ἐν οὐρανοῖς συναγάλλονται τῷ τῆς ἀγάπης θησαυρῷ·—ἡ ἀγάπη τοῦ οὐρανοῦ ὑψηλοτέρα, τῆς γῆς ἀνωτέρα, τῆς θαλάσσης εὐρυχωροτέρα, ἡ ἀγάπη δεήσεσι καὶ ἱκεσίαις τὸν Θεὸν δυσωπεῖ καθ' ἑκάστην ὑπὲρ τῶν ποθούντων αὐτήν, καὶ καθὼς ὁ προφήτης λέγει, θῦσον τῷ Θεῷ θυσίαν αἰνέσεως καὶ ἀπόδος τῷ Ὑψίστῳ τὰς εὐχάς σου, καὶ ἐπικάλεσαι Κύριον τὸν Θεόν σου ἐν ἡμέρᾳ θλίψεώς σου, καὶ ἐξελεῖταί σε καὶ δοξάσεις αὐτόν· πᾶς γὰρ ὁ ἐπ' εὐλογίαις σπείρων ἐπ' εὐλογίαις καὶ θερίσει· ἔντιμος γάρ ἐστιν ὁ τῆς ἀγάπης θησαυρός, πάντα βραβεύει, πάντα βλαστάνει, πάντα εὐφορεῖ, ὡς γῆ καλή, καρποφορεῖ κατὰ τὸ εὐαγγέλιον ἐν τριάκοντα καὶ ἐν ἑξήκοντα καὶ ἐν ἑκατὸν καρποφορεῖσαι ἑκατονταπλασίονα, μισθὸν ἐπουράνιον δώρησαι, Κύριε, τοὺς προσκαλουμένους ἡμῖν καὶ ὑποδεξαμένους ὑγείαν καὶ σωτηρίαν καὶ μισθὸν ἐπουράνιον δώρησαι αὐτοῖς, αὔξησον τοὺς καρποὺς τῆς γῆς αὐτῶν, τὴν τράπεζαν αὐτῶν πλήρωσον παντὸς ἀγαθοῦ, ἵνα ἔχοντες καὶ περισσευόμενοι οἱ δοῦλοί σου, μεταδίδωσι τοῖς χρείαν ἔχουσι, καὶ ποιοῦντες τὸ εὐάρεστον καὶ τέλειον ἐνώπιόν σου, καὶ ὡς εἶπας ἐπὶ Ζακχαίου, ὅτι σήμερον σωτηρία τῷ οἴκῳ τούτῳ ἐγένετο, τὴν αὐτὴν σωτηρίαν, τὴν αὐτὴν εὐλογίαν, τὸ αὐτὸ ἔλεος, τοὺς αὐτοὺς οἰκτιρμοὺς ἔνεγκε, Κύριε, καὶ ἐπὶ τὰ κτίσματά σου ταῦτα καὶ ἐπὶ πάντας τοὺς προτεθνηκότας ταῦτα διὰ πρεσβειῶν τῆς πανυμνήτου

Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τοῦ ἁγίου τοῦδε, δι' οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν. Φιλάνθρωπε βασιλεῦ, εἰρήνευσον τὴν ζωὴν ἡμῶν, τοὺς βασιλεῖς ἡμῶν κατὰ τῶν πολεμίων ἐνίσχυσον, τὴν πίστιν ἡμῶν μέχρι τέλους βεβαίαν διατήρησον. Ὅτι εὐλογημένον ὑπάρχει τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ.

л. 93 об. Εὐχὴ ἄρτων τεθέντων ἐν ἀρίστῳ.

Ὁ ἐκ πέντε ἄρτων καὶ δύο ἰχθύων πεντακισχιλίους κορέσας καὶ ἐκ τῶν περισσευμάτων πλῆθος ἐκ τοῦ συναχθῆναι κελεύσας, αὐτὸς Δέσποτα παντοδύναμε, καὶ τὰ ἐγκαταλείμματα ταῦτα πλήθυνον καὶ τοὺς ἐξ αὐτῶν καταλαμβάνοντας ἁγίασον. Χάριτι καὶ φιλανθρωπίᾳ.

Εὐχὴ ἐν τῷ μέλλειν ἀριστᾶν.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐπουράνιος καὶ ζωοποιὸς ἄρτος, ἡ ἀληθινὴ τροφὴ τοῦ παντός. Goar. p. 569.

л. 94. Εὐχὴ μετὰ τὸ ἀναστῆναι ἐκ τοῦ ἀρίστου.

Σοὶ τῷ ἀληθινῷ καὶ φιλανθρώπῳ Θεῷ... Goar. p. 569.

— Εἰς θῦμα μνήμης ἁγίου.

Ὁ Θεὸς τῆς δόξης καὶ παντὸς ὀνόματος ὀνομαζόμενος καὶ ὑπὸ ἁγίων προσκυνούμενος, ἐπίβλεψον ἐξ οὐρανοῦ ἁγίου σου γαληνῷ τῷ ὀφθαλμῷ καὶ ἱλαρῷ τῷ προσώπῳ ἐπὶ τὴν θυσίαν αὔτην, καὶ ὡς προσεδέξω Ἄβελ τὰ δῶρα, Νῶε τὰς θυσίας, Ἀβραὰμ τὰς ὁλοκαρπώσεις, Μωσέως καὶ Ἀαρὼν τὰς ἱερωσύνας, Σαμουὴλ τὰς εἰρηνικάς, Αὐτός, φιλάνθρωπε Κύριε, πρόσδεξαι καὶ τὴν θυσίαν τοῦ δούλου σου τοῦδε ἀπὸ τῶν ἐπιγείων τὰ ἐπουράνια εἰς ὀσμὴν εὐωδίας καὶ ἀντικατάπεμψον ἡμῖν τὴν εὐλογίαν σου τὴν πνευματικήν. Ὅτι σὺ εἶ ὁ ἁγιάζων τὰ σύμπαντα καὶ σοὶ τὴν δόξαν...

л. 94 об. Εὐχὴ ἐπὶ θυσίας ἅλατος.

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ παραγενόμενος ἐν Ἱεριχῷ μετὰ τῶν ἁγίων προφητῶν καὶ εὐλογήσας τὸ ἅλας καὶ γλυκάνας αὐτό. Αὐτὸς εὐλόγησον καὶ τοῦτο τὸ ἅλας καὶ μετάβαλε αὐτὸ εἰς μετάληψιν θυσίας, τὴν αὐτὴν εἰρήνην, τὴν αὐτὴν εὐλογίαν ἀντικατάπεμψον ἐπὶ τὸν δοῦλόν σου καὶ ἐπὶ ταῖς θυσίαις αὐτοῦ καὶ πρόσδεξαι αὐτοῦ τὴν εὐχὴν καὶ τὴν δέησιν. Ὅτι ηὐλόγηται καὶ δεδόξασται τὸ πάντιμον.

— Εὐχὴ ἐπὶ θνῆσιν βοῶν.

Ἐὰν ἀνομίας παρατηρήσῃς, Κύριε, Κύριε, τίς ὑποστήσεταί σοι, ἡμεῖς πλημμελοῦμεν οἱ ἀθετοῦντες τὸ ὄνομά σου, καὶ ἡ δύναμις τῆς γεωργίας ἐκκόπτεται, ὅτι ἵνα τι τὸν καρπὸν ἀφερεῖς καὶ ἡμεῖς ἐκλίπομεν πλάνην τροφῶν, διό σου δεόμεθα καὶ ἱκετεύομεν τῷ ἐν εἰκόνι διατιμήσαντι ἡμῶν τὴν πτωχείαν, ἵλεως γενοῦ ἡμῖν καὶ τοῖς πολλοῖς ἡμῶν παραπτώ-

μασι, δυσωπούμενος ταῖς τῶν ἁγίων σου μαρτύρων ὑπὲρ σοῦ ὁμολογίαις, ἄνες τοῖς βόεσι τὴν ἀπειλήν, καὶ τὴν γῆν πρὸς τὸ θέλημά σου προσφέρειν τὸν καρπόν, ἵνα ὁ λαός σου οὗτος καὶ ἕως νηπίων καὶ πενήτων στεναγμῷ σε δυσωπῇ, τροφῇ ἐμπιπλωμένῃ καὶ σὲ δοξολογούντων. Ὅτι πρέπει σοι πᾶσα...

л. 94. Εὐχὴ ἐν λιτῇ, γινομένῃ διὰ φόβον.

Πάλιν σοῦ Κύριε τοῦ φιλανθρώπου δεσπότου... Goar. p. 636 ἀλλ' ἐν τῷ ἐλέει σου ζωώσεις ἡμᾶς, καὶ ταχὺ προκαταλαβέτωσαν ἡμᾶς τοῖς οἰκτιρμοῖς σου, Κύριε. Ὅτι ἐλεήμων.

— Εὐχὴ ἐπὶ θεμελίου τιθεμένης ἐκκλησίας.

Θυμιᾷ ὁ ἱερεὺς τὰς δ'. γωνίας τοῦ κτίσματος λέγει· Κύριε ὁ Θεὸς ἡμῶν ὁ ἐρασθεὶς καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομηθῆναί σοι ἐκκλησίαν Goar. p. 485.

л. 95 об. Ἀκολουθία ἐπὶ ἑδράσεως θυσιαστηρίου ἐπὶ δυῶν πρεσβυτέρων ἢ τριῶν γινομένη.

Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν καὶ τὰ ἑξῆς. Ὁ δὲ ἱερεὺς λέγει εὐχήν· Ὁ πάσης φύσεως Δεσπότης καὶ πάσης κτίσεως δημιουργός, ὁ πάντα πάντοτε ποιῶν καὶ πραγματευόμενος ἐπὶ σωτηρίᾳ καὶ ἐπ' εὐεργεσίᾳ τοῦ γένους τῶν ἀνθρώπων, ὁ θεμελιώσας τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς καὶ ποιῶν θαυμάσια, σὺ μόνος πανταχοῦ κατὰ πόλιν καὶ χώραν ἱδρύσας τὰς ἐκκλησίας, ἔπηξας ἐν αὐταῖς θυσιαστήριον καὶ ἐκέλευσας ἐν αὐταῖς θυσίας καὶ προσφορὰς λογικὰς καὶ ἀναιμάκτους προσφέρειν τῷ ὀνόματί σου εἰς σωτηρίαν τῶν ψυχῶν τῶν ἀνθρώπων· καὶ νῦν ἐξαπόστειλον τὸ Πνεῦμά σου τὸ ἅγιον καὶ ἁγίασον τὸ θυσιαστήριον τοῦτο εἰς ἐλπίδα σωτηρίας, τῶν προσιόντων τῇ σῇ ἀγαθότητι, ψυχῆς καὶ σώματος καὶ πνεύματος καὶ ἄφεσιν ἁμαρτιῶν. Ὅτι σὺ μόνος εὔσπλαγχνος, μακρόθυμος καὶ πολυέλεος καὶ σοὶ τὴν δόξαν... Καὶ μετὰ τὸ τέλος τῆς εὐχῆς λέγει· Εἰρήνη πᾶσι. Τὰς κεφαλὰς ἡμῶν. Κύριε, Κύριε, ἐν τῷ ὀνόματί σου τῷ κορυφαίῳ τῶν ἀποστόλων σου Πέτρῳ τὴν ἐκκλησίαν σου πέτραν προσαγορεύσας. Αὐτὸς Δέσποτα τῶν ἁπάντων, τὸν πρὸς τὴν σὴν δοξολογίαν οἰκοδομηθέντα οἶκον ταῖς σαῖς δωρεαῖς κατακόσμισον καὶ τὴν ἐν αὐτῷ πηγνυμένην τράπεζαν ἁγίων ἁγίαν ἀνάδειξον τοῦ μεταποιεῖσθαι τὰς ἐν αὐτῷ προσκομιζομένας σοι θυσίας εἰς τὸ τίμιόν σου σῶμα καὶ αἷμα, καὶ τοῖς ἐξομολογουμένοις δὲ ἐν αὐτῷ καὶ ἐπικαλουμένοις τὸ ὄνομα τὸ ἅγιόν σου κλῖνον τὸ οὖς σου καὶ ἐπάκουσον τῆς δεήσεως αὐτῶν, ἰατρὸς ψυχῶν τε καὶ σωμάτων γενόμενος ἐν τῷ ἐλέει καὶ τοῖς οἰκτιρμοῖς σου τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος νῦν... Καὶ βάλλει γομφωτὴρ καὶ λάδανον, καὶ μῦρον, καὶ θυμίαμα, καὶ λίβανον, πρὶν ἐπιθεὶς τὴν ἁγίαν τρά-

πεζαν καὶ λέγει· Ὑψώσω σε, ὁ Θεός μου, λέγει γ'. καὶ δοξάζει καὶ δίδωσι εἰρήνην, καὶ ποιεῖ τὴν ἐκτενήν, καὶ ἀπολύει.

л. 96. Εὐχὴ εἰς τὸ σαλευθῆναι ἁγίαν τράπεζαν ὑπό τινων.

Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς τῶν δυνάμεων, τὸν ῥαντισμοῦ χάριν ἐκχέαντα. Goar. p. 491.

л. 96 об. Εὐχὴ ἐπὶ προχειρίσεως ἀναγνώστου ἢ ψάλτου.

Μετὰ τὸ καρῆναι τὸν ἔχοντα χειροτονηθῆναι, προσάγεται τῷ χειροτονοῦντι ἐπισκόπῳ, καὶ ἐπιθεὶς τὴν χεῖρα ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, σφραγίζων αὐτόν, ἐπεύχεται οὕτως· Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ἔκλεξαι τὸν δοῦλόν σου τοῦτον. Goar. p. 194.

— Εὐχὴ ἐπὶ μέλλοντος λαμβάνειν σχῆμα.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἀξίους εἶναι νομοθετήσας. Goar. p. 380.

л. 97. Εὐχὴ ἐπὶ μελλούσης λαμβάνειν σχῆμα μοναστρίας.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὴν παρθενίαν οὕτως ἀγαπήσας, ὡς μητέρα τῆς σῆς οἰκονομίας αὐτὴν ἐπιγράψασθαι. Goar. p. 382.

— Εὐχὴ εἰς τριχοκουρίαν.

Δέσποτα Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν, ὁ ἐντειλάμενος Ἀβραὰμ κεῖραι τὴν κεφαλὴν τοῦ σοῦ θεράποντος Μελχισεδέκ... См. выше стр. 55 прим.

л. 97 об. Εὐχὴ εἰς πωγονοκουρίαν.

Κύριε ὁ Θεὸς τῶν δυνάμεων, ὁ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ τῇ σῇ οἰκονομίᾳ ἡμᾶς. Goar. pag. 308.

л. 98. Εὐχὴ ἐπὶ προσφερόντων ἀπαρχάς.

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὰ σὰ ἐκ τῶν σῶν προσφέρειν σοι κατὰ πρόθεσιν κελεύσας. Goar. p. 522.

— Εὐχὴ ἐπὶ ἀνομβρίας.

Δέσποτα Κύριε ὁ Θεός, ὁ διὰ τὸν πρὸς σὲ ζῆλον ἐπακούσας Ἠλία τοῦ προφήτου. Goar. p. 613.

л. 98 об. Εὐχὴ ἐπὶ ἀρχῆς σπορίου.

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐκ τῆς ἀσπόρου ἀρούρας καὶ ἐκ τῆς χώρας τῆς μὴ δεξαμένης καρπὸν βλαστήσας... Ркп. XVI в. Есфигм. библ. № 208 л. 67, прим.

л. 99. Εὐχὴ ἐπὶ ἀρχὴν θέρους.

Ὁ πάσης δημιουργὸς τῆς κτίσεως, ὃς ἔδωκας ἡμῖν καρποὺς τοῖς ἀναξίοις, συνελθόντες οἱ δοῦλοί σου πρὸς τῷ τέλει τῇ συνεργίᾳ τοῦ ἁγίου Πνεύματος, οὓς ἐνίσχυσον ἐν ἀνδρείᾳ καὶ προθυμίᾳ εἰς τὸ ἐνθέσθαι τὴν εὐλογίαν σου πλουσίαν καὶ τοῖς καρπουμένοις πάρεχε τὴν σωτηρίαν σου,

*

ὅπως, ἔχοντες εὐθηνίαν πλουσίαν, παρέχωσι τοῖς πτωχοῖς εὐποιΐαν, διὰ τοῦτο δέξαι τὴν παρὰ πάντων προσευχήν. Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος.

— Ἀκολουθία ἐπὶ σωροῦ.

Λέγει ψαλμὸν ξδ΄. καὶ εὐθὺς προκείμενον, ἦχος δ΄. Τοὺς αὔλακας αὐτῆς. Στίχος· Σοὶ πρέπει ὕμνος. Ὁ ἀπόστολος πρὸς Κορινθίους β΄. Ἀδελφοί, ὁ σπείρων φειδομένως, φειδομένως καὶ θερίσει.. Τέλος· ἐργάζεται δι᾽ ὑμῶν εὐχαριστίαν τῷ Θεῷ. Ἀλληλούια πλ. β΄ Καὶ αἱ κοιλάδες πληθύνουσιν. Εὐαγγέλιον κατὰ Ἰωάννην· Εἶπεν ὁ Κύριος, ἐὰν μὴ ὁ κόκκος τοῦ σίτου πεσὼν εἰς τὴν γῆν ἀποθάνῃ... Τέλος· καὶ ἐάν τις ἐμοὶ διακονῇ, τιμήσει αὐτὸν ὁ Πατήρ. Εὐχὴ τοῦ σωροῦ· Εὐλογητὸς εἶ, Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν, ὁ τὰ πάντα ποιήσας καὶ οὐκ ἔστιν ἐν αὐτοῖς ἀπόβλητον, εἰπών· βλαστησάτω ἡ γῆ βοτάνην χόρτου σπεῖρον σπέρμα κατὰ γένος καὶ καθ᾽ ὁμοιότητα ἐπὶ τῆς γῆς· ἔδωκας γὰρ ἡμῖν πάντα τὰ σπέρματα εἰς ἀπόλαυσιν καὶ τροφὴν ἡμετέραν τοῦ τρέφεσθαι ἡμᾶς. Εὐλόγησον, Κύριε ὁ Θεὸς ἡμῶν, τὸν σωρὸν τοῦτον, ὡς εὐλόγησας τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ πάντα τὰ ἐν αὐτοῖς· εὐλόγησον, Κύριε ὁ Θεὸς ἡμῶν, τὸν σωρὸν τοῦτον, ὡς εὐλόγησας τὸν ἥλιον καὶ τὴν σελήνην, καὶ τοὺς ἀστέρας, καὶ τὸ φῶς, ὡς εὐλόγησας τὰς τέσσαρας πηγάς, τὰς ἐκπορευομένας ἐκ τοῦ παραδείσου, τὰς βρυούσας μέλι καὶ γάλα· εὐλόγησον, Κύριε, τὸν σωρὸν τοῦτον καὶ πλήθυνον αὐτὸν ἐν χιλιάσι καὶ μυριάσι, τοὺς βόας αὐτῶν παχεῖς ποίησον, τοὺς κάμνοντας ὑγείαν καὶ ἄφεσιν ἁμαρτιῶν δώρησαι διὰ πρεσβειῶν τῆς παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τοῦ ἁγίου καὶ ἐνδόξου ἱερομάρτυρος Πολυκάρπου καὶ πάντων τῶν ἁγίων. Ὅτι ἅγιον ὑπάρχει τὸ ὄνομα τοῦ Πατρός...

л. 101. Εὐχὴ ἐπὶ τρυγούντων.

Ἡ ἄμπελος ἡ ἀληθινή, ἡ μέθην μὴ ποιοῦσα, ἀλλ᾽ εὐφροσύνην γεννῶσα, ὡς ἄτρεπτος, βλέψον εἰς τοὺς πόνους τῶν δούλων σου καὶ δὸς αὐτοῖς πλήρη τὸν καρπὸν τῆς εὐλογίας καὶ ἀνυστερήτους αὐτοὺς παντὸς ἀγαθοῦ ποίησον, ἵνα καὶ πένησιν ἐπαρκῶσιν καὶ σὲ διὰ παντὸς εὐχαριστῶσιν. Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεός...

л. 101 об. Τάξις, γινομένη εἰ συμβῇ μιαρὸν ἢ ἀκάθαρτον προσφάτως ἐμπεσεῖν εἰς ἀγγεῖον οἴνου ἢ ἐλαίου, ἢ μέλιτος, ἢ φρέατος ἢ ἑτέρου εἴδους.

Χρὴ τὸ ἐμπεσὸν ἀκάθαρτον ἐπαίρεσθαι παραχρῆμα καὶ ῥίπτεσθαι ἔξω καὶ ἕτερον ἀγγεῖον πλύνεσθαι καθαρῶς ἔσωθεν καὶ ἔξωθεν, καὶ λοιπὸν ὁ ἱερεὺς λαμβάνει θυμιατήριον καὶ θυμιᾷ δεόντως ἔσωθεν καὶ ἔξωθεν τὸ πλυθὲν ἀγγεῖον, καὶ μετὰ τοῦτο βάλλει ὕδωρ τῶν ἁγίων θεοφανίων, ποιῶν σταυροὺς γ΄. καὶ τότε μεταβλίσκεται τὸ ἔλαιον ἢ ὁ οἶνος, ἢ ἄλλο τι ἐστίν, εἰς τὸ καταπλυθέν, καὶ ἵσταται ὁ ἱερεύς, λαμβάνει καὶ

ἀπογεύεται ἐκ τοῦ εὐλογηθέντος εἴδους. Ἐὰν συντίθεται καὶ πιστεύῃ κατὰ τὴν ἀποστόλου φωνήν· πάντα δι' εὐχὴν καθαρίζεσθαι, οὕτως γίνεσθαι ἡ εὐχή· εἰ δὲ ὅλως διακρίνεται καὶ οὐκ ἔχει πληροφορίαν, μὴ γενέσθω ἡ εὐχή, εἰς τήνδε ἡ εὐχὴ αὕτη· Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐν τῇ κατὰ σάρκα σωτηριώδει σου οἰκονομίᾳ διαστειλάμενος... Goar. pag. 482. Εὐχὴ τῆς κεφαλοκλισίας· Ὁ Θεὸς ὁ Θεὸς ἡμῶν, ὁ τὸ πικρὸν ὕδωρ ἐπὶ Μωϋσέως τῷ λαῷ εἰς γλυκὺ μεταποιήσας καὶ τὰ βλαβερὰ ὕδατα ἐπὶ Ἐλισσαίου ἅλατι θεραπεύσας... Goar. pag. 363.

л. 102 об. Εὐχὴ ἐπὶ φρέαρ μιανθέν, ἤτοι ἐμπεσόντος ἐν αὐτῷ μιαροῦ. Χρὴ πρῶτον ἀντλῆσαι ἐκ τοῦ φρέατος κάδους ιε'. ἢ καὶ μ'. καὶ ἐκχύσας, καὶ εἶθ οὕτως βάλλειν ὕδωρ τῶν ἁγίων θεοφανίων καὶ μετὰ τοῦτο θυμιάσας πέριξ τοῦ φρέατος, καὶ εἶθ οὕτως λέγει εὐχήν· Κύριε Παντοκράτωρ, ἐπουράνιε, ὁ Θεὸς ὁ μέγας καὶ ἀνεξιχνίαστος... См. выше стр. 48.

л. 103. Εὐχὴ ἐπὶ μιανθὲν σκεῦος κοῦφον.

Κύριε Ἰησοῦ Χριστέ, διὰ τὴν κέλευσίν σου, ἣν ἔδωκας ἐξουσίαν τοὺς δούλους σου τοὺς προφήτας καὶ ἀποστόλους, ἵνα γένηται ἄφεσις ἁμαρτιῶν παντὸς μιασμοῦ. Κύριε, ὡς ἐκαθερίσθησαν τὰ ῥεῖθρα τοῦ Ἰορδάνου διὰ τοῦ βαπτίσματός σου καὶ τῆς θαλάσσης διὰ τῶν ἰχνῶν τῶν ποδῶν σου, Αὐτὸς εὐλόγησον καὶ τὸ ἀγγεῖον τοῦτο, ὅπου ἐνεπνίγησαν τὰ μυσερὰ καὶ ἀκάθαρτα, καὶ καθάρισον ἡμᾶς ἀπὸ τῆς ἁμαρτίας ταύτης. Ὅτι πρέπει σοί...

л. 103 об. Εὐχὴ ἐπὶ σκεῦος μιανθέν, ἔχον εἶδος οἷον ἔνι· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ στὰς ἐν τῇ ὀθόνῃ καὶ εἰπὼν τῷ Πέτρῳ· τὰ μιαρὰ καὶ ἀκάθαρτα πάντα καθαρὰ εἶναι, ὁ καὶ ἡμᾶς ἐν ὕδατι καθαρίσας. Αὐτὸς εὐλόγησον καὶ τοῦτο τὸ σκεῦος, τὸ κοινωθὲν ὑπὸ τοῦ διαβόλου ἐνεργείας, καὶ ποίησον αὐτὸ εὐλογημένον, εὔχρηστον εἰς εὐπηρεσίαν τῶν σῶν δούλων. Ὅτι σὺ εἶ ὁ εὐλογῶν καὶ ἁγιάζων τὰ σύμπαντα.

— Εὐχὴ ἐπὶ παντὸς εἴδους μιανθέντος.

Κύριε ὁ Θεός, ὁ μόνος ἀγαθὸς καὶ φιλάνθρωπος... Goar. 483.

л. 104. Εὐχὴ ἐπὶ τῶν βρώμασι σκανδαλισθέντων. Goar p. 535.

л. 104 об. Εὐχὴ ἐπὶ μιαροφαγησάντων.

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ τὰ ταπεινὰ ἐφορῶν, ὁ ἐν ἁγίοις ἀναπαυόμενος... Goar. p. 534.

л. 105. Εὐχή, ἐάν τις μαγαρίσῃ εἰς ἔθνος καὶ πάλιν ἐπιστρέψῃ εἰς μετάνοιαν.

Κύριε, Κύριε, ὁ τῶν ἁπάντων ποιητὴς καὶ Δεσπότης, ἡ πηγὴ τῆς ἀγαθότητος. Ркп. Арх. Антонина палим. XIII в. л. 28.

л. 105 об. Εὐχὴ ἐπὶ χειμαζομένων ὑπὸ πνευμάτων ἀκαθάρτων.

Ὁ Θεὸς ὁ αἰώνιος, ὁ λυτρωσάμενος ἐκ τῆς αἰχμαλωσίας τοῦ διαβόλου. Goar. p. 581.

л. 106. Ἀπορκισμὸς τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου ἐπὶ πνευμάτων ἀκαθάρτων. Двѣ первыя у Гоара р. 578—580.

л. 108 об. Ἀπορκισμὸς τοῦ ἁγίου Γρηγορίου κατὰ τῆς ἄβρας.

Ἐν ὀνόματι[1]) τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος ἐπικαλοῦμαι Θεὸν Πατέρα παντοκράτορα καὶ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν φοβερὸν καὶ ἀσάλευτον, καὶ εἰς τὸ ὄνομα τοῦ Δεσπότου Θεοῦ ὁρκίζω σε πᾶν ἀβιζοῦν καὶ δαιμόνιον, ἄβρα ἀρσενικόν, ἄβρα θηλυκόν, ἄβρα ἀπὸ ὕδατος, ἄβρα ἀπὸ αἵματος, ἄβρα ἀπὸ χρούσματος, ἄβρα ἀπὸ οἰκίας, ἄβρα ἀπὸ ἁρμονίας, ἄβρα ἀπὸ ἔψεως, ἄβρα καρκῖνος, ἄβρα ἐπιορκίας, ἄβρα ὅρκου, ἄβρα ἀκοίμητος, πᾶσαν τὴν ἄβραν ὁρκίζω, κατακόπτω χαλεπῇ δρεπάνῃ τὴν σὴν κεφαλήν, καὶ σὺ μηδὲ οὐρὰν σαλεύσεις, καὶ σὺ μηδὲ ὄνυχας ἀπλώσεις· ἐπικαλοῦμαι τοὺς τριακοσίους ἀγγέλους, τοὺς ῥίψαντας βροντὰς καὶ ἀστραπὰς εἰς τὰ ἀκάθαρτα πνεύματα, ὅθεν ἐγένοντο, ἢ ἀπὸ διοδείας, ἀπὸ τετραοδείας, ἀπὸ τριοδείας καὶ ἀπὸ ᾠοῦ (sic) καὶ ἀπὸ ὄρους· ἄκουε, κακὲ πόνε, ἀπόστα καὶ ἀναχώρησον ἀπὸ τὸν δοῦλον τοῦ Θεοῦ ὁ δεῖνα. Εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος πᾶσαν τὴν ἄβραν ὁρκίζω εἰς τὰ ἄχραντα καὶ φοβερὰ τετραευαγγέλια, ἄβρα τυφλόν, ἄβρα κωφόν, ἄβρα ἀδύνατον, ἄβρα ἀνήκουον, ἄβρα ἀπὸ ἀγάλματος, ἄβρα δαιμόνιον μεσημβρινόν, ἄβρα ψῦχος πυρετοῦ, ἄβρα προσυφίου(;) βάμματος, ἄβρα κεφαλῆς, ἄβρα θηρίου, ἄβρα ἀσπίδος, ἄβρα βασιλίσκωνος, ἄβρα βακχέως, ἄβρα αἵματος, ἄβρα πυρὸς κοχλάζοντος, ἄβρα χλωρός, ἄβρα βόθρεξ (sic), ἄβρα ἐξ ἀμπέλων, ἄβρα ἀπὸ λίθου μαύρου, ἄβρα ἀπὸ γῆς πυρῆς, ἄβρα ἀπὸ μαρμάρων. Ἐξήρχετο αὕτη ἡ ἄβρα ἀπὸ τῆς θαλάσσης, ἀπήντησεν αὐτῇ ὁ πρωτοαρχάγγελος Μιχαὴλ καὶ εἶπεν αὐτῇ· πόθεν ἔρχεις καὶ ποῦ ὑπάγεις, ἄβρα μελάνη μεμελανωμένη, τριχειλετρικέφαλε. Ἐγὼ ὑπάγω ἀνθρώπου ὀστέα φαγεῖν καὶ τὸ κρέας ἀφανῖσαι. Λέγει αὐτῇ ὁ πρωτοαρχάγγελος Μιχαήλ· Οὐκ ἔχεις, ἄβρα, ἐξουσίαν ἀνθρώπου ὀστέα φαγεῖν καὶ τὸ κρέας ἀφανῖσαι, ἀλλ' ἐπιβρέξει ἐπὶ σὲ Κύριος ὁ Θεὸς πῦρ ἐξ οὐρανοῦ καὶ διασκορπήσει σε ἐπὶ τῶν ποταμῶν καὶ ἐπὶ τὴν θάλασσαν. Ἔξελθε καὶ ἀναχώρησον ἀπὸ τὸ μέλος καὶ τὰ ὀστᾶ τοῦ δούλου τοῦ Θεοῦ ὁ δεῖνα, εὐλογητὸν τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, ἄβρα ἀπαντήσεως, ἄβρα ἀπὸ συναντήματος, ἄβρα ὄφεως, ἄβρα πηγαδίου, ἄβρα ῥύακος, ἄβρα ποταμοῦ, ἄβρα πελαγίων, ἄβρα πελασέου (sic), ἄβρα δαιμονίου μεσημβρινοῦ, ἄβρα ὁδείας, ἄβρα ἑπταοδείας, ἄβρα ὀκταοδείας,

[1]) Подобная молитва, но съ большими особенностями въ текстѣ, напечатана проф. М. И. Соколовымъ въ Древностяхъ. Труды слав. коммисіи Импер. М. арх. общ. М. 1895, т. I стр. 155—156.

ἄβρα κρούσματος, ἄβρα κάρας, ἄβρα κατάρας, ἄβρα ἐπιπεμπτικόν, ἄβρα θησαυροῦ, ἄβρα τῆς γῆς, ἄβρα τοῦ οὐρανοῦ, ἄβρα τοῦ ἡλίου, ἄβρα τῆς σελήνης, ἄβρα ἐξ ἀνθρώπων, ἄβρα ἐξ ἀμπέλων, ἄβρα ἐξ ἀστέρων, ἄβρα ἀπὸ πνευμάτων ἀκαθάρτων, ἄβρα ἕως ἑβδομηκοντάκις ἑπτὰ ἥμισυ γενεῶν, ἐξορκίζω ὑμᾶς τοῦ ἐξελθεῖν καὶ ἀναχωρῆσαι ἀπὸ τὰ ὀστέα καὶ ἀπὸ τῆς σαρκὸς τοῦ δούλου τοῦ Θεοῦ ὁ δεῖνα, ἀλλ' ὕπαγε εἰς τὸ ὄρος τὸ ὑψηλόν, ἔστηκε βοῦς δράκων, φάγε τὰ ὀστᾶ αὐτοῦ καὶ πίε τὸ αἷμα αὐτοῦ, καὶ μὴ ὑποστρέψῃς εἰς τὸν δοῦλον τοῦ Θεοῦ ὁ δεῖνα, ὅτι εἰσῆλθεν εἰς τὸ θεραπευτήριον τοῦ Θεοῦ καὶ ἰάθη ἐν ὀνόματι τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος τῇ πρεσβείᾳ τῆς Θεοτόκου, τῇ δυνάμει τοῦ τιμίου καὶ ἀχράντου σταυροῦ, τῶν ἁγίων ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ, τοῦ ἁγίου Παντελεήμονος, Κυπριανοῦ, Ἀντιόχου, Φλόρου καὶ Λαύρου τῶν ἁγίων μαρτύρων Ἀκινδύνου, Πηγασίου, Ἐλπιδιφόρου καὶ Ἀνεμποδίστου, τ ο ῦ ὁ σ ί ο υ π α τ ρ ὸ ς ἡμῶν Γρηγορίου καὶ πάντων τῶν ἁγίων. Ὅτι σὺ ὁ ἰατρὸς τῶν ψυχῶν ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν...

л. 110. Ἀπορκισμὸς τοῦ ἁγίου Τρύφωνος περὶ τῆς ἀμπέλου, κήπου καὶ τῶν χωραφίων.

Ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ[1]) Κυρίου ἡμῶν κατῆλθον ἐκ τῶν οὐρανῶν ἐξ[2]) ἄγγελοι τοῦ πατάξαι[3]) πάντα τὰ θηρία τὰ ἀδικοῦντα τὴν ἄμπελον καὶ τὴν χώραν καὶ τὴν κῆπον· ἐξορκίζω ὑμᾶς πάντα τὰ θηρία κατὰ τοῦ μεγάλου Θεοῦ καὶ κατὰ τοῦ μονογενοῦς Ἰησοῦ Χριστοῦ· ἐξέλθατε ἐκ τῆς ἀμπέλου[4]) ταύτης καὶ ἐκ τοῦ κήπου, καὶ τῶν χωραφίων[5]) καὶ ὑπάγετε[6]) εἰς τὰ ἄγρια ὄρη, εἰς τὰ ἄκαρπα ξύλα[7])· ἐκεῖ γὰρ ὑμῖν

---

[1]) Ркп. XV в. Син. библ. № 988 τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν [2]) ἑπτὰ [3]) καὶ διώξαι πᾶν φαῦλον ἑρπετὸν καὶ κακοῦργον, καὶ βλάπτοντα τὴν ἄμπελον καὶ χώραν καὶ πᾶν λάχανον, καὶ δένδρον, ποιοῦν καρπὸν ἐπὶ σωτηρίαν τοῦ ἀνθρώπου, τοῦ πλασθέντος χειρὶ τοῦ Θεοῦ· ὁρκίζω οὖν κἀγὼ ὑμᾶς πάντα τὰ βλάπτοντα ἑρπετὰ καὶ θηρία κατὰ τοῦ μεγάλου ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ Θεοῦ Παντοκράτορος, ἐξέλθατε [4]) καὶ χώρας [5]) нѣтъ [6]) ἀπέλθατε εἰς ἀβάτους τόπους, εἰς ἄγρια ὄρη καὶ νάπας [7]) ὧν καὶ τὰ ὀνόματα εἰσὶ ταῦτα· κάμπις, κάμπια, σκωληκοκάμπια, σκώληξ, σκάνθαρος, ἀκρίς, βροῦχος, καλιγάρις, κόρις, σκίνις ῥυγίτης, φυλλίτης, φθεῖρα, ψύλλος, πρασίκουρος, καυλοκόπος, οὐλάκαρις, αὐθετέρισσος (sic), κόμους(;), μακρόπτης, μαρουδία, μύρμηξ, μῦς καὶ πάντα τὰ ἐρχόμενα ἐπὶ τὴν χώραν καὶ ἐπὶ τῶν λαχάνων καὶ ἐπὶ πάντα τὰ γεννήματα καὶ καρπῶν τῶν ἐν τῇ χώρᾳ καὶ ἐπὶ τούτου ἐνορκίζω ὑμᾶς κατὰ τῶν τεσσάρων ἀρχαγγέλων Μιχαήλ, Γαβριὴλ κατὰ τῶν ἁγίων ἑξαπτερύγων καὶ πολυομμάτων καὶ χερουβὶμ ἱπταμένων κυκλόθεν τοῦ θρόνου τοῦ Θεοῦ.

ἔδωκε Κύριος τὴν καθημερινὴν τροφήν, ἄρξομαι λέγειν τὰ ὀνόματα τῶν θηρίων· κάμπης, σκωληκοκάμπης, κάνθαρος, βροῦχος, καλιγάρις, ἐπίμαλος, φυλλίστης, καυλόκοπος, οἷον θηρίον ἐρχόμενον ἐπὶ κλῆμα τῆς ἀμπέλου ἢ ἐπὶ τοῦ κήπου καὶ τὸν καρπὸν τῆς σταφυλῆς ξηραίνοντα, καὶ τὰ τέσσαρα θηρία ἐξορκίζω ὑμᾶς εἰς τὸν κατελθόντα ἐκ τῶν οὐρανῶν καὶ τῶν πολυομμάτων χερουβὶμ ἐκ τῶν περιπετομένων κύκλῳ τοῦ θρόνου τοῦ Θεοῦ καὶ κράζοντα (ζόντων)· ἅγιος, ἅγιος, ἅγιος Κύριος Σαβαὼθ [1]) εἰς δόξαν Θεοῦ Πατρὸς Ἀμήν. Κατ' ἐκείνων τῶν δυνάμεων ἐξορκίζω ὑμᾶς· φοβήθητε τὸν ὅρκον τοῦτον καὶ ἐξέλθατε ἐκ τῆς ἀμπέλου ταύτης καὶ ἐκ τοῦ κήπου τούτου, καὶ μὴ ἀδικήσετε τὸν καρπὸν τοῦ τόπου τούτου, ἀλλ' ὑπάγετε εἰς τὰ ἄγρια ὄρη, εἰς τὰ ἄκαρπα ξύλα· ἐκεῖ γὰρ ὑμῖν ἔδωκε Κύριος τὴν καθημερινὴν τροφὴν [2])· ἐξορκίζω ὑμᾶς πάντα τὰ θηρία τὰ ἀδικοῦντα τὴν ἄμπελον καὶ τὴν χώραν τοῦ σίτου, καὶ τὸν κῆπον κατὰ τοῦ μεγάλου Θεοῦ τοῦ Παντοκράτορος καὶ τῶν ἁγίων αὐτοῦ ἀγγέλων· ἐξορκίζω ὑμᾶς τὸν σταυ-

---

[1]) Πλήρης πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ, κατ' ἐκείνων τῶν ἁγίων δυνάμεων. Ὁρκίζω ὑμᾶς κατὰ τῶν ἀριθμήτων ἀγγέλων, παρισταμένων ἐνώπιον τῆς δόξης τοῦ Θεοῦ, ἀναχωρήσατε καὶ ἀπέλθατε εἰς ἄγρια ὄρη καὶ εἰς τὰ ἄκαρπα δένδρα

[2]) καὶ ἐὰν παρακούσητε τὸν ὅρκον τοῦτον καὶ ἐμοὶ τῷ ἁμαρτωλῷ καὶ ἐλαχίστῳ τοῦ Θεοῦ δούλῳ Τρύφωνι, ἔχετε πρὸς τὸν Πατέρα καὶ Υἱὸν καὶ τὸ ἅγιον Πνεῦμα, τὴν ἁγίαν Τριάδα πρὸς τὸν ἐρχόμενον Ἀβραάμ, Ἰσαὰκ καὶ Ἰακώβ, ἔχετε πρὸς τὸν ἄγγελον τὸν λυμεῶνα, ὃν ἀπέστειλε Κύριος ὁ Θεός, καὶ σύσει καὶ σιδηρώσει καὶ σιδηρωτομήσει καὶ μωλωπήσει ὑμᾶς, ἵνα μηκέτις ἐξισχύσηται ἢ καταβλάψαι ἢ καταφθῆραι τὸν καρπὸν τὸν πρὸς σωτηρίαν τῶν ἀνθρώπων φυόμενον ἐν τῇ γῇ, ἐξαποστελεῖ δὲ τὸν ἄγγελον τὸν ἐπὶ τῶν στρουθίων καταφάγονται ὑμᾶς πάντα, ἐξαποστείλας δὲ καὶ τὸν δοῦλον αὐτοῦ Τρύφωνα μετὰ τοῦ τιμίου σταυροῦ καὶ τὴν καταφθαρεῖσαν ἀφ' ὑμῶν ἄμπελον ἢ χωράφην ἢ κῆπον ἀνενέωσε καὶ πολλοὺς καρποὺς ἀποδείξας, ὅτι αὐτὸς εἶπε καὶ ἐγεννήθησαν τὰ πάντα ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ. Ἐπὶ τοῦτο πάλιν ἐξορκίζω ὑμᾶς τὴν σφραγίδα τὴν ἁγίαν, ἣν ἐσφραγίσθη τὸ ἀμέτρητον ὕδωρ τῆς θαλάσσης καὶ οὐχ ὑπερβαίνει τὸν ὅρον αὐτῆς, ὃν διορίζομαι ὑμῖν τὸ ὄνομα τοῦ σταυρωθέντος ἐπὶ Ποντίου Πιλάτου καὶ τρίτῃ ἡμέρᾳ ἐξαναστάντος τῶν νεκρῶν, μὴ εἰσέλθῃ ἐν τῷ ἀμπελῶνι ἢ ἐν τῷ κήπῳ, ἐξαιρέτως δὲ ἐὰν ἀναγινώσκεται ἡ προσευχὴ τοῦ ἁγίου μεγαλομάρτυρος Τρύφωνος, ἢ ἐν οἰκίαις, ἢ ἐν ἀμπελῶνι, ἢ ἐν χωράφῃ ἢ ἐν κήπῳ· Ναὶ Δέσποτα βασιλεῦ τῶν αἰώνων, ἐπάκουσον πᾶσι τοῖς δεομένοις καὶ ἐπικαλουμένοις τὸ ὄνομά σου τὸ ἅγιον καὶ δὸς αὐτοῖς τὰ ἄκαρπα δένδρα εὔκαρπα γενέσθαι καὶ τὰ πρὸς σωτηρίαν αἰτήματα, ἵνα καὶ ἐν τούτῳ δοξασθῇ σου τὸ πανάγιον ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος νῦν καὶ ἀεί...

ρωθέντα ἐπὶ Ποντίου Πιλάτου καὶ ἐνανθρωπίσαντα, κατ' ἐκείνων τῶν δυνάμεων ἐξορκίζω ὑμᾶς· φοβήθητε τὸν ὅρκον τοῦτον καὶ ἐξέλθατε καὶ μὴ ἀδικήσητε τὸν καρπὸν τοῦ τόπου τούτου, ἀλλ' ὑπάγετε εἰς τὰ ἄγρια ὄρη, εἰς τὰ ἄκαρπα ξύλα· ἐκεῖ γὰρ ἔδωκε Κύριος τὴν καθημερινὴν τροφήν· ἐξορκίζω ὑμᾶς κατὰ τῶν χιλίων μυρίων ἐνναχοσίων ἐννενήκοντα ἐννέα ἁγίων ἀγγέλων, κράζοντα καὶ λέγοντα· Ἅγιος, ἅγιος, ἅγιος Κύριος Σαβαὼθ πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης σου· ἐξέλθατε ἐκ τῆς ἀμπέλου ταύτης καὶ ἐκ τῆς χώρας τοῦ σίτου καὶ τοῦ κήπου τούτου, ἐὰν δὲ παρακούσητε οὐκ ἔχετε πρὸς ἐμὲ τὸν ταπεινὸν καὶ ἐλάχιστον ἄνθρωπον, ἀλλ' ἔχετε πρὸς τὸν Πατέρα καὶ τὸν Υἱὸν καὶ τὸ ἅγιον Πνεῦμα· ἐξαποστελεῖ ὑμῖν τὸν ἄγγελον τὸν ἐπὶ τῶν στρουθῶν καὶ σιδηρώσει ὑμᾶς, ἐκπέμψει δὲ ὑμῖν καὶ τὸν ἅγιον Τρύφωνα, ἵνα ἐξαποστελῇ τὰ στρουθία καὶ καταφάγωσιν ὑμᾶς. Ἐξορκίζω ὑμᾶς πάντα τὰ θηρία τὰ ἀδικοῦντα τὴν ἄμπελον καὶ τὴν χώραν τοῦ σίτου, καὶ τὸν κῆπον κατὰ τοῦ ὀνόματος, τοῦ ἐπιγραφέντος ἐπὶ τὴν πέτραν, καὶ ἡ πέτρα οὐκ ἐβάσταξεν, ἀλλὰ διεῤῥάγη καὶ κονιορτὸς ἐγένετο, κατ' ἐκείνων τῶν δυνάμεων ἐξορκίζω ὑμᾶς· φοβήθητε τὸν ὅρκον τοῦτον καὶ ἐξέλθατε ἐκ τῆς ἀμπέλου ταύτης καὶ ἐκ τῆς χώρας τοῦ σίτου καὶ τοῦ τόπου τούτου, ἀλλ' ὑπάγετε εἰς τὰ ἄγρια ὄρη, εἰς τὰ ἄκαρπα ξύλα· ἐκεῖ γὰρ ὑμῖν ἔδωκε Κύριος τὴν καθημερινὴν τροφήν, ἐξέλθατε οὖν, δότε δόξαν τῷ Θεῷ. Ὁ Κύριος ἐβασίλευσεν εὐπρέπειαν ἐνεδύσατο. Αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

л. 12 Εὐχὴ ἐπὶ εὐλογίαν οἴκου.

Ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, ὁ καταξιώσας ὑπὸ τὴν σκηνὴν Ζακχαίου εἰσελθεῖν... Goar. p. 484.

— Εὐχὴ ἐπὶ ἀποδημούντων.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ συνοδεύσας τῷ θεράποντί σου Ἰακώβ. См. выше стр. 33.

л. 112. Εὐχὴ (ἐπὶ τῶν) προπετῶς ὀμνυόντων.

Ὁ Θεός, ὁ τῆς τοῦ ἀνθρώπου φύσεως τὸ εὐάλωτον καὶ ἀσθενὲς ἐπιστάμενος... Goar. p. 534.

— Εὐχὴ εἰς τοὺς ἀπὸ ἔχθρας εἰς ἀγάπην μετερχομένους.

Εὐχαριστοῦμέν σοι, Δέσποτα φιλάνθρωπε, τῷ βασιλεῖ τῶν αἰώνων καὶ δοτῆρι τῶν ἀγαθῶν, τῷ καθελόντι τῆς ἔχθρας τὸ μεσότειχον, καὶ εἰρήνην βραβεύσαντι τῷ γένει τῶν ἀνθρώπων, τῷ καὶ νῦν εἰρήνην δωρησαμένῳ τοῖς δούλοις σου τοῖσδε. Αὐτὸς Δέσποτα φιλάνθρωπε, βεβαίωσον τὴν γενομένην εἰρήνην, ῥίζωσον ἐν αὐτοῖς τὸν σὸν φόβον καὶ τὴν πρὸς ἀλλήλους ἀγάπην, σβέσον τὴν πᾶσαν ἔχθραν καὶ ἐριθείαν, περίελε τὰ τῆς διχοστα-

σίας σκάνδαλα. Ὅτι σὺ εἶ ἡ εἰρήνη καὶ ἡ καταφυγή, καὶ ἐπὶ σοὶ ἠλπίσαμεν καὶ ἐκτός σου ἄλλον οὐκ οἴδαμεν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν. Conf. Goar. pag. 705—706.

л. 113. Εὐχὴ ἐπὶ τεκνοποιουμένων.

Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ φυλάσσων τὰ νήπια καὶ διατρέφων καὶ εἰπών, ὡς ἀγαθός· μὴ κωλύετε αὐτὰ ἔρχεσθαι πρός με· τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν. Αὐτὸς Δέσποτα, φύλαξον καὶ ταῦτα καὶ ὑποδεξάμενον διὰ τὸ ἅγιον ὄνομά σου τῇ πατρικῇ σου κηδεμονίᾳ, σκέπων καὶ ὁδηγῶν αὐτοὺς φυλάττειν καὶ ποιεῖν τὰς ἐντολάς σου, ὅπως τύχωσι τῆς ἐπουρανίου σου βασιλείας. Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς... Εὐχὴ τῆς κεφαλοκλισίας· Δέσποτα, ὁ τῆς κτίσεως πάσης δημιουργός, ὁ ἐν τῷ πρώτῳ Ἀδάμ. Goar. p. 562.

л. 113 об. Εὐχὴ ἐπὶ ἀδελφοποιίας.

Ἐπιτιθέντων ἐπ' ἀλλήλων τῶν χειρῶν αὐτῶν, τιθεῖ ἐπάνω σταυρὸν καὶ λέγει ὁ ἱερεὺς ψαλμὸν ρλβ'. Ἰδοὺ δὴ τί καλόν... λέγει γ'. ἕως τὴν εὐλογημένην ζωήν, καὶ εὐθὺς λέγει τὴν εὐχήν· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὰ πάντα πρὸς τὸ συμφέρον χαρισάμενος τοῖς ἀνθρώποις, ὁ καὶ πνευματικὴν ἀδελφότητα συστησάμενος καὶ θήσας πόθον ἀγάπης. Αὐτὸς καὶ νῦν τοὺς δούλους σου τούτους, τοὺς βουλομένους εἰς ἀδελφότητα ἐλθεῖν, καὶ ὁμολογήσας ἐπὶ πᾶσιν πνευματικὴν ἀγάπην ἐπὶ ἀγγέλων καὶ ἀνθρώπων, καὶ ἀδελφοὺς ἀλλήλους ἐν τῷ ναῷ ὀνομάζειν, καὶ ἐπὶ μαρτύρων καὶ ἁγιασθῆναι διὰ τῶν σῶν λογίων ὑπὸ τοῦ ἱερέως. Κύριε ὁ Θεὸς ἡμῶν, χάρισαι αὐτοὺς ἀγάπην ἀνυπόκριτον, πίστιν ἀκαταίσχυντον, φωτισμὸν γνώσεως, τοῦ φυλάξαι αὐτοὺς τὰς ἐπαγγελίας τῆς πνευματικῆς ἀδελφότητος, συγχωρεῖν ἀλλήλοις τὰ παραπτώματα αὐτῶν, καὶ μὴ ἐκκακεῖν ὡς ὁ Κάϊν ἐν ταῖς καρδίαις αὐτῶν, ἀλλὰ χάρισαι αὐτούς, Κύριε, τὴν ἀγάπην σου, ἣν ἔχεις πρὸς τοὺς ἀνθρώπους, καὶ τὰς λαμπάδας αὐτῶν φαίδρυνον, πεπιασμένας τῷ ἐλαίῳ τῶν ἑαυτῶν ἔργων καὶ τῶν ἐπιγείων σου ἀγαθῶν, ἔμπλησον αὐτοὺς καὶ τῶν ἐπουρανίων σου, ἑτοίμασον αὐτοὺς εἰς τοὺς ἀτελευτήτους αἰῶνας καὶ ζωὴν αἰώνιον καὶ τὴν εἰρήνην καὶ τὴν φιλαδελφίαν δώρησαι αὐτοῖς· σὺ γὰρ μόνος ἔχεις ἐξουσίαν ἀφιέναι ἁμαρτίας, ὡς εὔσπλαγχνος. Ὅτι σὺ εἶ ὁ φυτουργὸς τῆς ἀγάπης, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν. Εὐχὴ τῆς κεφαλοκλισίας· Κύριε ὁ Θεὸς ἡμῶν, ἡ ταχινὴ ἀκοή, τὰ ταχινὰ σπλάγχνα, ἐπάκουσον ἡμῶν δεομένων σε καὶ κατάπεμψον τὸ παρὰ σοῦ πλούσιον ἔλεος ἐπὶ τοὺς δούλους σου τούσδε εἰς ἀδελφότητα πνευματικὴν εἰς τὸ φρονεῖν αὐτοὺς καὶ ἀγαπᾶν ἀλλήλους, καὶ κατάπεμψον αὐτοὺς τὸ Πνεῦμά σου τὸ ἅγιον, ὡς ἐπὶ τῶν ἁγίων σου ἀποστόλων καὶ προφητῶν τοῦ διάγειν

αὐτοὺς ἐν καλῇ πολιτείᾳ καὶ ποιεῖν τὰ θέλημά σου πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτῶν. Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν καὶ σοί.

л. 114 об. Εὐχὴ ἐπὶ πηγνυμένου σταυροῦ.

Κύριε παντοκράτωρ, ὁ προτυπώσας τὴν ῥάβδον τοῦ Μωϋσέως... αὐτὸς εὐλόγησον καὶ ἁγίασον τὸν ζωοποιὸν σταυρὸν τοῦτον εἰς φυλακτήριον ψυχῶν καὶ σωμάτων, εἰς ἀποτροπὴν δαιμόνων καὶ παντὸς ἐναντίου, φυλάττοντα τὸν τόπον τοῦτον. Ὅτι ηὐλόγηταί σου τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ.

— Εὐχὴ τοῦ Χρυσοστόμου ἐπὶ τῆς ἁγίας κοινωνίας.

Κύριε, οἶδα, ὅτι οὐκ εἰμὶ ἄξιος, οὐδὲ ἱκανός. См. въ молитвахъ ко причащенію.

л. 116 об. Εὐχὴ μετὰ τὸ κοινωνῆσαι.

Εὐχαριστῶ σοι, φιλάνθρωπε, ὁ διὰ πολλὴν ἀγαθότητα. Тамъ же

— Ἀκολουθία εἰς τὸ ἀπομυρίσειν τὸν τίμιον σταυρόν. Λέγει Τρισάγιον, Πάτερ ἡμῶν, ὑποτιθεμένων τῶν ἱερῶν καὶ σταυροῦ εἰς τὸ θυσιαστήριον, καὶ θυμιῶν ὁ ἱερεὺς λέγει τροπάρια· Δόξα σοι, Σωτὴρ ἡμῶν, ὅτι ἡμέραν καθ' ἡμέραν σώζεις λαὸν προσκυνοῦντα... Στίχος· Ἀναστήτω ὁ Θεός. Ὁ σταυρός, ὁ τοῦ Χριστοῦ ἀπελπισμένων ἐλπίς, ἀπεγνωσμένων ζωή, ἀσθενούντων ἴασις... Στίχος· Ὡς ἐκλείπει καπνός... Ὁ σταυρὸς τοῦ Χριστοῦ χειμαζομένων λιμήν, πολεμουμένων ἰσχύς... Στίχος· Οὕτως ἀπολοῦνται... Ὁ σταυρὸς ὁ τοῦ Χριστοῦ φοβερὸς καὶ θαυμαστὸς τὸν λῃστὴν μετοίκησε... Στίχος· Ἐπὶ τὴν Ἱερουσαλήμ... Τίμιε σταυρέ, τῶν δαιμόνων διώκτα καὶ τῶν νοσούντων ἰατρέ, τῇ σκέπῃ σου κατέφυγα... Στίχος· Ὁ Θεὸς Ἰσραὴλ αὐτὸς δόξα, δύναμις... Τὸ τρόπαιον τοῦ σταυροῦ κατέλυσε τὰς ἀρχάς, ἀνέτρεψεν ἰσχυράς... Δόξα, Προσκυνοῦμεν τὸν σταυρόν, ἀνυμνοῦμεν τὴν ταφήν... Καὶ νῦν, Μεγάλη ἡ δόξα, ἣν ἐκτήσασθε ἅγιοι διὰ τῆς πίστεως...

л. 116 об. Εὐχὴ ἐπὶ τῶν ἐκβρασμάτων.

Πρὸς σὲ τὸν ἔχοντα πέλαγος οἰκτιρμῶν καὶ τὴν ἀκένωτον εὐσπλαγχνίαν κεκτημένον, Χριστέ, ἐν πάσῃ ἀνάγκῃ τυγχάνοντες, ἀτενίζομεν, παρ' ᾧ καὶ τὴν ἴασιν συντόμως εὑρίσκομεν τῶν παθῶν, ἔπιδε, Κύριε, ἐκ τοῦ ἁγιαστηρίου σου ἐπὶ τοῖς ἕλκουσι τοὺς κινδυνεύοντας καὶ ἐπίταξον τοῖς ἀλγηδόσι τοῦ φυγεῖν, καὶ ἀφάνισον αὐτῶν τὴν ἀπειλήν, ἰδοὺ μὲν καὶ τὸ πρόσωπον ἀτιμάζεται, ὃ ἀνέλαβες ἐν οὐρανοῖς ἥμερον, καὶ οἱ τῇ δόξῃ σου ἀντιλέγοντες ἡμᾶς ὄνειδος ἔχουσι, ὡς μὴ ἰσχύοντος τοῦ φοβεροῦ σου ὀνόματος, ὃν ἐφ' ἡμᾶς ἐπικέκληται τοῦ πάθους ἐξελέσθαι τοὺς πεποιθότας ἐπὶ σοί, ἀλλ' ἐπίβλεψον ἐφ' ἡμᾶς καὶ στεῖλον ἀπὸ παντὸς προσώπου τὰ δάκρυα, ἡ χαρὰ ἡμῶν καὶ ἡ λύτρωσις. Ὅτι σὺ εἶ ἡ ἀπολύτρωσις τῶν ψυχῶν ἡμῶν...

л. 117. Εὐχὴ ἐπὶ ἐκκλησίας ὑπὸ αἱρετικῶν μιανθείσης.

Κύριε ὁ Θεὸς τοῦ Ἀβραάμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ καὶ τοῦ σπέρματος αὐτοῦ τοῦ δικαίου, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, ὁ ἁγιάσας τὸν ναὸν Σολομῶντος καὶ τὴν σκηνὴν τοῦ μαρτυρίου διὰ Μωϋσέως καὶ ἀρχιερέων καταστήσας τοῦ προσφέρειν σοι θυσίας εὐπροσδέκτους, καὶ ἀφεὶς τῶν ἡμαρτημένων ὑπὸ τοῦ Ἰσραήλ. Αὐτὸς Δέσποτα, καὶ τὸν ναόν σου, ὃν ἐκέλευσας θυσίας ἀναιμάκτυς προσφέρειν σοι ἀρχιερεῖς ὑπὲρ ἑαυτῶν, ἁγίασον, εὐλόγησον, καθάρισον πᾶσαν ῥυτίδα, ἐξ αἱρετικῆς μωμήσεως ἐγχειρισθεῖσαν πρεσβείαις τῆς ἁγίας Θεοτόκου καὶ πάντων τῶν ἁγίων σου. Ὅτι ηὐλόγηται... Τὰς κεφαλάς... Δέσποτα Κύριε ὁ Θεὸς τῶν πατέρων, δυσωποῦμέν σε τὸν ἐν ἐλέει πλούσιον, ἵλεων γενέσθαι καὶ εὐμενῆ ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν, εἰσάκουσον τῆς δεήσεως τῶν δούλων σου, καὶ εἴ τις ἐξ αἱρετικῆς ἐγχειρήσεως μωμηθεὶς ἐπέβη εἰς τὸ ἅγιόν σου θυσιαστήριον, Αὐτὸς περίελε, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, ὅπως ἀκατακρίτως παριστάμενοι κατενώπιον τῆς ἁγίας δόξης σου λειτουργεῖν ἐν αὐτῷ καὶ προσφέρειν σοι τὰς ἀναιμάκτους θυσίας τῆς ἀληθινῆς ἡμῶν λατρείας (καὶ) ἀξιωθῶμεν τυχεῖν τῶν αἰωνίων ἀγαθῶν τὴν ἀπόλαυσιν, ὧν ἡτοίμασας τοῖς ἀγαπῶσί σε. Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν. Conf. Goar. pag. 494.

л. 117 об. Ἀκολουθία τῆς ἀρτοκλασίας τῇ κυριακῇ τοῦ Θωμᾶ.

Μετὰ τὴν θείαν λειτουργίαν προσφέρονται οἱ ἄρτοι καὶ λέγει· Χριστὸς ἀνέστη, Παναγία Τριάς, Πάτερ ἡμῶν... Εὐφραινέσθωσαν οἱ οὐρανοί... Ὑπὸ τὴν σὴν εὐσπλαγχνίαν... Εὐχή· Χορηγὲ τῶν ἁπάντων, Χριστὲ ὁ Θεὸς ἡμῶν, ἡ πατρικὴ σοφία καὶ δύναμις, ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν καὶ ζωὴν τῷ κόσμῳ δωρησάμενος, ὁ εὐλογήσας τοὺς πέντε ἄρτους καὶ πεντακισχιλίους ἄνδρας χορτάσας. Αὐτὸς καὶ νῦν, Δέσποτα, εὐλόγησον καὶ τούτους τοὺς ἄρτους, οὓς ἐκ τῶν πλουσίων σου δωρεῶν παρέσχου ἡμῖν, καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν πρεσβείαις τῆς ἁγίας Θεοτόκου καὶ πάντων τῶν ἁγίων. Ὅτι σὺ εἶ ὁ εὐλογῶν καὶ ἁγιάζων τὰ σύμπαντα καὶ σοί.

— Προσευχὴ τοῦ ἁγίου Μάμαντος πρὸς πᾶσαν αἰτίαν κτηνῶν.

Κύριε, εὐλόγησον. Ἐπικαλούμεθά σε, Δέσποτα Θεὲ Πάτερ παντοκράτωρ, βασιλεῦ τῶν ὅλων αἰώνων, Κύριε Ἰησοῦ Χριστέ, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ πάντων ἐν αὐτοῖς ὁρατῶν τε καὶ ἀοράτων, ὁ ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι παραγαγὼν τὰ σύμπαντα, ἀκήρατα, ἀσινῆ καὶ ἀνόδυνα, ἀλλὰ διὰ τὴν παρακοὴν ἡμῶν τῶν ἁμαρτωλῶν ἐπῆλθε καὶ τῶν κτηνῶν ἡμῶν πᾶσα νόσος καὶ αἰτία, τῇ δὲ ἀφάτῳ σου φιλανθρωπίᾳ ἦλθες καὶ ἔσωσας τὰ σύμπαντα, ἅμα καὶ ἰασάμενος καὶ λυ-

τρωσάμενος ἐκ τῆς πλάνης καὶ ἐπιβουλῆς τοῦ διαβόλου καὶ τῶν ἐπιτηδευμάτων αὐτοῦ· σὲ γὰρ ὑμνεῖ καὶ δοξολογεῖ πᾶσα πνοή, σὲ ἐπικαλούμενοι, Δέσποτα, καὶ δεόμενοι τὸν μόνον ἀληθινὸν καὶ ἐπήκοον Θεόν, κλῖνον τὸ οὖς σου καὶ ἐπάκουσόν μου ἐν τῇ ὥρᾳ ταύτῃ, παρορῶν τὰ πλήθη τῶν ἁμαρτιῶν μου, καὶ πρόσδεξαι τὴν ἐκτενῆ μου ταύτην δέησιν, ὡς προσεδέξω Ἄβελ τὰ δῶρα ἐκ τῆς ποίμνης αὐτοῦ εἰς ὀσμὴν εὐωδίας. Καὶ νῦν δεομένου μου, ὑπεράγαθε Κύριε, ἀκουστὴν ποίησον τὴν δέησίν μου ταύτην, ὡς ηὐλόγησας τὴν ποίμνην τοῦ Ἀβραάμ,' Ισαάκ, Ἰακώβ, Μωϋσέως, Δανιὴλ καὶ Ἰωακεὶμ καὶ Καλυτίνων (sic) τῶν δούλων σου, ἅμα δὲ καὶ τῶν ἀγραυλούντων τῶν ποιμένων ἐπὶ τῇ ἀτρέπτῳ σου ἐνανθρωπίσει ἀμοίρους τῆς σωτηρίας σου οὐκ ἐποίησας· ἰδόντες γὰρ τὸν ἀστέρα καὶ τὸ θαῦμα σὺν τῇ ἐπιστάσει ἀγγελικῇ στρατιᾷ, δόξαν καὶ αἶνον καὶ εὐχαριστίαν ἀνέπεμψαν τὸ κράτος σου. Εὐδόκησον καὶ νῦν, Κύριε ὁ Θεὸς τῶν δυνάμεων, καὶ φύλαξον τὴν ποίμνην ταύτην ἀπὸ πάσης διαβολικῆς ἐπαγωγῆς καὶ πονηρίας, καὶ πάσης φθορᾶς, καὶ βασκοσύνης ἰούσης τυφλώσεως, λευκώματος καὶ κρανίου κεφαλαργίας, καὶ δρασμοῦ, καὶ συνδέσμου νευροπονίας, τραχέας βατράχου, χολῆς μεσίψεως(;), ὀπισθητόνου, πλέμωνος, ἥπατος καὶ σπληνοῦ, καὶ φλεγμονῆς λύσσης, δυσεντερίας, κοιλιολύσης, θυμοῦ πλήθους, ψώρας εὐράσεως (sic), μύξους, ὑδατίδος, σεληνιαζομένου δαίμονος καὶ τοῦ Μωσέως (sic) καὶ ἀγνώστου πάθους, ὧν γινώσκομεν καὶ ὧν οὐκ ἐμνήσθημεν νοσημάτων καὶ παθημάτων, ἀπέλασον, ἀποδίωξον, ἀπόθησον ἀπὸ τῆς ποίμνης ταύτης, Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς· ἀνθρώπους, κτήνη σώσεις, Κύριε, ὡς ἐπλήθυνας τὸ ἔλεός σου, ὁ Θεός. Ὁρκίζω πάντα τὰ νοσήματα καὶ τὰ αἱμοβόρα θηρία κατὰ τοῦ φοβεροῦ καὶ ἐνδόξου ὀνόματος τοῦ Θεοῦ, ἀναχωρήσατε ἀπὸ τῆς ποίμνης ταύτης πᾶσα νόσος καὶ πᾶσα μαλακία πρεσβείαις τῆς ἁγίας Δεσποίνης ἡμῶν Θεοτόκου, τῶν ἁγίων καὶ ἐνδόξων ἀρχαγγέλων, τοῦ ἁγίου Ἰωάννου τοῦ Προδρόμου, τῶν ἁγίων καὶ ἐνδόξων ἀποστόλων, τοῦ ἁγίου πρωτομάρτυρος Στεφάνου, τοῦ ἁγίου ἀποστόλου Τίμωνος καὶ Ἰάσωνος καὶ τῶν ἁγίων μαρτύρων Μάμαντος καὶ Ταρασίου, Γεωργίου, Θεοδώρου, Δημητρίου, Προκοπίου, Δομετίου καὶ Φαύκ-(σ)του, καὶ Κηρύκου, Ἀκινδύνου, Λαυρεντίου, Βλασίου, τῶν ἁγίων Καλυτίνων, καὶ ἱερομάρτυρος Κλήμεντος, Βαβύλα, Χαραλάμπους, Ἀθηνογένους, Ὑπατίου, Σώζοντος καὶ Πορφυρίου, τῶν ἁγίων μ'. μαρτύρων καὶ μβ'. καὶ τῶν ἁγίων μαρτύρων Εὐσταθίου, Μηνᾶ καὶ τῶν ἁγίων ἀρχιεπισκόπων Βασιλείου, Γρηγορίου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου, Σιλβέστρου, Σπυρίδωνος καὶ Νικολάου, τῶν ὁσίων πατέρων ἡμῶν Ἀντωνίου, Εὐφημίου, Ἀλυπίου, Παταπίου, Σάββα καὶ τῶν ἁγίων ἀναργύρων Θαλαλέου, Παντελεή-

μονος, Διομήδους, Τρύφωνος καὶ Νεοφύτου, καὶ πάντων τῶν ἁγίων, τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων. Ὅτι Θεὸς ἐλέους, οἰκτιρμῶν καὶ φιλανθρωπίας... Καὶ Μετὰ τὴν εὐχὴν βάλλει εἰς κανδήλαν ἔλαιον καὶ οἶνον, καὶ εἰς τὸ ὄνομά των ποιεῖ γ'. λειτουργίας, καὶ ἀπομυρίζει τὸν τίμιον σταυρὸν καὶ ῥαντίζει πᾶν κτῆνος καὶ διὰ πρεσβειῶν τῶν ἁγίων πατάσσεται ἡ νόσος.

л. 119 об. Ἀκολουθία ἐπὶ διγαμούντων.

Εὐχὴν λέγει ὁ ἱερεύς· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ κελεύσας ἑνωθῆναι τὸν ἄνδρα μετὰ γυναικὸς εἰς τὸ γενέσθαι αὐτοὺς εἰς σάρκα μίαν, παρακλήθητι καὶ νῦν ἐκ δευτέρου, φιλάνθρωπε ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, καὶ ἕνωσον τὸν δοῦλόν σου τόνδε καὶ τὴν δούλην σου τήνδε, ὅπως τεκνογονήσωσι κατὰ τὸν σὸν λόγον, ἵνα μὴ ὦσι τέκνα πορνείας καὶ ἁμαρτίας, ἀλλ' ἔσονται τέκνα εὐλογιῶν, διόπερ καὶ ὁ θεῖος ἀπόστολος, ἰδὼν τὴν ἀσθένειαν τῆς σαρκός, δι' οὗ οὐκ ἐγκρατευόμεθα τοῦ εἶναι ἡμᾶς οὕτως, ἐνετείλατο ἡμῖν ἐκ δευτέρου ἑνωθῆναι, ἵνα σοὶ δόξαν καὶ εὐχαριστίαν ἀναπέμπωμεν τῷ Πατρὶ καὶ τῷ Υἱῷ... Εὐχὴ τῆς κεφαλοκλισίας· Ὁ κλίνας τοὺς οὐρανοὺς καὶ καταβὰς ἐπὶ σωτηρίᾳ γένους τῶν ἀνθρώπων, Κύριε οὐρανοῦ καὶ τῆς γῆς καὶ πάσης κτίσεως ποιητά, κλῖνον τὸ οὖς σου καὶ ἐπάκουσον τῆς δεήσεως ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἀχρείων δούλων σου, καὶ τοὺς κεκλικότας σοι τὰς ἑαυτῶν κεφαλὰς ὕψωσον τὸ κέρας αὐτῶν ἐν τῇ εὐδοκίᾳ τῆς σῆς ἀγαθότητος. Ὅτι πρέπει σοι πᾶσα δόξα... Ἐὰν εἰσὶν ἀμφότεροι τῶν διγαμούντων, καὶ λέγονται αὗται καὶ μόναι εὐχαί, εἰ δὲ τὸ ἓν μέρος δίγαμον, ἵστησι τὸν δίγαμον κατὰ μόνας καὶ λέγει ταῦτα, εἶτα στέφεται ὁ δίγαμος διὰ τοῦ ἀγάμου.

л. 120. Ἀλληλουάρια, προκείμενα τῶν Ὀκτωήχων.

л. 120 об. Чтенія изъ апостола и евангелія на различные случаи.

л. 152 об. Ἀναγνώσματα τῆς ἁγίας μ'.

л. 153 об. Ἀντίφωνα τῶν μεγάλων ἑορτῶν.

л. 156 об. Ἀκολουθία εἰς ἐγκαίνια ναοῦ καὶ εἰς ἑδράσεις ἁγίας τραπέζης, ἤγουν ἀπὸ ἀρχῆς θεμελίου αὐτοῦ.

Ἐὰν δὲ πολλάκις παρὰ ἐθνῶν ῥιφθῇ ἢ πέσῃ, ἔχονται πᾶσα ἀκολουθία, τὰ δὲ στιχηρὰ καὶ καθίσματα, καὶ τὸν κανόνα, τὰς προφητείας ζήτει εἰς τὸ τέλος τῆς βίβλου. Ὀψὲ ψάλλομεν τὸν ἑσπερινὸν καὶ τὴν παννυχίδα καὶ τὸ πρωΐ τὸν ὄρθρον. Μετὰ δὲ τὴν ἀπόλυσιν τοῦ ὄρθρου, μετὰ τὴν κατάπλυσιν, ἄρχεται ὁ ἀρχιερεὺς ἢ ὁ πρωτοπαπᾶς καὶ παρασκευάζει τοὺς μαρμαρείους, ἵστησι τὴν τράπεζαν, καὶ πληρούντων αὐτῶν τὸ ἔργον καὶ ἀναχωρούντων, παραγίνεται ὁ ἀρχιερεὺς καὶ εἰσέρχεται ἐν τῷ

ναῷ, πάντων τῶν λαϊκῶν ἐξερχομένων, μόνον τῶν κληρικῶν ἔσω μενομένων, τῶν σὺν αὐτῷ, καὶ πανταχόθεν ἀσφαλιζομένων τῆς ἐκκλησίας, ποιεῖ τὴν εὐχὴν εἷς τῶν διακόνων, καὶ λεγόντων αὐτῶν· Κλίναντες τὰ γόνατα ἐν εἰρήνῃ, τοῦ Κυρίου δεηθῶμεν. Κλίνει γόνυ ὁ ἀρχιερεὺς παρὰ τὰς θύρας τοῦ ἱερατείου, διὰ τὸ μήπως τὴν ἐν αὐτοῖς ἀποτεθεὶς ἁγίαν τράπεζαν ἁγιασθῆναι, καὶ ὅτε ἀναστῇ ὁ πατριάρχης, ὁ μὲν διάκονος λέγει· Ἐν εἰρήνῃ τοῦ Κυρίου... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῆς εἰρήνης... Ὑπὲρ τοῦ ἀρχιεπισκόπου.

л. 157. Ἀκολουθία τοῦ παμμεγάλου ἐγκαινιασμοῦ τοῦ ναοῦ.

Стихиры на Господи воззвахъ: Ἐγκαινίζου ἐγκαινίζου ἡ νέα Ἱερουσαλὴμ... Πάλαι μὲν ἐγκαινίζων τὸν λαὸν ὁ Σολομὼν.. Τὸν ἐγκαινισμὸν τελοῦντες... Τὴν μνήμην τῶν ἐγκαινίων... Πρὸς ἑαυτὸν ἐπανάγου, ἄνθρωπε... 3 пареміи: Царствъ 3, Притчей и Притчей. Канонъ: Θαλάσσης τὸ ἐρυθραῖον...Ὁ στύλῳ καθοδηγῶν τῷ Πνεύματι τῶν ἐξ ἐθνῶν Ἰσραὴλ... Οὐ νόμῳ ἐκκλησία, Κύριε, ἐγκαλλωπίζεται... Σήμερον ἀπροσίτῳ δόξῃ σου... Апостолъ къ Евреямъ и евангеліе отъ Іоанна.

л. 161. Κανὼν τοῦ ἁγίου ἐλαίου, φέρων ἀκροστιχίδα τήνδε· Εὐχῆς ἐλαίου ψάλλομεν ἐξ Ἀρσενίου. Goar. p. 322—335.

л. 163 об. Лунникъ отъ 6662 г. до 6671 года.

л. 164—169. Арабскій текстъ.

**IX.** № 1040. *Διακονικόν*, Синайск. библ. рукопись, въ 16 долю листа, 77 листовъ, писана на бомбицинѣ четкою скорописью XII вѣка. Время написанія этой рукописи точно опредѣляется слѣдующими данными, заключающимися въ самой рукописи. Въ діаконскихъ прошеніяхъ поминаются о здравіи имена византійскаго императора Мануила Комнена (1143—1180) и его супруги Маріи (л. 50), современныхъ патріарховъ—константинопольскаго Луки Хрисоверга (1156—1169), александрійскаго Софронія III (1166 г.), антіохійскаго Аѳанасія (1156—1170) и іерусалимскаго Никифора 1166 (по Паламѣ 1178—1187) (л. 9 и др.). Такимъ образомъ, время написанія рукописи падаетъ на начало второй половины XII в., или точнѣе на годы *между 1156 г. и 1169 г.*, т. е. въ патріаршество константинопольскаго патріарха Луки Хрисоверга. Написана рукопись, по просьбѣ діакона *Соломона*, писцомъ *Ѳеодосіемъ*, имена которыхъ нерѣдко поминаются въ прошеніяхъ на литургіи и читаются въ слѣдующей припискѣ въ концѣ рукописи: „Ἀδελφέ μου,

κύρι(ε) Σολομών, συγχώρησόν μοι, ὅτι οὐκ ἠδυνήθην ποιῆσαι καλὸν πρᾶγμα, ὡς ἤθελεν ἡ ἀγάπη σου, καὶ εὔχου μου διὰ τὸν Κύριον τοῦ ἁμαρτωλοῦ Θεοδοσίου, ἵνα με ἐλεήσῃ ὁ Θεὸς διὰ τὸ ἔλεος αὐτοῦ καὶ διὰ τῶν ἁγίων εὐχῶν σου" (л. 76 об.). Предназначалась рукопись для употребленія въ Синайскомъ монастырѣ, какъ это видно изъ поминовенія на всѣхъ ектеньяхъ имени архіепископа синайскаго *Петра*, время правленія котораго намъ, однако, точно неизвѣстно, и изъ упоминанія о св. отцахъ, избіенныхъ варварами около 312 г. и въ V вѣкѣ на Синаѣ и въ Раиѳѣ (л. 13 об.). Оригиналомъ для настоящей рукописи послужилъ списокъ той же литургіи іерусалимской церкви. За это говорятъ а) слѣдующія прошенія, находящіяся въ данной рукописи: „Ὑπὲρ ἐρχομένων χριστιανῶν τοῦ προσκυνῆσαι ἐν τοῖς ἁγίοις Χριστοῦ τοῦ Θεοῦ ἡμῶν τόποις τούτοις (л. 5), т. е. τῶν Ἱεροσολύμων (л. 25 об.), и частнѣе: προσκυνῆσαι ἐν τῷ ζωηφόρῳ τάφῳ τούτῳ" (л. 26 об.), b) подробное перечисленіе клира іерусалимской церкви: пресвитеровъ, діаконовъ, *діакониссъ*, иподіаконовъ, чтецовъ, *толкователей, заклинателей* и т. д. (л. 10) и с) заупокойное поминовеніе патріарховъ іерусалимской церкви, предшественниковъ здравствовавшаго въ ту пору патріарха Никифора, въ такой формулѣ: „Ὑπὲρ μνήμης καὶ ἀναπαύσεως πάντων τῶν ἁγίων καὶ μακαρίων πατέρων ἡμῶν, τῶν ἀπὸ τοῦ ἁγίου Ἰακώβου, τοῦ ἀποστόλου καὶ ἀδελφοῦ τοῦ Κυρίου, καὶ πρώτου τῶν ἀρχιεπισκόπων μέχρι Σωφρονίου, Εὐθυμίου, Συμεὼν καὶ Ἰωάννου" (л. 7). Въ этомъ прошеніи упоминаются, очевидно, Софроній II 1059 (1046—1079) Евѳимій (у Паламы послѣ Симеона (1105—1112), Симеонъ II, 1099, (1093—1105) и Іоаннъ VII, 1156 (1155—1178).

л. 1. Рукопись начинается прошеніемъ въ діаконскомъ чинѣ полной литургіи апостола Іакова: Τῶν ἁγίων ἐνδόξων ἀποστόλων, προφητῶν καὶ ἀθλοφόρων, μαρτύρων καὶ πάντων τῶν ἁγίων καὶ δικαίων μνημονεύσωμεν и т. д. Излагаются одни прошенія діакона безъ возгласовъ и молитвъ священника. Чинъ этотъ напечатанъ нами въ книгѣ: „Богослуженіе страстной и пасхальной седмицъ во св. Іерусалимѣ IX—X в." Каз. 1894 г. стр. 270—285.

л. 19. Διακονικὰ τῆς προηγιασμένης λειτουργίας τοῦ ἁγίου Ἰακώβου·

Ὁ διάκονος· Ἔτι κλίνοντες τὰ γόνατα, ἐκτενῶς ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ἐν δυνάμει καὶ ἐλέει Θεοῦ ἀναστῶμεν.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, καὶ ἑνώσεως πασῶν τῶν ἁγίων τοῦ Θεοῦ ὀρθοδόξων ἐκκλησιῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ σωτηρίας, καὶ ἀντιλήψεως τοῦ ἁγίου πατρὸς ἡμῶν Πέτρου τοῦ ἀρχιεπισκόπου, παντὸς τοῦ κλήρου καὶ τοῦ φιλοχρίστου λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων ἡμῶν βασιλέων, παντὸς τοῦ παλατίου, καὶ τοῦ στρατοπέδου, καὶ τῆς οὐρανόθεν βοηθείας, σκέπης καὶ νίκης αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ ἀφέσεως ἁμαρτιῶν ἡμῶν, καὶ συγχωρήσεως τῶν πλημμελημάτων ἡμῶν, καὶ τοῦ ῥυσθῆναι, καὶ σωθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, ἀνάγκης, καὶ ἐπαναστάσεως ἐθνῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἁγίας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν πόλεως, καὶ ταύτης τῆς πόλεως καὶ πάσης πόλεως, καὶ χώρας, καὶ τῶν ἐν πίστει οἰκούντων ἐν αὐταῖς, εἰρήνης καὶ ἀσφαλείας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας, τῶν τιμίων ἀσωμάτων ἀρχαγγέλων, τοῦ ἁγίου Ἰωάννου, τοῦ ἐνδόξου προφήτου Προδρόμου καὶ βαπτιστοῦ, τῶν θείων καὶ ἱερῶν ἀποστόλων, προφητῶν καὶ ἀθλοφόρων μαρτύρων, καὶ πάντων τῶν ἁγίων, καὶ δικαίων μνημονεύσωμεν, ὅπως εὐχαῖς καὶ πρεσβείαις αὐτῶν οἱ πάντες ἐλεηθῶμεν.

Μετὰ τὸ πληρωθῆναι τὰ ἀναγνώσματα λέγει ὁ διάκονος· Σχολάσωμεν ἔτι, κλίνοντες τὰ γόνατα, ἐκτενῶς τοῦ Κυρίου δεηθῶμεν.

Ἐν δυνάμει καὶ ἐλέει Θεοῦ ἀναστῶμεν.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, καὶ ἑνώσεως πασῶν τῶν ἁγίων τοῦ Θεοῦ ὀρθοδόξων ἐκκλησιῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ σωτηρίας, καὶ ἀντιλήψεως τοῦ ἁγίου πατρὸς ἡμῶν Πέτρου, τοῦ ἀρχιεπισκόπου, παντὸς τοῦ κλήρου καὶ τοῦ φιλοχρίστου λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ ἀφέσεως ἁμαρτιῶν ἡμῶν, καὶ συγχωρήσεως τῶν πλημμελημάτων ἡμῶν, καὶ τοῦ ῥυσθῆναι καὶ σωθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, ἀνάγκης καὶ ἐπαναστάσεως ἐθνῶν, τοῦ Κυρίου δεηθῶμεν.

Τῶν ἁγίων ἐνδόξων ἀποστόλων, προφητῶν καὶ ἀθλοφόρων μαρτύρων, καὶ πάντων τῶν ἁγίων, καὶ δικαίων μνημονεύσωμεν, ὅπως εὐχαῖς καὶ πρεσβείαις αὐτῶν οἱ πάντες ἐλεηθῶμεν.

Τὴν ἑσπέραν πᾶσαν τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν, καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ ἐν μετανοίᾳ ἐκτελέσαι, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ, αἰτησώμεθα.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν ἁγίων καὶ δικαίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ἐν εἰρήνῃ Χρίστου ψάλατε.

Μή τις τῶν κατηχουμένων, μή τις τῶν ἀμυήτων, μή τις τῶν μὴ δυναμένων ἡμῖν συνδεηθῆναι. Ἀλλήλους ἐπίγνωτε. Ἀλλήλους γνωρίσατε. Τὰς θύρας κλείσατε. Ὀρθοὶ πάντες.

Καὶ μετὰ τοῦτο· Στῶμεν καλῶς... Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Καὶ μετὰ τὴν ἐκφώνησιν, ὁ διάκονος· Κύριε, εὐλόγησον. Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Σῶσον, ἐλέησον, οἰκτείρησον, ἀντιλαβοῦ καὶ διαφύλαξον ἡμᾶς ὁ Θεός, τῇ σῇ χάριτι.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ φιλανθρωπίας, ὁμονοίας καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, καὶ ἑνώσεως τῶν ἁγίων τοῦ Θεοῦ ὀρθοδόξων ἐκκλησιῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ σωτηρίας, καὶ ἀντιλήψεως τοῦ ἁγίου πατρὸς ἡμῶν τοῦ δεῖνα, τοῦ πατριάρχου, καὶ Πέτρου, τοῦ πανοσίου ἀρχιεπισκόπου ἡμῶν, παντὸς τοῦ κλήρου καὶ τοῦ φιλοχρίστου λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων ἡμῶν βασιλέων, παντὸς τοῦ παλατίου καὶ τοῦ στρατοπέδου αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἁγίας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν πόλεως καὶ τῆς βασιλευούσης, καὶ ταύτης ἡμῶν τῆς πόλεως, καὶ πάσης πόλεως, καὶ τῶν

ἐν ὀρθοδόξῳ πίστει καὶ εὐλαβείᾳ Χριστοῦ οἰκούντων ἐν αὐταῖς, εἰρήνης καὶ ἀσφαλείας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν ἐλθόντων καὶ ἐρχομένων τοῦ προσκυνῆσαι ἐν τοῖς ἁγίοις Χριστοῦ τοῦ Θεοῦ ἡμῶν τόποις τούτοις τῶν Ἱεροσολύμων, ὁδοιπορούντων, ξενητευόντων, καὶ τῶν ἐν αἰχμαλωσίᾳ ὄντων ἀδελφῶν ἡμῶν, εἰρηνικῆς ἐπανόδου ἑκάστου μετὰ χαρᾶς ἐν τάχει εἰς τὰ οἰκεῖα αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ ἀφέσεως ἁμαρτιῶν, καὶ συγχωρήσεως τῶν πλημμελημάτων ἡμῶν, καὶ τοῦ ῥυσθῆναι καὶ σωθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς καὶ ἀνάγκης, καὶ ἐπαναστάσεως ἐθνῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ εἰσακουσθῆναι καὶ εὐπρόσδεκτον γενέσθαι τὴν δέησιν ἡμῶν ἐνώπιον τοῦ Θεοῦ, καὶ τοῦ καταπεμφθῆναι πλούσια τὰ ἐλέη καὶ τοὺς οἰκτιρμοὺς αὐτοῦ ἐπὶ πάντας ἡμᾶς καὶ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς βασιλείας τῶν οὐρανῶν, ἐκτενῶς δεόμεθά σου.

Ὑπὲρ τῶν τὰς ἁγίας νηστείας, τὰς δεήσεις διατελούντων, καὶ ἐλθόντων τοῦ προσκυνῆσαι ἐν τῷ ζωηφόρῳ τάφῳ τούτῳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἐν ταῖς ἁγίαις ἐκκλησίαις (τῶν) ὀρθοδόξων, τοῦ Κυρίου δεηθῶμεν.

Τῆς παναγίας, καὶ ὑπερευλογημένης, ἀχράντου Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας, τῶν τιμίων ἀσωμάτων ἀρχαγγέλων, τοῦ ἁγίου Ἰωάννου, τοῦ ἐνδόξου προφήτου Προδρόμου καὶ βαπτιστοῦ, τῶν θείων ἱερῶν ἐνδόξων ἀποστόλων, προφητῶν καὶ ἀθλοφόρων μαρτύρων, μετὰ πάντων τῶν ἁγίων καὶ δικαίων μνημονεύσωμεν, ὅπως εὐχαῖς καὶ πρεσβείαις αὐτῶν οἱ πάντες ἐλεηθῶμεν.

Καὶ ὑπὲρ τῶν προσκομισθέντων, καὶ προαγιασθέντων τιμίων, ἐνδόξων, ἐπουρανίων, μυστικῶν, φρικτῶν, θείων δώρων, καὶ σωτηρίας τοῦ παρεστῶτος καὶ προσφέροντος ἁγίου, ὁσίου πατρὸς ἡμῶν καὶ ἱερέως, Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν.

Καὶ μετὰ τὴν ἐκφώνησιν· Πληρώσωμεν τὴν δέησιν ἡμῶν τῷ Κυρίῳ, ὅτι πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης αὐτοῦ.

Καὶ ὑπὲρ τῶν προτεθέντων καὶ προαγιασθέντων τιμίων δώρων, Κυρίῳ τῷ Θεῷ ἡμῶν δεηθῶμεν.

Ὅπως Κύριος ὁ Θεὸς ἡμῶν, ὁ προσδεξάμενος αὐτὰ εἰς τὸ ἅγιον καὶ ὑπερουράνιον, καὶ νοερὸν αὐτοῦ θυσιαστήριον, εἰς ὀσμὴν εὐωδίας (πνευματικῆς)[1]) ἀντικαταπέμψῃ ἡμῖν τὴν θείαν χάριν καὶ τὴν δωρεὰν τοῦ παναγίου Πνεύματος, δεηθῶμεν.

---

[1]) Въ рук. нѣтъ этого слова.

*

Τὴν ἑνότητα τῆς πίστεως, καὶ τὴν κοινωνίαν, καὶ δωρεὰν τοῦ ἁγίου Πνεύματος αἰτησάμενοι, ἑαυτοὺς καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ ἱερεὺς ἐκφωνεῖ· Καὶ καταξίωσον ἡμᾶς, Δέσποτα...

Ὁ λαός· Πάτερ ἡμῶν.

Ὁ ἱερεύς· Ὅτι σοῦ ἐστὶν ἡ βασιλεία.

Ὁ διάκονος· Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνατε.

Μετὰ φόβου Θεοῦ πρόσχωμεν.

Εἴπωμεν πάντες ὑπὲρ σωτηρίας, εὐζωΐας τε καὶ μακροημερεύσεως τοῦ ἁγίου πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου Πέτρου, παντὸς τοῦ κλήρου, καὶ φιλοχρίστου λαοῦ, καὶ ὑπὲρ τοῦ ἵλεων, καὶ εὐμενῆ, καὶ εὐδιάλλακτον γενέσθαι τὸν ἀγαθὸν καὶ φιλάνθρωπον Θεὸν ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν, καὶ ἐλεῆσαι ἡμᾶς κατὰ τὸ μέγα τῆς φιλανθρωπίας αὐτοῦ ἔλεος, καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι ἡμῖν (πᾶν) πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον, καὶ ὑπὲρ πάσης ψυχῆς χριστιανῶν θλιβομένης, καὶ καταπονουμένης, ἐλέους Θεοῦ καὶ βοηθείας ἐπιδεομένης.

Ἔτι ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων ἡμῶν βασιλέων, κράτους, νίκης, διαμονῆς, εἰρήνης, ὑγείας καὶ σωτηρίας αὐτῶν, καὶ τοῦ Κύριον τὸν Θεὸν ἡμῶν ἐπὶ πλεῖον συνεργῆσαι, καὶ κατευοδῶσαι αὐτοὺς ἐν πᾶσι, καὶ ὑποτάξαι ὑπὸ τοὺς πόδας αὐτῶν πάντα ἐχθρὸν καὶ πολέμιον.

Καὶ ὑπὲρ σωτηρίας καὶ ἀφέσεως ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ τοῦ δεῖνα καὶ τοῦ δεῖνα, μνήμης καὶ ἀναπαύσεως τῶν ὁσίων πατέρων ἡμῶν, καὶ ἀδελφῶν, καὶ πάντων τῶν χριστιανῶν τῶν ὀρθοδόξων, εἴπωμεν πάντες.

Ὁ λαός· Κύριε ἐλέησον ιβ΄.

Ὁ διάκονος· Ὀρθοὶ οἱ μεταλαβόντες τῶν ἁγίων, ἀχράντων, ἀθανάτων καὶ ζωοποιῶν τοῦ Χριστοῦ μυστηρίων ἐπὶ ἀφέσεως τῶν ἁμαρτιῶν ἡμῶν, ἀξίως εὐχαριστήσωμεν τῷ Κυρίῳ.

Ὅπως γένηται ἡμῖν ἡ μετάληψις τῶν ἁγιασμάτων αὐτοῦ εἰς ἀποτροπὴν παντὸς πονηροῦ πράγματος, εἰς ἐφόδιον ζωῆς αἰωνίου, καὶ εἰς κοινωνίαν, καὶ δωρεὰν τοῦ ἁγίου Πνεύματος, δεηθῶμεν.

Τῆς παναγίας, καὶ ὑπερευλογημένης, ἀχράντου Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ἐν εἰρήνῃ καὶ ἀγάπῃ Θεοῦ πορευθῶμεν.

Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐλέησον ἡμᾶς. Ἀμήν.

л. 32. Διακονικὰ τῆς θείας λειτουργίας τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου.

Литургія состоитъ только изъ прошеній діакона. Любопытныя особенности въ ней мы находимъ слѣдующія. Послѣ входныхъ тропаря и кондака дѣлается такое замѣчаніе: Καὶ εἰ μὲν ἐστὶ τοῦ Χρυσοστόμου ἡ λειτουργία, οὐ λέγεις συναπτήν, εἰ δὲ ἐστὶν ἡ λειτουργία τοῦ ἁγίου Βασιλείου λέγεις συναπτήν· Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν и т. д. вся великая ектенья (л. 36). Послѣ евангелія произносится такая ектенья: Εἴπωμεν πάντες ἐκτενῶς.—Ἐξ ὅλης ψυχῆς καὶ ἐξ ὅλης τῆς διανοίας εἴπωμεν.—Κύριε παντοκράτωρ ἐπουράνιε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, δεόμεθά σου, ἐπάκουσον ἡμῶν καὶ ἐλέησον.—Ὁ πλούσιος ἐν ἐλέει καὶ ἀγαθὸς ἐν οἰκτιρμοῖς δεόμεθά σου.—Ὁ μὴ βουλόμενος τὸν θάνατον ἡμῶν τῶν ἁμαρτωλῶν, ἀλλὰ ἀναμένων τὴν εἰς σὲ ἐπιστροφήν, ζωὴν καὶ μετάνοιαν δεόμεθά σου.—Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως... Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου... Ἔτι ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων ἡμῶν βασιλέων κράτους, νίκης, διαμονῆς, εἰρήνης, ὑγείας καὶ σωτηρίας αὐτῶν, καὶ τοῦ Κύριον τὸν Θεὸν ἡμῶν ἐπὶ πλεῖον συνεργῆσαι καὶ κατευοδῶσαι αὐτοὺς ἐν πᾶσι, καὶ ὑποτάξαι ὑπὸ τοὺς πόδας αὐτῶν πάντα ἐχθρὸν καὶ πολέμιον, εἴπωμεν.—Ἔτι δεόμεθα ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν Πέτρου ὑγείας, σωτηρίας καὶ ἀφέσεως τῶν ἁμαρτιῶν αὐτοῦ.—Ἔτι δεόμεθα ὑπὲρ τοῦ δούλου τοῦ Θεοῦ ὁ δεῖνου ἱερέως, τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας καὶ παντὸς ἱερατικοῦ τάγματος, ὑγείας, σωτηρίας καὶ ἀφέσεως τῶν ἁμαρτιῶν αὐτῶν.—Ἔτι ὑπὲρ τοῦ δούλου τοῦ Θεοῦ ὁ δεῖνου, καὶ παντὸς τοῦ λαοῦ αὐτοῦ ὑγείας, σωτηρίας... Ἔτι ὑπὲρ πάντων τῶν κατὰ σάρκα συγγενῶν ἡμῶν καὶ ἀδελφῶν, καὶ τῶν ἐντειλαμένων ἡμῖν τοῖς ἀναξίοις εὔχεσθαι ὑπὲρ αὐτῶν, καὶ τῶν ἀγαπόντων ἡμᾶς καὶ τῶν μισούντων, ὀρθοδόξων χριστιανῶν ὑγείας, σωτηρίας.—Καὶ ὑπὲρ τοῦ περιεστῶτος λαοῦ, καὶ πάντων τῶν ἀδελφῶν τῶν ἐν ξενιτείᾳ, καὶ ἐν ἀσθενείᾳ, καὶ αἰχμαλωσίᾳ καὶ πνεύματι ἀκαθάρτῳ ἐνοχλουμένων, καὶ ἐν θαλάσσῃ πλεόντων, καὶ πάντων τῶν ὀρθοδόξων χριστιανῶν ὑγείας, σωτηρίας.—Ἔτι δεόμεθα ὑπὲρ ἀφέσεως ἁμαρτιῶν καὶ μακαρίας μνήμης καὶ ἀναπαύσεως πάντων τῶν προκεκοιμημένων χριστιανῶν, τῶν ἐνθάδε κειμένων καὶ ἁπανταχοῦ ὀρθοδόξων. Ὁ ἱερεὺς ἐκφωνεῖ· Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις. (л. 37 об.—40). Предъ херувимскою пѣснію положено произносить полную великую ектенью (л. 42—43). Въ прошеніи: „Пресвятую, пре-

чистую" вставлено: τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν ὁ δεῖνου μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες... (л. 45 об.) Послѣ „Достойно есть"—Ὁ διάκονος· Καὶ ὧν ἕκαστος κατὰ διάνοιαν ἔχει. Ὁ λαός· Καὶ πάντων καὶ πασῶν. Ὁ ἱερεὺς ἐκφωνεῖ· Ἐν πρώτοις μνήσθητι, Κύριε, τοῦ ἀρχιεπισκόπου ἡμῶν, ὃν χάρισαι. Ὁ διάκονος δίπτυχα τῶν ζώντων· Νικηφόρου, τοῦ ἁγιωτάτου πατριάρχου ἡμῶν Ἱεροσολύμων, θρόνου Κωνσταντινουπόλεως, θρόνου Ἀλεξανδρείας, θρόνου Ἀντιοχείας, Πέτρου, τοῦ ἁγιωτάτου πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου, καὶ ὑπὲρ τοῦ προσκομίζοντος τὰ ἅγια δῶρα Κυρίῳ τῷ Θεῷ ἡμῶν, ὁ δεῖνα τοῦ ἱερέως, τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, καὶ παντὸς ἱερατικοῦ τάγματος, καὶ ὑπὲρ σωτηρίας, κράτους, νίκης, διαμονῆς, τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων ἡμῶν βασιλέων Μανουὴλ καὶ Μαρίας (1143—1180), καὶ ὑπὲρ εἰρήνης, καὶ εὐσταθείας τοῦ σύμπαντος κόσμου, καὶ πασῶν τῶν ἁγίων τοῦ Θεοῦ ὀρθοδόξων ἐκκλησιῶν, καὶ ὑπὲρ ἀναῤῥήσεως καὶ ἀπολυτρώσεως τῶν ἀδελφῶν ἡμῶν, τῶν αἰχμαλώτων, καὶ πάντων ἐν ἀσθενείᾳ κατακειμένων ὀρθοδόξων χριστιανῶν, καὶ ἐλέους Θεοῦ ἐπιδεομένων, τοῦ φιλοχρίστου στρατοῦ, καὶ τοῦ περιεστῶτος λαοῦ, καὶ πάντων καὶ πασῶν. Ὁ λαός· Καὶ πάντων καὶ πασῶν (л. 46—47). Предъ моментомъ пріобщенія священнослужащихъ ὁ ἱερεὺς ἐκφωνεῖ· Τὰ ἅγια τοῖς ἁγίοις. Ὁ λαός· Εἷς ἅγιος, εἷς Κύριος. Ὁ διάκονος· Εὐχὴ τῆς καρποφορίας· Ὑπὲρ τοῦ ἵλεων καὶ εὐμενῆ καὶ εὐδιάλλακτον γενέσθαι τὸν ἀγαθὸν καὶ φιλάνθρωπον Θεὸν ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν, καὶ εὐπρόσδεκτον γενέσθαι τὴν δέησιν ἡμῶν ἐνώπιον αὐτοῦ, καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι ἡμῖν πᾶν πλημμέλημα ἑκούσιον.—Ἔτι δεόμεθα ὑπὲρ τοῦ πατρὸς καὶ ἀρχιεπισκόπου ἡμῶν Πέτρου ὑγείας, σωτηρίας καὶ ἀφέσεως τῶν ἁμαρτιῶν αὐτοῦ.—Ἔτι ὑπὲρ τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν τῷ ἁγίῳ ναῷ τούτῳ, καὶ τῶν καρποφορησάντων ἐν τῇ σήμερον ἡμέρᾳ, καὶ πάντων τῶν ὀρθοδόξων χριστιανῶν ὑγείας, σωτηρίας καὶ ἀφέσεως ἁμαρτιῶν αὐτῶν· καὶ ὑπὲρ ἀφέσεως ἁμαρτιῶν, καὶ μακαρίας μνήμης, καὶ ἀναπαύσεως τῶν προκεκοιμημένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε κειμένων καὶ ἁπανταχοῦ ὀρθοδόξων εἴπωμεν. Ὁ λαός· Κύριε ἐλέησον ιβ'. Ὁ διάκονος· Ἐν εἰρήνῃ Χριστοῦ ψάλατε. Ὁ λαὸς τὸ κοινωνικὸν (л. 50—51).

л. 52 об. Διακονικὰ τῆς προηγιασμένης θείας λειτουργίας τοῦ ἁγίου Βασιλείου.

Ἐν ὅσῳ δὲ ψάλλεται τὸ Εὐλόγει ἡ ψυχή μου, καὶ ὁ διάκονος λέγει τὴν συναπτήν, ὁ ἱερεὺς ἐπεύχεται τὰς τρεῖς εὐχὰς τοῦ λυχνικοῦ τὰς

πρώτας (л. 54 об.)... Πληρωθέντος δὲ τοῦ πρώτου ἀναγνώσματος καὶ ψαλλομένου τοῦ προκειμένου αὐτοῦ, ἀνίσταται ὁ διάκονος, καὶ λαβὼν τὸν θυμιατὸν τῇ δεξιᾷ χειρί, βαλόντος τοῦ ἱερέως θυμίαμα ἐν αὐτῷ, λαμβάνει καὶ ἐν τῇ ἀριστερᾷ χειρὶ μανουάλιον μετὰ κηροῦ ἅπτοντος, καὶ ἐξέρχεται ἔμπροσθεν τῶν ἁγίων θυρῶν, καὶ πληρωθέντος τοῦ αὐτοῦ προκειμένου, θυμιᾷ σταυροειδῶς ὁ διάκονος τὰ ἅγια θυρία, λέγει· Σοφία ὀρθοί. Καὶ ὑψώσας τὴν ἀριστερὰν αὐτοῦ χεῖρα μετὰ τοῦ μανουαλίου, ἐπιδεικνύων τῷ λαῷ καὶ λέγων μεγαλοφώνως· Φῶς Χριστοῦ φαίνει πᾶσι. Καὶ εἰσέρχεται καὶ θυμιᾷ τὴν ἁγίαν τράπεζαν, ὁ ψάλτης λέγει· Παροιμιῶν τὸ ἀνάγνωσμα. Ὁ διάκονος· Πρόσχωμεν. Ὁ ψάλτης τὴν παροιμίαν (л. 55—57). Ектенья послѣ евангелія таже, что и въ литургіи св. Іоанна Златоуста. Во время произнесенія ея, ὁ ἱερεὺς τὴν εὐχὴν τῆς ἐκτενοῦς (л. 56 об.—60). Предъ пѣніемъ: „Нынѣ силы небесныя“ произносилась ектенья великая и εὐχὴν πιστῶν δευτέραν· Δέσποτα ἅγιε ὑπεράγαθε (л. 64 об.). Ὁ λαός· Ἀμήν. Νῦν αἱ δυνάμεις τῶν οὐρανῶν, ὁ ἱερεὺς τὴν εὐχὴν ἀντὶ τοῦ Οὐδεὶς ἄξιος· „Ὁ ἐπισκεψάμενος ἡμᾶς“ (л. 64 об.)... Goar. pag. 171. Ὁ ἱερεὺς ἀποκαλύπτων τὰ ἅγια, ἀνάσχων τὴν νεφέλην τρίτην, ἐκφωνεῖ. Ὅτι σοῦ ἐστὶν ἡ βασιλεία (л. 67). Вмѣсто „Да исполнятся уста наша“, поютъ: „Εὐχαριστοῦμέν σοι, Χριστὲ ὁ Θεὸς ἡμῶν (л. 68 об.).

л. 70. Σαββάτῳ, т. е. чинъ великой вечерни на канунѣ воскресенья. Чинъ обычный.

л. 75. Εἰς τὴν ὑπεραγίαν Θεοτόκον. Подъ этою рубрикою стоитъ литійная ектенья: „Спаси, Боже, люди твоя“.

**X.** № 963. Τάξις καὶ ἀκολουθία, γινομένη ἐπὶ τελευτήσαντος κεκοιμημένου μοναχοῦ, рукопись Синайск. библ. въ 16 долю, 51 листъ, писана на пергаменѣ прекраснымъ четкимъ почеркомъ XII в.

Ἡνίκα τελευτήσῃ ὁ μοναχός, λούουσιν αὐτὸν ἀπὸ τῶν γονάτων καὶ τῶν κάτω, καὶ οὕτως ἀμφιέννουσιν αὐτὸν τὴν μοναχικὴν στολὴν καὶ τιθέασιν αὐτὸν ἐπὶ κλίνης, καὶ οὕτως προσκομίζεται ἐν τῷ νάρθηκι τῆς ἐκκλησίας, καὶ τιθέασιν αὐτὸν κατενώπιον τοῦ ἁγίου θυσιαστηρίου, καὶ ἅπτουσι ἐπάνω αὐτοῦ κηροὺς δύο, καὶ οὕτως ἄρχεται θυμιᾶν ὁ ἱερεὺς ἐπὶ τὸν προσκομισμένον νεκρόν, λέγων οὕτως· Εὐλογητὸς εἶ, Κύριε, δίδαξον, καὶ ἄρχεται στιχολογεῖν τὸ Ἄμωμον ἕως τέλους, καὶ εἶθ' οὕτως λέγει τὰ τροπάρια τοῦ Ἀμώμου. Ἐὰν δὲ ἐστὶν ἡγούμενος, ἢ πρεσβύτερος, ἢ διάκονος, ψάλλουσι καὶ τὸ ἑξάψαλμον καὶ Ἀλληλούια εἰς ἦχον β'. τρο-

πάριον· Μνήσθητι, Κύριε, ὡς ἀγαθός, τὸν δοῦλον, καὶ τὸ Ἐλέησόν με, ὁ Θεός, καὶ τὸν κανόνα, καὶ τὸ Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν, καὶ τὰ στιχηρὰ κατ' ἦχον, καὶ μετέπειτα οἱ μακαρισμοὶ καὶ ἀπόστολος καὶ εὐαγγέλιον, καὶ οὕτως κηδεύεται ὁ νεκρός.

Τὰ τροπάρια τοῦ Ἀμώμου· Τῶν ἁγίων ὁ χορὸς εὗρε πηγὴν τῆς ζωῆς... и др. Διακονικὰ εἰς τὴν κηδείαν· Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τοῦ ἀειμνήστου ἀδελφοῦ ἡμῶν ὁ δεῖνα κοιμήσεως, ἀνέσεως καὶ μακαρίας μνήμης αὐτοῦ τοῦ Κυρίου... Ὑπὲρ τοῦ εὑρεῖν αὐτὸν μερίδα καὶ κλῆρον ἐν τῇ μελλούσῃ ζωῇ μετὰ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ... Ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτῷ πᾶν πλημμέλημα... Ὑπὲρ τοῦ εὑρεῖν αὐτὸν χάριν καὶ ἔλεος ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως... Ὅπως Κύριος ἡμῶν κατατάξῃ τὸ πνεῦμα αὐτοῦ.. Ὑπὲρ τοῦ εὑρεῖν αὐτὸν παῤῥησίαν εἰς τὴν εἴσοδον τῶν ἁγίων ἐν τῷ ἐπουρανίῳ θυσιαστηρίῳ τοῦ Κυρίου... Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας... Εἰρήνη πᾶσι. Τὰς κεφαλάς... Ὁ ἱερεὺς ἐπεύχεται· Ὁ Θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκός... Στιχηρά, ἦχος α'. προσόμοια. Πανεύφημοι μάρτυρες. Σοῦ, Σῶτερ, δεόμεθα... Στίχος· Κύριε ὁ Θεός μου, ἐπὶ σοὶ ἤλπισα, σῶσόν με. Οὐδεὶς ἀναμάρτητος... Στίχος· Τί δοθείη σοι καὶ τί προστεθείη... Ὑπὲρ τὰ ὁρώμενα... Στίχος· Τὰ βέλη τοῦ δυνατοῦ... Σταυρῷ σου γηθόμενος, σταυρῷ πεποιθὼς ὁ δοῦλός σου πρὸς σὲ μετέτη, φιλάνθρωπε...Δόξα καὶ νῦν, Χριστὸν ἐκδυσώπησον... Εὐχή· Κύριε, Κύριε τῶν θλιβομένων παραμυθία. Goar. p. 453. Στιχηρά, ἦχος β'. προσόμοια. Ὅτε ἐκ τοῦ ξύλου... Ῥώμην τοῦ θανάτου... Στίχος· Ἦρα τοὺς ὀφθαλμούς... Ἵνα τοὺς ἀνθρώπους κοινωνούς... Στίχος· Ἡ βοήθειά μου παρὰ Κυρίου... Σῶσαι τὸ σὸν πλάσμα, βουληθεὶς τῆς οἰκονομίας τὸ ὄντως βαθὺ μυστήριον χαίρων ἐξετέλεσας... Στίχος· Μὴ δῴη εἰς σάλον τὸν πόδα. Τρόμῳ τῷ φρικτῷ καὶ φοβερῷ... Δόξα καὶ νῦν, Φεῖσον καὶ μακαριότητος... Εὔας τῆς προμήτορος ἡ ἁγνή... Στιχηρά, ἦχος γ', προσόμοια. Τῷ τύπῳ τῷ σταυρῷ. Δοξάζω τὸν σταυρόν σου τὸν τίμιον... Στίχος· Εὐφράνθην ἐπὶ τοῖς... Ὁ μόνος ἐλεήμων... Στίχος· Ἑστῶτες ἦσαν. Ὑπνώσας ἐν τῷ τάφῳ... Δόξα καὶ νῦν, Λαμπάδα νοητήν... Στιχηρὰ ἦχος δ'. προσόμοια. Ἔδωκας σημεῖον. Ὄντως φοβερώτατον... Στίχος· Ἐπὶ τῷ νώτῳ μου.. Ὕπνος ἀναδέδεικται τῶν πιστευόντων... Στίχος· Μνήσθητι, Κύριε, τοῦ Δαβίδ... Σὺ δικαιοσύνη τε... Στίχος· Ὡς ὤμοσε τῷ Κυρίῳ ηὔξατο. Γένος τὸ ἀνθρώπινον πρὸς ἀφθαρσίαν ἀνόλεθρον ἐκ φθορᾶς ἀνακέκληται λουσάμενον αἵματι τῷ ἐκ τῆς σπλευρᾶς σου... Δόξα καὶ νῦν, Ῥήσεσιν ἑπόμενοι... Στιχηρὰ ἦχος πλ. α'. προσόμοια. Χαίροις ἀσκητικῶν ἀληθῶς. Αἴγλη τοῦ σοῦ προσώπου σου... Στίχος· Ἐκ βαθέων ἐκέκραξά σε. Ψάλλειν πανχαρμο-

σοδεύει, κρατῶν τὸ ἅγιον ποτήριον καὶ τὸν δίσκον. Καὶ μετὰ τοῦ ἀποτεθῆναι τὰ ἅγια εἰς τὴν ἁγίαν τράπεζαν, ἄρας τὸ κάλυμμα τοῦ δίσκου, τίθησιν εὐώνυμα, τὸ δὲ τοῦ ποτηρίου καλύπτει τὰ ἀμφότερα καὶ θυμιᾷ ταῦτα, λέγων· Πλήρωμα Πνεύματος ἁγίου. Ἀμήν. Καὶ ποιεῖ μετανοίας γ'. εὔχεται καθ' ἑαυτὸν καὶ εὐθύς· Πληρώσωμεν τὴν δέησιν... Во время „Достойно есть", ὁ ἱερεὺς μυστικῶς· Χαῖρε κεχαριτωμένη... Τῶν τιμίων ἀσωμάτων ἀρχαγγέλων καὶ ἐπουρανίων δυνάμεων... См. ниже въ Илит. ркп. № 719 той же библ. XIII в. Εἶτα (т. е. послѣ молитвы: Πρόσχες, Κύριε) προσκυνεῖ γ'. ψάλλων καὶ τὸ Βασιλεῦ οὐράνιε, καὶ μετὰ τοῦτο ἐπιχειρίζεται τὸ τίμιον σῶμα, καὶ ὑψοῖ αὐτό, καὶ ἐκφωνεῖ λέγων· Πρόσχωμεν. Τὰ ἅγια τοῖς ἁγίοις. Καὶ σταυρώνει ἐκ γ'. ἐπάνω τοῦ δίσκου, λέγων ἡσύχως· Ἅγιος ὁ Θεός... Καὶ μετὰ τοῦτο μελίζει αὐτὸ οὕτως· τὴν μὲν μίαν μερίδα θέτει ἐπάνω τοῦ δίσκου, λέγων· Εἰς τὸ ὄνομα τοῦ Πατρός, εἶτα τὴν ἑτέραν μερίδα θέτει εἰς τὴν κατωμερίαν τοῦ δίσκου, λέγων· Καὶ τοῦ Υἱοῦ· Καὶ τὴν ἑτέραν εἰς τὰ δεξιὰ μέρη τοῦ δίσκου, λέγων· Καὶ τοῦ ἁγίου Πνεύματος· τὴν δὲ ἑτέραν μερίδα εἰς τὰ ἀριστερὰ τοῦ δίσκου, λέγων· Νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας... Εἶτα ἄρας τὴν δεξιὰν μερίδα καὶ ἑνώνει αὐτὴν εἰς τὸ ποτήριον, λέγων· Πλήρωσον, Δέσποτα, τὸ ἅγιον ποτήριον. Λέγει· Πλήρωμα Πνεύματος ἁγίου. Ἀμήν. Εἶτα βάνει τὸ ζέον καὶ σταυρώνει αὐτὸ ὁ ἱερεὺς λέγων· Ζέσις Πνεύματος ἁγίου. Ἀμήν. Καὶ μετὰ τοῦτο μελίζει τὴν μερίδα τὴν κάτω, τοῦ Υἱοῦ, εἰς δύο, καὶ τὴν μὲν μίαν μερίδα θέτει ἐν τῇ δεξιᾷ χειρὶ αὐτοῦ καὶ ψάλλει ἡσύχως· Τοῦ δείπνου σου τοῦ μυστικοῦ. Καὶ οὕτως μεταλαμβάνει, λέγων· Μεταλαμβάνει ὁ δοῦλος τοῦ Θεοῦ ὁ δεῖνα τὸ τίμιον καὶ ἄχραντον σῶμα... εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον. Ὁμοίως καὶ ἐκ τοῦ ποτηρίου. Καὶ προσκυνεῖ ἐκ γ'. καὶ ἑνώνει ταῦτα ἐν τῷ ἁγίῳ ποτηρίῳ, εἶτα λαβὼν τὸ ποτήριον καὶ γυρίζει πρὸς τὸν λαόν, λέγει ἡσύχως· Μετὰ φόβου Θεοῦ καὶ πίστεως. Καὶ ἐκφωνεῖ καὶ λέγων· Προσέλθατε. Καὶ σταυρώνει τὸν λαόν· Ἀληθῶς Θεοῦ Υἱὸς ἦν οὗτος. Εἶτα στρέφει τὰ ἅγια ἐν τῇ ἁγίᾳ τραπέζῃ καὶ προσκυνεῖ ἐκ γ'. καὶ λέγει τὴν εὐχήν· Εὐχαριστοῦμέν σοι, Δέσποτα... Προσκυνεῖ γ'. εἶτα αἴρει τὰ ἅγια, λέγων μυστικῶς· Ὑψώθητι ἐπὶ τοὺς οὐρανούς... Εἶτα ἐκφωνεῖ· Πάντοτε νῦν... Καὶ ψάλλει ὁ λαός· Πληρωθήτω τὸ στόμα. Καὶ ἄρας τὰ ἅγια, θέτει εἰς τὴν ἁγίαν πρόθεσιν καὶ στραφεὶς διπλώνει τὸ εἱλητόν, λέγων· Ὀρθοὶ οἱ μεταλαβόντες... Предъ выходомъ изъ церкви священникъ говоритъ: Φυλάττοι ὁ Θεὸς τὴν ἁγίαν πίστιν τῶν... Δι' εὐχῶν τῶν ἁγίων... Καὶ μετὰ τοῦ τελειῶναι τὰ ἅγια, ἀπονίπτεται λέγων· Νῦν ἀπολύεις... Καὶ λέγει

ἀπολυτίκιον τοῦ ἁγίου καὶ κοντάκιον τούτου μυστικῶς καὶ εὐχήν, καὶ εὐγένει ἔξωθεν τοῦ βήματος, καὶ προσκυνεῖ τὴν εἰκόνα καὶ τὸν λαόν, καθέζεται.

Чинъ литургіи преждеосвященныхъ даровъ.

Читается εὐχὴ τῆς προθέσεως· Ὁ Θεὸς ὁ Θεὸς ἡμῶν, ὁ ὑποδείξας τὸ μέγα τοῦτο τῆς σωτηρίας μυστήριον... Перваго антифона молитва нынѣшняя вторая, а на второмъ мѣстѣ стоитъ первая молитва.

**XVI**. № 730. Илитарій Патмосск. библ. на пергаменѣ съ чинами хиротоній и литургіи св. І. Златоуста. Для опредѣленія времени написанія Илитарія имѣетъ значеніе слѣдующее прошеніе: Ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν Θεοδοσίου, πατριάρχου Θεοῦ πόλεως μεγάλης Ἀντιοχείας καὶ πάσης ἀνατολῆς... Это прошеніе находится во всѣхъ чинахъ. Упоминаемый патріархъ есть никто иной, какъ *Θеодосій Принкепсъ* (1261—1283), такъ какъ другого патріарха съ именемъ Θеодосія на антіохійскомъ престолѣ за XIII и XIV столѣтія мы не знаемъ. Слѣдовательно, рукопись писана во второй половинѣ XIII вѣка.

Τάξις, γινομένη ἐπὶ χειροτονίᾳ ἀναγνώστου καὶ ψάλτου. Goar. p. 194.

Τάξις, γινομένη ἐπὶ χειροτονίᾳ ὑποδιακόνου. p. 204. Crypt.-ferrat. cod. Bessar.

Τάξις, γινομένη ἐπὶ χειροτονίᾳ διακόνου. p. 210.

Τάξις, γινομένη ἐπὶ χειροτονίᾳ πρεσβυτέρου p. 244.

Τάξις, γινομένη ἐπὶ χειροτονίᾳ ἐπισκόπου p. 249—251.

Ἀκολουθία τῶν ἁγίων Θεοφανίων.

Послѣдованіе начинается прямо ектеньею, безъ выхода, безъ стихиръ и паремій

Εὐχή, λεγομένη εἰς τὸ ὕδωρ τῶν ἁγίων Θεοφανίων· λεγομένη ἐν τῇ φιάλῃ τοῦ μεσαύλου.

Ὁ Θεὸς ὁ Θεὸς ἡμῶν, ὁ τὸ πικρὸν ὕδωρ ἐπὶ Μωϋσέως τῷ λαῷ εἰς γλυκύτητα μεταποιήσας p. 363.

Молитвы литургіи св. Іоанна Златоуста.

**XVII**. № 105. Εὐχολόγιον Патмосск. библ. ркп. въ 8 долю листа, 141[1]) листъ, писана на пергаменѣ скорописью XIII вѣка (по Саккеліону). Для опредѣленія времени написанія могутъ быть приняты въ соо-

---

[1]) Саккеліонъ считаетъ въ рукописи 167 листовъ, исключая 14 листовъ вставочныхъ, писанныхъ на бумагѣ.

браженіе и слѣдующія данныя, заключающіяся въ самой рукописи Въ сугубой ектеньи мы находимъ слѣдующее прошеніе: Ὑπὲρ τῶν ἐν εὐσεβεῖ τῇ μνήμῃ γενομένων βασιλέων ἡμῶν Ἀλεξίου, Ἰωάννου, Ἀλεξίου, Ματθαίου μοναχοῦ καὶ Ἀλεξίου κοιμήσεως, αἰνέσεως καὶ μακαρίας μνήμης αὐτῶν εἴπωμεν (л. 9 об.). Есть здѣсь прошеніе за упокой: Ὑπὲρ τοῦ δούλου τοῦ Θεοῦ Ἰακώβου μοναχοῦ κοιμήσεως, αἰνέσεως καὶ μακαρίας μνήμης εἴπωμεν. Въ молитвѣ, во время пѣнія „Достойно есть", поминается имя τοῦ ὁσίου πατρὸς ἡμῶν Μελετίου τοῦ νέου (л. 23). Подъ Алексѣемъ нужно разумѣть императора византійскаго *Алексѣя I Комнена* (1081—1118), подъ Іоанномъ—*Іоанна II* (*Кало-Іоаннъ*) *Комнена* (1118—1143), подъ Алексѣемъ—*Алексѣя II Комнена* (1180—1183), подъ Матѳеемъ монахомъ—Мануила Комнена (1143—1180) и подъ Алексѣемъ—Алексѣя III Ангела (1195—1203). Слѣдовательно, рукопись написана въ первой половинѣ XIII вѣка.

л. 1. Διακονικὰ τοῦ βαπτίσματος.

Здѣсь указываются ектенья и молитва освященія воды, при совершеніи таинства крещенія.

л. 4. Двѣ молитвы, приписанныя позднѣйшею рукою: Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐλεήμων Θεὸς καὶ τοὺς ἐλεήμονας ἐλεῶν... и Εὐχὴ εἰς ἀδελφοποίησιν· Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν ὁ ποιήσας τὸν ἄνθρωπον κατ' εἰκόνα σὴν καὶ ὁμοίωσιν, ὁ εὐδοκήσας τοὺς ἁγίους σου ἀποστόλους Φίλιππον καὶ Βαρθολομαῖον ἀδελφοὺς γενέσθαι. См. выше стр. 31—32.

л. 5. Ἡ θεία λειτουργία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου Καισαρείας.

Εὐχή, λεγομένη ἐν τῷ σκευοφυλακίῳ ἀποτιθεμένων τῶν ἄρτων· Ὁ Θεὸς ὁ Θεὸς ἡμῶν, ὁ τὸν οὐράνιον ἄρτον... Goar. p. 135. Сугубая ектенья значительно распространена и походитъ на сугубую ектенью литій. Εὐχὴ κατηχουμένων πρὸ τῆς ἁγίας ἀναφορᾶς τοῦ Μεγάλου Βασιλείου· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν οὐρανοῖς κατοικῶν... p. 138. Χρὴ γινώσκειν, ὅτι ἀπὸ τῆς δ'. μεσονηστίμου λέγεται ἡ διπλοκατηχουμένη... Εὐχὴ πιστῶν α'. τοῦ Μεγάλου Βασιλείου μετὰ τὸ ἁπλωθῆναι τὸ εἰλητόν· Σὺ Κύριε, κατέδειξας ἡμῖν... p. 138. Послѣ возгласа: Ἐξαιρέτως, ὁ διάκονος τὰ δίπτυχα τῶν θανόντων. Τῶν ἁγίων ἀσωμάτων Μιχαὴλ καὶ Γαβριὴλ καὶ πασῶν τῶν ἐπουρανίων δυνάμεων, τοῦ ἁγίου Ἰωάννου τοῦ προφήτου Προδρόμου καὶ βαπτιστοῦ, τῶν ἁγίων καὶ πα-

νευφήμων ἀποστόλων τῶν δώδεκα καὶ τῶν ἑβδομήκοντα, τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου, τοῦ ὁσίου πατρὸς ἡμῶν Μελετίου τοῦ νέου καὶ τοῦ ἁγίου τοῦδε, οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν... Ὑψώθητι ἐπὶ τοὺς οὐρανοὺς καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου. Λέγει τρίς. Δόξα τῷ πληροῦντι τὰ πάντα Θεῷ ἡμῶν πάντοτε. Καὶ εὐθὺς αἴρει τὰ ἅγια, λέγων· Νῦν καὶ ἀεί... Ὁ λαός· Πληρωθήτω τὸ στόμα ἡμῶν... Εὐχὴ ὀπισθάμβωνος [1]· Θυσίαν αἰνέσεως καὶ λατρείαν εὐάρεστον [2]) τὴν λογικὴν καὶ ἀναίμακτον θυσίαν προσδεχόμενος...

л. 31. Εὐχαὶ τοῦ λυχνικοῦ.

Ἤδη τοῦ διακόνου φορέσαντος καὶ τοῦ χαλκοῦ κρούσαντος, ἐξελθὼν ὁ διάκονος καὶ στὰς ἔμπροσθεν τοῦ ἱλαστηρίου, ποιήσας γ'. προσκυνήσεις, λέγει· Εὐλόγησον, δέσποτα, καὶ εὐθὺς ὁ ἱερεύς· Εὐλογημένη ἡ βασιλεία... Εἶτα ὁ ἐκκλησιάρχης· Δεῦτε προσκυνήσωμεν... Ὁ δὲ ἱερεὺς λέγει τὴν πρώτην εὐχὴν τοῦ ἀντιφώνου· Κύριε οἰκτίρμον καὶ ἐλεῆμον, μακρόθυμε καὶ πολυέλεε... Goar. p. 28. Ὁ διάκονος· Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν и т. д. вся великая ектенья. Послѣ возгласа ὁ λαός· Ἀμήν. Καὶ στραφεὶς ὁ ἱερεὺς σφραγίζει τὸν λαόν, λέγει· Εἰρήνη πᾶσιν. Ὁ λαός· Καὶ τῷ πνεύματί σου. Εἶτα λέγει ὁ ἱερεὺς τὴν εὐχὴν τοῦ ἀντιφώνου· Κύριε μὴ τῷ θυμῷ σου... p. 28. Ὁ διάκονος· Ἔτι καὶ ἔτι... Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας... Ὅτι σὸν τὸ κράτος... Εἰρήνη πᾶσιν. Εὐχὴ ἀντιφώνου γ'. Κύριε ὁ Θεὸς ἡμῶν, μνήσθητι ἡμῶν τῶν ἁμαρτωλῶν... p. 28. Ὁ διάκονος· Ἔτι καὶ ἔτι κ. τ. λ. Ὁ ἱερεύς· Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεός... Εἰρήνη πᾶσιν. Εὐχὴ πρὸ τοῦ Κύριε ἐκέκραξα· Ἑσπέρας καὶ πρωῒ καὶ μεσημβρίας... p. 31. Ὁ διάκονος· Ἔτι καὶ ἔτι κ. τ. λ. Ὁ ἱερεύς· Ὅτι πρέπει σοι πᾶσα δόξα... Εἰρήνη πᾶσιν. Εὐχὴ ἀπὸ τοῦ Ἐκ βαθέων ἐκέκραξα· Ὁ τοῖς ἀσιγήτοις ὕμνοις καὶ ἀπαύστοις δοξολογίαις [3])... p. 29. Εἶτα ἐξελθὼν θυμιᾷ τὸν λαόν, καὶ εἰς τὸ θεοτοκίον εἰσοδεύει μετὰ θυμιατοῦ, λέγει δὲ ἔνδον, κλίνει γόνυ, τὴν εὐχὴν ταύτην· Εὐλογημένη ἡ εἴσοδος τῶν ἁγίων σου, Κύριε, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι νῦν καὶ ἀεί... Ὅταν δὲ μέλλει εἰσελθεῖν ἐν τῷ βήματι, λέγει ὁ διάκονος· Σοφία, ὀρθοί. Εἶτα ὁ λαός· Φῶς ἱλαρόν. Ἐπὰν δὲ τοῦτο πληρωθῇ, λέγει ὁ διάκονος (ὁ ἱερεύς)· Εἰρήνη πᾶσιν. Ὁ διάκονος· Σοφία. Εἶτα τὸ προκείμενον. Τούτου τελεσθέντος, εἰ μὲν ὦσι προφητεῖαι, λέγονται, εἰ δ' οὐκ εἰσί, λέγει ὁ

[1]) Въ Илитаріѣ XIII в. тойже библ. № 712 эта молитва надписывается такъ: Εὐχὴ ὀπισθάμβωνος τοῦ Μεγάλου Βασιλείου. [2]) Тамъ же ἀπρόσδεκτον. [3]) Возгласа нѣтъ.

διάκονος τὴν ἐκτενήν, ὄντος τοῦ ἱερέως ἐν τῷ βήματι· Εἴπωμεν πάντες... Ὁ λαός· Κύριε ἐλέησον. Ἐξ ὅλης ψυχῆς... Κύριε παντοκράτωρ... Ἐλέησον ἡμᾶς κατὰ τὸ μέγα ἔλεος.. Καὶ τοῦ λαοῦ λέγοντος τὸ Κύριε ἐλέησον, ὁ ἱερεὺς λέγει τὴν εὐχὴν τῆς ἐκτενοῦς· Κύριε ὁ Θεὸς ἡμῶν, τὴν ἐκτενῆ ταύτην ἱκεσίαν... Goar. p. 56. Ὁ διάκονος· Ἔτι δεόμεθα ὑπὲρ τοῦ ἵλεων, εὐμενῆ καὶ εὐδιάλλακτον γενέσθαι τὸν φιλάνθρωπον Θεὸν ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν... Ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων ἡμῶν βαλέων κράτους, νίκης, διαμονῆς... Ὑπὲρ τοῦ δούλου τοῦ Θεοῦ τοῦδε καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος ὑγείας, σωτηρίας... Ἐ ν τ α ῦ θ α μ ν η μ ο ν ε ύ ε ι ς ζ ῶ ν τ α ς, ο ὓ ς θ έ λ ε ι ς. Ὑπὲρ ὑγείας, σωτηρίας καὶ ἀφέσεως τῶν ἁμαρτιῶν πάντων... Ὑπὲρ τῶν εὐσεβεῖ τῇ μνήμῃ γενομένων βασιλέων ἡμῶν... Ὑπὲρ τῶν προαναπαυσαμένων πατέρων, ἡγουμένων καὶ ἀδελφῶν... Ἔτι δεόμεθα ὑπὲρ τῶν ἀπολειφθέντων καὶ ἐν ἀποδημίαις ὄντων, ἰάσεως τῶν ἐν ἀσθενείαις κατακειμένων, ὑπὲρ κοιμήσεως ἀνέσεως καὶ μακαρίας μνήμης, ἀφέσεως ἁμαρτιῶν πάντων τῶν προκεκοιμημένων... Conf. Goar. p. 32—33. Εἶτα λέγει ὁ ἱερεὺς τὴν ἐκφώνησιν· Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις... Εἶτα Καταξίωσον, Κύριε, καὶ εὐθὺς ὁ διάκονος τὴν συναπτήν· Πληρώσωμεν τὴν δέησιν... Ὁ ἱερεὺς λέγει τὴν εὐχὴν ταύτην. Ε ὐ χ ὴ μ ε τ ὰ τ ὸ Κ α τ α ξ ί ω σ ο ν· Ὁ Θεὸς ὁ μέγας καὶ ὕψιστος, ὁ μόνος ἔχων ἀθανασίαν. Goar. p. 29. Πληρώσωμεν τὴν ἑσπερινὴν δέησιν κ. τ. λ. Ὁ ἱερεὺς ἐκφώνως· Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν... Εἰρήνη πᾶσιν. Ὁ διάκονος· Τὰς κεφαλὰς ἡμῶν... Ὁ ἱερεὺς τὴν εὐχήν· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ κλίνας οὐρανούς... Goar. p. 32. Ἐκφώνησις· Εἴη τὸ κράτος τῆς βασιλείας σου εὐλογημένον καὶ δεδοξασμένον τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας... Εὐχὴ τῆς ἀπολύσεως τῶν ἑσπερινῶν εὐχῶν· Ὑπεράγαθε Κύριε ὁ Θεὸς ἡμῶν, ὁ κλίνας τὴν ἡμέραν πρὸς ἑσπέραν καὶ δοὺς ἡμῖν ἐντρυφῆσαι τῆς περὶ πάντα διηκουμένης σοφίας σου·—Αὐτὸς Δέσποτα, πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὡς θυμίαμα ἐνώπιόν σου, καὶ μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ τῶν ἁμαρτιῶν ἡμῶν ὁ τῆς δικαιοσύνης σου ἥλιος, ἀλλ' ἄνες ἡμῖν καὶ συγχώρησον τῇ πρεσβείᾳ τῆς ὑπεραγίας Θεοτόκου καὶ πάντων τῶν ἁγίων σου, εἰρήνευσον τὴν ζωὴν ἡμῶν, εὐπρόσδεκτον ποίησον τὴν δέησιν ἡμῶν καὶ μνήσθητι πάντων τῶν ἀδελφῶν ἡμῶν καὶ τῆς βασιλείας σου πάντας ἡμᾶς καταξίωσον. Слич. выше стр. 25. Μετὰ τὸ ἀπολυτίκιον λέγει ὁ διάκονος· Σοφία. Ὁ λαός· Εὐλογητὸς ἅγιος. Ὁ ἱερεύς· Ὁ ὢν εὐλογητὸς Χριστὸς ὁ Θεὸς πάντοτε. Ε ὐ χ ὴ τ ῆ ς ἀ π ο λ ύ σ ε ω ς

τῶν ἀποδείπνων· Παντοκράτωρ Δέσποτα, ὁ τὸ μέτρον τῆς ἡμέρας συμπληρώσας καὶ τὸ σκότος θέμενος ἐπὶ συστάσει τῆς νυκτός, ἐν ᾗ τὴν τῆς σαρκὸς ἡμῶν ὁρίσας ἀνάπαυσιν, πάριδε καὶ παραχώρησον τὰ πλημμεληθέντα ἡμῖν ἑκουσίως ἢ ἀκουσίως κατά τε νοῦν καὶ λόγον καὶ πρᾶξιν, καὶ μνήσθητι τῶν ἁπάντων ἀδελφῶν ἡμῶν πρεσβείαις τῆς ὑπεραγίας Θεοτόκου καὶ πάντων σου τῶν ἁγίων, χαριζόμενος ἡμῖν ὕπνον φαντασιῶν πονηρῶν ἐλεύθερον, ἐννοιῶν ἀγαθῶν ἐμπεπλησμένον τῇ θείᾳ σου χάριτι, ἵνα, ὑπνώσαντες ἐν εἰρήνῃ καὶ ἀναστάντες ἐν ἀγαλλιάσει, τὴν ὀφειλομένην σοι εὐχαριστίαν ἀναπέμψωμεν τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

л. 37 об. Εὐχαὶ ἑωθιναί.

Ἀπὸ τοῦ ἑξαψάλμου τὰ γραφήσαντα διακονικὰ τὸ ἑσπέρας, μετὰ γοῦν τὴν κάταρξιν τοῦ Θεὸς Κύριος, εὐθὺς λέγει τὰς εὐχὰς ὁ ἱερεύς· Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς ἡμῶν, τῷ ἐξαναστήσαντι ἡμᾶς... Goar. p. 39. Εὐχὴ ἀντιφώνου δευτέρου· Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμα ἡμῶν πρὸς σὲ ὁ Θεός... p. 39. Εὐχὴ ἀντιφώνου τρίτου· Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμα ἡμῶν πρὸς σὲ ὁ Θεός, διότι φῶς τὰ προστάγματά σου... p. 40. Εἰρήνη πᾶσιν. Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ... Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας... Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις... Εἰρήνη πᾶσι. Μετὰ δὲ τοὺς ἀναβαθμοὺς καὶ τὸ προκείμενον, λέγει ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν. Ὁ ἱερεύς· Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν... Εἶτα λέγει τὸ Πᾶσα πνοή... Λεγομένου δέ, λέγει ὁ ἱερεὺς τὴν εὐχὴν τοῦ εὐαγγελίου· Ἔλλαμψον ἐν ταῖς καρδίαις ἡμῶν, Δέσποτα... p. 41. Ἐκφώνησις λέγεται ἀπὸ τοῦ β'. καθίσματος· Ὅτι σὺ εἶ ὁ φωτισμὸς καὶ ἁγιασμός, καὶ σωτὴρ τῶν ψυχῶν ἡμῶν καὶ σοὶ τὴν δόξαν... Μετὰ γοῦν τὴν ἐκφώνησιν, τὸ Πᾶσα πνοή, τὸ εὐαγγέλιον, καὶ ὁ Ν'. μεθ' ὅ, ψαλλομένου τοῦ πεντηκοστοῦ, λέγει ὁ ἱερεὺς τὴν εὐχὴν τοῦ πεντηκοστοῦ· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὴν διὰ μετανοίας ἄφεσιν... p. 42. Ἐκφώνησις· Ἐλέει καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ... Εὐχὴ ἀπὸ γ'. ᾠδῆς· Δέσποτα ὁ Θεὸς ὁ ἅγιος καὶ ἀκατάληπτος, ὁ εἰπὼν ἐκ σκότους φῶς λάμψαι... p. 40. Ὁ διάκονος· Ἔτι καὶ ἔτι κ. τ. λ. Ὅτι Θεὸς ἐλέους καὶ οἰκτιρμῶν ὑπάρχεις καὶ σοὶ τὴν δόξαν... Εἰρήνη πᾶσιν. Εὐχὴ ἀπὸ ς'. ᾠδῆς· Ἀγαθῶν θησαυρὲ πηγῆς ἀεννάου, Πάτερ ἅγιε... p. 40. Ἔτι καὶ ἔτι κ. τ. λ. Σὺ γὰρ εἶ ὁ βασιλεὺς τῆς εἰρήνης καὶ σωτὴρ τῶν ψυχῶν ἡμῶν... Εὐχὴ ἀπὸ θ'. ᾠδῆς· Ὁ Θεὸς ὁ Θεὸς ἡμῶν, ὁ τὰς νοερὰς καὶ λογικὰς ὑποστησάμενος δυνάμεις... pag. 42. Ἔτι καὶ ἔτι κ. τ. λ. Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις τῶν οὐρανῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν... Εἰρήνη πᾶ-

σι. Καὶ εὐθὺς ὁ ἱερεὺς πάλιν· Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν. Ὁ λαὸς τὸ αὐτό. Εἶτα λέγει ὁ ἱερεὺς στίχον α'. Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν. Καὶ πάλιν ὁ λαός· Ἅγιος Κύριος... Εἶτα στίχος β'. Καὶ ἐπὶ πάντας τοὺς λαούς. Καὶ πάλιν· Ἅγιος Κύριος. Ὁ λαὸς τὸ τέλος αὐτοῦ, εἶτα καὶ ὁ ἱερεύς, εἶτα οἱ αἶνοι. Εὐχὴ τοῦ Δόξα ἐν ὑψίστοις Θεῷ· Αἰνοῦμεν καὶ ὑμνοῦμεν, καὶ εὐλογοῦμεν, καὶ δοξάζομεν καὶ εὐχαριστοῦμέν σοι, ὁ Θεός... p. 42. Πληρουμένου δὲ τοῦ Δόξα ἐν ὑψίστοις Θεῷ, λέγει ὁ διάκονος· Πληρώσωμεν τὴν ἑωθινὴν δέησιν... κ. τ. λ. Εἰρήνη πᾶσι. Τὰς κεφαλὰς ὑμῶν. Ὁ ἱερεὺς κλινόμενος εὔχεται· Κύριε ἅγιε, ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ τῷ παντεφόρῳ ὄμματι ἐπιβλέπων ἐπὶ πᾶσαν τὴν κτίσιν. Goar. p. 44. Σὸν γάρ ἐστι τὸ ἐλεεῖν καὶ σώζειν ἡμᾶς. Εἶτα λέγει τοῦ στίχου τὰ στιχηρά, Δόξα καὶ νῦν. Εὐχὴ τῆς ἀπολύσεως· Δημιουργὲ τῶν ἁπάντων Κύριε, ὁ ἀνάγων ἡμᾶς ἀπὸ τῆς ἀναπαύσεως τῆς νυκτὸς καὶ τῇ δοξολογίᾳ στηρίξας καὶ φαιδρύνας, κλῖνον τὸ οὖς σου καὶ ἐπάκουσον ἡμῶν, μὴ λογιζόμενος τὰ παραπτώματα ἡμῶν ταῖς πρεσβείαις τῆς ὑπεραγίας Θεοτόκου καὶ πάντων σου τῶν ἁγίων, εἰρήνευσον τὴν ζωὴν ἡμῶν, εὐπρόσδεκτον ποίησον τὴν δέησιν ἡμῶν καὶ τῆς βασιλείας σου πάντας ἡμᾶς καταξίωσον, ὁ ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Μετὰ τὸ ἀπολυτίκιον ἡ ἐκτενή· Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεος. Ἐγράφησαν ὄπισθεν εἰς τὰς εὐχὰς τοῦ ἑσπερινοῦ. Μετὰ γοῦν τὴν πλήρωσιν τῆς ἐκτενῆς, ἐκφωνεῖ· Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεός... Ὁ διάκονος· Σοφία. Ὁ ἱερεύς· Εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν πάντοτε... καὶ ἀπόλυσις.

л. 44. Τῇ κυριακῇ τῆς ἁγίας Ν'. ἀκολουθία εἰς τὴν γονυκλισίαν.

На „Господи воззвахъ“ четыре стихиры: Τῶν ἀποστόλων χορός... Τοὺς ἀγραμμάτους μαθητάς... Γλώσσαις πυρίναις ἀπλανῶς... Διασπαρέντες ἐν τῇ γῇ... Ὁ ἱερεὺς τὴν α'. εὐχὴν εἰς ἐπήκοον· Ἄχραντε, ἀμίαντε, ἄναρχε... p. 597. Καὶ ἐπισυνάπτει τὴν πρώτην εὐχὴν τοῦ λυχνικοῦ· Εὐλογητὸς εἶ, Κύριε Δέσποτα... p. 598. Вторая молитва: Κύριε ὁ Θεὸς ἡμῶν ὁ τὴν σὴν εἰρήνην δεδωκώς... p 599. Κύριε, Κύριε, ὁ ῥυσάμενος ἡμᾶς ἀπὸ παντός... p. 600. Третья молитва и прибавочная къ ней, что у Goar. p. 600—602. Πληρώσωμεν τὴν ἑσπερινὴν δέησιν... κ. τ. λ. Καὶ ἐὰν ἐστὶ διάκονος, λέγει τὰ διακονικά, τὰ γραφέντα τρὶς καὶ τετράκις, ἕως οὗ ἐκτελέσῃ ὁ ἱερεὺς τὰς κάτωθεν γεγραμμένας εὐχάς, ἔπειτα λέγει τὴν ἐκφώνησιν, ἔπειτα λέγει τὴν εὐχὴν τῆς κεφαλοκλισίας, καὶ οὕτως ψάλλονται τὰ στιχηρά· μὴ ὄντος δὲ διακόνου, ἅμα τὸ εἰπεῖν ὁ ἱερεὺς τὰ διακονικὰ καὶ τὴν ἐκ-

φώνησιν, λέγει· Εἰρήνη πᾶσι. Τὰς κεφαλὰς ἡμῶν... καὶ λέγει τὴν εὐχὴν τῆς κεφαλοκλισίας, μετὰ δὲ τὴν εὐχὴν καὶ τὴν ἐκφώνησιν ψάλλονται τὰ στιχηρά. Ψαλλομένων δὲ τῶν στιχηρῶν λέγει τὰς εὐχὰς ταύτας ὁ ἱερεὺς τῆς ἀπολύσεως μυστικῶς· Σὸν ἀληθῶς καὶ μέγα ὄντως μυστήριον... Goar. p. 601—602. Ἐπισυνάπτει καὶ ταύτην μετὰ τῆς ἀπολύσεως· Ὁ Θεὸς ὁ μέγας καὶ ὕψιστος, ὁ μόνος ἔχων ἀθανασίαν... p. 602. Ἐκφώνησις· Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεός... Εἰρήνη πᾶσι. Τὰς κεφαλάς. Ὁ ἱερεὺς ἐπεύχεται μυστικῶς· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ κλίνας οὐρανούς. pag. 603. Εἴη τὸ κράτος τῆς βασιλείας σου... Стихиры на стиховнѣ, что нынѣ, но на Слава и нынѣ—„Царю небесный". Εἰς δὲ τὴν ἀπόλυσιν λέγει ὁ ἱερεύς· Ἡ χάρις καὶ ἡ βοήθεια τοῦ παναγίου καὶ ἀγαθοῦ καὶ ζωοποιοῦ Πνεύματος ἔσται μεθ' ἡμῶν πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας...

л. 57. Ἀκολουθία τοῦ ἁγιασμοῦ κατὰ μῆνα Αὔγουστον.

Ἄρχεται ὁ ἱερεὺς φορεμένος οὕτως· Εὐλογημένη ἡ βασιλεία... Καὶ εἶθ' οὕτως οἱ ψάλται ἄρχονται ψάλλειν τὰ τροπάρια ταῦτα ἀργὰ μεγάλ. ἦχος βαρύς· Ἅγιοι μάρτυρες οἱ καλῶς ἀθλήσαντες... Εἶτα μεγαλοφώνως ταῦτα, ἦχος πλ. β'. Ἡ τὸ χαῖρε... Ἀνυμνοῦμεν τὸν Υἱόν σου... Βασιλέων, προφητῶν... Τῇ γενῶν σὺ σωτηρία καὶ προστάτης πέλεις μόνον... Δὸς Χριστέ μου... Ἐπὶ σέ μου... Ζώωσόν με... Ἡ τὸν κτίστην... Θεοτόκε ἡ τεκοῦσα... Ἱλεών μοι... Κατὰ χρέως ἐκβοῶμέν σοι... Λύεις πάντων ὀφλημάτων, Θεοτόκε, τὰς σειράς μου, πανύμνητε Δέσποινα, τῷ πόθῳ, τῷ σῷ ναῷ νῦν προστρέχοντι. Μόνη ὄντως καὶ ἐν γῇ καὶ ἐν θαλάσσῃ ἀνεδείχθης ἁγνή, σκέπη ἄρρηκτος τῶν προστρεχόντων ἐν σοὶ ἀδιστάκτῳ ψυχῇ.—Νοσημάτων... Ξένον θαῦμα... Ὁ ναός σου... Παναγία Θεοτόκε... Ῥίζαν πλάνης οἱ ἀπόστολοι τεμῶντες πολυθέου, σὲ Θεὸν ἐκήρυττον, τὸν ἀναστάντα ἐκ τάφου τριήμερον.—Σῶσον πάντας... Τίς προστρέχων... Ὑπερτέρα τῶν πταισμάτων ὑπάρχεις, Παναγία, λιμένα σε ἔχομεν, ἐκ πάσης βλάβης ἐχθρῶν φυλαχθείημεν.—Φεῖσαι φεῖσαι, τοῦ λαοῦ σου, Θεοτόκε, τοὺς πιστῶς σε τιμῶντας, πανάχραντε, καὶ σῶσον ἡμᾶς ἁγία, θεόνυμφε.—Χαῖρε ὄρος... Ψάλλοντές σοι ἐκβοῶμέν σοι, τὸ χαῖρε μὴ παρίδῃς τοὺς δούλους σου, Δέσποινα, ἀλλὰ βοήθησον καὶ σῶσον, πανύμνητε.—Τὸν Πατέρα καὶ Υἱὸν δοξολογοῦμεν... Ὦ Παρθένε τῶν πενθούντων χαρμοσύνη, ἀπὸ ζάλης ἐχθρῶν ῥυομένη με, σεισμοῦ, λιμοῦ τε τοὺς δούλους σου φύλαττε. Εἶτα ἄρχεται ὁ ἱερεὺς τὰ διακονικά· Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῆς εἰρήνης.. Ὑπὲρ τοῦ ἁγίου οἴκου... Ὑπὲρ τοῦ ἁγιασθῆναι τὸ ὕδωρ τοῦτο δυνάμει... Ὑπὲρ τοῦ δωρηθῆναι αὐτῷ τὴν χάριν τῆς ἀπολυτρώσεως... Ὑπὲρ

τοῦ καταπεμφθῆναι τὸ Πνεῦμα τὸ ἅγιον ἐπ' αὐτὸ καὶ ἁγιᾶσαι, τοῦ Κυρίου... Ὑπὲρ τοῦ ἀνακαινῆσαι Κύριον τὸν Θεὸν ἡμῶν τὸ φῶς τῶν καρδιῶν ἡμῶν τοῦ... Ὑπὲρ τοῦ ἐπισκέψαι ἐξ οὐρανοῦ ἐφ' ἡμᾶς τὴν χάριν τοῦ ὑψίστου... Ὑπὲρ τῶν καρποφορούντων... Ὅπως ὁ Θεὸς ἡμῶν ἀναδείξῃ ἡμᾶς υἱοὺς καὶ κληρονόμους... Ὑπὲρ πάντων τῶν χρῃζόντων τῆς παρά σου... Ὑπὲρ τοῦ ῥυσθῆναι... Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας... Πρόσχωμεν. Ὁ δὲ ἱερεὺς τὰς εὐχὰς ταύτας· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ μέγας τῇ βουλῇ καὶ θαυμαστὸς τοῖς ἔργοις... Goar. p. 361. Καὶ τῶν ἁγίων καὶ δικαίων ἑπτὰ Μακκαβαίων, Ἐλεαζάρου ἱερέως καὶ Σολομονίδος, ὧν καὶ ἁγιασμὸς ἐν τῇ μνήμῃ αὐτῶν σήμερον ἐκτελεῖται. Καὶ εὐθὺς λέγει ταύτην τὴν εὐχὴν συνηγνωμένως· Ὁ Θεὸς ὁ μέγας καὶ μεγαλώνυμος, ὁ ποιῶν θαυμάσια πολλὰ ἔνδοξά τε καὶ ἀνεξιχνίαστα, ὧν οὐκ ἔστιν ἀριθμός, ἐλθέ, παρακαλούντων ἡμῶν, Δέσποτα Κύριε, καὶ κατάπεμψον τὸ Πνεῦμά σου τὸ ἅγιον ἐπὶ τὸ ὕδωρ τοῦτο, καὶ ἁγίασον τὸ διὰ τοῦ μονογενοῦς σου Υἱοῦ καὶ τοῦ παναγίου καὶ ζωοποιοῦ σου Πνεύματος, ὥστε γενέσθαι τοῖς μεταλαμβάνουσιν ἐξ αὐτοῦ εἰς παθῶν ἀπαλλαγήν, εἰς ἁμαρτημάτων ἄφεσιν, εἰς ἀπολύτρωσιν παντὸς ἐναντίου, εἰς ἔλεον καὶ οἰκτιρμοὺς τῆς σῆς ἀμέτρου φιλανθρωπίας. Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ... Εἰρήνη πᾶσιν. Ὁ διάκονος· Τὰς κεφαλὰς ἡμῶν. Κλῖνον, Κύριε, τὸ οὖς σου p. 362 καὶ ἐπισυνάπτει καὶ ταύτην τὴν εὐχήν· Ὁ Θεὸς ὁ Θεὸς ἡμῶν, ὁ τὸ πικρὸν ὕδωρ ἐπὶ Μωϋσέως... p. 363. Καὶ εὐθὺς ῥαίνει εἰς τὸ ἁγίασμα ἐπὶ τὸν λαὸν μετὰ τοῦ βαπτίσαι τὸν τίμιον σταυρόν, ἢ τὸ ἅγιον πνεῦμα[1]), ψάλλοντες τὸ Σῶσον, Κύριε, τὸν λαόν σου. Εἶτα παρέρχεται τὸ μοναστήριον, ἁγιάζων μετὰ τοῦ σταυροῦ καὶ τοῦ ἁγιάσματος, μετὰ δὲ τὸ ὑποστραφῆναι, γίνεται μικρὰ ἐκτενὴ καὶ ἀπολύει.

л. 63. Ἀκολουθία τῶν ἁγίων Θεοφανίων.

Μετὰ τὸ εἰπεῖν ὁ ἱερεὺς τὴν ὀπισθάμβωνον, οὐ λέγομεν τὸ Εἴη τὸ ὄνομα... ἀλλὰ εὐθὺς ἀπάρχεται ὁ ἱερεὺς τροπάριον, ἦχος πλ. δ'. Φωνὴ Κυρίου... Καὶ τοῦτο ψάλλοντες δὶς καὶ τρίς, ἐξερχόμεθα ἐν τῇ φιάλῃ, καὶ δίδοται· Σοφία, καὶ λέγει ἀναγνώσματα τρία τῆς προφητείας. Μετὰ δὲ τὴν πλήρωσιν τῶν ἀναγνωσμάτων, ποιεῖ ὁ διάκονος συναπτήν· Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῆς εἰρήνης... Ὑπὲρ τοῦ ἁγίου οἴκου... Ὑπὲρ τῆς ἁγίας μονῆς... Ὑπὲρ τοῦ καταπεμφθῆναι ἄγγελον Κυρίου καὶ ἁγιᾶσαι τὸ ὕδωρ τοῦτο τῇ ἐπιφοιτήσει καὶ ἐνεργείᾳ τοῦ ἁγίου Πνεύματος τοῦ... Ὑπὲρ τοῦ γενέσθαι ὑατὸ λυτήριον πταισμάτων... Ὑπὲρ τοῦ καταπεμφθῆναι τοῖς ὕδασι τούτοις τὴν χάριν τῆς ἀπολυτρώσεως τὴν εὐ-

[1]) Разумѣется деревянное или металическое подобіе голубя.

λογίαν τοῦ Ἰορδάνου τοῦ... Ὑπὲρ τοῦ φωτισθῆναι ἡμᾶς τῇ μεταλήψει τῶν ἁγίων ὑδάτων τοῦ... Ὑπὲρ τοῦ καταφοιτῆσαι τοῖς ὕδασι... Ὑπὲρ τοῦ ἁγιασθῆναι τὰ ὕδατα ταῦτα τῇ ἐπιφοιτήσει τοῦ ἁγίου Πνεύματος καὶ ἀναδειχθῆναι, ὡς τὰ Ἰορδάνεια ῥεῖθρα τοῦ... Ὑπὲρ τοῦ γενέσθαι αὐτὰ ἀφθαρσίας πηγήν, ἁγιασμοῦ δῶρον, ἁμαρτημάτων λυτήριον, νοσημάτων ἀλεξητήριον, πάσης ὁρατῆς καὶ ἀοράτου δυνάμεως καὶ ἐπιβουλῆς ἀποτρόπαιον τοῦ... Ὑπὲρ τοῦ γενέσθαι αὐτὰ φυλακτήριον καὶ ἁγιασμὸν οἴκων καὶ πρὸς πᾶσαν ὠφέλειαν ἐπιτήδειον τοῦ... Ὑπὲρ τοῦ γενέσθαι αὐτὰ τοῖς χριομένοις ἐξ αὐτῶν πίστει καὶ μεταλαμβάνουσιν εἰς καθαρισμὸν μολυσμοῦ σαρκὸς καὶ πνεύματος τοῦ.. Ὑπὲρ τῶν ἀντλούντων καὶ ἀρυομένων εἰς ἁγιασμὸν ψυχῶν καὶ σωμάτων τοῦ Κυρίου... Ὑπὲρ τοῦ ῥυσθῆναι... Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας... Αὐτῆς δὲ τῆς συναπτῆς ὑπὸ διακόνου λεγομένης, ὁ ἱερεὺς ἐπεύχεται μυστικῶς· Κύριε Ἰησοῦ Χριστέ, ὁ μονογενὴς Υἱός... Молитвы, что у Гоара р. 368—371, но безъ молитвы патріарха Софронія. Εἶτα ταῖς χερσὶ λαβὼν τὸν σταυρὸν βαπτίζει, ἐκφωνῶν οὕτως· Σὺ γὰρ εἶ ὁ ἁγιασμὸς ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρί... Καὶ τοῦ ἱερέως ῥαντίζοντος τὸν λαὸν τῷ ἁγίῳ ὕδατι, ἄρχονται οἱ ψάλται τροπάριον, ἦχος α΄. Ἐν Ἰορδάνῃ βαπτιζομένου... Καὶ τούτου ψαλλομένου ἐκ τρίτου, ἢ μᾶλλον εἰπεῖν, καὶ πολλάκις, διὰ τὸ πληρῶσαι τὸν ἁγιασμὸν ἐν τῇ φιάλῃ, εἰσελθόντος ἐν τῷ ναῷ, ἄρχονται ἕτερον τροπάριον, ἦχος δ΄. Σήμερον Τριὰς ἐν μονάδι... Εἶτα γίνεται ἡ ἐκτενή· Ἐλέησον ἡμᾶς... Ὅτι ἐλεήμων... Εἶτα δίδοται ἡ εὐλογία, λεγόντων ἡμῶν τὸ Εὐλογήσω τὸν Κύριον, καὶ ἀπολύει.

л. 68. Εὐχὴ εἰς τεκνοποίησιν.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ διὰ τοῦ ἠγαπημένου παιδός σου, Κυρίου δὲ ἡμῶν Ἰησοῦ Χριστοῦ, τέκνα Θεοῦ καλέσας ἡμᾶς... Goar. p. 561.

л. 68 об. Εὐχὴ εἰς γυναῖκα λεχοῦσαν, μέλλουσαν ἔρχεσθαι ἐν τῇ ἐκκλησίᾳ μετὰ τὴν συμπλήρωσιν τῶν μ΄. ἡμερῶν.

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ παραγενόμενος ἐπὶ σωτηρίᾳ. Goar. p. 267.

л. 69. Εὐχὴ εἰς τὸ ἐκκλησιᾶσαι παιδίον.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν τεσσαράκοντα ἡμέραις ταῖς τοῦ νόμου εἰς τὸ ἱερὸν ἀνελθών... Прилож. къ „Богосл. въ русск. ц. въ XVI в.“ стр. 19.

Послѣ троекратнаго сочетаванія со Христомъ и поклоненія Ему, священникъ читаетъ молитву:[1]) Δέσποτα ὁ Θεός, προσκάλεσαι τὸν δοῦ-

---

[1]) Такъ какъ чинъ изложенъ кратко въ рукописи, то сдѣлана вставка, написанная на 8 бумажныхъ листахъ почеркомъ конца XVI

λόν σου πρὸς τὸ ἅγιον βάπτισμα... p. 281 и молитву на постриженіе.

л. 83. Εὐχὴ εἰς τὸ ἀποκουρεῦσαι παιδίον... Goar. p. 306, но постриженіе совершается послѣ первой молитвы.

л. 84 Τάξις γινομένη, εἰ συμβῇ μιαρὸν ἢ ἀκάθαρτον ἐμπεσεῖν ἔν τινι προσφάτως εἰς ἀγγεῖον οἴνου ἢ ἐλαίου.

л. 85 об. Εὐχὴ εἰς σκεῦος μιανθέν.

л. 86. Εὐχὴ ἐπὶ φρέατος μιανθέντος.

л. 86 об. Εὐχὴ ἐπὶ μιαροφαγησάντων.

л. 87. Εὐχὴ εἰς ἀρχὴν σπόρου.

л. 87 об. Εὐχὴ ἐπὶ θέρους.

л. 88. Εὐχὴ ἐπὶ τρύγης καὶ εἰς εὐλογίαν βουτίου.

л. 88 об. Εὐχὴ ἐπὶ θεμελίου ἐκκλησίας.

л. 89. Εὐχὴ ἐπὶ θεμελίου οἴκου.

л. 89 об. Εὐχὴ ἐπὶ εὐλογίαν οἴκου.

— Εὐχὴ ἐπὶ ἀνομβρίας.

л. 90. Εὐχὴ ἐπὶ προσφερόντων ἀπαρχάς.

л. 90 об. Εὐχὴ ἐπὶ σεισμοῦ.

л. 100. Εὐχὴ ἐπὶ ἀποδημούντων.

л. 100 об. Εὐχὴ ἐπὶ τῶν ἐν ἐπιτιμίοις ὄντων.

л. 101. Εὐχὴ ἐπὶ φυτευομένου ἀμπελῶνος.

л. 101 об. Εὐχὴ εἰς τὸ εὐλογῆσαι δίκτυα.

— Εὐχὴ εἰς πλοῖον.

л. 102. Εὐχὴ εἰς ὕπνον τῶν ἁγίων ἑπτὰ παίδων εἰς τοὺς ἀσθενοῦντας καὶ μὴ ὑπνοῦντας.

л. 103 об. Апостольскія и евангельскія чтенія (различнымъ) общимъ святымъ.

л. 112. Утреннія воскресныя евангелія, начиная съ конца третьяго.

л. 120. Ἀκολουθία εἰς μνῆστρα.

Кольца для обрученія употребляются серебрянное (ἀργυροῦν), или золотое (χρυσὸν), или желѣзное (σιδηροῦν). Чинъ состоитъ изъ краткой великой ектетьи и двухъ первыхъ молитвъ нынѣшняго чина Goar. p. 311, при чемъ обрученіе совершается послѣ первой молитвы. Поцѣлуемъ жениха невѣстѣ чинъ оканчивается.

---

или начала XVII вѣка, съ подробнымъ изложеніемъ чина крещенія, который, впрочемъ, ничего особенно интереснаго не заключаетъ въ себѣ.

л. 121. Ἀκολουθία εἰς εὐλόγησιν γάμου.

Εἰσέρχονται εἰς τὸν ναὸν οἱ συναπτόμενοι, καὶ θυμιῶν ὁ ἱερεὺς ποιεῖ τὴν ἀρχήν· Εὐλόγησον, δέσποτα. Εὐλογημένη ἡ βασιλεία... Καὶ ψάλλουσι τὸν ρκζ'. ψαλμόν. Καὶ τούτου ᾀδομένου, ἐξέρχεται ὁ ἱερεὺς εἰς τοὺς νυμφίους καὶ θυμιᾷ τούτους, καὶ δοξάζουσιν οἱ ψάλται, εἰσοδεύοντος τοῦ ἱερέως, ἀκολουθούντων τῶν νυμφίων ἄχρι τῶν ἁγίων θυρῶν, καὶ παρίστανται ὁ μὲν ἀνὴρ εἰς τὸ δεξιὸν μέρος, ἡ δὲ γυνὴ εἰς τὸ ἀριστερόν, καὶ ἐπιδίδει αὐτοῖς ὁ ἱερεὺς κηρία ἅπτοντα πρὸς ἕνα, καὶ λέγει τὴν συναπτήν· Ἐν εἰρήνῃ.. Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῆς εἰρήνης... Ὑπὲρ τοῦ ἁγίου οἴκου... Ὑπὲρ πάσης ἐπισκοπῆς... Ὑπὲρ τῶν εὐσεβεστάτων... Ὑπὲρ τοῦ συμπολεμῆσαι... Ὑπὲρ τῆς πόλεως... Ὑπὲρ εὐκρασίας... Ὑπὲρ πλεόντων... Ὑπὲρ τῶν συναπτομένων... Ὑπὲρ τῶν δούλων τοῦ Θεοῦ ὁ δεῖνα καὶ ἡ δεῖνα καὶ τῆς ἐν Χριστῷ συζεύξεως αὐτῶν τοῦ... Ὑπὲρ τοῦ εὐλογηθῆναι τὸν γάμον τοῦτον... Ὅπως Κύριος ὁ Θεὸς ἡμῶν χαρίσηται αὐτοῖς τίμιον τὸν γάμον... Ὑπὲρ τοῦ εὐφρανθῆναι αὐτούς... Ὑπὲρ τοῦ παρασχεθῆναι αὐτοῖς... Ὑπὲρ τοῦ ῥυσθῆναι... Ἀντιλαβοῦ, σῶσον... Καὶ στραφεὶς ὁ ἱερεὺς σφραγίζει τὰς κεφαλὰς τῶν συναπτομένων καὶ λέγει· Πρόσχωμεν. Ὁ Θεὸς ὁ ἅγιος, ὁ πλάσας τὸν ἄνθρωπον... р. 317. Καὶ στεφανοῖ πρῶτον τὸν ἄνδρα, λέγων· Στέφεται ὁ δοῦλος τοῦ Θεοῦ ὁ δεῖνα εἰς τὸ ὄνομα τοῦ Πατρός... Κύριε ὁ Θεὸς ἡμῶν, δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτὸν καὶ ἔθηκας ἐπὶ τὴν κεφαλὴν αὐτοῦ... εἰς αἰῶνα αἰῶνος. Εἶτα στεφανοῖ καὶ τὴν γυναῖκα, λέγων· Στέφεται ἡ δούλη τοῦ Θεοῦ ἡ δεῖνα и т. д.[1]) καὶ συμπλέκων τὰς δεξιὰς αὐτῶν χεῖρας, λέγει ὁ ἱερεύς· Παράλαβε αὐτὴν ἐκ ναοῦ Κυρίου. Καὶ αὖθις σφραγίζει τὰς κεφαλὰς αὐτῶν ἐκ γ'. λέγων οὕτως· Ὁ Πατὴρ εὐλογεῖ, ὁ Υἱὸς στεφανοῖ, τὸ Πνεῦμα τὸ ἅγιον ἁγιάζει. Καὶ λέγει ὁ ἱερεύς· Εἰρήνη πᾶσι. Τὰς κεφαλάς. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν σωτηριώδει... р. 318. Послѣ „Отче нашъ" ὁ ἱερεύς· Πρόσχωμεν. Τὰ προηγιασμένα ἅγια τοῖς ἁγίοις... Ὁ λαός· Εἷς ἅγιος... Κοινωνικόν· Ποτήριον σωτηρίου. Καὶ μετὰ τὸ ψάλλειν αὐτό, λέγει· Δόξῃ καὶ τιμῇ... Καὶ μεταδίδει ἀμφοτέροις τοῦ τιμίου σώματος καὶ αἵματος, καὶ πάλιν ἐκ τοῦ κοινοῦ ποτηρίου πρῶτον πίνειν τὸν ἄνδρα, δεύτερον καὶ τὴν γυναῖκα, τρίτον καὶ πάλιν τὸν ἄνδρα ὅλον. Εὐχὴ τοῦ ποτηρίου[2])· Ὁ Θεός, ὁ πάντα ποιήσας... р. 319. Καὶ μετὰ τὸ ποτίσαι

[1]) Тоюже рукою, что выше, написаны апостолъ и евангеліе на вставочномъ листѣ. [2]) Здѣсь четыре вставочныхъ листа изъ другаго чина брака тойже руки. Чинъ иной редакціи.

αὐτούς, λέγει ὁ ἱερεὺς οὕτως· Ὁ τὸ δωδεκάφυλον τοῦ Ἰσραὴλ εὐλογήσας, Αὐτὸς ἕνωσον καὶ διαφύλαξον τοὺς δούλους σου τούτους ἀπὸ πάσης ἐπηρείας τοῦ πονηροῦ. Καὶ μετὰ τὸ εἰπεῖν αὐτό,τζακίζει τὸ ποτήριον ὁ ἱερεὺς λέγει· Ζῆς, νεόγαμε, ἡ Τριὰς ἡ ἁγία φυλάξει σε. Εἶτα ἀναλαμβάνει ὁ ἱερεὺς τὰ κηρία ἐκ τῶν χειρῶν αὐτῶν καὶ ἐπιδίδει αὐτὰ τινὶ τῷ πορεύεσθαι ἔμπροσθεν αὐτῶν. Καὶ εὐθὺς ἐκφωνεῖ· Ἐν εἰρήνῃ προέλθωμεν. Τοῦ Κυρίου δεηθῶμεν. Καὶ σφραγίζει αὐτοὺς ὁ ἱερεύς, λέγων οὕτως· Χαίρετε ἐν Κυρίῳ... *Красносельцевъ.* Свѣд. о нѣкотор. литург. ркп. Ватик. библ. стр. 106. Καὶ εὐθὺς ἐξέρχονται ἀπὸ ἁγίου ναοῦ.

л. 130 об. Апостольскія и евангельскія чтенія отъ Пасхи до Пятидесятницы и на 14 и 23 сентября. Конца рукописи нѣтъ.

**XVIII.** № 719. Илитарій Патмосск. библ. на пергаменѣ, содержащій въ себѣ полный чинъ литургіи св. Іоанна Златоуста съ чиномъ проскомидіи, писанъ вязанною скорописью XIII вѣка[1]). Въ началѣ Илитарія замѣтны слѣды изображенія св. І. Златоуста.

Μετὰ τὸ πληρῶσαι τὰς ὥρας τὸν ἱερέα, εἴπερ θέλει λειτουργῆσαι, ἀπέρχεται εἰς τὰ ἅγια θυρία καὶ ποιεῖ μετανοίας γ'. καὶ ἀσπάζεται τὰς ἁγίας εἰκόνας, καὶ λέγει· Βασιλεῦ οὐράνιε ἐκ γ'. εἶθ' οὕτως λέγει τὴν εὐχὴν ταύτην μετὰ κατανύξεως καὶ φόβου Θεοῦ· Ὁ Θεὸς ὁ Θεὸς ἡμῶν, ὁ τοῖς χερουβὶμ ἀθεώρητος καὶ τοῖς σεραφὶμ ἀκατάγνωστος, καὶ πάσαις ταῖς ἐπουρανίαις δυνάμεσιν ἀπρόσιτος, ὁ τῇ σῇ ἀφράστῳ φιλανθρωπίᾳ καὶ ἀνεξιχνιάστῳ ἀγαθότητι σεαυτὸν τῇ ἡμετέρᾳ πτωχείᾳ καὶ ταπεινώσει ἑνώσας, καὶ τὸν τῆς ἱερωσύνης κανόνα ἡμῖν τοῖς ἁμαρτωλοῖς καὶ ἀναξίοις δούλοις σου χαρισάμενος·—Αὐτὸς ὡς ἀγαθὸς καὶ πολυέλεος, ἐνίσχυσόν με, φιλάνθρωπε Σῶτέρ μου, εὐτρεπίζεσθαι μέλλοντα ἐπὶ τὴν τῆς θείας χάριτος ἐγχειρισθεῖσάν μοι διακονίαν. Οὐ γὰρ εἰς τὴν ἐμὴν δύναμιν ἢ καθαρότητα θαρρῶν προσέρχομαι εἰς τὴν φοβερὰν καὶ φρικτὴν παράστασιν τοῦ ἁγίου σου θυσιαστηρίου, ἀλλὰ θαρρῶν εἰς τὸ ἄπειρον πέλαγος τῆς εὐσπλαγχνίας σου· οὐ γὰρ νικήσουσιν αἱ ἁμαρτίαι μου τὸ πλῆθος τῶν οἰκτιρμῶν σου. Διὸ δέομαί σου, Δέσποτα φιλάνθρωπε, ἔνδυσόν με, τὸν ἀνάξιον δοῦλόν σου, τὴν ἱερατικὴν ταύτην στολὴν καὶ χάριν τοῦ θείου καὶ παναγίου σου Πνεύματος· φώτισόν μου τὰ τῆς διανοίας ὄμματα εἰς

---

[1]) Саккеліонъ безъ достаточныхъ основаній относитъ этотъ Илитарій къ XVI в. (Πατμιακὴ βιβλιοθήκη Ἀθήν. 1890, σελ. 277).

τὸ ἐνοπτρίζεσθαί με τῆς χάριτός σου τὴν λαμπηδόνα, τράνωσόν μου τὴν γλῶσσαν τοῦ ἀμέμπτως ἀνυμνῆσαί σε, ἀρέμβαστόν μου τὸν νοῦν διατήρησον, ἀμετέωρόν μου τὴν διάνοιαν ποίησον καὶ ὁλόκληρόν με ἐν τῷ ἁγιασμῷ σου διαφύλαξον, καὶ τὰς πρὸς σέ μου αἰτήσεις ἐκπλήρωσον. Ἅγιε Κύριε, τὴν δὲ θυσίαν μου, ὡς θυμίαμα ἄμωμον καὶ ὁλοκαύτωμα θεῖον πρόσδεξαι, καὶ παράσχου μοι τὸν γλυκασμὸν τῆς σῆς ὡραιότητος, ἄγγελον δὲ φωτός, συλλειτουργοῦντα καὶ ἐνισχύοντά με, κατάπεμψον, ὅπως ἄν, ὀρθοτομήσας τὸν λόγον τῆς ἀληθοῦς σοφίας σου, ἄξιος καὶ τῆς μεταλήψεως τῶν ἐπουρανίων σου καὶ ἀθανάτων μυστηρίων γένωμαι, δι' αὐτῶν δὲ φωτιζόμενος ψυχῇ καὶ σώματι καταξιωθῶ καὶ τῆς τῶν αἰωνίων σου ἀγαθῶν ἀπολαύσεως σὺν τοῖς ἐν ἀληθείᾳ ἀγαπήσασι καὶ ἐξακολουθήσασι τοῖς προστάγμασί σου. Σὺ γὰρ εἶπες, Δέσποτα· ὅτιπερ ὅσα τις αἰτήσῃ ἐν τῷ ὀνόματί σου, ἀκωλύτως λήψεται παρὰ τοῦ σοῦ συναϊδίου Πατρὸς καὶ Θεοῦ·—διὸ κἀγὼ ὁ ἁμαρτωλὸς ἐν τῇ ἐνδύσει τῆς ἱερατικῆς στολῆς τὴν σὴν ἱκετεύω θεότητα, ὅσα ηὐξάμην, ἀπόδος μοι εἰς σωτηρίαν μου, Κύριε. Ὅτι φιλάνθρωπος εἶ καὶ δεδοξασμένος σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ.. Εἶτα εἰσελθὼν εἰς τὸ ἅγιον βῆμα, ποιεῖ μετανοίας γ'. καὶ ἀσπάζεται τὸ ἅγιον εὐαγγέλιον, ἐξελθὼν δὲ ἐκτός, ποιεῖ μετάνοιαν, λέγων· Εὐλογήσατε, πατέρες καὶ ἀδελφοί, συγχωρήσατέ μοι τῷ ἁμαρτωλῷ. Εἶτα λαβὼν τὸ στιχάριον μετὰ τῆς ἀριστερᾶς χειρὸς αὐτοῦ, ποιεῖ σταυρὸν ἐπ' αὐτό, λέγων· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε νῦν καὶ ἀεί.. Καὶ ἐνδυόμενος αὐτό, λέγει· Ἀγαλλιάσθω ἡ ψυχή μου... Εἶτα περιζωννύμενος τὴν ζώνην, λέγει· Περίζωσαι τὴν ῥομφαίαν... καὶ δικαιοσύνης σου. Goar. p. 48. Εἰς τὰ ἐπιμάνικα λέγει· Δεξιὰ Κυρίου ἐποίησε δύναμιν, δεξιὰ Κυρίου ὕψωσέ με καὶ τῷ βραχίονι αὐτοῦ τῷ ὑψηλῷ ὑπερασπιεῖ ἡμῖν. Εἰς δὲ τὸ ἐπιτραχήλιον λέγει· Πλέξαντες στέφανον ἐξ ἀκανθῶν, περιέθηκαν ἐπὶ τὸν τράχηλον αὐτοῦ, ζυγὸν δικαιοσύνης, καὶ δήσαντες αὐτὸν ἀνήγαγον καὶ παρέδωκαν Ποντίῳ Πιλάτῳ τῷ ἡγεμόνι. Εἰς τὸ δεξιὸν φελόνιον λέγει· Οἱ ἱερεῖς σου ἐνδύσονται... Εἰς δὲ τὸ ἀριστερόν· Αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με. Εἰς τὸ χάλασμα· Σκέπασον ἡμᾶς ἐν τῇ σκέπῃ τῶν πτερύγων σου. Εἶτα λαβὼν τὸν ἄρτον ἀπὸ τῆς προθέσεως καὶ κρατήσας αὐτὸν ἐν τῇ ἀριστερᾷ αὐτοῦ χειρὶ καὶ μετὰ πολλοῦ φόβου καὶ κατανύξεως ἄρας τὸ ὄμμα εἰς τὸν οὐρανόν, λέγων, ποιῶν πρότερον μετανοίας γ'. Ῥῦσαι, Κύριε, τὸν λαόν σου καὶ μὴ δῷς τὴν κληρονομίαν σου εἰς ὄνειδος τοῦ κατάρξαι αὐτῆν ἔθνη, μήποτε εἴπωσι· ποῦ ἔστιν ὁ Θεὸς αὐτῶν. Καὶ σφραγίσας αὐτὸν ἐκ τρίτου μετὰ τῆς λόγχης, λέγει· Εἰς ἀνάμνησιν τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Εἶτα ἐμπήξας ἐν

δεξιᾷ τετραμερῶς τὴν λόγχην, λέγει· Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς καὶ Θεός, ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη... до конца безъ раздѣленій. Εἶτα χαράττων τὴν ἁγίαν μερίδα ἐντὸς τοῦ δίσκου μετὰ τῆς λόγχης σταυροειδῶς, λέγει· Θύεται ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρός, ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς καὶ σωτηρίας, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας. Εἶτα νύσσει τὴν ἁγίαν μερίδα καὶ λέγει· Καὶ εἷς τῶν στρατιωτῶν... Καὶ λαβὼν τὸ νᾶμα καὶ τὸ ὕδωρ, ἐκχέει αὐτὰ ἐν τῷ κρατῆρι. Λέγει δὲ εἰς τὸν ὕδωρ· Καὶ ὁ ἑωρακὼς μεμαρτύρηκε, καὶ ἀληθινὴ ἐστὶν ἡ μαρτυρία αὐτοῦ, καὶ ἡμεῖς πιστεύομεν καὶ ὁμολογοῦμεν, ὅτι Αὐτὸς ἐστὶν ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Καὶ λαμβάνει τὸν ἀστερίσκον καὶ τίθησιν ἐπάνω τοῦ ἀμνοῦ, καὶ λέγει· Ἀστὴρ ἐφάνη ἐξ οὐρανοῦ καὶ ἐλθὼν ἔστη ἐπάνω, οὗ ἦν τὸ παιδίον. Εἶτα· Τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν καὶ τῷ Πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν. Εἰς δὲ τὴν γ΄.[1]) προσφορὰν λέγει· Πρόσδεξαι, Κύριε, τὴν θυσίαν ταύτην τῇ πρεσβείᾳ τοῦ τιμίου προφήτου Προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου. Ἐὰν δὲ εἰσὶ καὶ ἄλλαι προσφοραί, λέγει· Τῇ πρεσβείᾳ τῶν ἁγίων καὶ ἐνδόξων πανευφήμων ἀποστόλων, τῶν ἁγίων καὶ θεοφόρων πατέρων ἡμῶν Βασιλείου τοῦ Μεγάλου, Ἰωάννου τοῦ Χρυσοστόμου, Ἀθανασίου, Κυρίλλου, Νικολάου τοῦ θαυματουργοῦ, Σπυρίδωνος, Ἀμφιλοχίου, Ἀμβροσίου, Ἐπιφανίου, Ἀβερκίου, Γρηγορίου θαυματουργοῦ, Γρηγορίου τῆς μεγάλης Ἀρμενίας, τοῦ Γρηγορίου τῶν Ἀκραγαντίνων καὶ τοῦ Γρηγορίου Νύσσης. Εἰ δὲ καὶ ἔχει καὶ ἄλλας προσφοράς, λέγει· Εἰς τὴν πρεσβείαν τοῦ κατὰ τὴν ἡμέραν ἁγίου. Εἶτα λέγει· Εἰς τὴν πρεσβείαν τῶν πάντων ἁγίων. Καὶ λαβὼν θυμίαμα καὶ τὸ θυμιατήριον, ὁ διάκονος προσφέρει ταῦτα τῷ ἱερεῖ καὶ λέγει· Εὐλόγησον, δέσποτα, τὸ θυμίαμα. Ὁ δὲ ἱερεὺς λέγει· Θυμίαμά σοι προσφέρομεν, Χριστὲ ὁ Θεὸς ἡμῶν, εἰς ὀσμὴν εὐωδίας πνευματικῆς, ἀντικατάπεμψον ἡμῖν τὴν θείαν χάριν καὶ τὴν δωρεὰν τοῦ παναγίου σου Πνεύματος πάντοτε νῦν καὶ ἀεί... Εἶτα θυμιᾷ τὸ πρῶτον κάλυμμα καὶ λέγει· Κύριος ἐβασίλευσεν. Εἰς δὲ τὸ δεύτερον κάλυμμα λέγει· Σκέπασον ἡμᾶς, ὁ Θεός, ἐν τῇ σκέπῃ τῶν πτερύγων σου καὶ τῷ βραχίονί σου τῷ ὑψηλῷ ὑπερασπιεῖς ἡμῶν. Εἶτα λαβὼν τὴν ἁγίαν ἀναφορὰν δεδιπλωμένην καὶ θυμιῶν, λέγει· Ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετὴ αὐτοῦ καὶ τῆς συνέσεως αὐτοῦ, πλήρης ἡ γῆ. Ἀναφορὰν καὶ ὁλοκαυτώ-

[1]) О второй просфорѣ въ Илитаріѣ ничего не говорится.

μάτα· τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους. Εἶτα λαβὼν τὸ θυμιατήριον καὶ κατέχων αὐτὸ ἐν τῷ ἀριστερῷ αὐτοῦ ἄκρῳ δακτύλῳ, ἐπεύχεται οὕτως· Ὁ Θεὸς ὁ Θεὸς ἡμῶν, ὁ τὸν οὐράνιον ἄρτον.. Goar. p. 51. Καὶ θυμιᾷ τὴν πρόθεσιν καὶ τὸ ἅγιον βῆμα, τὴν ἁγίαν τράπεζαν καὶ ἅπαν τὸ ἱερατεῖον, λέγων τὸ Ἐλέησόν με, ὁ Θεός. Καὶ ποιεῖ τρεῖς μετανοίας ἐν τῇ ἁγίᾳ τραπέζῃ καὶ λέγει· Βασιλεῦ οὐράνιε, Κύριε, τὰ χείλη μου. Εἶτα λέγει ὁ διάκονος· Εὐλόγησον, δέσποτα. Καὶ ὁ ἱερεύς· Εὐλογημένη ἡ βασιλεία... Ὁ διάκονος· Ἐν εἰρήνῃ... Далѣе до малаго выхода чинъ излагается обычнымъ порядкомъ. На ряду написаны и обычные литургійные антифоны. Καὶ εἰσελθόντες (т. е. послѣ входа) ὅ τε ἱερεὺς καὶ ὁ διάκονος ἐν τῷ βήματι, τίθησι τὸ μανουάλιον ἐν τῇ ἁγίᾳ τραπέζῃ καὶ θυμιᾷ τὴν ἁγίαν τράπεζαν σταυροειδῶς, οἱ δὲ ψάλται ψάλλουσι τὸ τροπάριον τῆς ἡμέρας, ἢ τοῦ κατὰ τὴν ἡμέραν ἁγίου, Δόξα τὸ κοντάκιον, καὶ νῦν θεοτοκίον. Σφραγίζει ὁ ἱερεὺς τὸν λαόν, ὁ διάκονος λέγει· Τοῦ Κυρίου δεηθῶμεν. Ὁ ἱερεὺς ἐκφωνεῖ· Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν... Ὁ λαὸς Τρισάγιον. Ὁ ἱερεὺς τὴν εὐχὴν τοῦ Τρισαγίου ταύτην· Ὁ Θεὸς ἅγιος, ὁ ἐν ἁγίοις ἀναπαυόμενος... p. 55. Во время пѣнія Аллилуіа, діаконъ кадитъ храмъ, а священникъ читаетъ молитву предъ евангеліемъ. Херувимской пѣсни молитва: Οὐδεὶς ἄξιος непосредственно слѣдуетъ за предшествующею молитвою. Во время пѣнія херувимской пѣсни, καὶ ἀπέρχεται ὁ ἱερεὺς εἰς τὴν πρόθεσιν καὶ λέγει ψαλμὸν κε΄. Κρῖνόν μοι, Κύριε... καὶ θυμιᾷ γ΄. τὰ ἅγια δῶρα, λέγων· Βασιλεῦ οὐράνιε... Τῆς σοφίας ὁδηγέ. Εἶτα ἀναλαμβάνων αὐτὰ λέγει· Ὑψώσω σε, Κύριε ὁ Θεός μου. Καὶ λαμβάνει ὁ διάκονος τὸν δίσκον, καὶ ὁ ἱερεὺς τὸ ἅγιον ποτήριον καὶ εἰσοδεύουσιν. Ὅταν δὲ φθάσωσιν εἰς τὰ ἅγια θυρία, λέγουσιν· Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν, καὶ ἐπάρθητε πύλαι... Τούτου δὲ λεγομένου, ἵσταται μικρόν, εἶτα εἰσερχόμενοι, λέγει· Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. Θεὸς Κύριος καὶ ἐπεφάνη ἡμῖν. Καὶ ἀποθέμενοι τὰ ἅγια δῶρα ἐν τῇ ἁγίᾳ τραπέζῃ, λέγουσι· Μεγαλύνατε τὸν Κύριον. Ὡς ἐν μέσῳ τῶν μαθητῶν σου παρεγένου, Χριστὲ ὁ Θεός... Εἶτα ἀσπάζονται. Καὶ ἐξέρχεται ὁ διάκονος ἔξωθεν τῶν ἁγίων θυρῶν, λέγει· Πληρώσωμεν τὴν δέησιν ἡμῶν... Тропаря: „Господи иже пресвятаго Твоего Духа“ нѣтъ. Далѣе порядокъ обычный до момента причащенія св. Даровъ. Εἶθ' οὕτως (т. е. послѣ молитвы: Πρόσχες, Κύριε) προσεύχεται, ποιῶν μετανοίας γ΄. καὶ θυμιᾷ γ΄. τὰ ἅγια δῶρα. Ὅταν δὲ μέλλῃ ὑψώσειν τὸν ἅγιον ἄρτον, λέγει· Ὑψώσω σε, ὁ Θεός μου, ὁ βασιλεύς μου, καὶ εὐλογήσω τὸ ὄνομά σου εἰς αἰ-

ῶνα τοῦ αἰῶνος. Εἶτα ἔχων τὸν ἅγιον ἄρτον εἰς τὰς χεῖρας αὐτοῦ ἐν τοῖς ἄκροις δακτύλοις, ἐκφωνεῖ ὁ διάκονος· Πρόσχωμεν. Ὁ ἱερεύς· Τὰ ἅγια τοῖς ἁγίοις. Ὁ λαός· Εἷς ἅγιος... Ὁ δὲ ἱερεύς, καταγαγὼν τὸν ἅγιον ἄρτον, μερίζει αὐτὸν εἰς δ'. λέγει· Μελίζεται ἡ σάρξ τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρός μου Ἰησοῦ Χριστοῦ ἀδιαιρέτως καὶ ἀτρέπτως ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς καὶ σωτηρίας, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, πάντοτε νῦν καὶ ἀεί... Καὶ λαμβάνει μίαν μερίδα ἐκ τοῦ ἁγίου σώματος καὶ βάλλει εἰς τὸ ἅγιον ποτήριον καὶ λέγει· Πλήρωμα Πνεύματος. Ὁ διάκονος· Ἀμήν. Εἶτα κομίζει ὁ διάκονος τὸ ζέον καὶ λέγει· Εὐλόγησον, δέσποτα, τὸ ζέον. Ὁ ἱερεὺς σφραγίζων λέγει· Ζέσις Πνεύματος ἁγίου. Τίθεμαι δὲ καὶ τὸ ζέον ὕδωρ ἐν τῷ κρατῆρι, καθὼς λέγει ὁ μέγας Βασίλειος, διὰ τὸ δηλῶν τὴν ζέσιν τοῦ ἁγίου Πνεύματος, ἀλλὰ καὶ Ἰωάννης ὁ Δαμασκηνὸς ἐν τῇ δ'. ᾠδῇ τοῦ κανόνος τῆς ἁγίας Πεντηκοστῆς τάδε φησί· Λουτρὸν τὸ θεῖον τῆς παλιγγενεσίας, λόγῳ κεραννὺς συντεθειμένη φύσις, ὀμβροβλυτεῖς μοι ῥεῖθρον ἐξ ἀκηράτου, νενυγμένης σου πλευρᾶς, ὦ Θεοῦ Λόγε, ἐπισφραγίζων τῇ ζέσει τοῦ Πνεύματος. Ἀλλὰ καὶ ἄλλος τὶς τῶν ἁγίων τάδε φησίν· Αἷμα καὶ πῦρ καὶ ἀτμίδα καπνοῦ. Καὶ ἐπαίρει αὐτὸς τὴν ἄνωθεν ἁγίαν μερίδα ἐκ τοῦ δίσκου ἄκροις δακτύλοις τῆς δεξιᾶς χειρὸς αὐτοῦ καὶ εὐλαβῶς ἐγκολπωσάμενος αὐτὴν ἐν τῇ δεξιᾷ αὐτοῦ χειρὶ εὔχεται λέγων· Σῶμα τίμιον, ἅγιον, δεσποτικόν, ἡγιασμένον τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τῷ μεταδιδομένῳ Φιλίππῳ τῷ ἱερομονάχῳ εἰς ἄφεσιν ἁμαρτιῶν αὐτοῦ καὶ εἰς ζωὴν αἰώνιον. Ἀμήν. Εἰς ὑγείαν ψυχῆς τε καὶ σώματος. Φυλάξαι Κύριος ὁ Θεὸς τὴν ἱεροσύνην σου ὅσιον, ἄσπιλον, ἀμίαντον, ἀσκανδάλιστον ἀπὸ παντὸς πονηροῦ καὶ κακοῦ πράγματος πάσας τὰς ἡμέρας τῆς ζωῆς σου πρεσβείαις καὶ ἱκεσίαις τῆς ὑπερυμνήτου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας καὶ πάντων τῶν ἁγίων. Εἶτα κλινόμενος ἐπεύχεται, λέγων· Τοῦ δείπνου σου τοῦ μυστικοῦ... Ἐν ταῖς λαμπρότησι τῶν ἁγίων σου, πῶς εἰσελεύσομαι ὁ ἀνάξιος... Εἶτα λέγει· Πιστεύω, Κύριε, καὶ ὁμολογῶ, ὅτι σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ ἀληθινοῦ Θεοῦ τοῦ ζῶντος πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Εἶτα λέγει· Ἔθελξας πόθῳ με Σωτὴρ καὶ ἠλλοίωσας τῷ θείῳ σου ἔρωτι, ἀλλὰ κατάφλεξον πυρὶ ἀΰλῳ τὰς ἁμαρτίας μου καὶ ἐμπλησθῆναι τῆς ἐν σοὶ τρυφῆς καταξίωσον, ἵνα τὰς δύο σκιρτῶν μεγαλύνω, ἀγαθέ, παρουσίας σου. Εἶτα λέγει· Τὰς ἀνομίας μου πάριδε, Κύριε, καὶ τὰς ἁμαρτίας μου ἐξάλειψον, καὶ τὴν καρδίαν μου καθάρισον, ναὸν αὐτοῦ ποίησον τοῦ ἁγίου σου Πνεύματος. Μή με ἐξουδενώσῃς ἀπὸ τοῦ σοῦ προσώπου, ὁ ἀμέτρητον ἔχων τὸ ἔλεος.

Εἶτα ποιῶν μετανοίας γ'. λέγει· Βασιλεῦ οὐράνιε. Κύριε, τὸ πανάγιόν σου Πνεῦμα... Εἶτα ἐσθίει εὐλαβῶς τὴν ἐν τῇ χειρὶ αὐτοῦ ἁγίαν μερίδα καὶ λέγει· Ποτήριον σωτηρίου... Εἰς τὸ ὄνομα τοῦ Πατρός. Ἀμήν. Καὶ τοῦ Υἱοῦ. Ἀμήν. Καὶ τοῦ ἁγίου Πνεύματος. Νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας... Μετὰ δὲ τὸ μεταλαβεῖν ἐκ τοῦ θείου κράματος, λέγει· Δέσποτα φιλάνθρωπε, μὴ εἰς κρῖμα, εἰς βάρος, μὴ εἰς κατάκριμά μοι γένωνται τὰ ἅγια ταῦτα, ἀλλ' εἰς κάθαρσιν καὶ ἁγιασμὸν ψυχῆς καὶ σώματος. Γένοιτο δέ μοι, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός μου, τὸ σῶμά σου τὸ ἅγιον καὶ τὸ αἷμά σου τὸ τίμιον εἰς ἄφεσιν ἁμαρτιῶν μου καὶ εἰς ζωὴν αἰώνιον, καὶ ἐν τῇ δευτέρᾳ σου παρουσίᾳ συναρίθμησόν με τοῖς δικαίοις καὶ ἐκλεκτοῖς σου προβάτοις. Ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας. Ἀμήν. Εἶτα θυμιᾷ γ'. τὰ ἅγια, καὶ λαμβάνει ὁ διάκονος τὸ ἅγιον ποτήριον, στρέφεται πρὸς τὸν λαόν, λέγων· Ὅσοι μετὰ φόβου καὶ πίστεως προσέλθετε. Καὶ μεταδίδωσι τῷ λαῷ λέγων· Εἰς ἄφεσιν ἁμαρτιῶν σου καὶ ζωὴν αἰώνιον. Μετὰ δὲ τὸ μεταλαβεῖν τὸν λαόν, σφραγίζει ὁ ἱερεὺς τὸν λαόν, λέγων· Σῶσον, ὁ Θεός, τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου, καὶ ποίμανον αὐτούς, καὶ ἔπαρον αὐτοὺς ἕως τοῦ αἰῶνος. Καὶ οὕτως στραφεὶς εὔχεται τὴν εὐχὴν ταύτην· Εὐχαριστοῦμέν σοι, Δέσποτα... р. 67. Εἶτα θυμιᾷ τὴν ἁγίαν τράπεζαν καὶ λέγει καθ' ἑαυτόν· Ὑψώθητι ἐπὶ τοὺς οὐρανούς, ὁ Θεός, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου. Καὶ λέγει· Πάντοτε νῦν καὶ ἀεί... Καὶ ὁ λαός· Πληρωθήτω τὸ στόμα μου... Послѣ заамвонной молитвы, ὁ λαός· Εἴη τὸ ὄνομα Κυρίου... γ'. Ὁ ἱερεύς· Τοῦ Κυρίου δεηθῶμεν. Εὐλογημένοι ὑμεῖς τῷ Κυρίῳ τῇ αὐτοῦ χάριτι καὶ φιλανθρωπίᾳ. Ὁ λαός· Εὐλογήσω τὸν Κύριον...

**XIX.** Пергаменный Илитарій Есфигменской библ. на Аѳонѣ XIII в., принадлежавшій монастырю „Ὑψηλοῦ", содержитъ въ себѣ чинъ литургіи св. Василія Великаго. Начала не достаетъ. Литургія начинается возгласомъ молитвы перваго антифона. Достойна замѣчанія въ немъ слѣдующая особенность. Послѣ возгласа молитвы за оглашенныхъ, ὁ διάκονος· Ὅσοι κατηχούμενοι προέλθετε, οἱ κατηχούμενοι προέλθετε, ὅσοι πρὸς τὸ φώτισμα... р. 165. Ἰστέον, ὅτι ἐν τῇ μεγάλῃ τεσσαρακοστῇ, μετὰ τὸ Ὅσοι κατηχούμενοι προέλθετε, λέγεται ἡ εὐχὴ τῶν πρὸς τὸ φώτισμα εὐτρεπιζομένων οὕτως· Ἐπίφανον, Δέσποτα τὸ πρόσωπόν σου... Goar. pag. 165.

**XX.** № 189. Εὐχολόγιον лавры пр. Аѳанасія Аѳонскаго на пергаменѣ, рукопись въ четвертку, 130 листовъ, писана мелкою ско-

рописью XIII в. Начинается рукопись концемъ чина утренняго богослуженія. Καὶ εἰ μὲν ἐστὶ κυριακή, μετὰ τὴν πλήρωσιν τῆς ἀκολουθίας, λέγει· Ἅγιος Κύριος ὁ Θεός, στίχος· Ὅτι ἅγιος ἐστίν, στίχος· Καὶ ἐπὶ πάντας λαούς, καὶ εὐθὺς οἱ αἶνοι εἰς ἦχον τῆς ἡμέρας, εἶτα ψάλλομεν στιχηρά, Δόξα καὶ νῦν, εἶτα Δόξα ἐν ὑψίστοις. Καὶ πληρουμένης τῆς δοξολογίας, λέγει προκείμενον· Ἀνάστηθι, Κύριε ὁ Θεός μου, στίχος· Ἐξομολογήσομαί σοι, Κύριε, στίχος· Εὐφρανθήσομαι καὶ ἀγαλλιάσομαι, εἶτα λέγομεν εὐαγγέλιον καὶ εὐθὺς Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς... Κύριε παντοκράτωρ... Ἐλέησον ἡμᾶς... Ὑπὲρ τῶν εὐσεβεστάτων... Ὑπὲρ τοῦ ἀρχιεπισκόπου... Ἐκφώνησις· Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος. Πληρώσωμεν τὴν ἑωθινήν... κ. τ. λ. Εἰρήνη πᾶσι. Τὰς κεφαλάς. Εὐχὴ τῆς ἀπολύσεως· Κύριε ἅγιε, ὁ ἐν ὑψηλοῖς κατοικῶν. Σοφία. Ὁ ὢν εὐλογητός.

л. 1 об. Εὐχὴ εἰς τὸ κατασφραγίσαι παιδίον τῇ ὀγδόῃ ἡμέρᾳ τῆς γεννήσεως αὐτοῦ.

Θέτει αὐτὸ ἔξω τῆς πύλης, ποιῶν σταυροὺς γʹ. Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, σοῦ δεόμεθα καὶ σὲ ἱκετεύομεν. Goar. p. 264. Καὶ λαβὼν ὁ ἱερεὺς τὸ νήπιον, ψάλλει τροπάριον, ἦχος αʹ. Χαῖρε κεχαριτωμένη, Θεοτόκε παρθένε, καὶ λαβὼν ἅγιον ἔλαιον, ποιεῖ σταυροῦ τύπον ἐπὶ τὸ μέτωπον καὶ τὸ στῆθος. Εὐχὴ ἑτέρα. Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν ἡμέραις τεσσαράκοντα τοῦ νόμου εἰς τὸ ἱερὸν ἀνελθὼν ὑπὸ Μαρίας, τῆς ἁγίας Μητρός σου, καὶ ἐν ταῖς ἁγίαις ἀγκάλαις τοῦ δικαίου Συμεὼν[1]) βασταχθεὶς εἰσελθών, αὔξησον τὸν δοῦλόν σου[2]) ὁ δεῖνα, ἵνα[3]) καὶ τῆς μερίδος τύχῃ τοῦ κλήρου τῶν ἁγίων, κοινωνὸς γένοιτο τοῦ τιμίου σώματος καὶ αἵματος τοῦ Χριστοῦ σου, φυλαττόμενος σὺν ἡμῖν τῇ χάριτι τῆς ἁγίας καὶ ὁμοουσίου Τριάδος. См. выше стр. 25 и 53 и Прилож. къ Богослуж. въ русской церкви въ XVI в. ч. I, стр. 19.

л. 2. Εὐχὴ εἰς τὸ σαραντῆσαι γυναῖκα.

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ παραγενόμενος ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων, ἔπιδε καὶ ἐπὶ τὴν δούλην σου τὴν δεῖνα καὶ δὸς αὐτὴν καταφυγεῖν τῇ ἁγίᾳ σου ἐκκλησίᾳ καὶ ἀκατακρίτως αὐτὴν μεταλαμβάνειν τοῦ ἁγίου σώματος καὶ αἵματος τοῦ Χριστοῦ σου, ἀπόπλυ-

---

[1]) Ркп XIII в. о. архимандрита Антонина: ἀξιώσας εἰσελθεῖν [2]) τοῦτον [3]) καταξιωθεὶς τοῦ ἁγίου σου βαπτίσματος, τύχῃ τῆς μερίδος ἐκλεκτῶν σου, καὶ καταξιωθεὶς τῶν ἀθανάτων καὶ ἐπουρανίων σου μυστηρίων, τύχῃ μακαριότητος τῶν ἁγίων σου ἐν τῇ βασιλείᾳ σου.

νον αὐτῆς τὸν ῥύπον τοῦ σώματος καὶ τὸν σπῖλον τῆς ψυχῆς διὰ τῶν τεσσαράκοντά σου ἡμερῶν, καὶ ἀξίωσον αὐτὴν βαδίζειν διὰ τοῦ πρεσβυτερίου καταξιωθῆναι εἰσελθεῖν καὶ γενέσθαι ἀξίαν τῆς δόξης σου καὶ σὺν ἡμῖν δόξαν σοι ἀναπέμψαι τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ. См. выше стр. 53.

— Εὐχὴ εἰς τὸ ποιῆσαι κατηχούμενον.

Ἀποδύουσι τὸ νήπιον καὶ ἐμφυσᾷ αὐτῷ ὁ ἱερεὺς εἰς τὸ μέτωπον καὶ εἰς τὸ στῆθος. Εὐχὴ ἀφορκισμὸς α'. Ἐπὶ τῷ ὀνόματί σου... Goar. pag. 275. Εὐχὴ πρὸς ὥραν βαπτιζόμενον· Ὁ ὤν, Δέσποτα Κύριε, ὁ ποιήσας τὸν ἄνθρωπον... Goar. pag. 276. Καὶ σφραγίζει τοῦτο γ'. λέγει τὴν εὐχὴν ταύτην· Ἐξέλασον ἀπ' αὐτοῦ... pag. 277. Καὶ ἀποστρέφει πρὸς δυσμὰς λέγει· Ἀποτάσσομαι τῷ σατανᾷ·—Καὶ πᾶσι τοῖς ἔργοις αὐτοῦ:—Καὶ πάσῃ τῇ λατρείᾳ αὐτοῦ:—Καὶ πᾶσι τοῖς ἀγγέλοις αὐτοῦ:—Καὶ πάσῃ τῇ πομπῇ αὐτοῦ:—Καὶ ὅτε εἴπῃ τοῦτο γ'. ἀνταποκρινομένων, λέγει· Καὶ πτύσον αὐτῷ... и т. д. Καὶ λαβὼν θυμιατόν, ὁ ἱερεὺς θυμιᾷ τὴν κολυμβήθραν, λέγει τὴν συναπτήν· Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τοῦ καταφοιτῆσαι τοῖς ὕδασι τούτοις τὴν καθαρτικὴν τῆς ὑπερουσίας Τριάδος... Ὑπὲρ τοῦ τέκνα φωτὸς ἀναφανῆναι τοὺς ἐν αὐτῷ βαπτιζομένους... Ὑπὲρ τοῦ σκεύη γενέσθαι αὐτοὺς ἡγιασμένα πρὸς ὑποδοχὴν τοῦ θείου μύρου... Ὑπὲρ τοῦ περιπατῆσαι αὐτοὺς ἀξίως τῆς κλήσεως, εἰς ἣν ἐκλήθησαν... Ὑπὲρ τοῦ ῥυσθῆναι... Ἀντιλαβοῦ, σῶσον. Τῆς παναγίας ἀχράντου... Ἐκφώνησις· Ὅτι σὺ ὁ εὐλογῶν. Καὶ λέγει καθ' ἑαυτὸν τὴν εὐχὴν ταύτην. Τὰς κεφαλὰς ἡμῶν. Ὁ εὔσπλαγχνος καὶ ἐλεήμων Θεὸς pag. 288. Καὶ λέγει τὴν εὐχὴν ταύτην εἰς ἐπήκοον πάντων· Μέγας εἶ, Κύριε... Ibid. Καὶ σφραγίζει τὸ ὕδωρ γ'. λέγει· Συντριβήτωσαν... Ibid. Εἰρήνη πᾶσι. Τὰς κεφαλάς. Καὶ προσφέρεται τὸ ἀγγεῖον τοῦ ἐλαίου, βασταζόμενον ὑπὸ διακόνου, καὶ λέγει τὴν εὐχήν· Δέσποτα Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν... pag. 289. Καὶ ἀνιστάμενος ἐκφωνεῖ· Εἰς δόξαν σὴν καὶ τοῦ μονογενοῦς. Καὶ εὐθὺς λαβὼν ὁ ἱερεὺς τὸ τρυβλίον τοῦ ἐλαίου, ποιῶν ἐξ αὐτοῦ γ'. σταυροὺς εἰς τὸ ὕδωρ, λέγει· Ἀλληλούια. Καὶ ἀλείφων τὸ νήπιον, λέγει ὁ ἱερεύς· Χρίεται ὁ δοῦλος τοῦ Θεοῦ ἔλαιον ἀγαλλιάσεως, καὶ λαβὼν ὁ ἱερεὺς τὸ νήπιον, λέγει· Βαπτίζεται ὁ δοῦλος τοῦ Θεοῦ ὁ δεῖνα. Καὶ λέγει· Μία πίστις, ἓν βάπτισμα, εἰς τὸ ὄνομα τοῦ Πατρός... Μακάριοι ὧν... Καὶ ἐνδύει αὐτό. Εὐχὴ τοῦ μύρου· Εὐλογητός σοι, Κύριε ὁ Θεός... pag. 290. Καὶ χρίει ὁ ἱερεὺς τὸ ἅγιον μύρον σταυροειδῶς ἐπὶ τοῦ μετώπου καὶ τοῦ στήθους, λέγει· Σφραγὶς δωρεᾶς Πνεύματος. Καὶ γίνεται εἴσοδος, ψάλλων· Ὅσοι εἰς Χριστόν, καὶ ἀπόλυσις.

л. 9. Ἀκολουθία εἰς τὸ ἀπολοῦσαι παῖδα.

Λέγει· Τρισάγιον, Παναγία Τριάς, τὸ Πάτερ ἡμῶν, τὸ ἅγιον σύμβολον, τὸν πεντηκοστὸν ψαλμόν καὶ λέγει τὴν εὐχήν. Τοῦ Κυρίου δεηθῶμεν. Ὁ λύτρωσιν ἁμαρτιῶν διὰ τοῦ ἁγίου σου... pag. 303. Εἰρήνη πᾶσι. Τὰς κεφαλὰς ἡμῶν. Οἱ ἐνδυσάμενοί σε τὸν Χριστὸν καὶ Θεὸν ἡμῶν... Goar. pag. 304. Καὶ λαβὼν ὕδωρ, λέγει· Ἐβαπτίσθης, ἐφωτίσθης, καὶ ἀπόλυσις.

л. 9 об. Εὐχὴ εἰς τὸ κουρεῦσαι παιδίον.

Λέγει τὴν συναπτήν, εἶτα λέγει· Τοῦ Κυρίου δεηθῶμεν. Σὲ ἱκετεύομεν, Κύριε ὁ Θεὸς τῆς σωτηρίας ἡμῶν, ὁ ἐκ τοῦ πληρώματος τῆς κολυμβήθρας.. Goar. pag. 306. Εἰρήνη πᾶσι. Τὰς κεφαλάς. Ὁ τὰς ἀψευδεῖς ἐπαγγελίας τοῖς εἰς Σὲ τὰς ἐλπίδας ἐπιῤῥίψασιν δωρούμενος καὶ ὑποσχόμενος αὐτοῖς, ὅτι θρὶξ ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μὴ ἀπόλλυται, αὐτὸς Δέσποτα, τὴν κοσμικὴν κόμην τὴν κεῖραν τῆς κεφαλῆς τοῦ δούλου σου εἰς αὔξησιν καὶ σύνεσιν καὶ προκοπὴν ποίησον, χαριζόμενος αὐτῷ, τοῖς γονεῦσιν αὐτοῦ, ἵνα, τρεφόμενος καὶ διδασκόμενος ὑπ' αὐτῶν τὰς ἐντολάς σου καὶ τὰ δικαιώματά σου φυλάττων, ἀπολαύσῃ πάντων τῶν ἀγαθῶν, ὧν ἐπηγγείλω τοῖς ἀγαπῶσί σε, Κύριε. Ὅτι σὺ ὁ εὐλογῶν... Καὶ κείρας τὸ παιδίον, λέγει· Εἰς τὸ ὄνομα τοῦ Πατρός, τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος... Καὶ γίνεται ἀπόλυσις.

л. 10. Εὐχὴ εἰς τὸ εὐλογῆσαι οἶκον.

Λέγει ὁ ἱερεύς· Εὐλόγησον, δέσποτα Εὐλογημένη ἡ βασιλεία... Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τοῦ οἴκου τούτου καὶ τῶν ἐν αὐτῷ κατοικούντων... Ὑπὲρ τοῦ διαφυλαχθῆναι αὐτοὺς ἐν τῷ οἴκῳ τούτῳ.... Ὑπὲρ τοῦ ῥυσθῆναι... Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας... Ὅτι πρέπει. Ὁ Θεὸς καὶ Πατήρ, ὁ Σωτὴρ ἡμῶν, ὁ καταξιώσας ὑπὸ τὴν στέγην Ζακχαίου εἰσελθεῖν. Goar. p. 484. Εἴπωμεν πάντες... Ἐξ ὅλης τῆς ψυχῆς... Κύριε παντοκράτωρ... Ὑπὲρ τοῦ δούλου τοῦ Θεοῦ... Καὶ γίνεται τελεία ἀπόλυσις.

л. 10 об. Εὐχὴ ἐπὶ θεμελίου οἴκου.

Ὁ Θεός, ὁ εὐλογήσας τὸν δοῦλόν σου Ἀβραὰμ καὶ τὴν σκηνὴν αὐτοῦ, καὶ τὸν οἶκον Ζαχαρίου καὶ τελώνου τοῦ Ζακχαίου...

Εὐχὴ ἐπὶ θεμελίου τῆς ἐκκλησίας.

Φορένει ὁ ἱερεὺς καὶ θυμιᾷ σταυροειδῶς, καὶ λέγει τὴν συναπτήν, εἶτα ἐκφώνησις· Ὅτι πρέπει. Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐρασθεὶς καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσας ἐκκλησίαν... pag. 485.

л. 11. Ἀκολουθία τῶν ἁγίων Θεοφανίων.

Начало у Гоара pag. 366—367. Послѣ евангелія καὶ εὐθὺς ἄρχεται τὰ διακονικά· Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τοῦ ἁγιασθῆναι τὰ ὕδατα ταῦτα... Ὑπὲρ τοῦ καταφοιτῆσαι τοῖς ὕδασι τούτοις... Ὑπὲρ τοῦ δοθῆναι αὐτοῖς τῇ χάριτι... Ὑπὲρ τοῦ εἰσακοῦσαι Κύριον τὸν Θεόν... Ὑπὲρ τοῦ ἐπισκιᾶσαι οὐρανόθεν ἐφ' ἡμᾶς τὴν χάριν τοῦ ὑψίστου... Ὑπὲρ τοῦ καταπέμψαι Κύριον τὸν Θεὸν ἡμῶν ἐφ' ἡμᾶς τὸ ἅγιον αὐτοῦ Πνεῦμα καὶ ἀποφᾶναι τὰ ῥεῖθρα... Ὑπὲρ τοῦ ἀνακαινίσαι Κύριον τὸν Θεόν... Ὑπὲρ τοῦ καταπέμψαι Κύριον τὸν Θεὸν ἡμῶν ἐφ' ἡμᾶς τὸ ἅγιον αὐτοῦ Πνεῦμα... См. выше стр. 44. Ὑπὲρ τοῦ καταπεμφθῆναι τοῖς ὕδασι τούτοις τὴν καθαρτικὴν τῆς ὑπερουσίας Τριάδος... Ὑπὲρ τοῦ γενέσθαι αὐτὰ ῥεῖθρα ἰορδάνια... Ὑπὲρ τοῦ δοθῆναι αὐτοῖς δύναμιν ἰαματικήν, δύναμιν εὐεργέτικήν... Ὑπὲρ τοῦ ἐλθεῖν τὸ Πνεῦμά σου τὸ ἅγιον ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ ὕδατα ταῦτα... Ὑπὲρ τοῦ ζωῆς ἀθανάτου καταξιωθῆναι ἡμᾶς διὰ τῆς ἐνανθρωπήσεως... Ὑπὲρ τοῦ ἀκατακρίτως ἡμᾶς μεταλαμβάνειν τῶν ἀχράντων ἀθανάτων καὶ ζωοποιῶν μυστηρίων... Ὑπὲρ τοῦ ἀναδειχθῆναι ἡμᾶς υἱοὺς φωτὸς καὶ κληρονόμους τῆς βασιλείας... Ὑπὲρ τοῦ ῥυσθῆναι... Ἀντιλαβοῦ, σῶσον... Ὅτι πρέπει... Εἰρήνη πᾶσι. Τὰς κεφαλάς. Καὶ λέγει τὴν εὐχὴν ταύτην καθ' ἑαυτόν· Ὁ εὔσπλαγχνος καὶ ἐλεήμων Θεός... pag. 288. Καὶ λέγει τὴν εὐχὴν εἰς ἐπήκοον πάντων· Δοξάζομέν σε, Δέσποτα πανάγιε, παντοδύναμε... pag. 369. Оканчивается молитва: Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν. Κύριε Ἰησοῦ Χριστὲ ὁ μονογενὴς Υἱός. Goar. pag. 368. Μέγας εἶ Κύριε... pag. 370. Ἵνα πάντες ἀρυώμεθα καὶ μεταλαμβάνοντες ἐξ αὐτοῦ ἔχειν αὐτὸ πρὸς καθαρισμὸν ψυχῶν... pag. 371. Εἰρήνη πᾶσι. Τὰς κεφαλάς. Κλῖνον, Κύριε, τὸ οὖς pag. 371. Καὶ λαβὼν ἐπὶ χεῖρας ὁ ἱερεὺς τὸν τίμιον σταυρόν, λέγει· Δόξα τῇ ἁγίᾳ, καὶ ὁμοουσίῳ... καὶ βαπτίζων τὸν σταυρόν, ψάλλει· Ἐν Ἰορδάνῃ βαπτιζομένου σου, καὶ γίνεται ἀπόλυσις.

л. 17. Εὐχὴ εἰς ἀδελφοποίησιν.

Εὐλόγησον, δέσποτα. Εὐλογημένη ἡ βασιλεία, καὶ λέγει τὴν συναπτήν. Ἐκφώνησις· Ὅτι πρέπει. Εἰρήνη πᾶσι. Τοῦ Κυρίου δεηθῶμεν. Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καταξιώσας διὰ τῆς ἐπιφανείας τοῦ ἁγίου σου Πνεύματος τοῦ συναφθῆναι τοὺς ἁγίους σου ἀποστόλους Πέτρου καὶ Παύλου ἐκ περάτων τῆς οἰκουμένης καὶ συζεύξας αὐτοὺς τῷ Πνεύματί σου τῷ ἁγίῳ, αὐτὸς καὶ νῦν, φιλάνθρωπε βασιλεῦ, πάρεσον καὶ τοὺς δούλους σου τούτους καὶ δὸς αὐτοῖς τὴν χάριν, ἣν ἔδωκας ἀνὰ μέσον Πέτρου καὶ Παύλου, ὅτι παρὰ σοῦ ἁρμόζεται πᾶν ἔργον τέλειον καὶ θαυ-

*

μαστὸν τοῖς ἁγίοις σου. Ὅτι εὐλογητός... Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ πάντα πρὸς σωτηρίαν χαρισάμενος... Goar. pag. 707. Ὁ ὢν Δέσποτα Κύριε, ὁ ποιήσας ἄνθρωπον κατὰ εἰκόνα σὴν καὶ ὁμοίωσιν, ὁ ἁγίους σου ἀποστόλους Φίλιππον καὶ Βαρθολομαῖον... (См. выше стр. 31—32) μάρτυρας Σέργιον καὶ Βάκχον, εὐλόγησον τοὺς δούλους σου τούτους καὶ δὸς αὐτοῖς ἀγαπᾶν ἀλλήλους, ἀμισήτους καὶ ἀσκανδαλίστους εἶναι πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτῶν, πρεσβείαις τῆς ἁγίας Θεοτόκου καὶ πάντων τῶν ἁγίων σου... Ὅτι πρέπει... Ἐλέησον ἡμᾶς... Ἔτι δεόμεθα.

л. 17 об. Εὐχὴ ἐπὶ τῶν ἐν βρώμασι σκανδαλισθέντων. Goar. pag. 535.

л. 18. Εὐχὴ ἐπὶ μιαροφαγησάντων. Goar. p. 534.

л. 18 об. Τάξις, γινομένη ἐὰν συμβῇ μιαρὸν ἢ ἀκάθαρτον (ἐμπεσεῖν) εἰς ἀγγεῖον οἴνου ἢ ἐλαίου.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν τῇ κατὰ σάρκα σου οἰκονομίᾳ. Goar. p. 482.

л. 19. Εὐχὴ ἐπὶ φρέατος καὶ πηγῆς.

Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ πάντα ἐν σοφίᾳ δημιουργήσας, ὁ πλάσας τὸν ἄνθρωπον κατ' εἰκόνα σὴν καὶ ὁμοίωσιν καὶ θέμενος αὐτὸν ἐν παραδείσῳ τῆς τρυφῆς.

л. 19 об. Εὐχὴ εἰς σκεῦος μιανθέν.

Δέσποτα καρδιογνῶστα Κύριε. См. ркп. XV в. Свято-гроб. библ. № 8, прим.

л. 20. Εὐχὴ εἰς τὸ ἐπάραι παιδίον ἀπὸ ἐκκλησίας.

Φορένει ὁ ἱερεὺς καὶ τίθησι τὸ ἅγιον εὐαγγέλιον, ἅπτει κηροὺς καὶ θυμιᾷ, καὶ λέγει τὴν συναπτὴν ὅλην. Ἐκφώνησις· Ὅτι πρέπει. Εἰρήνη πᾶσι. Τὰς κεφαλὰς ἡμῶν. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ διὰ τοῦ ἠγαπημένου σου Παιδός, ὁ δὲ ἡμῶν Ἰησοῦ Χριστοῦ γενέσθαι καλέσας ἡμᾶς. Goar. p. 561.

л. 20 об. Ἀκολουθία τῆς γονυκλισίας, ἤγουν τῆς ἁγίας Πεντηκοστῆς. Goar. p. 597—604.

л. 29. Ἀκολουθία ἐγκαινίων.

Κάθισμα, ἦχος πλ. δ'. Ὡς τοῦ ἄνω στερεώματος τὴν εὐπρέπειαν... Στιχηρά· Μωσῆς ἐκεῖνος ὁ μέγας ὁ καὶ θεόπτης φωνῆς... Τῶν ἀσωμάτων αἱ τάξεις... Ἀνακαινίζου ψυχή μου... Στιχηρὰ ἰδιόμελα, ἦχος πλ. β'. Ἐγκαίνια τιμᾶσθαι παλαιὸς νόμος καὶ καλός... Ὁ κανών, ᾠδὴ α'. ἦχος δ'. Ἄσομαί σοι, Κύριε... Προκείμενον τοῦ ἀποστόλου, ἦχος δ'. Τῷ οἴκῳ σου, ἀπόστολος, εὐαγγέλιον. Goar. p. 663. Конецъ евангелія: καὶ ὃ ἐὰν λύσῃς ἐπὶ τῆς γῆς ἔσται λελυμένον ἐν τοῖς οὐρανοῖς. Εἴπωμεν πάντες... Ἐξ ὅλης τῆς ψυχῆς... Καὶ λέγει τὴν εὐχὴν ταύτην. Τοῦ Κυρίου δεη-

θῶμεν. Ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ εὐλογητὸς εἰς τοὺς αἰῶνας... Goar. p. 662.

л. 32 об. Εὐχὴ ἐπὶ ἁγίαν τράπεζαν πεπηγμένην.

Κύριε, Κύριε, ἐν ὀνόματι τοῦ κορυφαίου καὶ ἀποστόλου σου Πέτρου ὁμοφώνῳ πέτραν τὴν ἐκκλησίαν σου καλέσας...

л. 33. Εὐχὴ ἐὰν σαλευθῇ ἁγία τράπεζα καὶ πάλιν πῆξαι αὐτήν.

Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς τῶν δυνάμεων, ὅτι ἣν ἐξέχεας χάριν ἐπὶ τοὺς ἁγίους σου ἀποστόλους καὶ τοὺς ὁσίους πατέρας ἡμῶν. Goar. pag. 491.

— Εὐχὴ ἐπὶ ἀνομβρίας. Goar. pag. 613.

л. 33 об. Εὐχὴ ἐπὶ τρύγης. pag. 552.

— Εὐχὴ ἐπὶ σπόρου.

Κύριε ὁ Θεὸς ὁ Παντοκράτωρ, ὁ δημιουργὸς τῶν ἁπάντων, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν, ἐν παντὶ ἔργῳ ὁ εἰπὼν ἐν ἀρχῇ· ἐξαγαγέτω ἡ γῆ βοτάνην χόρτου. Goar. p. 557.

л. 34. Εὐχὴ ἐπὶ θέρους. Goar. p. 524.

— Εὐχὴ ἐπὶ σεισμῶν.

Ὁ φοβερὸς καὶ θαυμαστός, ὁ μέγας, ἔνδοξός τε καὶ ἀληθινός. pag. 623.

л. 34 об. Εὐχὴ ἐπὶ χειροτονίᾳ ἀναγνώστου.

Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ἔκλεξαι τὸν δοῦλόν σου καὶ ἁγίασον αὐτόν. Goar. p. 194 об.

— Εὐχὴ ἐπὶ σταυροπηγίου.

Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ προτυπώσας τὴν ῥάβδον τὴν τοῦ Μωϋσέως εἰς τὸν τίμιον καὶ ζωοποιὸν σταυρόν. Goar. p. 487.

л. 35. Εὐχὴ εἰς τὴν εὐλόγησιν ἅλατος.

Σὺ ὁ Θεός, ὁ παραγενόμενος ἐν Ἱεριχῷ ἐπὶ Ἐλισσαίου τοῦ προφήτου καὶ τὰ βλαβερὰ ὕδατα. Goar. p. 561.

— Εὐχὴ ἐπὶ τελευτήσαντος ἱερέως.

Ὁ Θεὸς ὁ μέγας ἀρχιερεύς, ὁ δίκαιος τῶν καμάτων κριτής, τὸν μεθ' ἡμῶν σοι δουλεύσαντα, καὶ ἐξ ἡμῶν ἐκδημήσαντα. См. выше стр. 57.

— Εὐχὴ εἰς κοιμηθέντα.

Κύριε, Κύριε, τῶν θλιβομένων παραμυθία καὶ τῶν πενθούντων παράκλησις. Goar. p. 453.

л. 35. Εὐχὴ ἐπὶ κολύβων ἁγίων.

Ὁ πάντα τελεσφορήσας τῷ λόγῳ σου, Κύριε. Goar. p. 524. Εὐχὴ ἑτέρα· Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν. См. выше стр. 35.

Εὐχὴ ἐπὶ μετανοούντων.

Ὁ Θεὸς ὁ Κύριος ἡμῶν, ὁ διὰ τοῦ προφήτου σου Νάθαν μετανοήσαντι τῷ Δαβίδ. p. 536.

л. 36. Εὐχὴ ἐξομολογουμένων.

Κύριος ὁ Θεός, ὁ τῷ Πέτρῳ καὶ τῇ πόρνῃ διὰ δακρύων τὴν ἄφεσιν τῶν ἁμαρτιῶν δωρησάμενος. Goar. p. 537.

л. 36 об. Διακονικὰ εἰς ἁρμῶνας.

Εὐλόγησον, δέσποτα. Εὐλογημένη ἡ βασιλεία. Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῆς εἰρήνης... Ὑπὲρ τῶν μνηστευομένων ἀλλήλοις εἰς ἕνωσιν συζυγίας... Ὑπὲρ τοῦ δούλου τοῦ Θεοῦ... Ὑπὲρ τοῦ παρασχεθῆναι αὐτοῖς τε καὶ ἡμῖν πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα... Ὑπὲρ τοῦ ῥυσθῆναι. Ὅτι σὸν τὸ κράτος. Εἰρήνη πᾶσι. Τὰς κεφαλάς. Εὐχή· Ὁ Θεὸς ὁ αἰώνιος... Goar. p. 311. Ἀντιλαβοῦ, σῶσον. Τῆς παναγίας. Ἐκφώνησις· Ὅτι ἐλεήμων. Εὐχὴ τῶν δακτυλιδίων. Τοῦ Κυρίου δεηθῶμεν. Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἀποστείλας τὴν ἀλήθειάν σου... См. въ ркп. Свят.-гроб. библ. XV в. № 8 въ прим. Καὶ σφραγίζων τὰ δακτυλίδια γʹ. λέγει οὕτως· Χριστὸς ἐν Τριάδι ὑμνούμενος, εὐλόγησον, ἁγίασον τὴν ζωὴν ἡμῶν πάντοτε νῦν. Καὶ εἶθ' οὕτως δίδει αὐτοῖς τὰ δακτυλίδια καὶ λέγει· Δότε δακτυλίδιον εἰς τὰς δεξιὰς αὐτῶν, καί, ἐξενέγκαντες τὴν στολὴν τὴν πρώτην, ἐνδύσατε αὐτόν, θύσαντες τὸν μόσχον τὸν σιτευτὸν καὶ φάγοντες εὐφρανθῶμεν· ὅτι διὰ τοῦ λόγου σου, Κύριε, τοῦ ἀληθινοῦ οἱ οὐρανοὶ ἐστερεώθησαν καὶ ἡ γῆ ἐθεμελιώθη, καὶ τῇ δεξιᾷ σου τῇ κραταιᾷ εὐλογηθήσεται·—ἄγγελος Κυρίου στήτω ἐκ δεξιῶν αὐτῶν, λυτρούμενος αὐτοὺς ἀπὸ πάσης ἐπιβουλῆς τοῦ ἀντικειμένου. Ὅτι σὸν τὸ κράτος. Εἰρήνη πᾶσι. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὴν ἐξ ἐθνῶν μνηστευσάμενος... Goar. p. 311. Καὶ γυρίζει αὐτοὺς γʹ. καὶ λέγει ψαλμόν· Μακάριοι πάντες οἱ φοβούμενοι... Καὶ ἀπολύει.

л. 37 об. Διακονικὰ εἰς εὐλόγησιν, ἤγουν εἰς γάμους.

Εὐλόγησον, δέσποτα. Εὐλογημένη ἡ βασιλεία... Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν. Ὑπὲρ τῶν συναπτομένων πρὸς γάμου κοινωνίαν. Ὑπὲρ τοῦ δοθῆναι αὐτοῖς σωφροσύνην, καρπὸν τέκνων... Ὅπως Κύριος ὁ Θεὸς ἡμῶν χαρίσηται αὐτοῖς τίμιον τὸν γάμον... Ὑπὲρ τοῦ ῥυσθῆναι. Ἀντιλαβοῦ, σῶσον. Τῆς παναγίας... Ὅτι πρέπει... Τοῦ Κυρίου δεηθῶμεν. Ὁ Θεὸς ὁ ἅγιος, ὁ πλάσας τὸν ἄνθρωπον... Goar. p. 317. Καὶ παραδίδει ἀλλήλοις τὰς δεξιὰς αὐτῶν χεῖρας καὶ λέγει· Ὅτι παρὰ σοὶ ἁρμόζεται ἀνδρὶ γυνή, σύζευξον αὐτοὺς ἐν ὁμοφροσύνῃ, στεφάνωσον αὐτοὺς ἐν ἀγάπῃ, ἕνωσον αὐτοὺς εἰς σάρκα μίαν, χάρισαι αὐτοῖς καρπὸν κοιλίας, εὐτεκνίας

ἀπόλαυσιν καὶ ἀκατάγνωστον διαγωγήν. Ὅτι πρέπει σοι πᾶσα δόξα... Τοῦ Κυρίου δεηθῶμεν. Ὁ Θεὸς ὁ ἄχραντος, ὁ πάσης κτίσεως δημιουργός, ὁ τὴν πλευρὰν τοῦ πρωτοπλάστου Ἀδὰμ διὰ τῆς σῆς φιλανθρωπίας εἰς γυναῖκα μεταμορφώσας... Goar. p. 315. Текстъ по мѣстамъ отличенъ отъ Гоаровскаго. Καὶ λαβὼν ὁ ἱερεὺς τὰ στέφανα ἐκ τῆς ἁγίας τραπέζης, λέγει τὸν ψαλμόν· Κύριε, ἐν τῇ δυνάμει σου εὐφρανθήσεται ὁ βασιλεύς... до конца. Καὶ σφραγίζει ὁ ἱερεύς, λέγει· Κύριε ὁ Θεὸς ἡμῶν, δόξῃ καὶ τιμῇ στεφάνωσον αὐτόν. Λέγει τοῦτο τρίτον. καὶ στέφει αὐτούς. Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν τῇ σωτηριώδει σου οἰκονομίᾳ καταξιώσας. Goar. p. 318. Εὐχὴ τῶν στεφάνων· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὰ στέφανα τῶν ἁγίων σου μαθητῶν καὶ ἀποστόλων εὐλογήσας καὶ χαρισάμενος αὐτοῖς ἀμώμητον πίστιν καὶ λόγους μεταδόσεως δικαιοσύνης, αὐτός, φιλάνθρωπε Κύριε, τὰ στέφανα τῶν δούλων σου εὐλόγησον καὶ χάρισαι αὐτοῖς λογισμὸν δικαιοσύνης, ἐνάρετον πολιτείαν, ἵνα, κατὰ τὰς ἐντολάς σου πολιτευσάμενοι, καταξιωθῶσι τῆς ἐκ δεξιῶν σου στάσεως τῷ Δεσπότῃ Χριστῷ, κατὰ τοῦ δικαίου Συμεών. Καὶ εὐθὺς λέγει· Καὶ καταξίωσον ἡμᾶς, Δέσποτα... Ἐκφώνησις· Ὅτι σοῦ ἐστίν. Εἰρήνη πᾶσι. Τὰς κεφαλὰς ἡμῶν. Καὶ λέγει· Πρόσχωμεν. Τὰ προηγιασμένα ἅγια. Καὶ λέγει· Προσέλθετε. Κοινωνικόν· Γεύσασθε καὶ ἴδετε. Καὶ μεταδίδει αὐτοῖς καὶ λέγει τὴν εὐχὴν τοῦ κοινοῦ ποτηρίου· Ὁ Θεός, ὁ πάντα ποιήσας τῇ ἰσχύει σου καὶ στερεώσας τὴν οἰκουμένην καὶ ἑδράσας τὴν γῆν, καὶ κοσμήσας τὸν στέφανον πάντων τῶν πεποιημένων ὑπὸ σοῦ, ὁ τὸ πῶμά σοῦ τὸ ἅγιον τοῖς ἁγίοις σου ἀποστόλοις χορηγήσας, οὗ ἡ ἁγία πλευρὰ ἐπήγασε τὰ ἀγαθὰ καὶ ἀθάνατα νάματα, ὁ τὸ ὕδωρ εἰς οἶνον μεταβαλὼν καὶ ἐμπλήσας εὐφροσύνην τοῖς δούλοις σου, τοῖς ἐν Κανᾷ τῆς Γαλιλαίας, καὶ τὸ ποτήριον τὸ κοινὸν τοῦτο παρεχόμενος ἡμῖν, τοῖς συναφθείσασι πρὸς γάμου κοινωνίαν, εὐλόγησον εὐλογίαν πνευματικὴν καὶ παράσχου αὐτὰ τοῖς δούλοις σου εἰς ἑνωτικὴν στοργήν, εἰς εὐφροσύνην συνέσεως. Καὶ εὐθὺς ποτί(ζ)ει αὐτοὺς οἴνου ἀκράτου καὶ λέγει τὴν εὐχήν· Δέσποτα, Δέσποτα τῶν ἁπάντων, ὁ λαβὼν χοῦν ἀπὸ τῆς γῆς καὶ πλάσας ἔργον τίμιον, τὸν ἄνθρωπον, καὶ εἰπών· οὐ καλόν, εἶναι τὸν ἄνθρωπον μόνον ἐπὶ τῆς γῆς, ποιήσωμεν αὐτῷ βοηθὸν κατ' αὐτόν. Αὐτὸς καὶ νῦν, Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, κατάπεμψον χεῖρά σου τὴν ἐπουράνιον καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον ἐπὶ τοὺς δούλους σου τούτους, καὶ δὸς τῇ παιδίσκῃ ταύτῃ ἐν πάσῃ ὑποταγῆναι τῷ ἀνδρί, καὶ δὸς τὸν δοῦλόν σου τοῦτον εἶναι κεφαλὴν τῇ γυναικί, καὶ δὸς αὐτοῖς βίον κατὰ τὸ θέλημά σου· καὶ ὡς εὐλόγησας τὸν Ἀβ-

ραάμ καὶ τὴν Σάῤῥαν, εὐλόγησον καὶ τοὺς δούλους, καὶ ὡς εὐλόγησας Ἰσαὰκ καὶ Ῥεβέκκαν, οὕτως εὐλόγησον καὶ τὴν συζυγίαν ταύτην, καὶ ὡς εὐλόγησας πάντας τοὺς πατριάρχας, εὐλόγησον καὶ τὴν συνταγίαν ταύτην, καὶ ὡς εὐλόγησας τὸν γάμον ἐν Κανᾷ τῆς Γαλιλαίας, εὐλόγησον καὶ τὸν γάμον τοῦτον. Ναί, ὁ Θεός, ἐπάκουσόν μου καὶ δὸς αὐτοῖς εὐτεκνίαν καὶ καρπὸν δικαιοσύνης, τὴν κοίτην αὐτῶν ἀνεπιβούλευτον διατήρησον, καὶ δὸς αὐτοῖς δρόσον τοῦ οὐρανοῦ ἄνωθεν, καὶ ἀπὸ τῆς πιότητος τῆς γῆς ἔμπλησον τὸν οἶκον αὐτῶν παντὸς ἀγαθοῦ, καὶ κατακόσμησον ἐν πάσῃ σωφροσύνῃ τῷ σῷ φόβῳ. Ὅτι εὐλογητός... Τοῦ Κυρίου δεηθῶμεν. Ἀδελφοί, χαίρετε ἐν Κυρίῳ πάντοτε, χαίρετε τὸ ἐπιεικὲς ὑμῶν γνωσθήτω πᾶσιν ἀνθρώποις·—ὁ Κύριος ἐγγύς, μηδὲν μεριμνᾶτε, ἀλλ' ἐν παντὶ προσευχῇ καὶ τῇ δεήσει μετ' εὐχαριστίας τὰ αἰτήματα ὑμῶν γνωριζέσθω πρὸς τὸν Θεόν, καὶ ἡ εἰρήνη τοῦ Θεοῦ, ἡ ὑπερέχουσα πάντα νοῦν, φρουρήσει τὰς καρδίας ὑμῶν καὶ τὰ νοήματα ὑμῶν ἐν Χριστῷ Ἰησοῦ. Τὸ λοιπόν, ἀδελφοί, ὅσα ἐστὶν ἀληθῆ, ὅσα σεμνά, ὅσα εὔφημα, εἴ τις ἀρετὴ καὶ εἴ τις ἔπαινος, ταῦτα λογίζεσθε, ἃ καὶ ἐμάθετε καὶ παρελάβετε καὶ ἠκούσατε καὶ ἴδετε ἐν ἐμοί, ταῦτα πράσσετε, καὶ ὁ Θεὸς τῆς εἰρήνης ἔσται μεθ' ὑμῶν. Καὶ γυρίζει αὐτοὺς γ'. καὶ λέγει· Σῶσον, Κύριε, τὸν λαόν σου.

л. 40. Εὐχὴ εἰς τὸ λῦσαι παστόν.

Σύμφωνα καταντούσαντες οἱ δοῦλοί σου, Κύριε. pag. 325. Εἰρήνη πᾶσι. Τὰς κεφαλάς... Κύριε ὁ Θεὸς ἡμῶν, ὁ θάλαμον εὐτρεπήσας, ἀξίωσον πάντας τοὺς ἐν νόμῳ καὶ στεφάνῳ ἀφθαρσίας, ὡς ἔπαθλον παρθενείας τούτους κατακοσμῶν, αὐτὸς Δέσποτα, τοὺς δούλους εὐλόγησον[1]), καὶ κατὰ τὴν εὐλογίαν τοῦ πατρὸς ἡμῶν Ἀβραάμ, Ἰσαὰκ καὶ Ἰακώβ, χάρισαι αὐτοῖς ὑγείαν ψυχῆς καὶ σώματος, παιδοποιῆσαι[2]), γῆρας τίμιον. Ὅτι σὸν τὸ κράτος. Καὶ λέγει· Ἐλέησον ἡμᾶς... Ἔτι δεόμεθα ὑπὲρ τῶν δούλων... Ὅτι ἐλεήμων... καὶ ἀπολύει.

л. 41. Ἀκολουθία τοῦ ἁγιάσματος κατὰ πᾶσαν ἀρχὴν μηνὸς καὶ εἰς τὴν ἑορτὴν τῆς ὑπεραγίας Θεοτόκου. Чинъ ничего особеннаго въ себѣ не заключаетъ. Goar. p. 358.

л. 48 об. Ἀκολουθία τοῦ ἁγίου ἐλαίου, ἤτοι τὸ ἑπταπαπαδοή (sic.) Ὀφείλει ὁ μέλλων ποιεῖν αὐτὸ καλεῖσθαι τοὺς ἑπτὰ ἱερεῖς ἀφ' ἑσπέρας καὶ ψάλλειν ταῦτα, ἔνθα καὶ βούλει, ἢ ἐν τῇ ἐκκλησίᾳ, ἢ ἐν τῇ οἰκίᾳ αὐτοῦ. Καὶ λέγει ὁ ἱερεὺς τὸν εὐλογητόν, καὶ ἀρχόμεθα τὸν ψαλμόν,

---

[1]) Ркп. Синайск. библ. IX—X в. № 957 τοὺς δούλους σου τούτους τοὺς νεονύμφους [2]) πεδοποιίαν ἀγαθὴν καὶ γῆρας τίμιον.

καὶ μετὰ τὴν πλήρωσιν τούτου, λέγει ὁ πρωτοπαπὰς τὴν συναπτὴν ὅλην καὶ ἐκφώνησιν· Ὅτι πρέπει. Στιχηρά, ἦχος δ'. Ἔδωκας τὴν χάριν σου... Βλέψε, ἀκατάληπτε... Χρίσει τοῦ ἐλαίου σου... Goar. pag. 334. Δόξα καὶ νῦν, Ἀπ' ἐναντίων κινδύνων... Εἰς τὸν ὄρθρον, μετὰ τὸ Θεὸς Κύριος, τροπάριον, ἦχος πλ. α'. Τὴν ταχεῖαν σου σκέπην καὶ τὴν βοήθειαν... Ὁ κανών, ἦχος δ'. Θαλάσσης τὸ ἐρυθραῖον... Ἐλαίῳ εὐσπλαγχνίας... Goar. pag. 342, но безъ имени Арсенія. Εἶτα στιχηρὰ ζήτει εἰς τὴν ἀρχὴν τοῦ κανόνος, εἶτα ἐκτενὴ καὶ ἀπόλυσις, καὶ μετὰ τὴν ἀπόλυσιν τούτῳ·

л. 51 об. Συνάγονται οἱ ἑπτὰ ἱερεῖς καὶ τίθουσι τετραπόδιον καὶ ἐπάνω τούτου τίθουσι πινάκιον, ἔχον τὰ σιτάρια ἢ κριθάρια, καὶ ἐπάνω κανδήλαν. Καὶ ποιήσας εὐλογητὸν ὁ πρωτοπαπάς, ψάλλομεν Τρισάγιον, ἔπειτα Δεῦτε προσκυνήσωμεν γ'. καὶ ψάλλομεν Ν'. εἶτα τὸ Πιστεύω εἰς ἕνα, λέγομεν τοῦτο γ'. Εἶτα βάλλει ὁ πρωτοπαπὰς ἔλαιον εἰς τὴν κανδήλαν, λέγει τὴν εὐχὴν ταύτην. Τοῦ Κυρίου δεηθῶμεν. Κύριε, ἐν τῷ ἐλέει. Goar. pag. 335. Ἔπειτα βάλλει ὁ δεύτερος ἱερεὺς καὶ ὁ τρίτος ἕως τῶν ἑπτά, λέγοντες τὴν εὐχὴν ταύτην. Καὶ μετὰ τοῦτο ψάλλουσι τὰ ἀπολυτίκια τῶν ἁγίων, ὅσα θέλουν, ἀλλὰ καὶ τὰ κοντάκια. Προσφέρεται δὲ ὁ μέλλων ποιεῖν τὸ ἅγιον ἔλαιον, ποιῶν κατ' ἀνατολὰς μετανοίας τρεῖς καὶ ἑτέρας μετανοίας εἰς τοὺς ἱερεῖς, λέγων οὕτως· Εὐλογεῖτε, ἱερεῖς... Καὶ λέγουσιν αὐτῷ οἱ ἱερεῖς· Ὁ Θεὸς συγχωρήσει καὶ ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι. Καὶ ἵσταται κατὰ ἀνατολάς, ἀσκεπασμένων τῶν ἱερέων, καὶ σφραγίζουσι· Νῦν καὶ ἀεί. Λέγει τὴν εὐχὴν ταύτην· Βασιλεῦ ἅγιε, εὔσπλαγχνε... Goar. pag. 52. Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τοῦ ἀδελφοῦ ἡμῶν καὶ τῆς σωτηρίας αὐτοῦ... Ὑπὲρ ἀφέσεως ἁμαρτιῶν καὶ συγχωρήσεως τῶν πλημμελημάτων... Ὑπὲρ τοῦ ἐλθεῖν ἐπ' αὐτὸν τὴν χάριν τοῦ ἁγίου Πνεύματος, φωτίζουσαν αὐτόν... Ὑπὲρ τοῦ γενέσθαι αὐτὸν ἀκατάκριτον ὑπὸ τοῦ δικαίου Κριτοῦ... Ὑπὲρ τοῦ καταξιωθῆναι αὐτὸν τῆς βασιλείας τῶν οὐρανῶν. Ὑπὲρ τοῦ λυτρωθῆναι αὐτόν... Ὑπὲρ τοῦ ῥυσθῆναι... Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας ἀχράντου. Ὅτι πρέπει. Τοῦ Κυρίου δεηθῶμεν. Εὐδιάλλακτε, Κύριε А. Дмитріевскій. Прилож. къ Богослуж. въ русск. ц. въ XVI в. ч. I. стр. 124. Εἶτα λέγει τὴν εὐχὴν ταύτην εἰς τὴν κανδήλαν. Τοῦ Κυρίου δεηθῶμεν. Ἄναρχε, ἀδιάδοχε... Goar. pag. 337. Εἶτα πάλιν λέγει τὴν εὐχὴν εἰς φύλαξιν αὐτοῦ. Τοῦ Κυρίου δεηθῶμεν. Δέσποτα παντοκράτωρ, ἅγιε βασιλεῦ... Прилож. стр. 127. Εἶτα ἄρχεται ὁ προτωπαπὰς τὸν ἀπόστολον καὶ εὐαγγέλιον, ἐκτενή. Goar. pag. 337. Τοῦ Κυρίου δεηθῶμεν. Ὁ Θεὸς ὁ μέγας καὶ θαυμαστός...

Ibidem. Εἶτα εἰσέρχεται ὁ β'. ἱερεύς, прокименъ и апостолъ pag. 338, евангеліе отъ Матѳея pag. 340, ектенья, Εἰρήνη πᾶσι. Τοῦ Κυρίου δεηθῶμεν. Γένοιτο τὸ ἔλαιον τοῦτο... Прилож. стр. 109. Καὶ εὐθὺς ἄρχεται ὁ τρίτος, προκείμενον· Ἐγὼ δὲ ἐπὶ τῷ ἐλέει, апостолъ и евангеліе pag. 341 и молитва: Ὁ Θεὸς ὁ μέγας καὶ ὕψιστος. См. ркп. XV в. Свято-гроб. библ. № 8. Εἶτα ὁ δ'. ἱερεύς, προκείμενον· Ἐγὼ εἶπα· Κύριε, ἐλέησον... Πρὸς Ἐφεσίους· Ἀδελφοί, ὁ Θεὸς πλούσιος ὢν ἐν ἐλέει... ἵνα ἐν αὐτοῖς περιπατήσωμεν. Εὐαγγέλιον ἐκ τοῦ Λουκᾶ· Τῷ καιρῷ ἐκείνῳ, προσκαλεσάμενος ὁ Ἰησοῦς τοὺς δώδεκα μαθητάς. Τέλος· καὶ ἐθεραπεύοντο, ἐκτενή, Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ πολὺς ἐν ἐλέει. Прилож. стр. 130, прим. 3. Εἶτα εἰσέρχεται ὁ ε'. ἱερεύς, προκείμενον, ἦχος πλ. α'. Σύ, Κύριε, φυλάξεις, апостолъ и евангеліе pag. 343, ектенья и молитва: Κύριε ὁ Θεός, ὁ καθήμενος ἐπὶ τῶν χερουβίμ. Прилож. стр. 114. Εἶτα εἰσέρχεται ὁ ς'. ἱερεύς, προκείμενον, ἦχος πλ'. β'. Ἐλέησόν με, ὁ Θεός, ἀπόστολος πρὸς Θεσσαλονικεῖς· (sic) Ἀδελφοί, οὐ θέλομεν ὑμᾶς ἀγνοεῖν ὑπὲρ τῆς θλίψεως ἡμῶν. Τέλος· διὰ πολλῶν εὐχαριστηθῇ ὑπὲρ ὑμῶν. Εὐαγγέλιον κατὰ Ματθαῖον· Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην· ὁμοιωθήσεται ἡ βασιλεία τῶν οὐρανῶν δέκα παρθένοις... Τέλος· ἐν ᾗ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔρχεται. Ектенья и молитва: Ὁ Θεὸς ὁ δυνατὸς καὶ ἐλεήμων. Прилож. стр. 132, прим. 3. Καὶ εὐθὺς εἰσέρχεται ὁ ζ'. ἱερεύς, апостолъ къ Θессалоникійцамъ, pag. 344, евангеліе отъ Луки, pag. 339, ектенья и молитва: Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καταπέμψας τοὺς ἑπτὰ ἀρχαγγέλους ἐπὶ τὸν οἶκον Ζακχαίου καὶ εἰπών, ὅτι σήμερον σωτηρία ἐν τῷ οἴκῳ τούτῳ γέγονεν [1]). Αὐτὸς φιλάνθρωπε Κύριε ὁ Θεὸς ἡμῶν, κατάπεμψον τούτους τοὺς ἀρχαγγέλους ἐπὶ τὸν οἶκον [2]) τοῦ δούλου σου τοῦδε, τοῦ προετοιμασαμένου τὴν θείαν καὶ ἱερὰν καὶ ἔνδοξον ταύτην θυσίαν ἡμῶν, καὶ ἐπὶ τὸ ἅγιον ἔλαιον τοῦτο, τὸ προετοιμασμένον [3]) καὶ ἀναφερόμενον εἰς ὁλοκάρπωσιν τοῦ θυσιαστηρίου σου. Ναί [4]), ὁ Θεὸς ἡμῶν, ἐπάκουσον ἡμῶν, ὡς ἐπήκουσας Ζακχαίου, τοῦ [5]) πενιχροῦ ἀνθρώπου, καὶ ἔσωσας αὐτόν, οὕτως ἐλθέτω ἐφ' ἡμᾶς ἡ φιλανθρωπία σου, καὶ εὐλόγησον τὸ ἔλαιον τοῦτο καὶ τοὺς ἐξ αὐτῶν χριομένους, δὸς πίστιν ἄμετρον καὶ εὐλογίαν ἀδιάλειπτον, ἵνα εὐαρεστήσωσί σε, τὸν μόνον ἀληθινὸν Θεὸν ἡμῶν, εὐχαῖς καὶ πρεσβείαις [6])

[1]) Ркп. XIII в. Синайск. библ. № 960 ἐγένετο [2]) οἶκον τοῦτον τοῦ προσκαλουμένου τὴν ἔνδοξον ταύτην καὶ ἱερὰν θυσίαν [3]) προϊστάμενον [4]) Κύριε ὁ Θεὸς ἡμῶν [5]) Пропускъ до словъ: καὶ εὐλόγησον τὸ ἔλαιον [6]) καὶ ἱκεσίαις τῆς πανυμνήτου Δεσποίνης.

τῆς παναγίας ἀχράντου Δεσποίνης ἡμῶν Θεοτόκου, τῶν [1]) τιμίων καὶ ἐνδόξων δυνάμεων ἀσωμάτων, τῶν ἁγίων καὶ πανευφήμων ἀποστόλων καὶ τῶν ἁγίων καὶ θαυματουργῶν ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ, Κήρου καὶ Ἰωάννου, Παντελεήμονος καὶ Ἑρμολάου, Διομήδους, Θεράποντος καὶ Θαλαλαίου, καὶ πάντων σου τῶν ἁγίων. Ὅτι σὺ εἶ ἡ πηγὴ τῶν ἰαμάτων... Καὶ εὐθὺς ἄρχεται ὁ πρωτοπαπὰς λέγειν τὴν εὐχὴν ταύτην, καὶ ἀλείφει αὐτὸν ἕως τῶν ἑπτά. Τοῦ Κυρίου δεηθῶμεν. Πάτερ ἅγιε... Goar. pag. 338. Καὶ μετὰ τὸ πληρῶσαι τοὺς ἑπτὰ ἱερεῖς τὴν εὐχήν, λέγει ὁ πρωτοπαπὰς τὴν εὐχὴν ταύτην ἐπὶ τὴν κεφαλὴν αὐτοῦ. Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, σοῦ δεόμεθα καὶ σὲ παρακαλοῦμεν, πρόσδεξαι τὴν ἱκεσίαν τοῦ δούλου σου, τοῦ κλίναντος τὸν ἑαυτοῦ αὐχένα ἐνώπιον τῆς ἁγίας δόξης σου, καὶ εἴ τι ἥμαρτεν ἐν λόγῳ, ἢ ἔργῳ ἢ κατὰ διάνοιαν, ἢ ἐν παραβάσει, ἢ ἐν παρακοῇ, ἢ ἐν νυκτί, ἢ ἐν ἡμέρᾳ, ἢ ὑπὸ κατάραν ἱερέως, ἄνες, ἄφες, οἴκτειρον, συγχώρησον, ὁ Θεός, τὰς ἁμαρτίας αὐτοῦ, καὶ καταξίωσον αὐτὸν τοῦ ἀχράντου σου σώματος καὶ τοῦ τιμίου σου αἵματος εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς ὑγείαν ψυχῆς τε καὶ σώματος, πρεσβείαις τῆς παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ, τῶν ἐπουρανίων δυνάμεων ἀσωμάτων, τοῦ Προδρόμου Ἰωάννου, τῶν θείων καὶ πανευφήμων ἀποστόλων, καὶ τῶν ἁγίων ἐνδόξων ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ, Κήρου καὶ Ἰωάννου, Παντελεήμονος καὶ Ἑρμολάου, Διομήδους, Θαλαλαίου, καὶ τῶν ἐν ἁγίοις πατέρων ἡμῶν Βασιλείου τοῦ Μεγάλου, Ἰωάννου τοῦ Χρυσοστόμου, καὶ πάντων σου τῶν ἁγίων. Ὅτι σὺ εἶ ὁ φωτισμὸς καὶ ἁγιασμὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀνεπέμπομεν. Εἶτα ἐκτενή· Ἐλέησον ἡμᾶς... Καὶ μνημονεύει, ὅσους θέλει. Ὅτι ἐλεήμων. Σοφία. Ὁ ὢν εὐλογητός, καὶ γίνεται ἀπόλυσις, καὶ μετὰ τὴν ἀπόλυσιν, λέγει ὁ πρωτοπαπὰς ἐπὶ τὴν κεφαλὴν αὐτοῦ τὴν κατήχησιν ταύτην. Τοῦ Κυρίου δεηθῶμεν. Βλέπε, ἀδελφέ, τὸ ὑπόλοιπον τῆς ζωῆς σου... Прилож. стр. 135, прим.

л. 64 [2]). Апостольскія и евангельскія чтенія на дни чтимыхъ святыхъ и праздники господскіе и богородичные.

л. 86 об. 11 утреннихъ евангельскихъ чтеній.

---

[1]) Ркп. XIII в. Синайск. библ. № 960 τῶν ἁγίων ἀρχαγγέλων Μιχαήλ, Γαβριήλ, Οὐριὴλ καὶ Ῥαφαήλ, καὶ πάντων σου τῶν ἁγίων. Ὅτι Θεὸς ἐλέους καὶ οἰκτιρμῶν. [2]) Всѣ дальнѣйшія статьи писаны дурнымъ почеркомъ XVI в.

л. 94. Апостольскія и евангельскія чтенія и антифоны на праздники Рождества, Богоявленія, Обрѣзанія и Срѣтенія Господня.

л. 103 об. Слово Златоуста на пасхальной утрени.

л. 105. Апостольскія чтенія на предъуготовительныя недѣли къ посту и на праздники.

л. 111. Апостольскія и евангельскія чтенія на послѣдніе дни страстной седмицы и на недѣли послѣ пасхи.

л. 129. *Διάταξις τῆς θείας ἀποστολοευγγελίου* (очевидно, *λειτουργίας*). Краткое изложеніе чина обычной литургіи.

л. 125—139. Разнообразныя замѣчанія и нѣкоторыя молитвы, непредставляющія научнаго интереса.

**XXI**. Εὐχολόγιον, рукопись о. архим. Антонина[1]), покойнаго начальника русской миссіи въ Іерусалимѣ, на пергаменѣ (палимпсестъ IX—X в.) въ 24 долю листа, 45 листовъ, писана разгонистымъ, весьма дурнымъ и въ грамматическомъ отношеніи крайне не правильнымъ почеркомъ разныхъ рукъ XIII в.

лл. 1—2 къ настоящей рукописи отношенія не имѣютъ.

л. 3. *Ἀκολουθία εἰς τὸ κατασφραγίσαι παιδίον, λαμβάνον ὄνομα τῇ ὀγδόῃ ἡμέρᾳ τῆς γεννήσεως αὐτοῦ.*

*Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, σοῦ δεόμεθα καὶ σὲ ἱκετεύομεν.* Goar. p. 264.

л 4. *Εὐχὴ εἰς τὸ ἐκκλησιάσαι παιδίον εἰς τὰς (τεσ)σαράκοντα ἡμέρας.*

*Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν τεσσαράκοντα ἡμέραις τοῦ νόμου εἰς τὸ ἱερὸν ἀνελθὼν ὑπὸ Μαρίας τῆς ἁγίας μητρός σου.* См. выше стр. 177, прим.

— *Εὐχή, ὁπόταν πληρώσῃ ἡ γυνὴ τὰς μ΄. ἡμέρας.*

*Τοῦ Κυρίου δεηθῶμεν. Κύριε, ἐλέησον. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ παραγενόμενος ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων.* См. выше стр. 53.

л. 5. *Εὐχὴ εἰς τὸ ποιῆσαι κατηχούμενον.*

*Ἀποδύει αὐτὸν καὶ ἀπολύει* и т. д. Дмитріевскій. Прилож. стр. 9—11. Вопросы отрицаній тѣже и написаны подобнымъ же образомъ. Но вслѣдъ за молитвою: „*Δέσποτα ὁ Θεός, προσκάλεσαι τὸν δοῦλόν σου... καὶ εὐθέως ἄρχεται τὰ διακονικὰ λέγειν· Ἐν εἰρήνῃ τοῦ Κυρίου... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τοῦ ἁγίου... Ὑπὲρ τοῦ καταφοιτῆσαι τοῖς ὕδασι τού-*

[1]) Рукопись эта, по завѣщанію владѣльца, должна поступить теперь въ Импер. Спб. публичную библіотеку.

τοις... Ὑπὲρ τοῦ πᾶσαν ἐν αὐτοῖς τοῦ ψυχοκτόνου πολεμίου τὴν δύναμιν βυθισθῆναι. Ὑπὲρ τοῦ τέκνα φωτὸς ἀναδειχθῆναι... Ὑπὲρ τοῦ θείαν αὐτοὺς ἐνδύσασθαι δύναμιν... Ὑπὲρ τοῦ γενέσθαι αὐτὸν σκεῦος ἡγιασμένον... Ὑπὲρ τοῦ περιπατῆσαι αὐτὸν ἀξίως... Ὑπὲρ τοῦ ἀσφαλῆ καὶ βεβαίαν αὐτὸν κατασχεῖν... Ὑπὲρ τοῦ ἀκατακρίτως αὐτὸν μεταλαμβάνειν... Ὑπερ τοῦ κληρονόμον αὐτὸν ἀναδειχθῆναι... Ὑπὲρ τοῦ ῥυσθῆναι... Ἀντιλαβοῦ, σῶσον... Conf. Goar. p. 295. Καὶ ὁ ἱερεὺς ἐπεύχεται καθ' ἑαυτὸν τὴν εὐχὴν ταύτην· Ὁ εὔσπλαγχνος καὶ ἐλεήμων Θεός... Δεῖ εἰδέναι, ὅτι καὶ τὸ Ἀμὴν καθ' ἑαυτὸν τοῦ λέγει, καὶ ἀνιστάμενος, ἐκφωνεῖ· Μέγας εἶ, Κύριε, καὶ θαυμαστὰ τὰ ἔργα σου... Прилож. стр. 22. Goar. p. 295. Καὶ λαβὼν ὁ ἱερεὺς τὸ τρυβλίον μετὰ ἐλαίου, ποιεῖ ἐξ αὐτοῦ εἰς τὸ ὕδωρ σταυροὺς γ'. καὶ ἀποδοὺς τὸ τρυβλίον, ἐκφωνεῖ, λέγων· Εὐλογητὸς ὁ Θεός... Καὶ λαβὼν ὁ ἱερεὺς ἐκ τοῦ ἁγίου ἐλαίου τῷ δακτύλῳ αὐτοῦ, ποιεῖ εἰς τύπον σταυροῦ ἐπὶ τοῦ μετώπου τοῦ βαπτιζομένου καὶ τοῦ στήθους, καὶ τῶν μεταφρένων· Χρίεται ὁ δοῦλος τοῦ Θεοῦ... Καὶ τότε χρίεται ὑπὸ τοῦ διακόνου ὅλον τὸ σῶμα ἐκ τοῦ ἐλαίου. Καὶ μετὰ τοῦτο βαπτίζει αὐτὸν ὁ ἱερεὺς λέγων· Βαπτίζεται ὁ δοῦλος τοῦ Θεοῦ... Καὶ μετὰ τὸ βαπτίσαι ἅπαντας, ἐκφωνεῖ· Μακάριοι ὧν ἀφέθησαν... Καὶ λέγει τὸν στίχον τοῦτον σὺν τῷ λαῷ τρίτον καὶ δοξάζει, καὶ λέγει εὐχὴν τοῦ μύρου· Εὐλογητὸς εἶ, Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ... Goar. p. 290. Καὶ μετὰ τὴν εὐχήν, ψάλλοντος τοῦ λαοῦ τὸ Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, χρίει ὁ ἱερεὺς τοὺς βαπτισθέντας σταυροῦ τύπον ἐπὶ τοῦ μετώπου, τῶν ὀφθαλμῶν, τῶν μυκτήρων, τοῦ στόματος, τῶν β'. ὤτων καὶ τῶν λοιπῶν μελῶν, λέγων· Σφραγὶς δωρεᾶς... Καὶ μετὰ τοῦτο ἐκφώνησις· Εὐλογητὸς ὁ Θεός, ὁ φωτίζων καὶ ἁγιάζων... Καὶ εἰσέρχεται ὁ ἱερεὺς μετὰ τῶν νεοφωτίστων ἐν τῇ εἰσόδῳ τῆς λειτουργίας, καὶ τελεῖται ἡ θεία λειτουργία, καθὼς ἡ εἴδησις ὑποτέτακται, καὶ πλεῖον οὐδέν.

л. 23 об. Εὐχὴ εἰς τὸ ἀπολοῦσαι παιδίον.

Ὁ λύτρωσιν ἁμαρτιῶν διὰ τοῦ ἁγίου σου βαπτίσματος τοῖς δούλοις σου... Goar. p. 303. Εἰρήνη πᾶσι. Τὰς κεφαλὰς ὑμῶν. Καὶ ἀποσπογγίσας τὸν βαπτισθέντα μετὰ ὕδατος, λέγει οὕτως ὁ ἱερεύς· Ἐλούσθης, ἐφωτίσθης, ἡγιάσθης εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ. Εὐχή· Ὁ ἐνδυσάμενός σε τὸν Χριστὸν καὶ Θεὸν ἡμῶν... Goar. p. 304.

л. 24 об. Εὐχὴ εἰς τὸ κουρεῦσαι παιδίον ἀρχάριον.

Δέσποτα ὁ Θεὸς ἡμῶν, ὁ τῇ εἰκόνι σου τιμήσας τὸν ἄνθρωπον, ἐκ ψυχῆς λογικῆς καὶ σώματος εὐπρεποῦς κατασκευάσας αὐτόν... Goar. p. 306. Εἶτα λαβὼν τὴν σπαλίδα (ψαλίδιον), ὁ ἱερεὺς κουρεύει τὸ παιδίον

σταυροειδῶς, λέγων· Κείρεται ὁ δοῦλος τοῦ Θεοῦ τὴν κόμην τῆς κεφαλῆς αὐτοῦ εἰς τὸ ὄνομα... Εἰρήνη πᾶσι. Τὰς κεφαλάς. Ἱκετεύομεν, Κύριε ὁ Θεὸς τῆς σωτηρίας ἡμῶν, ὁ ἐκ τοῦ πληρώματος τῆς κολυμβήθρας. См. выше стр. 55. Καὶ ψάλλει ψαλμόν· Κύριε ὁ Κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ. Ὅτι ἐπήρθη ἡ μεγαλοπρέπειά σου ὑπεράνω τῶν οὐρανῶν. Ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον... Δόξα σοι ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν δόξα. Δόξα Πατρί... Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν ταῖς πρεσβείαις τῆς παναχράντου...

л. 26 об. Ἀκολουθία εἰς ἀδελφοποίησιν.

Προσέρχονται οἱ θέλοντες εὐλογηθῆναι ὑπὸ τοῦ ἱερέως καὶ λέγει· Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῶν δούλων τοῦ Θεοῦ ὁ δεῖνα καὶ τῆς ἐν Χριστῷ ἀδελφότητος αὐτῶν τοῦ Κυρίου δεηθῶμεν. Ὑπὲρ τοῦ ἀμισήτους καὶ ἀσκανδαλίστους αὐτοὺς διαμεῖναι πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτῶν... Ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτοῖς πᾶν πλημμέλημα... Εὐχή· Κύριε, ὁ Θεὸς ἡμῶν ὁ παντοκράτωρ, πρὸς σωτηρίαν ἡμῶν χαρισάμενος... Goar. p. 707. Καὶ εὐθὺς προσκυνοῦσι τὸ ἅγιον εὐαγγέλιον καὶ ἀσπάζονται, ὁμοίως καὶ τὸν ἱερέα καὶ ἀλλήλους, καὶ λέγει ὁ ἱερεύς· Εἰρήνη πᾶσι. Τὰς κεφαλάς.—Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὸν χορὸν τῶν ἁγίων σου μαθητῶν καὶ ἀποστόλων ἐπιλεξάμενος μίαν ἐκκλησίαν, μίαν ποίμνην, μίαν ἀδελφότητα, ἐξαποστείλας αὐτοὺς εἰς τὰ πέρατα τῆς οἰκουμένης κηρῦξαι τὰ σὰ προστάγματα. Αὐτὸς καὶ νῦν, ὁ Θεὸς ἡμῶν, τοὺς δούλους τούτους ὁ δεῖνα, τοὺς προσελθόντας στῆναι κατενώπιον τῆς ἁγίας δόξης σου καὶ ἀδελφοὺς γενέσθαι πνευματικούς, τήρησον αὐτοὺς ἐν τῷ ὀνόματί σου καὶ ἁγίασον αὐτοὺς ἐν τῇ ἀληθείᾳ, ἵνα, κατὰ τὰς ἐντολάς σου πολιτευσάμενοι, κληρονόμους τῆς ἐπουρανίου...

л. 28. Εὐχὴ ἐπὶ μαγαρισάντων εἰς ἔθνος.

Κύριε, Κύριε, ὁ τῶν ἁπάντων ποιητὴς καὶ Δεσπότης πάσης κτίσεως, ἡ πηγὴ τῆς ἀγαθότητος καὶ Σωτὴρ πάντων τῶν ἀνθρώπων, μάλιστα πιστῶν, ὁ μὴ παριδὼν τὸν ἄνθρωπον ἐκ τῆς τοῦ διαβόλου πανουργίας εἰς βυθὸν ἀπωλείας καὶ πλάνης κατενεχθέντα, ἀλλὰ διὰ τῆς σωτηρίου ἐνανθρωπήσεως τοῦ μονογενοῦς σου Υἱοῦ καὶ Θεοῦ ἡμῶν τοῦτον ἀναζητήσας καὶ σώσας, καὶ πρὸς ἑαυτὸν ἐπαναγαγών. Αὐτός, Δέσποτα φιλάνθρωπε, καὶ τὰ νῦν ἐπίβλεψον ἐπὶ τὸν δοῦλόν σου τόνδε, πρόβατον τῆς λογικῆς ποίμνης τοῦ Χριστοῦ σου ὑπάρχοντα, καὶ ὃν ἐλυτρώσω ἐκ τῆς αἰχμαλωσίας τῶν ἀθέων ἐχθρῶν, μεθ' ὧν ἀγνοίᾳ παιδικῇ καὶ ὃν βίᾳ τυραννικῇ τὰ τῆς ἐκείνων πλάνης ἤδη μετήρχετο, καὶ κατηξίωσας αὐτὸν πάλιν[1])

[1]) Ркп. XI в. Синайск. библ. № 962 πάλαι

τῆς τοῦ λαοῦ σου πολιτείας συνενωθῆναι, καταύγασον[1]) αὐτοῦ τὴν διάνοιαν, ὥστε[2]) τὸν ἀνακείμενον τῆς ψυχῆς αὐτοῦ σπινθῆρα τοῦ σωτηριώδους βαπτίσματος, ταῖς αὔραις τῆς σῆς χάριτος ἀναῤῥιπισθῆναι εἰς φλόγα πνευματικήν, νοητῶς[3]) ἐξαφθῆναι αὐτῷ καὶ τὴν τοῦ θείου Πνεύματος σφραγίδα ἐκτυποτέρως ἀναφαίνεσθαι ἐν[4]) τῷ ἁγίῳ σου Πνεύματι ἐν τῇ καρδίᾳ αὐτοῦ καὶ τοῖς λογισμοῖς. διὰ τῆς σημειώσεως τοῦ σταυροῦ τοῦ Χριστοῦ σου, τὴν εἰς σὲ ἐλπίδα καὶ τὴν τῆς ἀληθείας ἐπίγνωσιν, ἵνα γινώσκῃ καὶ προσκυνῇ σε τὸν ἀληθινὸν Θεὸν καὶ Πατέρα, καὶ τὸν μονογενῆ σου Υἱὸν καὶ Θεὸν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον· καὶ ἕνωσον αὐτὸν τῇ ἁγίᾳ σου καὶ καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ, καὶ πάσης ἐθνικῆς ἀθεότητος συνήθειαν ἀπόστησον ἀπ' αὐτοῦ, καταύγασον αὐτὸν ἐν ταῖς ἐντολαῖς σου καὶ τοῖς προστάγμασίν σου πολιτεύεσθαι, καὶ τῆς τῶν θείων σου μυστηρίων ἀκατακρίτως ἀξιοῦσθαι μεταλήψεως, καὶ ἐν τῇ μελλούσῃ ζωῇ τῆς ἐπουρανίου σου βασιλείας μέτοχον ἀναδειχθῆναι. Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν, ὁ Θεὸς τοῦ ἐλεεῖν καὶ σώζειν... Conf. Goar. pag. 690—691.

л. 30. Εὐχὴ ἐπὶ σπόρου ἀρχῆς.

Ὁ ὢν Δέσποτα Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ κτίστης καὶ δημιουργὸς τῶν ἁπάντων. Goar. p. 557.

л. 30 об. Εὐχὴ ἐπὶ θέρους. Goar. p. 524.

л. 31 об. Εὐχὴ ἐπὶ θεμελίου ἐκκλησίας.

Κύριος, ὁ ἐρασθεὶς καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομηθῆναί σοι ἐκκλησίαν. Goar. p. 485.

л. 32. Εὐχὴ ἐπὶ κολύβων μνήμης ἁγίων καὶ εἰς κοιμηθέντας. Goar. p. 524.

л. 32 об. Εὐχὴ ἐπὶ τρύγης ἀμπέλου. Goar. p. 552.

л. 33. Εὐχή, ὁπόταν θέλῃ γευματίσαι οἶνον.

Δέσποτα Χριστὲ ὁ Θεὸς ἡμῶν, ἀγαθὲ καὶ φιλάνθρωπε Κύριε, ἔπιδε ἐπὶ τὸν οἶνον τοῦτον καὶ ἐπὶ τοὺς μεταλαμβάνοντας ἐξ αὐτοῦ... Goar. p. 552. Молитва неокончена.

л. 34—35. Конецъ апостола и евангеліе для плавающихъ.

л. 36. Εὐχὴ εἰς τὸ κατασπάσαι πλοῖον.

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καταξιώσας συμπλεῦσαι τοῖς ἁγίοις μαθηταῖς καὶ ἀποστόλοις σου... Goar. p. 684. Καὶ περιγυρεύσας τὸ πλοῖον,

---

[1]) Ркп. XI в. Синайск. библ. № 962 κατάλαμψον [2]) τῶν ἁγίων σου πνεύματι, ὥστε ἐναποκείμενον [3]) ἐν αὐτῶν ὄντος [4]) ἐν τῇ καρδίᾳ αὐτοῦ καὶ τοῖς λογισμοῖς.

ψάλλει τὸν ψαλμὸν τοῦτον· Ἦρα τοὺς ὀφθαλμούς μου... Καὶ ὁπόταν γυρίσῃ τρίτον καὶ εἴπῃ καὶ τὸν ψαλμὸν τοῦτον, λέγει μεγάλῃ φωνῇ· Κελεύοντος τοῦ Θεοῦ ἡμῶν καὶ τῶν ἁγίων ἀποστόλων, τῆς ἀχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τῶν ἁγίων Ἀκινδύνου Πηγασίου, Ἀφθονίου, Ἐλπιδιφόρου καὶ Ἀνεμποδίστου, τοῦ ἁγίου Φωκᾶ, Σώζοντος καὶ Βοηθοῦ καὶ πάντων τῶν ἁγίων, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐλέησον ἡμᾶς. Ὁ λαός· Ἀμήν. Καὶ εὐθὺς κατασπᾷ τὸ πλοῖον καὶ πλέον οὐδέν.

л. 38. Εὐχὴ εἰς τὸ στῆσαι τόξον πλοίου.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τοὺς οὐρανοὺς στερεώσας ἐν συνέσει καὶ τὴν γῆν θεμελιώσας καὶ τὸ ξύλον τῆς ζωῆς συναρμώσας... См. ркп. 1426 г. Синайск. библ. № 968.

л. 39. Чтенія изъ Евангелія.

**XXII.** № 960. Εὐχολόγιον, ркп. Синайск. библ. въ 16 долю листа на пергаменѣ (палимпсестъ, но хорошо смытый), 153 листа, писана почеркомъ XIII в. Рукопись плохо сохранившаяся, безъ начала и конца.

л. 1. Εὐχὴ θʹ. τοῦ πεντηκοστοῦ ψαλμοῦ· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὴν διὰ μετανοίας ἄφεσιν τοῖς ἀνθρώποις δωρησάμενος... Goar. p. 42. Εὐχὴ τῆς εἰσόδου τοῦ εὐαγγελίου τοῦ ὄρθρου· Ἔλλαμψον ἐν ταῖς καρδίαις ἡμῶν, φιλάνθρωπε. Goar. p. 41. Σὺ γὰρ εἶ φωτισμὸς καὶ ἁγιασμός... Εὐχὴ ἑωθινὴ ιαʹ. εἰς τοὺς αἴνους· Ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, ὁ τὰς νοερὰς καὶ λογικὰς ὑποστησάμενος... Goar. p. 42. Εὐχὴ ιβʹ. τῆς ἀπολύσεως· Αἰνοῦμεν καὶ ὑμνοῦμεν, καὶ εὐλογοῦμεν... p. 42. Πληρώσωμεν τὴν ἑωθινὴν δέησιν и т. д. Εὐχὴ τῆς κεφαλοκλισίας· Κύριε ἅγιε, ἐν ὑψηλοῖς κατοικῶν... Goar. p. 44. Молитва эта неокончена, по отсутствію слѣдующихъ листовъ.

л. 3. Обрывки вечернихъ молитвъ.

л. 4. Εὐαγγέλια ἑωθινὰ ἀναστάσιμα ἕνδεκα.

л. 11 об. Εὐχαὶ ἐπὶ ἀῤῥώστους.

Εὐχὴ αʹ. Πάτερ ἅγιε, ἰατρὲ ψυχῶν καὶ σωμάτων, ὁ πέμψας τὸν μονογενῆ σου Υἱὸν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, πᾶσαν νόσον ἰώμενον. Goar. p. 678.

л. 12. Εὐχαὶ τῆς ἁγίας Πεντηκοστῆς.

Чинъ состоитъ изъ молитвъ, что у Гоара p. 597—603, но между молитвами положены стихиры. См. выше стр. 24. Послѣ

послѣдней молитвы: „Ὁ Θεὸς ὁ μέγας καὶ αἰώνιος“ и возгласа ея: Σὺ γὰρ εἶ ἡ ἀνάπαυσις τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν... молитва: Ὁ Θεὸς ὁ μέγας καὶ ὕψιστος... не прибавляется, по слѣдуетъ ектенья: Πληρώσωμεν τὴν ἑσπερινὴν и εὐχὴ τῆς κεφαλοκλισίας· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ κλίνας τοὺς οὐρανοὺς καὶ καταβὰς ἐπὶ σωτηρίαν. . p. 603.

л. 20. Ἀκολουθία εἰς μνῆστρα.

Εὐλόγησον, δέσποτα. Εὐλογημένη ἡ βασιλεία... Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῆς εἰρήνης... Ὑπὲρ τοῦ ἁγίου οἴκου... Ὑπὲρ τῶν νῦν μνηστευομένων εἰς ἕνωσιν συζυγίας καὶ συμβιώσεως... Ὑπὲρ τοῦ δούλου τοῦ Θεοῦ τοῦ δεῖνα καὶ τῆς δούλης τοῦ Θεοῦ τῆσδε καὶ τῆς ἐν Θεῷ συζεύξεως καὶ ἀγάπης καὶ σωτηρίας... Ὑπὲρ τοῦ παρασχεθῆναι αὐτοῖς τε καὶ ἡμῖν πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα... Ὑπὲρ τοῦ εὐλογηθῆναι τὰ μνῆστρα ταῦτα τῇ δυνάμει καὶ ἐνεργείᾳ τοῦ ἁγίου Πνεύματος τοῦ... Ὑπὲρ τοῦ ῥυσθῆναι... Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας... Εὐχή· Ὁ Θεὸς ὁ αἰώνιος, ὁ τὰ διῃρημένα συναγαγών... Goar. p. 411. Καὶ εἶθ' οὕτως ἐπιδίδει αὐτοῖς τὰ δακτυλίδια, τὸ σιδηροῦν τῷ ἀνδρὶ καὶ τὸ χρυσοῦν τῇ γυναικί, καὶ ἀλλάσσει αὐτὰ γ'. λέγει· Δεξιὰ Κυρίου ἐποίησε δύναμιν, δεξιὰ Κυρίου ὕψωσέ με... Καὶ λέγει ὅλον τὸν ψαλμὸν καὶ παραδίδει ἀλλήλοις καὶ λέγει· Εἰρήνη πᾶσι. Τὰς κεφαλὰς ὑμῶν. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὴν ἐξ ἐθνῶν... p. 311.

л. 21. Ἀκολουθία τοῦ στεφανώματος.

Μακάριοι πάντες οἱ φοβούμενοι τὸν Κύριον... весь псаломъ. Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῆς εἰρήνης... Ὑπὲρ τοῦ ἁγίου οἴκου... Ὑπὲρ τῶν συναπτομένων πρὸς γάμου κοινωνίαν καὶ συμβίωσιν... Ὑπὲρ τοῦ εὐλογηθῆναι τὸν γάμον τοῦτον, ὡς ἐν Κανᾷ τῆς Γαλιλαίας... Ὑπὲρ τοῦ παρασχεθῆναι αὐτοῖς σωφροσύνην, ὁμοφροσύνην καὶ καρπὸν κοιλίας... Ὑπὲρ τοῦ εὐφρανθῆναι αὐτοὺς ἐν ὁράσει υἱῶν αὐτῶν καὶ θυγατέρων... Ὑπὲρ τοῦ χαρισθῆναι αὐτοῖς Κύριον τὸν Θεὸν ἡμῶν τίμιον τὸν γάμον καὶ τὴν κοίτην ἀμίαντον... Ὑπὲρ τοῦ ῥυσθῆναι... Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας... Εὐχή· Ὁ Θεὸς ὁ ἅγιος, ὁ πλάσας τὸν ἄνθρωπον καὶ ἐκ τῆς πλευρᾶς αὐτοῦ ἀνοικοδομήσας γυναῖκα... Goar. p. 317. Καὶ λαμβάνει τὰ στέφανα καὶ ἄρχεται ψάλλειν· Κύριε ὁ Θεὸς ἡμῶν, δόξῃ καὶ τιμῇ στεφάνωσον αὐτούς. Καὶ στέφει αὐτούς. Καὶ κρατήσας τῆς δεξιᾶς χειρὸς αὐτῶν, παραδίδει ἀλλήλους καὶ εἰς τὸ δάκτυλον τὰ δακτυλίδια τῷ ἀνδρὶ σιδηροῦν, τῇ γυναικὶ χρυσοῦν καὶ λέγει· Εἰρήνη πᾶσι. Τὰς κεφαλὰς ὑμῶν... Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν τῇ σωτηριώδει σου οἰκονομίᾳ... Goar. p. 318. Σὺ γὰρ εἶ ὁ Θεὸς ἡμῶν τοῦ ἐλεεῖν καὶ σώζειν...

Εἶθ' οὕτως λέγει· Καὶ καταξίωσον ἡμᾶς, Δέσποτα... Πάτερ ἡμῶν... Ὅτι σοῦ ἐστὶν ἡ βασιλεία. Εἰρήνη πᾶσι. Τὰς κεφαλὰς ἡμῶν. Εὐχὴ εἰς τὸ κοινὸν ποτήριον· Ὁ Θεός, ὁ πάντα ποιήσας τῇ ἰσχύει σου... p. 319. Καὶ ἐκφώνως· Τὰ προηγιασμένα ἅγια τοῖς ἁγίοις. Μετὰ δὲ οὖν τὸ μεταδοῦναι αὐτοῖς τοῦ κοινοῦ ποτηρίου καὶ λέγει μεγαλοφώνως· Χαίρετε ἐν Κυρίῳ πάντοτε, πάλιν ἐρῶ (λέγω) χαίρετε τὸ ἐπιεικὲς ὑμῶν. *Красносельцевъ.* Опис. Ват. ркп. стр. 106. Καὶ λέγει· Δόξα σοι, Χριστὲ ὁ Θεός, ἀποστόλων τὸ καύχημα. Καὶ εἶθ' οὕτως· Ὁ διὰ τῆς ἐν Κανᾷ ἐπιδημίας Χριστὸς ὁ ἀληθινὸς ἡμῶν ταῖς πρεσβείαις...

л. 23. Εὐχὴ εἰς τὸ ἀπολῦσαι παστόν.

Ὁ Θεὸς ἡμῶν, ὁ παραγενόμενος ἐν Κανᾷ τῆς Γαλιλαίας. Goar. p. 320. Εὐχὴ ἑτέρα· Σύμφωνα καταντήσαντες οἱ δοῦλοί σου... p. 325.

л. 23 об. Εὐχὴ εἰς τὸ κατασφραγίσαι παιδίον, λαμβάνον ὄνομα τῇ ὀγδόῃ ἡμέρᾳ.

Κύριε ὁ Θεὸς ἡμῶν, σοῦ δεόμεθα καὶ σὲ ἱκετεύομεν... Goar. p. 264.

л. 24. Εὐχὴ εἰς τὸ σαραντῆσαι γυναῖκα.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν τεσσαράκοντα ἡμέραις κατὰ τὸν νόμον εἰς τὸ ἱερὸν ἀνελθών. См. выше стр. 53.

л. 24 об. Εὐχὴ εἰς τὸ ποιῆσαι κατηχούμενον.

Начало тоже, что въ Прилож. къ Богослуж. въ русск. ц. въ XVI в ч. I, стр. 9. Послѣ огласительныхъ молитвъ, или κατὰ τὸ Ἀμήν, ἀποδυθέντων καὶ ἀπολυθέντων τῶν βαπτιζομένων, καὶ ὑποστρέφει αὐτοὺς ἐπὶ δυσμὰς ἄνω τὰς χεῖρας ἔχοντας καὶ λέγει γ'. Ἀποτάσσομαι τῷ σατανᾷ... κ. τ. α. Καὶ ἀποκρίνεται ὁ βαπτιζόμενος, πρὸς ἕκαστον τούτων, καὶ πάλιν λέγει ὁ ἱερεύς· Ἀπετάξω τῷ σατανᾷ; Καὶ ἀποκρίνεται ὁ βαπτιζόμενος· Ἀπεταξάμην. Καὶ ὅτε εἴπῃ γ'. Ἀπεταξάμην, καὶ στρέφει ὁ ἱερεὺς αὐτὸν κατὰ ἀνατολὰς λέγει· Καὶ συντάσσομαι τῷ Χριστῷ καὶ Πιστεύω εἰς ἕνα Θεόν, καὶ λέγει αὐτὸ ἕως τέλους γ'. Καὶ ὅτε εἴπῃ αὐτὸ γ'. ἐρωτᾷ πάλιν ὁ ἱερεὺς πρὸς αὐτόν· Συνετάξω τῷ Χριστῷ, καὶ ἀποκρίνεται ὁ ἀνάδοχος· Συνεταξάμην. Καὶ λέγει ὁ ἱερεύς· Καὶ προσκύνησον αὐτόν. Ὁ ἱερεὺς ἐπεύχεται· Δέσποτα Κύριε ὁ Θεός, προσκάλεσαι τὸν δοῦλόν σου... Goar p. 281. Ὁ ἱερεὺς ἐπεύχεται· Εὔσπλαγχνος καὶ ἐλεήμων Θεός... Χρὴ γινώσκειν, ὅτι αὐτὴν τὴν εὐχὴν κατὰ μυστηρίων λέγει, ἀλλὰ καὶ τὸ Ἀμὴν καὶ εὐθὺς τὰ διακονικά· Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν.. Ὑπὲρ τῆς εἰρήνης... Ὑπὲρ τοῦ ἁγίου οἴκου... Ὑπὲρ τοῦ ἀρχιεπισκόπου... Ὑπὲρ τοῦ ἁγιασθῆναι τὸ ὕδωρ.... Ὑπὲρ τοῦ καταπεμφθῆναι... Ὑπὲρ τῶν εὐσεβεστάτων... Ὑπὲρ τοῦ συμπολεμῆσαι...

Ὑπὲρ τῆς πόλεως... Ὑπὲρ εὐκρασίας ἀέρων... Ὑπὲρ πλεόντων... Ὑπὲρ τοῦ ρυσθῆναι... Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας ἀχράντου... Τὴν εὐχὴν ταύτην ὀφείλει λέγειν μεγαλοφώνως· Μέγας εἶ, Κύριε, καὶ θαυμαστὰ τὰ ἔργα σου... Goar. p. 288. Καὶ ἐμφυσᾷ τὸ ὕδωρ καὶ σφραγίζει τῷ δακτύλῳ γ'. καὶ λέγει· Συντριβήτωσαν ὑπὸ τὴν σημείωσιν... p. 289. Εἰρήνη πᾶσι. Τὰς κεφαλάς. Κλίνας ὁ ἱερεὺς τὴν κεφαλὴν αὐτοῦ εἰς τὸ ἀγγεῖον τοῦ ἐλαίου καὶ ἐμφυσᾷ αὐτὸ γ'. λέγει τὴν εὐχὴν ταύτην· Δέσποτα Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν... p. 289. Πρόσχωμεν. Καὶ λαμβάνει τὸ τρυβλίον τοῦ ἁγίου ἐλαίου καὶ ποιεῖ ἐξ αὐτοῦ εἰς τὸ ὕδωρ σταυροὺς τρεῖς, ψάλλων τὸ Ἀλληλούια σὺν τῷ ὄχλῳ γ'. καὶ εἶθ' οὕτως ἐκφώνως· Εὐλογητὸς ὁ Θεός, ὁ φωτίζων... Καὶ προσφέρεται ὁ βαπτιζόμενος, καὶ λαμβάνει ὁ ἱερεὺς ἐκ τοῦ ἁγίου ἐλαίου τῷ δακτύλῳ αὐτοῦ, καὶ ποιεῖ σταυροῦ τύπον ἐπὶ τοῦ μετώπου αὐτοῦ καὶ τοῦ στήθους, καὶ τῶν μεταφρένων, λέγων· Χρίεται ὁ δοῦλος τοῦ Θεοῦ ἐλαίῳ ἀγαλλιάσεως... Εἶτα χρίεται ὅλον τὸ σῶμα, καὶ λαμβάνει αὐτὸν ὁ ἱερεὺς καὶ βαπτίζει αὐτόν, λέγων· Βαπτίζεται ὁ δοῦλος τοῦ Θεοῦ ὁ δεῖνα εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. Μετὰ δὲ τὸ βαπτίσαι αὐτόν, λαμβάνει αὐτὸν καὶ εἰσέρχεται ἐν τῇ ἐκκλησίᾳ, ψάλλων οὕτως· Μακάριοι ὧν... Καὶ πάλιν ὁ ἱερεὺς ἐπεύχεται· Εὐλογητὸς εἶ, Κύριε ὁ παντοκράτωρ, ἡ πηγὴ τῶν ἀγαθῶν... p. 290. Εἶτα χρίει αὐτὸν τῷ ἁγίῳ μύρῳ, ποιῶν σταυροῦ τύπον ἐπὶ τοῦ μετώπου καὶ τῶν ὀφθαλμῶν, καὶ τῶν μυκτήρων, καὶ τοῦ στόματος, καὶ τῶν δύο ὤτων, λέγων· Σφραγὶς δωρεᾶς Πνεύματος ἁγίου. Ἀμήν. Καὶ εἶθ' οὕτως ἀπέρχεται, ψάλλων· Ὅσοι εἰς Χριστόν.

л. 35. Εὐχὴ εἰς τὸ ἀπολοῦσαι νεοφώτιστον.

Ὁ λύτρωσιν ἁμαρτιῶν διὰ τοῦ ἁγίου σου βαπτίσματος. Goar. p. 303.

л. 35 об. Εὐχὴ εἰς τὸ κεῖραι τρίχας παιδίου.

Σὲ ἱκετεύομεν, Κύριε ὁ Θεὸς τῆς σωτηρίας ἡμῶν, ὁ ἐκ τοῦ πληρώματος τῆς κολυμβήθρας τῆς σῆς ἀγαθότητος. Goar. p. 306.

— Εὐχὴ εἰς τὸ σαραντῆσαι γυναῖκα.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ παραγενόμενος ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων. Goar. p. 267.

л. 36. Τάξις[1]) γινομένη, εἰ συμβῇ μιαρὸν ἢ ἀκάθαρτον προσφάτως ἐμπεσεῖν ἐν ἀγγείῳ οἴνου ἢ ἐλαίου.

---

[1]) Чинъ этотъ, встрѣчающійся въ рукописяхъ постоянно, имѣетъ самыя незначительныя особенности въ текстѣ (слич. выше стр. 47, 71 и др.), а посему мы будемъ его излагать далѣе въ томъ лишь случаѣ,

л. 37. Εὐχὴ ἐπὶ φρέατος μιανθέντος.

Χρὴ πρῶτον ἀντλῆσαι ἐκ τοῦ φρέατος κάδους σαράντα, καὶ εἶθ' οὕτως βάλλει ὕδωρ τῶν ἁγίων θεοφανίων, καὶ θυμιᾷ ὀλόγυρον τὸ φρέαρ, εὔχεται οὕτως· Ὁ Θεὸς ὁ μέγας καὶ θαυμαστός, ὁ ἀνεκδιηγήτῳ ἀγαθωσύνῃ. Goar. p. 479.

л. 37 об. Εὐχὴ ἐπὶ θεμελίου ἐκκλησίας. Goar. p. 485.

л. 38. Εὐχὴ ἐπὶ θεμελίου οἴκου. Goar. p. 483.

л. 38 об. Εὐχὴ εἰς εὐλογίαν οἴκου. Goar. p. 484.

л. 39. Εὐχὴ εἰς ἀδελφοποίησιν.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ πάντα πρὸς σωτηρίαν ἡμῖν χαρισάμενος. Goar. p. 707.

— Εὐχὴ εἰς τὸ ἐπᾶραι παιδίον ἀπὸ ἐκκλησίας.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ διὰ τοῦ ἠγαπημένου Παιδός σου, Κυρίου δὲ ἡμῶν Ἰησοῦ Χριστοῦ, τέκνα Θεοῦ καλέσας ἡμᾶς... Goar. pag. 561. Καὶ εἶθ' οὕτως προσκυνοῦν τὸ ἅγιον εὐαγγέλιον καὶ ἀσπάζονται, καὶ ἐν εἰρήνῃ ἀπολύονται.

л. 40. Εὐχὴ εἰς τὸ πράσσαι πλοῖον.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐντειλάμενος τῷ Νῶε κατασκευάσαι κιβωτὸν πρὸς σωτηρίαν τῷ κόσμῳ. Goar. p. 559.

— Εὐχὴ ἐπὶ ἐξομολογουμένων.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τῷ Πέτρῳ καὶ τῇ πόρνῃ διὰ δακρύων ἄφεσιν πταισμάτων δωρησάμενος... Goar. 537.

л. 40 об. Εὐχὴ εἰς τρύγην ἀμπέλου.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ εὐδοκήσας ἄμπελον κληθῆναι τὸν μονογενῆ σου Υἱὸν καὶ Θεὸν ἡμῶν... Goar. p. 552.

л. 41. Εὐχὴ ἐπὶ κολύβων ἁγίων.

Ὁ πάντα τελεσφορήσας τῷ λόγῳ σου, Κύριε... p. 524.

л. 41 об. Εὐχὴ ἄλλη εἰς κόλυβα ἁγίων.

Δέσποτα Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ τὴν θάλασσαν... См. выше стр. 35.

— Εὐχὴ ἀποδημούντων. См. выше стр. 33.

л. 42. Εὐχὴ ἐπὶ μιαροφαγησάντων. Goar. p. 534.

л. 42 об. Εὐχὴ ἐπὶ προπετῶς ὀμνυόντων. Goar. p. 534.

---

когда онъ представитъ какія нибудь характерныя особенности, во всѣхъ же остальныхъ случаяхъ будемъ ограничиваться простымъ указаніемъ на него.

— Εὐχὴ ἐπὶ ψυχῆς κρινομένης.

Δέσποτα Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ πάντας ἀνθρώπους θέλων σωθῆναι... Goar. p. 587.

л. 43. Εὐχὴ ἐπὶ σπόρου. Goar. p. 557.

л. 43 об. Ἀκολουθία εἰς ἀσθενοῦντας ἐπὶ τῶν ἑπτὰ πρεσβυτέρων. Ἀφ' ἑσπέρας ὀφείλει τιθῆναι κανδήλαν μεγάλην καὶ τίθεται ἐν τῇ ἁγίᾳ τραπέζῃ, καὶ ψάλλει τὸν ἐξάψαλμον καὶ ἀρτύει αὐτὴν ὁ πρῶτος πρεσβύτερος, καὶ ἅπτει(;) αὐτὴν καὶ εἶθ' οὕτως λέγει· Πάτερ ἅγιε, ἰατρὲ ψυχῶν καὶ σωμάτων. Goar. p. 338. Εἶτα λέγει· Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῆς εἰρήνης... Ὑπὲρ τοῦ ἁγίου οἴκου... Ὑπὲρ τοῦ ἀδελφοῦ ἡμῶν ὁ δεῖνα ὑγείας καὶ σωτηρίας καὶ ἀφέσεως... Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας... Καὶ λέγει· Ἀλληλούια γ'. καὶ λέγει τροπάριον, ἦχος πλ. β'. Ἐλέησον ἡμᾶς, Κύριε... Δόξα καὶ νῦν, Τῆς εὐσπλαγχνίας... Καὶ ἄρχεται ψάλλειν τὸν κανόνα εἰς ἦχον β'. Ὠδὴ α'. Δεῦτε λαοί.. Πάντες πιστοί, δεῦτε συμφώνως τιμήσωμεν τὴν Θεοτόκον· Χριστὸν γὰρ κυήσασα... Ὁ χαρακτὴρ τῆς ὑποστάσεως τῆς πατρικῆς ἐκ σοῦ λαβὼν τὸ φύραμα... Τῶν χερουβὶμ τιμιωτέρα ὑπάρχουσα.. Λύτρον ἡμῖν τῆς ἁμαρτίας ἐγέννησας τὸν εὐεργέτην Κύριον... Послѣ 3 пѣсни: Ἔτι καὶ ἔτι... Ὑπὲρ τοῦ δούλου τοῦ Θεοῦ ὁ δεῖνα ὑγείας καὶ σωτηρίας καὶ ἀφέσεως... Ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτὸν πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον. Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας ἀχράντου... Καὶ λέγει τὴν εὐχὴν ταύτην· Ἀγαθέ, φιλάνθρωπε, εὔσπλαγχνε, πολύελεε Κύριε, ὁ πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἰώμενος, ἴασαι τὸν δοῦλόν σου ὁ δεῖνα, ἐξέγειρον ἀπὸ κλίνης[1]) ὀδύνης, ἐπίσκεψαι ἐν ἐλέει καὶ οἰκτιρμοῖς καὶ ἀποδίωξον ἀπ' αὐτοῦ πᾶσαν ἀρρωστίαν καὶ ἀσθένειαν, ἵνα, ἐξαναστὰς τῇ χειρί σου τῇ κραταιᾷ, δουλεύσῃ σοι μετὰ πάσης εὐχαριστίας, ὑμνῶν σὺν ἡμῖν τὸ προσκυνητὸν[2]) ὄνομά σου τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος... Καὶ λέγει κάθισμα· Τὸν πλοῦτον θεωρήσας τῶν ἀρετῶν τοῦ Ἰὼβ συλλῆσαι... Δόξα καὶ νῦν, Οἱ τὴν σὴν προστασίαν... Послѣ 6 пѣсни таже ектенья и молитва: Δέσποτα παντοκράτωρ, φιλόψυχε, φιλόδουλε Σωτὴρ τῶν ἁπάντων, ἰατρὲ ψυχῶν καὶ σωμάτων, ὁ ταπεινῶν καὶ ἀνυψῶν, ὁ παιδεύων καὶ πάλιν ἰώμενος, ἴασαι τὸν ἀδελφὸν ἡμῶν ὁ δεῖνα τὸν ἀσθενοῦντα, ἐπίσκεψαι ἐν τῷ ἐλέει σου καὶ ἔκτεινον τὸν βραχίονά σου τὸν ἀόρατον, τὸν πλήρη ἰάσεως καὶ θεραπείας, καὶ ἀνάστησον αὐτὸν ἀπὸ κλίνης ἀρ-

---

[1]) Рик. Синайск. библ. XIII в. № 966 ἀπὸ κλίνης ἀρρωστίας καὶ στρωμνῆς κακώσεως [2]) πάντιμον καὶ μεγαλοπρεπές.

ρωστίας, ἐπιτίμησον τῷ πνεύματι τῆς ἀσθενείας, ἀπόστησον ἀπ' αὐτοῦ πᾶσαν πληγήν, πᾶσαν ἀλγηδόνα, πᾶσαν μάστιγα, πᾶσαν ἀῤῥωστίαν, πάντα πυρετὸν ἢ ῥῖγος, καί, εἴ τι ἂν ἐστὶν ἐν αὐτῷ πλημμέλημα, ἄνες, ἄφες, οἴκτειρον, συγχώρησον διὰ τὴν σὴν φιλανθρωπίαν. Ναί, Δέσποτα, φεῖσαι τοῦ πλάσματός σου ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ σοὶ δόξα πρέπει τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί... Δόξα, Διαπλέων τὸ πέλαγος τῆς παρούσης ζωῆς μου... Καὶ νῦν, Τῇ Θεοτόκῳ ἐκτενῶς... Послѣ 9 пѣсни таже ектенья и молитва: Βασιλεῦ θεραπευτὰ τῶν καμνόντων, σὲ δαίμονες τρέμουσι καὶ τῇ σῇ προστάξει ὑποχωρεῖ πᾶσα νόσος καὶ πειρασμὸς ἅπας· σὲ ὁ τὰ λυθέντα μέλη πηγνύων, ὁ τὸν θάνατον ἐλαύνων, ὁ τὰ κείμενα σώματα ἀπ' αἰῶνος παραχρῆμα ἐγείρων, διὸ δυσωποῦμέν σε, Δέσποτα, δὸς τῷ δούλῳ ὁ δεῖνα τὴν ὑγείαν καὶ τῆς νόσου ταύτης ἐλευθέρωσον. Δυνατὲ φιλάνθρωπε, καὶ μηκέτι αὐτὸν ἐν κλίνῃ ἐπιστρέψῃς εἶναι, ἀλλ' ὡς ἐκεῖνον τὸν ἐν τριάκοντα καὶ ὀκτὼ ἔτεσι κατακείμενον εἰς τοὺς πόδας αὐτοῦ ἔστησας, οὕτως καὶ τῷ δούλῳ σου τούτῳ τὴν ὑγείαν δώρησαι, ὁ αἴρων τοῦ κόσμου τὴν ἁμαρτίαν. Ὅτι σὸν τὸ κράτος καὶ σοῦ ἐστὶν ἡ βασιλεία... Καὶ ποιεῖ ἐκτενὴν καὶ ἀπολύει.

Τῇ δὲ ἐπαύριον συνάγονται οἱ ἱερεῖς ἑπτά, καὶ λέγει ὁ διάκονος· Εὐλόγησον, δέσποτα. Ὁ πρῶτος τῶν ἱερέων· Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρός... Καὶ ἄρχεται ψάλλειν τροπάριον εἰς ἦχον πλ. β'. Ἐλέησον ἡμᾶς, Κύριε, Δόξα καὶ νῦν, Τῆς εὐσπλαγχνίας τὴν πύλην... καὶ ποιεῖ ἐκτενήν· Ἐλέησον ἡμᾶς, ὁ Θεός... Ἔτι δεόμεθα ὑπὲρ τοῦ ἵλεων καὶ εὐμενῆ καὶ εὐδιάλλακτον γενέσθαι τὸν ἀγαθὸν καὶ φιλάνθρωπον Θεὸν ἐπὶ ταῖς ἀσθενείαις ἡμῶν τοῦ... Ὑπὲρ ὑγείας καὶ σωτηρίας καὶ ἀφέσεως... Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ... Ταῖς πρεσβείαις τῆς Θεοτόκου... Τοῦ ἀγγέλλειν τὸ πρωΐ... Δόξα καὶ νῦν. Εὐχὴ ἀντιφώνου πρώτου· Κύριε, Κύριε, ἐν τῷ ἐλέει καὶ τοῖς οἰκτιρμοῖς. Goar. p. 335. Ἀντίφωνον β'. Ὁ Κύριος ἐβασίλευσε... Καὶ γὰρ ἐστερεώθη... Τὰ μαρτύριά σου, Δόξα, Ὁ μονογενὴς Υἱός. . Ἔτι καὶ ἔτι. Εὐχὴ ἀντιφώνου β'. Ὁ πλούσιος ἐν ἐλέει καὶ πολὺς ἐν ἀγαθότητι, ὁ Πατὴρ τῶν οἰκτιρμῶν καὶ Θεὸς πάσης παρακλήσεως. Goar. p. 341. Ἐκφώνησις· Ὅτι Θεὸς ἐλέους ὑπάρχεις. Ἀντίφωνον γ'. Δεῦτε ἀγαλλιασώμεθα.. Προφθάσωμεν τὸ πρόσωπον. Ὅτι Θεὸς μέγας καὶ βασιλεὺς μέγας... Εὐχὴ τῆς εἰσόδου· Αἰτούμεθά σου, Κύριε ὁ Θεός, ὅπως ἐπιστάξῃς τὸ ἔλεός σου ἐπὶ τὸ ἔλαιον τοῦτο. Goar. p. 347. Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξάσωσι... Μετὰ δὲ τὴν εὐχὴν εἷς ἕκαστος τῶν ἱερέων ἅπτει τὸ αὐτότουρβον(;) αὐτοῦ, ποιῶν εἰς τὸ ἔλαιον σταυροὺς τρεῖς, καὶ εἶθ' οὕτως ἄρχεται ὁ

καθ' εἷς ἱερεὺς λέγων· Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῆς εἰρήνης... Ὑπὲρ τοῦ ἁγίου οἴκου... Ὑπὲρ τοῦ ἐπισκόπου ἡμῶν... Ἔτι δεόμεπα ὑπὲρ τῶν δούλων Θεοῦ ὁ δεῖνα καὶ ὁδεῖνα καὶ παντὸς τοῦ οἴκου αὐτῶν ὑγείας καὶ σωτηρίας καὶ ἀφέσεως τῶν ἁμαρτιῶν αὐτῶν... Καὶ εἶθ' οὕτως τὸ Ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, καὶ ψάλλει Τρισάγιον, προκείμενον τοῦ ἀποστόλου· Ἐγὼ εἶπα, Κύριε, ἐλέησόν με. Στίχος· Μακάριος ὁ συνιῶν ἐπὶ πτωχόν... Καθολικῆς ἐπιστολῆς Ἰακώβου... Ἀδελφοί, ὑπόδειγμα λάβετε. Goar. p. 337. Ἀλληλούια, Ἐπίβλεψον ἐπ' ἐμέ... Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ἰωάννην· Τῷ καιρῷ ἐκείνῳ, διήρχετο ὁ Ἰησοῦς τὴν Ἱεριχώ... Goar. p. 339. Ἐλέησον ἡμᾶς... καὶ ποιεῖ ἐκτενήν, καὶ λαβόντες οἱ ἱερεῖς ἐκ τοῦ ἐλαίου, ἀλείφουσι τὸν ἀσθενοῦντα ἀπὸ ποδῶν ἕως κεφαλῆς, λέγοντες τὴν εὐχήν· Πάτερ ἅγιε, ἰατρὲ ψυχῶν καὶ σωμάτων... Ἔτι δεόμεθα, ἀγαθὲ καὶ φιλάνθρωπε, ἔπιδε ἐπὶ τὴν ἡμετέραν αἴτησιν καὶ ἴασαι τὸν δοῦλόν σου ὁ δεῖνα ἐκ πάσης νόσου καὶ πάσης μαλακίας, καὶ ὑγείαν καὶ ἄφεσιν ἁμαρτιῶν δώρησαι αὐτῷ... Ὁ Θεὸς ὁ μέγας καὶ θαυμαστός, ὁ φυλάσσων διαθήκην... Goar. p. 337 καὶ μετόχους ἡμᾶς ποιήσας τοῦ ἁγίου ὀνόματος αὐτοῦ, μετέστησεν ἡμᾶς ἐκ τῆς καταδυναστείας τοῦ διαβόλου καὶ εἰς τὴν αὐτοῦ βασιλείαν ἐκάλεσεν. Αὐτός, Δέσποτα τῶν ἁπάντων, ἔπιδε ἐφ' ἡμᾶς, οὓς ηὐδόκησας οὐκ ἐν αἵματι διαθήκης καθαρίζεσθαι, ἀλλ' ἐν ἐλαίῳ ἁγίῳ καὶ ἔδωκας τοῖς φοβουμένοις σε σημείωσιν τῷ τύπῳ τοῦ σταυροῦ σου καὶ τὴν σφραγίδα τοῦ ἁγίου σου Πνεύματος, εἰς τὸ γενέσθαι αὐτοὺς Χριστοῦ ποίμνην, λαὸν περιούσιον, ἔθνος ἅγιον, βασίλειον ἱεράτευμα, καὶ ἐκαθάρισας ἡμᾶς ἐν ὕδατι... καὶ Ἰωάννῃ τῷ ἐκλεκτῷ σου, καὶ ἱκάνωσον ἡμᾶς γενέσθαι διακόνους τῆς καινῆς σου διαθήκης καὶ χρίειν τῷ ἐλαίῳ σου τούτῳ, ὑπὲρ ὧν ἐποίησας, ὅπως ἄν, ἀπεκδυσάμενοι τὴν ἀσέβειαν, ἐνδυσώμεθά σε τὸν Κύριον καὶ Θεὸν ἡμῶν Ἰησοῦν Χριστὸν διὰ τοῦ ἁγιάσματος τούτου. Ἐκφώνως· Ἐλέει καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου... Καὶ ἐμφυσᾷ εἰς τὸ ἔλαιον, ποιῶν σταυροῦ τύπον, καὶ εἰσέρχεται ἕτερος ὁ ἱερεύς· Ἐγὼ ὑπάρχω τὸ δένδρον τὸ ἄκαρπον, Κύριε... Ἄλλο, Ὡς κύματι θαλάσσης... Δόξα καὶ νῦν, Πάντα ὑπὲρ ἔννοιαν, πάντα ὑπερένδοξα... Πρόσχωμεν. Εἰρήνη πᾶσι. Σοφία, τὸ προκείμενον· Ἰσχύς μου καὶ ὕμνησίς μου. Στίχος Παιδεύων ἐπαίδευσεν. Ἀπόστολος πρὸς Ῥωμαίους· Ἀδελφοί, ὀφείλομεν ὑμεῖς δυνατοί. Goar. p. 338. Ἀλληλούια. Ἐλέησόν με, ὁ Θεός. Εὐγγέλιον ἐκ τοῦ κατὰ Λουκᾶν· Τῷ καιρῷ ἐκείνῳ, νομικός τις προσῆλθε τῷ Ἰησοῦ. Goar. p 337. Ἐλέησον ἡμᾶς (см. выше), ἐκφωνεῖ· Ὅτι πρέπει σοι πᾶσα δόξα. Καὶ εὐθὺς ἡ εὐχὴ αὕτη· Γένοιτο, Κύριε, τὸ ἔλαιον τοῦτο ἔλαιον ἀγαλλιάσεως Πνεύματος ἁγίου, ἔλαιον ἁγιωσύνης, ἔλαιον ἀναγεννήσεως, ἔλαιον ἁγιασμοῦ... ἐν

τῷ τῆς ἀναγεννήσεως ἐλαίῳ ἀφόβως ἀρύονται, ἐκλάμποντες, ὡς οἱ ἀστέρες τοῦ οὐρανοῦ τῇ φαιδρότητι, μὴ ἔχοντες σπῖλον ἢ ῥυτίδα... Goar. p. 338. Ἐκφώνως· Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ... Καὶ ἐμφυσᾷ εἰς τὸ ἔλαιον γ'. καὶ ἅπτει τὸ αὐτότουρβον καὶ μετέρχεται. Κάθισμα· Παροικοῦσα ἐν τῇ γῇ ψυχή μου, μετανόησον... Ἕως πότε ψυχή μου ἐπιμένοις τοῖς πταίσμασιν... Καὶ εἰσέρχεται ὁ γ'. ἱερεύς, προκείμενον ἦχος β'. Κύριος φωτισμός μου... Στίχος· Κύριος ὑπερασπιστής. Πρὸς Κορινθίους ἐπιστολῆς· Ἀδελφοί, ὑμεῖς ἐστὲ ναὸς Θεοῦ ζῶντος... Goar. p. 341. Ἀλληλούϊα. Τὰ ἐλέη σου, Κύριε. Εὐαγγέλιον κατὰ Ματθαῖον· Τῷ καιρῷ ἐκείνῳ, προσκαλεσάμενος ὁ Ἰησοῦς τοὺς δώδεκα μαθητὰς αὐτοῦ. Goar. p. 340 Ἐλέησον ἡμᾶς κ. τ. λ. Ἐκφωνεῖ· Ὅτι ἀγαθός... Ὁ Θεὸς ὁ μέγας καὶ ὕψιστος, ὁ ὑπὸ πάσης κτίσεως προσκυνούμενος... Goar. p. 339 καὶ ἴασαι τῷ πλήθει τοῦ ἐλέους σου, πρεσβείαις τῆς παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τῶν τιμίων δυνάμεων ἀσωμάτων ἀρχαγγέλων, τοῦ τίμου Προδρόμου, τῶν ἁγίων καὶ πανευφήμων ἀποστόλων, τῶν ἁγίων καὶ θαυματουργῶν ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ, Κύρου καὶ Ἰωάννου, Παντελεήμονος, Ἑρμολάου καὶ πάντων σου τῶν ἁγίων. Ἐκφώνως· Ὅτι ἐλέους καὶ φιλανθρωπίας... Ἔρχεται ἕτερος ἱερεὺς καὶ λέγει κάθισμα· Τὴν ταπεινήν μου ψυχήν... Διαπλέων τὸ πέλαγος τῆς... Δόξα καὶ νῦν· Τῇ Θεοτόκῳ ἐκτενῶς... Προκείμενον ἀποστόλου· Ἐγὼ εἶπα, Κύριε, ἐλέησόν με... Στίχος· Μακάριος ὁ συνιών... Ὁ ἀπόστολος πρὸς Κορινθίους ἐπιστολῆς· Ἀδελφοί, οὐ θέλω ὑμᾶς ἀγνοεῖν ὑπὲρ τῆς θλίψεως. Goar. p. 342. Ἀλληλούϊα. Ὑπομένων ὑπέμεινα. Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ματθαῖον· Τῷ καιρῷ ἐκείνῳ, εἰσῆλθεν ὁ Ἰησοῦς εἰς τὰ μέρη Τύρου καὶ Σιδῶνος. Goar. p. 343. Καὶ ποιεῖ ἐκτενήν, τὸ Κύριε ἐλέησον, καὶ ἡ εὐχὴ αὕτη· Ὁ Θεὸς ὁ μέγας, ὁ πολὺς ἐν ἐλέει καὶ πλούσιος ἐν ἀγαθότητι, σύ, Κύριε, ὁ ἐνισχύσας ἡμᾶς διὰ τῶν ἁγίων σου ἀποστόλων ἐλαίῳ μετὰ προσευχῆς ὑπὸ τῶν πρεσβυτέρων τοὺς ἀσθενοῦντας θεραπεύειν. Σὺ Αὐτός, Δέσποτα, ποίησον τοῦτο τὸ ἔλαιον εἰς ἴασιν καὶ σωτηρίαν τοῖς ἐξ αὐτοῦ χριομένοις, εἰς δόξαν τοῦ ἁγίου σου ὀνόματος, ἀποδιώκων πᾶσαν νόσον ἐξ αὐτοῦ καὶ πᾶσαν μαλακίαν, ὁ μόνος ψυχῶν καὶ σωμάτων ἰατρός, ὅπως, μετασχόντες τῆς σῆς φιλανθρωπίας, δοξάσωμεν τὴν σὴν ἀγαθότητα. Ὅτι σὺ ὑπάρχεις ὁ Δοτὴρ τῶν ἀγαθῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν... Καὶ σφραγίζει τὸ ἔλαιον καὶ ἅπτει αὐτότουρβον, καὶ εἰσέρχεται ἕτερος καὶ λέγει κάθισμα· Κριτοῦ καθεζομένου... Ψυχή, τὰ ὧδε πρόσκαιρα, τὰ δὲ ἐκεῖθεν... Δόξα καὶ νῦν. Προκείμενον τοῦ ἀποστόλου· Σύ, Κύριε, φυλάξεις ἡμᾶς... Στίχος· Σῶσόν με, Κύριε, ὅτι ἐκλέλοιπεν... Ὁ ἀπόστολος πρὸς Ἐφεσίους·

'Αδελφοί, ὁ Θεὸς πλούσιος ὢν ἐν ἐλέει διὰ τὴν πολλὴν ἀγάπην... Τέλος· Ἵνα ἐν αὐτοῖς περιπατήσωμεν. 'Αλληλούια. 'Ελέησόν με, ὁ Θεός. Εὐαγγέλιον κατὰ Ματθαῖον· Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην· ὁμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν δέκα παρθένοις... Goar. p. 342. 'Ελέησον ἡμᾶς... κ. τ. α. τὸ Κύριε ἐλέησον ιβ'. καὶ ἡ εὐχὴ αὕτη· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καθήμενος ἐπὶ τῶν χερουβὶμ Cм. выше стр. 103, прим. Ὅτι σὺ ἰατρὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν καὶ σοὶ τὴν δόξαν... Καὶ ἐμφυσᾷ τὸ ἔλαιον καὶ ἅπτει τὸ αὐτότουρβον αὐτοῦ, ἀπέρχεται καὶ ψάλλει τροπάρια, ἦχος, πλ. β'. 'Ελέησον ἡμᾶς, Κύριε, ἐλέησον, Δόξα, Τῆς εὐσπλαγχνίας τὴν πύλην. Καὶ ἔρχεται ς'. ἱερεὺς καὶ λέγει προκείμενον τοῦ ἀποστόλου· Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου... Στίχος· Ἡ σωτηρία σου, ὁ Θεός, ἀντελάβετο... Ὁ ἀπόστολος πρὸς Γαλάτας· 'Αδελφοί, ὁ καρπὸς τοῦ πνεύματος ἐστὶν ἀγάπη. Goar. p. 343. 'Αλληλούια. 'Επίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησον. Εὐαγγέλιον κατὰ Ματθαῖον· Τῷ καιρῷ ἐκείνῳ, ἐλθὼν ὁ 'Ιησοῦς εἰς τὴν οἰκίαν Πέτρου. Goar. p. 341. 'Ελέησον ἡμᾶς. Ἔτι δεόμεθά σου, Κύριε, ὑπὲρ τοῦ δούλου τοῦ Θεοῦ ὁ δεῖνα, τοῦ ἐν ἀσθενείᾳ κατακειμένου καὶ τοῦ ἐλέους Κυρίου... Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καταπέμψας τοὺς ἑπτὰ ἀρχαγγέλους εἰς τὸν οἶκον Ζακχαίου. Cм. выше стр. 186, прим. Καὶ εἰσέρχεται ἕτερος ἱερεὺς καὶ λέγει κάθισμα, ἦχος πλ. δ'. Ὄμματι εὐσπλάγχνῳ, Κύριε, ἴδε... Ὡς τοῦ κριτοῦ παρόντος... Δόξα καὶ νῦν, Σὲ καὶ τεῖχος καὶ λιμένα. Πρόσχωμεν. Εἰρήνη πᾶσι. Σοφία, ψαλμὸς τῷ Δαβίδ, προκείμενον ἦχος πλ. α'. 'Επακούσαι σου, Κύριος, ἐν ἡμέρᾳ, ὑπερασπίσαι σου... Πρὸς Θεσσαλονικεῖς· 'Αδελφοί, παρακαλῶ ὑμᾶς· νουθετεῖτε τοὺς ἀτάκτους. Goar. p. 344. 'Αλληλούια, 'Εγὼ εἶπα, Κύριε, ἐλέησόν με. Εὐαγγέλιον ἐκ τοῦ κατὰ Μάρκον· Τῷ καιρῷ ἐκείνῳ, προσκαλεσάμενος ὁ 'Ιησοῦς τοὺς δώδεκα μαθητὰς αὐτοῦ... Τέλος· καὶ ἤλειφαν ἐλαίῳ πολλοὺς ἀῤῥώστους καὶ ἐθεραπεύοντο. 'Ελέησον ἡμᾶς. Ἔτι σοῦ δεόμεθα ὑπὲρ τοῦ δούλου σου ὁ δεῖνα καὶ τῆς δούλης σου τῆς δεῖνα τοὺς τὰ σὰ ἐλέη ἐπιδεομένους, ταχείας ἐπισκέψεως καὶ ὑγείας καὶ σωτηρίας καὶ ἀφέσεως τῶν ἁμαρτιῶν εἴπωμεν. Κύριε ἐλέησον λ'. Ὅτι ἐλεήμων... Εὐχή· Ὁ Θεὸς ὁ δυνατὸς καὶ ἐλεήμων, ὁ πάντα οἰκονομῶν ἐπὶ σωτηρίαν τοῦ γένους τῶν ἀνθρώπων. Прилож. къ Богослуж. въ русск. ц. въ XVI в. ч. I, стр. 132, прим. 3. Μετὰ δὲ τὴν εὐχὴν ταύτην ὀφείλει ψάλλειν· Ὁ κατοικῶν ἐν βοηθείᾳ καὶ ξζ'. ψαλμὸν τοῦ Ψαλτηρίου· 'Αναστήτω ὁ Θεός. Καὶ εἶθ' οὕτως ἀλείφουν τὸν ἄῤῥωστον ἐκ τοῦ ἐλαίου ἕκαστος αὐτῶν κατὰ τὴν τάξιν, λέγει ὁ καθ' εἷς τὴν εὐχὴν ταύτην· Πάτερ ἅγιε, ἰατρὲ ψυχῶν καὶ σωμάτων... Goar. p. 338 διὰ

τῆς χάριτος τοῦ Χριστοῦ σου ζωοποίησον αὐτὸν κατὰ τὸ σοὶ εὐάρεστον, ἵνα καὶ τὴν ὀφειλομένην σοι εὐχαριστίαν ἐν ἀγαθοεργίᾳ ἀποπληροῦνται πρεσβείαις τῆς ὑπερενδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ πάντων σου τῶν ἁγίων. Χρὴ γινώσκειν, ὅτι τοιοῦτος ἄνθρωπος, ὅσπερ ὀφείλεται ποιεῖν τὸ ἔλαιον τὸ ἅγιον τοῦτο, ἕως ἑπτὰ ἡμερῶν οὔτε ἐξαποδύεται οὔτε νίβγεται, ἀλλὰ προσκαρτερεῖ τῇ ἁγίᾳ ἐκκλησίᾳ ἕως συμπληρώσεως τῶν ἑπτὰ ἡμερῶν, οἱ δὲ ἱερεῖς οἱ τοιοῦτοι οἱ ἑπτὰ λειτουργοῦσι τὰς ἑπτὰ ἡμέρας εἷς πρὸς εἷς καθ' ἣν ἡμέραν ὑπὲρ τοῦ τοιούτου ἀσθενοῦς, μετὰ δὲ συμπληρώσεως τῶν ἑπτὰ ἡμερῶν λούεται καὶ ἀλλάσσει καὶ κατηχίζεται ὑπὸ τοῦ πρώτου ἱερέως, τῶν τοιούτων ἑπτά, εἰς ἐπήκοον πάντων τῶν συλλειτουργῶν αὐτοῦ· Βλέπε, ἀδελφέ, τὸ λοιπὸν τῆς ζωῆς σου ἐν τῷ παρόντι αἰῶνι, μὴ προσπταίσῃς τῷ Θεῷ· τὰ γὰρ πρώην σου ἐγκλήματα ἐξέλιπε διὰ τῆς προστάξεως ἡμῶν, τῶν ἀναξίων ἱερέων, κατὰ χάριν Χριστοῦ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας.

л. 61. Чтенія апостольскія и евангельскія на цѣлый годъ съ сентября по августъ и на великій постъ. По недостатку листовъ, весьма многія чтенія отсутствуютъ.

**XXIII.** № 966. Εὐχολόγιον Синайск. библ., рукопись въ 16 долю на пергаменѣ (палимпсестъ, по мѣстамъ даже двойной), 102 листа, писана почеркомъ XIII вѣка. Рукопись несомнѣнно южноитальянскаго происхожденія, такъ какъ въ чинѣ литургіи поминаются умершими: Ῥόπερτος ῥηγὸς (1101—1154) καὶ Γουλιέλμος ῥηγὸς (1154—1166).

л. 1. Ἀκολουθία ἐξομολογουμένων.

Первая страница вытерта на столько, что нѣтъ никакой возможности прочесть начало чина, но изъ дальнѣйшаго изложенія его становится яснымъ, что здѣсь мы имѣемъ тотъ самый чинъ, съ весьма незначительными особенностями, который напечатанъ у *I. Morini*. Commentarius historicus de sacramento poenitentiae. Venet. 1702 an. pag. 616—620. Конецъ чина изложенъ такъ: Ποιήσαντος οὖν Τρισαγίου, τὸ Παναγία Τριάς, τὸ Πάτερ ἡμῶν, Ὅτι σοῦ ἐστὶν ἡ βασιλεία, τροπάριον ἦχος δ'. Τὴν ταπεινήν μου ψυχήν, Δόξα καὶ νῦν, Τῇ Θεοτόκῳ ἐκτενῶς, εἶτα ἐκτενὴ καὶ ἀπολύει.

л. 10. Κανονάριον, ἐκτεθὲν παρὰ Ἰωάννου τοῦ Νηστευτοῦ.

Τέκνον, τί ἰσχύεις φυλάξαι; κατὰ γὰρ ἰσχὺν καὶ προαίρεσιν τοῦ δεχομένου τὰ ἐπιτίμια δίδονται... Конецъ: Νινευῖται οὐ πολλῶν ἐδεήθησαν

τῶν ἡμερῶν εἰς τὸ μετανοῆσαι, ἀλλὰ τριῶν ἡμερῶν μόνον. *I. Morini* pag. 620.

л. 21. Εὐχὴ ἐπὶ τῶν ἐν ἐπιτιμίοις ὄντων καὶ ἑαυτοὺς ὅρκῳ δεσμούντων.

Δέσποτα Κύριε Ἰησοῦ Χριστέ, ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Πατρός, ὁ πάντα δεσμὸν τῶν ἁμαρτιῶν ἡμῶν. Goar. p. 528.

л. 21 об. Εὐχὴ τοῦ ὑπὸ δεσμοῦ ὑπὸ ἱερέως λυομένου.

Εὔσπλαγχνε, ἀγαθὲ καὶ φιλάνθρωπε, ὁ διὰ τοὺς σοὺς οἰκτιρμοὺς ἐξαποστείλας τὸν μονογενῆ σου Υἱὸν εἰς τὸν κόσμον. Goar. p. 521.

— Εὐχὴ εἰς ἐνυπνιαζόμενον ἀδελφόν.

Πολυεύσπλαγχνε Κύριε, ἀκήρατε, ἀμόλυντε, μόνε ἀναμάρτητε. Goar. p. 529.

л. 22. Τάξις, γινομένη εἰς ἐξομολόγησιν ἑτέραν.

Εἰσέρχεται ὁ ἱερεὺς εἰς τὴν ἐκκλησίαν καὶ ἀλλάσσει, καὶ θυμιᾷ, καὶ ἄρχεται καθ' ἑαυτόν, καὶ ἀποκρίνων, καὶ ἐκφωνῶν, καὶ ὁ θέλων ἐξομολογήσασθαι στέκει εἰς τὸ διάστυλον, καὶ ἄρχεται ὁ ἱερεύς(;), λέγων· Εὐλόγησον, δέσποτα. Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ... Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῆς εἰρήνης... Ὑπὲρ τοῦ ἁγίου οἴκου... Ὑπὲρ τοῦ δούλου τοῦ Θεοῦ τοῦδε καὶ τῆς ἐν Χριστῷ ἐπισκέψεως αὐτοῦ... Ὑπὲρ τοῦ καθαρισθῆναι αὐτὸν ἀπὸ παντὸς πονηροῦ, μὴ ἔχοντος σπῖλον ἢ ῥυτίδα, τοῦ Κυρίου... Ὑπὲρ τοῦ ῥυσθῆναι αὐτὸν καὶ ἡμᾶς τῆς αἰωνίου κολάσεως... Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας... Ὅτι ἀγαθὸς εἶ ὁ Θεὸς ἡμῶν... Καὶ εὐθὺς τὸ Τρισάγιον καὶ λέγει· Πρόσχωμεν. Προκείμενον, ἦχος δ'. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός. Στίχος· Ὁ Κύριος ἐβασίλευσεν. Ὁ ἀπόστολος πρὸς Τιμόθεον· Τέκνον Τιμόθεε, πιστὸς ὁ λόγος καὶ πάσης ἀποδοχῆς ἄξιος... Τέλος· τιμὴ καὶ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν. Ἀλληλούια, ἦχος πλ. δ'. Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς. Εὐαγγέλιον κατὰ Ματθαῖον· Τῷ καιρῷ ἐκείνῳ, παράγων ὁ Ἰησοῦς, εἶδεν ἄνθρωπον, καθήμενον ἐπὶ τὸ τελώνιον, Ματθαῖον λεγόμενον... Τέλος· οὐ γὰρ ἦλθον καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν. Εἴπωμεν πάντες... Κύριε παντοκράτωρ... Ὁ μὴ βουλόμενος τὸν θάνατον... Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου... Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς... Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ... Εὐχὴ τῆς ἐκτενῆς· Κύριε ὁ Θεὸς ἡμῶν, τὴν ἐκτενῆ ταύτην ἱκεσίαν... Ἔτι ὑπὲρ τοῦ ἵλεων, εὐμενῆ... Ἔτι δεόμεθα ὑπὲρ τοῦ δούλου τοῦ Θεοῦ τοῦδε καὶ τῆς παρὰ Θεοῦ ἄνωθεν βοηθείας, ὑγείας καὶ σωτηρίας, καὶ ἀφέσεως τῶν ἁμαρτιῶν αὐτοῦ... Καὶ ὑπὲρ τοῦ προσδέξασθαι Κύριον τὸν Θεὸν τὴν νυνὶ αὐτοῦ δέησιν καὶ συγκαταριθμῆσαι αὐτὸν τῷ χορῷ τῶν σωζομένων, καὶ λυτρωθῆναι αὐτὸν τῶν προτέρων αὐτοῦ σφαλμάτων... Εἴπωμεν ὑπὲρ αὐτοῦ τὸ Κύριε ἐλέησον μ'. Ἐκφώνησις· Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις... Καὶ εἶθ'

οὕτως· Εἰρήνη πᾶσι. Καὶ τῷ Πνεύματί σου. Καὶ προσέρχεται ὁ μέλλων ἐξομολογεῖσθαι καὶ βάλλει γονυκλισίαν ἔμπροσθεν τῆς ἁγίας τραπέζης, καὶ κεῖται ἐν τοῖς γόνασιν αὐτοῦ, ὁ δὲ ἱερεὺς λέγων τὴν εὐχὴν ταύτην· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τῷ Πέτρῳ καὶ τῇ πόρνῃ διὰ δακρύων ἄφεσιν ἁμαρτιῶν αὐτοῖς δωρησάμενος. Goar. p. 537. Δέσποτα Κύριε, ὁ καλῶν δικαίους εἰς ἁγιασμὸν καὶ ἁμαρτωλοὺς εἰς τὸ σῶσαι αὐτούς. *I. Morini.* De sacramento poenitentiae p. 618. Τοῦ Κυρίου δεηθῶμεν. Εὔσπλαγχνε, ἀγαθὲ καὶ φιλάνθρωπε, ὁ διὰ τοὺς οἰκτιρμοὺς ἐξαποστείλας τὸν μονογενῆ σου Υἱὸν εἰς τὸν κόσμον Ibid. pag. 625. Καὶ εἶθ' οὕτως ἀνιστᾷ αὐτὸν ὁ ἱερεὺς λέγει· Ἰδοὺ θελήματι τοῦ φιλανθρώπου Θεοῦ, τοῦ πάντας θέλοντος σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, προσέδραμες τῇ ἁγίᾳ τοῦ Θεοῦ ἐκκλησίᾳ τοῦ καθαρίσαι ἑαυτὸν ἀπὸ πάσης ἁμαρτίας· βλέπε οὖν, τέκνον, μὴ αἰσχυνθῇς με καὶ ἀποκρύψῃς τίποτε ἐκ των ἔργων σου καὶ κατακριθεῖς. Καὶ αὐτὸς ἀποκρίνεται· Πάτερ, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιον τοῦ Θεοῦ. Καὶ λέγει ὁ ἱερεύς· Συγχωρήσει σοι ὁ Θεός. Ὁμοίως κατὰ πάντα οὕτως ἀποκρίνεται· Συγχωρήσει σοι ὁ Θεὸς ἕως τέλους. Καὶ λέγει ὁ ἱερεύς· Ταῦτα πάντα πρὸ τοῦ ἐξειπεῖν ἡμᾶς, ἃ ἔλεξας, ἐγώ γε ὁ τάλας πέπραχα δὲ καὶ ἄλλα πλεῖστα, ἃ φρίττει ἡ γλῶσσα τοῦ λαλεῖν αὐτά, ἀλλ' οὐκ ἀπογινώσκω τῆς ἐμαυτοῦ σωτηρίας, ὅμως ἀφορῶ εἰς τὸ πέλαγος τῶν οἰκτιρμῶν τοῦ ἐλέους τοῦ Θεοῦ τοῦ δωρῆσθαι ἡμῖν λύτρον ἀμπλακημάτων. Καὶ εἶθ' οὕτως λέγει τὸν Ν'. ψαλμὸν καὶ τὸ Κύριε ἐλέησον μ'. Καὶ τοῦτον ὅλον ψάλλεται μετὰ γονυκλισίας καὶ τὸ Κύριε, συγχώρησον γ'. τὸ Κύριε, ἱλάσθητι γ'. Λέγει ὁ ἱερεύς· Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς τῶν δυνάμεων καὶ πάσης σαρκός, ὁ Θεὸς τῶν μετανοούντων, ὁ τῶν ἁγίων σου ἀποστόλων δοὺς ἐξουσίαν τοῦ λύειν πᾶσαν ἁμαρτίαν, ὁ θέλων πάντας ἀνθρώπους σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, ὁ τοὺς ἀπατηθέντας ἐκ φρενοβλαβοῦς παραδόσεως ἐπιστρέψας εἰς σωτηρίαν. Αὐτός, Δέσποτα τῶν ἁπάντων, πρόσδεξαι καὶ τὸν δοῦλόν σου τοῦτον ἀνανήψαντα ἐκ τῆς τοῦ διαβόλου παγίδος καὶ προσδραμοῦντα τῇ ἁγίᾳ σου ἐκκλησίᾳ· καὶ δεόμεθά σου, Κύριε, καὶ παρακαλοῦμέν σε, ποίησον αὐτὸν ἐπαρίθμιον γενέσθαι μετὰ τῶν σωζομένων, διαφύλαξον αὐτόν, ὅτι νεκρὸς ἦν καὶ ἀνέζησεν, ἀπολωλὸς ἦν καὶ εὑρέθη· διό, Κύριε, δώρησαι αὐτῷ νοῦν ἀγαθόν, ἵνα ἀμώμως καὶ ὁσίως δοξολογήσῃ σε ἐν τῇ ἀληθείᾳ τοῦ μονογενοῦς σου Υἱοῦ. Ὅτι σὸν τὸ κράτος καὶ σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα... Εὐχὴ ἤγουν ἀπολυτική· Ὁ Θεός, ὁ δι' ἡμᾶς ἐνανθρωπήσας καὶ παντὸς τοῦ κόσμου τὰς ἁμαρτίας βαστάζων... *I. Morini.* De sacramento poenitentiae pag. 643. Καὶ εἶθ' οὕ-

τως καθεζόμενοι, ἐρωτᾷ αὐτὸν ἐν φαιδρῷ τῷ προσώπῳ καὶ εἰλικρινεῖ διαθέσει· Βλέπε, τέκνον, μὴ αἰσχυνόμενος ἀποκρύψῃς τι πλημμέλημα, ἀλλὰ περισωρεύσας... На этомъ обрывается изложеніе чина.

л. 25. Εὐχολόγιον, περιέχον τὴν πᾶσαν ἀκολουθίαν τῆς ἐκκλησιαστικῆς καταστάσεως.

Εὐχὴ εἰς τὸ ἀμφιέννεσθαι τὸν ἱερέα τὴν ἱερατικὴν στολήν.

Δέσποτα Κύριε ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἔπιδε ἐπ' ἐμὲ τὸν ἁμαρτωλὸν καὶ ἀνάξιον δοῦλόν σου ἐν τῇ ὥρᾳ ταύτῃ καὶ στολὴν περιβαλόμενον ἱεράν, δύναμιν ἐξ ὕψους κατάπεμψον καὶ ἐνίσχυσόν με τῇ χάριτι τοῦ ἁγίου σου Πνεύματος, ἐνδεδυμένον τὴν τῆς ἱερωσύνης χάριν παραστῆναι τῇ ἱερᾷ ταύτῃ τραπέζῃ καὶ ἱερουργῆσαι τὸ ἄχραντόν σου σῶμα καὶ τὸ τίμιον αἷμα. Ὅτι πρέπει σοι πᾶσα δόξα καὶ προσκύνησις τῷ Πατρὶ καὶ τῷ Υἱῷ...

— Εὐχὴ τοῦ θυμιάματος.

Θυμίαμά σοι προσφέρομεν, Κύριε ὁ Θεὸς ἡμῶν. Goar. p. 50.

л. 25 об. Εὐχὴ τῆς προθέσεως, ἣν ἱστῶμεν καὶ λέγομεν ἐνώπιον τῇ προθέσει.

Ὁ Θεὸς ὁ Θεὸς ἡμῶν, ὁ τὸν οὐράνιον ἄρτον τὴν τροφὴν τοῦ παντὸς κόσμου τὸν Κύριον ἡμῶν. Goar. p. 51.

— Ἀρχὴ τῆς θείας λειτουργίας τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου.

Молитва: Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν ὑψηλοῖς κατοικῶν... надписывается: εὐχὴ τῶν κατηχουμένων πρὸ τῆς ἁγίας ἀναφορᾶς τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου. Молитва: Οὐδεὶς ἄξιος...—εὐχὴ τοῦ χερουβικοῦ. По прочтеніи молитвы: Οὐδεὶς ἄξιος... ὁ ἱερεύς· Μνήσθητί μου, δέσποτα. Καὶ ὁ διάκονος· Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σέ, καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι, τὰ ἔργα τῶν χειρῶν σου. Μνήσθητι καὶ ἐμοῦ, δέσποτα. Καὶ ὁ ἱερεύς· Μνησθείη Κύριος ὁ Θεὸς ἡμῶν καὶ ὑμῶν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. Εἶτα ἀπονίπτονται ἀμφότεροι τὰ ἄκρα τῶν δακτύλων, κατὰ τὴν παράδοσιν τοῦ ἁγίου πρωτοπιστοῦ Διονυσίου τοῦ Ἀρεοπαγήτου. Εἶτα λέγει ὁ ἱερεὺς μυστικῶς· Νίψομαι ἐν ἀθώοις τὰς χεῖρας... καὶ τόπον σκηνώματος δόξης σου, ᾧ δὲ κατοικήσω, ὅτι ᾐτησάμην αὐτήν, αὐτὴ ἡ κατάπαυσίς μου εἰς αἰῶνα αἰῶνος. Goar. p. 49. Εὐχὴ εἰς τὸ συστεῖλαι· Ἐκ δυνάμεως εἰς δύναμιν. *Красносельцевъ* Свѣдѣн. о Ватикан. ркп. стр. 279.

л. 46. Ἡ θεία λειτουργία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου.

Εὐχὴ τῶν κατηχουμένων α'. πιστῶν, μετὰ τὴν εὐχὴν τῆς ἐκτενῆς· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν οὐρανοῖς κατοικῶν. Goar. p. 138. Такъ па-

чинается этотъ чинъ. Во время пѣнія „Иже херувимы“, ὁ ἱερεὺς τὴν εὐχὴν τοῦ χερουβικοῦ· Οὐδεὶς ἄξιος... Ἐρχόμενος ὁ διάκονος, τὰ ἅγια βαστάζων καὶ τῷ ἱερεῖ ἐγχειρίζων αὐτά, λέγει· Εὐλογεῖτε, ἅγιοι. Ὁ δὲ ἱερεύς, δεχόμενος αὐτά, λέγει· Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. Και ἐπαίρων τὸ κάλυμμα, ἀποκαλύπτει τὸ ἅγιον ποτήριον καὶ τὸν δίσκον, καὶ εἶθ' οὕτως καλύπτει αὐτὰ μετὰ τῆς νεφέλης, εἶτα στρέφεται ὁ προεστὼς λέγει τοῖς συλλειτουργοῦσιν αὐτῷ· Εὔχεσθε, ἀδελφοί. Καὶ ἀποκρίνονται πάντες· Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σέ, καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι. Μνήσθητι ἡμῶν, δέσποτα. Ὁ δὲ λέγει· Μνησθείη Κύριος ὁ Θεὸς ἡμῶν ἐν τῇ βασιλείᾳ αὐτοῦ. Οἱ δὲ ἀποκρίνονται· Ἀμήν. Γένοιτο. Εἶτα ἀπονίπτονται τὰς χεῖρας, λέγονται· Νίψομαι ἐν ἀθώοις τὰς χεῖρας ἡμῶν καὶ κυκλώσωμεν τὸ θυσιαστήριον τοῦ Θεοῦ ἡμῶν. Ὁ διάκονος· Πληρώσωμεν τὴν δέησιν... κ. τ. λ.

л. 46 об. Ἡ θεία λειτουργία τῶν προηγιασμένων.

Ἐν πρώτοις ἀλλάσσει ὁ ἱερεὺς καὶ οὕτως ἄρχεται λέγων· Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου... Ὁ λαὸς ἄρχεται τὸ Τρισάγιον, τὸ Παναγία Τριάς, τὸ Πάτερ ἡμῶν. Ὁ ἱερεύς· Ὅτι σοῦ ἐστὶν ἡ βασιλεία. Ὁ λαός· Δεῦτε προσκυνήσωμεν, τὸ Εὐλόγει ἡ ψυχή μου. Ἐν ὅσον ψάλλεται τὸ προοιμιακόν, ὁ ἱερεὺς τελεῖ τὴν πρόθεσιν καὶ σκεπάσας καὶ θυμιάσας τὰ ἔνδοθεν καὶ τὸν ναὸν ὅλον, καὶ δοὺς τὸν θυμιατὸν τῷ ὑπηρέτῃ, καὶ τελειωθέντος τοῦ λαοῦ τὸ προοιμιακόν, ἄρχεται ὁ ἱερεὺς τὴν συναπτήν· Ἐν εἰρήνῃ. Εὐχὴ α'. τοῦ λυχνικοῦ· Κύριε οἰκτίρμων καὶ ἐλεήμων. Goar. p. 163. Ἀντιλαβοῦ... Τῆς παναγίας... Ὅτι πρέπει. Εἰρήνη πᾶσιν. Εἶτα στιχολογεῖται· Πρὸς Κύριον, καὶ μετὰ τὴν στιχολογίαν, ὁ ἱερεύς· Ἔτι καὶ ἔτι... Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς ἡμᾶς... Goar. p. 163.. Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας... Ὅτι σὸν τὸ κράτος... Εἰρήνη πᾶσιν. Ὁ λαός· Καὶ τῷ Πνεύματί σου. Τὸ Κύριε ἐκέκραξα εἰς τὸν ἦχον τῶν στιχηρῶν τοῦ Τριῳδίου, ἱστῶμεν στιχηρὰ ς'. καὶ ψάλλομεν τὰ β'. στιχηρὰ τοῦ κὺρ Ἰωσὴφ καὶ β'. τοῦ κὺρ Θεοδώρου, τὸ μαρτυρικόν, Δόξα καὶ νῦν, εἰσοδεύει μετὰ μανουαλίου καὶ θυμιατοῦ. Εὐχὴ τῆς εἰσόδου· Ἑσπέρας καὶ πρωῒ καὶ μεσημβρίας. Goar. p. 164. Σοφία, ὀρθοί. Ὁ λαός· Φῶς ἱλαρόν. Ὁ διάκονος· Πρόσχωμεν. Εἰρήνη πᾶσιν. Ὁ ψάλτης τὸ προκείμενον, λέγει τὴν Γένεσιν, καὶ μετὰ τὴν Γένεσιν, τὸ προκείμενον τῆς Παροιμίας. Ὁ ἱερεύς, ἱστάμενος ἔξω τῶν ἁγίων θυρῶν μετὰ θυμιατοῦ καὶ κρατῶν δεξιᾷ χειρὶ κηρόν, σφραγίζει σταυροῦ τύπον τὸ θυσιαστήριον, λέγει· Φῶς Χριστοῦ φαίνει πᾶσιν. Ὁ ψάλτης τὴν Παροιμίαν, καὶ μετὰ τὴν Παροιμίαν, ὁ ψάλτης ἦχος πλ. β'. Κατευθυνθήτω...

Στίχος· Κύριε ἐκέκραξα... Στίχος· Μὴ ἐκκλίνῃς... Ὁ ψάλτης· Κατευθυνθήτω. Ὁ λαός· Ἔπαρσις τῶν χειρῶν μου. Ὁ ψάλτης· Ἔπαρσις τῶν χειρῶν μου Ὁ ἱερεύς· Εἴπωμεν πάντες... Далѣе обычный порядокъ. Ἔτι καὶ ἔτι κλίνοντες τὰ γόνατα ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν. Δέσποτα πανάγιε, ὑπεράγαθε. Goar. p. 166. Молитва заамвонная: Ὁ εὐλογῶν τοὺς εὐλογοῦντας...

л. 52 об. Εὐχὴ εἰς τὸ σφραγίσαι παιδίον, λαμβάνον ὄνομα τῇ η΄. ἡμέρᾳ τῆς γεννήσεως αὐτοῦ.

Εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ... Κύριε ὁ Θεὸς ἡμῶν, σοῦ δεόμεθα καὶ σὲ ἱκετεύομεν. Goar. p. 264. Καὶ πληρῶν τὴν εὐχήν, σφραγίζει αὐτοῦ τὸ μέτωπον καὶ τὸ στόμα, καὶ τὸ στῆθος καὶ ἀπολύει.

л. 53. Εὐχὴ εἰς τὸ ἐκλησιάσαι γυναῖκα καὶ παιδίον τῇ μ΄. ἡμέρᾳ τῆς γεννήσεως αὐτοῦ.

Κύριε ὁ Θεὸς ἡμῶν, σοῦ δεόμεθα καὶ σὲ παρακαλοῦμεν, καὶ ἱκετεύομεν· Αὐτὸς οὖν ὁ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ὁ πᾶσαν λογικήν τε καὶ ἄλογον φύσιν... Goar. p. 267.

л. 54. Εὐχὴ εἰς τὴν μίαν καὶ εἰς ἑτέρας γυναῖκας, λαγχάνοντας εἰς λοχήν.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ παραγενόμενος ἐπὶ σωτηρίαν τοῦ γένους τῶν ἀνθρώπων... Goar. p. 267 τοῦ ναοῦ τῆς δόξης σου, ἀπόπλυνον αὐτῆς τὸν ῥύπον τοῦ σώματος καὶ τὸν σπῖλον τῆς ψυχῆς, ποιῶν αὐτὴν ἀξίαν τῆς μεταλήψεως τοῦ τιμίου σώματος καὶ αἵματός σου. Ὅτι ἡγίασται καὶ δεδόξασται τὸ πάντιμον...

— Εὐχὴ εἰς τὸ ἐκκλησιάσαι παιδίον μετὰ τῆς μητρὸς αὐτοῦ τῇ μ΄. ἡμέρᾳ.

Ἰστέον λαβεῖν ὁ ἱερεὺς τὸ παιδίον εἰς τὴν ἀριστερὰν χεῖραν, εἰσέρχεται εἰς τὸν ναόν, λέγων τὴν εὐχὴν ταύτην· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν τεσσαράκοντα ἡμέραις κατὰ τὸν νόμον εἰς τὸ ἱερὸν ἀνελθὼν μετὰ Μαρίας τῆς ἀπειρογάμου καὶ ἁγίας Μητρός σου. См. выше стр. 25 прим. τῇ χάριτί σου τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν εἰς δόξαν σὴν καὶ τοῦ ἀνάρχου σου Πατρὸς καὶ ἀγαθοῦ καὶ ζωοποιοῦ σου Πνεύματος νῦν... Καὶ μετὰ τὸ τέλος τῆς εὐχῆς, ἵσταται ὁ ἱερεὺς ἐν τοῖς προθύροις τοῦ θυσιαστηρίου, ποιεῖ αὐτὸ τὸ παιδίον ἢ ἀνάδοχος αὐτοῦ τρεῖς προσκυνήσεις, καὶ τίθησιν αὐτὸν εἰς τὸ ἔδαφος, λέγει τὴν εὐχὴν ταύτην· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν τεσσαράκοντα ἡμέραις ὡς βρέφος τῷ νομικῷ ναῷ προσαχθείς. Goar. p. 267. Καὶ μετὰ τὸ σφραγίζειν αὐτὸ κάτω κείμενον, καὶ οὕτως ὁ ἀνάδοχος λαμβάνει καὶ ἐξέρχεται.

л. 55. Εὐχὴ εἰς τὸ ποιῆσαι κατηχούμενον.

Λαβὼν ὁ ἱερεὺς ἀποδύει αὐτὸν καὶ ἀπολύει, καὶ ἵστησιν αὐτὸν κατὰ ἀνατολάς, καὶ ἐμφυσᾷ αὐτὸν γ'. καὶ σφραγίζει τὸ μέτωπον αὐτοῦ, τὸ στόμα καὶ τὸ στῆθος, βαλὼν τὴν χεῖρα εἰς τὴν κεφαλὴν τοῦ μέλλοντος βαπτισθῆναι, λέγει· Τοῦ Κυρίου δεηθῶμεν. Ἐπὶ τῷ ὀνόματί σου... Ἰστέον, ὅτι, πρὸς δυσμὰς στρεφόμενος, ὁ ἱερεὺς ἀναγινώσκει τοὺς ἀφορκισμοὺς τούτους· Ἐπιτιμᾷ σοι Κύριος, διάβολε... p. 275. Τοῦ Κυρίου δεηθῶμεν. Ὁ Θεὸς ὁ ἅγιος, ὁ φοβερός... p. 272. Εὐχή, ἣν ποιεῖ ὁ ἱερεὺς στρεφόμενος κατὰ ἀνατολάς· Κύριε Σαβαώθ, ὁ Θεὸς τοῦ Ἰσραήλ... p. 276. Εὐχὴ εἰς τὸ ποιῆσαι κατηχούμενον τὸν πρὸς ὥραν βαπτιζόμενον· Ὁ ὢν Δέσποτα Κύριε. Goar. p. 276. Εἶτα ἐμφυσᾷ εἰς τὸ πρόσωπον αὐτοῦ γ'. καὶ σφραγίζει τὸ μέτωπον αὐτοῦ, καὶ τὸ στῆθος, καὶ τὸ στόμα, λέγει· Ἐξέλασον ἀπ' αὐτοῦ πᾶν πονηρόν... Goar. p. 277. Далѣе, какъ въ ркп. М. Синод. библ. № 279. Дмитріевскій. Прил. стр. 10, 11. Вопросы написаны также. „Вѣрую" читаетъ трижды оглашаемый или его воспріемникъ. Прибавки: Καὶ βαπτίζομαι въ формулѣ: Καὶ συντάσσομαι τῷ Χριστῷ нѣтъ.

л. 61. Ἀκολουθία καὶ τάξις τῶν βαπτισμάτων.

Ἀπέρχεται ὁ ἱερεὺς εἰς τὴν κολυμβήθραν καὶ θυμιᾷ αὐτὴν σταυροειδῶς, εὐλογεῖ λέγων· Εὐλογημένη ἡ βασιλεία... Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῆς εἰρήνης... Ὑπὲρ τοῦ ἁγίου οἴκου... Ὑπὲρ τοῦ ἀρχιεπισκόπου... Ὑπὲρ τοῦ εὐσεβεστάτου... Ὑπὲρ τοῦ ἁγιασθῆναι τὸ ὕδωρ... Ὑπὲρ τοῦ γενέσθαι αὐτὸ πηγὴν ζωῆς.. Ὑπὲρ τοῦ καταπεμφθῆναι ἐν αὐτῷ τὴν χάριν... Ὑπὲρ τοῦ καταφοιτῆσαι... Ὑπὲρ τοῦ πάντα ἐν αὐτῷ ψυχοφθόρον πολέμιον τῇ δυνάμει βυθισθῆναι... Ὑπὲρ τοῦ τέκνου φωτὸς ἀναδειχθῆναι... Ὑπὲρ τοῦ θείᾳ αὐτὸν κατὰ τοῦ ἀντιπάλου ἐνδύσασθαι δυνάμει τοῦ ἐλαίου τῆς χρίσεως, τοῦ σκεύους αὐτὸν γενέσθαι πρὸς ὑποδοχὴν τοῦ θείου μύρου... Ὑπὲρ τοῦ περιπατῆσαι αὐτόν... Ὑπὲρ τοῦ ἀσφαλῆ καὶ βέβαιαν... Ὑπὲρ τοῦ κοινὸν αὐτὸν γενέσθαι τοῦ ἀχράντου σώματος... Ὑπὲρ τοῦ κληρονόμον αὐτὸν ἀναδειχθῆναι τοῖς τῶν δικαίων βιοῦσιν... Ὑπὲρ τοῦ ῥυσθῆναι... Ἀντιλαβοῦ, σῶσον. Τῆς παναγίας. Εὐχή, ἣν ποιεῖ ὁ ἱερεὺς καθ' ἑαυτὸν μυστικῶς· Ὁ εὔσπλαγχνος καὶ ἐλεήμων Θεός... Καθ' ἑαυτὸν λέγει τὴν ἐκφώνησιν καὶ τὸ Ἀμήν, εἶτα λέγει ἐκφώνως· Πρόσχωμεν. Μέγας εἶ, Κύριε, θαυμαστὰ τὰ ἔργα σου... Goar. p. 288. Καὶ ἐμφυσᾷ γ'. εἰς τὸ ὕδωρ, σφραγίζων τῷ δακτύλῳ, λέγει· Συντριβήτωσαν ὑπὸ τὴν σημείωσιν... p. 289. Εἰρήνη πᾶσι. Τὰς κεφαλάς. Εὐχή. Φερόμενον τὸ ἀγγεῖον τοῦ ἐλαίου ὑπὸ τοῦ διακόνου, κλίνας τὴν κεφαλὴν ὁ ἱερεὺς εἰς τὸ ἀγγεῖον, ἐμφυσᾷ γ'. καὶ σφραγίσας, λέγει τὴν

εὐχὴν μυστικῶς. Τοῦ Κυρίου δεηθῶμεν. Δέσποτα Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν, ὁ τοῖς ἐν τῇ κιβωτῷ. Goar. p. 289. Ὁ ἱερεύς· Πρόσχωμεν. Λαβὼν τὸ τρυβλίον ἐκ τοῦ ἁγίου ἐλαίου, ποιῶν ἐξ αὐτοῦ σταυροῦ τύπον εἰς τὸ ὕδωρ, ψάλλων τὸ Ἀλληλούια, ἦχος πλ. β'. μετὰ καὶ τοῦ λαοῦ. Εἶτα ἐκφώνως ὁ ἱερεύς· Εὐλογητὸς ὁ Θεός... Εἶτα προσφέρεται τῷ ἱερεῖ ὁ μέλλων βαπτισθῆναι, καὶ λαβὼν ὁ ἱερεὺς ἐκ τοῦ ἁγίου ἐλαίου τῷ δακτύλῳ (αὐ)τοῦ, ποιῶν σταυροῦ τύπον ἐπὶ τοῦ μετώπου καὶ ἐπὶ τοῦ στήθους καὶ τῶν μεταφρένων, λέγει· Χρίεται ὁ δοῦλος τοῦ Θεοῦ ἔλαιον ἀγαλλιάσεως... Εἶθ' οὕτως χρίει ὁ ἀνάδοχος αὐτοῦ ὅλον τὸ σῶμα. Καὶ μετὰ τοῦτο βάλλει ὁ ἱερεὺς τὸ λέντιον καὶ τὰ ὑπομανίκια καὶ βαπτίζει αὐτόν, λέγει· Βαπτίζεται ὁ δοῦλος.. Ἑκάστῃ προσρήσει κατάγων αὐτὸν καὶ ἀνάγων, λέγει ὁ ἱερεύς, καὶ οἱ ψάλται λέγουν· Μακάριοι ὧν... Λέγει γ'. Δόξα καὶ νῦν, Καὶ ὧν ἀπεκαλύφθησαν αἱ ἁμαρτίαι. Ὁ ἱερεὺς τὴν εὐχὴν τοῦ μύρου· Εὐλογητὸς εἶ, Κύριε Δέσποτα παντοκράτωρ, ἡ πηγὴ τοῦ ἁγιασμοῦ... p. 290. Καὶ ὁ λαός· Ὅσοι εἰς Χριστόν... γ'. Δόξα καὶ νῦν. Ὁ ἱερεύς, λαβὼν τὸ ἅγιον μύρον, χρίει τὸν βαπτισθέντα, ποιῶν σταυροῦ τύπον ἐπὶ τοῦ μετώπου καὶ τῶν ὀφθαλμῶν, καὶ τῶν μυκτήρων, καὶ τοῦ στόματος, καὶ τῶν δύο ὤτων, λέγει οὕτως, χρίων· Σφραγὶς δωρεᾶς Πνεύματος ἁγίου εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ. . Καὶ μετὰ τὸ ἐνδυθῆναι τὸν βαπτισθέντα, ἐπιτίθησιν αὐτῷ ὁ ἱερεὺς τὸ κουκούλιον, λέγει· Λάβε στολὴν λαμπρὰν καὶ ἄμωμον, ἣν προσκομίσεις διὰ χειρός σου πρὸ τοῦ βήματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἕξεις ζωὴν αἰώνιον. Ἀμήν. Ἀποδίδει τὸ κηρί, λέγει· Λάβε ταύτην τὴν λαμπάδα καὶ τήρησον αὐτὴν ἄσβεστον, ἵνα, ὅταν ἔλθῃ ὁ Κύριος ἐν τῷ γάμῳ, δυνηθῇς αὐτῷ ὑπαντῆσαι μετὰ τῶν ἁγίων (αὐ)τοῦ ἐν αὐλῇ οὐρανίῳ καὶ ἕξεις ζωὴν αἰώνιον. Ἀμήν. Λέγει ὁ ἱερεύς· Πορεύεσθε ἐν εἰρήνῃ.

л. 66 об. Εὐχὴ εἰς τὸ ἀπολοῦσαι παιδίον τῇ η'. ἡμέρᾳ τοῦ βαπτίσματος αὐτοῦ.

Ὁ λύτρωσιν ἁμαρτιῶν διὰ τοῦ ἁγίου βαπτίσματος... Εἰρήνη πᾶσι. Τὰς κεφαλάς. Ὁ ἐνδυσάμενος τὸν Χριστὸν τὸν ἀληθινὸν Θεὸν ἡμῶν... Goar. p. 304. Καὶ μετὰ τοῦτο λαμβάνει ὕδωρ εἰς ἀγγεῖον καὶ ἐμφυσᾷ εἰς αὐτὸ γ'. καὶ σφραγίσας, λέγει· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καθαρίσας ἡμᾶς ἐν τῇ ἁγίᾳ σου κολυμβήθρᾳ. Goar. p. 305. Καὶ εἶθ' οὕτως ἀπονίπτει τὸ πρόσωπον τοῦ νεοφωτίστου τῷ ὕδατι καὶ ἀπολύει αὐτοῦ καὶ σταυρίον μετάξιον καὶ ἀπολύει.

л. 67. Εὐχὴ εἰς τὸ κουρεῦσαι παιδίον.

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τῇ σῇ εἰκόνι τιμήσας τὸν ἄνθρω-

πον... Goar. p. 306. Λαβὼν ὁ ἱερεὺς ψαλλίδιον, κουρεύει αὐτὸν σταυροειδῶς, λέγει· Εἰς τὸ ὄνομα τοῦ Πατρός... Καὶ μετὰ τοῦτο· Εἰρήνη πᾶσι. Τὰς κεφαλὰς ἡμῶν. Σὲ ἱκετεύομεν, Κύριε ὁ Θεὸς τῆς σωτηρίας ἡμῶν Goar. p. 306.

л. 68. Εὐχαὶ εἰς ἀῤῥώστους.

1) Πάτερ ἅγιε, ἰατρὲ τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν... См. выше стр. 107. Ὅτι πρέπει σοι πᾶσα δόξα... 2) Ἀγαθὲ καὶ φιλάνθρωπε, εὔσπλαγχνε καὶ πολυέλεε Κύριε. См. выше стр. 197. 3) Ὁ Θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκός, ὁ Κύριος τῶν κυριευόντων καὶ Θεὸς πάσης παρακλήσεως, ὁ εἰσακούων πάντων τῶν ἐπιδεομένων τῆς σῆς βοηθείας, καὶ τὰ νῦν δυσωποῦμέν σε καὶ δεόμεθα, καὶ παρακαλοῦμεν, μνήσθητι τοῦ ἐν ἀῤῥωστίᾳ κατακειμένου ἀδελφοῦ ἡμῶν ὁ δεῖνα, ἐπίσκεψαι αὐτὸν ἐν τῷ σωτηρίῳ σου, ἐπιφάνηθι αὐτῷ ἐν τῇ χρηστότητί σου, ἀπέλασον ἀπ' αὐτοῦ πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν, ἀνάστησον αὐτὸν ἀπὸ κλίνης ἀῤῥωστίας καὶ ἀπὸ στρωμνῆς κακώσεως, καὶ χάρισαι αὐτὸν τῇ ἁγίᾳ σου ἐκκλησίᾳ ἐῤῥωμένον ψυχῇ καὶ σώματι καὶ πνεύματι εἰς τὴν σὴν δοξολογίαν. Ἐλέει καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι νῦν... 4) Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὰ χρόνια πάθη λόγῳ θεραπεύσας. См. выше стр. 56. 5) Κύριε παντοκράτωρ, ἅγιε βασιλεῦ, ὁ παιδεύων καὶ μὴ θανατῶν, ὁ ὑποστηρίζων τοὺς καταπίπτοντας καὶ ἀνορθῶν τοὺς κατηραμένους. Прилож. стр. 127, сн. выше стр. 107. 6) Κύριε ὁ Θεός, ὁ ῥυσάμενος τοὺς τρεῖς παῖδας ἀπὸ καμίνου πυρὸς καὶ Δανιὴλ ἐκ στόματος λεόντων, καὶ τὴν πενθερὰν Πέτρου ἀπὸ πυρετοῦ, καὶ πᾶσαν νόσον ἡμῶν ἀπελαύνειν ἀοράτως δυνάμενος, ῥύεσθαί τε θανάτου (καὶ) μετατιθέναι πρὸς ζωήν, ἐπίβλεψον ἐπὶ τὸν σὸν οἰκέτην φιλανθρωπίας ὄμματι, ἐπιτίμησον τῇ νόσῳ, ὄρεξον ἰάσεως χεῖρα τῷ κάμνοντι, ῥῦσαι αὐτὸν ἀπὸ τῆς συνεχούσης αὐτὸν ἀνάγκης καὶ κακώσεως καὶ θραῦσον ἀπ' αὐτοῦ πᾶσαν νόσον καὶ πάντα πυρετόν, ἐπιφάνηθι αὐτῷ κατὰ τὴν χρηστότητα τῆς ἀγαθωσύνης σου, ὅπως αὐτὸς καὶ ἡμεῖς σοί, τῷ χορηγῷ παντὸς ἀγαθοῦ, δόξαν καὶ μεγαλοπρέπειαν ἀναπέμπωμεν τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι. 7) Ὁ Θεὸς ἡμῶν, ὁ μόνος δυνατὸς καὶ ἐλεήμων, ὁ πάντα οἰκονομῶν... Прил. къ Богослуж. въ русск. ц. въ XVI в. ч. I, стр. 132, прим. 3. 8) Εὐλογητὸς ὁ Θεός, ὁ καλὸς ἰατρὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, ὁ τὰς νόσους ἡμῶν ἀπόνως βαστάζων, οὗ τῷ μώλωπι αὐτοῦ ἡμεῖς πάντες ἰάθημεν, ὁ τὸν θάνατον θανατώσας καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος, ὁ τὸν Λάζαρον ἐκ νεκρῶν ἀναστήσας τετραήμερον, ὁ ἐπισκεψάμενος τὴν πεν-

θερὰν Σίμωνος, τῶν ἀποστόλων τοῦ κορυφαίου Πέτρου, καὶ ἐπὶ λόγῳ ἀποστήσας αὐτῆς τὸν πυρετόν, ὁ τοῖς δυσὶ χρεοφειλέταις τὸ δάνειον χαρισάμενος, καὶ τῇ ἁμαρτωλῷ γυναικὶ ἄφεσιν δωρησάμενος, Αὐτὸς πολυεύσπλαγχνε Κύριε, μακρόθυμε καὶ πολυέλεε, ὁ μετανοῶν ἐπὶ κακίαις ἀνθρώπων ἔπιδε ἐφ' ἡμᾶς καὶ ἐπὶ τὸν δοῦλόν σου τόνδε καὶ δίωξον ἀπ' αὐτοῦ τὴν κεφαλαλγίαν, τὸ ζῆλος, τὸ βάρος, τὸν καύσονα, καὶ λύτρωσαι αὐτὸν ἀπὸ φρικιασμοῦ, ἀπὸ ῥίγους, ἀπὸ πυρετοῦ, ἀπὸ ἡμέρας πονηρᾶς καὶ ὥρας, καὶ ἀπὸ ὀφθαλμῶν πονηρῶν ἀνθρώπων, ἀπὸ δαιμονίου μεσημβρινοῦ καὶ ἀπὸ πάσης νόσου καὶ μαλακίας, πράϋνον τὸν πόνον, φυγάδευσον τὸν πυρετόν, δίωξον τὴν ἀσθένειαν, ἵνα καὶ αὐτὸς μνησθείη τὴν προφητείαν Δαβίδ, τὴν λέγουσαν· Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, ἐξάληψον ἀπ' ἐμοῦ πᾶσαν ἁμαρτίαν καὶ πᾶσαν ῥαθυμίαν, πᾶσαν ἀῤῥωστίαν καὶ βλασφημίαν· Σὺ γὰρ εἶ ὁ ἀληθινὸς ἰατρὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν. Сн. выше стр. 58.

л. 71. Εὐχὴ παρακλητικὴ εἰς ἀῤῥώστους εἰς ἁγίαν (sic) ὑπεραγίαν Θεοτόκον.

Παρθένε Δέσποινα Θεοτόκε Μαρία, ἡ τὸν Θεὸν λόγον κατὰ σάρκα γεννήσασα, ἡ πάσης κτίσεως ὁρατῆς τε καὶ ἀοράτου ὑπερτέρα, τιμὴν δεξαμένη, βοήθησον τῷ δούλῳ σου τῷδε, τῷ μὴ ἔχοντί τινα πρὸς βοήθειαν καὶ ἱκέτευσον τὸν ἄχραντόν σου Υἱὸν τοῦ ἐλεῆσαι καὶ ῥύσασθαι αὐτὸν ἐκ τῆς χαλεπῆς ταύτης νόσου· οὐδὲ γὰρ δυσχερές, οὐδὲ ἄτοπον παρὰ τῷ Υἱῷ σου ὑπάρχει, τῷ καὶ τοὺς βαρβάρους ἐλεοῦντι καὶ τὸν ἥλιον αὐτοῦ ἀνατέλλοντι καὶ βρέχοντι ἐπὶ δικαίους καὶ ἀδίκους· καὶ γάρ ποτε οἱ σταυρώσαντες αὐτὸν ἄξιοι πάσης τιμωρίας ὑπῆρχον, ἀλλ' Αὐτὸς τῇ ἑαυτοῦ εὐσπλαγχνίᾳ ἐῤῥύσατο αὐτούς.—Καὶ οὗτος, εἰ καὶ ἄξιος ὑπάρχει τιμωρίας, ἀλλ' εἷς ἐστὶ τῶν πιστευόντων εἰς Αὐτόν, καὶ ὡς τὴν πενθερὰν ἤγειρε τοῦ ἀποστόλου Πέτρου καὶ τοῦ βασιλικοῦ τὸν παῖδα ἀνέστησεν, οὕτως καὶ τοῦτον ἐν τάχει ἀνάστησον διὰ τῆς σῆς ἱκεσίας, πρὸ πάντων τὴν σὴν βοήθειαν αἰτοῦντα, ἔπειτα δὲ ἀγγέλους, ἀρχαγγέλους, προφήτας, μάρτυρας, ὁσίους, δικαίους, διδασκάλους, ἀποστόλους, τὸν προφήτην καὶ μάρτυρα βαπτιστὴν Ἰωάννην, Πέτρον καὶ Ἰάκωβον, Ἀνδρέαν καὶ Ἰωάννην, Ματθαῖον καὶ Βαρθολομαῖον, Φίλιππον καὶ Θωμᾶν, Σίμωνα καὶ Ἰάκωβον Ἀλφαίου, Ἰούδαν καὶ Ματθίαν, τὸν πρωτομάρτυρα Στέφανον, τὸν ἀρχιδιάκονα, καὶ μέγα Λαυρέντιον, τὴν τῶν ἀναργύρων δυάδα, Κοσμᾶν καὶ Δαμιανόν, Σέργιον καὶ Βάκχον, Κῦρον καὶ Ἰωάννην, Παντελεήμονα καὶ Ἑρμόλαον, τὸν ἔνδοξον Γεώργιον, τὸν μέγιστον Δημήτριον, τὸν θαυμαστὸν Θεόδωρον,

τὸν ὅσιον Νικόλαον, τοὺς κλεινοὺς Ὑπάτιον καὶ Ἰάσονα, τὸν θεῖον Ἀναστάσιον καὶ τὸν θαυματουργὸν Γρηγόριον καὶ πάντας τοὺς ἁγίους· καὶ γὰρ χάριν παρ' αὐτοῦ ἔλαβον τοῦ δεσμεῖν καὶ λύειν καὶ ἰᾶσθαι τὰς νόσους τῶν ἀνθρώπων, ἵνα διὰ τῶν πρεσβειῶν σου καὶ πάντων τῶν ἁγίων ἰάσεως τύχῃ καὶ σωτηρίας ὁ δοῦλος τοῦ Θεοῦ ὁ δεῖνα, δοξάζων σὺν ἡμῖν τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος.

л. 72. Εὐχὴ εἰς ψυχὴν κρινομένην.

Δέσποτα Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ πάντας ἀνθρώπους θέλων σωθῆναι. Goar. p. 587

л. 72 об. Εὐχὴ ἐν κοιμήσει ἱερέως.

Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς ἡμῶν, ὅτι σου μόνον τὸ ζῆν ἀθάνατε, καὶ ἡ δόξα ἀκατάληπτος. Goar. p. 452.

л. 73. Εὐχὴ ἐν κοιμήσει νηπίου.

Ὁ φυλάσσων τὰ νήπια, Κύριε. Goar. p. 478.

л. 73 об. Ἀκολουθία καὶ τάξις τῶν ἁγίων Θεοφανίων.

Μετὰ τὴς ἀπόλυσιν τῆς θείας λειτουργίας, οὐ λέγει ὁ διάκονος· Ἐν εἰρήνῃ προέλθετε, ἀλλὰ ἀντὶ τούτου λέγει· Σοφία, καὶ ἐξερχόμεθα εἰς τὸν λουτῆρα μετὰ θυμιατοῦ καὶ μανουαλίων, ψάλλουσιν εὐθὺς οἱ ψάλται τροπάριον, ἦχος πλ. δ'. μετὰ μέλους· Φωνὴ Κυρίου... Στίχος· Ἐνέγκατε τῷ Κυρίῳ υἱοὶ Θεοῦ. Τὸ αὐτὸ τροπάριον. Στίχος· Ἐνέγκατε τῷ Κυρίῳ δόξαν ὀνόματι αὐτοῦ. Τὸ αὐτό. Καὶ εὐθὺς τὰ στιχηρά· Σήμερον τῶν ὑδάτων... Στίχος· Ἡ θάλασσα ἴδε... Ὡς ἄνθρωπος ἐν ποταμῷ... Στίχος· Τί σοι ἐστὶν ἡ θάλασσα, ὅτι ἔφυγες, καὶ σοὶ Ἰορδάνῃ... Πρὸς τὴν φωνήν... Δόξα καὶ νῦν, Τάδε λέγει Κύριος πρὸς Ἰωάννην... Μετὰ στιχηρὰ λέγει τὰς προφητείας τὰς γ'. καὶ εὐθὺς ἡ συναπτή· Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῆς εἰρήνης. Ὑπὲρ τοῦ ἁγίου οἴκου... Ὑπὲρ τοῦ ἀρχιεπισκόπου... Ὑπὲρ τοῦ εὐσεβεστάτου... Ὑπὲρ τοῦ συμπολεμῆσαι... Ὑπὲρ τοῦ ἁγιασθῆναι τὸ ὕδωρ... Ὑπὲρ τοῦ καταπεμφθῆναι αὐτῷ... Ὑπὲρ τοῦ καταφοιτῆσαι... Ὑπὲρ τοῦ γενέσθαι αὐτὸ πᾶσι τοῖς τε χριομένοις καὶ μεταλαμβάνουσιν... Ὑπὲρ τοῦ ἀναδειχθῆναι αὐτὸ ἀποτροπὴν καὶ καθαρτήριον καὶ ἁγιασμὸν οἴκου... Ὑπὲρ τοῦ γενέσθαι αὐτοὺς κληρονόμους τῆς οὐρανίου βασιλείας διὰ τοῦ ὕδατος... Ὑπὲρ τοῦ ῥυσθῆναι... Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας ἀχράντου... Ὁ ἱερεὺς τὴν εὐχὴν καθ' ἑαυτόν· Κύριε Ἰησοῦ Χριστὲ ὁ μονογενὴς Υἱός... Goar. p. 368. Καὶ πληρώσας τὴν εὐχήν, λέγει καθ' ἑαυτὸν τὸ Ἀμήν, καὶ εὐθὺς ἄρχεται ἐκφώνως· Πρόσχωμεν. Μέγας εἶ, Κύριε, καὶ θαυμαστὰ τὰ ἔργα σου...

Goar. p. 370. Εἰρήνη πᾶσι. Τὰς κεφαλάς. Κλῖνον, Κύριε, τὸ οὖς σου... Εἶτα λαβὼν τοὺς σταυρούς, βαπτίζει, λέγων· Εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος νῦν καὶ ἀεὶ... καὶ τῶν ψαλτῶν ψαλλόντων τροπάριον, ἦχος α'. Ἐν Ἰορδάνῃ βαπτιζομένου... Εἶθ' οὕτως ἀπογεύεται ἐξ αὐτοῦ καὶ δίδει καὶ τῷ λαῷ. Εὐθὺς ὁ διάκονος· Ἐν εἰρήνῃ προέλθετε. Ὁ ἱερεύς· Τοῦ Κυρίου δεηθῶμεν, τὴν ὀπισθάμβωνον καὶ ἀπολύει.

л. 77. Ἀκολουθία εἰς υἱοθετοῦντας.

Προσκαλεῖται ὁ ἱερεὺς τὸν μέλλοντα υἱοθετῆσαι σὺν τῷ υἱοθετουμένῳ καὶ ἵστησιν αὐτοὺς ἔμπροσθεν τοῦ ἁγίου θυσιαστηρίου, λέγοντος τοῦ ἱερέως· Εὐλογημένη ἡ βασιλεία... Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῶν δούλων τοῦ Θεοῦ τοῦδε καὶ τοῦδε καὶ τῆς ἐν Χριστῷ διαθέσεως καὶ ἀγαθῆς ἐπιτηδεύσεως, καὶ ἔργου πνευματικοῦ, καὶ εἰρήνης, καὶ ὁμονοίας αὐτῶν τοῦ... Ὑπὲρ τοῦ ἐν ἀγαθοεργίᾳ καὶ εὐαρέστῳ πολιτείᾳ αὐτοὺς βιῶσαι τοῦ... Ὑπὲρ τοῦ ῥυσθῆναι... Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας... Πρόσχωμεν. Κύριε ὁ Θεὸς ἡμῶν, διὰ τοῦ ἠγαπημένου σου Παιδός. Goar. p. 561. Εἰρήνη πᾶσι. Τὰς κεφαλάς. Ὁ ἱερεὺς εὔχεται· Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ πάσης κτίσεως δημιουργός... p. 562. Καὶ μετὰ τὸ Ἀμήν, ἁπλώσας τὰς χεῖρας εἰς τὰ ἅγια θυρία τοῦ υἱοθετοῦντος, λαβὼν ὁ ἱερεὺς τῆς χειρὸς τὸν υἱοθετούμενον, διαβάζει τοῦτον γ'. ἀπὸ τῶν μασχαλῶν τοῦ υἱοθετοῦντος, λέγει τὴν εὐχήν· Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ διὰ σπλάγχνα ἐλέους σου κατελθὼν ἐπὶ σωτηρίαν p. 562. not. Καὶ μετὰ τὴν εὐχήν, ποιεῖ μετάνοιαν ὁ υἱὸς εἰς τοὺς πόδας τοῦ πατρὸς καί, κρατήσας αὐτὸν ὁ ἱερεὺς τῆς χειρός, δίδωσιν αὐτὸν τῷ πατρί, λέγων· Δόξα τῷ Θεῷ ἡμῶν εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμὴν καὶ ἀπολύει.

л. 78 об. Ἀκολουθία καὶ τάξις εἰς μνῆστρα.

Δεῖ εἰδέναι, ὅτι, ἐὰν ἐστὶν εὐλόγημα καὶ στεφάνωμα, ἡ μὲν εὐλόγησις γίνεται ἐν τῷ νάρθηκι, ἡ δὲ στεφάνωσις ἐν τῷ ναῷ, εἰ δὲ ἓν ἐκ τῶν δύω εἰς τὸν ναόν. Πρῶτον τίθεται σέλλιον καὶ ματειππίδιον(;), καὶ εἶθ' οὕτως τὸ ἅγιον εὐαγγέλιον τίθησιν ἐπάνω τοῦ ματειππιδίου καὶ δύο δακτυλίδια, τὸ μὲν χρυσοῦν, τὸ δὲ ἕτερον ἀργυροῦν, καὶ τὰ μνῆστρα, καὶ προσέρχονται οἱ μέλλοντες στεφανωθῆναι ἔμπροσθεν τοῦ ἁγίου εὐαγγελίου, καὶ ἵστησιν τὸν μὲν νεώτερον ἐκ δεξιῶν, τὴν δὲ κόρην ἐξ εὐωνύμων, καὶ δίδωσι πρὸς ἕνα κηρόν, λέγει πρὸς ἕνα ἕκαστον· Εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, καὶ εἶθ' οὕτως συναπτή· Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῆς εἰρήνης... Ὑπὲρ τοῦ ἁγίου οἴκου... Ὑπὲρ τοῦ εὐλογηθῆναι τὰ μνῆ-

στρα... Ὑπὲρ τῶν νυνὶ μνηστευομένων εἰς ἕνωσιν... Ὑπὲρ τῶν δούλων τοῦ Θεοῦ τοῦ δεῖνα καὶ τῆς δούλης τῆσδε καὶ τῆς ἐν Θεῷ μνηστεύσεως αὐτῶν... Ὑπὲρ τοῦ παρασχεθῆναι αὐτοῖς πάντα τὰ πρὸς σωτηρίαν... Ὑπὲρ τοῦ ῥυσθῆναι... Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας... Πρόσχωμεν. Ὁ Θεὸς ὁ αἰώνιος, ὁ τὰ διηρημένα συναγαγών. Goar. p. 311. Εἰρήνη πᾶσι. Τὰς κεφαλάς. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὴν ἐξ ἐθνῶν ἐκκλησίαν... Ibid. Λαβὼν ὁ ἱερεὺς τὰ δακτυλίδια ἀπὸ τοῦ ἁγίου εὐαγγελίου, δίδωσι τῷ ἀνδρὶ καί, οὕτως τιθέντων ἐν τοῖς δακτύλοις αὐτῶν, λέγει ὁ ἱερεύς· Εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος νῦν καὶ ἀεί... Καὶ ἀπολύει.

л. 79 об. Ἀκολουθία εἰς γάμους.

Προσέρχονται οἱ μέλλοντες στεφανωθῆναι τῷ ἱερεῖ, καὶ ἵστησιν αὐτοὺς ὁ ἱερεὺς ἔμπροσθεν τοῦ ἁγίου βήματος, καὶ φέρουσι τῷ ἱερεῖ τὰ στεφάνια καὶ τὸ κοινὸν ποτήριον (εἰς) γεῦσιν τοῦ κονδίτου, καὶ ἵστησιν αὐτὰ ἐν τῇ ἁγίᾳ τραπέζῃ ἐξ ἀριστερῶν τοῦ ἁγίου θυσιαστηρίου, καὶ εἰ μὲν ἐστὶν ὁ ἀνὴρ λαϊκός, ζώννει αὐτῷ σπαθήν, εἰ δὲ κληρικός, τίθησιν αὐτῷ στιχάριον, καὶ ἵστησι τὸν μὲν νεώτερον ἐκ δεξιῶν, τὴν δὲ κόρην ἐξ εὐωνύμων, καὶ δίδωσιν αὐτοῖς πρὸς ἕνα κηρόν, λέγει ὁ ἱερεύς· Εὐλογημένη ἡ βασιλεία... Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῆς εἰρήνης... Ὑπὲρ τοῦ ἁγίου οἴκου... Ὑπὲρ τῶν νυνὶ μνηστευομένων... Ὑπὲρ τοῦ εὐλογηθῆναι τὸν γάμον τοῦτον... Ὑπὲρ τῶν νεονύμφων τοῦ δούλου τοῦ Θεοῦ τοῦ δεῖνα καὶ τῆς δεῖνα καὶ τῆς ἐν Θεῷ συζεύξεως αὐτῶν... Ὅπως Κύριος ὁ Θεὸς ἡμῶν χαρίσηται αὐτοῖς τίμιον τὸν γάμον... Ὑπὲρ τοῦ εὐφρανθῆναι αὐτοὺς ἐν ὁράσει υἱῶν... Ὑπὲρ τοῦ ῥυσθῆναι... Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας ἀχράντου... Πρόσχωμεν. Ὁ Θεὸς ὁ ἅγιος, ὁ πλάσας τὸν ἄνθρωπον καὶ ἐκ τῆς πλευρᾶς αὐτοῦ ἀνοικοδομήσας γυναῖκα... Goar. p. 317. Εἰρήνη πᾶσι. Τὰς κεφαλάς. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν τῇ σωτηριώδει σου οἰκονομίᾳ καταξιώσας ἐν Κανᾷ τῆς Γαλιλαίας... p. 318. Εἶθ' οὕτως στεφανοῖ αὐτούς, λέγων· Ὁ Πατὴρ εὐλογεῖ, ὁ Υἱὸς στεφανοῖ, τὸ Πνεῦμα τὸ ἅγιον παραγίνεται καὶ τελειοῖ. Τούτων δὲ γενομένων, οἱ ψάλται, ἦχος βαρύς· Δόξῃ καὶ τιμῇ ἐστεφάνωσας... Ἡ γυνή σου, ὡς ἄμπελος εὐθηνοῦσα, οἱ υἱοί σου, ὡς νεόφυτα... Καὶ τούτου ψαλλομένου, δίδωσιν αὐτοῖς τῆς ἀχράντου κοινωνίας, ἔπειτα προσφέρει τὸ κοινὸν ποτήριον καὶ λέγει εἰς αὐτὸ τὴν εὐχὴν ταύτην· Ὁ Θεός, ὁ τὰ πάντα ποιήσας τῇ ἰσχύϊ σου. Goar. p. 319. Εἶθ' οὕτως ποτίζει αὐτοὺς ἐκ τρίτου καὶ κατακλᾷ τὸ ποτήριον εἰς τὴν γῆν, καὶ πλέξας τὰς χεῖρας αὐτῶν τὰς δεξιάς, λέγει· Πορεύεσθε ἐν εἰρήνῃ.

л. 81 об. Εὐχὴ εἰς τὸ αἴρειν τὰ στέφανα.

Εὐλογητὸς εἶ, Κύριε ὁ Θεὸς ἡμῶν, ὁ εὐλογήσας ἡμᾶς τῇ εὐλογίᾳ σου τῇ ἁγίᾳ. Goar. p. 326.

л. 82. Εὐχὴ ἐπὶ διγάμων.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὸν Ἀβραὰμ φίλον καλέσας καὶ τὸν Ἰσαὰκ καὶ τὸν Ἰακὼβ εἰς γυναῖκα τῇ Λείᾳ συνάψας. Ркп. XVI в. Свято-гроб. библ. № 615. л. 292.

л. 82 об. Ἀκολουθία καὶ τάξις εἰς ἀδελφοποίησιν.

Προσέρχονται οἱ μέλλοντες ἀδελφοὶ γενέσθαι τῷ ἱερεῖ, καὶ αὐτὸς τίθησιν τὸ εὐαγγέλιον εἰς τὸ στῆθος τοῦ θυσιαστηρίου, καὶ ὁ πρῶτος ἀδελφὸς τίθησι τὴν χεῖρα αὐτοῦ ἐπάνω τοῦ εὐαγγελίου καὶ ὁ δεύτερος ἐπάνω τῆς χειρὸς τοῦ πρώτου ἀδελφοῦ, καὶ εἶθ' οὕτως σφραγίσας αὐτοὺς ὁ ἱερεὺς λέγει τὴν συναπτήν· Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῆς εἰρήνης... Ὑπὲρ τῶν δούλων... Ὑπὲρ τοῦ δωρηθῆναι αὐτοῖς πνευματικὴν ἀγάπην καὶ τὴν εἰς ἀλλήλους τιμὴν τοῦ... Ὅπως Κύριος ὁ Θεὸς ἡμῶν δωρήσηται αὐτοῖς βίον ἄμεμπτον καὶ πολιτείαν εὐάρεστον... Ὑπὲρ τοῦ ῥυσθῆναι... Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας... Πρόσχωμεν. Κύριος ὁ Θεὸς ἡμῶν ὁ παντοκράτωρ, ὁ ποιήσας τὸν ἄνθρωπον κατ' εἰκόνα σήν... Goar. p. 708. Εἰρήνη ὑμῖν. Τὰς κεφαλάς. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ πάντα πρὸς σωτηρίαν ἡμῖν χαρισάμενος, ἐντειλάμενος ἡμῖν ἀγαπᾶν ἀλλήλους. Goar. p. 707. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ διὰ τῆς ἀφάτου σου οἰκονομίας καταξιώσας ἀδελφοὺς καλέσαι τοὺς ἁγίους ἀποστόλους καὶ κληρονόμους τῆς βασιλείας σου, αὐτοὺς τοὺς δούλους σου τόνδε καὶ τόνδε ἀδελφοὺς πνευματικοὺς ἀνάδειξον καὶ ἐν μέσῳ αὐτῶν γενέσθαι καταξίωσον, ἀσκανδαλίστους ἐκ τῶν μεθοδιῶν τοῦ διαβόλου καὶ τῶν πονηρῶν αὐτοῦ πνευμάτων, ὅπως, ἐν ἀρετῇ καὶ δικαιοσύνῃ προκόπτοντας καὶ ἐν ἀγάπῃ εἰλικρινεῖ, δοξάζηται δι' αὐτῶν καὶ δι' ἡμῶν πάντων τὸ πανάγιον ὄνομά σου τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος... Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐνδοξαζόμενος ἐν βουλῇ ἁγίων, ὁ μέγας καὶ φοβερὸς ὑπάρχων ἐπὶ πάντας τοὺς περικύκλῳ σου, εὐλόγησον καὶ τοὺς δούλους σου τούτους, χάρισαι αὐτοῖς τὴν γνῶσιν τοῦ ἁγίου σου Πνεύματος, ὁδήγησον (αὐ)τοὺς ἐν τῷ ἁγίῳ φόβῳ σου, εὔφρανον αὐτοὺς ἐν τῇ δυνάμει σου, ἵνα γένωνται πνευματικοὶ ἀδελφοὶ ὑπὲρ τοὺς σαρκικούς. Ὅτι σὺ εἶ ὁ εὐλογῶν καὶ ἁγιάζων τὰ σύμπαντα... Κύριε ὁ Θεός, ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ τὰ ταπεινὰ ἐφορῶν. Goar. p. 708. Καὶ ἀσπασάμενοι τὸ ἅγιον εὐαγγέλιον καὶ εἶθ' οὕτως ἀλλήλους, καὶ ἀπολύει.

л. 85. Ἀκολουθία τῆς γονυκλισίας τῆς ἁγίας Πεντηκοστῆς.

Εὐλογημένη ἡ βασιλεία... εἶτα ὁ λαός· τὸ Δεῦτε προσκυνήσωμεν. Εὐλόγει ἡ ψυχή μου, καὶ οὕτως συναπτὴ ὑπὸ τοῦ ἱερέως, ἀλλαγμένου τὰ ἔπιπλα αὐτοῦ ὅλα, ἤγουν τὸ στιχάριον καὶ φελώνιον· Ἐν εἰρήνῃ.. Ὑπὲρ τῆς ἄνωθεν... Ὅτι πρέπει σοι. Εἰρήνη πᾶσι. Κύριε ἐκέκραξα, τὰ στιχηρά, τὸ Δόξα καὶ νῦν, τὸ Φῶς ἱλαρόν, προκείμενον· Τίς Θεὸς μέγας, ἀναγνώσματα γ'. ὁ ἀπόστολος, τὸ εὐαγγέλιον· Οὔσης ὀψίας... Εἴπωμεν πάντες... Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ... Ὑπὲρ τοῦ ἁγίου οἴκου... Ὑπὲρ τοῦ ῥυσθῆναι... Ἔτι καὶ ἔτι κλίνοντες τὰ γόνατα... Αὗται αἱ εὐχαὶ λέγονται οὔτε πολλὰ μικρά, οὔτε μεγάλα, ἀλλὰ μεσαῖα· Ἄχραντε, ἀμίαντε... Καὶ ἐπισυνάπτει τὴν εὐχὴν τοῦ λυχνικοῦ· Εὐλογητὸς εἶ, Κύριε Δέσποτα παντοκράτωρ. Goar. p. 597—598. Ἀντιλαβοῦ... Τῆς παναγίας... Σὸν γὰρ ἐστὶ τὸ ἐλεεῖν. Ἀντίφωνον, ἦχος β'. Ἠγάπησα, ὅτι εἰσακούσεται Κύριος τῆς φωνῆς... Ταῖς πρεσβείαις... Ὅτι ἔκλινε τὸ οὖς αὐτοῦ ἐν ἐμοί... Ταῖς πρεσβείαις... Ἐλεήμων καὶ οἰκτίρμων ὁ Κύριος... Ταῖς πρεσβείαις... Φυλάσσων τὰ νήπια ὁ Κύριος καὶ ἔσωσεν... Ταῖς πρεσβείαις... Δόξα καὶ νῦν... Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὴν σὴν εἰρήνην... Goar. p. 599. Καὶ ἐπισυνάπτει τὴν β'. εὐχὴν τοῦ λυχνικοῦ· Κύριε, Κύριε, ὁ ῥυσάμενος ἡμᾶς... p. 600. Ἀντιλαβοῦ... Τῆς παναγίας... Εὐδοκίᾳ καὶ χάριτι τοῦ μονογενοῦς... Ἀντίφωνον β'. ἦχος πλ. β'. Ἐπίστευσα, διὸ ἐλάλησα... Σῶσον ἡμᾶς, Παράκλητε ἀγαθέ, ψάλλοντες... Ἐγὼ εἶπα ἐν τῇ ἐκστάσει μου... Δόξα, Ὁ μονογενὴς Υἱός, Καὶ νῦν, Τὴν ὑπερένδοξον τοῦ Χριστοῦ Μητέρα καὶ τῶν ἀγγέλων ἁγιωτέραν, ἀσιγήτως ὑμνήσωμεν... Ἔτι καὶ ἔτι κλίνοντες τὰ γόνατα... Ἡ ἀεννάως βρύουσα ζωτική. Goar. p. 600. Καὶ ἐπισυνάπτει τὴν εὐχὴν τοῦ Τρισαγίου· Ὁ Θεὸς ὁ μέγας καὶ ἅγιος καὶ φιλάνθρωπος... Goar. p. 601. Καὶ ἐπισυνάπτει τὴν ταύτην εὐχὴν δ'. Σὸν ὡς ἀληθῶς καὶ μέγα ὄντως μυστήριον, Δέσποτα τῶν ἁπάντων ποιητά... p. 601. Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας... Σὺ γὰρ εἶ ἀνάπαυσις τῶν ψυχῶν... Ἀντίφωνον γ'. Αἰνεῖτε τὸν Κύριον πάντα τὰ ἔθνη... Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός... Ἐπαινέσατε αὐτὸν πάντες οἱ λαοί... Ἅγιος ὁ Θεὸς κ. τ. α. Δόξα, Ἅγιος ὁ Θεός... Καὶ νῦν, Ἅγιος ὁ Θεός... Καὶ εὐθὺς Καταξίωσον, Κύριε, τὰ στιχηρά, ἦχος γ'. Νῦν εἰς σημεῖον... Δόξα, ἦχος πλ. δ'. Δεῦτε λαοί... Καὶ νῦν, Ἐτέχθης. Νῦν ἀπολύεις, τὸ Τρισάγιον, τὸ Παναγία Τριάς, τὸ Πάτερ ἡμῶν, Ὅτι σοῦ ἐστίν. Εὐλογητὸς εἶ, Χριστὲ ὁ Θεός... Ἐλέησον ἡμᾶς, ὁ Θεός... Ἔτι ὑπὲρ τοῦ ἵλεων, εὐμενῆ... Ὑπὲρ τοῦ εὐσεβεστάτου... Ὑπὲρ τοῦ ἀρχιεπισκόπου... Ὑπὲρ τοῦ περιεστῶτος... Ὅτι ἐλεήμων. Πληρώσωμεν τὴν δέησιν ἡμῶν... Ὁ ἱερεὺς τὴν εὐ-

χήν· Ὁ Θεὸς ὁ μέγας καὶ ὕψιστος, ὁ μόνος ἔχων ἀθανασίαν. Goar. p. 602. Ἀντιλαβοῦ, σῶσον... Τὴν ἑσπέραν πᾶσαν κ. τ. λ. Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος... Εἰρήνη πᾶσι. Τὰς κεφαλάς. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ κλίνας τοὺς οὐρανούς. Goar. p. 603. Σοφία. Ἐν εἰρήνῃ προέλθετε. Ὁ λαός· Ἐν ὀνόματι. Ὁ ἱερεύς· Ἔλεον, εἰρήνην καὶ ἄφεσιν ἁμαρτιῶν παράσχου ἡμῖν, Κύριε ὁ Θεὸς ἡμῶν, διὰ πρεσβειῶν τῆς παναχράντου σου Μητρὸς καὶ πάντων τῶν ἁγίων. Ἐκφώνως· Ὁ ὢν εὐλογητὸς ὁ Θεὸς ἡμῶν καὶ ἀπολύει.

л. 95 об. Ἀκολουθία καὶ τάξις, γινομένη ἐπὶ μιαροῦ, πίπτοντος εἰς πηγὴν ὕδατος.

Χρὴ πρῶτον ἀντλῆσαι κάδους ιε΄. καὶ ἐκχέεσθαι, καὶ ἅψαι κηροὺς καὶ στῆσαι ἔνθεν καὶ ἔνθεν, καὶ θυμιάσαι κύκλῳ τοῦ φρέατος, καὶ λέγειν τὸν ἱερέα τὴν συναπτήν· Εὐλογημένη ἡ βασιλεία... Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῆς εἰρήνης... Ὑπὲρ τοῦ ἁγιασθῆναι τὸ ὕδωρ τοῦτο τῇ ἐπιφοιτήσει... Ὑπὲρ τοῦ καταπεμφθῆναι αὐτῷ τὴν χάριν τῆς ἀπολυτρώσεως τὴν εὐλογίαν τοῦ Ἰορδάνου... Ὑπὲρ τοῦ ἀναδειχθῆναι... Ὑπὲρ τῶν ἀντλούντων... Ὑπὲρ τοῦ ῥυσθῆναι... Ἀντιλαβοῦ, σῶσον.. Τῆς παναγίας... Goar. p. 480. Κύριε παντοκράτωρ, ὁ Θεὸς ὁ μέγας καὶ ἀνεξιχνίαστος См. выше стр. 48. Καὶ πληρώσας τὴν εὐχήν, λέγει καθ᾽ ἑαυτὸν καὶ τὸ Ἀμὴν καὶ ἀπάρχεται ἐκφώνως· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ διὰ ὀπτασίας καὶ φωνῆς νομοθετήσας τῷ κορυφαίῳ τῶν ἀποστόλων σου Πέτρῳ... См. выше стр. 34. καὶ καθάρισον εἰς αὐτὰ πᾶν ἀκάθαρτον καὶ τὴν κηλῖδα τῶν ψυχῶν ἡμῶν ἀπόσμυξον, καὶ ἀκατακρίτως ἡμᾶς καταξίωσον μεταλαβεῖν ἐκ τοῦ πώματος αὐτῶν, ὡς ποιητὴς καὶ δημιουργὸς τῶν ἁπάντων. Ὅτι σοῦ ἐστὶν ἡ βασιλεία... Εἰρήνη πᾶσι. Τὰς κεφαλάς... Κλῖνον, Κύριε, τὸ οὖς σου καὶ ἐπάκουσόν μου, ὁ περιπατήσας ἐπὶ τῶν ὑδάτων καὶ ἁγιάσας αὐτά, εὐλόγησον πάντας ἡμᾶς τοὺς κεκλικότας τοὺς ἑαυτῶν αὐχένας καὶ σημαίνοντας τὸ τῆς δουλείας πρόσχημα καὶ καταξίωσον τὸν ἐπίλοιπον τῆς ζωῆς ἡμῖν χρόνον ἀπολαῦσαι τῆς τῶν ὑδάτων σου μεταλήψεως καὶ γενέσθω ἡμῖν, Κύριε, εἰς ὑγείαν ψυχῆς καὶ σώματος· Σὺ γὰρ εἶ ὁ ἁγιασμὸς ἡμῶν, Χριστὲ ὁ Θεός... Καὶ ποιῶν σταυροῦ τύπον εἰς τὸ ὕδωρ μετὰ τοῦ ὕδατος τῶν ἁγίων θεοφανίων καὶ ἀπολύει.

л. 97 об. Τάξις, γινομένη εἰ συμβῇ μιαρὸν ἢ ἀκάθαρτον προσφάτως ἐμπεσεῖν εἰς ἀγγεῖον οἴνου ἢ ἐλαίου.

Χρὴ ἐπαίρειν αὐτὸ τὸ ἐμπεσὸν ἀκάθαρτον καὶ ῥίπτειν ἔξω καὶ πλύνειν ἕτερον ἀγγεῖον ἔσωθεν καὶ ἔξωθεν, καὶ μεταστρέψαι τὸν οἶνον ἢ τὸ ἔλαιον εἰς τὸ ἀγγεῖον, καὶ βαλεῖν ὕδωρ τῶν ἁγίων θεοφανίων, καὶ ἅπτειν

κηροὺς δύο καὶ στῆσαι ἔνθεν καὶ ἔνθεν, καὶ λέγειν τὴν εὐχὴν ταύτην· Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ ἐν τῇ κατὰ σάρκα σου οἰκονομίᾳ σωτηρίῳ διαστειλάμενος. Goar. p. 482. Εἰρήνη πᾶσι. Τὰς κεφαλάς. Ὁ Θεὸς ὁ μέγας καὶ θαυμαστός, ὁ ἀνεκδιηγήτῳ ἀγαθωσύνῃ... Goar. p. 479. Καὶ μετὰ τὴν εὐχὴν πάλιν ἐπιχέει ἐκ τοῦ ἁγιάσματος σταυροειδῶς τρίτον, καὶ ἀπογεύεται ὁ ἱερεὺς ἐκ τοῦ ὕδατος ἐκείνου, παρουσίᾳ πάντων τῶν ἐκεῖ εὑρισκομένων. Εἰ δὲ συμβῇ τὸ ἀκάθαρτον τὸ ἐμπεσὸν χρονῖσαι ἐν τῷ ἀγγείῳ τοῦ ἐλαίου ἢ τοῦ οἴνου καὶ συσσαπῆναι, ἐκχέσθω τὸ τοιοῦτον εἶδος καὶ μηδὲν ἐξ αὐτοῦ ἅπτεσθαι, μηδὲ εὐχὴ γίνεσθαι.

л. 99. Εὐχὴ εἰς ἀγγεῖον μιανθέν.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τῷ Πέτρῳ εἰπών· τὰ ἐν τῇ ὀθώνῃ ὄντα μιαρὰ καὶ ἀκάθαρτα πάντα καθαρὰ εἶναι. См. выше стр. 117.

— Εὐχὴ ἐπὶ θεμέλιον οἰκίας.

Ὁ Θεὸς ὁ αἰώνιος, ὁ εὐλογήσας τὴν σκηνὴν Ἀβραὰμ ὑπὸ τὴν δρῦν τὴν Μαμβρῆν καὶ θεμέλιον αὐτῇ τιθεὶς ἄρρηκτον καὶ ἀποστείλας αὐτῷ ἀγγέλους καὶ ἀρχαγγέλους, Αὐτὸς Δέσποτα καὶ Κύριε, τῇ ἀοράτῳ σου ἐπιφανείᾳ εὐλόγησον τὸ θεμέλιον τοῦτο, ὥστε γενέσθαι αὐτὸ οἰκητήριον σωτηρίας, ἵνα καὶ οἱ ἐν αὐτῷ μέλλοντες κατοικεῖν ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ τὰς ἐντολάς σου τηρήσωσιν. Ὅτι πρέπει σοι πᾶσα δόξα... [illegible]

— Εὐχὴ ἐν εἰσόδῳ οἴκου νέου.

Ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, ὁ καταξιώσας ὑπὸ τὴν σκηνὴν Ζακχαίου. Goar. p. 484.

л. 99 об. Εὐχὴ εἰς ἀπαρχὴν σπόρου.

Δέσποτα Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ Πατὴρ τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, δεόμεθα καὶ παρακαλοῦμέν σε τὸν σπόρον καὶ τοὺς καρποὺς τούτους καὶ πάσης τῆς γῆς, τοὺς ἐπὶ τοὺς σοὺς οἰκτιρμοὺς πεποιθότας, αὔξησον, εὐλόγησον, τελείωσον, σώους καὶ ἀβλαβεῖς αὐτοὺς διαφύλαξον, καὶ δὸς τοῖς δούλοις σου ἐπ' εὐλογίας τὰ σὰ εἰσφέρειν ἀλύπως καταλαβεῖν πάντα πόνον καὶ φθόνον καὶ πειρασμὸν ἀποδίωξον ἀπ' αὐτῶν, πᾶσαν φαρμακίαν κατάργησον ἀπὸ τῆς χώρας ταύτης, περιχαράσσων αὐτὴν ταῖς ἀγγελικαῖς σου δυνάμεσι διὰ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι...

л. 100. Εὐχὴ ἐπὶ θέρους.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ διὰ πολλήν σου εὐσπλαγχνίαν ἀγαγὼν ἡμᾶς. Goar. p. 524.

л. 100 об. Εὐχὴ ἐπὶ ἀμπέλου φυτευομένης.

Σὺ εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν, ἡ ἄμπελος ἡ ἀληθινὴ καὶ ὁ Πατήρ σου γεωργός ἐστιν. Goar. p. 551.

л. 101. Εὐχὴ ἐπὶ τρύγης.

Κύριε ὁ Θεὸς ἡμῶν, ἡ ζωηφόρος ἄμπελος, ἡ ἐπὶ σταυροῦ ἑκουσίως ὑψωθεῖσα καὶ ὑποτάξασα ἡμῖν τὸν τῆς εὐφροσύνης οἶνον, Αὐτὸς ἔπιδε ἐκ τῶν ἁγίων σου ὑψωμάτων καὶ εὐλόγησον τὴν ἄμπελον ταύτην καὶ πλήθυνον τὰ γεννήματα αὐτῆς, ὅπως, οἱ μέλλοντες αὐτὴν τρυγᾷν, θεασάμενοι τοὺς ληνοὺς ὑπερεκχεομένους, εὐχαριστίαν σὺν ἡμῖν ἀναπέμψωσι τῇ σῇ μεγαλειότητι, δοξάζοντες τὸν ἄναρχόν σου Πατέρα σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι.

Εὐχὴ εἰς τὸ εὐλογῆσαι σταφυλάς.

Ὁ Θεὸς ἡμῶν, ὁ εὐδοκήσας ἄμπελον κληθῆναι. Goar. p. 552. Barb. Codex. S. Marci.

л. 101 об. Εὐχὴ εἰς τὴν εὐλόγησιν οἴνου νέου.

Κύριε ὁ Θεὸς ἡμῶν, σοῦ δεόμεθα καὶ σὲ παρακαλοῦμεν, εὐλόγησον, ἁγίασον τὸν οἶνον τοῦτον, εὔφρανον τὰς ψυχὰς τῶν ἐξ αὐτοῦ πινόντων καὶ πλήθυνον αὐτὸν αὐτοῖς ἐκ τῆς πιότητος τοῦ οἴκου σου, ὅπως εὐφραινόμενοι ἐξ αὐτοῦ δοξάζωμεν τὸ πανάγιον ὄνομά σου τοῦ Πατρός.

— Εὐχὴ ἐπὶ τῶν προσφερόντων ἀπαρχὰς καρπῶν νέων.

Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς ἡμῶν, ἐπὶ τῇ ἀπαρχῇ τῶν καρπῶν νέων τῶν προσφερόντων. Goar p. 522.

л. 102. Εὐχὴ ἐπὶ καρποφορούντων καὶ καμπανισμάτων (sic).

Πηγὴ τῶν ἀγαθῶν, Δέσποτα βασιλεῦ καὶ εὐεργέτα τῶν σῶν ποιημάτων. Goar. p. 523.

— Εὐχὴ εἰς τὸ εὐλογῆσαι βαΐα.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καθήμενος ἐπὶ τῶν χερουβίμ, ὁ ἐξεγείρας τὴν δυναστείαν σου. Goar. p. 589.

**XXIV**. № 967. Εὐχολόγιον Синайск. библ. рукопись на пергаменѣ въ 8 долю, 65 листовъ, писана разгонистою крупною скорописью XIII в.

л. 1. Τάξις καὶ ἀκολουθία τῆς πρώτης ἀποκάρσεως, ἤγουν τοῦ μανδύου.

Ἀφ' ἑσπέρας τίθενται τὰ ἱμάτια τοῦ μέλλοντος κουρευθῆναι ὑποκάτωθεν τῆς ἁγίας τραπέζης, καὶ μετὰ τὸ λυχνικόν, ψάλλοντες τὴν παννυχίδα· Δεῦτε προσκυνήσωμεν γ'. καὶ τὸ Ὁ κατοικῶν, καὶ Ἀλ-

ληλούια, ἦχος δ'. Τὴν ταπεινήν μου ψυχήν, καὶ τὸν Ν'. στιχηρὰ ἦχος β'. προσόμοια· Ὅτε ἐκ τοῦ ξύλου. Πίστει προσερχόμενος πρὸς σέ, Δέσποτα, σῆς ἐπὶ τρίβους δικαιοσύνης... Ἔχων τὴν πηγὴν τῶν οἰκτιρμῶν, τῶν ἁμαρτωλῶν ὁ μὴ θέλων, Χριστέ, τὸν θάνατον... Τεῖχος ὑπερβήσομαι ἐν σοὶ τῶν ἁμαρτιῶν τῶν ἀμέτρων μου, ὑπεράγαθε... Goar. p. 405. Ὁ κανών, ἦχος β'. ᾠδὴ α'. Δεῦτε λαοὶ ᾄσωμεν. Ἐπὶ τὴν σὴν φιλανθρωπίαν δραμόντα, Χριστέ, τὸν τῷ ἁγίῳ σχήματι νῦν προσερχόμενον... Ὑπεισελθεῖν τὸν σὸν χρηστὸν ζυγόν, ἀγαθέ, καὶ τὸ φορτίον, Δέσποτα... Ὁ δι' ἡμᾶς σάρκα φορέσας καὶ θάνατον ὑπὲρ ἡμῶν ὡς εὔσπλαγχνος... Goar. p. 403—405. Καὶ τὸ πρωὶ ἄρχεται ἡ λειτουργία, καὶ ἵσταται ὁ μέλλων κουρεύεσθαι ἐν τῷ βασιλικῷ πυλῶνι, φορῶν τὰ ἐξ ἔθους ἱμάτια, καὶ εἰσέρχεται ἔσωθεν τῆς θύρας τῆς ἐκκλησίας, καὶ ποιῶν μετανοίας γ'. λέγει ὁ ἱερεὺς τὴν εὐχὴν ταύτην· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἀξίους σου εἶναι νομοθετήσας... Goar. p. 380. Λέγε πρῶτον τὰ ἀντίφωνα, ὅτι λήθη γέγονε καὶ τότε τὰς εὐχάς. Ἀντίφωνον α'. Εὐλόγει ἡ ψυχή μου. Ἀντίφωνον β'. Δόξα τῷ Πατρὶ καὶ τῷ Υἱῷ... Ἀντίφωνον γ'. Αἴνει ἡ ψυχή μου τὸν Κύριον... ἦχος δ'. Ἐν τῇ βασιλείᾳ σου μνήσθητι, Κύριε. Μακάριοι οἱ πτωχοί... и др. καὶ εὐθέως οἱ μακαρισμοί. Ὅτε ἐν τῷ πάθει ὁ λῃστὴς συνεσταυροῦτό σοι, τότε ἐν τῷ Πνεύματι ἐπέγνω σε Θεὸν ἐν σαρκί... Μακάριοι οἱ δεδιωγμένοι. Ὅσοι τὰ ἐν κόσμῳ ποθηνὰ ἐγκατελίπετε, ἵνα μὴ τῶν μελλόντων ἀγαθῶν... Μακάριοι ἐστέ... Πάντων τῶν προσκαίρων καὶ φθαρτῶν κατεφρόνησας... Χαίρετε καὶ ἀγαλλιᾶσθε... Τρίβον τὴν πλατεῖαν καὶ εὐρύχωρον ἀφέμενος... Goar. p. 414. Εἰς γυναῖκας· Μύρον καινωθέντι τῷ Θεῷ ἐπονομάσθητι, ἵνα ἀξιωθῇς εὐαρέστως... Χαίρει ἐπὶ σοὶ καὶ τῶν ἀγγέλων τὰ στρατεύματα, εὐφραίνεται πατέρων καὶ δικαίων τὸ πολίτευμα... θεοτοκίον· Χαῖρε τῆς παρθενίας τὸ ὑπέρτιμον καλλώπισμα... Καὶ εἰσοδεύει καὶ λέγει τὸ τροπάριον, ἦχος α'. Ἀγκάλας πατρικάς... Τοῦτο ψάλλει δεύτερον καὶ λέγει Δόξα καὶ νῦν, Μητέρα σε Θεοῦ ἱκετεύομεν πάντες.. Καὶ ἄρχεται τροπάριον, ἦχος δ'. Ἤθελον δάκρυσιν... Στίχος· Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου... Ἐν τῇ πηγῇ τῇ μυστικῇ... Goar. p. 406. Δόξα καὶ νῦν. Ἀντίφωνον β'. ἦχος δ'. Ζάλη ἁμαρτημάτων περιέχει με... Στίχος· Ἐλέησόν με, ὁ Θεός... Μὴ ἀποστρέψῃς με ἀπὸ τοῦ προσώπου σου, Κύριε... Δόξα καὶ νῦν, Ἐξ ἀχράντων λαγόνων σου, Θεοτόκε πανύμνητε,.. p. 414. Ἀρχομένου δὲ τοῦ γ'. ἀντιφώνου ἔρχεται ὁ μέλλων κουρεύεσθαι ἕως τοῦ ἄμβωνος καὶ ἵσταται, καὶ λέγει τροπάριον ἦχος δ'. Ποῦ ἐστιν ἡ τοῦ κόσμου προσπάθεια... Στίχος· Δεῦτε, τέκνα, ἀκούσατέ μου. Καὶ εἶθ' οὕτως εἰσέρχεται, εἰς σολέαν, καὶ λέγει πάλιν τροπάριον, ἦχος

δ'. Δεῦτε πάντες οἱ κοπιῶντες... Στίχος· Ἐπλανήθην, ὡς πρόβατον. Πρόβατον εἰμί... Στίχος· Δεῦτε προσκυνήσωμεν... Goar. p. 406. Καὶ τούτου λεγομένου, ἔρχεται καὶ πίπτει ἔμπροσθεν τοῦ βήματος καὶ οὐκ ἀνίσταται μέχρι συμπληρώσεως τοῦ ἀντιφώνου, καὶ λέγει ὁ ἱερεύς· Εἰρήνη πᾶσι. Τὰς κεφαλὰς ἡμῶν. Δέσποτα Κύριε, ὁ μόνος ἀγαθὸς καὶ φιλάνθρωπος, ὁ πλούσιος ἐν ἐλέει καὶ ἀγαθὸς ἐν οἰκτιρμοῖς, ὁ μὴ βουλόμενος τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν, σύντριψον τὸν σατανὰν ὑπὸ τοὺς πόδας τοῦ δούλου σου τοῦδε, πρόσδεξαι αὐτοῦ τὴν μετάνοιαν καὶ ἐξομολόγησιν καὶ ἀποταγήν, ἴασαι τὸ σύντριμμα τῆς καρδίας αὐτοῦ, μόρφωσον δι' ἔργων ἀγαθῶν ἐν αὐτῷ τῷ Χριστῷ σου, μεθ' οὗ εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Καὶ τίθησιν ὁ ἱερεὺς τὸ ψαλλίδιον εἰς τὸ ἅγιον εὐαγγέλιον καὶ ἐπερωτᾷ αὐτόν, λέγων οὕτως. Ἐρώτησις· Τί προσῆλθες, τέκνον; Ἀπόκρισις· Ποθῶν τὸν βίον τῆς ἀσκήσεως, πάτερ. Ἐρώτησις· Ποθεῖς ἀξιωθῆναι τοῦ ἀγγελικοῦ σχήματος καὶ καταταγῆναι ἐν τῷ χορῷ τῶν σταυρωσάντων ἑαυτοὺς τῷ Κυρίῳ; Ἀπόκρισις· Ναί, ἂν θέλῃ ὁ Θεός, πάτερ. Ἐρώτησις· Μὴ ἔκ τινος ἀνάγκης ἢ βίας; Ἀπόκρισις· Οὐχί, τίμιε πάτερ. Καὶ λέγει ὁ ἱερεύς· Ὄντως καλὸν ἔργον ᾑρετίσω, τέκνον, ἐὰν καὶ τελειώσῃς· τὰ γὰρ καλὰ ἔργα κόπῳ κτῶνται καὶ πόνῳ κατορθοῦνται. Ἐρώτησις· Ἑκουσίᾳ σου τῇ γνώμῃ προσέρχεις τῷ Χριστῷ εὐπροαιρέτως καὶ ἰδιοθελῶς; Ἀπόκρισις· Ναί, διὰ τῶν εὐχῶν σου πάτερ. Ἐρώτησις· Παραμένεις τῷ μοναστηρίῳ ἕως ἐσχάτης σου ἀναπνοῆς; Ἀπόκρισις· Ναί, ἐὰν κελεύῃ ὁ Θεός, πάτερ. Ἐρώτησις· Ὑποτάσσεις τῷ προεστῶτι καὶ πάσῃ τῇ ἐν Χριστῷ ἀδελφότητι; Ἀπόκρισις· Ναί, ἐὰν θέλῃ ὁ Θεός, πάτερ. Ἐρώτησις· Φυλάττεις σεαυτὸν ἐν παρθενίᾳ καὶ εὐλαβείᾳ ἕως ἐσχάτης σου ἀναπνοῆς; Ἀπόκρισις· Ναί, ἐὰν θέλῃ ὁ Θεός, πάτερ. Ἐρώτησις· Ὑπομένεις πᾶσαν θλίψιν τοῦτ' ἔστι πεῖναν καὶ δίψαν καὶ ὅσα τοιαῦτα διὰ τὴν ἀγάπην τοῦ Θεοῦ; Ἀπόκρισις· Ναί, ἐὰν κελεύῃ ὁ Θεός, πάτερ. Καὶ ὁ ἱερεὺς κατηχίζει τὸν ἀδελφόν, λέγων οὕτως· Ἀδελφέ μου, καταλιμπάνεις τὸν βίον, σωθῆναι θέλων· βλέπε σεαυτόν, περίσφυγξόν σου τὸν νοῦν. См. ркп. XV в. Иерусал. библ. № 273 л. 4. Ἐρώτησις· Εἰπὲ οὖν, ἀδελφέ, ὡς αὐτοῦ τοῦ Κυρίου καὶ τῶν ἁγίων αὐτοῦ δυνάμεων καὶ πάντων τῶν συμπαρόντων πιστῶν καὶ ἀκουόντων, ἑκουσίᾳ γνώμῃ ἄνευ δισταγμοῦ προσέρχεις τῷ ἀσκητικῷ βίῳ; Ἀπόκρισις· Ἑκουσίως προσέρχομαι, τίμιε πάτερ. Εἶτα ἐγείρει αὐτὸν καί, κρατήσας αὐτὸν τῆς δεξιᾶς χειρός, φέρει αὐτὸν ἐν τῷ θυσιαστηρίῳ καὶ ποιεῖ μετάνοιαν ἔμπροσθεν τῆς ἁγίας τραπέζης, καὶ προσκυνεῖ τῷ ἁγίῳ εὐαγγελίῳ καί, ἐκτείνας τὴν χεῖρα, ὁ ἱε-

ρεύς λέγει· Ἰδοὺ ὁ Χριστὸς ἀοράτως ἐνταῦθα πάρεστι... ἐλθεῖν ἐπὶ τοῦτο ἀγγελοειδὲς ἐπάγγελμα· βλέπε, ὅτι σὺ ἐκ προθέσεως ἠθέλησας τὸ ἀγγελικὸν σχῆμα τοῦτο. Ἀπόκρισις· Ναί, τίμιε πάτερ. Καὶ ὅταν συντάξηται αὐτόν, τότε, κειμένου τοῦ εὐαγγελίου εἰς τὸ ἀντιμίνσιον καὶ τοῦ ψαλλιδίου ἐπάνω, λέγει ἀποτασσομένῳ· Λάβε, τέκνον, τὸ ψαλλίδιον καὶ ἐπίδος μοι αὐτῷ. Καὶ ὅτε ἐκτείνῃ τὴν χεῖρα εἰς τὸ ἅγιον εὐαγγέλιον τοῦ λαβεῖν τὸ ψαλλίδιον, λέγει πρὸς αὐτὸν ὁ ἱερεύς· Ἰδοὺ ἐκ τῆς χειρὸς τοῦ Χριστοῦ λαμβάνεις αὐτό· βλέπε τίνι προσέρχῃ καὶ τίνι συντάσσῃ καὶ τίνι ἀποτάσσῃ. Εὐλογητὸς ὁ Θεός... Καὶ κουρεύει αὐτὸν σταυροειδῶς, λέγων· Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα κείρεται τὴν κόμην τῆς κεφαλῆς αὐτοῦ, συναποβαλλόμενος σὺν ταῖς θριξὶ καὶ τὰς κοσμικὰς ἐπιθυμίας εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. Εἴπωμεν ὑπὲρ αὐτοῦ, τὸ Κύριε ἐλέησον. Καὶ εἶθ' οὕτως λαμβάνουσιν αὐτὸν οἱ μοναχοὶ καὶ κουρεύουσιν εἰς τὸ διακονικόν, ψάλλοντες τὸν Ν'. Ὁ δὲ διάκονος ἐν τῷ ναῷ ἄρχεται λέγειν τὴν συναπτήν· Ἐν εἰρήνῃ καὶ τὰ λοιπά. Τοῦ δὲ ἱερέως ποιοῦντος τὴν εὐχὴν τοῦ Τρισαγίου καὶ τοῦ διακόνου λέγοντος ἕως τὸ Ὑπὲρ πλεόντων... Ὑπὲρ τοῦ ἀδελφοῦ ἡμῶν τοῦ δεῖνα... Ὑπὲρ τοῦ ἀμέμπτως... Ὑπὲρ τοῦ ῥυσθῆναι... Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας... Προκείμενον· Κύριος φωτισμός μου... πρὸς Κολοσσαεῖς (Ἐφεσίους)· Ἀδελφοί, ἐνδυναμοῦσθε ἐν Κυρίῳ. Goar. p. 387. Ἀλληλούια, ἦχος πλ. δ'. Τὰ διαβήματά μου. Εὐαγγέλιον κατὰ Μάρκον· Εἶπεν ὁ Κύριος· ὅστις θέλει ὀπίσω μου ἐλθεῖν... Τέλος· ἕως ἂν ἴδωσι τὴν βασιλείαν τοῦ Θεοῦ ἐληλυθυῖαν ἐν δυνάμει. Καὶ εὐθὺς ψάλλει ἀντίφωνον δ'. Ἤνοικται ἡ θύρα τῆς μετανοίας.. Στίχος· Εἰσέλθοι τὸ ἀξίωμά μου. Καὶ εἰσέρχονται ἕως τοῦ ἄμβωνος· Ὁ ζυγός μου χρηστός... Δόξα καὶ νῦν, Ἡ μόνη ἁγνὴ καὶ ἄχραντος Παρθένος... Ἀρχομένου δὲ τοῦ β'. ἀντιφώνου, εἰσέρχεται ἕως τῆς σολέας. Ἀντίφωνον γ'. ἦχος γ'. Εὐαγγελικῆς φωνῆς... Στίχος· Ἰδοὺ δὴ τί καλόν... Ἐγγὺς Κύριος τοῖς ὑπομένουσιν αὐτόν... Δόξα καὶ νῦν, Ἁγιόπρωτε σεμνή.. Goar. p. 415. Καὶ λέγει εὐχὴν ἐπάνω τῶν ἱματίων· Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, εὐλόγησον τὰ περιβόλαια ταῦτα διὰ τῆς χάριτός σου, ἃ ὁ σὸς οἰκέτης περιβάλλεσθαι μετὰ χαρᾶς ᾑρετίσατο, βεβαίωσον αὐτὸν ἐν τῇ ἀμωμήτῳ πίστει σου, ῥύσαι αὐτὸν ἀπὸ πάσης βλάβης τοῦ ἀντικειμένου διαβόλου, ἵνα καὶ ἐν κατανύξει, τοῦ ἑαυτοῦ τέλους προσέχων, μετὰ τοῦ προφήτου καθ' ἑκάστην βοᾷ ἐν τῇ ταπεινώσει ἡμῶν, μνήσθητι, Κύριε ὁ Θεὸς ἡμῶν· σὺ γὰρ εἶ ὁ Σωτὴρ τῶν ψυχῶν ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρὶ καὶ τῷ Υἱῷ... Καὶ ἐνδύει αὐτόν, λέγων· Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα ἐνδύεται τὸν τῆς δικαιοσύνης

χιτῶνα τοῦ τιμίου προσχήματος εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. Εἴπωμεν ὑπὲρ αὐτοῦ τὸ Κύριε ἐλέησον. Ἐδυομένου δὲ αὐτοῦ, ψάλλουσιν οἱ μοναχοὶ τροπάριον, ἦχος δ'. Ἐνδύσασθε χιτῶνα τῆς σωτηρίας, ζώσασθε τὴν ζώνην τῆς σωφροσύνης, δέξασθε τὸ σημεῖον τοῦ σταυροῦ, τοὺς πόδας τοὺς νοητοὺς ὁπλίσασθε τῆς ἐγκρατείας τοὺς πόνους καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ἡμῶν. Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα λαμβάνει τὸ παλλίον τοῦ μοναδικοῦ σχήματος εἰς στολὴν ἀφθαρσίας εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ... Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα ἔλαβε τὸ πρόσχημα τοῦ μοναδικοῦ σχήματος εἰς τὸ ὄνομα... Ἅγιε ἀγαθὲ ἀγαθοῦ Πατρὸς Υἱέ, ὁ τὴν ὑπερηφανίαν ἐκκόπτων... Goar. p. 391. Καὶ ἀσπάζονται οἱ ἀδελφοὶ τὸ ἅγιον εὐαγγέλιον σὺν τῷ ἀδελφῷ, ψάλλοντες τροπάριον, ἦχος πλ. β'. Ἀγαλλιάσθω ἡ ψυχή μου... Στίχος· Αὕτη ἡ ἡμέρα. Καὶ πάλιν τὸ αὐτὸ τροπάριον, Δόξα καὶ πάλιν τὸ αὐτό, Καὶ νῦν Μεγάλων χαρισμάτων, ἁγνὴ Παρθένε, καὶ λέγει ὁ ἱερεύς· Εἴπωμεν πάντες, καὶ τελεῖται ἡ θεία λειτουργία, καὶ μετὰ τὸ τέλος τῆς λειτουργίας ἅπτουσιν οἱ μοναχοὶ κηρούς, ὀφικεύοντες τὸν ἀδελφόν, ἀπέρχονται εἰς τὴν τράπεζαν, ψάλλοντες τροπάριον ἦχος β'. Κύριε, Κύριε, ἐπίβλεψον ἐξ οὐρανοῦ...

л. 19. Ἀκολουθία τοῦ ἀποστολικοῦ.

Ζήτει τὴν ἀκολουθίαν τῆς παννυχίδος εἰς τὸ μικρὸν σχῆμα, καὶ τὸ πρωΐ ἄρχεται ἡ λειτουργία, καὶ ἵσταται ὁ μέλλων κουρεύεσθαι ἐν τῷ βασιλικῷ πυλῶνι, φορῶν τὰ ἐξ ἔθους ἱμάτια καὶ λέγει τὰ ἀντίφωνα. Ἀντίφωνον α'. Εὐλόγει ἡ ψυχή μου.. Δόξα τῷ Πατρὶ καὶ τῷ Υἱῷ... Ἀντίφωνον β'. Αἴνει ἡ ψυχή μου τὸν Κύριον... Δόξα καὶ νῦν. Ὁ μονογενὴς Υἱός. Ἀντίφωνον γ'. Ἐν τῇ βασιλείᾳ σου... Καὶ εὐθὺς οἱ μακαρισμοὶ ἦχος δ'. Ζήτει αὐτὰ εἰς τὴν ἀκολουθίαν τοῦ μανδύου καὶ εἴσοδος, καὶ μετὰ τὴν εἴσοδον, λέγει τροπάριον, ἦχος α'. Ἀγκάλας πατρικάς... Τοῦτο λέγει γ'. καὶ εἶθ' οὕτως τροπάριον ἦχος δ'. Ἤθελον δάκρυσιν... καὶ τὰ λοιπὰ ζήτει ἔμπροσθεν, καὶ εὐθέως εὐχή· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ποιμὴν ὁ καλὸς καὶ ἀποσπῶν ἐκ τῆς πλάνης τὰ λογικὰ πρόβατα. Рки. XV в. Iерусал. патр. библ. № 273 л. 4. Καὶ εὐθὺς ἐπερωτᾷ αὐτὸν ὁ ἱερεὺς λέγων· Τί προσῆλθες, τέκνον; и т. д. Ἀπόκρισις· Ποθῶν τὸν βίον... Ἐρώτησις· Ποθεῖς ἀξιωθῆναι... Вопросы и отвѣты тѣже, что въ малой схимѣ. Καὶ ὁ ἱερεὺς εὐχή· Βλέπε, τέκνον, οἵας συνθήκας δίδως τῷ Θεῷ... Goar. p. 407, παρουσίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ἀγγελικὸς βίος γὰρ τῆς ἀσκήσεως καὶ θαυμαστὸς καὶ ὑπερκόσμιος, ὅθεν καὶ ἀγῶνας πολλοὺς ἔχει, ὁμοίως δὲ καὶ θλίψεις καὶ πειρασμούς· διὰ τοῦτο γὰρ καὶ ἡ σοφία τοῦ Θεοῦ παραινεῖ

λέγουσα· τέκνον, εἰ προσέρχῃ δουλεύειν τῷ Θεῷ, ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμόν, εὔθυνον τὴν καρδίαν σου καὶ καρτέρησον καὶ μὴ σπεύσῃς ἐν καιρῷ ἐπαγωγῆς. Καὶ πάλιν λέγει· Υἱέ, μὴ ὀλιγώρει παιδείας Κυρίου, μηδὲ ἐκλύου ὑπ' αὐτοῦ ἐλεγχόμενος· ὃν γὰρ ἀγαπᾷ Κύριος, παιδεύει, μαστιγοῖ δὲ υἱόν, ὃν παραδέχεται. Καὶ ὁ ἅγιος Ἰάκωβος ὁ ἀπόστολος λέγει· Μακάριος ὁ ἄνθρωπος, ὃς ὑπομένει πειρασμόν, ὅτι, δόκιμος γενόμενος, λήψεται τὸν στέφανον τῆς ζωῆς, ὃν ἐπηγγείλατο ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν, καὶ ἀθλητὴς δὲ οὐ στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ, κατὰ τὸν μακάριον Παῦλον, τὸ δὲ ἆθλον ἐστίν, ἵνα τίς διὰ τὸν ἐπερχόμενον αὐτῷ κακὸν πειρασμὸν νικήσας τὸν διάβολον, τὴν βασιλείαν τῶν οὐρανῶν κληρονομήσῃ· καὶ γὰρ μέγας ἀθλητὴς Ἰὼβ οὕτως ἐπειράσθη ὑπὸ τοῦ διαβόλου, ὡς μὴ μόνον κατὰ τοῦ σώματος αὐτοῦ λαβεῖν χώραν, ἀλλὰ καὶ κατὰ τῶν κτηνῶν καὶ τῶν τέκνων αὐτοῦ καὶ διὰ τῆς ὑπομονῆς... Ἐρώτησις· Εἰπὲ οὖν, ἀδελφέ, ὡς αὐτοῦ τοῦ Κυρίου... Ἀπόκρισις· Ἑκουσίως προσέρχομαι, τίμιε πάτερ. Εὐχή· Ὁ Θεός, οὖν καὶ Πατὴρ τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ χορηγὸς τοῦ ἁγίου καὶ ζωοποιοῦ Πνεύματος, ὁ διὰ τοῦ μονογενοῦς αὐτοῦ Υἱοῦ ἐκκόψας τὴν ὑπερηφανίαν τοῦ ἀντικειμένου καὶ ἐπιχέων τὴν δόξαν τῆς ταπεινοφροσύνης ἐπὶ τὰς κεφαλὰς τῶν ἁγίων αὐτοῦ, καὶ στεφανῶν αὐτοὺς τῷ ἀμαραντίνῳ στεφάνῳ τῆς ζωῆς, καὶ ὁδηγῶν αὐτοὺς εἰς τὴν ζωὴν τὴν αἰώνιον καὶ εἰς τὴν στενὴν ὁδόν, δι' ἧς διῆλθον οἱ ἅγιοι πατέρες καὶ ἀπείληφαν τοὺς τόπους τῆς αὐτῶν ἀναπαύσεως. Αὐτὸς δῴη σοι μερίδα καὶ κλῆρον μετ' αὐτῶν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα τὸ κράτος νῦν καὶ ἀεὶ... Καὶ σφραγίζει ὁ ἱερεὺς τὴν κεφαλὴν αὐτοῦ καὶ λέγει τὴν εὐχήν· Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, ἡ ἐλπὶς καὶ καταφυγὴ πάντων τῶν ἐλπιζόντων ἐπὶ σέ... Goar. p 385. Εἰρήνη πᾶσι. Τὰς κεφαλὰς ἡμῶν. Δέσποτα καρδιογνῶστα τῶν ἁπάντων, εὐλόγησον καὶ ἁγίασον τὸν δοῦλόν σου τόνδε καὶ ἐπίθες τὴν χεῖρά σου ἐπ' αὐτὸν καὶ κατάπεμψον αὐτῷ τὴν χάριν τοῦ ἁγίου σου Πνεύματος, τὸ ἔνδυμα τῆς ψυχῆς αὐτοῦ καθαρὸν διαφύλαξον, τὴν ἁγνίαν τοῦ σώματος ἀμίαντον διατήρησον, καὶ δὸς αὐτῷ ἀγωνίσασθαι καὶ κατισχύσαι πάσης ἀντικειμένης ἐνεργείας, χαριζόμενος αὐτῷ τὸν τῆς δικαιοσύνης ἀμαράντινον στέφανον. Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις... Εἶτα ἐγείρει αὐτὸν καὶ κρατήσας τῆς δεξιᾶς χειρός, εἰσφέρει αὐτὸν ἐν τῷ θυσιαστηρίῳ. См. выше стр. 221. При постриженіи волосъ, священникъ говоритъ: Ὁ ἀδελφὸς ἡμῶν κείρεται τὴν κόμην τῆς κεφαλῆς αὐτοῦ εἰς τὸ ὄνομα τοῦ Πατρός... Καὶ παραλαμβά-

νουσιν αὐτὸν οἱ μοναχοὶ καὶ κουρεύουσιν αὐτὸν ἐν τῷ νάρθηκι, ψάλλοντες καὶ τὸν ἄμωμον. Καὶ ὁ ἱερεὺς ἄρχεται τὴν συναπτὴν τοῦ Τρισαγίου, καὶ λέγει ὁ ἡγούμενος ἑτέραν συναπτήν· Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τοῦ ἀδελφοῦ ἡμῶν τοῦδε... Ὑπὲρ τοῦ ἀπαλλαγῆναι αὐτὸν πάσης κοσμικῆς ἐπιθυμίας καὶ τῶν κατὰ σάρκα συγγενῶν αὐτοῦ τοῦ Κυρίου... Ὑπὲρ ἀφέσεως ἁμαρτιῶν καὶ συγχωρήσεως τῶν πλημμελημάτων αὐτοῦ... Ὑπὲρ τοῦ γενέσθαι αὐτὸν ὑψηλότερον τῶν τοῦ κόσμου φρονημάτων... Ὑπὲρ τοῦ ῥυσθῆναι... Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας... Ὅτι ἅγιος εἶ ὁ Θεός... Προκείμενον, ἦχος δ'. Νομοθέτησόν με, Κύριε, τὴν ὁδόν... Στίχος· Συνέτισόν με καὶ ἐξερευνήσω... Ὁ ἀπόστολος πρὸς Κολοσσαεῖς· Ἀδελφοί, ἐνδύσασθε, ὡς ἐκλεκτοὶ τοῦ Θεοῦ ἅγιοι καὶ ἠγαπημένοι... Τέλος· ᾄδοντες ἐν τῇ καρδίᾳ ὑμῶν τῷ Κυρίῳ. Ἀλληλούια, ἦχος πλ. δ'. Τὰ διαβήματά μου. Εὐαγγέλιον κατὰ Μάρκον и антифоны тѣже, что и въ первомъ чинѣ. καὶ λέγει εὐχήν· Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς ἡμῶν, ὁ κατὰ τὸ πολὺ ἔλεός σου ῥυσάμενος... Goar. p. 378. Εἰρήνη πᾶσι. Τὰς κεφαλάς· Κύριε, Κύριε, ἡ δύναμις τῆς σωτηρίας ἡμῶν, ὁ εὐλογήσας ἡμᾶς ἐν πάσῃ εὐλογίᾳ πνευματικῇ, εὐλόγησον καὶ τὸν δοῦλόν σου τόνδε. Goar. p. 379. Καὶ ἐπαίρονται τὰ ἱμάτια ἐκ τοῦ θαλασσιδίου, καὶ ἐνδύει αὐτὸν ὁ ἡγούμενος, λέγων οὕτως. Εὐχή· Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, εὐλόγησον τὰ περιβόλαια (что въ первомъ чинѣ стр. 222). Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα ἐνδύεται τὸν τῆς δικαιοσύνης χιτῶνα τοῦ τιμίου προσχήματος εἰς τὸ ὄνομα τοῦ Πατρός... Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα λαμβάνει τὸ παλλίον τοῦ μοναδικοῦ σχήματος, στολὴν ἀφθαρσίας, εἰς τὸ ὄνομα... Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα λαμβάνει τὸ κουκούλιον τῆς ἀκακίας καὶ ταπεινοφροσύνης, εἰς περικεφαλαίαν σωτηρίας, εἰς τὸ ὄνομα τοῦ Πατρός... Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα ἔλαβεν τὸ πρόσχημα τοῦ μοναδικοῦ σχήματος, εἰς τὸ ὄνομα... Καὶ τοῦ διακόνου λέγοντος· τοῦ Κυρίου δεηθῶμεν, κἀκεῖνος κλίνει τὸν αὐχένα, καὶ ὁ ἱερεὺς ἐπεύχεται· Ὁ πάντα νοῦν ὑπερβαίνων καὶ πάντα λογισμὸν καὶ πᾶσαν ἔννοιαν προγινώσκων, ἀόρατε, ἄφραστε, ἀκατάληπτε, ἀπερινόητε παντοκράτωρ, πανάγιε βασιλεῦ, ὁ πλούσιος ἐν ἐλέει καὶ ἀγαθὸς ἐν οἰκτιρμοῖς, εὐθεῖαν καὶ ἀναμάρτητον τὴν ὁδὸν τῆς δικαιοσύνης παράσχου τῷ δούλῳ σου τῷδε, πᾶσαν ἐνέργειαν τοῦ πονηροῦ ἀπελαύνων ἀπ' αὐτοῦ, εἰρήνην οὐράνιον δώρησαι αὐτῷ, καὶ παράσχου αὐτῷ σώφρονα λογισμόν, ταπεινόφρονα νοῦν, ἐνάρετον πολιτείαν, ὅπως ἐν εὐχαῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς δοξάσῃ τὴν ἀνυπέρβλητόν σου ἀγαθότητα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος... Εἰρήνη πᾶσι. Τὰς κεφαλάς. Ὁ Θεὸς ὁ αἰώνιος ὁ παντοκράτωρ, ὁ Πατὴρ τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, σοὶ ἔκλινεν ὁ δοῦλός σου τὴν ἑαυ-

τοῦ κεφαλήν, σοὶ ὑπέταξε τὸν αὐχένα τῆς ψυχῆς αὐτοῦ καὶ τοῦ σώματος, ἔκτεινόν σου τὴν χεῖρα τὴν ἁγίαν οὐρανόθεν καὶ εὐλόγησον αὐτὸν καὶ εἰσάκουσον τῆς δεήσεως αὐτοῦ, τὴν πρόθεσιν τῆς ψυχῆς αὐτοῦ τελείωσον, τὸν δρόμον τῆς πίστεως αὐτοῦ ἀκαταίσχυντον διατήρησον, κόσμησον αὐτὸν ἐν πάσῃ εὐλαβείᾳ, θρέψον αὐτὸν θείοις λόγοις, σόφισον αὐτὸν μαθήμασιν ἐπουρανίοις, συνέτισον αὐτὸν τῇ παρά σου ἐπιστήμῃ, στήριξον αὐτὸν εἰς τὸν φόβον σου, ἐνίσχυσον αὐτὸν κατὰ τοῦ ἀντιπάλου, δὸς αὐτῷ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ, χάρισαι αὐτῷ ταπεινοφροσύνης πλοῦτον, βεβαίωσον αὐτὸν τῇ ὀρθοδόξῳ σου πίστει, εὔφρανον αὐτὸν τῇ σῇ ἀγάπῃ, δὸς αὐτῷ καὶ ἡμῖν μερίδα ἔχειν μετὰ τῶν ἁγίων σου, χριστιανὰ τὰ τέλη τῆς ζωῆς πᾶσιν ἡμῖν χαριζόμενος διὰ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι νῦν καὶ ἀεί... Καὶ γίνεται ὁ ἀσπασμὸς εἰς τὸ ἅγιον εὐαγγέλιον, ψάλλοντες οἱ ἀδελφοὶ τροπάριον, ἦχος δ'. Ἐνδύσασθε χιτῶνα τῆς σωτηρίας, ζώσασθε τὴν ζώνην τῆς σωφροσύνης... Στίχος· Ἐξεζήτησέ σε... Καὶ πάλιν τὸ αὐτό. Στίχος· Ἀγαλλιᾶσθε τῷ Θεῷ... Καὶ πάλιν τὸ αὐτό. Ἄλλο τροπάριον, ἦχος πλ. β'. Ἀγαλλιάσθω ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ... Στίχος· Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ... Καὶ λέγει τὸ αὐτό. Στίχος· Αὕτη ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος... Καὶ πάλιν τὸ αὐτό, Δόξα καὶ νῦν, Μεγάλων χαρισμάτων, ἁγνὴ Παρθένε. Καὶ ἄρχεται ὁ ἱερεύς, λέγων· Εἴπωμεν πάντες καὶ τὴν λοιπὴν ἀκολουθίαν. Καὶ μετὰ τὸ τέλος τῆς λειτουργίας, λαμβάνει ὁ ἱερεὺς τὸ ἅγιον εὐαγγέλιον καὶ ἵσταται, ψάλλων τὸ τροπάριον, ἦχος πλ. β'. Ἀγαλλιάσθω ἡ ψυχή μου, καὶ ἀσπάζονται οἱ ἀδελφοὶ τὸ εὐαγγέλιον, τὸν ἡγούμενον καὶ τὸν ἀδελφόν, καὶ μετὰ τὸ ἀσπάσασθαι, ἅπτουσι κηροὺς οἱ ἀδελφοὶ καὶ ὀψικεύουν τὸν ἀδελφόν, ψάλλοντες τροπάριον, ἦχος β'. Κύριε, Κύριε, ἐπίβλεψον ἐξ οὐρανοῦ... Στίχος· Ὁ ποιμένων τὸν Ἰσραήλ... Καὶ πάλιν τὸ αὐτό. Στίχος· Ὁ καθήμενος ἐπὶ τῶν χερουβίμ... Καὶ πάλιν τὸ αὐτό, Δόξα καὶ νῦν, Τὴν πᾶσαν ἐλπίδα μου, καὶ ποιεῖ εὐχὴν καὶ ἀπολύει.

Λ. 33 οб. Τάξις καὶ ἀκολουθία τοῦ ἁγίου καὶ μεγάλου σχήματος.

Ἀφ' ἑσπέρας τίθενται τὰ ἱμάτια ἐν τῷ ἱερατείῳ ὑποκάτω τῆς ἁγίας τραπέζης, καὶ γίνεται ἡ παννυχὶς ὑπὲρ αὐτοῦ. Εἰς τὸ Ἀλληλούια, ἦχος δ'. Τὴν ταπεινήν μου ψυχὴν ἐπίσκεψαι... κάθισμα, ἦχος δ'. Κατεπλάγη Ἰωσήφ. Τὴν προσελθοῦσάν σοι ψυχὴν πρόσδεξαι, εὔσπλαγχνε Σῶτερ... Ἄλλο· Ὁ προσελθὼν τῷ Κυρίῳ τοῦ δουλεύειν αὐτῷ, ἑτοιμάζου προθύμως... Ζήτει τὰ στιχηρὰ εἰς τοῦ μανδύου τὴν ἀκολουθίαν καὶ τὸ κονδάκιον. Ὁ κανών, ἦχος δ'. Θαλάσσης τὸ ἐρυθραῖον... Θαλάσσης βιωτικῆς

τὸν κλύδωνα ἀποταξάμενος ὁ ἐραστὴς τῆς δόξης σου, Χριστέ.. Σήμερον βαπτίζεται τοῖς δάκρυσι τῆς κατανύξεως... Ἁγνείαν, ἐγκράτειαν, ταπείνωσιν, ὑπακοήν, προσευχήν... Ἐξαποστειλάριον· Ἀπολωλότα πρόβατα ἦλθες ζητῶν, ὡς εὔσπλαγχνος... Εἰς δὲ τὴν λειτουργίαν ἵσταται ὁ μέλλων κουρεύεσθαι ἐν τῷ βασιλικῷ πυλῶνι, φορῶν τὰ ἐξ ἔθους ἱμάτια, καὶ ἄρχονται οἱ μοναχοὶ τὰ ἀντίφωνα τῆς λειτουργίας, блаженны и тропари, раздѣленные на три антифона тѣже, что и въ чинѣ малаго постриженія. Послѣ третьяго антифона, ἀντίφωνον ἦχος δ'. Κύριε, Κύριε, ἐπίβλεψον ἐξ οὐρανοῦ... Καὶ πάλιν τὸ αὐτό, Δόξα καὶ νῦν, Ὁ διὰ σὲ Θεοτόκε... καὶ εὐθέως ἀνιστάμενος μετὰ τὸ τέλος τοῦ θεοτοκίου, προτίθεται τὸ εὐαγγέλιον, καὶ ἄνωθεν αὐτοῦ τίθεται τὸ ψαλλίδιον, καὶ ἄρχεται ποιεῖν τὴν συναπτὴν οὕτως· Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τοῦ ἁγίου οἴκου... Ὑπὲρ τοῦ ἀδελφοῦ ἡμῶν τοῦδε καὶ τῆς παρὰ Κυρίου βοηθείας καὶ ἀντιλήψεως τοῦ... Ὑπὲρ τοῦ καταπεμφθῆναι τὰ διαβήματα αὐτοῦ εἰς ὁδὸν εἰρήνης καὶ τρίβους δικαιοσύνης τοῦ... Ὅπως ὁ φιλάνθρωπος ἀξιώσῃ αὐτόν με τῆς ἀποθέσεως τὸν τριχῶν καὶ τῆς ἀφέσεως τῶν ἁμαρτιῶν τοῦ... Ὑπὲρ τοῦ ῥυσθῆναι... Κύριε ὁ Θεὸς ἡμῶν, ἡ ἐλπὶς καὶ καταφυγὴ πάντων τῶν ἐλπιζόντων. Goar. p. 385. Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας... Ἐκφώνησις· Χάριτι καὶ οἰκτιρμοῖς... Καὶ ἄρχεται ὁ ἱερεὺς ἐρωτᾷν αὐτόν· Τί προσῆλθες, ἀδελφέ, προσπίπτων. Вопросы, что выше стр. 222, но съ нѣкоторою перестановкою въ порядкѣ. Ὁ ἱερεὺς εὐχή· Βλέπε, τέκνον, οἵας συνθήκας δίδεις... τῇ δευτέρᾳ παρουσίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· γίνωσκε τοιγαροῦν λοιπὸν ἀπὸ τῆς παρούσης... κατὰ τὸν ἀπόστολον, ἐν οὐρανοῖς ὑπάρχει, διόπερ ἀγώνησαι, ἀδελφέ, δουλεῦσαι γνησίως τῷ καλέσαντι Δεσπότῃ, ἀπαλλάγηθι τῆς τῶν ματαιοτήτων προσπαθείας, μίσησον τὴν πρὸς τὰ κάτω ἕλκουσάν σε ἐπιθυμίαν, ὅλον σεαυτὸν τὸν πόθον μετάθες πρὸς τὰ οὐράνια, γνῶθι τοῦ σχήματος τὴν δύναμιν, γνῶθι ἐπὶ τίνι συντάσσει καὶ τίνι ἀποτάσσει νῦν, ἀδελφέ· γυναικὶ καὶ τέκνοις, πατρίδι, συγγενείαις, ἑτερείαις, φίλοις, συνήθεσι, φροντίσι, κτίσεσιν, ὑπάρξεσιν, τῇ κενῇ καὶ ματαίᾳ δόξῃ, ἀναλαμβάνεις δὲ ἑαυτὸν τὴν πτωχείαν τὴν τοῦ Κυρίου, τὴν ταπείνωσιν, τὴν ἐξουδένωσιν, τὴν μέχρι θανάτου ὑπακοὴν πρός τε τὸν ἐν Κυρίῳ πατέρα σου καὶ τὴν πνευματικὴν ἀδελφότητα.—Ὢ τῆς καινῆς μίξεως! ὢ τῆς δωρεᾶς τοῦ μυστηρίου! δεύτερον βάπτισμα λαμβάνεις, ἀδελφέ, σήμερον. Goar. p. 407—409. Ἐρώτησις· Ταῦτα πάντα οὕτω καθομολογεῖς κ. τ. λ. Ἀπόκρισις· Ναί, ἐὰν κελεύῃ ὁ Θεὸς καὶ ἡ εὐχή σου, πάτερ. Καὶ ὁ ἱερεὺς τὴν εὐχὴν ταύτην· Ὁ πανοικτίρμων οὖν Θεὸς καὶ πολυέλεος... Goar. p. 409. Εἰς γυναῖκας· καὶ τῶν ἁγίων γυναικῶν Θέκλας, Εὐπραξίας, Ὀλυμπιάδος καὶ τῶν

*

σὺν αὐταῖς, μεθ' ὧν κληρονομήσεις τὴν βασιλείαν τῶν οὐρανῶν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν. Καὶ στραφεὶς ὁ ἱερεὺς σφραγίζει τὴν κεφαλὴν αὐτοῦ τρίτον, λέγων· Τοῦ Κυρίου δεηθῶμεν. Κλίνει τὰ γόνατα ὁ λαμβάνων τὸ σχῆμα, καὶ ὁ ἱερεύς· Ὁ ὢν Δέσποτα παντοκράτωρ, ὕψιστε βασιλεῦ... Goar. p. 409. Εἰρήνη πᾶσι.— Τὰς κεφαλάς. Ἅγιε Κύριε τῶν δυνάμεων, ὁ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Goar. p. 410. Εἶτα ἐγείρει αὐτὸν καὶ λέγει ὁ διάκονος· Πρόσχωμεν, καὶ ὁ ἱερεὺς ποιεῖ σταυροῦ τύπον ἐπὶ τὴν κεφαλὴν τοῦ μέλλοντος ἀποκείρεσθαι καὶ λέγει εὐχήν· Κύριε, Κύριε, οὐ τίθημι ἐμὴν χεῖρα ἁμαρτωλήν, ἀλλὰ τὴν χεῖρα τὴν κραταιάν... Ркп. XV в. Пант. Аѳон. м. Καὶ κρατήσας αὐτὸν τῆς δεξιᾶς χειρός, εἰσφέρει αὐτὸν ἐν τῷ θυσιαστηρίῳ и т. д., какъ въ первомъ чинѣ. По непорочныхъ, καὶ ἄρχονται τοῦ Τρισαγίου, καὶ ὁ ἡγούμενος ποιεῖ συναπτήν· Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τοῦ ἁγίου οἴκου... Ὑπὲρ τοῦ ἀδελφοῦ ἡμῶν... Ὑπὲρ τοῦ ἀμέμπτως... Ὑπὲρ τοῦ φωτισθῆναι... Ὑπὲρ τοῦ ἀπαλλαγῆναι... Ὑπὲρ ἀφέσεως τῶν ἁμαρτιῶν... Ὑπὲρ τοῦ διάγειν αὐτόν... Ὑπὲρ τοῦ ῥυσθῆναι... Τῆς παναγίας... Ἐκφώνησις· Ὅτι ἅγιος εἶ... Καὶ λέγει προκείμενον, апостолъ и евангеліе, что у Goar. p. 413. Ἀλληλούια, ἦχος πλ. β'. Ἐλέησόν με, ὁ Θεός. Εἰς δὲ τὰς γυναῖκας λέγει (евангеліе) τῶν δέκα παρθένων, καὶ ἀπὸ τοῦ εὐαγγελίου εἰσφέρουσι τὸν ἀδελφὸν ἕως τοῦ ἱερατείου, φορῶν τὸ κολόβιον μόνον ἐν τῷ ταπεινῷ τῷ σώματι καὶ τῇ ψυχῇ, ἅπτοντες κηροὺς οἱ ἀδελφοί, ψάλλουσιν οἱ ἀδελφοὶ τροπάριον, ἦχος δ'. Ἤνοιχται ἡ θύρα τῆς μετανοίας и др. тропари, что въ первомъ чинѣ. Ἀντίφωνον α'. εἰς γυναῖκας, ἦχος δ'. Νύμφη παρθένε φιλόχριστε... Στίχος· Πρὸς Κύριον ἐν τῷ θλίβεσθαι... Σταύρωσον τὰ μέλη, φιλόχριστε, νέκρωσον τὰ μέλη τῇ ἐγκρατείᾳ... Στίχος· Ἐκ βαθέων ἐκέκραξα... Θέκλαν μιμουμένη τὴν πρωτομάρτυρα, Παύλῳ δὲ πισθεῖσα ἀνάκραξον... Ἀντίφωνον β'. ἦχος γ'. εἰς γυναῖκας· Ἀρχὴ ὁδοῦ ἀγαθῆς φοβεῖσθαι τὸν Κύριον, διὸ φιλόχριστοι νῦν προσέλθετε... Δόξα καὶ νῦν, Ἐν γυναιξὶν ἁγία Θεοτόκε Μητέρα... Ἀρχομένου δὲ τοῦ τρίτου ἀντιφώνου, ἔρχεται ἔμπροσθεν τοῦ βήματος καὶ λέγει ἀντίφωνον γ'. ἦχος α'. Ἀκολουθήσωμεν, ἀδελφοί, ἀγαθῷ Δεσπότῃ, φύγωμεν τὰς κοσμικὰς ἐπιθυμίας... Στίχος· Αὕτη ἡ πύλη τοῦ Κυρίου... Ὁ βασιλεὺς τῶν οὐρανῶν τὰς χεῖρας ἐφαπλώσας ἡμᾶς προσκαλεῖται... Δόξα καὶ νῦν, Χαίρεις παρ' ἡμῶν, ἁγία Θεοτόκε, τὸ σεπτὸν κειμήλιον ἁπάσης τῆς οἰκουμένης.. p. 415. Καὶ ὅταν πληρώσουν τὰ ἀντίφωνα, εἰσάγει αὐτὸν ἔνδον τοῦ θυσιαστηρίου καὶ προσφωνεῖ ὁ ἱερεὺς τοῖς διακόνοις, λέγων οὕτως· Ἐνέγκατε τὴν στολὴν τὴν πρώτην καὶ ἐνδύσατε αὐτόν, καὶ ζώσατε τὴν ὀσφὺν αὐτοῦ ζώνην δερματί-

νην, ἵνα τὴν νέκρωσιν τοῦ Ἰησοῦ ἐν τῷ σώματι περιφέρῃ· ἀσφαλίσασθε δὲ καὶ τοὺς πόδας αὐτοῦ, ἵνα μὴ γυμνῇ τῇ πτέρνῃ προσεγγίσῃ τῷ δράκοντι. Εἰσελθόντος δὲ τοῦ κουρευομένου ἔμπροσθεν τοῦ βήματος μετὰ τοῦ ἀναδόχου, ἐπαίρονται τὰ ἱμάτια τὰ ὑποκάτωθεν τῆς ἁγίας τραπέζης, καὶ ποιεῖ εὐχὴν ὁ ἱερεὺς ἐπάνω αὐτῶν, λέγων οὕτως· Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, εὐλόγησον τὰ περιβόλαια ταῦτα διὰ τῆς σῆς χάριτος... См. выше стр. 222. Καὶ ἐνδύει αὐτὸν ὁ ἡγούμενος, λέγων· Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα ἐνδύεται χιτῶνα σωτηρίας καὶ ἀγαλλιάσεως... Ἐνδυομένου δὲ αὐτοῦ, ψάλλουσιν οἱ μοναχοὶ τροπάριον, ἦχος δʹ. Ἐνδύσασθε χιτῶνα τῆς σωτηρίας, ζώσασθε τὴν ζώνην τῆς σωφροσύνης... Καὶ τοῦ κουκουλίου βαλλομένου, λέγει· Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα ἐνδύεται τὸ κουκούλιον τῆς ἀκακίας, τῆς ταπεινοφροσύνης, εἰς περικεφαλαίαν ἐλπίδος καὶ σωτηρίας, εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ... Στίχος· Ἐξεζήτισέ σε... Καὶ πάλιν λέγει· Ἐνδύσασθε χιτῶνα... Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα λαμβάνει τὸν ἀνάλαβον, τὸν ἀναλαμβάνοντα τὸν σταυρὸν ἐπὶ ὤμων... Στίχος· Ἀγαλλιᾶσθε τῷ Θεῷ τῷ βοηθῷ. Καὶ πάλιν λέγει· Ἐνδύσασθε χιτῶνα... Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα ζώννυται τὴν ὀσφὺν αὐτοῦ, δύναμιν ἀληθείας, εἰς νέκρωσιν τοῦ σώματος, εἰς τὸ ὄνομα... Ἀδελφὸς ἡμῶν ὁ δεῖνα περιβάλλεται τὸ σουδάριον τοῦ ἁγίου σχήματος εἰς σκέπην σωτηρίου, εἰς τὸ ὄνομα τοῦ Πατρός.. Στίχος· Δεῦτε ἀγαλλιασώμεθα... Ἄλλο τροπάριον, ἦχος πλ. βʹ. Ἀγαλλιάσθω ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ... Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα λαμβάνει τὸ παλλίον τοῦ ἀγγελικοῦ σχήματος εἰς στολὴν ἀφθαρσίας, εἰς τὸ ὄνομα.. Στίχος· Αὕτη ἡ ἡμέρα, ἣν... καὶ λέγει· Ἀγαλλιάσθω ἡ ψυχή μου... Ἀδελφὸς ὁ δεῖνα ὑποδύεται τὰ σανδάλια... Goar. p. 411. Στίχος· Ἀγαλλιάσωνται τὰ χείλη μου... Ἀγαλλιάσθω ἡ ψυχή μου... Καὶ μετὰ τὸ περιβάλλεσθαι τὴν στολὴν τοῦ μοναδικοῦ σχήματος, λέγει· Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα ἀνέλαβε τὸ μοναδικὸν σχῆμα, εἰς τὸ ὄνομα τοῦ Πατρός... Δόξα καὶ νῦν, Μεγάλων χαρισμάτων... Καὶ λέγει· Τοῦ Κυρίου δεηθῶμεν, καὶ εὐθὺς τὴν εὐχήν· Ὁ Θεός, ὁ τῶν ἀγαθῶν χορηγὸς καὶ τῆς παρθενίας φύλαξ καὶ τῆς ἐναρέτου πολιτείας φυτουργός, δώρησαι τῷ δούλῳ σου τούτῳ δύναμιν πνευματικὴν ἐν τῷ κάλλει, ὃ ἐξελέξατο, τελείωσον αὐτὸν ἐν τῷ φόβῳ σου, ἀκηλίδωτον καὶ ἄσπιλον διατήρησον τὴν ψυχὴν καὶ τὸ σῶμα αὐτοῦ ἐν τῇ ἀγγελικῇ ταύτῃ πολιτείᾳ, πάντοτε τὰ σὰ μεριμνῶντα, καὶ ἄσβεστον τὴν λαμπάδα τῆς εὐφροσύνης κατέχοντα ἐν τῇ προσεγγίσει τοῦ ἐπουρανίου νυμφίου. Ὅτι ἡγίασται καὶ δεδόξασται. Καὶ λέγει· Πρόσχωμεν. Εὐχή· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ πιστὸς ἐν ταῖς ἐπαγγελίαις σου καὶ ἀμεταμέλητος ἐν τοῖς χαρίσμασί σου. Ркп. XV в. Іерусал. патріарш. библ. № 273, γεραίρῃ τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου τοῦ Πατρὸς καὶ

τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. Τοῖς ἴχνεσιν ἐξακολουθῶν τοῦ μεγάλου Ἡλιοῦ, καὶ τοῦ ἁγίου Ἰωάννου τοῦ Προδρόμου καὶ βαπτιστοῦ. Εἰς γυναῖκας λέγει· Τοῖς ἴχνεσιν ἐξακολουθοῦσα τῆς πρωτομάρτυρος Θέκλης, Εὐπραξίας καὶ Ὀλυμπιάδος, ἵνα, φθάσασα τὸ μέτρον τῆς τελειώτητος, τὸν δρόμον τελέσῃ, τὴν πίστιν τηρήσῃ καὶ ἐνδύσηται... См. тамъ же. Εἰρήνη πᾶσι. Τὰς κεφαλάς. Κύριε ὁ Θεὸς ἡμῶν, εἰσάγαγε τὸν δοῦλόν σου εἰς τὴν πνευματικήν σου αὐλήν... Goar. p. 412. Καὶ μετὰ ταῦτα ἅπτουσι κηρὸν τέλειον καὶ ἐπιδίδωσι τῷ ἀδελφῷ, καὶ ἐπερωτᾷ αὐτὸν ὁ ἱερεύς, λέγων· Ἀνέλαβες τὸ ἀγγελικὸν σχῆμα; Ἀπόκρισις· Ἀνέλαβον, πάτερ. Ἐρώτησις· Ἀνέλαβες τὴν στολὴν τῶν ἁγίων ἀποστόλων; Ἀπόκρισις· Ἀνέλαβον, πάτερ. Ἐρώτησις· Ἀνέλαβες τὴν ἁγνείαν τῆς παρθενείας; Ἀπόκρισις· Ἀνέλαβον, πάτερ. Καὶ ὅταν ἐκ τρίτου ὁμολογήσῃ, ἐκτείνας ὁ ἱερεὺς τὰς χεῖρας εἰς τὸν οὐρανόν, εὔχεται· Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη ἐν ἀνθρώποις. Ркп. XV в. русск. Пантелеим. мон. на Аѳонѣ. Καὶ εἰ μὲν ἐστὶν ἀνήρ, δίδωσιν αὐτῷ ἀγάπην, καὶ εἰ μὲν ἐστὶ λειτουργία, ψάλλει καὶ ταῦτα τὰ τροπάρια, ἦχος α'. Ἐπέγνωμεν, ἀδελφοί, τοῦ μυστηρίου τὴν δύναμιν... Καὶ εἶθ' οὕτως ἐκτενή, καὶ ἡ λοιπὴ ἀκολουθία τῆς λειτουργίας. Μετὰ δὲ τὴν πλήρωσιν τῆς ἁγίας λειτουργίας, λαμβάνει ὁ ἡγούμενος τὸ εὐαγγέλιον καὶ ἵσταται, καὶ ἵστανται οἱ μοναχοί, ἀσπάζοντες τὸ εὐαγγέλιον καὶ τὸν ἀδελφόν, ψάλλοντες τροπάριον, ἦχος α'. Ἐπέγνωμεν, ἀδελφοί, τοῦ μυστηρίου τὴν δύναμιν... Στίχος· Ἀγαπήσατε τὸν Κύριον... Καὶ πάλιν τὸ αὐτό. Στίχος· Ἀγαλλιάσωνται.. ἦχος πλ. α'. Τὸ στάδιον τῶν ἀρετῶν ἠνέῳκται· οἱ βουλόμενοι ἀθλῆσαι εἰσέλθετε, ἀναζωσάμενοι τὸν καλὸν τῆς νηστείας ἀγῶνα... Στίχος· Δεῦτε ἀκούσατε... Δόξα καὶ νῦν, Σὲ δυσωπούμενος Μητέρα... Καὶ εἶθ' οὕτως ὀψικεύουν τὸν ἀδελφόν, ἅπτοντες κηρούς, κρατοῦντος τοῦ ἀναδόχου τῆς δεξιᾶς χειρὸς τὸν νεοφώτιστον, καὶ ψάλλουσι τροπάριον· Κύριε, Κύριε, ἐπίβλεψον ἐξ οὐρανοῦ... Στίχος· Ὁ ποιμένων τόν... Στίχος· β'. Ὁ καθήμενος ἐπὶ τῶν χερουβίμ... Στίχος γ'. Ἐξέγειρον τὴν δυναστείαν σου... Στίχος δ'. Ὁ Θεός, ἐπίστρεψον ἡμᾶς... Κατὰ στίχους λέγει· Κύριε, Κύριε, ἐπίβλεψον... Δόξα καὶ νῦν, Ῥῦσαι ἡμᾶς ἐκ τῶν... Οὕτως δὴ χρὴ ποιεῖν τὰς ζ'. ἡμέρας, πλὴν τούτων ἱερεύειν καὶ ἀναπαύειν αὐτὸν ὑπερφυῶς, τὸ δὲ κουκούλιον μὴ ἐκβάλλειν τῆς ἑαυτοῦ κεφαλῆς ἕως τοῦ ἀπολοῦσθαι τῇ ζ'. ἡμέρᾳ, μὴ προκειμένης ἀνάγκης, ἢ ἄλλο τι τοῦ σχήματος λύειν. Καὶ πάλιν μετὰ τὸ ἀναστῆναι ἐκ τῆς τραπέζης, πάλιν αὐτοὺς ἀνάπτειν κηρία καὶ προάγειν τὸν θυμιατόν, καὶ ὀψικεύειν αὐτὸν ἕως τῆς ἐκκλησίας, ψάλλοντες τὸ αὐτὸ τροπάριον καὶ τὸ αὐτὸ θεοτοκίον· Ῥῦσαι ἡμᾶς.

л. 62. Ἀκολουθία τοῦ ἀπολουτροῦ τοῦ ἁγίου σχήματος τῇ ζ'. ἡμέρᾳ.

Εἰσέρχεται ὁ τὸ σχῆμα λαβὼν εἰς τὴν εἴσοδον τῆς λειτουργίας καὶ μετὰ τὸ εὐαγγέλιον, ποιοῦντος τὴν ἐκτενήν, προστίθησι στίχον· Ὑπὲρ τοῦ ἀδελφοῦ ἡμῶν τοῦ δεῖνα καὶ τῆς ἐν Χριστῷ τελείας ὑπομονῆς καὶ σωτηρίας αὐτοῦ τοῦ Κυρίου δεηθῶμεν. Εἰ δὲ ἄνευ λειτουργίας θέλεις ἀποκουκουλίσαι αὐτόν, ἄρχεται λέγων· Εὐλόγησον, δέσποτα. Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῆς εἰρήνης... Ὑπὲρ τοῦ ἁγίου οἴκου... Ὑπὲρ τοῦ ἀδελφοῦ ἡμῶν τοῦδε... Ὑπὲρ τῆς ἄνωθεν σκέπης καὶ βοηθείας, σκέπης αὐτοῦ τοῦ Κυρίου τοῦ... Ὑπὲρ τοῦ ἀμέμπτως καὶ ἀκατακρίτως διαφυλαχθῆναι αὐτὸν ἐν τῇ μοναδικῇ πολιτείᾳ τοῦ Κυρίου... Ὑπὲρ τοῦ ῥυσθῆναι. . Εὐχή· Δέσποτα Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν, ὁ τῶν ἐν ἀσκήσει βιωσάντων. Goar. p. 420. Ἀντιλαβοῦ, σῶσον. Τῆς παναγίας ἀχράντου... Χάριτι καὶ οἰκτιρμοῖς... Τὰς κεφαλάς. Ὁ Θεὸς ὁ Θεὸς ἡμῶν, ὁ ἀμεταμέλητος ἐν τοῖς χαρίσμασί σου καὶ πλούσιος ταῖς δωρεαῖς τῆς ἀγαθότητός σου, ὁ περιποιησάμενος τὸν δοῦλόν σου τόνδε εἰς τὴν σωτηριώδη ταύτην ζωήν, Αὐτὸς Δέσποτα, διατήρησον αὐτόν, ἐν ᾧ ἠξιώθη ἁγιασμῷ, πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ, καὶ μὴ ἀποῤῥίψῃς αὐτὸν ἀπὸ τοῦ προσώπου σου, μηδὲ τὸ Πνεῦμά σου τὸ ἅγιον ἀντανέλῃς ἀπ' αὐτοῦ, ἀλλὰ σκέπασον αὐτὸν τῇ ἀοράτῳ σου δεξιᾷ καὶ τῷ τῆς ἀφθαρσίας ἐνδύματι μέχρι οὗ καταντήσῃ εἰς τὴν αἰώνιον ζωήν. Ὅτι σὸν τὸ κράτος καὶ σοῦ ἐστὶν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα τοῦ Πατρός... Καὶ στραφεὶς σφραγίζει τὴν κεφαλὴν αὐτοῦ τρίτον καὶ λέγων αὐτῷ οὕτως· Ἰδού, ἀδελφέ, ἠξιώθης τοῦ ἀγγελικοῦ σχήματος· βλέπε οὖν, πῶς συνέθου δουλεύειν τῷ Θεῷ, πρῶτον ἀγαπᾶν αὐτὸν ἐξ ὅλης καρδίας, καὶ τὰ ἀρεστὰ αὐτῷ διαπράττεσθαι, ἀόκνως τε λατρεύειν αὐτῷ νυκτός τε καὶ ἡμέρας, ἀδιαλείπτως ἀγαπᾶν τὸν πατέρα σου καὶ τοὺς ἀδελφούς σου, ἀγογγύστως ἐπιτελῶν πάντα τὰ παρ' αὐτῶν ἐπιτασσόμενα, κτῆσαι διάκρισιν, τὴν ἀκρόπολιν τῶν ἀρετῶν, λέγω δὴ τὸ διακρίνειν τοὺς ἐρχομένους σοι λογισμοὺς πότερον ἐκ τοῦ Θεοῦ εἰσίν, ἢ ἐκ τοῦ ἐναντίου· καὶ τοὺς μὲν φαύλους ἀπέχεσθαι, τοὺς δὲ ἀγαθοὺς ἐπισπάσασθαι· ἔχειν ὑπακοήν, τὴν κρηπῖδα τῶν ἀρετῶν, τὴν ὀξέως ἀνοίγουσάν σοι πύλας τῶν οὐρανῶν καὶ τῷ θρόνῳ τοῦ Θεοῦ παριστῶσαν, κτῆσαι ταπεινοφροσύνην, τὴν ἀπὸ γῆς εἰς οὐρανοὺς ἀνάγουσαν καὶ τῷ Χριστῷ ἀφομοιοῦσαν τὸν ἄνθρωπον [1]) ἀόκνως, κτῆσαι καὶ τῶν πατέρων σύντροφον, μακροθυμίαν δὲ καὶ πραότητα, καὶ τὰς λοιπὰς ἀρετάς, ὡς ἐκ πάντων τῶν πατέρων ἐπαινουμένας ἀναλαβών, ἵνα καὶ τὴν τῶν πραέων γῆν κληρονο-

---

[1]) Ркп. XVI в. Синайск. библ. № 985 τὴν δὲ νηστείαν, ὡς πρώτην νομοθεσίαν καὶ παραδείσῳ εἰσοικίζουσαν τὸν ἄνθρωπον ἀόκνως.

μήσῃς, ἐν δὲ τοῖς ἐπερχομένοις σοι πειρασμοῖς, ἔκ τε τῶν ἀοράτων καὶ ὁρατῶν ἐχθρῶν, ὑπομονὴν κτῆσαι[1]· ὁ γὰρ ὑπομείνας εἰς τέλος οὗτος σωθήσεται, ἡσυχίαν δέ, ὡς ἀσκητικὸν γυμναστήριον καὶ γλώσσης χαλινόν, καὶ Πνεύματος ἁγίου δοχεῖόν σε ἀπεργαζομένην, λάβε σύνοικον καὶ ὁμοδίαιτον καὶ ὁμότράπεζον, πρὸς δὲ τούτοις πᾶσι καὶ ταῖς ὁμοίαις[2]) ἀρεταῖς οἰκτίρμων ἔσω, καθὼς καὶ ὁ Πατὴρ ἡμῶν ὁ οὐράνιος οἰκτίρμων ἐστίν, ἀπεχόμενος[3]) τῶν φαύλων καὶ ἀπηγορευμένων πράξεων· μίσους, γογγυσμοῦ, ἀδιακρισίας, παρακοῆς, ὑπερηφανίας, τῆς ἐχθρᾶς τοῦ[4]) Θεοῦ, γαστριμαργίας, δι' ἧς ἀπεβλήθη Ἠσαῦ, ὀργῆς τῆς ἀπολλούσης φρονίμους, ῥαθυμίας, ἀργολογίας, τῆς ἀποδιωκούσης τὸν φόβον τοῦ Θεοῦ, καὶ εὐσπλαγχνίας τῆς ἀντιτασσομένης τῷ Θεῷ καὶ Πατρί· τούτων δὲ ἀπεχόμενος καὶ τῶν ἀρετῶν ἐργάτης γενόμενος, ἀξιωθήσεις τῆς βασιλείας τῶν οὐρανῶν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας... Καὶ πάλιν λέγει· Ἔτι ὑπὲρ τοῦ ἀδελφοῦ ἡμῶν ὁ δεῖνα καὶ τῆς ἐν Χριστῷ σωτηρίας αὐτοῦ τοῦ... Καὶ εἶθ' οὕτως χαλᾷ τὸ κουκούλιον ἀπὸ τῆς κεφαλῆς αὐτοῦ ὁ ἡγούμενος, λέγων· Εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων... Καὶ ἀσπασάμενος αὐτόν, σφραγίζει τὴν κεφαλὴν αὐτοῦ καὶ ἀπολύει, καὶ ἔρχεται καὶ ἵσταται μετὰ τῶν ἀδελφῶν εἰς τὸν ἴδιον τόπον.

**XXV**. № 982 Εὐχολόγιον Синайск. библ., рукопись въ 8 долю, 196 листовъ, писана на бомбицинѣ размашистымъ почеркомъ XIII в. Изъ позднѣйшихъ приписокъ замѣчательна слѣдующая: ἔτους ,ϛϡοη'. (1470 г.) ἐγράφησαν ἐτοῦτα τὰ γράμματα διὰ χειρὸς ἐμοῦ τοῦ ἁμαρτωλοῦ Βασιλικοῦ ἀπὸ τὴν Προῦσαν. Рукою писца сдѣлана слѣдующая замѣтка: Εὔχου τῷ γράψαντι τιμιωτάτῳ (sic) ἁμαρτωλῷ ἐμοὶ Μακαρίῳ τῶν μοναχῶν καὶ ἱερέων (л. 78 об.). Рукопись перебита и писана разными почерками.

л. 1. Εὐχολόγιον σὺν Θεῷ, περιέχον πᾶσαν ἀκολουθίαν.

Ἀρχὴ τῆς λειτουργίας τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν, Ἰωάννου τοῦ Χρυσοστόμου.

Чинъ состоитъ изъ молитвъ. Молитва: Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν ὑψηλοῖς κατοικῶν... надписывается: κατηχουμένη τοῦ Χρυσοστόμου... и послѣдняя: Τὸ πλήρωμα τοῦ νόμου καὶ τῶν προφητῶν—„Εὐχὴ πρὸς τὸν λαόν". Есть указаніе и на молитву: εὐχὴ ἐν τῷ σκευοφυλακίῳ, но самой молитвы нѣтъ.

---

[1]) Ркп. XVI в. Синайск библ. № 985 ἔχε [2]) καὶ οἰκτίρμων ἔσω [3]) ἀπέχου δὲ τῶν φαύλων [4]) нѣтъ.

л. 8. (Εὐχὴ ἐν τῷ σκευοφυλακίῳ) λεγομένη, ἀποτιθεμένου τοῦ ἱερέως τὰ ἅγια δῶρα. Εὐχή· Πληρώσαντες πᾶσαν τὴν ἐν τῷ ναῷ σου δικαιοσύνην, εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς ἡμῶν, καὶ ἐν τῷ ἁγίῳ τόπῳ τούτῳ, ἔνθα τὰ ἅγια τῶν ἁγίων ἐπαναπαύεται, ὅτι κατηξίωσας ἡμᾶς μετασχεῖν τοῦ ἀχράντου σώματος καὶ αἵματος τοῦ Χριστοῦ σου, ὅτι εὐλόγηται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

л. 8 об. Ἡ θεία λειτουργία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου ἄρχεται ἀπὸ τῆς εὐχῆς τῆς ἐκτενῆς, αἱ δὲ πρώην εὐχαὶ εἰσὶ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου.

Εὐχὴ κατηχουμένη τῆς ἁγίας ἀναφορᾶς τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν οὐρανοῖς κατοικῶν... Молитва: „Οὐδεὶς ἄξιος... надписывается: Εὐχή, ἣν ποιεῖ ὁ ἱερεὺς ὑπὲρ ἑαυτοῦ, τοῦ μυστικοῦ δείπνου, молитва: „Ἤνυσται καὶ τετέλεσται“—„Εὐχή, λεγομένη ἐν τῷ διακονικῷ“, молитва: „Τὸ πλήρωμα τοῦ νόμου.—„Εὐχὴ ἀπολυτική“.

л. 19. Ἡ θεία λειτουργία τῶν προηγιασμένων.

Εὐχαί, λεγόμεναι μετὰ τὸ εἰπεῖν ὁ ἱερεὺς ἢ ὁ διάκονος τὴν συναπτήν· Ἑσπέρας καὶ πρωῒ καὶ μεσημβρίας... Goar. p. 164. Εὐχὴ ἀντιφώνου β΄. Κύριε οἰκτίρμων καὶ ἐλεήμων... p. 163. Εὐχὴ ἀντιφώνου γ΄. Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς ἡμᾶς... Ibid. Εὐχὴ τοῦ μυστικοῦ ὕμνου· Οὐδεὶς ἄξιος τῶν συνδεδεμένων... Εὐχὴ ἐν τῷ σκευοφυλακίῳ· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἀγαγὼν ἡμᾶς εἰς τὰς πανσέπτους ἡμέρας ταύτας... p. 168.

л. 23 об. Εὐχαί, λεγόμεναι εἰς τὸ λυχνικὸν καὶ ἕτεραι εἰς τὸν ὄρθρον.

Три первыя, что у Гоара, четвертая молитва: Ἑσπέρας καὶ πρωΐ... Goar. p. 164, пятая.—Εὐλογητὸς εἶ, Κύριε παντοκράτωρ... p. 35, шестая и седьмая, что у Гоара на пятомъ и шестомъ мѣстахъ, восьмая: Εὐλογητὸς εἶ, Κύριε Δέσποτα παντοκράτωρ, ὁ φωτίσας τὴν ἡμέραν τῷ φωτὶ τῷ ἡλιακῷ... p. 35, девятая: Ὁ Θεὸς ὁ μέγας, ὁ αἰώνιος, ὁ ἅγιος καὶ φιλάνθρωπος, ὁ καταξιώσας ἡμᾶς καὶ ἐν ταύτῃ τῇ ὥρᾳ στῆναι ἐνώπιον τῆς ἀπροσίτου σου δόξης. Goar. p. 36, десятая молитва: Ὁ Θεὸς ὁ τῶν κρυπτῶν γνώστης... p. 36. одинадцатая: εὐχὴ πιστῶν· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὸ ἀπρόσιτον οἰκῶν φῶς... p. 37, двѣнадцатая: εὐχὴ ἤγουν ἀπόλυσις· Ὁ Θεὸς ὁ μέγας, ὁ ὕψιστος, ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον... p. 29, тринадцатая: Κύριε ὁ Θεὸς ἡμῶν, ὁ κλίνας τοὺς οὐρανούς... p. 32. Четырнадцатая εὐχή· Κύριε ὁ Θεὸς ἡμῶν, κλῖνον τὰς καρδίας ἡμῶν εἰς ὑπακοὴν τῶν θείων σου προσταγμάτων καὶ ἀπόστρεψον τοὺς ὀφθαλμοὺς τῆς διανοίας ἡμῶν, τοῦ μὴ προσχεῖσθαι τῇ κοσ-

μικῇ ματαιότητι, ἀλλ' ἐνατενίζειν τῷ κάλλει τῆς δόξης σου διὰ παντὸς καταξίωσον. Ἐκφώνησις· Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν... Ὁ λαός· Ἀμήν. Ὁ ἱερεὺς τὴν εὐχήν· Χριστὸς ἀληθινὸς ὁ Θεός.

л. 27 об. Εὐχαὶ ἑωθιναί.

8 молитвъ, что у Гоара p. 39—41, девятая: Εὐχὴ ἀντιφώνου, ἤγουν τοῦ πεντηκοστοῦ· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὴν διὰ μετανοίας ἄφεσιν... p. 42, десятая Εὐχὴ τῶν αἴνων· Ὁ Θεὸς ὁ Θεὸς ἡμῶν, ὁ τὰς νοεράς... p. 42, одинадцатая Εὐχὴ κατηχουμένων τῆς ἀπολύσεως· Εὐλόγησον καὶ νῦν, Κύριε, τοὺς δούλους σου τοὺς κατηχουμένους... p. 45, двѣнадцатая Κύριε, Κύριε, σή ἐστιν ἡ ἡμέρα καὶ σή ἐστιν ἡ νύξ... p. 45. Εὐχὴ ἤγουν ἀπόλυσις· Αἰνοῦμεν καὶ ὑμνοῦμεν καὶ εὐλογοῦμεν... p. 42. Κύριε, ὁ ἐν ὑψηλοῖς κατοικῶν... p. 44.

л. 32. Εὐχὴ εἰς μετανοοῦντα.

Κύριε Ἰησοῦ Χριστὲ Υἱὲ τοῦ Θεοῦ τοῦ ζῶντος, ἀμνὲ καὶ ποιμὴν ἡμῶν, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου... p. 536.

л. 33. Εὐχὴ εἰς τὸ κατασφραγίσαι παιδίον, λαμβάνον ὄνομα τῇ η'. ἡμέρᾳ τῆς γεννήσεως αὐτοῦ. См. выше стр. 25.

л. 33 об. Εὐχὴ ἐν τῷ μέλλειν εἰσέρχεσθαι παιδίον εἰς τὸν ναὸν μ'. ἡμέρας.

Τοῦ Κυρίου δεηθῶμεν. Ὁ ἱερεὺς τὴν εὐχήν· Ὁ Θεὸς καὶ Πατὴρ ὁ παντοκράτωρ, ὁ διὰ τοῦ μεγαλοφωνοτάτου τῶν προφητῶν Ἠσαΐου προκαταγγείλας ἡμῖν Goar. p. 268. Εἰρήνη πᾶσι. Τὰς κεφαλάς. Ὁ ἱερεὺς ἐπεύχεται, λέγων· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν τεσσαράκοντα ἡμέραις κατὰ τὸν νόμον. Прилож. къ Богослуж. въ русск. церкв. въ XVI в. ч. I, стр. 13. Εἶτα ἐπαίρει τὸ παιδίον ἡ μήτηρ ἐκ τῆς μάμμης καὶ ἐπιδίδει τῷ ἱερεῖ, καί, λαβὼν αὐτὸ ὁ ἱερεὺς εἰσάγει ἐν τῷ θυσιαστηρίῳ, λέγων· Νῦν ἀπολύεις... Καὶ τίθησι τὴν κεφαλὴν τοῦ παιδίου ὁ ἱερεὺς εἰς τὰς τετραγωνίας τῆς ἁγίας τραπέζης, λέγων· Εἰς τὸ ὄνομα τοῦ Πατρός. Ὁ λαός· Ἀμήν. Καὶ τοῦ Υἱοῦ. Ὁ λαός· Ἀμήν. Καὶ τοῦ ἁγίου Πνεύματος. Ἀμήν. Νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Καὶ εἶθ' οὕτως ἀποτίθεται αὐτὸ ἔμπροσθεν εἰς τὰ ἅγια θυρία, καὶ ποιεῖ γ'. μετανοίας. Ἐὰν δὲ[1])... λαμβάνει αὐτὸ ὁ ἱερεὺς (λέγων) τὴν εὐχήν· Κύριε ὁ Θεὸς ἡμῶν, ἡ πηγὴ τῶν εὐλογιῶν καὶ φυλάσσων τὰ νήπια... Goar. p. 265.

л. 34 об. Εὐχή, λεγομένη εἰς τίκτουσαν, ὅταν μέλλῃ εἰσελθεῖν εἰς τὴν ἐκκλησίαν μετὰ τὰς μ'. ἡμέρας.

Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν. Ὁ ἱερεὺς τὴν εὐχήν· Δέσποτα

---

[1]) Это мѣсто вытерто.

παντοκράτωρ, ὁ Πατὴρ τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ πᾶσαν φύσιν λογικήν τε καὶ ἄλογον... Goar. p. 267. Εὐχὴ ἄλλη. Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν. Ὁ ἱερεὺς τὴν εὐχήν· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ παραγενόμενος ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων... Goar. p. 267.

л. 35. Εὐχὴ εἰς τὸ ποιῆσαι κατηχούμενον.

Начало см. Прилож. къ Богослуж. въ русск. ц. въ XVI в. ч. I, стр, 9—11. На возгласъ священника: Προσκύνησον αὐτῷ. Καὶ ἀποκρίνεται· Προσκυνῶ Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα. Ектенья состоитъ изъ слѣдующихъ прошеній: Ἐν εἰρήνῃ... Ὑπὲρ τοῦ καταφοιτῆσαι τοῖς ὕδασι τούτοις... Ὑπὲρ τοῦ πᾶσαν ἐν αὐτοῖς τοῦ ψυχοκτόνου πολεμίου δύναμιν βυθισθῆναι... Ὑπὲρ τοῦ πάσας ἐν αὐτοῖς καταδῦναι... Ὑπὲρ τοῦ τέκνον φωτός... Ὑπὲρ τοῦ καταπέμψαι Κύριον τὸν Θεὸν ἐπ' αὐτῷ τὴν χάριν τῆς ἀπολυτρώσεως τὴν εὐλογίαν τοῦ Ἰορδάνου... Ὑπὲρ τοῦ τέκνα φωτὸς ἀναδειχθῆναι τοὺς ἐν αὐτῷ βαπτιζομένους... Ὑπὲρ τοῦ θείαν αὐτούς... Ὑπὲρ τοῦ σκεύη γενέσθαι... Ὑπὲρ τοῦ περιπατῆσαι αὐτοὺς ἀξίους τῆς κλήσεως.. Ὑπὲρ τοῦ εὐλογηθῆναι τὸ ὕδωρ τοῦτο, ὡς τὰ ῥεῖθρα τοῦ Ἰορδάνου... Ὑπὲρ τοῦ ἀσφαλῆ καὶ βεβαίαν... Ὑπὲρ τοῦ καταπλουτῆσαι αὐτούς... Ὑπὲρ τοῦ ἀκατακρίτως αὐτοὺς μεταλαμβάνειν.. Ὑπὲρ τοῦ κληρονόμους αὐτοὺς ἀναδειχθῆναι... Ὑπὲρ τοῦ ῥυσθῆναι... Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας... Conf. Goar. p. 245. Дальнѣйшій порядокъ, какъ въ Прилож. къ Богосл. въ русск. ц. въ XVI в. ч. I, стр. 13. Καὶ μετὰ τὸ βαπτισθῆναι πάντας, ἀπέρχεται ὁ ἱερεὺς ψάλλων· Μακάριοι ὧν... καὶ λέγει σὺν τῷ λαῷ τὸν στίχον τοῦτον γ'. καὶ δοξάζει καὶ λέγει· Εὐλογητὸς Χριστὸς ὁ Θεός... Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν. Ὁ ἱερεύς· Εὐλογητὸς εἶ, Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ. Goar. p. 290. Καὶ εὐθέως· Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε... Καὶ λέγει αὐτὸ γ'. Εὐχὴ εἰς τὸ μυρίσαι παιδίον· Παντοδύναμε παντοκράτωρ ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ ἀναγεννῆσαι εὐδοκήσας τοὺς παῖδας καὶ τὰς παιδίσκας σου δι' ὕδατος καὶ Πνεύματος ἁγίου, ὁ καὶ δι' αὐτοῦ παρασχὼν ἄφεσιν ἁμαρτιῶν· Αὐτὸς Δέσποτα, κατάπεμψον ἐπ' αὐτοὺς τὸ ἅγιον καὶ ἑπταπλάσιόν σου Πνεῦμα, Πνεῦμα σοφίας καὶ συνέσεως, Πνεῦμα βουλῆς καὶ ἰσχύος, Πνεῦμα γνώσεως καὶ εὐσεβείας, Πνεῦμα φόβου Θεοῦ, ἔμπλησον αὐτοὺς τοῦ φοβεροῦ καὶ ἁγίου σου Πνεύματος καὶ σημείωσον ἐπ' αὐτοὺς τὸ σημεῖον τοῦ σταυροῦ σου, εὐσπλαγχνισθεὶς εἰς ζωὴν διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ σοι δόξα, κράτος, τιμὴ καὶ προσκύνησις ἅμα τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι νῦν καὶ ἀεί... Καὶ χρίει ὁ ἱερεὺς τῷ ἁγίῳ μύρῳ τοὺς βαπτισθέντας, ποιεῖ τοῦ σταυροῦ τὸν τύπον

ἐπὶ τοῦ μετώπου, λέγων· Σφραγὶς δωρεᾶς Πνεύματος ἁγίου, καὶ ἐπὶ τοὺς μυκτῆρας λέγων· Χρῖσμα ἀρραβῶνος βασιλείας οὐρανῶν. Καὶ ἐπὶ τὰς ἀκοὰς λέγων· Χρῖσμα μετοχῆς ζωῆς ἀθανάτου, καὶ ἐπὶ τὰ μετάφρενα λέγων· Πλήρωμα δωρεᾶς Πνεύματος ἁγίου καὶ ἔξωθεν τῶν δύο χειρῶν, λέγων· Θώραξ πίστεως καὶ ἀληθείας, καὶ ἐπὶ τοὺς πόδας λέγων· Βάσις θείας ὁδοῦ καὶ χρῖσμα δωρεᾶς Πνεύματος ἁγίου. Μετὰ τὸ μυρῖσαι οὖν τοὺς νεοφωτίστους λέγει· Εὐδόκησον δή, Κύριε ὁ Θεὸς ἡμῶν, καὶ ταύτην τὴν συμπληρωτικὴν τοῦ ἁγίου σου Πνεύματος οἰκονομίαν τελειῶσαι ἐπὶ τοὺς δούλους σου τούτους, τοὺς κατηχηθέντας ἐπὶ τῷ ὀνόματί σου καὶ βαπτισθέντας, ὡς δὲ καθάπερ διὰ τῆς τοῦ... (Здѣсь обрывается чинъ).

л. 44. Молитвы изъ чина на водоосвященіе, но безъ начала.

л. 51. Τῇ κυριακῇ τῆς Πεντηκοστῆς ἑσπέρᾳ εἰς τὴν γονυκλισίαν.

Μετὰ τὸ Φῶς ἱλαρόν, προκείμενον, ἦχος δ'. Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου, Κύριε, καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον... Στίχος· Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου... καὶ εὐθέως τὰς προφητείας, καὶ μετὰ τοῦτο ὁ ἀπόστολος Πράξεων· Ἐν ταῖς ἡμέραις ἐκείναις, ἔκρινεν ὁ Παῦλος... Τέλος· προέπεμπε δὲ αὐτὸν εἰς τὸ πλοῖον. Ἀλληλούια ἦχος πλ. δ'. Τὸ πνεῦμά σου... Εὐαγγέλιον· Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· ἐάν τις ἀγαπᾷ με... Τέλος· ἵνα ὅταν γένηται, πιστεύσητε. Καὶ εὐθὺς τροπάριον, ἦχος γ'. Νῦν εἶ σημεῖον τοῖς πᾶσιν... Ἔτι καὶ ἔτι κλίνοντες τὰ γόνατα ἐν εἰρήνῃ τοῦ... Ὁ ἱερεὺς εὔχεται εἰς ἐπήκοον πάντων τὴν εὐχήν· Ἄχραντε, ἀμίαντε... Εὐλογητὸς εἶ, Κύριε... Goar. p. 597—598. Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας... Ἐκφώνησις· Σὸν γὰρ ἐστίν... Ὁ λαὸς τὰ ἀντίφωνα, καὶ οἱ ψάλται εὐθέως ἄρχονται τὸ προσόμοιον, ἦχος γ'. Νῦν τὸν Παράκλητον... Ἔτι καὶ ἔτι κλίνοντες... Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν... p. 559. Κύριε, Κύριε, ὁ ῥυσάμενος... p. 600. Τῆς παναγίας... Ἐκφώνησις· Εὐδοκίᾳ καὶ ἀγαθότητι τοῦ μονογενοῦς σου. Ὁ λαὸς τὰ ἀντίφωνα, εὐθέως ψάλλουσι τὸ τροπάριον, ἦχος γ'. Νῦν περιβάλλονται κράτος... Ἔτι καὶ ἔτι κλίνοντες... Ἀεννάως βρύουσα ζωτικὴ καὶ φωτιστικὴ πηγή. p. 600. Ὁ Θεὸς ὁ μέγας καὶ αἰώνιος... p. 601. Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας... Ἐκφώνησις· Ὅτι ἅγιος εἶ ὁ Θεός... Ὁ λαὸς τὰ ἀντίφωνα, εὐθὺς Καταξίωσον, Κύριε... Ὁ διάκονος· Πληρώσωμεν τὴν δέησιν... Ὁ ἱερεὺς τὴν εὐχήν, τοῦ διακόνου λέγοντος τὰς αἰτήσεις. Εὐχὴ τῆς ἀπολύσεως· Ὁ Θεὸς ὁ μέγας καὶ ὕψιστος, ὁ μόνος ἔχων ἀθανασίαν... p. 602. Ὅτι ἀγαθός... Εἰρήνη πᾶσι. Τὰς κεφαλὰς ἡμῶν... Ὁ ἱερεὺς εὔχεται· Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ κλίνας τοὺς οὐρανοὺς καὶ καταβάς. p. 603. Ὁ διάκονος· Σοφία. Ὁ ὤν... καὶ τὴν εὐχὴν ὁ ἱερεὺς καὶ ἀπολύει.

л. 59 об. Διακονικὰ ἐπὶ ἀνομβρίας.

Εἴπωμεν πάντες... Κύριε παντοκράτωρ... Ὁ μὴ βουλόμενος... Ὑπὲρ τοῦ ἁγίου οἴκου... Ὑπὲρ τῆς πόλεως... Ὁ συνάγων νεφέλας... Ὁ προσκαλούμενος τὸ ὕδωρ... Βροχὴν ἑκούσιον... Ὁ περιβάλλων τὸν οὐρανόν... Goar. p. 613. См. продолженіе этой ектеньи въ этой рукописи на л. 69. Ὅτι ἀκατάληπτός σου ἡ δόξα, καὶ τὸ ἔλεός σου ἀμέτρητον, καὶ ἡ φιλανθρωπία σου ἄφατος, ναὶ Δέσποτα, κατὰ τὴν σὴν εὐσπλαγχνίαν ἐπίβλεψον ἐφ' ἡμᾶς καὶ ἐπὶ τὸν ἅγιον οἶκον τοῦτον καὶ ποίησον μεθ' ἡμῶν καὶ μετὰ τῶν συνεχομένων ἡμῖν πλούσια τὰ ἐλέη σου, κατὰ τοὺς οἰκτιρμούς σου, καὶ εἰρήνην τὴν σὴν δὸς ἡμῖν, κατὰ τὴν σὴν φιλανθρωπίαν· πάντα γὰρ ἀπέδωκας ἡμῖν. Κύριε ὁ Θεὸς ἡμῶν, κτῖσαι ἡμᾶς, ἵνα ἀξίως τῶν προσταγμάτων πολιτευσάμενοι γενώμεθα κληρονόμοι τῆς αἰωνίου σου ζωῆς, ἧς ἐπηγγείλω πᾶσι τοῖς φοβουμένοις σε καὶ φυλάττουσι... ἀφιστάμενος, ἀλλὰ ῥυόμενος ἐκ διαφόρων πειρασμῶν τοὺς ἐπικαλουμένους σε, ὁ διαχωρίσας τὸ φῶς ἀπὸ τοῦ σκότους καὶ διὰ τῆς σῆς χάριτος περιελὼν ἀφ' ἡμῶν πᾶσαν πονηρίαν καὶ ἐπαγωγὴν διαβολικήν... Ἄφες τὰ κρυπτὰ ἡμῶν ἁμαρτήματα τῶν ἀδήλων... Ὁ Θεὸς μόνος ἀγαθὸς καὶ ἰσχυρὸς ὁ Θεός, ὁ διὰ τῆς οἰκονομίας τοῦ μονογενοῦς σου Υἱοῦ τοῦ ὀφθέντος ἐπὶ τῆς γῆς.. Ὁ οὐρανόθεν καταπέμψας τὸ ἅγιον καὶ πανάγιον καὶ ζωοποιόν σου Πνεῦμα, αὐτός. Здѣсь опять нѣтъ листовъ.

Εὐχὴ ὁμοία· Ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ διὰ τῆς ἐπιφοιτήσεως τοῦ ἁγίου σου Πνεύματος τὸν Ἰορδάνην ποταμὸν ἁγιάσας καὶ θεῖον ἀποτελέσας δοχεῖον...

л. 61. Εὐχὴ συνοδικὴ εἰς τὸ ἀνοῖξαι τὰς ἐκκλησίας, τὰς ὑπὸ αἱρετικῶν λειτουργηθείσας, παρὰ ὀρθοδοξων πρώην ἐνθρονιασθείσας.

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, δυσωποῦμέν σε, τὸν ἵλεων καὶ εὐμενῆ, ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν εἰ καὶ ἐξ αἱρετικῶν ἐγχειρήσεως... Goar. p. 494

л. 61 об. Τάξις, γινομένη εἰς ἀδελφοποίησιν.

Στέκει ὁ ἱερεὺς καὶ ἄγει αὐτοὺς ἔμπροσθεν τοῦ βήματος εἰς τὰ κάγκελλα καὶ προσφέρει τὸ ἅγιον εὐαγγέλιον, καὶ βάλλει τὴν δεξιὰν χεῖρα τοῦ μικροτέρου, ἐπὶ τὰ ἐπάνω τὴν δεξιὰν χεῖρα τοῦ μεγαλητέρου καὶ ἅπτουσι κηρούς, καὶ σφραγίζει αὐτοὺς γ'. καὶ λέγει οὕτως· Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῆς εἰρήνης... Ὑπὲρ τοῦ ἁγίου οἴκου... Ὑπὲρ τῶν δούλων... Ὑπὲρ τοῦ δωρηθῆναι αὐτοῖς πνευματικὴν ἀγάπην... Ὅπως Κύριος ὁ Θεὸς δωρήσηται αὐτοῖς... Здѣсь обрывается чинъ.

2 листа содержать въ себѣ конецъ какой-то молитвы.

л. 63 об. Εὐχὴ ἐπὶ παιδίου διδομένου εἰς τὸ μαθητευθῆναι.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ πάσης κτίσεως δημιουργός, ὁ τῷ σῷ δούλῳ Δαβὶδ χαρισάμενος τῆς πνευματικῆς χάριτος, τοῦ διὰ ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς ὑμνεῖν σε τὸν ἀληθινὸν Θεόν...

л. 64. Εὐχὴ εἰς τεκνοποίησιν.

Ἄγει αὐτοὺς ὁ ἱερεὺς ἐνώπιον τοῦ βήματος καὶ ἅπτει κηρούς, καὶ δίδει τῷ πνευματικῷ πατρί, καὶ τίθησι τὸ εὐαγγέλιον ἐνώπιον αὐτῶν, προσκυνοῦν τὸ ἅγιον εὐαγγέλιον οἱ δύο, καὶ θέτει, ὁ θέλων λαμβάνειν τὴν εὐχήν, τὴν χεῖρα τὴν δεξιὰν ἐπάνω τοῦ ἁγίου εὐαγγελίου καὶ λέγει ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν. Ὁ ἱερεὺς τὴν εὐχήν· Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ δι' εὐσπλαγχνίαν ἐλέους κατελθὼν ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων, καὶ διὰ τὴν πολλήν σου χρηστότητα ταπεινώσας ἑαυτὸν καὶ ὑποδείξας ὁδὸν σωτηρίας τῷ γένει τῶν ἀνθρώπων, καὶ διὰ τὴν ἀγάπην τὴν σὴν ἐκτείνας τὰς ἀχράντους σου χεῖρας ἐπὶ τοῦ τιμίου καὶ ζωοποιοῦ καὶ ἀχράντου σου σταυροῦ· Σὺ Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐπίβλεψον τῇ σῇ ἀγαθότητι ἐπὶ τὸν δοῦλόν σου τὸν σὸν παῖδα, τὸν ἐκ βρέφους ἁγιασθέντα ὑπὸ σοῦ τοῦ ἱερέως, καθὼς ἐπέβλεψας, Κύριε, ἐπὶ τὴν σὴν ἡγιασμένην Μητέρα, παρεστῶτος τοῦ ἠγαπημένου σου μαθητοῦ Ἰωάννου, καὶ εἰπὼν αὐτῇ· γύναι, ἰδοὺ ὁ υἱός σου, εἶτα τῷ μαθητῇ· ἰδοὺ ἡ μήτηρ σου, καὶ ἀπ' ἐκείνης τῆς ὥρας ἐκλήθη αὐτῇ Ἰησοῦς. Αὐτὸς Δέσποτα φιλάνθρωπε, ἄνοιξον τὰ ὦτα τῆς καρδίας τοῦ δούλου σου ὁ δεῖνα καὶ φώτισον τὸν νοῦν καὶ τὴν διάνοιαν αὐτοῦ, ἵνα ἀμέμπτως καὶ σωφρόνως φυλάξῃ καὶ τηρήσῃ τὰ πιστά, ὡς υἱὸς ἀγαπητὸς τῷ πατρὶ αὐτοῦ, καὶ τὰ σὰ προστάγματα, Κύριε, βεβαιῶν, καὶ τῆς θείας σου φωνῆς ἐπηχούμενος ποιήσῃ τοῖς τοῦ ἄρχοντος Νικοδήμου λέγουσι· ἐὰν μήτις γεννηθῇ ἄνωθεν, οὐ μὴ εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. Αὐτὸς καὶ νῦν, φιλάνθρωπε Κύριε, εὐλόγησον καὶ τὸν δοῦλόν σου ὁ δεῖνα, ἀναγεννῶν αὐτὸν τῷ Πνεύματί σου τῷ ἁγίῳ εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ εἰς ζωὴν αἰώνιον. Ὅτι σοῦ ἐστὶν ἡ βασιλεία καὶ ἡ δύναμις... Καὶ μετὰ τὴν εὐχὴν ἐπαίρει αὐτὸν ὁ ἱερεὺς ἔμπροσθεν αὐτοῦ καὶ γυρίζει αὐτὸν γ'. τὴν ἁγίαν τράπεζαν, καὶ μετὰ τοῦτο πίπτει καὶ προσκυνᾷ τὴν ἁγίαν τράπεζαν, καὶ εἶθ' οὕτως ἐκτείνει ὁ πατὴρ ὁ πνευματικὸς τὰς χεῖρας εἰς τὰ ἅγια διάστυλα, καὶ γυρίζει αὐτὸν ὁ ἱερεὺς γ'. ἐκ τῶν μασχαλῶν αὐτοῦ, λέγων αὐτῷ· Τί λαμβάνεις; Ἀπόκρισις· Υἱὸν θετὸν ἀπὸ ἐκκλησίας, γ'. Καὶ εὐθέως παραδίδει αὐτὸν ὁ ἱερεὺς τῷ πνευματικῷ αὐτοῦ πατρί, λέγων· Σήμερον παραλαμβάνεις τὸν πνευματικόν σου υἱόν, διὰ πρεσβειῶν τῆς ὑπεραγίας Θεοτόκου, τῶν τιμίων ἀρχαγγέλων ἐπουρανίων δυνάμεων, τοῦ ἁγίου Ἰωάννου τοῦ προφήτου Προδρόμου καὶ βαπτιστοῦ, τῶν ἁγίων ἐνδόξων

πανευφήμων ἀποστόλων καὶ πάντων αὐτοῦ τῶν ἁγίων, καὶ εἶθ' οὕτως βάζει αὐτὸν εἰς τὸν κόλπον τοῦ πνευματικοῦ πατρὸς αὐτοῦ καὶ σκεπάζει αὐτὸν μετὰ κολοβίου παλαιοῦ, ἂν δὲ ἐστὶ γυνὴ μετὰ μακκάβη (sic) αὐτοῦ, καὶ εἶθ' οὕτως ὁ ἱερεύς, ἐκφώνησις· Ὅτι σὺ εἶ ὁ εὐλογῶν καὶ ἁγιάζων... Διὰ ῥήσεων ἐκβάλλει αὐτὸν ἐντεῦθεν καὶ πίπτει εἰς τοὺς πόδας αὐτοῦ γ'. ὁ υἱός, καὶ ἀσπάζεται αὐτὸν ὁ πατὴρ καὶ ἀπέρχεται ἐν εἰρήνῃ, δοξάζοντες Πατέρα Υἱὸν καὶ Πνεῦμα ἁγίον εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Два листа вставочные.

л. 67. Ἀκολουθία, γινομένη πρὸς μέλλοντα ἐγκλείεσθαι εἰς ἐγκλείστρας.

Μετὰ τὸ τέλος ἑωθινὴν θείαν λειτουργίαν, ἅπτοντες κηρούς, ἀπερχόμεθα εἰς τὴν ἐγκλείστραν, ἐπακολουθοῦντος καὶ τοῦ μέλλοντος ἐγκλείεσθαι, ψάλλοντες τροπάρια, ἦχος βαρύς· Ὡς ἄσωτος υἱὸς ἦλθον κἀγὼ οἰκτίρμων δέξαι με... Στίχος· Ἐλέησόν με, Κύριε... Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου... Δόξα καὶ νῦν, θεοτοκίον· Ῥῦσαι ἡμᾶς ἐκ τῶν ἀναγκῶν... Ὁ διάκονος· Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τοῦ ἀδελφοῦ ἡμῶν καὶ παρὰ τοῦ Θεοῦ σκέπης καὶ βοηθείας αὐτοῦ καὶ σωτηρίας τῆς ψυχῆς αὐτοῦ τοῦ... Ὑπὲρ τοῦ στηριχθῆναι αὐτὸν ἕως τέλους ἐν τῷ φόβῳ τοῦ Κυρίου καὶ ἐνάρετον ἀναδειχθῆναι... Ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτὸν πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον τοῦ... Ὑπὲρ τοῦ ῥυσθῆναι αὐτόν... Ὁ ἱερεὺς τὴν εὐχήν, ὅταν εἰσέρχεται εἰς τὴν ἐγκλείστραν· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ χάριτι τοῦ παναγίου σου Πνεύματος ἀπὸ γενεῶν ἀρχαίων ἐκλεξάμενος ἄνδρας ὁσίους καὶ γυναῖκας, οὓς προέγνως καὶ προώρισας, ἐπ' ἐσχάτων δὲ τῶν χρόνων διὰ τῆς ἐνανθρωπήσεως τοῦ μονογενοῦς σου Υἱοῦ τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, σφραγίσας ἡμᾶς ἑαυτῷ λαὸν περιούσιον καὶ διαφόροις ἀρεταῖς κατακοσμήσας· πᾶν γὰρ δώρημα ἀγαθὸν ἐκ σοῦ καταπέμπεται τοῦ Πατρὸς τῶν οἰκτιρμῶν. Αὐτὸς Δέσποτα, καὶ τοῖς τὸν μονήρη βίον ποθοῦσι προστάξας ἀπαρνήσασθαι ἑαυτοὺς καὶ σοὶ τῷ μόνῳ τῷ αἰωνίῳ Θεῷ κολλᾶσθαι ἀνεχομένους· Αὐτὸς ἐν τῇ δόξῃ σου ἐπαγγειλάμενος αὐτοῖς τὰ αἰώνια ἀγαθά, ὅθεν καὶ ὁ παρὼν δοῦλός σου ἀποταξάμενος ταῖς τοῦ κόσμου ἐλπίσιν, καὶ πιστεύσας ταῖς ἀγαθαῖς σου ἐπαγγελίαις, προσέρχεται τῇ σῇ ἀγαθότητι δι' ἐμοῦ τοῦ ἁμαρτωλοῦ καὶ ἀχρείου δούλου σου, τὸν σταυρὸν καὶ τὴν νέκρωσιν τοῦ Χριστοῦ σου ἑαυτῷ περιφέρων, διό, Δέσποτα φιλάνθρωπε, δεόμεθα καὶ παρακαλοῦμέν σε συνεργῆσαι ἡμῖν ἀοράτως ἐπὶ τοῖς ὑφ' ἡμῶν ἐπ' αὐτῷ τελουμένοις ἐπὶ τῇ ἱερᾷ ταύτῃ ἐγκλείστρᾳ πρὸς περισσοτέραν ἀσφάλειαν, εἰσάγαγε δὲ αὐτὸν εἰς τὴν πνευματικήν σου αὐλὴν τοῦ ἀγωνίσασθαι συνεισελθεῖν μετὰ τῶν πέντε φρονίμων παρθένων εἰς τὸν νυμφῶνα τῆς βα-

σιλείας σου. Ὅτι πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν αἴτημα τῶν φοβουμένων σε Αὐτὸς ἐκπληροῖς εἰς σωτηρίαν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας... Εἰρήνη πᾶσι. Τὰς κεφαλάς. Ὁ ἱερεὺς τὴν εὐχήν, εὔχεται λέγων· Ὁ Θεός, ὁ ἐν ἁγίοις ἀναπαυόμενος, ὁ σεμνύνας τὴν ἐκκλησίαν σου τῷ μοναδικῷ κόσμῳ καὶ παρασχόμενος αὐτῷ μίμησιν ἀγγελικῆς καταστάσεως διὰ σωφροσύνης καὶ ἐγκρατείας καὶ τῆς σῆς διὰ παντὸς δοξολογίας καὶ τῆς σῆς μεγαλειότητος. Αὐτὸς Δέσποτα πανάγιε, παντοκράτωρ, εἰσάγαγε τὸν δοῦλόν σου εἰς τὴν πνευματικήν σου αὐλήν, καὶ συγκαταρίθμησον αὐτὸν εἰς τὸ λογικόν σου ποίμνιον, κάθαρον τὸ φρόνημα αὐτοῦ ἀπὸ σαρκικῶν ἐπιθυμιῶν καὶ τῆς κενῆς ἀπάτης τοῦ βίου, καὶ χάρισαι αὐτῷ καὶ ἡμῖν τοῖς δούλοις σου διηνεκῶς πατεῖν ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ... Ἐκφώνησις· Ὅτι σοῦ ἐστὶν ἡ βασιλεία... Εὐχὴ ἑτέρα. Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τῶν ἀγαθῶν χορηγὸς καὶ τῆς ἐναρέτου πολιτείας γεωργός, φύλαξον. См. выше стр. 32, εἰς τὸν οὐράνιον νυμφῶνα ἐν σοὶ τῷ Κυρίῳ καὶ Θεῷ ἡμῶν Ἰησοῦ Χριστῷ ἅμα τῷ ἀνάρχῳ σου Πατρὶ σὺν τῷ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας...

л. 68. Εὐχὴ ἐπὶ τῶν ἀπὸ ἔχθρας εἰς ἀγάπην μετιόντων.

Λέγει τὴν εὐχὴν πρὸς αὐτούς· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τῆς ἀγάπης φυτουργὸς καὶ τῆς εἰρήνης γεωργός, καὶ τῆς ὁμονοίας Δοτήρ, χάρισαι τοῖς δούλοις σου τούτοις, τοῖς ἐν διαστάσει γενομένοις, τὴν ἀγάπην, τὸ πλήρωμα τοῦ νόμου, διάῤῥηξον αὐτῶν τὰς πολυπλόκους τῶν ἁμαρτημάτων σειράς, καὶ μὴ παρίδῃς αὐτοὺς ἐμπαλαιωθῆναι τοῖς διαβολικοῖς τῆς ἔχθρας ἁμαρτήμασιν, ἀλλ' ἐνδυνάμωσον αὐτοὺς ἐν ἀγαθῇ πολιτείᾳ περιπτυσσομένους ἀλλήλους ἐν ἀγάπῃ, ὅπως τοῦ λοιποῦ κατὰ τῆς δυναστείας τοῦ ἐναντίου ἀνδρεισάμενοι, δευτέροις παλαίσμασι τὴν ἑαυτῶν κατάραν ἀνακαλέσωνται, καὶ δώρησαι αὐτοῖς τὰ τῆς εἰρήνης φρονεῖν ἐν ἀλλήλοις κατὰ Χριστὸν Ἰησοῦν, ἵνα ὁμοθυμαδὸν ἐν ἑνὶ στόματι δοξάζωσί σε τὸν πατέρα τοῦ ἀληθινοῦ φωτός· καὶ δὸς αὐτοῖς προσλαμβάνεσθαι ἀλλήλους ἐν ἀγάπῃ, καθὼς καὶ ὁ μονογενής σου Υἱὸς προσελάβετο ἡμᾶς, χαριζόμενος αὐτοῖς διὰ τῆς πρὸς τὸν Χριστὸν ἀγάπης δουλεύειν ἀλλήλοις, ὅπως πλεονάσῃ ἐπ' αὐτοὺς ἡ διὰ της σῆς ἀγάπης ἐνεργουμένη χάρις, ἵνα καὶ αὐτοὶ ἀναπληρώσωσι τὸν νόμον τοῦ Χριστοῦ σου, μεθ' οὗ εὐλογητὸς εἶ καὶ δεδοξασμένος σὺν τῷ ἀνάρχῳ σου Πατρί.

л. 69. Продолженіе ектеньи о бездождіи. Μέθυσον τοὺς αὔλακας τῆς γῆς καὶ πλήθυνον τὰ γεννήματα αὐτῆς... Ὁ ἀνατέλλων τὸν ἥλιον ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς καὶ βρέχων ἐπὶ δικαίους καὶ ἀδίκους, τελεσφόρησον τοὺς καρποὺς τῆς γῆς, εὔσπλαγχνε ὁ Θεός, δεόμεθα. Ὡς ὀφθαλμοὶ δού-

λων εἰς χεῖρας τῶν κυρίων αὐτῶν, οὕτως οἱ ὀφθαλμοὶ ἡμῶν πρὸς σέ, ὁ Θεός, ὅπως οἰκτειρήσῃς ἡμᾶς, δεόμεθα. Ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ τὰ ταπεινὰ ἐφορῶν ἐπίβλεψον ἐπὶ τὴν ταπείνωσιν τοῦ λαοῦ σου, φιλάνθρωπε, δεόμεθα. Ὁ ἀναβαλλόμενος φῶς, ὡς ἱμάτιον, μνήσθητι, ὅτι χοῦς ἐσμέν, καὶ οἰκτείρησον ἡμᾶς δεόμεθα. Μὴ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν, Δέσποτα· ἐὰν γὰρ ἀνομίας παρατηρήσῃς, Κύριε, Κύριε, τίς ὑποστήσεται. Ταχὺ προκαταλαβέτωσαν ἡμᾶς οἱ οἰκτιρμοί σου, Κύριε, καὶ ἐπίσκεψαι τὴν γῆν ἐν ὕδασι δεόμεθα. Εἰσάκουσον ἡμῶν, Κύριε, ὅτι χρηστὸν τὸ ἔλεός σου καὶ πίανον τὴν γῆν τῇ εὐλογίᾳ σου δεόμεθα. Ὑπὲρ τοῦ ῥυσθῆναι τὴν πόλιν ἡμῶν ταύτην καὶ πᾶσαν... Καὶ ὑπὲρ πάντων τῶν χρηζόντων τῆς παρά σου, Κύριε, βοηθείας καὶ ἀντιλήψεως... Καὶ ὑπὲρ τοῦ περιεστῶτος λαοῦ καὶ ἀπεκδεχομένης... Ἐλέησον ἡμᾶς... Ἔτι δεόμεθα εἰσακοῦσαι... Καὶ ὑπὲρ τοῦ ἀποστρέψαι πᾶσαν βουλήν.

л. 69. Εὐχὴ ἐπὶ ἀνομβρίας, ἣν ποιεῖ ὁ ἱερεύς, τοῦ λαοῦ κράζοντος. Goar. p. 612—613. Двѣ первыя.

л. 70 об. Εὐχὴ ἐπὶ μιαροφαγησάντων.

л. 71. Εὐχὴ ἐπὶ παντὸς εἴδους μιανθέντος ὑπὸ ἀκαθάρτου ἢ θηρίου, ἢ οἱουδήποτε ἀτόπου πράγματος ἐμπίπτοντος ἐν φρέατι, ἢ ἐν λάκκῳ, ἢ ἐν σκεύει τινί. Χρὴ ῥίπτεσθαι τὸ ἀκάθαρτον καὶ εἶθ' οὕτως ἀντλεῖν κάδους τεσσαράκοντα καὶ θυμιᾶν, καὶ λέγει τὴν συναπτὴν τῶν ἁγίων θεοφανίων, καὶ βάλλει ἁγίασμα τῶν ἁγίων θεοφανίων σταυροειδῶς, καὶ οὕτως τὴν εὐχήν· Ἅγιε Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τῇ σῇ εὐσπλαγχνίᾳ καὶ τῇ ἐπὶ γῆς ἐπιδημίᾳ πᾶσαν ἀκαθαρσίαν τοῦ ἐχθροῦ καταργήσας... Goar. p. 481. Εὐχὴ ἄλλη· Ἐν τῷ ὀνόματί σου, Κύριε ὁ Θεὸς τῆς ἀληθείας, καὶ ἐν τῇ δυνάμει τοῦ Πνεύματός σου τοῦ ἁγίου ἐπορκίζομαι τοῦτο... Εὐχὴ ἄλλη· Πάτερ ἅγιε ἅμα Υἱῷ καὶ ἁγίῳ Πνεύματι ἐπίβλεψον ἐπὶ τὰ ὕδατα ταῦτα εὐμενεῖ ὀφθαλμῷ καὶ ἱλέῳ καὶ γαληνῷ βλέμματι... Goar. p. 479.

л. 72 об. Εὐχὴ εἰς κεκοινωμένους.

Δέσποτα Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ δοὺς ἐξουσίαν καὶ ἐντολὴν τοῖς δούλοις σου τοῖς προφήταις καὶ ἀποστόλοις.

— Εὐχή, γινομένη πρὸς χριστιανούς, ὑπαχθέντας μὲν ἐθνικῇ πλάνῃ, ἐπιστρέψαντας δὲ ἐξ αὐτῆς καὶ τῇ τοῦ Θεοῦ ἐκκλησίᾳ προσδραμόντας.

Κύριε, Κύριε, ὁ τῶν ἁπάντων ποιητὴς καὶ Δεσπότης, ἡ πηγὴ τῆς ἀγαθότητος, ὁ Σωτὴρ πάντων ἀνθρώπων, μάλιστα πιστῶν... pag. 690.

л. 73 об. Εὐχὴ ἐπὶ ὕδατος μεταλαμβανομένου ἐπὶ θεραπείας ἀῤῥώστου καὶ φυλακῆς οἴκου.

Ὁ Θεὸς ὁ μέγας καὶ μεγαλώνυμος, ὁ ποιῶν θαυμάσια μεγάλα μόνος ἔνδοξά τε καὶ ἀνεξιχνίαστα.

л. 73. Εὐχὴ εἰς τὸ γενέσθαι κατηχούμενον πρὸς ὥραν.

Ἐμφυσᾷ αὐτῷ ὁ ἱερεὺς γ'. καὶ σφραγίζει γ'. λέγει τὴν εὐχήν· Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν, ὁ κτίστης καὶ δημιουργὸς τῶν ἁπάντων, ὁ πλάσας τὸν ἄνθρωπον κατ' εἰκόνα καὶ ὁμοίωσιν.

Εὐχὴ ἐπὶ ἐθνικοῦ λαμβάνοντος ὄνομα.

Σοὶ τῷ Υἱῷ καὶ δημιουργῷ πάσης κτίσεως, τῷ τὰ πάντα συστησαμένῳ τῷ λόγῳ σου, προσάγωμεν τὸν ἄνθρωπον τοῦτον ἐπὶ τὸ σὲ γινώσκειν καὶ τὸ ὄνομά σου ἐπικαλεῖσθαι τὸ ἅγιον καὶ τοῦ μονογενοῦς σου Υἱοῦ, Κυρίου δὲ ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τοῦ παναγίου σου Πνεύματος, λύτρωσαι τὸν δοῦλόν σου τοῦτον ἀπὸ πάσης ἀκαθαρσίας, ἀπὸ πάσης διαβολικῆς πλάνης, ἀπὸ πάσης αἱρετικῆς κακονοίας, καὶ ἀπέργασον αὐτὸν σκεῦος ἐκλεκτὸν τοῦ εἶναι δοῦλόν σου κεκλημένον, ἀπὸ τῆς σήμερον ἡμέρας χριστιανόν γνωριζόμενον, σὴν σφραγίδα φοροῦντα παρὰ σοί, κατευθυνόμενον εἰς πᾶν ἔργον ἀγαθὸν διὰ τῆς χάριτος τοῦ Χριστοῦ σου τοῦ ἀγαθοῦ Θεοῦ ἡμῶν, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι νῦν καὶ ἀεί.

л. 74 об. Εὐχὴ ἐπὶ τῶν ἐν βρώμασι σκανδαλισθέντων.

л. 75. Εὐχὴ εἰς τὸ φυτεῦσαι ἀμπελῶνα.

л. 75 об. Εὐχὴ εἰς καρπὸν νέον.

— Εὐχὴ ἐπὶ θεμελίου οἴκου νέου.

л. 76. Εὐχὴ ἐπὶ οἰκείας περιεργασμένης, ἢ ἄλλως πως ὑπὸ πνευμάτων ἀκαθάρτων ὀχλουμένης.

Κύριε ὁ Θεὸς τῆς σωτηρίας ἡμῶν, ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, ὁ τοῖς χερουβὶμ ἐποχούμενος καὶ τῶν σεραφὶμ ἡνίοχος.

л. 77 об. Στιχηρὰ τοῦ ἁγιασμοῦ κατὰ ἀλφάβητον, что у Гоара p. 358—359, но безъ послѣднихъ стихиръ, начиная съ „И нынѣ". Καὶ εὐθὺς λέγει· Τῆς εὐσπλαγχνίας τὴν πύλην... Νῦν ἐπέστη ὁ καιρὸς и др. Ектенья съ двумя прошеніями о водѣ и молитва: Κύριε ὁ Θεὸς ἡμῶν, ὁ μέγας τῇ βουλῇ καὶ θαυμαστὸς τοῖς ἔργοις, ὁ πάσης φαινομένης καὶ νοουμένης κτίσεως δημιουργός... pag. 361.

л. 81. Εὐχὴ ἐπὶ θεμελίου ἐκκλησίας.

л. 81 об. Εὐχὴ εἰς εὐλογίαν οἴκου.

— Εὐχὴ ἐπὶ ἀποδημούντων.

л. 82. Εὐχὴ εἰς τὸ δοῦναι βάϊα τῇ κυριακῇ πρὸ τοῦ Πάσχα.

л. 82 об. Εὐχὴ ἑτέρα.

Συνάπτει καὶ αὐτήν· Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ διὰ τῆς κιβωτοῦ τὸν τύπον τῆς ἐκκλησίας ὑποδείξας. p. 590.

— Εὐχὴ εἰς τὸ εὐλογῆσαι κρέας εἰς τὸ Πάσχα. Молитва неокончена. Далѣе снова вставлены 2 листа.

л. 84 об. Εὐχὴ ἐπὶ προσφερόντων ἀπαρχάς.

л. 86. Εὐχὴ τοῦ ἁγίου Τρύφωνος εἰς ἄμπελον. Ἀναγινώσκεται δὲ τῇ ἁγίᾳ καὶ μεγάλῃ ε'. καὶ τῇ ἁγίᾳ καὶ μεγάλῃ κυριακῇ, καὶ ὅταν βλαβῇ καρπός, ψάλλων τὸν κανόνα τοῦ ἁγίου Τρύφωνος καὶ λαμβάνων ἔλαιον ἐκ τῆς κανδήλας αὐτοῦ ἀλείφει τὰ κλάδια. См. выше стр. 119—121.

Два листа снова вставка.

л. 89. Ἀκολουθία, γινομένη εἰς τὸ μέγα καὶ ἀγγελικὸν σχῆμα.

Начало чина до апостола, что въ ркп. XIV в. Ватоп.-Аѳон. библ. № 133 съ тою разницею, что постриженіе происходитъ въ алтарѣ. Чтеній изъ апостола и евангелія не достаетъ. Конецъ изложенъ съ незначительными измѣненіями. Αὕτη ἡ τάξις γίνεται κατὰ τὴν πρώτην ἡμέραν, τὰς δὲ ἑτέρας ἓξ ἡμέρας μένει ἐν τῷ διακονικῷ, ξηροφαγῶν καὶ σχολάζει ἀπὸ τῶν ἔργων, προσκαρτερῶν τῇ ἐκκλησίᾳ καὶ τῇ ἑβδόμῃ.

л. 107. Ἀκολουθία εἰς νοσοῦντας.

Ὁ διάκονος· Ἐν εἰρήνῃ... Ὑπὲρ τοῦ ἀσθενοῦντος ἀδελφοῦ ἡμῶν καὶ τῆς παρὰ Θεῷ ἐπισκέψεως... Ὑπὲρ τῆς ὑγείας καὶ σωτηρίας αὐτοῦ. Εὐχή· Πάτερ ἅγιε ψυχῶν καὶ σωμάτων. Goar. p. 338. Εὐχή· Ἀγαθὲ φιλάνθρωπε, εὔσπλαγχνε, πολυέλεε Κύριε... См. выше стр. 197, прим. Εὐχή· Δέσποτα, Δέσποτα τῶν ἁπάντων, φιλόψυχε, φιλόδουλε, Σῶτερ, παντοκράτωρ, ἰατρὲ ψυχῶν καὶ σωμάτων. См. выше стр. 198. Κύριε ὁ Θεὸς τῶν δυνάμεων, ἐπίσκεψαι τὸν ἀδελφὸν ἡμῶν ἐν ἐλέει καὶ οἰκτιρμοῖς καὶ χάρισαι αὐτῷ τὴν παροῦσαν ὑγείαν καὶ ὁλοκληρίαν, ῥυόμενος αὐτὸν ἀπὸ πάσης νόσου καὶ μαλακίας ψυχικῆς καὶ σωματικῆς, ἀνιστῶν αὐτὸν ἀπὸ κλίνης ὀδύνης, ὁδηγῶν ἐπὶ τὸν ἅγιόν σου ναὸν τῆς προσευχῆς, συνάπτων πάλιν αὐτὸν τῇ ἱερᾷ καὶ λογικῇ σου ποίμνῃ ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ δόξαν καὶ εὐχὴν ἀναπέμπομεν τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι... Сн. выше стр. 45. Εὐχὴ ἄλλη εἰς νοσοῦντας· (Два листа вставочные) Βασιλεῦ θεραπευτὰ καμνόντων, Ἰησοῦ Χριστέ, σὲ δαίμονες τρέμουσι. См. стр. 198. καὶ δεσμεύων τὰ συντρίμματα αὐτῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀχράντῳ σου Πατρὶ καὶ τῷ παναγίῳ... Εὐχὴ ἄλλη εἰς ἀσθενοῦντας· Δέσποτα Κύριε παντοκράτωρ, ἅγιε βασιλεῦ ὁ Θεός, ὁ παιδεύων καὶ μὴ θανατῶν. См. выше стр. 107. Εὐχὴ ἄλλη εἰς ἀσθενοῦντας· Ὁ Θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκός, ὁ Κύριος τῶν κυριευόντων καὶ Θεὸς πάσης παρακλήσεως. См. выше стр. 210. Εὐχὴ ἄλλη εἰς ἀσθενοῦντας·

Ἔτι δεόμεθά σου, Κύριε ὁ Θεὸς ὁ δυνατὸς καὶ ἐλεήμων, ὁ πάντων ἐξουσιαστὴς παρακλήθητι, Δέσποτα, ἐπίβλεψον ἐπὶ τὸν δοῦλόν σου ὁ δεῖνα καὶ ἀνάστησον αὐτὸν ἀπὸ κλίνης ὀδύνης καὶ στρωμνῆς κακώσεως, ὁ τὴν πενθερὰν τοῦ ἁγίου Πέτρου πυρετῷ συνεχομένην ἀναστήσας, ἀνάστησον τὸν δοῦλόν σου ἀπὸ τῆς ἀῤῥωστίας ταύτης καὶ ἀποκατάστησον καὶ τὸν δοῦλόν σου τῇ ἁγίᾳ σου ἐκκλησίᾳ, ἵνα πάλιν δοξάζῃ σου τὸ πανάγιον ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος νῦν... Εὐχὴ ἄλλη εἰς νοσοῦντας· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ μόνος ἐξουσίαν ἔχων ἀφιέναι ἁμαρτίας καὶ τὸ ζῆν παρεχόμενος, πολυεύσπλαγχνε Κύριε, ὁ πᾶσαν νόσον καὶ μαλακίαν ἰώμενος, ἴασαι καὶ τὸν δοῦλόν σου ὁ δεῖνα καὶ ἐξέγειρον αὐτὸν ἀπὸ κλίνης ὀδυνηρᾶς, ἀπέλασον ἀπ' αὐτοῦ πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ψυχικήν τε καὶ σωματικήν, ἀποδίωξον ἀπ' αὐτοῦ πᾶσαν πληγήν, πᾶσαν ἀλγηδῶνα, πᾶσαν μάστιγα, πάντα πυρετόν, πᾶν ῥῖγος, πᾶν νόσημα ἀπὸ κεφαλῆς ἕως ποδῶν, ἄφες αὐτῷ ἁμαρτίας καὶ τὰ ἐξ ἁμαρτιῶν ἐπίπονα, καὶ πάντα πειρασμόν, καὶ πᾶσαν ἐπανάστασιν τοῦ ἀντικειμένου διὰ τῆς δυνάμεως τοῦ μονογενοῦς σου Υἱοῦ, Κυρίου δὲ ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ εἴ τι ἐστὶν ἐν αὐτῷ πλημμέλημα ἄνες, ἄφες, συγχώρησον, ὅπως καὶ αὐτὸς ἐξεγερθεὶς δόξαν σοι προσαναπέμπῃ, ἀπαλλαγεὶς τῆς ὀδυνηρᾶς ταύτης νόσου, ἐν ψαλμοῖς καὶ ὕμνοις καὶ εὐχαριστηρίοις ᾠδαῖς Ὅτι σὺ εἶ ὁ ἰατρὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν καὶ σοὶ τὴν δόξαν... Εὐχὴ ἄλλη τῆς Θεοτόκου εἰς ἀσθενοῦντας· Παρθένε Δέσποινα, ἡ τὸν Θεὸν λόγον κατὰ σάρκα κυήσασα. См. выше стр. 211. Προκείμενον, ἦχος δ'. Ἐγὼ εἶπα, Κύριε, ἐλέησον. Μακάριος ὁ συνιών. Ὁ ἀπόστολος καθολικῆς ἐπιστολῆς Ἰακώβου· Ἀδελφοί, μακαρίζομεν τοὺς ὑπομένοντας... Ἀλληλούια ἦχος πλ. δ'. Ἐπίβλεψον ἐπ' ἐμέ. Ἐκ τοῦ κατὰ Ματθαῖον· Τῷ καιρῷ ἐκείνῳ, εἰσελθόντι τῷ Ἰησοῦ εἰς Καπερναούμ.

л. 112 об. Εὐχὴ ἐπὶ μετανοοῦντος.

Κύριε ὁ Θεὸς τῆς σωτηρίας ἡμῶν, ὁ ἐλεήμων καὶ οἰκτίρμων, ὁ μακρόθυμος καὶ πολυέλεος... Morin. p. 618.

— Εὐχὴ β'. ἐπὶ μετανοούντων.

Δέσποτα Κύριε ὁ Θεός, ὁ καλῶν δικαίους εἰς ἁγιασμὸν καὶ ἁμαρτωλοὺς εἰς τὸ δικαιῶσαι αὐτούς... Ibidem.

л. 113. Προσευχὴ περὶ ἐξομολογήσεως. Λέγει ὁ ἱερεύς· Εὐλογητὸς ὁ Θεός... Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ μέγας θαυμαστός, ὁ φυλάσσων τὴν διαθήκην σου...

л. 117. Ἀφορκισμοὶ τοῦ ἁγίου Βασιλείου ἐπὶ χειμαζομένων ὑπὸ πνευμάτων ἀκαθάρτων. Goar. p. 578—580.

л. 120 об. Προσευχὴ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου.

Τὴν θείαν καὶ ἁγίαν, καὶ μεγάλην, καὶ φοβεράν τε καὶ φρικτὴν καὶ ἄστεκτον ὀνομασίαν, ὡσαύτως καὶ ἐπίκλησιν ποιοῦμαι πρὸς τὴν σὴν ἐπιτίμησιν, διάβολε. pag. 582.

л. 121. Εὐχὴ εἰς τὴν ἀρχὴν τοῦ σπόρου.

— Εὐχὴ ἐπὶ θέρους καὶ ἅλωνος.

л. 121 об. Εὐχὴ ἐπὶ τρύγης ἀμπέλου καὶ εὐλογήσεως οἴνου.

л. 123. Ἀκολουθία, ἔχουσα εὐαγγέλια ὁμοίως καὶ ἀποστόλους τῶν ἐπισήμων ἑορτῶν.

л. 186. Пареміи на вечерни св. Духа въ Пятидесятницу. Ἡσαΐου· Ἐπίβλεψον ἐκ τοῦ οὐρανοῦ, Κύριε, καὶ ἴδε ἐκ τοῦ οἴκου τοῦ ἁγίου... Ἱερεμίου· Τάδε λέγει Κύριος· θαρσεῖτε, τέκνα, βοήσατε πρὸς τὸν Θεὸν καὶ ἐξέλητε ἡμᾶς.. Δανιήλ· Κύριε ὁ Θεὸς ἡμῶν, ὃς ἐξήγαγες τὸν λαόν σου ἐκ γῆς Αἰγύπτου ἐν χειρὶ κραταιᾷ.

л. 190. Антифоны на праздники.

л. 192. Заамвонныя молитвы на праздники Рождества Богородицы, Воздвиженія креста, Рождества Христова, Богоявленія, Срѣтенія, Благовѣщенія, въ великую субботу, на Пасху, на Вознесеніе и въ Пятидесятницу.

Въ началѣ и концѣ рукописи по три пергаменныхъ листа изъ Тріоди.

**XXVI**. № 1039. Литургія апостола Іакова безъ начала, ркп. въ 16 долю листа, 90 листовъ, писана на бомбицинѣ крупною и четкою скорописью XIII в. Чинъ начинается концомъ молитвы, предшествующей чтенію символа вѣры: οὐράνιον ἄρτον, τὴν τροφὴν τοῦ παντὸς κόσμου, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἐξαποστείλας Σωτῆρα καὶ λυτρωτὴν καὶ εὐεργέτην... Болѣе или менѣе подробное изложеніе порядка даннаго чина сдѣлано нами въ книгѣ: „Богослуженіе страстной и пасхальной седмицъ во св. Іерусалимѣ въ IX—X в.“ стр. 272—275, 278—283 въ примѣчаніяхъ. Въ данной рукописи заслуживаютъ особеннаго вниманія надпись: εὐχὴ τοῦ ἁγίου Βασιλείου (л. 16 об.) надъ молитвою: Κύριε ὁ Θεὸς ἡμῶν, ὁ κτίσας ἡμᾶς καὶ ἀγαγὼν εἰς τὴν ζωὴν ταύτην... Swainson pag. 258 и нѣсколько молитвъ въ концѣ чина: Εὐχὴ ἀπολυτική· Ὁ θυσίαν αἰνέσεως καὶ λατρείαν εὐάρεστον τὴν λογικὴν καὶ ἀναίμακτον... pag. 325, неизвѣстная Сваинсону Εὐχὴ ἄλλη· Δέσποτα Χριστὲ ὁ Θεὸς

ἡμῶν, ὁ βασιλεὺς τῶν αἰώνων καὶ δημιουργὸς τῶν ἁπάντων, εὐχαριστοῦμέν σοι ἐπὶ πᾶσαν. См. въ „Богослуж. страстной и пасхальной седмицѣ“ стр. 283, прим. Εὐχή, λεγομένη ἐν τῷ διακονικῷ μετὰ τὴν ἀπόλυσιν· Ἐκ δυνάμεως εἰς δύναμιν πορευόμενοι... pag. 327 и, наконецъ, Εὐχὴ τελευταία· Ηὐλόγηται ὁ Θεός, ὁ εὐλογῶν καὶ ἁγιάζων, καὶ διαφυλάττων, καὶ σκέπων, καὶ εἰρηνεύων ἐν ἀγάπῃ τὴν ζωὴν πάντων ἡμῶν διὰ τῆς μεταλήψεως τῶν ἁγίων αὐτοῦ μυστηρίων. Тамъ же и Swains. pag. 328.

# XIV ВѢКЪ.

**XXVII.** № 964 Εὐχολόγιον, ркп. Синайск. библ. на пергаменѣ въ 16 долю листа, 40 листовъ, писана скорописью XIII—XIV в. Въ этой рукописи содержатся чины монашескаго погребенія. Первый листъ, заключающій въ себѣ описаніе приготовленія мощей усопшаго къ погребенію, совершенно затертъ и неудобенъ для прочтенія. На второмъ листѣ мы находимъ стихи первой статьи 17 каѳизмы, за которою слѣдуютъ вторая и третья статьи. Послѣ ектеньи, тропари: „Святыхъ ликъ обрѣте источникъ жизни“ и др. Ἀνάπαυσον, Σωτὴρ ἡμῶν... Τὸ ξένον τῆς Παρθένου μυστήριον τῷ κόσμῳ... ἦχος α'. Ποία τοῦ βίου τρυφὴ διαμένει λύπης ἀμέτοχος... Ἔργῳ Σωτήρ μου, δεικνύεις, ὅτι σὺ εἶ ἡ πάντων ἀνάστασις... θεοτοκίον· Ἁμαρτωλῶν τὰς δεήσεις πρόσδεχε... ἦχος β'. Οἴμοι, οἷον ἀγῶνα ἔχει ἡ ψυχὴ χωριζομένη... Ὡς ἄνθος μαραίνεται καὶ ὡς ὄναρ παρέρχεται... Καὶ νῦν, Τὴν πᾶσαν ἐλπίδα μου... ἦχος γ'. Πάντα ματαιότης τὰ ἀνθρώπινα... Ἄνθρωποι, τί μάτην ταραττόμεθα, ὁ δρόμος βραχύς... θεοτοκίον· Ἐν γυναιξὶ ἁγία Θεοτόκε Μῆτερ ἀνύμφευτε.. ἦχος δ'. Ποῦ ἔστιν ἡ τοῦ κόσμου προσπάθεια... Μετὰ πνευμάτων δικαίων... Ἡ μόνη ἁγνή... ἦχος πλ. α'. Οὐκ ἔστι τῶν ἐν τῷ βίῳ τερπνῶν οὐδέν, ὃ οὐ παρελεύσεται... Ἐμνήσθην τοῦ προφήτου βοῶντος... Σὲ δυσωποῦμεν, ὡς Θεοῦ Μητέρα εὐλογημένην... ἦχος πλ. β'. Ἀρχή μοι καὶ ὑπόστασις τὸ πλαστουργόν σου γέγονε... Ἐτίμησας εἰκόνι σου τὸ τῶν χειρῶν σου, Σῶτερ, πλαστούργημα... Θεὸν ἐκ σοῦ σαρκωθέντα ἔγνωμεν, Θεοτόκε... ἦχος βαρύς· Κατ' εἰκόνα σὴν καὶ ὁμοίωσιν πλαστουργήσας... Λύει ἅπασαν λύπην ὁ θάνατος μεταδοθεὶς ἐκ τοῦ Ἀδὰμ τὴν φύσιν ἡμῶν... Δόξα καὶ νῦν, Εἰρήνευσον πρεσβείαις τῆς Θεοτόκου τὴν ζωὴν ἡμῶν... ἦχος πλ. δ'. Θρηνῶ καὶ ὀδύρομαι... Goar. p. 428—429. Ῥευστοὶ πῶς γεγόναμεν ἄφθαρτον εἰκόνα φορέσαντες...

Μετὰ τῶν ἁγίων ἀνάπαυσον, Χριστέ... Αὐτὸς μόνος ὑπάρχεις ἀθάνατος... и др. тропари съ припѣвомъ: „Аллилуія“ Goar. p. 457—459. Послѣ тропаря: Συγκαιόμεθα μόνον ἀκούοντες... слѣдуютъ: Ἀνανήψωμεν πάντες ἄνθρωποι... Παναγία Παρθένε ἀνύμφευτε... Τὸν μεταστάντα ἐξ ἡμῶν ἐκ τῶν προσκαίρων... Μετὰ τῶν ἁγίων ἀνάπαυσον, Χριστέ... Καὶ εὐθὺς λέγονται οἱ μακαρισμοὶ ἦχος πλ. β'. Ἐν τῇ βασιλείᾳ σου μνήσθητι и т. д. Ληστὴν τοῦ παραδείσου, Χριστέ, πολίτην ἐπὶ σταυροῦ σοι βοήσαντι... Ὁ ζωῆς κυριεύων καὶ τοῦ θανάτου ἐν ταῖς αὐλαῖς σου... Εἶτα λέγει ὁ ἱερεύς· Πρόσχωμεν. Εἰρήνη πᾶσι. Προκείμενον· Ἡ ψυχὴ αὐτοῦ ἐν ἀγαθοῖς... Στίχος· Πρὸς σὲ Κύριε κεκράξομαι... Ὁ ἀπόστολος, евангеліе. Goar. p. 430. Конецъ перваго евангелія: ἀλλὰ ἀναστήσω αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. β'. εὐαγγέλιον νεκρώσιμον· Ἐκ τοῦ κατὰ Ἰωάννην ἅγιον εὐαγγέλιον· Εἶπεν ὁ Κύριος πρὸς τοὺς πεπιστευκότας πρὸς αὐτὸν Ἰουδαίους· ἐγώ εἰμὶ ὁ ἄρτος τῆς ζωῆς... Конецъ: ἀλλὰ ἀναστήσω αὐτοὺς ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. Ἐλέησον ἡμᾶς и т. д. Ὁ ἱερεύς· Τοῦ Κυρίου δεηθῶμεν. Ὁ λαός· τὸ Κύριε ἐλέησον. Ὁ ἱερεύς· Ὁ Θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκός. Goar. p. 424. Εἶτα ὁ ἱερεύς· Δόξα σοι Χριστὲ ὁ Θεός... Ὁ λαός· Δόξα Πατρί... Ὁ ἱερεὺς τὴν εὐχήν, καὶ μετὰ τὴν εὐχήν, μακαρίζουσι τὸν τεθνεῶτα καὶ προσφέρουσιν αὐτὸν ἐν τῷ τάφῳ, καὶ ἐνθάπτουσιν ἐκεῖ τὸ λείψανον καί, ἀποτιθεμένου τοῦ λειψάνου ἐν τῷ τάφῳ, λαμβάνει ὁ ἱερεὺς τὸ σκάπτον καὶ σφραγίζει τὸν τάφον σταυροειδῶς, λέγων· Σφραγίσαντες τὸν λίθον, ἠσφαλίσαντο τὸν τάφον, μετὰ τῆς κουστωδίας. Λέγει αὐτὸ γ'. Εἶτα ῥύπτει τὸν πηλὸν ὁ ἱερεὺς ἐπάνω τοῦ λειψάνου, ψάλλων καὶ λέγων· Τὸν πηλὸν ὁ κεραμεύς... Λέγει καὶ αὐτὸ γ'. Εἶτα τὸν Ν'. ψαλμὸν γ'. καὶ εὐθὺς μνημονεύει πάλιν, ὡς προείρηται, τὴν εὐχὴν καὶ ἀπολύει.

л. 21. Ἀκολουθία τῆς κηδείας τῆς μοναχικῆς τάξεως.

Εὐλογεῖ ὁ ἱερεὺς καὶ ψάλλουσι τὸ Τρισάγιον σὺν τῷ Πάτερ ἡμῶν, καὶ μνημονεύει ὁ ἱερεύς, εἶτα ἔρχεται ὁ ἄμωμος εἰς ἦχον πλ. α'. καὶ μετὰ τὸν ἄμωμον ψάλλουσι τὰ τροπάρια, ἃ προεγράφησαν εἰς τὴν ἀρχὴν τοῦ ἐξοδιαστικοῦ, εἶτα πάλιν μνημονεύει ὁ ἱερεύς, καὶ ἄρχονται ἦχος πλ. α'. Ἀνάπαυσον, Σωτὴρ ἡμῶν, μετὰ δικαίων.. Δόξα καὶ νῦν, Τὸ ξένον τῆς Παρθένου μυστήριον, καὶ ἀρχόμεθα τὸν Ν'. ψαλμὸν καὶ τὴν λοιπὴν ἀκολουθίαν. Ποία τοῦ βίου τρυφὴ διαμένει λύπης ἀμέτοχος... Ἁμαρτωλῶν τὰς δεήσεις... Στιχηρὰ νεκρώσιμα προσόμοια, ἦχος α'. Πανεύφημοι μάρτυρες. Σοῦ, Σῶτερ, δεόμεθα... Ὑπὲρ τὰ ὁρώμενα τὰ σά... Σταυρῷ σου γηθόμενοι... θεοτοκίον· Χριστὸν ἐκδυσώπησον τὸν σόν... νεκρώσιμον, ἦχος β'. Οἴμοι οἷον ἀγῶνα ἔχει ἡ ψυχὴ χωριζομένη ἐκ τοῦ σώματος... Τὴν πᾶσαν ἐλπίδα μου... Στιχηρὰ προσόμοια, ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου. Ῥώμην τοῦ θα-

νάτου... Ἵνα τοὺς ἀνθρώπουςκοινωνούς... Εὔας τῆς προμήτορος ἁγνή... νεκρώσιμον, ἦχος γ'. Πάντα ματαιότης τὸ ἀνθρώπινον, οὐκ ὑπάρχει... Προσόμοια, ἦχος γ'. Μεγάλη τοῦ σταυροῦ. Δοξάζω τὸν σταυρόν σου τὸν τίμιον... Ὁ μόνος ἐλεήμων καὶ εὔσπλαγχνος... θεοτοκίον· Λαμπάδα νοητὴν σὲ βαστάζουσαν... Τῷ τύπῳ τοῦ σταυροῦ σου, φιλάνθρωπε... ἦχος δ'. νεκρώσιμον· Ποῦ ἔστιν ἡ τοῦ κόσμου προσπάθεια... Προσόμοια, ἦχος δ'. Ἔδωκας σημείωσιν. Ὄντως φοβερώτατον τὸ τοῦ θανάτου μυστήριον... Ὕπνος ἀναδέδεικται... Γένος τὸ ἀνθρώπινον πρὸς ἀφθαρσίαν... Ῥήσεσιν ἑπόμενοι τῶν θεηγόρων, πανάμωμε... νεκρώσιμον, ἦχος πλ. α'. Οὐκ ἔστιν ἐν τῷ βίῳ τερπνὸν οὐδέν, ὃ οὐ παρελεύσεται... Στιχηρὰ ἦχος πλ. α'. Χαίροις... Αἴγλη τοῦ σοῦ προσώπου, Χριστέ... Ψάλλειν παναρμονίῳ φωνῇ... Ὅπου τῶν προφητῶν ὁ χορός... Νόμῳ τῆς ἁμαρτίας ἡμᾶς... νεκρώσιμον, ἦχος πλ. β'. Ἀρχή μοι καὶ ὑπόστασις τὸ πλαστουργόν σου γέγονε πρόσταγμα... Στιχηρά, ἦχος πλ. β'· Ὅλην ἀποθέμενοι. Ἔχων ἀκατάληπτον... Νέκρωσιν ὑπέμεινας ζωοποιὸν ἑκουσίως... Ζώντων κυριεύοντα... Ὤφθης ἐνδιαίτημα θεοπρεπὲς Παναγία... ἦχος βαρὺς νεκρώσιμον· Κατ' εἰκόνα σὴν καὶ ὁμοίωσιν πλαστουργήσας κατ' ἀρχὰς τὸν ἄνθρωπον... Στιχηρὰ προσόμοια, ἦχος βαρύς· Καταφρονήσαντες. Νενεκρωμένος ὡράθης ἐπὶ σταυροῦ... Τῷ ἀκηράτῳ σου κάλλει... Ὡς ἀδαπάνητον ἔχων τῶν δωρεῶν... Νόμου τὸ πλήρωμα τίκτεις... νεκρώσιμον, ἦχος πλ. δ'. Θρηνῶ καὶ ὀδύρομαι... Ἁγνὴ Παρθένε τοῦ Λόγου πύλη... Στιχηρὰ προσόμοια, ἦχος πλ. δ'. Ὢ τοῦ παραδόξου θαύματος. Βασιλικῶς μοι ὑπέγραψας... Ἱεραρχήσας, ὡς ἄνθρωπος... Βάθει σοφίας ἀρρήτου σου... Λόγος ὑπάρχων ὁρατὸς ὁμοφυὴς τῷ Πατρί... θεοτοκίον· Ὡς συλλαβοῦσα τὸν ἄναρχον Λόγον Θεοῦ. Οἱ ἀναβαθμοὶ всѣхъ восьми гласовъ Goar. p. 439—444. Καὶ μνημονεύει ὁ ἱερεὺς καὶ εὐθὺς τὸ κοντάκιον· Μετὰ τῶν ἁγίων ἀνάπαυσον, Χριστέ... Καὶ μετὰ τοῦτο ἀναγινώσκονται οἱ οἶκοι τῶν μοναχῶν, ποίημα τοῦ ταπεινοῦ Ῥωμανοῦ τοῦ ψάλτου· Τοῖς τοῦ βίου τερπνοῖς ἐνατενίζον и др. См. ркп. Iерус. патрiарш. библ. XV в. № 273 и 53. Ко всѣмъ тропарямъ припѣвъ: Ἀλληλούια. Μετὰ τῶν ἁγίων, εἶτα τοὺς μακαρισμοὺς (см. въ первомъ чинѣ), προκείμενον τοῦ ἀποστόλου, ἦχος πλ. β'. Μακαρία ἡ ὁδός... Στίχος· Ἐπίστρεψον, ψυχή μου, εἰς τὴν ἀνάπαυσιν. Ὁ ἀπόστολος πρὸς Κορινθίους· Ἀδελφοί, ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς χοϊκός... Τέλος· χάρις τῷ διδοῦντι ἡμῖν τὸ νῖκος διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἀλληλούια, ἦχος πλ. β'. Μακάριος, ὃν ἐξελέξω... Εὐαγγέλιον· Ἐκ τοῦ κατὰ Ἰωάννην· Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους... Τέλος· ἀλλὰ μεταβαίνει ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν. Καὶ εὐθὺς λέγονται τὰ τοιαῦτα τροπάρια, ἦχος πλ. δ'. Ἀμέτρητος ὑπάρχει τοῖς ἀσώτως βιοῦσιν... Ἐβρόντησεν ἡ σάλπιγξ, ἐξ

ὕπνου νεκροὶ ἐξανίστατε, ζωὴν ποθοῦντες τὴν αἰώνιον, δέξασθε... Ῥυσάμενός με, Λόγε, τῆς ἀπάτης τοῦ βίου, ὡς γέγραπται... Τροπάρια, ἦχος β'. Δεῦτε τελευταῖον ἀσπασμὸν δῶμεν, ἀδελφοί. Στίχος· Ἐν τῷ ἐκλείπειν... Ποῖος χωρισμός, ὦ ἀδελφοί, ποῖος κοπετός... Στίχος· Ἐξέλιπον ἀπὸ τῆς γῆς... Πᾶσα τῶν ματαίων ἡ ἐλπὶς καὶ τῶν ἐπιγείων ἡ δόξα τῆς πλάνης σβέννυται.. Στίχος· Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησε. Μόνος κραταιὸς καὶ δυνατός, μόνος φοβερὸς ἐν ἰσχύει... Ὤμοις τὸν σταυρὸν ἀναλαβών, σὺ ἀνεπιστρόφῳ καρδίᾳ κατηκολούθησας, Κύριε... Σχῆμα μοναστῶν ἀναλαβών, μάκαρ, ἀδιστάκτῳ καρδίᾳ κατηκολούθησας... Εἰς ἡγούμενον· Ποίμνης ἐπιστήμης γεγονώς, πάτερ, λογικῆς ἐπὶ χλόην ταύτην ἀσκήσεως... Δόξα, ἦχος πλ. β'. Ἀδελφοί μου πνευματικοί, μή μου ἐπιλάθεσθε, ὅταν προσεύχεσθε... Καὶ εὐθὺς μνημονεύει ὁ ἱερεύς, ὡς προέγραψε, εἶτα δοξάζει καὶ λέγει τὴν εὐχὴν τοῦ πληρώματος· Χριστὸς ἀληθινός... τῇ πρεσβείᾳ τοῦ ὁσίου καὶ δικαίου Λαζάρου τὴν ψυχὴν τοῦ προαπελθόντος... Καὶ μακαρίζει αὐτὸν πᾶς ὁ λαὸς καὶ κηδεύουν τὸ λείψανον, ὡς προείρηται.

л. 37. Κανὼν ψαλλόμενος εἰς κόλυβα τῶν κοιμηθέντων κοσμικῶν.

Ὠδὴ α'. ἦχος πλ. δ'. Ὑγρὰν διοδεύσας... Θανάτῳ τὸν θάνατον τοῦ Χριστοῦ καὶ πάθεσι πάθος μιμησάμενοι... Νεότητος πταίσματα παρορῶν καὶ τὰς ἁμαρτίας ὑπερβαίνων, Χριστὲ Σῶτερ... Ἧς ἔτυχον δόξης τε καὶ χαρᾶς οἱ τὴν μακαρίαν κεκτημένοι... Συνέλαβες Λόγον τὸν τοῦ Θεοῦ σαρκὶ ἐνωθέντα καθ' ὑπόστασιν...

**XXVIII.** 971 Εὐχολόγιον, ркп. Синайск. библ. въ полулистъ, 306 листовъ, писана крупнымъ почеркомъ XIII—XIV в., со множествомъ виньетокъ и заглавныхъ буквъ. Начала въ рукописи нѣтъ. На послѣднемъ листѣ рукою XIV в. писано: Δέησις τοῦ ἱερέως μοναχοῦ καὶ ἀρχιπαπᾶ τοῦ Σινᾶ ὄρους Ν'.

л. 1. Начинается рукопись съ средины молитвы послѣ „Побѣдную пѣснь" въ чинѣ литургіи Василія Великаго. Въ моментѣ пресуществленія стоятъ слова: Ματαβαλὼν τῷ Πνεύματί σου τῷ ἁγίῳ. На полѣ позднѣйшею рукою указано читать: „Господи, иже пресвятаго". Кромѣ молитвы заамвонной обычной, стоитъ и другая: Δέσποτα Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ καταξιώσας ἡμᾶς..

л. 23. Ἡ θεία λειτουργία τῶν προηγιασμένων.

Чинъ обычный. Разница небольшая, но интересная, заключается въ описаніи чтенія паремій и благословенія свѣчею. Εἶτα τὸ δεύτερον προκείμενον, καὶ ἐξέρχεται ὁ διάκονος μετὰ δύο κηρίων ὀπίσω τοῦ ἄμβωνος, καὶ λέγει· Σοφία. Φῶς Χριστοῦ φαίνει πᾶσι. Πρόσχωμεν.

Καὶ θυμιᾷ τὸν λαόν, καὶ εἰσέρχεται ἔνδον τοῦ βήματος, καὶ λέγει τῷ ἱερεῖ· Εὐλόγησον, δέσποτα, τὸ φῶς. Ὁ ἱερεὺς λέγει· Εὐλογημένος εἶ ὁ φωτίζων καὶ ἁγιάζων. Εἶτα ἀναγινώσκεται ἡ παροιμία, καὶ λέγει τὸ Κατευθυνθήτω. Во время пѣнія „Нынѣ силы небесныя“, ὁ ἱερεὺς καθ' ἑαυτὸν λέγει τὸν πεντηκοστόν. На поляхъ замѣчено другою рукою, но стараго времени, читать во время этой пѣсни молитву: Ὁ Θεὸς ὁ ἐπισκεψάμενος ἡμᾶς ἐν ἐλέει καὶ οἰκτιρμοῖς καὶ χάριτι παραστῆναι τῷ ἁγίῳ θυσιαστηρίῳ σου... и, при чтеніи 50 псалма, кадить св. трапезу и весь алтарь.

л. 40 об. Εὐχὴ εἰς τὴν ἀπόθεσιν τῶν ἄρτων.

Καὶ νῦν δεόμεθά σου, Κύριε ὁ Θεὸς ἡμῶν, μὴ καταισχύνῃς ἡμᾶς, μηδὲ ἀπαλλοτριώσῃς ἡμᾶς τῆς σῆς ἀγαθότητος, ἀλλ' ἔμπλησον ἡμᾶς τῆς σῆς πίστεως καὶ ἐλπίδος καὶ ἀγάπης, ἵνα διὰ παντὸς ὑμνοῦμεν καὶ εὐλογοῦμεν καὶ δοξάζωμεν τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος νῦν καὶ ἀεί..

л. 41. Чинъ святыхъ богоявленій.

Начинается чинъ раньше заамвонной молитвы, пѣніемъ стихиры: „Гласъ Господень“. Послѣ паремій полная великая ектенья съ прибавочными прошеніями: Ὑπὲρ τοῦ εὐλογηθῆναι τὰ ὕδατα ταῦτα... Ὑπὲρ τοῦ εὐλογηθῆναι αὐτά, ὡς τὰ ἰορδάνια... Ὑπὲρ τοῦ δωρηθῆναι αὐτοῖς τὴν χάριν τῆς ἀπολυτρώσεως... Ὑπὲρ τοῦ ἀναδειχθῆναι αὐτὰ πηγὴν ἀφθαρσίας... Ὑπὲρ τῶν ἀντλούντων καὶ ἀρρυομένων εἰς ἁγιασμὸν ψυχῶν καὶ σωμάτων... Ὑπὲρ τοῦ καταφοιτῆσαι τοῖς ὕδασι τούτοις... Ὑπὲρ τοῦ γενέσθαι αὐτὰ ἁγιασμοῦ πηγὴν καὶ παντὸς πάθους... Ὑπὲρ τοῦ ἀναδειχθῆναι τὸ ὕδωρ τοῦτο τῇ δυνάμει καὶ ἐπιφοιτήσει τοῦ παναγίου Πνεύματος δαίμοσιν ὀλέθριον, ταῖς ἐναντίαις δυνάμεσιν ἀπρόσιτον, τοῦ... Ὑπὲρ τοῦ εἰσακοῦσαι Κύριον τὸν Θεὸν φωνῆς τῆς δεήσεως ἡμῶν καὶ ἀναδεῖξαι τὰ ὕδατα ταῦτα ἁγιασμοῦ δῶρον, ἁμαρτημάτων λυτήριον, νοσημάτων ἀλεξιτήριον, τοῦ Κυρίου δηθῶμεν. Ὑπὲρ τοῦ ῥυσθῆναι... Τῆς παναγίας ἀχράντου... Остальной порядокъ обычный. Нѣтъ молитвы Софронія, патріарха іерусалимскаго, но за то прибавлена въ концѣ, послѣ молитвы на главопреклоненіе, молитва: Ὁ Θεός, ὁ Θεὸς ἡμῶν, ὁ τὸ πικρὸν ὕδωρ ἐπὶ Μωϋσέως τῷ λαῷ εἰς γλυκὺ μεταποιήσας... Goar. p. 363.

л. 52 об. Εὐχαὶ τῆς ἁγίας Πεντηκοστῆς, ἤτοι τῆς γονυκλισίας.

л. 83. Εὐχή, λεγομένη εἰς τὸν ὄρθρον τῆς βαϊοφόρου, ὅτε μέλλῃ δοῦναι τὰ βάϊα τῷ λαῷ.

л. 84 об. Εὐχαὶ τοῦ θείου νιπτῆρος τῇ ἁγίᾳ καὶ μεγάλῃ πέμπτῃ.

л. 89. Εὐχὴ τοῦ εὐαγγελίου τοῦ ὄρθρου.

Ἔλλαμψον ἐν ταῖς καρδίαις ἡμῶν. Goar. p. 41.

л. 90. Εὐχὴ ἑτέρα τοῦ εὐαγγελίου.

Ὁ τὸ φῶς σου τὸ ἀληθινὸν ἀνατείλας κατὰ πᾶσαν τὴν οἰκουμένην. См. выше стр. 52.

л. 91. Εὐχὴ ἐπὶ χειροτονίᾳ ἀναγνώστου ἢ ψάλτου. Goar. p. 195.

л. 92. Εὐχὴ ἐπὶ μελλούσης λαμβάνειν σχῆμα μοναστρίας.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὴν παρθενίαν οὕτως ἀγαπήσας Goar. p. 382.

л. 93. Εὐχαὶ εἰς ἀδελφοποίησιν.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὸν ἄνθρωπον κατ' εἰκόνα σὴν καὶ ὁμοίωσιν... pag. 707. Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας... Ὁ ἱερεύς· Σὺ γὰρ εἶ τὸ φῶς τὸ ἀληθινόν... Εἰρήνη πᾶσι. Τὰς κεφαλάς.. Εὐχή· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ πάντα πρὸς σωτηρίαν ἡμῖν χαρισάμενος, ὁ ἐντειλάμενος ἡμῖν ἀγαπᾶν ἀλλήλους... p 707. Τοῦ Κυρίου δεηθῶμεν. Εὐχή· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ τὰ ταπεινὰ ἐφορῶν, ὁ διὰ τὴν σωτηρίαν τοῦ γένους τῶν ἀνθρώπων... p. 708.

л. 96 об. Ἀκολουθία εἰς τεκνοποίησιν.

Ἄγει (αὐ)τοὺς ὁ ἱερεὺς ἐνώπιον τοῦ βήματος καὶ ἅπτει κηρούς, καὶ δίδωσι τῷ πνευματικῷ πατρί, καὶ τίθησι τὸ ἅγιον εὐαγγέλιον ἐνώπιον αὐτῶν, καὶ προσκυνοῦν οἱ δύο, καὶ τίθησι τὴν χεῖρα τὴν δεξιὰν ἐπάνω τοῦ εὐαγγελίου ὁ μέλλων λαμβάνειν τὴν εὐχήν. Τοῦ Κυρίου δεηθῶμεν. Ὁ ἱερεὺς εὔχεται τὴν εὐχὴν ταύτην· Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ διὰ σπλάγχνα ἐλέους κατελθὼν ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων καὶ διὰ τὴν πολλὴν χρηστότητα ταπεινώσας ἑαυτόν. Goar. pag. 562 var. lect. Сн. выше стр. 237.

л. 100. Εὐχὴ εἰς τὸ κατασφραγίσαι παιδίον, λαμβάνον ὄνομα τῇ ὀγδόῃ ἡμέρᾳ τῆς γεννήσεως αὐτοῦ.

Κύριε ὁ Θεὸς ἡμῶν, σοῦ δεόμεθα, καὶ σὲ ἱκετεύομεν. Goar. p. 264.

л. 101. Εὐχὴ ἐπὶ βρέφους τεσσαρακονθημέρου.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν τεσσαράκοντα ἡμέραις τοῦ νόμου εἰς ἱερὸν ἀνελθών... Прилож. къ Богослуж. въ русск. ц. въ XVI в. ч. I стр. 19.

л. 102. Εὐχή, λεγομένη εἰς τίκτουσαν, ὅταν μέλλῃ εἰσελθεῖν εἰς τὴν ἐκκλησίαν μετὰ τὰς μ'. ἡμέρας.

Δέσποτα παντοκράτωρ, ὁ Πατὴρ τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ πᾶσαν φύσιν λογικήν τε καὶ ἄλογον... pag. 267.

л. 103. Τάξις γινομένη, εἰ συμβῇ μιαρόν τι ἢ ἀκάθαρτον ἐμπεσεῖν προσφάτως εἰς ἀγγεῖον οἴνου ἢ ἐλαίου.

Χρὴ τὸ ἐμπεσὸν ἀκάθαρτον... Goar. p. 481 καὶ τότε μεταβάλλεται ὁ οἶνος ἢ τὸ ἔλαιον ἐκ τοῦ μιανθέντος ἀγγείου εἰς τὸ καταπλυθέν, καὶ ἵσταται ὁ ἱερεύς, ποιῶν τὴν εὐχὴν ταύτην· Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ ἐν τῇ κατὰ σάρκα σου σωτηρίῳ οἰκονομίᾳ διαστειλάμενος. Goar. p. 482. Ἀντιλαβοῦ, σῶσον... Εἰρήνη πᾶσι. Τὰς κεφαλάς. Ὁ ἱερεὺς εὔχεται· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ πάντα καλὰ λίαν ποιήσας καὶ οὐδὲν κοινὸν ἐν κόσμῳ διὰ τῶν ἁγίων σου ἀποστόλων ἀποφηνάμενος, εἰμὴ τῶν λογιζομένων τι κοινὸν εἶναι καὶ ἀκάθαρτον Conf. pag. 478. Εἶθ' οὕτως ἐπιβάλλει ἐπάνω τοῦ μεταβληθέντος οἴνου ἢ ἐλαίου ἐκ τοῦ ὕδατος τῶν ἁγίων θεοφανίων, ποιῶν ὁμοίως σταυροὺς τρεῖς, καὶ λαμβάνει πρῶτος ὁ ἱερεὺς καὶ ἀπογεύεται αὐτοῦ παρουσίᾳ πάντων. Εἰ δὲ συμβῇ τὸ ἐμπεσὸν ἀκάθαρτον χρονίσαι ἐν τῷ ἀγγείῳ τοῦ οἴνου ἢ τοῦ ἐλαίου, ὥστε συσσαπῆναι, ἐκχεέσθω ὁ οἶνος ἢ τὸ ἔλαιον, καὶ μηδεὶς ἐξ αὐτοῦ ἀπογευέσθω.

л. 108 об. Εὐχὴ ἐπὶ παντὸς εἴδους μιανθέντος ὑπὸ ἀκαθάρτου ἢ θηρίου ἢ οἱουδήποτε ἀτόπου πράγματος ἐμπεσόντος εἰς φρέαρ, ἢ εἰς λάκκον ἢ εἰς ἄλλον σκεῦος.

Три молитвы см. выше стр. 241.

л. 113. Εὐχὴ εἰς κεκοινωμένον ὕδωρ. См. выше стр. 241.

л. 115. Εὐχαὶ εἰς τὸ ποιῆσαι κατηχούμενον.

Чинъ почти дословно сходенъ съ ркп. Синод. библ. № 279. Прилож. стр. 9—15. Разница незначительная. О патріархѣ здѣсь не говорится. Ектенья излагается нѣсколько отлично: Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῆς εἰρήνης... Ὑπὲρ τοῦ ἁγίου οἴκου... Ὑπὲρ τοῦ ἀρχιεπισκόπου... Ὑπὲρ τῶν εὐσεβεστάτων... Ὑπὲρ τοῦ συμπολεμῆσαι... Ὑπὲρ τῆς πόλεως... Ὑπὲρ εὐκρασίας... Ὑπὲρ πλεόντων... Ὑπὲρ τοῦ καταφοιτῆσαι ἐν τοῖς ὕδασι τούτοις... Ὑπὲρ τοῦ τέκνον φωτὸς ἀναδειχθῆναι... Ὑπὲρ τοῦ περιπατῆσαι αὐτὸν ἀξίως τῆς κλήσεως... Ὑπὲρ τοῦ θείαν αὐτὸν κατὰ τῶν ἀντιπάλων ἐνδύσασθαι δύναμιν ἐλαίῳ... Ὑπὲρ τοῦ σκεῦος αὐτὸν γενέσθαι... Ὑπὲρ τοῦ ἀκατακρίτως αὐτὸν μεταλαμβάνειν τῶν ζωοποιῶν μυστηρίων... Ὑπὲρ τοῦ κοινωνὸν αὐτὸν ἀναδειχθῆναι τῶν ἐπηγγελμένων ἀγαθῶν... Ὑπὲρ τοῦ ῥυσθῆναι... Ὑπὲρ πάντων τῶν χρηζόντων τῆς παρὰ τοῦ Κυρίου βοηθείας... Ἀντιλαβοῦ, σῶσον... О помазаніи елеемъ говорится такъ: καὶ ἔρχεται ὁ βαπτιζόμενος ἐπὶ τὸν ἱερέα, καὶ λαμβάνων ὁ ἱερεὺς ἐκ τοῦ ἁγίου ἐλαίου τῷ δακτύλῳ ποιεῖ σταυροῦ τύπον ἐπὶ τοῦ μετώπου, καὶ τοῦ στήθους καὶ τῶν μεταφρένων τοῦ βαπτιζομένου καὶ λέγει· Χρίεται ὁ δεῖνα... Καὶ τότε χρίεται ὑπὸ τῶν διακόνων ὅλον τὸ σῶμα αὐτοῦ. Καὶ μετὰ τοῦτο βαπτίζεται, λέγοντος τοῦ ἱερέως οὕτως· Βαπτίζεται ὁ δεῖνα... Καὶ μετὰ τὸ βαπτισθῆναι τὸν βαπτιζόμενον, ἄρχε-

ται ὁ ἱερεύς, ψάλλων σὺν τῷ λαῷ οὕτως· Μακάριοι ὧν... Καὶ μετὰ τὸ εἰπεῖν τοῦτο γ'. δοξάζει καὶ εὔχεται ὁ ἱερεύς· Εὐλογητὸς εἶ, Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ἡ πηγὴ τῶν ἀγαθῶν... p. 290. Καὶ μετὰ τὴν εὐχὴν ταύτην, τοῦ ψάλλοντος λέγοντος· Ὅσοι εἰς Χριστόν... χρίεται ὁ ἱερεὺς τῷ ἁγίῳ μύρῳ τοὺς βαπτισθέντας, ποιῶν τὸν τοῦ σταυροῦ τύπον ἐπὶ τοῦ μετώπου καὶ τῶν ὀφθαλμῶν, καὶ τῶν μυκτήρων, καὶ τοῦ στόματος, καὶ τῶν δύο ὤτων, λέγων· Σφραγὶς δωρεᾶς Πνεύματος ἁγίου, ὁ δὲ ψάλτης λέγει· Μακάριοι ὧν ἀφέθησαν... Μετὰ τὸ μυρῶσαι οὖν τοὺς νεοφωτίστους, λέγει ὁ ἱερεὺς τὴν εὐχήν· Εὐδόκησον δή, Κύριε ὁ Θεὸς ἡμῶν, καὶ ταύτην τὴν συμπλήρωτικὴν τοῦ ἁγίου σου Πνεύματος οἰκονομίαν τελειῶσαι... Прилож. стр. 22, прим. 4. Καὶ εἰσέρχεται ὁ ἱερεὺς μετὰ τῶν νεοφωτίστων εἰς τὴν εἴσοδον, καὶ γίνεται ἀκολούθως ἡ θεία λειτουργία, καὶ ἐξέρχονται οἱ βαπτισθέντες καὶ εἰς τὰ ἅγια καὶ μεταλαμβάνουσι τοῦ ἁγίου σώματος καὶ αἵματος, καὶ ἀπέρχονται ἐν εἰρήνῃ.

л. 145 об. Εὐχὴ εἰς τὸ ἀπολοῦσαι τοὺς βαπτισθέντας τῇ η'. ἡμέρᾳ.

Τῇ δὲ ὀγδόῃ ἡμέρᾳ ἔρχονται οἱ βαπτισθέντες καὶ ἅπτουν κηρία, καὶ ἀποφέρει αὐτοὺς ὁ ἱερεὺς ἐν τῷ βαπτιστηρίῳ καὶ εὔχεται. Εὐχή· Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ διὰ τῆς θείας σου κολυμβήθρας τὴν οὐράνιον ἔλλαμψιν... p. 304. Εὐχή· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ λύτρωσιν ἁμαρτιῶν διὰ τοῦ ἁγίου σου βαπτίσματος... p. 303. Εἰρήνη πᾶσι. Τὰς κεφαλάς... Εὐχή· Οἱ ἐνδυσάμενοι τὸν Κύριον καὶ Θεὸν ἡμῶν p. 304. Καὶ μετὰ τοῦτο λαμβάνει ὁ ἱερεὺς ὕδωρ καὶ σφραγίζει αὐτὸ τρίτον, καὶ νίπτει τὰ πρόσωπα αὐτῶν καὶ τὰς χεῖρας, καὶ τοὺς πόδας κάτω ἐν τῷ βαπτίσματι, λέγων· Ἐδικαιώθης, ἡγιάσθης, ἐφωτίσθης, ἀπελούσθης τὰς ἁμαρτίας σου ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἐν τῷ Πνεύματι τοῦ Θεοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Καὶ λύει τὰ σταυρία αὐτῶν καὶ ἀπολύει.

л. 149. Εὐχὴ εἰς τριχοκουρίαν.

Εὐχή· Τοῦ Κυρίου δεηθῶμεν. Ὁ πανάχραντος Σωτήρ, ὁ τῇ παντουργῷ δυνάμει καὶ τῇ συνεκτικωτάτῃ σου προμηθείᾳ παραγαγὼν ἐκ τῶν μὴ ὄντων εἰς τὸ εἶναι τὰ πάντα, ὁ τὸν ἄνθρωπον τιμήσας καὶ τοὺς αὐτῷ τὸ κατ' εἰκόνα σου καὶ καθ' ὁμοίωσιν, ὁ τὴν κατὰ πρόσβασιν ἡμῖν ἡλικίαν διδοὺς καὶ τὴν πρόσοψιν ἡμῶν θριξὶν ὡραΐζων, ὁ τὸν θεράποντά σου Ἀβραὰμ ἀποστείλας κεῖραι τὴν κόμην τοῦ σοῦ ἀρχιερέως Μελχισεδέκ, ὅπως ἅπασαν αὐτὸν ἀπαρχὴν προσδεκτέαν προσενέγκῃ εἰς ναόν σου. Αὐτὸς καὶ τοὺς φαεινοὺς φημὶ ἀποστόλους σου τῷ ἁγιασμῷ σου στηρίξας καὶ δοὺς αὐτοῖς εἰρήνην καὶ χάριν ἀνεκλάλητον. Αὐτὸς καὶ νῦν, Δέσποτα, παράσχου τῷ δούλῳ σου τῷδε ἀντὶ τῆς κουρᾶς τῶν ἐν τῇ κεφαλῇ τριχῶν

ἄσυλον λογισμόν, ἵνα κατὰ τὰς ἐντολάς σου ἐν ἐπιεικείᾳ καὶ σεμνότητι βίου πολιτευσάμενος καταξιωθῇ πρὸς τοῖς ἐπιγείοις σου ἀγαθοῖς καὶ τῆς ἐπουρανίου σου βασιλείας, καὶ τὸν ταύτας πίστει Χριστοῦ καὶ εἰλικρινεῖ σχέσει δεχόμενον δώρησαι εὐλογίαν καὶ ἀγαλλίασιν σωτηρίας κατὰ τὴν εὐλογίαν τοῦ ὁσίου καὶ δικαίου Συμεών, τοῦ δεξαμένου ἐν ἀγκάλαις σε τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐπὶ τῆς ἐνσάρκου σου οἰκονομίας, καὶ τοὺς τεκόντας δὲ γονεῖς ἐπισύναψον μειζόνως μέχρι τέλους ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ καὶ τοὺς συνελθόντας καὶ παρεστῶτας εὐλόγησον εὐλογίᾳ πνευματικῇ, ὅτι σὺ εἶ ἡ σωτηρία πάντων ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι νῦν... Καὶ χείρει σταυροειδῶς τὴν κεφαλήν, λέγων οὕτως· Εἰς τὸ ὄνομα τοῦ Πατρός. Ἀμήν. Καὶ τοῦ Υἱοῦ. Ἀμήν. Καὶ τοῦ ἁγίου Πνεύματος. Ἀμήν. Νῦν καὶ ἀεὶ... Καὶ μετὰ τοῦτο εὔχεται ὁ ἱερεύς· Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τῇ εἰκόνι σου τιμήσας τὸν ἄνθρωπον. p. 306.

л. 152 об. Τάξις, γινομένη πρὸς χριστιανοὺς ὑπαχθέντας μὲν ἐθνικῇ πλάνῃ, ἐπιστρέψαντας δὲ ἐξ αὐτῆς καὶ τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ προσδραμόντας.

Τοῦ Κυρίου δεηθῶμεν. Κύριε, Κύριε, ὁ τῶν ἁπάντων ποιητὴς καὶ Δεσπότης, ἡ πηγὴ τῆς ἀγαθότητος, ὁ Σωτὴρ πάντων τῶν ἀνθρώπων. Goar. p. 690.

л. 155 об. Εὐχὴ ἐπὶ πλοίου, μέλλοντος πλέειν.

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καταξιώσας συμπλεῦσαι τοῖς ἁγίοις σου μαθηταῖς... pag. 684.

л. 156 об. Εὐχὴ ἐπὶ χειμαζομένων ὑπὸ πνευμάτων ἀκαθάρτων.

Ὁ Θεὸς αἰώνιος, ὁ λυτρωσάμενος ἐκ τῆς αἰχμαλωσίας τοῦ διαβόλου. p. 581.

л. 157 об. Εὐχὴ ἐπὶ τελευτήσαντος.

Ὁ Θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκός... p. 424.

л. 158 об. Εὐχὴ ἐπὶ ἱερέως τελευτήσαντος.

Κύριε ὁ Θεὸς ἡμῶν, σοῦ δεόμεθα καὶ σὲ ἱκετεύομεν καὶ παρακαλοῦμεν...

л. 159. Εὐχὴ εἰς τριχοκουρίαν.

Εὐλογητὸς εἶ, Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἀποστείλας τὸν προπάτορα ἡμῶν Ἀβραάμ... См. выше стр. 55.

л. 160 об. Εὐχὴ ἐπὶ κολύβων (εἰς) μνήμην ἁγίων.

Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν. См. выше стр. 35.

л. 161. Εὐχὴ ἐπὶ προσφερόντων ἀπαρχάς.

Δέσποτα Κύριε ὁ Θεός, ὁ τὰ σὰ ἐκ τῶν σῶν προσφέρειν σοὶ κατὰ πρόθεσιν. pag. 522.

л. 162. Ἐπὶ προσφερόντων ἀπαρχάς.

Ὁ πάντα τελεσφορήσας τῷ λόγῳ σου καὶ κελεύσας τῇ γῇ παντοδαποὺς ἐκφύειν καρπούς. pag 524.

л. 163. Εὐχὴ ἐν τῷ μέλλειν κτίζεσθαι σεβάσμιον οἶκον.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐρασθεὶς καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομηθῆναί σοι ἐκκλησίαν. pag. 485.

л. 164. Εὐχὴ ἐπὶ θεμέλιον οἴκου.

Ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ ποιήσας τοὺς οὐρανοὺς ἐν συνέσει καὶ θεμελειώσας τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς. pag. 483.

л. 165. Εὐχὴ (εἰς) εὐλογίαν οἴκου.

Ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, ὁ καταξιώσας ὑπὸ τὴν σκέπην Ζακχαίου εἰσελθεῖν... pag. 484. Εἰρήνη πᾶσι. Τὰς κεφαλάς. Δέσποτα Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ εὐλογήσας τὸν οἶκον Λάβαν ἐπὶ τῇ εἰσόδῳ Ἰακώβ... p. 571.

л. 167. Εὐχὴ συνοδικὴ ἐπὶ λύσεως ἐκκλησίας.

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, δυσωποῦμέν σε τὸν ἵλεων καὶ εὐμενῆ ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν. pag. 494.

л. 167 об. Εὐχὴ ἐὰν σαλευθῇ ἡ ἁγία τράπεζα.

Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς τῶν δυνάμεων, ὅτι τὴν σὴν ἐξέχεας χάριν ἐπὶ τοὺς ἁγίους σου ἀποστόλους... pag. 491.

л. 168 об. Εὐχή, λεγομένη ἐν λιτῇ διὰ φόβον. Πάλιν σου Κύριε τοῦ φιλανθρώπου Δεσπότου. pag. 636.

л. 169 об. Εὐχὴ ἐπὶ ἀνομβρίας, κράζοντος τοῦ λαοῦ.

Κύριε ἐλέησον. Δέσποτα Κύριε ὁ Θεός, ὁ διὰ τὸν πρὸς σὲ ζῆλον ἐπακούσας Ἡλιοῦ τοῦ προφήτου. Goar. p. 613. Εὐχὴ ἑτέρα ἐπὶ ἀνομβρίας· Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ ἀναγαγὼν νεφέλας... Goar. p. 614.

л. 173. Διακονικὰ ἐπὶ ἀνομβρίας. См. выше стр. 237, 240.

л. 176 об. Εὐχὴ ἐν τῷ μέλλειν ἀριστᾶν.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐπουράνιος καὶ ζωοποιὸς ἄρτος... pag. 569.

л. 177. Εὐχὴ μετὰ τοῦ ἀρίστου.

Σοὶ τῷ ἀληθινῷ καὶ φιλανθρώπῳ Θεῷ ἡμεῖς οἱ ἁμαρτωλοί. p. 569.

л. 178. Εὐχὴ μετὰ τὸ ἀριστῆσαι.

Μετὰ τὸ Εὐφράνθητι ἐπὶ τοῖς εἰρηκόσι μοι... Εὐχαριστοῦμέν σε καὶ ἀνυμνοῦμέν σε, Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ Πατὴρ τοῦ Κυρίου καὶ Θεοῦ...

л. 179. Εὐχὴ ἐπὶ ἀποδημούντων.

Ὁ Θεὸς ὁ Θεὸς ἡμῶν, ὁ συνοδεύσας τῷ θεράποντί σου Ἰακώβ. См. выше стр. 33.

л. 179 об. Εὐχὴ ἐπὶ ἀῤῥώστου.

Πάτερ ἅγιε, ἰατρὲ ψυχῶν καὶ σωμάτων. См. выше стр. 107.

л. 180. Εὐχὴ ἑτέρα ἐπὶ κλίνης ἀῤῥώστου.

Κύριε παντοκράτωρ, ἅγιε βασιλεῦ. См. выше стр. 107.

л. 181 об. Εὐχὴ ἐπὶ ἐλαίου ἀῤῥώστου.

Κύριε, ὁ ἐν τῷ ἐλέει καὶ τοῖς οἰκτιρμοῖς σου. Goar. p. 335.

л. 182. Εὐχὴ ἐπὶ μετανοούντων.

Ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, ὁ διὰ τοῦ προφήτου σου Νάθαν μετανοήσαντι τῷ Δαβίδ. pag. 536.

л. 183 об. Εὐχὴ ἐπὶ ἐξομολογουμένων.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τῷ Πέτρῳ καὶ τῇ πόρνῃ διὰ δακρύων... p. 537.

л. 184. Εὐχὴ ἐπὶ τῶν προπετῶς ὀμνυόντων.

Ὁ Θεός, ὁ τῆς τοῦ ἀνθρώπου φύσεως τὸ εὐάλωτον καὶ ἀσθενὲς ἐπιστάμενος. p. 534.

л. 185. Εὐχὴ ἐπὶ ἀμνοῦ.

Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν, ὁ προσδεξάμενος Ἀβραὰμ τὴν ὁλοκάρπωσιν. pag. 567.

л. 185 об. Εὐχὴ ἐπὶ σπορᾶς.

Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ Δημιουργὸς τῶν ἁπάντων, ὁ ποιήσας τὴν γῆν καὶ τὸν οὐρανὸν ἐπ' αὐτήν.

л. 186 об. Εὐχὴ ἐπὶ θέρους.

Ὁ Θεὸς ὁ φιλάνθρωπος, οὓς ἔδωκας καρπούς... pag. 522.

л. 187. Εὐχὴ εἰς κῆπον καὶ εἰς ἀγρὸν καὶ εἰς σπόρον.

Δέσποτα Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ Πατὴρ τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ ποιήσας τὰ πάντα ἐν λόγῳ σου...

л. 188 об. Εὐχὴ ἐπὶ φυτείας ἀμπέλου.

Σὺ εἶ, Χριστέ, ἡ ἄμπελος ἡ ἀληθινή, καὶ ὁ Πατήρ σου ὁ γεωργὸς ἐστί... p. 551.

л. 189. Εὐχὴ ἐπὶ σταφυλῆς καὶ λοιπῆς ὀπώρας, ὅτε μέλλουσιν ἐπιλύσειν.

Εὐλόγησον, Κύριε, τοὺς καρπούς σου τούτους τοὺς νέους. См. выше стр. 47.

л. 190. Εὐχὴ ἐπὶ τρύγην.

Ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, ὁ εὐδοκήσας ἄμπελον κληθῆναι τὸν μονογενῆ σου Υἱόν... p. 552.

л. 191. Εὐχὴ ἐπὶ κατασκευῇ πλοίου.

Ἐπίβλεψον, ὁ Θεός, ἐπὶ τὴν κατασκευὴν τοῦ πλοίου τούτου...

л. 192. Εὐχὴ ἐπὶ ψυχὴν κρινομένην.

Δέσποτα Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ πάντα ἄνθρωπον θέλων σωθῆναι... pag. 587.

л, 1Ј3. Εὐχὴ τῶν ἀποδείπνων.

Δὸς ἡμῖν, Δέσποτα, πρὸς ὕπνον ἀπιοῦσιν... Въ чинѣ малаго повечерія.

л. 194. Εὐχή, ἣν ποιεῖ ὁ ἱερεύς, ὅταν ἀπέρχεται κοιμηθῆναι.

Ὁ Θεὸς προσκυνητός, Ἰησοῦ Χριστέ, καθεύδοντά με φύλαξον ἐν τῇ ἀθανάτῳ σου βουλῇ καὶ Πνεύματί σου τῷ ἁγίῳ...

л. 195. Εὐχὴ περὶ ἐνυπνιαζομένων ἀδελφῶν.

Πολυεύσπλαγχνε Κύριε, ἀκήρατε, ἀμόλυντε, μόνε ἀναμάρτητε... pag. 529.

л. 196. Εὐχὴ ἐπὶ σεισμοῦ.

Ὁ φοβερὸς καὶ θαυμαστὸς καὶ μέγας ἔνδοξός τε καὶ ἀληθινὸς Θεός. pag. 623.

л. 197. Εὐχὴ ἐπὶ μοναχῷ ἐν καιρῷ πολεμίῳ.

Δέσποτα Ἰησοῦ, σὺ εἶ βοηθός μου ἐν ταῖς χερσί σου εἰμί, σὺ γινώσκεις τὸ συμφέρον μοι, βοήθησόν μοι, μὴ ἐάσῃς με ἁμαρτῆσαι εἰς σέ...

л. 199. Εὐχὴ ἐπὶ σίτου μιανθέντος.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ πλάσας τὸν ἄνθρωπον κατ' εἰκόνα σὴν καὶ ὁμοίωσιν καὶ δοὺς ἡμῖν ἐξουσίαν...

л. 202. Εὐχὴ ἐπὶ ἐθνικοῦ, λαμβάνοντος ὄνομα. См. выше стр. 242.

л. 203. Εὐχὴ ἐπὶ παιδίου, διδομένου μαθητευθῆναι. См. выше стр. 238.

л. 205. Апостолы и евангелія на различные случаи.

л. 229 об. Ἀκολουθία σὺν Θεῷ τοῦ πρώτου σχήματος.

Μετὰ τὰ ἀντίφωνα, γενομένης τῆς εἰσόδου, ψάλλεις εἰς τὸ Δόξα τὸ τροπάριον τῆς ἡμέρας, εἰς δὲ τὸ Καὶ νῦν, Ἀγκάλας πατρικὰς διανοῖξαί μοι. Ὁ δὲ μέλλων καρῆναι ἵσταται ἔξω τῆς πύλης, ἤτοι εἰς τὸν νάρθηκα, εἶτα πληρουμένου τοῦ τροπαρίου τούτου, δίδονται πᾶσι τοῖς μοναχοῖς κηρία, τοῦ ἡγουμένου ἱσταμένου ἔσωθεν τοῦ βήματος, ὁ δὲ μέλλων καρῆναι ἀδελφός, κρατούμενος ἀπὸ τῆς χειρὸς ὑπὸ τοῦ ἐκκλησιάρχου, ἄγεται πρὸς τὸ βῆμα, καὶ εἴ ἐστιν ἱερεὺς καὶ μέλλειν πάλιν ἱερατεύειν, ποιεῖ ἔμπροσθεν τῆς ἁγίας τραπέζης μετανοίας γ'. τῷ δὲ καθηγουμένῳ μίαν, εἰ δ' οὐκ ἔστιν ἱερεύς, ἵσταται ἔξω τοῦ θυσιαστηρίου καὶ ποιεῖ τὰς μετανοίας, ὁμοίως καὶ ὁ ὢν ἱερεὺς καὶ κωλύεται τοῦ ἱερουργεῖν καὶ ἐρωτᾶται παρὰ τοῦ προεστῶτος· Τί προσῆλθες, ἀδελφέ, τῷ ἁγίῳ θυσιαστηρίῳ... Ποθῶν τὸν βίον τῆς ἀσκήσεως. Ναί, τίμιε πάτερ. Ὄντως καλὸν ἔργον καί.. Ἑκουσίᾳ γνώμῃ... Ναί, τίμιε πάτερ. Μὴ ἔκ τινος ἀνάγκης, ἢ βίας; Οὐχί, τίμιε πάτερ. Παραμένεις τῷ μοναστηρίῳ καὶ τῇ ἀσκήσει ἕως ἐσχάτης σου ἀναπνοῆς;

Ναί, τίμιε πάτερ. Βλέπε, ἀδελφέ, οἵας συνθήκας δίδως τῷ Δεσπότῃ Θεῷ... Goar. p. 383. τῇ δευτέρᾳ παρουσίᾳ τοῦ Κυρίου ἡμῶν. Εἶτα κλίνει τὴν κεφαλήν, καὶ τοῦ διακόνου εἰπόντος· Τοῦ Κυρίου δεηθῶμεν, τίθησιν ὁ ἱερεὺς ἐπάνω τῆς κεφαλῆς αὐτοῦ τὸ σχηματολόγιον, λέγει τὴν εὐχὴν ταύτην· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἀξίους σοι εἶναι νομοθετήσας... Goar. p. 380. Εἰρήνη πᾶσι. Τὰς κεφαλάς... Κύριε ὁ Θεὸς ἡμῶν, ἡ ἐλπὶς καὶ καταφυγὴ πάντων τῶν ἐλπιζόντων ἐπὶ σέ... p. 385. Εἰρήνη πᾶσι. Τὰς κεφαλάς. Κύριε, Κύριε, ἡ δύναμις τῆς σωτηρίας ἡμῶν. Goar. p. 379. Καὶ τίθεται τὸ ψαλλίδιον εἰς τὸ ἀντιμίνσι(ον) καὶ λέγει ὁ ἱερεὺς τὸν μέλλοντα κουρεύεσθαι ἐρχόμενον πρὸς τὸ ἀντιμίνσι(ον) καὶ βαλόντα μετάνοιαν· Ἰδοὺ ὁ Χριστὸς ὁ Θεὸς ἡμῶν ἀοράτως ἐνταῦθα πάρεστι· βλέπε, ὅτι οὐδείς σε ἀναγκάζει ἐλθεῖν ἐπὶ τὸ ἀγγελοειδὲς τοῦτο ἐπάγγελμα· βλέπε, ὅτι σὺ ἐκ προθέσεως θέλεις τὸ μοναχικὸν τοῦτο σχῆμα. Καὶ αὖθις συντάξεται, λέγει πρὸς αὐτὸν πάλιν· Εἰ οὖν θέλεις ἀξιωθῆναι τοῦ ἀγγελικοῦ τούτου σχήματος, λάβε τὸ ψαλλίδιον καὶ ἐπίδος τῷ ἡγουμένῳ. Καὶ ἐπιδιδόντος αὐτοῦ τὸ ψαλλίδιον, ὁ ἱερεὺς λέγει· Ἰδοὺ ἐκ χειρὸς Κυρίου λαμβάνεις αὐτό· βλέπε τίνι προσέρχῃ, τίνι συντάσσῃ καὶ τίνι ἀποτάσσῃ. Καὶ λέγει ὁ ἱερεύς· Εὐλογητὸς ὁ Θεός, ὁ θέλων... καὶ κουρεύει αὐτὸν σταυροειδῶς, λέγων· Κείρεται ὁ ἀδελφὸς ἡμῶν... Κύριε ἐλέησον γ΄. Περιβάλλει τε αὐτὸν τὸ παλλίον λέγει· Ὁ ἀδελφὸς ἡμῶν λαμβάνει τὸ παλλίον, ἤτοι τὸν ἀρραβῶνα τοῦ ἁγίου καὶ ἀγγελικοῦ σχήματος... Καὶ μετὰ ταῦτα ἐκβάλλουσιν αὐτὸν ἔξω καὶ κουρεύουσι, λέγοντες τὸν ἄμωμον, καὶ πάλιν εἰσέρχεται εἰς τὴν ἐκκλησίαν, τοῦ διακόνου λέγοντος τὰ ἐξ ἔθους διακονικά, ὁ ἱερεὺς εὔχεται· Εὐχαριστοῦμέν σοι, Κύριε, ὁ κατὰ τὸ πολὺ ἔλεός σου ῥυσάμενος τὸν δοῦλόν σου τόνδε. Goar. p. 378.

л. 238. Ἀκολουθία σὺν Θεῷ τοῦ μεγάλου καὶ ἀγγελικοῦ σχήματος.

Ἀφ' ἑσπέρας εἰσφέρει τὸ ἱμάτιον καὶ τὰ λοιπὰ ὁ μέλλων κουρευθῆναι καὶ ἀποτίθεται ἐν τῷ θαλασσιδίῳ τῆς ἁγίας τραπέζης. Εἰς τὴν λειτουργίαν τὰ τυπικὰ καὶ οἱ μακαρισμοί, ἀντίφωνον α΄. ἦχος δ΄. Ἤθελον δάκρυσιν ἐξαλεῖψαι... Τίς χειμαζόμενος... Ἐν τῇ πηγῇ τῇ μυστικῇ τῆς ἀναγεννήσεως... Δόξα, Ῥῦσαι ἡμᾶς... Ἀντίφωνον β΄. Ζάλη ἁμαρτημάτων... Πάλιν τὸ αὐτὸ τροπάριον, Δόξα, Ἡ μόνη ἁγνή... Τοῦ δὲ γ΄. ἀντιφώνου ἀρχομένου, ἔρχεται ὁ μέλλων λαβεῖν τὸ σχῆμα καὶ ἵσταται πλησίον τοῦ ἄμβωνος. Ἀντίφωνον γ΄. Ποῦ ἔστιν ἡ τοῦ κόσμου προσπάθεια, ποῦ ἔστιν ἡ τῶν προσκαίρων φαντασία... Δεῦτε, τέκνα, ἀκούσατε... Καὶ τούτου λεγομένου τοῦ στίχου, ἔρχεται εἰς τὴν σολεάν. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες... Στίχος· Δεῦτε προσκυνήσωμεν... Καὶ ἔρχεται καὶ προσπίπτει εἰς τὰ ἅγια θυρία καὶ οὐκ ἀνίσταται μέχρι συμπληρώσεως τοῦ ἀντιφώ-

νου. Τροπάριον, ἦχος δ'. Κύριε, Κύριε, ἐπίβλεψον ἐξ οὐρανοῦ... Δόξα, Ὁ διὰ σὲ θεοπάτωρ Δαβίδ... Καὶ νῦν, τὸ αὐτό. Καὶ οὕτως ἵστησιν αὐτὸν καὶ ἐπερωτᾷ. Ἐρώτησις· Τί προσῆλθες, ἀδελφέ... Ποθεῖς καταξιωθῆναι τοῦ ἀγγελικοῦ σχήματος, καὶ καταταγῆναι ἐν τῷ χορῷ τῶν μοναζόντων; Ναί, τίμιε πάτερ. Ὄντως καλὸν ἔργον ἐξελέξω... Вопросы тѣже, что и у Гоара p. 407. Отвѣты на нихъ утвердительные: Ναί, τίμιε πάτερ. Βλέπε, τέκνον, οἵας συνθήκας δίδως τῷ Θεῷ... Всѣ молитвы тѣже, что у Гоара p. 407—410. Между молитвами лишь возгласы: Εἰρήνη πᾶσι. Τὰς κεφαλάς. Послѣ молитвы: Ἅγιε Κύριε τῶν δυνάμεων... Καὶ κρατήσας τῆς χειρὸς αὐτοῦ, εἰσάγει ἐν τῷ θυσιαστηρίῳ καὶ ποιεῖ μετανοίας γ'. καὶ ἀνιστάμενος ἀσπάζεται τὸ εὐαγγέλιον, καὶ ἐκτείνας τὴν χεῖρα αὐτοῦ, ὁ κατηχητὴς λέγει πρὸς αὐτόν· Ἰδοὺ ὁ Χριστὸς ἀοράτως ἐνταῦθα πάρεστι... Ναί, τίμιε πάτερ. Καὶ λέγει πρὸς αὐτὸν ὁ ἱερεύς· Λάβε τὸ ψαλλίδιον καὶ ἐπίδος μοι αὐτό. Καὶ ἐπιδόντος αὐτό, λέγει αὐτῷ ὁ ἱερεύς· Ἰδοὺ ἐκ τῆς χειρὸς τοῦ Χριστοῦ... Καὶ μετὰ τοῦτο λέγει πρὸς αὐτόν· Εὐλογητὸς ὁ Θεός... Καὶ εὐθέως κείρει αὐτὸν σταυροειδῶς, λέγων· Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα κείρεται τὴν κόμην... Καὶ ἀπάγουσιν αὐτὸν οἱ μοναχοὶ ἐν τῷ διακονικῷ καί, κουρεύοντες αὐτόν, ψάλλουσι τὸν ἄμωμον, τοῦ ἱερέως ποιοῦντος τὴν εὐχὴν τοῦ Τρισαγίου. Ὁ διάκονος λέγει τὴν συναπτήν· Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῆς εἰρήνης... Ὑπὲρ τοῦ ἁγίου οἴκου... Ὑπὲρ τοῦ ἀρχιεπισκόπου... Ὑπὲρ τῶν εὐσεβεστάτων... Ὑπὲρ τοῦ συμπολεμῆσαι... Ὑπὲρ τῆς πόλεως... Ὑπὲρ εὐκρασίας... Ὑπὲρ πλεόντων... Ὑπὲρ τοῦ ἀδελφοῦ ἡμῶν τοῦδε... Ὑπὲρ τοῦ ἀμέμπτως καὶ ἀνεμποδίστως... Ὑπὲρ τοῦ ἀπαλλαγῆναι αὐτὸν πάσης κοσμικῆς ἐπιθυμίας... Ὑπὲρ ἀφέσεως ἁμαρτιῶν... Ὑπὲρ τοῦ γενέσθαι αὐτὸν ὑψηλότερον τῶν τοῦ κόσμου φρονημάτων... Ὑπὲρ τοῦ ἀποθέσθαι αὐτὸν τὸν παλαιὸν ἄνθρωπον καὶ ἐνδύσασθαι τὸν νέον... Ὑπὲρ τοῦ ῥυσθῆναι... Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας... Ὅτι ἅγιος εἶ... Προκείμενον, ἦχος γ'. Κύριος φωτισμός... Στίχος· Κύριε ὑπερασπιστής... Апостолъ и евангелiе, что у Гоара p. 413. Λεγομένου δὲ τοῦ εὐαγγελίου, φέρουσιν αὐτὸν μέσον τῶν βασιλικῶν πυλῶν, φοροῦντα τὸ κολόβιον, βαστάζοντα καὶ τὴν λαμπάδα· μετὰ δὲ τὸ εὐαγγέλιον, ἄρχεται τὸ ἀντίφωνον καὶ ἅπτουσιν οἱ ἀδελφοὶ τοὺς κηρούς, ἕως οὗ γένηται ὁ ἀσπασμός. Ἀντίφωνον α'. ἦχος δ'. Ἤνοικται ἡ θύρα τῆς μετανοίας... Ὁ ζυγός μου χρηστός ἐστι... Ἀντίφωνον β'. Εὐαγγελικῆς φωνῆς σπουδαίως πρόσταγμα πεπληρώκατε... Στίχος· Ἰδοὺ δὴ τί καλόν... Ἐγγὺς Κύριος πᾶσι τοῖς ὑπομένουσιν αὐτόν... Ἀρχομένου δὲ τοῦ τρίτου ἀντιφώνου, ἔρχεται εἰς τὴν ἁγίαν θύραν. Ἀκολουθήσωμεν, ἀδελφοί, ἀγαθῷ Δεσπότῃ... Στίχος· Ἐξελοῦ

*

με καὶ ῥύσαι με ἐξ ὑδάτων... Ὁ βασιλεὺς τῶν οὐρανῶν... Χαίροις παρ' ἡμῶν, ἁγία Θεοτόκε... Καὶ ἐνδύει αὐτὸν ὁ ἱερεὺς καὶ λέγει· Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα ἐνδύεται χιτῶνα... и т. д. Одежды и слова, произносимыя при этомъ, что у Гоара p. 411. Τὸ Κύριε ἐλέησον μ'. ψάλλονται δὲ καὶ τὰ τροπάρια ταῦτα, ἦχος δ'. προσόμοια· Ἤνοικται ἡ θύρα τῆς μετανοίας. Ἐνδύσασθε χιτῶνα τῆς σωτηρίας, ζώσασθε τὴν ζώνην... Στίχος· Αὕτη ἡ πύλη. Ἀγαλλιᾶσθε τῷ Θεῷ, τῷ βοηθῷ ἡμῶν... Δόξα, Ἔχοντές σε, Θεοτόκε, ἐλπίδα... Ἕτερον τροπάριον, ἦχος πλ. β'. μετὰ τὸ ἀμφίασμα· Ἀγαλλιάσθω ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ... Στίχος β'. Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ... Στίχος γ'. Αὕτη ἡ ἡμέρα... Τὸ αὐτὸ τροπάριον, Δόξα καὶ νῦν, Μεγάλων χαρισμάτων... Εὐχαί, ἃς ποιεῖ ὁ ἱερεύς· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ πιστὸς ἐν ταῖς ἐπαγγελίαις σου... Goar. p. 411. Εἰρήνη πᾶσι. Τὰς κεφαλάς... Ὁ ἱερεὺς ἐπεύχεται· Κύριε ὁ Θεὸς ἡμῶν, εἰσάγαγε τὸν δοῦλόν σου. Goar. p. 412. Καὶ μετὰ τὴν εὐχὴν ἐξέρχεται ὁ διάκονος μετὰ τοῦ εὐαγγελίου, καὶ ἀσπάζεται αὐτὸ ὁ ἀποκαρεὶς καὶ οἱ μοναχοί, ψάλλοντες ταῦτα, ἦχος α'. Ἐπιγνῶμεν, ἀδελφοί, τοῦ μυστηρίου τὴν δύναμιν... Στίχος· Ἀγαπήσατε τὸν Κύριον. Στίχος· Δεῦτε ἀκούσατε... Δόξα, Χαῖρε, Θεοτόκε παρθένε. Καὶ μετὰ τὸ γενέσθαι τὸν ἀσπασμόν, λέγει ὁ διάκονος· Εἴπωμεν πάντες... καὶ τὰ λοιπὰ τῆς λειτουργίας. Μετὰ δὲ τὴν ἀπόλυσιν ὀφικεύουσιν αὐτὸν ἅπαντές ἕως τῆς τραπέζης μετὰ τῶν κηρίων, ψάλλοντες· Κύριε, Κύριε, ἐπίβλεψον ἐξ οὐρανοῦ... Στίχος· Ὁ ποιμαίνων τὸν Ἰσραήλ. Στίχος· Ὁ Θεός, ἐπίστρεψον ἡμᾶς. Ἀνισταμένων δὲ ἀπὸ τῆς τραπέζης, φέρουσιν αὐτὸν ἕως τῆς ἐκκλησίας, ψάλλοντες τὸ προγεγραμμένον τροπάριον· Κύριε, Κύριε, ἐπίβλεψον ἐξ οὐρανοῦ... Στίχος· Ὡς ἀγαπητὰ τά... Στίχος· Ἡ καρδία μου καὶ ἡ σάρξ μου... Τὰς δὲ ἑπτὰ ἡμέρας σχολάζει ἀπὸ τῶν ἔργων, προσκαρτερῶν τῇ ἐκκλησίᾳ, ἔπειτα ἀποκουκουλίζει αὐτόν, λέγων τὴν εὐχήν· Πολυέλεε Θεὲ καὶ Κύριε, ὁ δωρησάμενος τῷ δούλῳ σου. Goar. p. 419. Τοῦ Κυρίου δεηθῶμεν. Εὐχή· Τὸν τῇ πυρίνῃ κεφαλῇ... Ibidem.

л. 273 об. Κανὼν εἰς σχῆμα μοναχοῦ, φέρων ἀκροστιχίδα τήνδε· Θεῖον μοναστὰ σχῆμα πιστῶς ἀμπέχου Ἰωάννου μοναχοῦ. Ὠδὴ α'. ἦχος β'. Θάλασσαν τὴν ἐρυθράν... Θαλάσσης βιωτικῆς ἐκλίποντα τὰς ζαλώδεις... Ἐκλάμπεις ταῖς τῆς ἁγνείαις χάριτος... Ἰκρίῳ τῷ διὰ σὲ πατάσσαντι φιλανθρώπως... Ὁ κτίσας ἐν οὐρανῷ στρατεύματα... Τὸ πλῆθος τῶν οἰκτιρμῶν ..

л. 282 об. Ἀκολουθία (νεκρώσιμος) τοῦ πρώτου σχήματος.

Начало чина, т. е. описаніе обряда омовенія усопшаго и приготовленіе его къ погребенію, сходно съ чиномъ Ватопед.-Аѳон. ркп. XIV в.

№ 133. Καὶ οὕτως (т. е. послѣ одѣянія) ἀπάγουσιν αὐτὸν εἰς τὴν ἐκκλησίαν καὶ τίθησιν εἰς τὸν νάρθηκα, καί, τοῦ ἐκκλησιάρχου κρούσαντος τὸ ξύλον, συνάγονται πάντες οἱ μοναχοί, καὶ δίδονται (αὐ)τοῖς τὰ κηρία καὶ ἀπάρχονται ψάλλειν ἄμωμον ἕως τοῦ Εὐλογητὸς εἶ, Κύριε... Τῶν ἁγίων ὁ χορός... κ. τ. λ. Ἔτι καὶ ἔτι κ. τ. κ. Μνήσθητι τοῦ δούλου σου... Μακάριοι οἱ πτωχοί... Μνήσθητι, εὔσπλαγχνε, καὶ ἡμῶν καὶ ἐμνημόνευσας... Μακάριοι οἱ πραεῖς... Ἀνάπαυσον τὸν δοῦλόν σου, ὁ Θεός... Goar. p. 445. Στιχηρά, ἦχος πλ. δ'. Ἀθάνατε, οἰκτίρμον, καὶ τῶν νεκρῶν... Ἐπ' ὤμους τὸν ζυγόν σου, ὡς ἀράμενον... Ἰδοὺ καιρὸς οἰκτίρμον τῶν δακρύων μνησθῆναι... Ῥημάτων τῶν ἐν λόγοις μὴ μνησθῇς ἐσφαλμένων... Φιλάνθρωπε οἰκτίρμον, ἐλεῆμον καὶ μόνε μακρόθυμε... pag. 448—449. Προκείμενον, ἦχος πλ. δ'. Μακαρία ἡ ὁδός... Ὁ ἀπόστολος πρὸς Θεσσαλονικεῖς· Ἀδελφοί, οὐ θέλομεν ὑμᾶς ἀγνοεῖν... Апостолъ и евангеліе у Гоара pag. 430. Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τοῦ ἁγίου οἴκου... Ὑπὲρ τοῦ ἀειμνήστου δούλου... Ὅπως Κύριος ὁ Θεὸς ἡμῶν κατατάξῃ... Τὰ ἐλέη τοῦ Θεοῦ καὶ τὴν βασιλείαν... Ὅτι σὺ εἶ ἡ ζωὴ καὶ ἡ ἀνάστασις... Εἶτα τελεῖται ὁ ἀσπασμός. Στιχηρά, ἦχος β'. Δεῦτε τελευταῖον ἀσπασμόν... Στίχος· Ἐγὼ εἶπα ἐν τῷ ὕψει... Ποῖος χωρισμός, ὦ ἀδελφοί... Στίχος· Ἐξέλιπον ἀπὸ τῆς συγγενείας... Ἄρτι ἡ τοῦ βίου πονηρὰ λύεται πανήγυρις... Στίχος· Ἐξῆλθε καὶ ἀπῆλθε... Πάντα τὰ τοῦ σώματος νυνὶ ὄργανα ἀργὰ θεωροῦνται... p. 431—432. Στίχος· Τὸ πνεῦμά μου παρ' ἐμοί... Τρέμω τὸ κριτήριον καὶ τὴν ἐν τῷ βήματι γύμνωσιν... Στίχος· Ἐξέλιπον γάρ μου οἱ ὀφθαλμοί. Μέγας ὁ κλαυθμὸς καὶ ὀδυρμός, μέγας στεναγμός... Στίχος· Εἵλου γάρ μου τὴν ψυχήν... Ὅτε ἐκ τοῦ σώματος ψυχὴ μέλλει μετὰ βίας ἁρπᾶσθαι... θεοτοκίον· Χαῖρε, κτίσις πᾶσά σοι βοᾷ, χαῖρε, Παναγία παρθένε... Καὶ ἄραντες τὴν κλίνην, ἔρχονται εἰς τὸ κοιμητήριον, ψαλλόντων τῶν μοναχῶν· Ἀνάπαυσον Σωτήρ... Καὶ εἶθ' οὕτως τὸ Ἅγιος ὁ Θεός, ἡσύχως. Μνήσθητι, Κύριε, ὡς ἀγαθός... Μετὰ τῶν ἁγίων ἀνάπαυσον... Καὶ ἐν τῷ κοιμητηρίῳ ψάλλουσιν οὕτως· Μετὰ πνευμάτων δικαίων... Εἰσαγαγὼν κατὰ φύτευσιν... Σὺ εἶ ὁ Θεός, ὁ καταβάς... Κύριος ποιμαίνει με... Εἰς τὴν κατάπαυσίν σου... Ἐπὶ ὕδατος ἀναπαύσεως... Τὴν πολυτάραχον θάλασσαν τοῦ βίου διαδραμών... Ἡ μόνη ἁγνὴ καὶ ἄχραντος... Στίχος· Τοῦ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα... Σὲ ἔπλασάς με, Κύριε... Στίχος· Μὴ εἰσέλθῃς εἰς κρίσιν... Ἡ ἀοίδιμος φωνὴ τοῦ θείου Δαβὶδ σήμερον πληροῦται... Σὲ δυσωποῦμεν, ὡς Θεοῦ... Ὁ θάνατός σου, Κύριε... Στίχος· Ἡ ψυχὴ αὐτοῦ ἐν ἀγαθοῖς... Παντοκράτωρ ὕψιστε, τὴν ψυχὴν τοῦ δούλου σου ἀνάπαυσον... θεοτοκίον· Τὰ οὐράνια ὑμνεῖ σε, κεχαριτωμένη... Καὶ τούτων οὕτω τελεσθέντων, ὁ ἐπὶ τῷ κηδεύειν τεταγμένος μετὰ μαχαίρας, ἀποτεμὼν τὰ

ἄκρα τοῦ μανδύου, τὰ ἐν τοῖς δυσὶ πλαγίοις, ἀλλὰ μὴν καὶ τὸ ἄκρον τὸ πρὸς τοὺς πόδας, εἶτα διχῇ τὸ πᾶν διελὼν καὶ διατρήσας τὸν μανδύαν κατὰ τὰ πλάγια ἄκρα, καὶ ἀπὸ τοῦ εὐωνύμου μέρους καὶ τὸ τοῦ δεξιοῦ λωρίον εἰς ἄλληλα διαβιβάζων καὶ συνδέων ἀμοιβαδόν, ἀποτελεῖ γ'. σταυροὺς καὶ τῷ ὑπολειφθέντι μέρει τῶν δύω λωρίων δεσμεῖ τοὺς πόδας, καί, λαβὼν ἔλαιον ἐν ἀγγείῳ, ἐπιχέει ἄνωθεν τοῦ λειψάνου σταυροειδῶς, καὶ οὕτως ἅπαντες τὸ λείψανον θάπτουσι, ψαλλόντων τῶν παρεστώτων· Ἐξέλιπον ἀπὸ τῆς συγγενείας μου, κατέλιπον τὸ λοιπὸν τῆς ζωῆς μου. . Μνήσθητι, Κύριε, τοῦ Δαβίδ... Κατάπαυσιν δικαίοις ἡτοίμασας... Εἰρήνευσον πρεσβείαις... Εἶτα γίνεται Τρισάγιον καὶ ἐκτενή, τὸ Κύριε ἐλέησον μ'. καὶ ἀπολύει.

л. 297 об. Κανὼν εἰς μοναχοὺς κοιμηθέντας, φέρων ἀκροστιχίδα τήνδε· Ἄδω μονασταῖς δεύτερον τερπνὸν μέλος. Ὠδὴ α'. ἦχος β'. Δεῦτε, λαοί, ᾄσωμεν... Αἴγλῃ τῇ σῇ τῇ φωτοφόρῳ καταύγασον... Δρόμον τῆς σῆς διατέλεσας ἀσκήσεως... Ὡς πλαστουργὸς καὶ ζωοδότης τὸν δοῦλόν σου... θεοτοκίον· Μήτηρ Θεοῦ ἀναδειχθεῖσα, πανάμωμε...

**XXIX.** Илитарій Есфигменской библіотеки на Аѳонѣ на пергаменѣ, писанный въ 1306 г., какъ говоритъ о томъ слѣдующая приписка: „ἐν ἔτει ͵ςωιδ'. ἰνδικτιῶνος δ'. μηνὶ ἰουλίῳ".

Ἡ θεία καὶ ἱερὰ λειτουργία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου.

Ἐν[1]) τῷ μέλλοντι τῷ ἱερεῖ σὺν Θεῷ λειτουργῆσαι, ὅταν νίπτεται, λέγει· Νίψωμαι ἐν ἀθώοις τὰς χεῖράς μου καὶ κυκλώσω τὸ θυσιαστήριόν σου. Καὶ ὅταν ἐπιστρέψῃ τὸ πρόσωπον αὐτοῦ κατ' ἀνατολάς, λέγει· Κύριε, ἠγάπησα εὐπρέπειαν οἴκου σου καὶ τόπον σκηνώματος δόξης σου. Καὶ προσκυνήσας γ'. ἐν ταῖς ἁγίαις εἰκόσι, λέγει τὴν εὐχὴν ταύτην· Κύριε ὁ Θεός μου, ἐξαπόστειλόν μοι βοήθειαν ἐξ ἁγίου κατοικητηρίου σου καὶ ἐνίσχυσον. Πληρουμένης γοῦν τῆς εὐχῆς, ποιεῖ μετάνοιαν τοῖς ἀδελφοῖς, καὶ λαβὼν παρ' αὐτῶν συγχώρησιν, εἰσέρχεται ἐν τῷ ἁγίῳ βήματι, ποιῶν εὐλογητὸν καὶ λαβὼν τὸ στιχάριον φορέσας, φησίν· Ἀγαλλιάσεται ἡ καρδία μου ἐπὶ τῷ Κυρίῳ, ἐνέδυσε. Εἰς τὸ ἐπιτραχήλιον· Ἡ χάρις καὶ ἡ βοήθεια τοῦ Πνεύματος ἔσται μεθ' ἡμῶν πάντοτε. Ὡς ἐν μέσῳ τῶν μα-

---

[1]) Чинъ проскомидіи и особенности момента причащенія священнослужителей въ алтарѣ напечатаны, по этому списку, проф. Н. Ѳ. Красносельцевымъ въ I выпускѣ его «Матеріаловъ для исторіи чинопослѣдованія литургіи св. Іоанна Златоустаго». Казань, 1889. стр. 9—16.

θητῶν σου παρεγένου Σωτὴρ ἡμῶν τήν. Εἰς τὴν ζώνην· Ὁ Θεός, ὁ περιζωννύων με δύναμιν καὶ ἔθετ(ο) ἄμωμον. Ἐν τῇ δεξιᾷ χειρί· Δεξιά[1]) σου, Κύριε, δεδόξασται, ἐν ἰσχύει ἡ δεξιά... Ἐν δὲ τῇ ἀριστερᾷ· Αἱ χεῖρές σου ἐποίησάν με καί. Εἰς τὸ φελώνιον· Οἱ ἱερεῖς, Κύριε, ἐνδύσονται δικαιοσύνην. Πορευόμενος ἐν τῇ ἁγίᾳ προθέσει, λέγει· Καὶ δύσαντες τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἀπήγαγον πρὸς (Πιλάτον).

Καὶ λαβὼν ἀπὸ τῶν προσφορῶν μίαν, σφραγίζει αὐτὴν μετὰ τῆς λόγχης τετραμερῶς, λέγων· Εἰς δόξαν καὶ ἀνάμνησιν τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Λέγει τοῦτο γ'. Τέμνων δέ, λέγει ἐν μὲν τῷ ἑνὶ μέρει· Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη. Ἐν δὲ τῷ θατέρῳ· Καὶ ὡς ἀμνὸς ἄμωμος ἐναντίον τοῦ κείραντος αὐτὸν ἄφωνος. Ἐν δὲ τῷ τρίτῳ· Οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ. Ἐν δὲ τῷ τετάρτῳ· Ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη. Καὶ ἐν τῷ ἐκ πλαγίου· Τὴν δὲ γενεὰν αὐτοῦ τίς διηγήσεται. Εἶτα αἴρων τὸ σφραγισθὲν ἅγιον σῶμα ἀπὸ τῆς προσφορᾶς, λέγει· Ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ πάντοτε. Καὶ θεὶς τὸ τοιοῦτον ἅγιον σῶμα ὕπτιον ἐν τῷ δίσκῳ, λέγει· Θῦσον, δέσποτα. Καὶ θύει τὸν ἄρτον σταυροειδῶς, λέγων· Θύεται ὁ ἀμνὸς τοῦ Θεοῦ ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς καὶ σωτηρίας. Εἶτα λαβὼν νάμα καὶ ὕδωρ, βάλλει εἰς τὸ ἅγιον ποτήριον, λέγων· Ἕνωσον, δέσποτα. Ἕνωσις τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Εἷς τῶν στρατιωτῶν λόγχῃ τὴν πλευρὰν αὐτοῦ ἔνυξε, καὶ εὐθέως ἐξῆλθεν αἷμα καὶ ὕδωρ. Καὶ ὁ ἑωρακὼς μεμαρτύρηκε, καὶ ἀληθινὴ ἐστὶν ἡ μαρτυρία αὐτοῦ, πάντοτε νῦν. Ἔπειτα ποιεῖ τὴν τῶν ἑτέρων προσφορῶν προσκομηδήν, ἤγουν εἰς μὲν τὴν δευτέραν λέγει· Εἰς δόξαν καὶ τιμὴν τῆς ὑπερευλογημένης ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας. Εἰς δὲ τὴν τρίτην· (на полѣ: Τῇ δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ προστασίαις) Τῶν τιμίων ἐπουρανίων δυνάμεων ἀσωμάτων, τοῦ τιμίου ἐνδόξου προφήτου, Προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, καὶ πάντων τῶν προφητῶν[2]) τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων τῶν ιβ'. (12) καὶ ο'. (70): Τῶν ἁγίων καὶ δικαίων Ἰωακεὶμ καὶ Ἄννης, καὶ τῶν ἁγίων θεοστεπτῶν βασιλέων Κωνσταντίνου καὶ Ἑλένης: Τῶν ἐν ἁγίοις πατέρων ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου, Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ

---

[1]) Этотъ стихъ читается дурно, такъ какъ это мѣсто въ свиткѣ разорвано. [2]) Послѣ двухъ точекъ вездѣ въ рукописи начинаются слова съ красныхъ точекъ. Въ спискѣ Пантелеимоновскаго монастыря, изданномъ Н. Красносельцевымъ, здѣсь стоитъ указаніе на четвертую просфору—εἰς τὴν δ'. „Матеріалы" стр. 11.

[1]) Есфигм. № 208 и Антонинов. библ. XV в. ψάλλονται δὲ κατὰ τὰ παρόντα τροπάρια. [2]) Еще стихира: Μνήσθητι, Κύριε, ὡς ἀγαθὸς τοῦ δούλου σου. [3]) Антонин. ркп. Λαμπρᾶς καὶ θείας τυχεῖν λάμψεως τῆς σῆς, Χριστέ... Ὁ ὢν τῇ φύσει Χριστὸς καὶ εὔσπλαγχνος... Σκηνὴν ἁγίαν ἁγνή, γινώσκομεν καὶ κιβωτὸν καὶ πλάκα σε τοῦ νόμου τῆς χάριτος [4]) тамъ же и Есфигм. библ. № 208 καὶ φθάσαντες ἐν τῷ κοιμητηρίῳ, βάλλουσι τὸ λείψανον ἐν τῷ τάφῳ, λέγοντες τροπάριον, ἦχον πλ. δ'. Γῆ χανοῦσα. Καὶ ἐπιχέει ὁ ἱερεὺς ἐπάνω τοῦ λειψάνου κανδήλαν, μεστὴν ὕδατος καὶ ἐλαίου, ποιῶν σταυροῦ τύπον, καὶ λέγων· Τοῦ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα... Τῷ τύπῳ τοῦ σταυροῦ σου, φιλάνθρωπε, ὁ θάνατος... Καὶ εὐθὺς ἀσφαλίζεται ὁ τάφος, ἡμεῖς δὲ ψάλλομεν ἰδιόμελα, ἦχος πλ. β'. Πνευματικοὶ ἀδελφοί, μή μου ἐπιλαθήσεσθε... κ. τ. α. [5]) Εἶτα

Ὅτε δὲ βάλλομεν τὸ λείψανον ἐν τῷ τάφῳ, ἐπιχέει ὁ ἱερεὺς ἐπάνω τοῦ λειψάνου κανδήλαν, μεστὴν ὕδατος καὶ ἐλαίου, ποιῶν τύπον σταυροῦ τρίτον, λέγων καὶ τὸ Ἀλληλούια, ἐκ τρίτου, καὶ τὸ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς, ἅπαξ. Καὶ οὕτως ἀσφαλίζεται ὁ τάφος, εἶτα Τρισάγιον, Μετὰ πνευμάτων δικαίων.., Εἰς τὴν κατάπαυσιν, Δόξα, Σὺ εἶ, ὁ Θεός, ὁ καταβάς, Καὶ νῦν, Ἡ μόνη ἁγνή.. Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα... καὶ τὰ λοιπά. Καὶ γίνεται τελεία ἀπόλυσις. Βάλλομεν καὶ μετανοίας ιβ'. ὑπὲρ τοῦ κοιμηθέντος ἀδελφοῦ ἡμῶν.

л. 266. Ἀκολουθία τοῦ μικροῦ ἁγιασμοῦ.

Εὐχολ. Goar. p. 358—362. Разница заключается въ опущеніи тропарей: „Χαῖρε ὄρος, χαῖρε βάτε“ до „Τῆς εὐσπλαγχνίας τὴν πύλην“ и въ ектеніи послѣ евангелія, изложенной въ такомъ порядкѣ: Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης... Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος... Ὑπὲρ τοῦ ἁγίου οἴκου.. Ὑπὲρ τοῦ ἁγιασθῆναι τὸ ὕδωρ... Ὑπὲρ τοῦ καταπεμφθῆναι αὐτῷ τὴν χάριν... Ὑπὲρ τοῦ φωτισθῆναι ἡμᾶς... Ὑπὲρ τοῦ ῥυσθῆναι... Ἀντιλαβοῦ, σῶσον κ. τ. λ.

л. 270. Ἀκολουθία τῆς γονυκλισίας τῆς ἁγίας Πεντηκοστῆς.

Чинъ состоитъ изъ 6-ти молитвъ. Goar. p. 597—601. Послѣдняя 6-тая молитва: Ὁ Θεὸς ὁ μέγας καὶ αἰώνιος, ὁ ἅγιος καὶ φιλάνθρωπος Goar. p. 601 оканчивается словами: Καὶ μετὰ παῤῥησίας δοξάσωμεν ἐπὶ πᾶσι, σὲ τὸν μόνον ἀληθινὸν καὶ φιλάνθρωπον Θεόν.

л. 275 об. Διακονικὰ εἰς ἀνομβρίαν.

Ἐλέησον ἡμᾶς, ὁ Θεός... Ὁ μὴ βουλόμενος τὸν θάνατον... Ὁ ἀνάγων νεφέλας ἐξ ἐσχάτων τῆς γῆς... Ὁ προσκαλούμενος τὸ ὕδωρ τῆς θαλάσσης... Ὁ περιβάλλων τὸν οὐρανὸν ἐν νεφέλαις... Βροχὴν ἑκούσιον ἀφόρισον... Εἰσάκουσον ἡμῶν, ὁ Θεός, ὅτι Χριστόν... Ἔτι δεόμεθα καὶ ὑπὲρ τοῦ διαφυλαχθῆναι τὴν ἁγίαν μονὴν ταύτην... Goar. p. 612—613.

л. 276 об. Εὐχή, λεγομένη ἐπὶ ἀνομβρίᾳ.

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ διὰ τὸν πρὸς σὲ ζῆλον ἐπακούσας Goar. p. 613. Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ ἀνάγων νεφέλας ἐξ ἐσχάτου τῆς γῆς. Goar. p. 614.

---

Τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν... Μετὰ πνευμάτων δικαίων κ. τ. α., εἶτα Ἐλέησον ἡμᾶς καὶ τὰ λοιπά, εὐχὴ καὶ ἀπόλυσις. Ἡ εὐχὴ τῆς ἀπολύσεως οὕτως· Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν... Αἰωνία σου ἡ μνήμη, ἀξιομακάριστε ὧδε μοναχὲ καὶ ἀείμνηστε ἀδελφὲ ἡμῶν. Τοῦτο λέγεται παρὰ τῶν ψαλτῶν καὶ παρὰ πάντων τῶν ἀδελφῶν, ἐκ τρίτου, εἶτα καὶ τὰς συνήθεις δώδεκα μετανοίας παρὰ πάντων ὑπὲρ τοῦ κεκοιμημένου, καὶ ἀπερχόμεθα.

л. 277. Εὐχὴ ἐπὶ θεμελίου ἐκκλησίας· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὸ σὸν ἅγιον αἷμα ὑποβαλλόμενος. Goar. p. 486.

л. 277 об. Εὐχὴ ἐπὶ ἐξομολογουμένων· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τῷ Πέτρῳ καὶ τῇ πόρνῃ. Goar. p. 537.

л. 268. Εὐχὴ ἐπὶ τῶν προπετῶς ὀμνυόντων.

Δέσποτα Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων καταξιώσας καταβῆναι ἐπὶ τῆς γῆς, ὁ εἰπών, ὅτι ὅσα ἂν λύσητε ἐπὶ τῆς γῆς, ἔσται λελυμένα ἐν τῷ οὐρανῷ, καὶ ἡμεῖς τῇ γῇ προστάξει θαῤῥήσαντες, ἐλύσαμεν τὸν δοῦλόν σου τόνδε τοῦ ὅρκου, οὗ ὤμοσε· καὶ δεόμεθα καὶ παρακαλοῦμέν σε, ὅπως συγχωρήσῃς αὐτῷ, καὶ μὴ λογισθῇς αὐτῷ τὴν τοιαύτην ἁμαρτίαν, ἀλλὰ ἄφεσιν ἁμαρτιῶν αὐτῷ τε καὶ ἡμῖν δώρησαι. Σὺ γὰρ εἶ μόνος ἀναμάρτητος, καὶ δυνάμενος ἀφιέναι ἁμαρτίας, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας.

— Εὐχὴ ἐπὶ τῶν ἀλόγως ὑπό τινων ἀφοριζομένων, ἢ λόγῳ ἑαυτοὺς δεσμούντων.

Ὁ Θεὸς ὁ φοβερὸς καὶ δυνατός, ὁ διὰ τοὺς σοὺς οἰκτιρμοὺς ἐξαποστείλας τὸν μονογενῆ σου Υἱὸν εἰς τὸν κόσμον. Goar. pag. 531.

л. 273. Εὐχὴ ἐπὶ μιαροφαγησάντων.

Δέσποτα Κύριε ὁ Θεός, ὁ ἐν ὑψηλοῖς κατοικῶν Goar. pag. 534.

— Εὐχὴ ἐπὶ μιαροῦ τινος ἐμπεσόντος εἰς φρέαρ.

Χρὴ πρῶτον ἀντλῆσαι ἐκ τοῦ φρέατος κάδους μ΄. καὶ ἐκχέειν, εἶτα βαλεῖν ὕδωρ τῶν ἁγίων θεοφανίων σταυροειδῶς ἐκ τρίτου καὶ ἅψαι κηρούς, καὶ θυμιᾶσαι πέριξ, καὶ οὕτως ἐπεύξασθαι τὴν εὐχὴν ταύτην· Ὁ Θεὸς ὁ μέγας καὶ θαυμαστός, ὁ ἀνεκδιηγήτῳ ἀγαθωσύνῃ. Goar. p. 479 Εἰ δὲ ἐν ἑτέρῳ σκεύει κενῷ ἐμπέσει μιαρόν, χρὴ καὶ αὐτὸ πλύνεσθαι καί, βαλλομένου ἁγιάσματος σταυροειδῶς, γίνεσθαι καὶ τὴν εὐχὴν ταύτην· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ μόνος ἅγιος, ἁγίασον τὸ σκεῦος τοῦτο... Goar. p. 482. Εἰ δὲ συμβῇ μιαρόν τι ἢ ἀκάθαρτον προσφάτως ἐμπεσεῖν εἰς ἀγγεῖον οἴνου ἢ ἐλαίου, χρὴ τὸ ἐμπεσὸν ἀκάθαρτον παραχρῆμα αἵρεσθαι καὶ ῥίπτεσθαι ἔξω καὶ ἕτερον ἀγγεῖον πλύνεσθαι ἔσωθεν καὶ ἔξωθεν, καὶ τὸν ἱερέα λαβόντα θυμιατόν... Goar. pag. 481.

л. 280 об. Εὐχὴ εἰς τὸ φυτεῦσαι ἀμπελῶνα· Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή. Goar. pag. 551.

л. 281. Εὐχὴ ἐπὶ τρυγητοῦ.

Ὁ Θεός, ὁ Θεὸς ἡμῶν, ὁ εὐδοκήσας ἄμπελον κληθῆναι τὸν μονογενῆ σου Υἱὸν καὶ Θεόν. Goar. pag. 552.

л. 281 об. Εὐχὴ εἰς ψυχοῤῥαγοῦντας.

Δέσποτα Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ Πατὴρ τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ πάντας ἀνθρώπους θέλων σωθῆναι Goar. pag. 487.

л. 282. Εὐχὴ ἐπὶ οἴκῳ κτιζομένῳ.

Ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ ποιήσας τὸν οὐρανὸν ἐν συνέσει... Goar. pag. 583.

— Εὐχὴ ἐπὶ εὐλογίᾳ οἴκου.

Ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, ὁ καταξιώσας ὑπὸ τὴν σκηνὴν τοῦ Ζακχαίου εἰσελθεῖν. Goar. pag. 484.

л. 282 об. Εὐχὴ ἐπὶ μετανοούντων.

Ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, ὁ διὰ τοῦ προφήτου σου Νάθαν... Goar. pag. 536.

— Εὐχὴ ἐπὶ πυρεττόντων.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὰ χρόνια καὶ δεινὰ πάθη λόγῳ μόνῳ θεραπεύσας. Goar. pag. 549.

л. 283. Εὐχὴ ἐπὶ λογισμῶν αἰσχρῶν.

Δέσποτα Κύριε ὁ Θεός μου, οὗ ἐν χερσὶν οἱ κλῆροί μου .. Goar. pag. 536.

л. 283 об. Εὐχὴ ἐπὶ εὐλόγησιν οἴνου.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἀγαθὸς καὶ φιλάνθρωπος ἔπιδε ἐπὶ τὸν οἶνον τοῦτον. Goar. pag. 553.

— Εὐχὴ λεγομένη ἐν κολύβοις ἁγίων μνήμην.

Ὁ πάντα τελεσφορήσας τῷ λόγῳ σου, Κύριε. Goar. pag. 524.

л. 284. Ἐπὶ πλοίῳ, ἄρτι κατασκευασθέντι καὶ μέλλοντι πλέειν.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐντειλάμενος τῷ Νῶε κατασκευάσαι κιβωτὸν πρὸς σωτηρίαν τοῦ κόσμου. Goar. pag. 559.

л. 184. Εὐχὴ ἐπὶ ἄγρᾳ ἰχθύων.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ εἰπὼν τῷ προπάτορι Ἀδάμ· αὐξάνεσθε καὶ πληρώσατε τὴν γῆν καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης, καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ, καὶ πάντων τῶν ὄντων ἐπάνω τῆς γῆς διὰ τοῦ ἀγαπητοῦ σου Υἱοῦ, Κυρίου δὲ ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν, τοῦ εἰπόντος τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις· χαλάσατε τὰ δίκτυα εἰς τὰ δεξιὰ μέρη τοῦ πλοίου καὶ εὑρήσετε ἐκεῖ πλῆθος ἰχθύων, καὶ εὐλογήσαντος τοὺς πέντε ἄρτους καὶ τοὺς δύο ἰχθύας καὶ πλῆθος λαῶν κορέσαντος. Αὐτὸς εὐλόγησον τὴν ἄγραν ταύτην καὶ πλήθυνον τοὺς ἰχθύας ἐν αὐτῇ, ὅτι σὺ εἶ ὁ Δοτὴρ τῶν ἀγαθῶν καὶ φύλαξ τῶν ψυχῶν ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν.

л. 284 об. Εἰς κατασκευὴν σκάφους.

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ διὰ τὴν σὴν ἄφατον φιλανθρωπίαν καὶ ἀνεξιχνίαστον ἀγαθότητα καταξιώσας, διὰ τὴν ἡμετέραν σωτηρίαν καὶ τοῦ κόσμου ἀνέγερσιν, σάρκα ἀναλαβέσθαι καὶ ψηλαφηθῆναι, καὶ συνοδεῦσαι, καὶ συμπλεῦσαι τοῖς ἁγίοις σου ἀποστόλοις, ὁ ἐν εὐτελεῖ ξύλῳ κελεύσας πεζοβατεῖν τὸ τῆς θαλάσσης τέλμα, ὃν τρέμει ὁ οὐρανὸς καὶ ἡ γῆ, καὶ ἡ θάλασσα, καὶ ἡ ἄβυσσος καὶ πάντα τὰ ἐν αὐτοῖς. Αὐτὸς φιλάνθρωπε βασιλεῦ, καὶ κατὰ πάντα ἀγαθέ, κατάπεμψον τὴν χάριν σου ἐπὶ τὸ εὐτελὲς τοῦτο πλοιάριον καὶ εὐλόγησον αὐτό, ὁδηγῶν αὐτὸ ἐπὶ λιμένα θελήματός σου, λυτρούμενος αὐτὸ ἀπὸ φορᾶς καὶ ζάλης καὶ κλύδωνος, καὶ μὴ καταποντισάτω αὐτὸ καταιγὶς ὕδατος, μὴ δὲ καταπιέτω αὐτὸ βυθός, μὴ δὲ ἐπέλθοι αὐτῷ κίνδυνος μέγας ἢ μικρός, ἀλλ' ἔλθοι καὶ ἡ εὐλογία σου, καὶ ἡ χρηστότης, καὶ ἡ ἀγαθωσύνη σου ἐπ' αὐτὸ καὶ ἐπὶ τὰς ἐμπεπιστευμένας τούτῳ ψυχάς, δεόμεθά σου, Κύριε ὁ Θεὸς ἡμῶν, ῥυόμενος αὐτὰς ἀπὸ συναντήματος πονηροῦ, ἀπὸ φαντασμάτων πονηρῶν. Σὺ γὰρ εἶ ὁ Θεὸς ἡμῶν, Θεὸς τοῦ ἐλεεῖν καὶ σώζειν.

л. 385. Περὶ τῶν ἐν ἐπιτιμίοις ὄντων καὶ ἑαυτοὺς ὅρκῳ δεσμούντων.

Δέσποτα Κύριε Ἰησοῦ Χριστέ, ὁ μονογενὴς Λόγος τοῦ Πατρός, ὁ πάντα δεσμὸν τῶν ἁμαρτιῶν ἡμῶν τῷ σῷ ἑκουσίῳ πάθει διαῤῥήξας. Goar. pag. 528.

л. 285 об. Εὐχὴ ἐξ ἐπιτιμίων λυομένων.

Εὔσπλαγχνε, ἀγαθὲ καὶ φιλάνθρωπε, ὁ διὰ τοὺς σοὺς οἰκτιρμούς. Goar. pag. 531.

л. 286. Τοῦ ἁγιωτάτου καὶ λογιωτάτου πατριάρχου κὺρ Φιλοθέου εὐχὴ εἰς τὴν παναγίαν Δέσποιναν τὴν Θεοτόκον, ἐκτεθεῖσα αὐτομάτως ἐπὶ τοῖς καινοφανέσιν αὐτῆς θαύμασιν.

Παρθένε Δέσποινα Θεοτόκε, ἡ τὸν μονογενῆ τοῦ Θεοῦ Λόγον, τὸν πάσης ὁρατῆς καὶ νοητῆς κτίσεως ποιητὴν καὶ Δεσπότην, τὸν ἕνα τῆς Τριάδος, Θεόν τε καὶ ἄνθρωπον ὑπὲρ φύσιν καὶ λόγον γεννήσασα, τὸ σκήνωμα τῆς θεότητος, τὸ πάσης ἁγιωσύνης καὶ χάριτος δοχεῖον, ἐν ᾧ κατῴκησε τὸ πλήρωμα τῆς θεότητος σωματικῶς, εὐδοκίᾳ τοῦ Θεοῦ καὶ Πατρὸς καὶ συνεργίᾳ τοῦ ἁγίου Πνεύματος, ἡ πάσης κτίσεως βασιλικῷ καὶ θεοπρεπείᾳ ἀξιώματι ἀνυπερβλήτως ὑπερκειμένη καὶ ὑπερέχουσα, ἡ δόξα καὶ τρυφὴ καὶ ἄῤῥητος εὐφροσύνη τῶν ἀγγέλων, ὁ βασιλικὸς τῶν ἀποστόλων καὶ τῶν προφητῶν στέφανος, ἡ θαυμαστὴ καὶ ὑπερφυὴς τῶν μαρτύρων ἀνδρία, ἡ τῶν ἀγώνων αὐτῶν καὶ τῆς νίκης ἀφορμὴ καὶ τῶν ἀθλητικῶν στεφάνων, καὶ τῶν ἀϊδίων καὶ θεοπρεπῶν ἀμοιβῶν πρόξενος, ἡ ὑπέρτιμος τῶν ὁσίων τιμὴ καὶ δόξα, ἡ τῆς ἡσυχίας ἀπλανὴς ὁδηγὸς καὶ δι-

δάσκαλος, ἡ τῶν ἀποκαλύψεων καὶ τῶν πνευματικῶν μυστηρίων θύρα, ἡ πηγὴ τοῦ φωτός, ἡ πύλη τῆς αἰωνίου ζωῆς, ὁ τοῦ ἐλέους ἀκένωτος ποταμός, ἡ πάντων τῶν θεοπρεπῶν χαρισμάτων τε καὶ θαυμάτων ἀνεξάντλητος θάλασσα, σοῦ δεόμεθα, καὶ σὲ παρακαλοῦμεν τὴν συμπαθεστάτην Μητέρα τοῦ φιλανθρώπου Δεσπότου, ἱλάσθητι ἡμῖν τοῖς ταπεινοῖς καὶ ἀναξίοις δούλοις σου. Ἐπίβλεψον εὐμενῶς ἐπὶ τὴν αἰχμαλωσίαν καὶ τὴν ταπείνωσιν ἡμῶν, ἴασαι τὰ συντρίμματα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, τοὺς ὁρατοὺς καὶ ἀοράτους πολεμίους κατάλυσον· πύργος ἰσχύος, ὅπλα πολεμικά, παράταξις ἰσχυρὰ καὶ στρατηγὸς καὶ πρόμαχος ἄμαχος, γενοῦ τοῖς ἀναξίοις ἡμῖν ἀπὸ προσώπου τῶν ἐχθρῶν ἡμῶν, δεῖξον ἐν ἡμῖν τὰ ἀρχαῖά σου ἐλέη, καὶ τὰ θαυμάσια σήμερον, δεῖξον τοῖς ἀνόμοις ἐχθροῖς ἡμῶν, ὅτι μόνος βασιλεὺς καὶ Δεσπότης, ὁ σὸς Υἱὸς καὶ Θεός, καὶ σὺ Θεοτόκος κυρίως ἡ τὸν ἀληθινὸν Θεὸν κατὰ σάρκα γεννήσασα, καὶ δαμᾶσαι πάντα καὶ ἰσχύεις ἐνεργεῖν, ὅσα καὶ βούλει ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς. Πᾶσι τὰς αἰτήσεις πρὸς τὸ συμφέρον ἑκάστῳ δώρησαι, Δέσποινα· τοῖς νοσοῦσι τὴν ὑγείαν, τοῖς ἐν θαλάσσῃ τὴν γαλήνην καὶ τὴν κυβέρνησιν, ὁδοιποροῦσι συνοδεύουσα καὶ φυλάττουσα, αἰχμαλώτους τῆς πικρᾶς ῥυομένη δουλείας, παραμυθουμένη τοὺς λυπουμένους, τὴν πενίαν καὶ πᾶσαν σωματικὴν ἄλλην κουφίζουσα κάκωσιν, τῶν ψυχικῶν ἀῤῥωστημάτων καὶ τῶν παθῶν πρὸ πάντων ἀπαλλάττουσα πάντας, ταῖς σαῖς ἀοράτοις προστασίαις καὶ εἰσηγήσεσιν, ἵνα τὴν ὁδὸν τῆς προσκαίρου ταύτης ζωῆς καλῶς καὶ ἀπροσκόπως ἀνύσαντες, καὶ τῶν αἰωνίων ἐκείνων ἀγαθῶν διὰ σοῦ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν ἐπιτύχοιμεν· τοὺς δὲ πιστοὺς βασιλεῖς ἡμῶν, τοὺς τῷ φοβερῷ τοῦ μονογενοῦς Υἱοῦ σου τιμηθέντας ὀνόματι, καὶ τῇ σῇ πεποιθότας προστασίᾳ καὶ χάριτι, καὶ σὲ προβαλλομένους ἐν παντὶ καὶ μεσίτιν καὶ πρόμαχον κατὰ τῶν ἐπικειμένων ἐχθρῶν, ἀοράτως ἐνίσχυσον, διάλυσον τὸ ταῖς ψυχαῖς αὐτῶν ἐπικείμενον τῆς ἀθυμίας νέφος. Ἄφελε ἀπὸ τοῦ πόνου τῆς ψυχῆς αὐτῶν, καὶ λαμπρὰν τὴν εὐθυμίαν καὶ τὴν χαρὰν ἀντεισάγαγε, εἰρηνικὸν καὶ ἀστασίαστον τὸ κράτος καὶ τὴν βασιλείαν αὐτοῖς ἀποκατάστησον. Ῥῦσαι, Δέσποινα, ταῖς πρεσβείαις σου τὴν ἐξαιρέτως ἀνακειμένην σοι ταύτην ποίμνην καὶ πᾶσαν πόλιν καὶ χώραν ἀπὸ λιμοῦ, λοιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρός, μαχαίρας, ἐπιδρομῆς ἀλλοφύλων καὶ ἐμφυλίου πολέμου, καὶ πᾶσαν ὀργὴν τὴν καθ' ἡμῶν κινουμένην δικαίως ἀπόστρεψον, εὐδοκίᾳ καὶ χάριτι τοῦ μονογενοῦς Υἱοῦ καὶ Θεοῦ σου, ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, σὺν τῷ ἀνάρχῳ Πατρὶ καὶ τῷ συναϊδίῳ καὶ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς...

Δέσποτα[1]) Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ σοφίας ἀῤῥήτῳ λόγῳ πάντα πρὸς τὸ τοῦ πλάσματος συμφέρον οἰκονομῶν, καὶ τὴν μὲν πρόσκαιρον ταύτην ἡμῶν ζωὴν διὰ τῶν δεξιῶν καὶ ἀριστερῶν τῆς δικαιοσύνης ὅπλων λυσιτελῶς καὶ χρησίμως διακρατῶν, τὰς δὲ τῶν μελλόντων ἀγαθῶν ἐλπίδας ἀσφαλεῖς ἐντεῦθεν ἡμῖν χαριζόμενος, ὁ καὶ τὴν πονηρὰν καὶ κακοποιὸν ταύτην τῶν ἀνόμων ἐχθρῶν δύναμιν, οἱονείτινα μάστιγα σιδηράν, ἢ θυρίον ἀνήμερον, ἢ κεραυνόν τινα καὶ πρηστῆρα πρὸς παιδαγωγίαν ἡμῖν ἐπαφείς, μὴ τῷ θυμῷ σου ἐλέγξῃς ἡμᾶς, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς ἡμᾶς, ἵνα μὴ ἐπιχαρῇ ὁ ἐχθρὸς ἐπὶ τῇ πτώσει καὶ τῇ φθορᾷ ἡμῶν, μηδὲ εἴπωσι, ποῦ ἔστιν ὁ Θεὸς αὐτῶν, ἐγενήθημεν ὄνειδος τοῖς γείτοσιν ἡμῶν, μυκτηρισμὸς καὶ χλευασμὸς τοῖς κύκλῳ ἡμῶν, τὰς πόλεις ἡμῶν ἀλλότριοι κατέχουσιν ἀπέναντι τῶν ὀφθαλμῶν (л. 288) ἡμῶν· τὰ ἔμπροσθεν αὐτῶν παράδεισος τρυφῆς, καὶ τὰ ὄπισθεν αὐτῶν πεδίον ἀφανισμοῦ, διεσπάρημεν ἐπὶ πᾶν ἔθνος καὶ μακρὰν χώραν, καὶ ἀπεῤῥίφθημεν, ὡς τέκνα μωμητά, γενεὰ σκολιὰ καὶ παραπικραίνουσα· σίδηρον διῆλθεν ἡ ψυχὴ ἡμῶν, ἔθεντο τὰ θνησιμαῖα τῶν δούλων σου βρώματα τοῖς πετεινοῖς καὶ τοῖς θηρίοις τῆς γῆς, ἐξέχεαν τὸ αἷμα αὐτῶν, ὡσεὶ ὕδωρ, ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς καὶ οὐκ ἔστιν ὁ ῥυόμενος, ἀλλὰ σὺ Πατὴρ ἡμῶν εἶ, καὶ πρὸς σὲ καταφεύγομεν. Τὸ ὄνομά σου ἐπικαλούμεθα, ἐπίστρεψον, Κύριε, τὴν αἰχμαλωσίαν ἡμῶν, περιποίησαι τοὺς υἱοὺς τῶν τεθανατωμένων, ἀπόδος τοῖς γείτοσιν ἡμῶν ἑπταπλασίονα εἰς τὸν κόλπον αὐτῶν, τὸν ὀνειδισμὸν αὐτῶν, ὃν κατὰ σοῦ βλασφημοῦντες ὀνειδίζουσι, Δέσποτα· ὑπεράσπισαι τῆς ποίμνης σου ταύτης, καὶ παντὸς τοῦ χριστωνύμου πληρώματος, διὰ σαυτὸν καὶ τὸ τίμιον αἷμα τοῦ μονογενοῦς σου Υἱοῦ, ὃ δι' ἡμᾶς τοὺς ἀναξίους φιλανθρώπως ἐκένωσε, τοὺς δὲ πιστοὺς βασιλεῖς ἡμῶν δύναμιν κατὰ τῶν πολεμίων ἐνδύσας ἀήττητον, λάλησον εἰρήνην εἰς τὴν καρδίαν αὐτῶν ὑπὲρ ἀλλήλων, ὑπὲρ τῆς ἐκκλησίας σου, ὑπὲρ τοῦ λαοῦ σου παντός, συντετριμμένου τοῖς πειρασμοῖς, ὡς ὁρᾷς, καὶ ταλαιπωρουμένου πάντοθεν, ὡς ἂν τὸ καταλειφθὲν τῆς ζωῆς ἡμῶν βραχὺ λείψανον εἰρηνικόν τε καὶ (л. 288 об.) ἀτάραχον ζήσαιμεν, οἱονείτινα θανατηφόρον λύμην τὴν πονηρὰν ταύτην καὶ ἀνώμαλον στάσιν τῶν ἀγγείων τῆς ψυχῆς ἐκκενώσαντες, πρεσβείαις τῆς ὑπερευλογημένης Θεοτόκου, τῶν θεοφόρων ἀποστόλων, καὶ πάντων σου τῶν ἁγίων, εὐδοκίᾳ καὶ ἀγαθότητι τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεί.

---

[1]) Въ Εὐχολογ. XV в. о. арх. Антонина эта молитва надписывается такъ: Εὐχὴ κατὰ πολεμίων τοῦ αὐτοῦ.

Τοῦ αὐτοῦ εὐχὴ εἰς ἀνομβρίαν· Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τῷ ζῶντι καὶ ἐνυποστάτῳ σου λόγῳ καὶ τῷ ζωοποιῷ καὶ ὁμοτίμῳ σου Πνεύματι, πᾶσαν τὴν ὁρωμένην καὶ ἀόρατον κτίσιν ἀπὸ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγών, ὁ τὸν αἰσθητὸν καὶ περίγειον τοῦτον κόσμον τοῖς μεγάλοις τέσσαρσι στοιχείοις, ὡσπερεί τινα βασίλειον οἶκον τέσσαρσι στύλοις διαβαστάζεσθαι καὶ πρὸς τὸ ἀσάλευτον καὶ ἀδιάλυτον παραμένειν κελεύσας, εἰς δόξαν τῆς παντοδυνάμου σου δόξης καὶ ἀγαθότητος, καὶ ζωὴν καὶ ὑπηρεσίαν τοῦ κατ' εἰκόνα σὴν δημιουργηθέντος ἀνθρώπου, αὐτὸς πανάγαθε βασιλεῦ, οἱονεὶ νοσοῦντα τοῦτον καὶ σαλευόμενον νῦν τῇ ἐνδείᾳ καὶ στερήσει τοῦ ὕδατος τῷ ῥήματι τῆς δυνάμεώς σου, πρὸς τὸ ὑγιὲς καὶ ἀπερίτρεπτον ἀποκατάστησον, αὖθις δὸς κατὰ καιρὸν τὸν συνήθη καὶ φυσικὸν ὑετὸν τῇ γῇ, ὡς ἂν τὸ κατὰ φύσιν γόνιμον αὐτῆς εἰς ἐνέργειαν καὶ ἀποτέλεσμα προαγάγῃ, (л. 289) καὶ μὴ διακεκαυμένη καὶ ἄγονος γένηται παντοίων σπερμάτων καὶ φυτῶν καὶ παντὸς βλαστήματος, ἃ φυσικῶς ἐξάγειν ἄνωθεν ἐκελεύσθη τῷ σῷ προστάγματι, κέρασον τῷ μεγίστῳ καὶ καθολικῷ τοῦ ἡλίου πυρὶ τὴν τοῦ ὕδατος δρόσον ἄνωθεν, ἵνα τῇ συμμέτρῳ καὶ κατὰ φύσιν θέρμῃ, τρέφῃ καὶ πρὸς αὔξησιν φέρῃ, καὶ σώματα καὶ σπέρματα καὶ φυτὰ καὶ μὴ ἄκρατον ὂν καταφλέξῃ, καὶ ἀποτεφρώσῃ τὴν γῆν, καὶ πάντα τὰ ἐν αὐτῇ, τῷ ἀέρι τούτῳ τὴν φυσικὴν ἀπόδος ὑγρότητα, ταῖς νεφέλαις ἐντειλάμενος συνήθως ἄνωθεν βρέχειν ἐπὶ τῆς γῆς, ὡς ἂν εὔκρατος αὖθις καὶ ὁμαλὸς ἀποκαταστάς, ὑγιεινὸς καὶ σωτήριος γένηται τῷ κόσμῳ παντί, ἀνθρώποις καὶ κτήνεσι, φυτοῖς τε καὶ σπέρμασι, καὶ πᾶσι τοῖς πρὸς σύστασιν δεομένοις αὐτοῦ. Οἴδαμεν, φιλάνθρωπε Δέσποτα, ὅτι τὸ παρὰ φύσιν ἡμᾶς ἐνεργεῖν καὶ ζῆν ἁμαρτάνοντας ἐνώπιόν σου διὰ παντὸς καὶ ὀπίσω πορευομένους τῶν πονηρῶν ἐπιθυμιῶν ἡμῶν, τὴν παρὰ φύσιν ταύτην τῶν στοιχείων ἐργάζεται κίνησιν, καὶ ὡς σπέρμα στίζεται καὶ πλήττεται ἡ δι' ἡμᾶς δημιουργηθεῖσα ἀναίσθητος κτίσις, ἵνα, ἡμεῖς παιδευθέντες, εἰς αἴσθησιν ἔλθωμεν τῆς ἀπαιδευσίας καὶ τῶν σφαλμάτων ἡμῶν, ἀλλὰ σὺ μακρόθυμος καὶ πολυέλεος ὤν, ἄῤῥητός τε (л. 289 об.) φιλανθρωπίᾳ καὶ δύναμις, καὶ τὸ πλῆθος τῶν ἀνομιῶν ἡμῶν ἄφες, καὶ τὸ παρὰ φύσιν ἅπαν καταλύσας, εἰς τὴν φυσικὴν ὑγεῖαν καὶ εὐεξίαν καὶ ἰσότητα, καὶ ἡμᾶς καὶ τὴν αἰσθητὴν ταύτην σου κτίσιν, ὡς πάντων ποιητὴς καὶ Δεσπότης πάλιν ἀποκατάστησον, ἵνα κατὰ γενεὰς καὶ γενεάς, δοξάζηταί σου τὸ παντοδύναμον καὶ φιλάνθρωπον ὄνομα, πρεσβείαις τῆς παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου, τῶν θεοφόρων ἀποστόλων, καὶ πάντων τῶν ἁγίων, εὐδοκίᾳ καὶ ἀγαθότητι τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ πανα-

γίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

л. 290. Διάταξις τῆς θείας λειτουργίας, ἐν ᾗ καὶ τὰ διακονικά.

Чинъ этотъ, по настоящему списку, напечатанъ проф. *Н. Θ. Красносельцевымъ* въ его „Матеріалахъ для исторіи чинопослѣдованія литургіи св. І. Златоустаго" в. I стр. 36—78.

л. 300 об. Τὰ διπλοκατηχούμενα, ἃ λέγονται ἀπὸ τῆς τετράδος τῆς μεσονηστίμου μέχρι τῆς μεγάλης τετράδος.

— Αἰτήσεις, ἃς λέγει ἐν τῷ μεγάλῳ ἑσπερινῷ.

л. 301 об. Οἱ οἶκοι τῆς ὑπεραγίας Θεοτόκου.

л. 307. Πῶς[1]) χρὴ δέχεσθαι τοὺς ἀπὸ αἱρέσεων τῇ ἁγίᾳ τοῦ Θεοῦ καὶ ἀποστολικῇ ἐκκλησίᾳ προσερχομένους. Goar. pag. 694.

л. 308. Ὅπως χρὴ ἀναθεματίζειν ἐγγράφως τὴν αἵρεσιν αὐτῶν, τοὺς ἀπὸ Μανιχαίων προσιόντας τῇ ἁγίᾳ τοῦ Θεοῦ καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ. Cotelerius. Patres apostolici. Amstelaed. 1724 an. t. I p. 543, not—545; А. Дмитріевскій. Прилож. стр. 26—45.

л. 312 об. Τάξις γινομένη τοῖς ἀπὸ Μανιχαίων ἐπιστρέφουσι πρὸς τὴν καθαρὰν καὶ ἀληθῆ πίστιν ἡμῶν τῶν χριστιανῶν. Goar. pag. 700.

л. 313. Μεθοδίου, τοῦ ἁγιωτάτου πατριάρχου, διάταξις περὶ τῶν διαφόρῳ τρόπῳ καὶ ἡλικίᾳ ἐπιστρεφόντων. Goar. pag. 689. Молитвы тѣже, но имѣютъ надъ собою слѣдующія надписанія: a) Εὐχὴ ἱλασμοῦ εἰς τὸν ἀπ' ἀρνήσεως ἐπιστρέφοντα πρὸς τὴν ἡμετέραν πίστιν, b) εἰς ἱλασμὸν εὐχὴ ἄλλη, μετὰ τὸ εἰπεῖν τὸν ψαλμὸν Ν'. καὶ λζ'. καὶ ρβ'., c) εὐχὴ πρὸς χριστιανοὺς ὑπαχθέντας ἐθνικῇ πλάνῃ, ἐπιστρέψαντας δὲ καὶ τῇ ἐκκλησίᾳ προσδραμόντας, d) εὐχὴ ἀποστατήσαντος παιδὸς καὶ μαγαρίσαντος καὶ μετανοοῦντος. Молитва на главопреклоненіе и послѣдняя послѣ мνропомазанія безъ заглавій.

л. 317. Εὐχὴ εἰς τὸ ποιῆσαι ἐθνικὸν κατηχούμενον. Goar. p 283.

л. 317 об. Πῶς δεῖ δέχεσθαι τὸν ἐξ Ἑβραίων τῇ τῶν χριστιανῶν πίστει προσερχόμενον. Goar. pag. 282.

л. 218. Ἔκθεσις ἀκριβεστέρα περὶ τοῦ πῶς δεῖ δέχεσθαι τὸν ἐξ Ἑβραίων τῇ τῶν χριστιανῶν πίστει προσερχόμενον. А. Дмитріевскій. Прилож. стр. 68—82; Conf. Patres apostolici t. I, pag. 504—507, not. I.

л. 321 об. Περὶ Μελχισεδεκιτῶν τῶν καὶ Θεοδοτιανῶν καὶ Ἀθιγγάνων.

---

[1]) Начинается новая рука XVI в.

л. 323. Χρὴ οὖν τοὺς ἀπὸ Ἀθιγγάνων προσιόντας καὶ βαπτίζεσθαι μέλλοντας τοῦτο λέγειν. А. Дмитріевскій. Прилож. стр. 46—53.

л. 324. Τάξις [1]) γινομένη τοῖς ἀπὸ Σαρακηνῶν ἐπιστρέφουσι πρὸς τὴν καθαρὰν καὶ ἀληθῆ πίστιν ἡμῶν χριστιανῶν. Conf. Mign. Patrol. Curs. complet. t. CXL, col. 124—135.

л. 327 об. Εὐχὴ ἐπὶ τελευτήσαντος ἱερομονάχου.

Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς ἡμῶν, ὅτι σοῦ μόνον τὸ ζῆν ἀθάνατε. Goar. pag. 452.

л. 328. Εὐχὴ ἐπὶ [2]) τελευτήσαντος διακόνου ἢ καὶ εἰς μοναχοὺς πάντας..

Ὁ οἴκησιν ἔχων τὸν οὐρανὸν καὶ πάντα διέπων [3]) τὰ ἐν τῇ γῇ, Αὐτὸς ἐπίστασαι τὴν ἐργασίαν τοῦ τελευτήσαντος ἀδελφοῦ ἡμῶν [4]), ἣν ἐν τῷ οἴκῳ σου ὑπὸ σοῦ [5]) δυναμούμενος μεθ' ἡμῶν ἐξετέλεσε, καὶ [6]) ἄμειψαι, ἀγαθέ, τῇ ἐκεῖθεν ἀνέσει [7]) καὶ παράσχου αὐτῷ ἐν φωτὶ κατοικίαν [8]), ἐν χώρᾳ δικαίων, πάντων ἀνοημάτων συγχωρῶν αὐτῷ τὰ ὀφειλήματα, καὶ ἡμῖν βοήθειαν παρεχόμενος ἐν τῷ φωτὶ τῶν προσταγμάτων σου μέχρις ἄν, καὶ ἡμεῖς ταύτης τῆς σκιᾶς ἀξιωθῶμεν. Ὅτι προσκυνητὸν ὑπάρχει τὸ ὄνομά σου τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ.

— Ἀφορκισμὸς τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου ἐπὶ χειμαζομένων ὑπὸ πνευμάτων ἀκαθάρτων.

Ὁ Θεὸς τῶν θεῶν καὶ Κύριος τῶν κυρίων, ὁ τῶν πυρίνων ταγμάτων δημιουργός. Goar. pag. 578. Ἀφορκισμὸς α'. Ἐξορκίζω σε τὸν ἀρχέκανον τῆς βλασφημίας, τὸν ἀργηγὸν τῆς ἀνταρσίας... Goar. pag. 579.

л. 330 об. Ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου ἐπὶ χειμαζομένων ὑπὸ πνευμάτων ἀκαθάρτων.

Ὁ Θεὸς ὁ αἰώνιος, ὁ λυτρωσάμενος ἐκ τῆς αἰχμαλωσίας τοῦ διαβόλου. Goar. pag. 581. Εὐχὴ ἑτέρα· Κύριε ὁ Θεός, ὁ μόνος ἀγαθὸς καὶ φιλάνθρωπος, ὁ μόνος Χριστὸς καὶ ἐπιεικής, ὁ μόνος οἰκτίρμων καὶ πολυέλεος Θεὸς ἡμῶν, ὁ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ ἐπὶ Ποντίου Πιλάτου σταυρωθέντος, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐγερθέντος, καὶ εἰσελθόντος εἰς δόξαν τὴν ἑαυτοῦ καὶ τὴν σήν, ἐλθέτω ἡ χάρις σου ἐφ'

---

[1]) Изслѣдованіе о «происхожденіи чина присоединенія мухамеданъ къ прав. христ. вѣрѣ» напечатано А. Яблоковымъ въ Прав. Соб. 1881 г. кн. III, стр. 230—283. [2]) Рик. Синайск. библ. XV в. № 984 εἰς διάκονον κοιμηθέντα [3]) περιέποντα τὰ ἐπὶ γῆς, αὐτὸς [4]) καὶ δούλου σου [5]) нѣтъ—ὑπὸ σοῦ [6]) διὸ [7]) τὴν ἐκεῖθεν ἄνεσιν [8]) κατοικῆσαι.

ἡμᾶς καὶ ἐπὶ τὸν δοῦλόν σου, τόνδε, καὶ ἐνδυναμωσάτω ἡμᾶς, Κύριε, τὸ εὐαγγέλιον τῆς διδασκαλίας σου. Πάτερ εὔσπλαγχνε, φώτισον ἡμῶν τὰ σπλάγχνα, καὶ πάντα τὰ μέλη τῷ σῷ θελήματι, καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κακίας καὶ ἁμαρτιῶν, συντήρησον δὲ ἡμᾶς ἀσπίλους καὶ ἀμώμους ἀπὸ πάσης περιεργείας τοῦ ἀντικειμένου, καὶ χάρισαι ἡμᾶς, Κύριε, κατὰ τὴν σὴν χρηστότητα, τὰ σὰ νοεῖν, τὰ σὰ φρονεῖν, ἐν τοῖς σοῖς ἀναστρέφεσθαι, τὸν σὸν φόβον φοβεῖσθαι, ποιεῖν τὰ εὐχάριστά σοι ἕως τῆς ἐσχάτης ἡμῶν ἀναπνοῆς καὶ ἡμέρας καὶ ὥρας. Ἐπικαλούμεθά σε, τὸν ἀληθινὸν Θεὸν ἡμῶν, οἱ ἁμαρτωλοὶ ἡμεῖς, ὅπως ἂν κατὰ τὸ ἀνεκδιήγητόν σου ἔλεος, σφραγίσῃς ἡμῶν τὸ σῶμα, καὶ τὴν ψυχὴν καὶ τὸ πνεῦμα, καὶ διατηρήσῃς ἀπὸ παντὸς πονηροῦ δαίμονος, ἀπὸ παντὸς ἑρπετοῦ ἰοβόλου, ἀπὸ παντὸς θηρίου, τοῦ ἐπὶ τῆς γῆς, ἀπὸ πάσης ἀνομίας, ἀπὸ πάσης φαρμακείας, καὶ ἀπὸ πάσης πλάνης, ἀπὸ πάσης ματαιότητος, ἀπὸ πάσης πορνείας καὶ πλεονεξίας, ἀπὸ πάσης νόσου καὶ μαλακίας, ἀπὸ παντὸς ψεύδους καὶ πάσης ῥᾳδιουργίας, καὶ πάσης παγίδος τοῦ ἀντικειμένου ἡμῖν. Πάτερ ἀφθαρσίας, σκέπασον τὸν δοῦλόν σου τῇ σῇ εὐσπλαγχνίᾳ, καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς, μὴ δὲ ποιήσῃς ἐπίχαρμα ἐχθρῶν, καὶ ἐξουθένημα λαοῦ καὶ καταπάτημα δαιμόνων, ἀλλ᾽ ἵνα ἡ σὴ χάρις, τὸ σὸν ἔλεος ᾖ μεθ᾽ ἡμῶν πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν, ὅτι σὸν τὸ κράτος καὶ σοῦ ἐστὶν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεί.

л. 331 об. Ἀκολουθία εἰς μνῆστρα.

Εὐλογοῦντος τοῦ ἱερέως, ὁ διάκονος τὰ διακονικά, ὁ δὲ ἱερεὺς τὰς εὐχὰς ταύτας· Ὁ Θεὸς ὁ αἰώνιος, ὁ τὰ διῃρημένα συναγαγὼν εἰς ἑνότητα... Goar. p. 311. Εἰρήνη πᾶσιν. Ὁ διάκονος· Τὰς κεφαλὰς ἡμῶν. Εὐχή· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὴν ἐξ ἐθνῶν μνηστευσάμενος... Ibid. Ὁ δὲ διάκονος ταῦτα τὰ διακονικά· Ἐν εἰρήνῃ... Ὑπὲρ τοῦ εὐλογηθῆναι τὸν γάμον τοῦτον, ὡς τοῦ ἐν Κανᾷ τῆς Γαλιλαίας τοῦ... Ὑπὲρ τοῦ συζευχθῆναι αὐτοὺς καὶ ἀφαπθῆναι τοῦ... Ὑπὲρ τοῦ δοθῆναι αὐτοῖς καρπὸν κοιλίας... Ὅπως Κύριος ὁ Θεὸς ἡμῶν διαφυλάξῃ τὴν κοίτην αὐτῶν... Ὑπὲρ τοῦ ῥυσθῆναι... Καὶ μετὰ τὸ πληρῶσαι τὸν διάκονον τὴν συναπτήν, λέγει ὁ ἱερεὺς τὴν εὐχὴν ταύτην· Ὁ Θεός, ὁ ἅγιος, ὁ πλάσας τὸν ἄνθρωπον... Goar. p. 317 Εἶτα στέφει ἀμφοτέρους, καὶ κρατήσας αὐτῶν τὰς δεξιάς, παραδίδωσιν ἀλλήλοις, καὶ λέγει· Εἰρήνη πᾶσιν. Ὁ διάκονος· Τὰς κεφαλὰς ἡμῶν. Ὁ ἱερεὺς τὴν εὐχὴν ταύτην· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν τῇ σωτηριώδει σου οἰκονομίᾳ... Goar. p. 318. Καὶ μετὰ τὸ Ἀμήν, μεταδίδωσιν αὐτοῖς τῆς ζωοποιοῦ κοινωνίας, εἶτα λαμβάνει ὁ ἱερεὺς ποτήριον οἴνου κοινὸν καὶ ἐπεύχεται οὕτως. Εὐχὴ τοῦ κοινοῦ ποτηρίου· Ὁ Θεός, ὁ

πάντα ποιήσας τῇ ἰσχύι σου. . p. 319. Εὐχὴ εἰς τὸ ἆραι τὰ στέφανα· Ὁ Θεὸς ἡμῶν, ὁ παραγενόμενος ἐν Κανᾷ τῆς Γαλιλαίας... p. 320. Εὐχὴ εἰς τὰ παστολύσια· Νυμφῶνα καταντήσαντες οἱ δοῦλοί σου, Κύριε... p. 325.

**XXXIII**. № 362 (607) Εὐχολόγιον, ркп. библ. лавры Саввы Освященнаго (нынѣ патріаршей іерусалимской библ.) въ 16 долю, 75 листовъ, писана на пергаменѣ крупнымъ и красивымъ почеркомъ XIV в. Изъ надписей интереснѣйшею нужно считать собственноручную подпись въ началѣ рукописи: Σωφρόνιος, πατριάρχης τῆς ἁγίας πόλεως, съ датою, по словамъ А. Пападопуло-Керамевса, 7107 или 1598—1599 г. (Διάταξις τῆς τοῦ πατριάρχου λειτουργίας. Ἐν. Ἀθήν. 1890 σελ. 8; Ἱεροσολυμιτ. βιβλιοθ. τ. β'. ἐν Πετρουπολ. 1894 σελ. 613).

л. 1. Ἄλλη τάξις γινομένη ἐπὶ σαλευθείσης ἁγίας τραπέζης.

Πρὸ τῆς ἀρχῆς τῆς θείας λειτουργίας ἀποστέλλεται εἴτε λιθοξόος, εἴτε χρυσοχόος καὶ τοὺς σαλευθέντας κίονας, οἷς βαστάζεται ἡ ἁγία τράπεζα, ἀποσπογγίζει καὶ κοιτάζει πρὸς τοὺς ἰδίους τόπους, καὶ μετὰ τοῦτο γεμίζει τὰς ἁρμονίας... Goar. p 492. Оканчивается прошеніями: Ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν ὁ δεῖνα καὶ τοῦ ἔργου τῶν χειρῶν αὐτοῦ, τοῦ Κυρίου... Ἐκτενέστερον ὑπὲρ αὐτοῦ καὶ τῶν συμπαρόντων αὐτῷ ἱερέων...

л. 1 об. Εὐχαὶ τῆς γονυκλισίας τῆς ἁγίας Πεντηκοστῆς. Goar. p. 597—602.

л. 8. Τάξις γινομένη ἐπὶ καθιερώσει ναοῦ καὶ ἱδρύσει τῆς ἐν αὐτῷ ἁγίας τραπέζης. Goar. p. 655—664. Въ текстѣ есть небольшія особенности, отмѣченныя нами въ ркп. Аѳон.-Ватоп. библ. 1533 г. № 133 л. 302.

л. 26. Εὐχὴ ἑτέρα εἰς τὴν κατάθεσιν τῶν λειψάνων.

Ὁ Θεὸς τῶν πατέρων ἡμῶν, ὁ ἅγιος τῶν ἁγίων, ὁ Θεὸς τῶν ἀποστόλων καὶ βασιλεὺς τῶν μαρτύρων, τὸ καύχημα τῶν ἁγίων σου καὶ ὁ στέφανος πάντων τῶν εὐαρεστησάντων τῷ ὀνόματί σου, μνήσθητι ἡμῶν, Κύριε, ἐν τῇ εὐδοκίᾳ τοῦ λαοῦ σου, ἐπίσκεψαι ἡμᾶς ἐν τῷ σωτηρίῳ σου, χάρισαι ἡμῖν μνημονεύειν τῶν ἁγίων σου καὶ κοινωνεῖν αὐτῶν τοῖς παθήμασι. Ναί, Κύριε ὁ Θεός, πιστὸς ἐν τοῖς λόγοις, ὁ χαρισάμενος τοῖς ἁγίοις σου μάρτυσι τὸν ἀγῶνα τὸν καλὸν ἀγωνίσασθαι, καὶ τὸν δρόμον τῆς εὐσεβείας τελειῶσαι καὶ τὴν πίστιν τῆς ἀληθινῆς ὁμολογίας φυλάξαι, παρακλήθητι καὶ χάρισαι ἡμῖν τοῖς σοῖς οἰκέταις μέρος καὶ κλῆρον ἔχειν μετὰ πάντων τῶν ἁγίων σου, ἵνα, μιμηταὶ αὐτῶν γενόμενοι, καταξιωθῶ-

μεν τῶν ἀποκειμένων αὐτοῖς ἀγαθῶν. Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητός.

л. 26 об. Ἑτέρα εὐχή, λεγομένη ἔμπροσθεν τῆς ἁγίας τραπέζης.

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ διὰ τῶν καλλινίκων σου μαρτύρων καταγωνισάμενος τὸν ἐχθρὸν ἡμῶν διάβολον, χάρισαι ἡμῖν τοῖς σοῖς οἰκέταις μέρος ἔχειν καὶ κοινωνίαν μετὰ τῶν ἁγίων σου, δὸς ἡμῖν ἀγαπᾶν τοὺς ἀγαπῶντάς σε καὶ μιμεῖσθαι αὐτῶν τὸν ζῆλον καὶ τὴν ἐλπίδα, ποίησον ἡμᾶς μαθητὰς τῶν ἀθλησάντων ὑπὲρ τῆς εὐσεβείας, τῶν ἐκχεάντων τὰ ἑαυτῶν αἵματα ὑπὲρ τῆς ὁμολογίας τοῦ μεγάλου καὶ προσκυνητοῦ ὀνόματος τοῦ Χριστοῦ σου, καὶ καταξίωσον ἡμᾶς εὐχαῖς καὶ πρεσβείαις αὐτῶν ἀντέχεσθαι τῆς πίστεως καὶ τῆς ἀληθείας τοῦ λόγου σου διὰ τὴν ἐλπίδα, τὴν ἀποκειμένην ἐν τοῖς οὐρανοῖς, τοῖς ἠγαπηκόσι τὴν ἐπιφάνειαν τοῦ Χριστοῦ σου, ἵνα σοι, εὐχαριστοῦντες καὶ σοὶ δουλεύοντες, τύχωμεν τῶν ἐπουρανίων δωρεῶν σου. Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν καὶ ἐν ἁγίοις κατοικεῖς καὶ ἐν αὐτοῖς θαυματουργεῖς..

л. 27 об. Τάξις γινομένη ἐπὶ σαλευθείσης ἁγίας τραπέζης. Goar. pag. 490—491.

л. 30. Εὐχὴ τοῦ ἁγίου Ταρασίου, πατριάρχου Κωνσταντινουπόλεως, ἐπὶ λύσεως ναοῦ, ὑπὸ αἱρέσεως μιανθέντος, λεγομένη ἔξω τοῦ πυλῶνος τῆς ἐκκλησίας.

Κύριε ὁ Θεὸς ἡμῶν, δυσωποῦμέν σε τὸν ἵλεων καὶ εὐμενῆ ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν καὶ τὴν ἐκκλησίαν διὰ τῶν ἀποστόλων. Goar p. 494.

л. 31. Εὐχὴ λεγομένη ἔμπροσθεν τῆς ἁγίας τραπέζης.

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, δυσωποῦμέν σε τὸν ἵλεων καὶ εὐμενῆ ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν, εἴ τις ἐξ αἱρετικῆς ἐγχειρίσεως ἐπιτριβῇ μώμησις τῷ ἁγίῳ σου θυσιαστηρίῳ τούτῳ, περίελε ταύτην τῇ δυνάμει καὶ ἐνεργείᾳ τοῦ ἁγίου σου Πνεύματος, καὶ καταξίωσον ἡμᾶς τοὺς ἀναξίους δούλους σου ἀκατακρίτως προσφέρειν ἐν αὐτῷ τὰς ἀναιμάκτους καὶ λογικὰς καὶ θυσίας καὶ λατρείας ἡμῶν πρεσβείαις τῆς ἀειπαρθένου Θεομήτορος καὶ πάντων τῶν ἁγίων. Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν. Conf. Goar. pag. 494.

— Εὐχὴ ἐπὶ ἀνοίξει ναοῦ, βεβηλωθέντος ὑπὸ ἐθνικῶν ἢ ὑπὸ αἱρετικῶν καθυβρισθέντος· Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ τὸν ναὸν τοῦτον ἀναδείξας..... γινώσκεται δόξης ἢ παρὰ τῶν ἐκταραξάντων καὶ σχισάντων τὴν σὴν ἐκκλησίαν ἐν ἀθετήσει καὶ ὕβρει τῶν ἀχράντων εὐαγγελίων καὶ τῶν ἀποστολικῶν καὶ πατρικῶν καὶ κανονικῶν παραδόσεων. Αὐτὸς πάλιν ἱλέῳ προσδεχόμενος... Goar. pag. 495.

л. 32. Εὐχὴ λεγομένη ἐπὶ ἀνοίξει ναοῦ, ἐν ᾧ συνέβη θανεῖν ἄνθρωπον ἢ ζῷον ἄλογον κατὰ τὸν πάλαι νόμον ἀκάθαρτον καὶ ἄθυτον, ἢ ἔθανεν, ἢ ἐγέννησεν.

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ διὰ τὴν πολλὴν καὶ ἄφατον ἀγαθότητα καταξιώσας ὀνομασθῆναι τὸν ναόν... ἀνδροκτόνου διαβόλου, ἢ ἀλόγου θανάτῳ ζῴου, ἢ γεννήσει κατὰ τὸν πάλαι σὸν ἅγιον νόμον ἀθύτου καὶ ἀκαθάρτου. Αὐτὸς πάλιν διὰ τὸ πολὺ καὶ ἀμέτρητον ἔλεός σου... Goar. pag. 496.

л. 33 об. Εὐχὴ ἱκετήριος εἰς τὴν ὑπεραγίαν Θεοτόκον.

Δέχου τοίνυν, πανευμενεστάτη, τίμια δῶρα καὶ σοὶ μόνῃ ἁρμάζοντα παναγία Παρθενομῆτορ, παρ' ἡμῶν τῶν ἀναξίων δούλων σου, ἡ πασῶν γενεῶν τιμιωτέρα, καὶ πάντων ὁρατῶν τε καὶ ἀοράτων δημιουργημάτων ὡραιοτέρα φανεῖσα, μακαρία ἡ ῥίζα τοῦ Ἰεσσαὶ καὶ τρισμακάριστος ὁ οἶκος Δαβίδ, ἐν ᾧ σὺ ἐβλάστησας, ὁ Θεός, ἐν μέσῳ σου καὶ οὐ σαλευθήσῃ· ἡγίασε γάρ σε, τὸ σκήνωμα αὐτοῦ, ὁ ὕψιστος, ἐν σοὶ διαθῆκαι καὶ ὁρκωμοσίαι Θεοῦ πρὸς τοὺς πατέρας ἡμῶν τέλος εὐκλεέστατον ἐδέξαντο, ὅτι διὰ σοῦ γέγονε Κύριος τῶν δυνάμεων μεθ' ἡμῶν, μακαρία σὺ ἐν γενεαῖς γενεῶν, θεομακάριστε, ἡ πάσης κτίσεως οὐρανίων τε καὶ ἐπιγείων ὑψηλοτέρα φανεῖσα, ἡ τῶν χερουβὶμ λαμπροτέρα καὶ τῶν σεραφὶμ ἐνδοξοτέρα, παρθενίας καύχημα, πιστῶν στήριγμα, καὶ νῦν, πανύμνητε Θεοτόκε, μὴ παύσῃ πρεσβεύουσα ὑπὲρ ἡμῶν, τῶν ἀναξίων δούλων σου, ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης περιστάσεως, καὶ τῷ φιλοχρίστῳ βασιλεῖ ἡμῶν πᾶσαν ἐπιβουλὴν καὶ τυραννίδα κατάβαλλε, καὶ πᾶσαν βαρβάρων θρασύτητα νέκρωσον, καὶ πάντα τῶν ἐπανισταμένων αὐτῷ τὰ φρυάγματα ταπείνωσον ὑπὸ τοὺς πόδας αὐτοῦ· διὰ σοῦ γάρ, Δέσποινα, καὶ τὸν Υἱὸν τοῦ Θεοῦ ἐγνωρίσαμεν, καὶ ἠξιώθημεν τοῦ παναγίου αὐτοῦ σώματος καὶ αἵματος, καὶ μέχρι τέλους ἡμᾶς ἀκατακρίτους διαφύλαξον ταῖς ἱκεσίαις, ἵνα ἐν πᾶσιν ἅπαντες σωζόμενοι, σὲ μὲν πόθῳ μεγαλύνωμεν, τῷ δὲ Υἱῷ σου δόξαν ἀναπέμπωμεν σὺν τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺ αἰῶνας.

л. 34 об. Τάξις γινομένη ἐπὶ χειροτονίᾳ ἀναγνώστου. Goar. pag. 194—195.

л. 35 об. Τάξις γινομένη ἐπὶ χειροτονίᾳ ὑποδιακόνου.

Προσάγεται τῷ ἀρχιερεῖ [1]) ὁ μέλλων χειροτονεῖσθαι.. Goar. pag. 203. Καὶ οὕτω λαμβάνων εὐλογίαν, ἀπερχόμενος, ἵσταται ἔμπροσθεν τῶν

[1]) Ркп. патріаршей Александр. библ. (въ Каирѣ) 1407 г. № 371 τῷ πατριάρχῃ ὁ ἀναγνώστης μετὰ φαινολίου, εἰ δὲ μοναχὸς ἔνι μετὰ τοῦ μανδόου, κελεύει δὲ ὁ πατριάρχης.

ἁγίων θυρῶν. Οὕτω γίνεται καὶ εἴπερ εἰσὶ πολλοὶ χειροτονούμενοι ὑποδιάκονοι, τῆς εὐχῆς μόνον μικρὸν ὑπαλλασσομένης πρὸς πολλούς.

л. 36 об. Τάξις γινομένη ἐπὶ χειροτονίᾳ διακόνου. Вмѣсто архидіакона дѣйствуетъ μέγας χαρτοφύλαξ. Goar. pag. 208—209. Καὶ οὕτως ὁ ἐπὶ τοῦ ἄμβωνος διάκονος λέγει τὸ Πάντων τῶν ἁγίων. Κατὰ δὲ τὸν τῆς μεταλήψεως τῶν θείων μυστηρίων καιρόν, πρῶτος τῶν ἄλλων ὁ διάκονος, ὁ χειροτονηθείς, τοῦ θείου ἄρτου μετέχει παρὰ τοῦ ἀρχιερέως καὶ μεταλαμβάνει τοῦ τιμίου αἵματος πρὸ αὐτῶν παρὰ τοῦ μεταδιδόντος τῷ ἀρχιερεῖ, καὶ πρώτου δεχομένου παρ' αὐτοῦ τὸ ἅγιον ποτήριον ἀρχιερέως ἢ καὶ ἱερέως. Αὐτὸς δὲ λέγει καὶ τὰ διακονικὰ ταῦτα· Ὀρθοὶ μεταλαβόντες... Καὶ μετὰ τὴν ἐκφώνησιν· Ἐν εἰρήνῃ προέλθωμεν, καὶ τὸ Τοῦ Κυρίου δεηθῶμεν. Καὶ ταῦτα μέν, ὅτε γίνεται λειτουργία τελεία, ἐπεὶ δὲ ἔξεστι τὴν τοῦ διακόνου χειροτονίαν καὶ ἐν τοῖς προηγιασμένοις ποιεῖν. Ἰστέον, ὅτι μετὰ τὸ ἀποτεθῆναι τὰ προηγιασμένα κ. τ. λ. Goar. p. 209.

л. 40 об. Τάξις γινομένη ἐπὶ χειροτονίᾳ πρεσβυτέρου. Ὀφείλει εἶναι χρόνων... Goar. pag. 242. Принимаютъ въ алтарѣ рукополагаемаго πρωτοπαπᾶς καὶ ὁ δευτερεύων τῶν ἱερέων. Дѣйствуетъ πατριάρχης. Замѣчанія: Ἰστέον δε, ὅτι ὅταν ψάλλωσι τὸ Ἅγιοι μάρτυρες κ. τ. λ. нѣтъ. Возгласъ: „Πρόσχωμεν говоритъ μέγας χαρτοφύλαξ. Въ ектеніи есть прошеніе о царѣ. Объ епитрахили говорится: καὶ φέρει τὸ ὄπισθεν τοῦ ὡραρίου αὐτοῦ ἐπὶ τὸ ἔμπροσθεν τοῦ δεξιοῦ μέρους, λέγων· Ἄξιος, ἢ περιτίθησιν αὐτῷ ἐπιτραχήλιον, καὶ ψάλλουσι τὸ Ἄξιος πρότερον οἱ τοῦ βήματος τρίς, ἔπειτα οἱ ψάλται τρίς. По облаченіи въ фелонь, καὶ οὕτως ἀσπάζεται τὸν ἀρχιερέα καὶ τοὺς πρεσβυτέρους καὶ οὕτως, ἀπερχόμενος ὁ χειροτονηθεὶς ἐπὶ τὸ δεξιὸν μέρος τῆς ἁγίας τραπέζης, ἐρείσας αὐτοῦ τὸ μέτωπον, λέγει καθ' ἑαυτὸν τὸ Ἐλέησόν με, ὁ Θεός. Καὶ οὕτως ὁ ἐν τῷ ἄμβωνι διάκονος, λαμβάνων καιρόν, ἄρχεται λέγων ταῦτα· Πληρώσωμεν τὴν δέησιν ἡμῶν καὶ τὰ λοιπά. Ὅτε δὲ τελειωθῶσι τὰ ἅγια καὶ μέλλῃ εἰπεῖν ὁ ἀρχιερεὺς τὴν εὐχὴν τήνδε· Ὥστε γενέσθαι τοῖς μεταλαμβάνουσι, προσέρχεται ὁ χειροτονηθεὶς πρεσβύτερος, καὶ ἐπιδίδωσιν αὐτῷ ὁ ἀρχιερεὺς τὴν παρακαταθήκην, λέγων πρὸς αὐτὸν οὕτως· Λάβε τὴν παρακαταθήκην. Новопоставленный λειτουργεῖ καθ' ἑκάστην ἐπὶ ἑπτὰ ἡμέρας.

л. 44 об. Τάξις γινομένη ἐπὶ χειροτονίᾳ ἐπισκόπου.

Πρὸ τοῦ φθάσαι τὸν καιρὸν τῆς λειτουργίας, οἱ ὑπηρέται εὐτρεπίζουσι τὴν ἀναβάθραν τοῦ ἀρχιερέως, τιθέντες αὐτὴν ἔνδον τοῦ ναοῦ ἐν ταῖς βασιλικαῖς πύλαις, ἢ καὶ ἐν τῷ νάρθηκι, καὶ ἐν τῷ τέλει τῶν βαθμίδων ἑκατέρωθεν αὐτῆς τιθέασι θρόνους ἀρχιερατικούς, μέσον δὲ τῶν

θρόνων τούτων ἀπὸ τῆς τελευταίας βαθμίδος ζωγραφεῖ ὁ ἐπὶ τῆς εὐταξίας ἀετὸν μετὰ φεγγίου τὴν κεφαλὴν αὐτοῦ, ποιῶν πρὸς τὸ μέρος τῆς ἀναβάθρας, περὶ δὲ τοὺς πόδας αὐτοῦ ζωγραφεῖ σχῆμα πόλεως καὶ κάτωθεν τῆς πόλεως ὡς ποταμοὺς τρεῖς. Καὶ ταῦτα καλῶς εὐτρεπίσας, ἵστησιν ὑπηρέτας ἔξωθεν τῶν θρόνων, φυλάσσοντας τὴν ζωγραφίαν ὥστε μὴ διέρχεσθαι τινὰς καὶ καταπατεῖν ταῦτα. Ὁ δὲ ἀρχιερεὺς φορέσας ἀνέρχεται ἐν τῇ ἀναβάθρᾳ διὰ μέσου τοῦ ἀετοῦ, τῶν ἄλλων πάντων ἔνθεν καὶ κακεῖθεν ὑποχωρούντων, ἵνα μὴ πατήσωσιν αὐτόν, εἶτα ὑποχωροῦσι πάντες καὶ κάθηνται ἐν ἑνὶ μέρει. Ὁ δὲ [1]) χαρτοφύλαξ ἀπέρχεται μετὰ τοῦ ὑπομνηματογράφου καὶ τοῦ ἱερομνήμονος, ἑπομένων αὐτῷ, προπορευομένου ἀεὶ τοῦ ἐπὶ τῆς εὐταξίας, καὶ προσκαλεῖται πρῶτον τοὺς ψάλτας, οἵ καὶ ἐρχόμενοι, στάντες ἀπαντικρὺ τοῦ πατριάρχου καὶ προσκυνήσαντες, ψάλλουσι τρὶς τὸ Εἰς πολλὰ ἔτη, δέσποτα. Μετὰ τούτους προσκαλεῖται τοὺς ἄρχοντας τῆς ἐκκλησίας, οἵ καὶ ἐρχόμενοι κατὰ τάξιν καὶ κατὰ συζυγίαν, προσκυνοῦντες· οἱ μὲν ἐξωκατάκηλοι κάθηνται ἐν ταῖς βαθμῖσι τῆς ἀναβάθρας, ὁ δὲ πρωτονοτάριος καὶ ὁ λογοθέτης ἀνέρχονται καὶ ἵστανται ἑκατέρωθεν τοῦ ἀρχιερατικοῦ [2]) θρόνου, οἱ δὲ λοιποὶ ἵστανται κάτω μετὰ τὴν ἀναβάθραν ἐξ ἑκατέρου μέρους. Εἶτα προσκαλεῖται τοὺς ἐπισκόπους [3]), οἵ καὶ ἐρχόμενοι μετὰ φαινολίων λευκῶν καὶ προσκυνοῦντες κατὰ συζυγίαν, κάθηνται ἐν τοῖς προευτρεπισμένοις θρόνοις. Καὶ τελευταῖον προσκαλεῖται τὸν ὑποψήφιον, ὃς καὶ ἐρχόμενος μετὰ φαινολίου λευκοῦ καὶ ἐπιτραχηλίου κατὰ ποταμὸν προσκυνεῖ, καί, στὰς ἀπαντικρὺ τοῦ πατριάρχου, ἀναγινώσκει τὴν ἰδίαν ὁμολογίαν εἰς ἐπήκοον πάντων. Καὶ μετὰ τὴν ἀνάγνωσιν ἀνιστάμενος ὁ [4]) χαρτοφύλαξ ἀπέρχεται ἐν τῷ τόπῳ, ἔνθα ἵσταται ὁ ὑποψήφιος καί, λαβὼν τὴν αὐτοῦ κεφαλὴν τῇ ἰδίᾳ δεξιᾷ καὶ ταύτην ὑποκλίνας, ἀσκεπῆ οὖσαν, ἐκφωνεῖ· Κελεύσατε. Καὶ πάντων ἀνισταμένων, ἀνίσταται ὁ ἀρχιερεὺς [5]) καί, ἔχων πρὸς αὐτὸν τὴν χεῖρα ἐκτεταμένην, ἐκφωνεῖ· Ἡ χάρις τοῦ παναγίου Πνεύματος διὰ τῆς ἡμῶν μετριότητος προχειρίζεταί σε μητροπολίτην τῆς θεοσώστου πόλεως τῆσδε. Καὶ οἱ μὲν ψάλται ψάλλουσι τρὶς τὸ Εἰς πολλὰ ἔτη, δέσποτα, ὁ δὲ [6]) χαρτοφύλαξ, κρατῶν τὸν χειροτονούμενον ἀπὸ τῆς κεφαλῆς, ἀνέρχεται διὰ τοῦ ἀετοῦ πρὸς τὸν ἀρχιερέα [7]) καὶ ὑποδείκνυσιν αὐτῷ ἀσπάσασθαι τὸ τοῦ ἀρχιερέως [8]) δεξιὸν γόνυ, τὴν δεξιὰν χεῖρα καὶ τὴν δεξιὰν παρειάν. Εἶτα ἀπέρχεται εἰς τοὺς ἐπισκόπους καὶ ἀσπάζεται καὶ αὐτοὺς εἰς τὸ στόμα, καὶ πάλιν ἵστησιν αὐτὸν ὁ [9]) χαρτοφύλαξ ἐν τῷ συνήθει τόπῳ καί, ὑπο-

---

[1]) Μέγας [2]) πατριαρχικοῦ [3]) ἀρχιερεῖς [4]) μέγας [5]) καὶ ὁ πατριάρχης [6]) μέγας [7]) πρὸς τὸν πατριάρχην [8]) πατριάρχου [9]) μέγας.

κλίνας αὖθις τὴν κεφαλὴν αὐτοῦ, ἐκφωνεῖ· Κελεύσατε. Καὶ πάλιν ἀνιστάμενος ὁ ἀρχιερεύς[1]), ἔχων ὁμοίως καὶ τὴν χεῖρα ἐκτεταμένην, ἐκφωνεῖ· Ἡ χάρις τοῦ παναγίου Πνεύματος ἔσται μετὰ σοῦ. Καὶ πάλιν οἱ ψάλται ψάλλουσι τρὶς τὸ Εἰς πολλὰ ἔτη, δέσποτα. Καὶ οὕτω μικρὸν προπέμψας αὐτὸν ὁ μέγας χαρτοφύλαξ παραδίδωσι τοῖς ὑπηρέταις, καὶ ἀπέρχονται σὺν αὐτῷ εἰς τὸ ἅγιον βῆμα. Καὶ φορέσας πᾶσαν τὴν ἱερατικὴν στολὴν καὶ ἐπιγονάτιον, κάθηται ἐν τῷ διακονικῷ, οὔτε δὲ εἰς τὴν εἴσοδον ἐξέρχεται, οὔτε ἐκφώνησιν λέγει. Οἱ δὲ ἐπίσκοποι[2]), ἀνιστάμενοι καὶ προσκυνοῦντες τὸν ἀρχιερέα[3]) καὶ λαμβάνοντες εὐλογίαν, ἀπέρχονται ἐν τῷ συνήθει τόπῳ καὶ φορένουσιν[4]). Ὁ δὲ ὑποψήφιος ἵσταται ἐν τῷ διακονικῷ. Καὶ μετὰ τὴν τοῦ Τρισαγίου[5]) συμπλήρωσιν, παραλαμβάνουσιν αὐτὸν ἐξ ἑκατέρου μέρους ὅ τε πρωτοπαπᾶς καὶ ὁ δευτερεύων τῶν ἱερέων καί, ἐξερχόμενοι διὰ τῆς θύρας τοῦ διακονικοῦ, προπορευομένου τοῦ ἐπὶ τῆς εὐταξίας, διέρχονται διὰ τῆς σωλαίας μέχρις ἂν φθάσωσιν εἰς τὰς ἁγίας θύρας. Ὅταν δὲ φθάσωσι τὰς ἁγίας θύρας, ἀπολύουσιν αὐτὸν οἱ πρεσβύτεροι, καὶ παραλαμβάνουσιν αὐτὸν δύο ἐπίσκοποι οἱ πρῶτοι καί, προπορευομένου τοῦ ἱερομνήμονος καὶ τοῦ δευτερεύοντος τῶν διακόνων καὶ ψαλλόντων τὸ Ἅγιοι μάρτυρες, στρέφουσιν αὐτὸν κύκλῳ τῆς ἁγίας τραπέζης τρίς. Ὁ δὲ ἀρχιερεὺς[6]) ἵσταται εἰς τὴν κρηπίδα, τὴν πρὸ τῆς ἁγίας τραπέζης, καὶ προσάγουσιν αὐτῷ τὸν χειροτονούμενον, ὃς καὶ σφραγιζόμενος τὴν κεφαλὴν τρὶς παρὰ τοῦ ἀρχιερέως[7]), ἐρείσας τε τὸ μέτωπον τῇ ἁγίᾳ τραπέζῃ, κλίνει καὶ ἀμφοτέρους τοὺς πόδας. Ὁ δὲ[8]) χαρτοφύλαξ ἐπιδίδωσι τῷ ἀρχιερεῖ[9]) χάρτην γεγραμμένον, τὸ λεγόμενον πτερόν, καὶ ἐκφωνεῖ· Πρόσχωμεν. Ὁ δὲ ἀρχιερεύς[10]), λαβὼν τὸ πτερὸν τῇ ἀριστερᾷ χειρὶ καί, τὴν δεξιὰν ἔχων ἐπικειμένην τῇ τοῦ χειροτονουμένου κεφαλῇ, ἀναγινώσκει τὰ ἐν τῷ πτερῷ γεγραμμένα εἰς ἐπήκοον πάντων, λέγων οὕτως· Ψήφῳ καὶ δοκιμασίᾳ τῶν θεοφιλεστάτων ἐπισκόπων[11]). Ἡ θεία χάρις, ἡ πάντοτε τὰ ἀσθενῆ θεραπεύουσα. Goar. p. 249. Καὶ ἐκφωνοῦσι πάντες ἐκ τρίτου τὸ Κύριε ἐλέησον[12]). Ὁ δὲ ἀρχιερεὺς σφραγί-

---

[1]) Ὁ πατριάρχης [2]) ἀρχιερεῖς [3]) τὸν πατριάρχην [4]) ὁ δὲ δευτέρων τῶν διακόνων, πρότερον προσκυνήσας τρὶς κατὰ ἀνατολάς, λέγει πρὸς αὐτὸν (см. ниже въ литургіи) [5]) Нѣтъ τοῦ Τρισαγίου [6]) καὶ ἀνίσταται ὁ πατριάρχης καὶ προσάγουσιν αὐτῷ [7]) παρὰ τοῦ πατριάρχου [8]) μέγας [9]) πατριάρχῃ τὸ λεγόμενον πτερὸν [10]) πατριάρχης [11]) τῶν θεοφιλεστάτων μητροπολιτῶν καὶ τῶν ὁσιωτάτων ἀρχιεπισκόπων. Εἰ δὲ μητροπολίτης ἐστὶν ὁ χειροτονῶν, λέγει· Ψήφῳ καὶ δοκιμασίᾳ τῶν θεοφιλεστάτων ἐπισκόπων καὶ ὁσιωτάτων πρεσβυτέρων καὶ διακόνων. [12]) Εἶτα τὸ εὐαγγέλιον ὁ πατριάρχης, ἀναπτύσσων, ἐπιτίθησι τῷ τραχήλῳ καὶ τῇ κεφαλῇ.

ζει καὶ αὖθις τὴν κεφαλὴν αὐτοῦ τρίς, εἶτα αἴρει τὸ εὐαγγέλιον καί, ἀναπτύξας, ἐπιτίθησι τῷ τραχήλῳ καὶ τῇ κεφαλῇ αὐτοῦ, συνεφαπτομένων καὶ τῶν ἀρχιερέων πάντων[1]), καὶ ἔχων ὁ ἀρχιερεὺς ἐπικειμένην αὐτῷ τὴν χεῖρα εὔχεται οὕτως· Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ νομοθετήσας ἡμῖν... Ibid. pag. 250—251. Εἶτα (т. е. послѣ чтенія всѣхъ молитвъ) λαβὼν τὸ ὠμοφόριον, περιτίθησι τῷ τραχήλῳ τοῦ χειροτονουμένου, λέγων· Ἄξιος. Λέγουσι δὲ τοῦτο οἱ τοῦ βήματος τρὶς καὶ οἱ ψάλται τρίς. Εἶτα πάλιν ἐκφωνοῦσιν οἱ ψάλται εἷς καθ' εἷς· Ἄξιος. Καὶ οὕτως ἀσπάζονται τὸν χειροτονηθέντα, αὐτός[2]) τε ὁ χειροτονήσας καὶ οἱ λοιποὶ ἐπίσκοποι, καὶ τῆς συνήθους εὐφημίας τελεσθείσης, ἀπέρχονται εἰς τὸ σύνθρονον, καὶ καθεζόμενος πρῶτος ὁ χειροτονηθεὶς εἰρηνεύει εἰς τὸν ἀπόστολον, καὶ πρῶτος τῶν ἄλλων τοῦ τιμίου σώματος καὶ αἵματος τοῦ Χριστοῦ μεταλαμβάνει.

л. 50 об. Διάταξις[3]) τῆς τοῦ πατριάρχου λειτουργίας, πῶς γίνεται ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ.

Ὁ πατριάρχης[4]), μέλλων τὴν θείαν ἐπιτελέσαι μυσταγωγίαν, κατέρχεται ἐκ τοῦ στασιδίου αὐτοῦ· καὶ εἰ μὲν ψάλλουσιν ἔτι τὸν ὄρθρον, φορένει ἔμπροσθεν τοῦ στασιδίου αὐτοῦ μετὰ τὸ τέλος τῆς ἐννάτης ᾠδῆς,

---

[1]) Πρὸ τοῦ τεθῆναι δὲ τὸ εὐαγγέλιον σφραγίζει καὶ αὖθις τὴν κεφαλὴν αὐτοῦ τρίς, τοῦ δὲ εὐαγγελίου τιθέντος, ὁ πατριάρχης εὔχεται οὕτως. [2]) Ὁ πατριάρχης καὶ οἱ ἀρχιερεῖς πάντες, καὶ πάλιν ὁ πατριάρχης καὶ οἱ ἀρχιερεῖς, ἀσπαζόμενοι τὴν ἁγίαν τράπεζαν, ἀνέρχονται ἐν τῷ συνθρόνῳ, καὶ λέγει ὁ διάκονος πρὸς τὸν πατριάρχην· Κέλευσον, δέσποτα (См. чинъ литургіи ниже). [3]) Настоящій Διάταξις патріаршаго служенія литургіи, по этой самой рукописи, былъ напечатанъ *А. Пападопуло-Керамевсомъ* въ аѳинской газетѣ „Ἀνάπλασις" за 1890 г. и изданъ имъ потомъ отдѣльною, въ 24 долю листа, брошюрою подъ заглавіемъ: «Διάταξις τῆς τοῦ πατριάρχου λειτουργίας, πῶς γίνεται ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ». Ἐν Ἀθήναις. 1890 σελ. 11—31. Брошюра посвящена бывшему вселенскому патріарху Іоакиму III, пребывающему нынѣ на покоѣ на Аѳонѣ. Въ виду рѣдкости самой брошюры, напечатанной въ ограниченномъ количествѣ для друзей, а также въ виду нѣкоторыхъ погрѣшностей и пропусковъ въ текстѣ этого изданія, замѣченныхъ нами, изъ коихъ одинъ на σελ. 21 дѣлаетъ его неудобовразумительнымъ: Εἰ δὲ ἔνι μεταξὺ χειροτονία ἢ πρεσβυτέρου, ἢ διακόνου, ἐνδύεται αὐτὸ μέχρι τοῦ καιροῦ τῆς ὑψώσεως τῶν ἁγίων(?), мы рѣшились вновь переиздать „Διάταξις". Къ томуже насъ побуждаетъ и намѣреніе сдѣлать сопоставленіе этого чинопослѣдованія съ Διάταξις'омъ въ изложеніи діакона и протонотарія великой церкви, господина *Димитрія Гемисты*, жившаго во второй половинѣ XIV вѣка (Mikl. et Müller. Acta et diplomat. Vindob. 1860 an. t. I, pag. 494) [4]) Ркп. Александр. библ. № 371 κατερχόμενος. εἰ μὲν ψάλλουσιν ἔτι τὸν ὄρθρον.

εἰ δὲ οὐ ψάλλουσιν, ὄπισθεν τοῦ στασιδίου. Ἐρχόμενοι γοῦν οἱ διάκονοι καὶ προσκυνοῦντες, κρατοῦντες ἐν ταῖς χερσὶν αὐτῶν ἕκαστος τὸ στιχάριον καὶ τὸ ὠράριον, λαμβάνουσιν εὐλογίαν παρὰ τοῦ πατριάρχου καὶ φορένουσιν αὐτοὶ πρῶτον. Ὁ δὲ πατριάρχης, ἐκβαλὼν τὸ μανδύον εἶτα προσκυνήσας τρὶς κατὰ ἀνατολάς, λέγει καθ' ἑαυτὸν τὴν εὐχὴν ταύτην· Κύριε, ἐξαπόστειλον τὴν χεῖρά σου [1]... Καὶ πληρώσας αὐτήν, ἄρχεται ἐνδύεσθαι τὴν ἀρχιερατικὴν στολήν, ἀλλάσσοντος αὐτὸν τοῦ καναστρισίου, συνεργούντων αὐτῷ καὶ τῶν λοιπῶν διακόνων. Ὅτε δὲ ἐνδύεται τὸ στιχάριον, λέγουσιν οἱ ὑπερετοῦντες διάκονοι· Ἀγαλλιάσεται ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ... Εἰς δὲ τὸ ἐπιτραχήλιον [2]) λέγουσιν· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, ὁ ἐκχέων τὴν χάριν αὐτοῦ ἐπὶ τοὺς ἱερεῖς αὐτοῦ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας. Εἰς δὲ τὴν ζώνην [3])· Εὐλογητὸς ὁ Θεός, ὁ περιζωννύων με δύναμιν τῇ αὐτοῦ φιλανθρωπίᾳ καὶ χάριτι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας. Εἰς δὲ τὸ δεξιὸν ἐπιμάνικον [4]) λέγουσιν· Ἡ δεξιά σου, Κύριε, δεδόξασται ἕως τοὺς ὑπεναντίους. Ἕτεροι δὲ λέγουσι· Δεξιὰ Κυρίου ἐποίησε δύναμιν, δεξιὰ Κυρίου ὕψωσέ με. Εἰς δὲ τὸ ἀριστερόν [5])· Αἱ χεῖρές σου ἐποίησάν με ἕως τὰς ἐντολάς σου. Ὁ δὲ ἐπὶ τῶν γονάτων, λαβὼν τὸ ἐπιγονάτιον [6]), περιτίθησιν αὐτὸ ἀπὸ τοῦ μέρους κάτωθεν τῆς ζώνης, λέγων· Περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου, δυνατέ, τῇ ὡραιότητί σου καὶ τῷ κάλλει σου. Εἰς δὲ τὸ φαινόλιον [7]), ἤτοι τὸν σάκκον λέγουσιν· Οἱ ἱερεῖς σου, Κύριε, ἕως τοῦ ἀγαλλιάσονται. Ὁ δὲ κανστρίσιος, λαβὼν τὸ ὠμοφόριον [8]), ἐπιτίθησι τῷ ὤμῳ τοῦ πατριάρχου, λέγων· Ἐπὶ τῶν ὤμων, Χριστέ, τὴν πλανηθεῖσαν ἄρας φύσιν, ἀναληφθεὶς τῷ Θεῷ καὶ Πατρὶ προσήγαγες [9]). Ἰστέον [10]) δέ, ὅτι τὴν ἀρχιερα-

---

[1]) Αὐτὴν δὲ ταύτην εὐχὴν λέγουσι καὶ οἱ πρεσβύτεροι καὶ οἱ διάκονοι πρὸς ἑαυτούς (Ркп 1541 г. лавры Аѳан. Δ № 80 ἐνδυόμενοι τὰς ἑαυτῶν στολάς), εἶτα ἄρχεται ὁ πατριάρχης ἐνδύεσθαι [2]) εὐλογοῦντος αὐτὸ τοῦ πατριάρχου καὶ ἀσπαζομένου, λέγουσιν. [3]) Τὴν ζώνην εὐλογοῦντος, λέγουσιν [4]) Τὸ δὲ δεξιὸν ἐπιμάνικον εὐλογοῦντος καὶ ἀσπαζομένου, λέγουσιν. [5]) Καὶ τὸ ἀριστερὸν ὁμοίως εὐλογοῦντος καὶ ἀσπαζομένου [6]) ἔρχεται πρὸς τὸν πατριάρχην, ὃς εὐλογεῖ καὶ ἀσπάζεται τοῦτο, καὶ περιτίθησιν αὐτὸ ὁ ἐπὶ τῶν γονάτων κάτωθεν τῆς ζώνης ἀπὸ τοῦ δεξιοῦ μέρους, λέγων [7]) Εὐλογοῦντος δὲ καὶ τὸ φαινόλιον τοῦ πατριάρχου, ἤγουν τὸν σάκκον, λέγουσιν. [8]) Ἀσπαζομένου δὲ καὶ τὸ ὠμοφόριον, ἐπιτίθησιν αὐτὸ ὁ κανστρίσιος τῷ πατριάρχῃ, λέγων [9]) Αὐτὰ δὲ ταῦτα λέγουσι καὶ οἱ πρεσβύτεροι, ἐνδυόμενοι ἐν ἑκάστῳ τῶν ἱερατικῶν ἐνδυμάτων, δίχα τοῦ ἐπιγονάτου καὶ τοῦ ὠμοφορίου· ὁμοίως καὶ οἱ διάκονοι, ἐνδυόμενοι τὸ στιχάριον, λέγουσι τὸ προγραφέν, ἤγουν τὸ Ἀγαλλιάσεται ἡ ψυχή μου. Τὸ δὲ ὠράριον ἀσπαζόμενοι περιτιθέασι τῷ ἑαυτῶν ἀριστερῷ ὤμῳ. [10]) Этого замѣчанія нѣтъ.

τικὴν στολήν, ἤγουν τὸ στιχάριον, τὸ ἐπιτραχήλιον, τὰ ἐπιμάνικα, τὸ ἐπιγονάτιον, τὸ φαινόλιον καὶ τὸ ὠμοφόριον πρῶτον εὐλογεῖ καὶ ἀσπάζεται, εἶτα περιβάλλεται αὐτήν, μόνην δὲ τὴν ζώνην εὐλογεῖ, οὐ μὴν καὶ ἀσπάζεται.

Ὅταν τοίνυν ἄρξηται φορένειν ὁ πατριάρχης, οἱ ἀρχιερεῖς, ἐρχόμενοι καὶ προσκυνοῦντες κατὰ τάξιν, προσκαλουμένου αὐτοὺς τοῦ ἐπὶ τῆς εὐταξίας, ἀπέρχονται εἰς τὸν συνήθη τόπον καὶ φορένουσι[1]). Τοῦτο δὲ γίνεται, μὴ οὔσης χειροτονίας ἀρχιερατικῆς· εἰ γάρ ἐστι χειροτονία, οὐ φορένουσι νῦν, ἀλλ' εἰσερχόμενοι εἰς τὸ ἅγιον βῆμα, ἐνδύονται ἐπάνω τῶν μανδύων φαινόλια ἱερατικὰ[2]) καὶ κάθηνται, περιμένοντες τὸν καιρόν. Τοῦ δὲ ὄρθρου πληρωθέντος, μετὰ τὴν μεγάλην δοξολογίαν, εἷς τῶν διακόνων, ἀνερχόμενος ἐν τῷ ἄμβωνι, ποιεῖ τὴν ἐκτενὴν καὶ τὰς αἰτήσεις[3]), καὶ ὁ ἱερεὺς τὴν ἐκφώνησιν χωρὶς ἀπολύσεως. Ὁ δὲ πατριάρχης, μετὰ τὴν δοξολογίαν, προπορευομένου ἔμπροσθεν τοῦ ἐπὶ τῆς εὐταξίας καὶ τῶν διακόνων κατὰ συζυγίαν καὶ κατὰ τάξιν, ἀνέρχεται ἐν τῇ ἀναβάθρᾳ διὰ μέσου τοῦ ἀετοῦ[4]), εἴπερ ἐστὶ[5]) χειροτονία ἀρχιερέως. Καὶ μετὰ τὸ γενέσθαι τὴν ἐπὶ τῷ χειροτονουμένῳ τάξιν, οἱ μὲν ἀρχιερεῖς ἀπέρχονται καὶ φορένουσιν, ὁ δὲ δευτερεύων τῶν διακόνων, πρότερον προσκυνήσας τρὶς κατὰ ἀνατολάς, λέγει πρὸς ἑαυτόν· Ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ, εἶτα στρέφεται πρὸς τὸν πατριάρχην καί, ὑποκλίνας τὴν κεφαλὴν ἑαυτοῦ, κρατῶν καὶ τὸ ὠράριον τοῖς τρισὶ δακτύλοις τῆς δεξιᾶς χειρὸς καὶ ὑποδεικνὺς αὐτό, λέγει· Καιρὸς τοῦ ποιῆσαι τῷ Κυρίῳ, δέσποτα, εὐλόγησον. Καὶ ὁ πατριάρχης, ἀνιστάμενος καὶ σφραγίζων αὐτόν, λέγει· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε νῦν καὶ ἀεί. Εἶτα ὁ διάκονος· Εὖξαι ὑπὲρ ἐμοῦ, δέσποτα. Καὶ ὁ πατριάρχης· Κατευθύναι Κύριος τὰ διαβήματά σου. Καὶ πάλιν ὁ διάκονος· Μνήσθητί μου, δέσποτά μου ἅγιε. Καὶ ὁ πατριάρχης· Μνησθείη σου Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ. Καὶ οὕτως ἀσπασάμενος ὁ διάκονος τὸ ὠράριον, ἀπέρχεται καὶ ἀσπάζεται καὶ τὴν χεῖρα τοῦ πατριάρχου καὶ λαμβάνει εὐλογίαν. Καὶ εὐθὺς ὁ πατριάρχης κατέρχεται καὶ ἵσταται ἐν τῷ συνήθει τόπῳ τοῦ μέρους τοῦ δεξιοῦ τῶν βασιλικῶν πυλῶν τοῦ ναοῦ, καὶ χειροτονεῖ ἀναγνώστας καὶ ὑποδιακόνους[6]). Εἰ[7]) δὲ οὐκ ἔστι χειροτονία ἀρ-

---

[1]) Ἐπιλεγόντων τῶν ὑπηρετούντων αὐτοῖς ἐν ἑκάστῳ τῶν ἐνδυμάτων τὰ προειρημένα [2]) λευκὰ [3]) καὶ γίνεται ἡ κεφαλοκλισία καὶ ἡ ἐκφώνησις χωρὶς ἀπολύσεως. [4]) Τῶν ἄλλων πάντων ἔνθεν καὶ κἀκεῖθεν ὑποχωρούντων, ἵνα μὴ (см. выше чинъ рукоположенія въ епископа) [5]) Этого замѣчанія нѣтъ [6]) Слѣдують далѣе и самые чины. [7]) Ἰστέον δέ, ὅτι οὐκ ἔστι χειροτονία κ. τ. λ.

χιερέως,[1]) οὐ λαμβάνει τὸν καιρόν, καθὼς εἴπομεν[2]), οὔτε ὁ πατριάρχης ἀνέρχεται ἐν τῇ ἀναβάθρᾳ, ἀλλὰ μετὰ τὴν τῶν ἀναγνωστῶν καὶ ὑποδιακόνων χειροτονίαν ἐν τῷ συνήθει τόπῳ πρὸ τῶν βασιλικῶν πυλῶν, ἱσταμένου τοῦ πατριάρχου. Ὁ δευτερεύων λαμβάνει τὸν καιρὸν καὶ οὕτω πέμπει διάκονον ἕτερον ποιῆσαι τὴν ἔναρξιν τῆς λειτουργίας.

Ἀνερχόμενος τοίνυν ὁ διάκονος εἰς τὸν ἄμβωνα, προσκυνεῖ κατέναντι τῶν ἁγίων θυρῶν τρὶς μετ' εὐλαβείας, καὶ λέγων καθ' ἑαυτὸν τὸ Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου... καὶ οὕτως ἐκφωνεῖ· Εὐλόγησον, δέσποτα. Καὶ ἄρχεται[3]) ὁ τὴν προσκομιδὴν ποιήσας, λέγων· Εὐλογημένη ἡ βασιλεία. Εἶτα ὁ διάκονος· Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν καὶ τὰ λοιπά. Τούτων δὲ λεγομένων[4]), λέγει καὶ ὁ πατριάρχης τὰς εὐχὰς τῶν τριῶν ἀντιφώνων, κρατοῦντος τὸ κοντάκιον τοῦ ἱερομνήμονος. Τὸ δὲ αὐτὸ τοῦτο ποιοῦσι καὶ οἱ ἀρχιερεῖς, ἐν ᾧ ἵστανται τόπῳ. Ὁ δὲ ποιήσας[5]) ἱερεὺς τὴν προσκομιδὴν[6]) λέγει τὰς τρεῖς ἐκφωνήσεις. Εἶτα[7]), ἐλθόντων καὶ τῶν ἀρχιερέων καὶ σταθέντων ἐξ ἀριστερῶν τοῦ πατριάρχου, ὁ ἐν τῷ ἄμβωνι ὁ διάκονος[8]) εἰσέρχεται εἰς τὸ ἅγιον βῆμα καὶ λαμβάνει τὸ εὐαγγέλιον ἀπὸ τῶν χειρῶν τοῦ ἱερέως, καὶ ποιοῦσι τὴν εἴσοδον, τοῦ ἐπὶ τῆς εὐταξίας[9]) ἔμπροσθεν αὐτῶν προπορευομένου μετὰ νάρθηκος. Ὁ μὲν οὖν διάκονος, ὁ κρατῶν τὸ ἅγιον εὐαγγέλιον, ἐλθὼν ἐπιδίδωσιν αὐτὸ τῷ δευτερεύοντι τῶν διακόνων, ὁ δὲ ποιήσας τὴν προσκομιδὴν ἱερεύς, ἐρχόμενος καὶ προσκυνῶν τὸν πατριάρχην, λαμβάνει εὐλογίαν καὶ ἵσταται ἐξ ἀριστερῶν τῶν ἀρχιερέων, καὶ οἱ λοιποὶ ἱερεῖς κατὰ τάξιν[10]). Κλινόντων δὲ πάντων τὰς κεφαλάς, λέγει ὁ δευτερεύων· Τοῦ Κυρίου δεη-

---

[1]) Прибавлено: ὁ δευτερεύων τῶν διακόνων [2]) ἐν τῇ ἀναβάθρᾳ καθημένου τοῦ πατριάρχου, ἀλλὰ μετὰ τὸ φορέσαι τὸν πατριάρχην καὶ ἀπελθεῖν εἰς τὸν συνήθη τόπον πρὸ τῶν βασιλικῶν πυλῶν, λαμβάνει τὸν καιρὸν μετὰ τὴν ἀναγνωστῶν καὶ ὑποδιακόνων χειροτονίαν καὶ οὕτω πέμπει διάκονον ἕτερον ὁ δευτερεύων ποιῆσαι τὴν ἔναρξιν τῆς λειτουργίας [3]) ὁ δευτερεύων τῶν ἱερέων, ἢ ἕτερος ὁ τὴν προσκομιδὴν [4]) ἀνίσταται καὶ ὁ πατριάρχης καὶ λέγει τὰς εὐχάς [5]) Δεῖ δὲ γινώσκειν, ὅτι ὁ ποιήσας [6]) αὐτὸς ποιεῖ καὶ τὴν ἔναρξιν τῆς λειτουργίας, αὐτὸς λέγει καὶ τὰς τρεῖς ἐκφωνήσεις. Ὁ δὲ ἱερεύς, τούτων λεγομένων, λέγει τὴν εὐχὴν τοῦ πρώτου ἀντιφώνου· Κύριε ὁ Θεὸς ἡμῶν, οὗ τὸ κράτος ἀνείκαστον... Καὶ μετὰ τὴν ἐκπλήρωσιν τῆς συναπτῆς, ἐκφωνεῖ ὁ ἱερεύς· Ὅτι πρέπει σοι πᾶσα δόξα... Καὶ οἱ μὲν ψάλται ψάλλουσι τὸ α'. ἀντίφωνον, ὁ δὲ ἱερεὺς λέγει τὴν εὐχὴν τοῦ δευτέρου ἀντιφώνου и т. д. [7]) Нѣтъ замѣчанія объ архіереяхъ. [8]) κατερχόμενος [9]) Нѣтъ прибавки: τοῦ ἐπὶ τῆς εὐταξίας до μετὰ νάρθηκος. [10]) Ркп. лавры Аѳан. Δ № 80 καὶ οἱ διάκονοι ὁμοίως κατὰ τὴν τάξιν ἐκ δεξιῶν τοῦ ἀρχιερέως.

θῶμεν, ἅμα καὶ τὸ ὠράριον κρατῶν τοῖς τρισὶ δακτύλοις τῆς δεξιᾶς χειρός. Καὶ λέγει ὁ πατριάρχης καὶ οἱ ἀρχιερεῖς καὶ οἱ ἱερεῖς τὴν εὐχὴν τῆς εἰσόδου [1]). Αὐτῆς δὲ τελεσθείσης, λέγει ὁ διάκονος πρὸς τὸν πατριάρχην· Εὐλόγησον, δέσποτα, τὴν ἁγίαν [2]) εἴσοδον, δεικνύων [3]) ἅμα καὶ πρὸς ἀνατολὰς μετὰ τοῦ ὠραρίου, οὕτως ὡς κρατῶν αὐτό. Καὶ ὁ [4]) πατριάρχης, ποιῶν σταυρὸν κατὰ ἀνατολάς, λέγει· Εὐλογημένη ἡ εἴσοδος τῶν ἁγίων σου πάντοτε νῦν... Εἶτα ἀσπάζεται τὸ ἅγιον εὐαγγέλιον. Ὁ δὲ διάκονος, στὰς εἰς τὸ μέσον, ἀντικρὺ τοῦ ἄμβωνος, ἀνυψοῖ τὰς χεῖρας μικρόν, καί, δεικνύων τὸ εὐαγγέλιον, λέγει· Σοφία, ὀρθοί. Καὶ οὕτω γίνεται ἡ εἴσοδος. Οὕτω δέ, ὡς εἴπῃ ὁ διάκονος· Σοφία, ὀρθοί, ἐκφωνοῦσιν οἱ ἐπισκοπιανοί· Εἰς πολλὰ ἔτη, δέσποτα. Ἐρχομένης δὲ τῆς εἰσόδου κατὰ ἕνα ποταμόν, ἐκφωνοῦσιν οἱ αὐτοί· Εἰς πολλὰ ἔτη, δέσποτα. Ὅταν δὲ ἄρξωνται λέγειν τοῦτο, ἵστανται πάντες καὶ ἀρχιερεῖς, καὶ ἱερεῖς [5]), καὶ διάκονοι, καὶ ὁ πατριάρχης αὐτός. Ὅταν δὲ [6]) ἔλθῃ πλησίον τῶν ἁγίων εἰκόνων καὶ προσκυνήσῃ αὐτάς, ἄρχονται λέγειν οἱ ψάλται εἷς καθ᾽ εἷς· Εἰς πολλὰ ἔτη, δέσποτα, ἕως ἂν ἔλθῃ ἐν τῇ σωλαίᾳ. Ἐρχόμενοι δὲ πάντες εἰς τὰς ἁγίας θύρας κατὰ συζυγίαν ἐνταῦθα μερίζονται, καὶ ἀσπάζεται ὁ εἷς τὴν μίαν θύραν καὶ ὁ ἕτερος τὴν ἄλλην, καὶ οὕτως εἰσέρχονται εἰς τὸ ἅγιον βῆμα· οἱ δὲ διάκονοι ἀσπάζονται καὶ τὴν ἁγίαν τράπεζαν. Ὅταν δὲ φθάσῃ ὁ πατριάρχης εἰς τὰς ἁγίας θύρας, ἀσφαλίζουσιν αὐτὰς οἱ ὠστιάριοι, καὶ ἀσπάζεται πρῶτον τὴν δεξιάν, εἶτα τὴν εὐώνυμον, καὶ οὕτως ἀνοίγουσιν αὐτὰς καὶ εἰσέρχεται, καὶ ὄπισθεν αὐτοῦ οἱ ἀρχιερεῖς καὶ οἱ ἱερεῖς, ἀσπαζόμενοι καὶ αὐτοὶ τὰς ἁγίας θύρας, ὡς καὶ οἱ διάκονοι. Ἅμα δὲ τῷ εἰσελθεῖν τὸν πατριάρχην [7]), λαμβάνει τὸν θυμιατὸν ἐκ τοῦ κανστρισίου, καὶ θυμιᾷ κύκλῳ σταυροειδῶς τὴν ἁγίαν τράπεζαν, ψαλλόντων τῶν διακόνων τὸ ἀπολυτίκιον τῆς ἡμέρας, καὶ ἀποδιδοὺς τὸν θυμιατὸν τῷ κανστρισίῳ, θυμιᾶται παρ᾽ αὐτοῦ. Εἶτα λαμβάνει τὸ δικέριν ἀπ᾽ αὐτοῦ καὶ ἀνέρχεται εἰς τὴν κρηπῖδα τῆς ἁγίας τραπέζης, καὶ κρατῶν τὸ δικέριν ἐν τῇ δεξιᾷ, ποιεῖ σταυροὺς τρεῖς ἄνωθεν τοῦ εὐαγγελίου [8]), λέγων καθ᾽ ἑαυτόν· Κύριε, Κύριε, ἐπίβλεψον ἐξ οὐρανοῦ

[1]) Ркп. Александр. библ. № 371 μυστικῶς. Εὐχὴ τῆς εἰσόδου Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ καταστήσας ἐν οὐρανοῖς... [2]) Ркп. лавры Аѳан. Δ № 80 τὴν μικρὰν [3]) Нѣтъ всего этого замѣчанія [4]) Ὁ δὲ ἀρχιερεὺς λέγει [5]) Ркп. Александр. библ. № 371 πρεσβύτεροι [6]) προσκυνήσῃ τὰς ἁγίας εἰκόνας [7]) κανστρίσιος, ἔχων προευτρεπισμένον τὸν θυμιατόν, βαλὼν ἐν αὐτῷ θυμίαμα, λέγει· Εὐλόγησον, δέσποτα, τὸ θυμίαμα. Ὁ δὲ εὐλογῶν αὐτό, λέγει τὴν εὐχὴν τοῦ θυμιάματος καθ᾽ ἑαυτὸν καὶ λαμβάνων αὐτὸ ἀπὸ τῶν χειρῶν αὐτοῦ [8]) τοῦ ἐπὶ τῆς τραπέζης κειμένου, λέγων καθ᾽ ἑαυτόν.

ἕως τοῦ ἡ δεξιά σου. Καὶ ἀποδίδωσι τὸ δικέριν τῷ χανστρισίῳ, ὁ δὲ δευτερεύων τῶν διακόνων, ἐρχόμενος ἔμπροσθεν τοῦ πατριάρχου, κλίνας τὴν κεφαλήν, κρατῶν ἅμα καὶ τὸ ὡράριον, ὡς[1]) εἴρηται, λέγει· Εὐλόγησον, δέσποτα, τὸν καιρὸν τοῦ Τρισαγίου. Ὁ δὲ πατριάρχης, σφραγίζων αὐτόν, λέγει· Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν[2]). Τοῦ δὲ κοντακίου πληρωθέντος παρὰ τῶν ψαλτῶν, ὁ λαβὼν τὸν καιρὸν τοῦ Τρισαγίου διάκονος, ἐλθὼν ἐγγὺς τῶν ἁγίων θυρῶν, δείκνυσι τὸ ὡράριον αὐτοῦ τοῖς ἐκτός, λέγων· Καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων[3]). Μετὰ δὲ τὸ τέλος τῆς εὐχῆς, ψαλλομένου τοῦ Τρισαγίου τρὶς παρὰ τῶν ψαλτῶν, ψάλλουσι τοῦτο καὶ οἱ ἱερεῖς καὶ οἱ διάκονοι ἅπαξ, τρὶς προσκυνοῦντες ἐν τῷ ψάλλειν αὐτόν. Εἶτα οἱ μὲν ψάλται λέγουσι τὸ δοξολογίαν, ο δὲ πατριάρχης, λαβὼν τὸ τρικέριν ἀπὸ τοῦ χανστρισίου, ποιεῖ αὖθις σταυροὺς τρεῖς ἄνωθεν τοῦ εὐαγγελίου[4]), κρατῶν καὶ τὸ τρικέριν ἐν τῇ δεξιᾷ, λέγων καὶ τὸ Κύριε, Κύριε, ἐπίβλεψον ἐξ οὐρανοῦ... Πληρωθέντος δὲ τοῦ Δόξα, ψάλλουσιν οἱ τοῦ βήματος τὸν Τρισάγιον, ὁμοίως, καὶ ψάλλουσιν οἱ ψάλται πάλιν, καὶ πάλιν οἱ τοῦ βήματος. Τοῦ δὲ τελευταίου Τρισαγίου ψαλλομένου παρὰ τοῦ βήματος, ὁ πατριάρχης, κατέχων τὸ τρικέριν ἐν τῇ δεξιᾷ, στρέφεται πρὸς δυσμὰς καὶ εὐλογεῖ τὸν λαὸν τρίς. Πληρωθέντος[5]) δὲ τοῦ Τρισαγίου, καθήμενος ἐν τῷ σελλίῳ αὐτοῦ μικρὸν ἀναπαύεται, εἴ ἐστι χειροτονία δηλονότι[6]), ὁμοίως καὶ οἱ ἀρχιερεῖς· εἰ δὲ μή ἐστιν, ἀνέρχεται ἐν τῷ συνθρόνῳ μετὰ τῶν συλλειτουργούντων αὐτῷ ἀρχιερέων καὶ ἱερέων. Καὶ τούτων κατὰ τὴν ἰδίαν τάξιν ἱσταμένων καὶ τοῦ Τρισαγίου παρ᾽ αὐτῶν ψαλλομένου, ὁ πατριάρχης, βλέπων πρὸς δυσμάς, εὐλογεῖ μετὰ τοῦ τρικερίου τὸν λαὸν τρίς. Ὅταν δὲ κινήσῃ ἀνέρχεσθαι εἰς τὸ[7]) σύνθρονον, ἀσπάζεται πρῶτον τὴν ἁγίαν τράπεζαν[8]) καὶ οἱ ἀρχιερεῖς καὶ οἱ ἱερεῖς. Καὶ τοῦ διακόνου εἰπόντος· Κέλευσον, δέσποτα, λέγει ὁ πατριάρχης· Εὐλογημένος ὁ ἐρχόμενος... Εἶτα πάλιν ὁ διάκονος· Εὐλόγησον, δέσποτα, τὴν

---

[1]) Ὡς πολλάκις [2]) Ἰστέον, ὡς μετὰ τὴν εὐχὴν ταύτην, εἰ μή ἐστι χειροτονία ἀρχιερέως, γίνεται ἡ φήμη τῶν βασιλέων καὶ τοῦ πατριάρχου, καθημένου τοῦ πατριάρχου ἐν τῷ σελλίῳ αὐτοῦ. Εἰ δὲ χειροτονία ἐστι, γίνεται μετὰ τὸ Τρισάγιον, ὡς προϊὼν εὑρήσεις σαφέστερον [3]) καὶ ἄρχονται οἱ ψάλται τοῦ Τρισαγίου, ὁ δὲ πατριάρχης λέγει τὴν εὐχὴν ταύτην καὶ τὴν ἐκφώνησιν αὐτῆς μυστικῶς. Εὐχὴ τοῦ Τρισαγίου· Ὁ Θεὸς ὁ ἅγιος, ὁ ἐν ἁγίοις ἀναπαυόμενος... Τελεσθείσης δὲ τῆς εὐχῆς καὶ τῆς ἐκφωνήσεως [4]) τοῦ ἐπὶ τῆς τραπέζης κειμένου [5]) ркп. лавры Аθан. Δ № 80 нѣтъ до словъ: εἴ ἐστι χειροτονία δηλονότι [6]) Ркп. Александр. библ. № 371 εἰ γὰρ μή ἐστι χειροτονία, ἀνέρχεται ἐν τῷ συνθρόνῳ αὐτοῦ μετὰ τῶν συλλειτουργούντων. [7]) ἐντὸς σύνθρονον [8]) Далѣе слѣдуетъ: ὅπως ὁ ὑποψήφιος εἰς τὸ ἅγιον εἰσέρχεται βῆμα.

ἄνω καθέδραν. Καὶ πατριάρχης· Εὐλογημένος εἶ ὁ καθήμενος ἐπὶ θρόνου δόξης τῆς βασιλείας σου πάντοτε νῦν. Καὶ εὐθὺς ὁ μὲν πατριάρχης κάθηται ἐν τῷ συνθρόνῳ, οἱ δὲ ἀρχιερεῖς[1]) καὶ ἱερεῖς ἑκατέρωθεν αὐτοῦ, καὶ γίνεται ἡ φήμη τῶν βασιλέων καὶ τοῦ πατριάρχου. Ἰστέον δέ, ὅτι ὅτε οὐκ ἔνι χειροτονία ἀρχιερέως, γίνεται ἡ φήμη πρότερον[2]), πρὸ τοῦ εἰπεῖν τὸ κοντάκιον, καὶ μετὰ τὴν φήμην ἐκφωνεῖ ὁ δομέστικος· Κύριε, σῶσον τοὺς βασιλεῖς. Καὶ ὁ ἕτερος· Καὶ ἐπάκουσον ἡμῶν. Καὶ ὁ ἄρχων τῶν κοντακίων Δόξα, καὶ ψάλλεται τὸ κοντάκιον τῆς ἡμέρας, καὶ εὐθὺς τὸ Τρισάγιον[3]). Καὶ μετὰ τὴν πλήρωσιν, ὁ διάκονος· Πρόσχωμεν. Ὁ πατριάρχης· Εἰρήνη πᾶσι, καὶ τὰ λοιπά[4]). Μετὰ δὲ τὴν πλήρωσιν τοῦ ἀποστόλου, ἐκφωνεῖ[5]) ὁ πατριάρχης· Εἰρήνη σοι. Εἰ δὲ ἐχειροτονήθη ἀρχιερεύς, λέγει οὗτος τὸ Εἰρήνη σοι. Ὁ διάκονος· Σοφία. Ὁ ψάλτης· Ἀλληλούια, ψαλμόν. Ἔτι[6]) δὲ τοῦ ἀποστόλου λεγομένου, θυμιᾷ ὁ διάκονος. Τοῦ δὲ Ἀλληλούια ψαλλομένου, ὁ μέλλων ἀναγινώσκειν τὸ εὐαγγέλιον, προσκυνήσας τρὶς ἔμπροσθεν τῆς ἁγίας τραπέζης, εἶτα ἀνελθὼν εἰς τὴν κρηπῖδα[7]), καὶ τὰ συνήθη εἰπόντος ὁμοίως καὶ τοῦ πατριάρχου, λέγει ὁ διάκονος· Εἰς πολλὰ ἔτη, δέσποτα. Καὶ λαβὼν[8]) τὸ εὐαγγέλιον, ἐξέρχεται, διακόνων τεσσάρων προπορευομένων αὐτοῦ[9]), οἵτινες[10]) μέλλουσιν ἐκ διαδοχῆς εἰπεῖν τὰς αἰτήσεις. Ὁ δὲ πατριάρχης, ἐκβαλὼν τὸ ὠμο-

---

[1]) Нѣтъ упоминанія объ архіереяхъ и священникахъ [2]) μετὰ τὸ εἰσελθεῖν τὸν πατριάρχην μετὰ τῆς εἰσόδου καὶ θυμιᾶσαι τὴν ἁγίαν τράπεζαν κύκλῳ, καὶ σφραγίσαι μετὰ τοῦ δικερίου ἐπάνω τοῦ ἁγίου εὐαγγελίου, καθημένου ἐν τῷ σελλίῳ αὐτοῦ, γίνεται ἡ φήμη, καὶ μετὰ τὴν ἐκφώνησιν ὁ δομέστικος· Κύριε, σῶσον τοὺς βασιλεῖς [3]) ἐν δὲ τῷ συνθρόνῳ ἀνελθόντος τοῦ πατριάρχου, ὁ χειροτονηθεὶς ἀρχιερεύς, προσελθὼν αὐτῷ καὶ προσκυνήσας, καὶ λαβὼν εὐλογίαν, κάθηται ἐν τῷ δεξιῷ μέρει ἐπάνω τῶν πρώτων ἀρχιερέων. Καὶ λέγει ὁ διάκονος· Πρόσχωμεν [4]) Апостолъ читалъ ὁ ἀναγνώστης ἐν τῷ ἄμβωνι [5]) ὁ λαβὼν ἀρχιερεὺς τὴν εὐλογίαν· Εἰρήνη σοι [6]) πρὸ δὲ τούτου, λεγομένου ἔτι τοῦ ἀποστόλου, εἷς τῶν διακόνων, λαβὼν τὸ θυμιατήριον καὶ θυμίαμα βαλών, πρόσεισι τῷ πατριάρχῃ, λέγων· Εὐλόγησον, δέσποτα, τὸ θυμίαμα· τοῦ δὲ συνήθως εὐλογήσαντος, θυμιᾷ ὁ διάκονος τὴν ἁγίαν τράπεζαν κύκλῳ, εἶτα τὸν πατριάρχην, τοὺς ἀρχιερεῖς, τοὺς πρεσβυτέρους καὶ διακόνους, καὶ αὖθις τὸν πατριάρχην, καὶ τὴν ἁγίαν τράπεζαν ἔμπροσθεν μόνον [7]) καὶ ὑποκλίνας τὴν κεφαλὴν τῷ πατριάρχῃ, ὑποδεικνὺς ἅμα καὶ τὸ ὠράριον συνήθως τῇ δεξιᾷ χειρὶ ἄνωθεν τοῦ εὐαγγελίου, λέγει· Εὐλόγησον, δέσποτα, τὸν εὐαγγελιστὴν τοῦδε τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ. Καὶ ἀνιστάμενος ὁ πατριάρχης καὶ σφραγίζων αὐτόν, λέγει· Ὁ Θεὸς διὰ πρεσβειῶν... δυνάμει πολλῇ. Καὶ οὕτως ὁ μὲν διάκονος, εἰπὼν τὸ Εἰς πολλὰ ἔτη, δέσποτα [8]) ἀνὰ χεῖρας [9]) καὶ ἀνέρχεται ἐν τῷ ἄμβωνι [10]) нѣтъ этого замѣчанія.

*

φόριον στρέφεται πρὸς ἀνατολάς, καὶ λέγει καθ' ἑαυτὸν τὴν εὐχὴν ταύτην· Ἔλλαμψον ἐν ταῖς καρδίαις.. καὶ [1]) τὸ Κλῖνον, Κύριε, ὅλον τὸν ψαλμόν, εἶτα ἀσπάζεται τὴν αὐτόθι ἱσταμένην ἁγίαν εἰκόνα, καὶ οὕτω στρέφεται πρὸς δυσμάς, περιμένων τὴν πλήρωσιν τοῦ ἁγίου εὐαγγελίου. Οὕτω [2]) ποιοῦσι καὶ οἱ ἀρχιερεῖς, πλὴν τοῦ ἀσπασμοῦ τῆς ἁγίας εἰκόνος, διὰ τὸ μὴ ὑπάρχειν ἑτέρας ἁγίας εἰκόνος πλησίον αὐτῶν. Δεῖ δὲ γινώσκειν, ὅτι μετὰ τὸ ἐκβαλεῖν τὸν πατριάρχην τὸ ὠμοφόριον [3]), πλέον οὐκ ἐνδύεται αὐτό, εἰ μὴ κατὰ τὸν καιρὸν τῆς τῶν ἁγίων μυστηρίων ὑψώσεως [4]), πρὶν εἰπεῖν τὸν διάκονον τὸ Πρόσχωμεν. Εἰ δὲ ἔνι μεταξὺ χειροτονία ἢ πρεσβυτέρου, ἢ διακόνου, ἐνδύεται αὐτὸ μέχρι [5]) τοῦ καιροῦ τῆς χειροτονίας μόνον, καὶ πάλιν ἀποδύεται αὐτὸ μέχρι τοῦ καιροῦ τῆς ὑψώσεως τῶν ἁγίων, τότε δὲ αὐτὸ ἐνδυόμενος φορεῖ τοῦτο μέχρι τέλους τῆς λειτουργίας. Οἱ δὲ ἀρχιερεῖς [6]) ἐν τῷ καιρῷ μὲν τῆς χειροτονίας οὐκ ἐνδύονται, ἀπὸ δὲ τοῦ καιροῦ τῆς τῶν ἁγίων ὑψώσεως ἐνδυόμενοι φοροῦσι μέχρι τέλους τῆς λειτουργίας· ἰδίᾳ δὲ λειτουργοῦντες, τὰ αὐτὰ ποιοῦσι τῷ πατριάρχῃ. Τοῦ δὲ εὐαγγελίου πληρωθέντος, λέγει ὁ πατριάρχης πρὸς τὸν διάκονον· Εἰρήνη σοι, καὶ κατέρχεται τοῦ συνθρόνου. Ὁ δὲ ἀναγνοὺς τὸ εὐαγγέλιον [7]) πρόσεισι τῷ πατριάρχῃ, ἄρτι κατελθόντι τοῦ συνθρόνου καὶ ἐγγύζοντι τῇ ἁγίᾳ τραπέζῃ, καὶ δίδωσιν αὐτῷ ἀσπάσασθαι τὸ εὐαγγέλιον. Ὁ δὲ ἀσπασάμενος καὶ εἰπὼν πρὸς αὐτόν· Σωθείης, καὶ εὐλογήσας αὐτόν, ἵσταται μικρὸν αὐτόθι· ἄρχεται δὲ ὁ πρῶτος τῶν ἐν τῷ ἄμβωνι ἱσταμένων διακόνων τῆς ἐκτενῆς, λέγων οὕτως· Εἴπωμεν πάντες καὶ τὰ λοιπά. Ὅταν δὲ λέγῃ· Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβεστάτων, ἀνέρχεται ὁ πατριάρχης εἰς τὴν μικρὰν ἀναβάθραν, κειμένην ἔνδον τῶν ἁγίων θυρῶν, καὶ εὐλογεῖ τὸν λαόν, σφραγίζων αὐτὸν τρὶς μετὰ τοῦ τρικερίου, ἐκφωνούντων τῶν

---

[1]) ἢ τὸ [2]) ὁμοίως ἐκβάλλουσι καὶ οἱ ἀρχιερεῖς πάντες τὰ ὠμοφόρια αὐτῶν. Ὁ δὲ δευτερεύων τῶν διακόνων, κατέχων ἐν τῇ ἀριστερᾷ χειρὶ τὸ ὠμοφόριον τοῦ πατριάρχου, μετὰ τὸ πληρωθῆναι τὸ Ἀλληλούια, ἐκφωνεῖ. Σοφία, ὀρθοὶ ἀκούσωμεν τοῦ ἁγίου εὐαγγελίου. Λέγων δὲ τοῦτο, βλέπει πρὸς δυσμάς, ἤγουν πρὸς τὸν ἐν τῷ ἄμβωνι Ἐκ τοῦ κατὰ τόνδε ἁγίου εὐαγγελίου τὸ ἀνάγνωσμα. Καὶ αὖθις ὁ ἀπὸ τοῦ βήματος διάκονος· Πρόσχωμεν. Δεῖ γινώσκειν, ὅτι .. [3]) ψαλλομένου τοῦ Ἀλληλούια [4]) κοινωνίας [5]) κατὰ τὸν καιρὸν [6]) οἱ δὲ ἀρχιερεῖς, οἱ συλλειτουργοῦντες δηλονότι τῷ πατριάρχῃ· ἰδίᾳ γὰρ καὶ αὐτοὶ λειτουργοῦντες τὰ αὐτὰ ποιοῦσι τῷ πατριάρχῃ, ἐν τῷ καιρῷ μὲν τῆς χειροτονίας οὐκ ἐνδύονται τὰ ὠμοφόρια αὐτῶν, ἀπὸ δὲ τοῦ καιροῦ τῆς τῶν ἁγίων ὑψώσεως ἐνδυόμενοι φοροῦσι πάντα μέχρι τέλους τῆς λειτουργίας. Τοῦ δὲ εὐαγγελίου πληρωθέντος... (Въ ркп. лавры Аѳан. Δ № 80 нѣтъ замѣчанія объ архіереяхъ) [7]) διάκονος, κατερχόμενος τοῦ ἄμβωνος.

ψαλτῶν τὸ Κύριε ἐλέησον τρίς [1]). Εἶτα ὑποστρέφων ἵσταται ἐν τῇ κρηπῖδι τῆς ἁγίας τραπέζης, λέγων τὴν εὐχὴν [2]) καὶ τὴν ἐκφώνησιν· Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος.. Καὶ οὕτως ἄρχεται ὁ ἐν τῷ ἄμβωνι δεύτερος διάκονος, λέγων· Εὔξασθε οἱ κατηχούμενοι. Καὶ πληρωθέντων τῶν διακονικῶν τῶν κατηχουμένων, ἐκφωνεῖ ὁ χειροτονηθεὶς ἀρχιερεύς, ἤ, εἰ μή ἐστιν ἀρχιερέως χειροτονία [3]), ὁ πρῶτος τῶν ἀρχιερέων· Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν [4]). Εἶτα ἄρχεται ὁ τρίτος διάκονος, λέγων· Ὅσοι κατηχούμενοι. Ταῦτα δὲ λέγοντος, οἱ ἐν τῷ βήματι διάκονοι ὑφαπλοῦσι τὸ εἰλητόν [5]). Τῆς δὲ εὐχῆς πληρωθείσης, ἐκφωνεῖ ὁ δεύτερος ἀρχιερεὺς τὴν

---

[1]) Ἐν τῇ ὑπὲρ τῶν βασιλέων ἐκτενῇ [2]) τὴν εὐχὴν ταύτην. Εὐχὴ τῆς ἐκτενοῦς ἱκεσίας· Κύριε ὁ Θεὸς ἡμῶν, τὴν ἐκτενῆ ταύτην ἱκεσίαν... Ταύτην δὲ λέγουσι καὶ πάντες οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι, τοῦ χειροτονηθέντος ἀρχιερέως, ἱσταμένου πρώτου πρὸ τῶν ἄλλων πάντων. Ταύτης δὲ λεγομένης παρὰ τοῦ πατριάρχου, ὁ διάκονος λέγει καὶ τὰ λοιπὰ τῆς ἐκτενῆς· Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβεστάτων... Ἔτι δεόμεθα ὑπὲρ τοῦ ἀρχιεπισκόπου. Ἰστέον, ὡς εἰ μὲν ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ τελεῖται ἡ λειτουργία, μετὰ τοῦτο ἐκφωνεῖ ὁ πατριάρχης, εἰ δὲ ἐν ἑτέρᾳ, μνημονεύει ὁ διάκονος τῶν τε κτητόρων καὶ ἑτέρων τινῶν, ὧν ἔχει συνήθη, καὶ οὕτως ἐκφωνεῖ ὁ πατριάρχης· Ὅτι ἐλεήμων.. Καὶ μετὰ τὸ Ἀμὴν ὁ μὲν πρῶτος διάκονος, προσκυνήσας καὶ κατελθὼν ἐν τῷ βήματι εἰσέρχεται, ἄρχεται δὲ ὁ δεύτερος ἐν τῷ ἄμβωνι· Εὔξασθε οἱ κατηχούμενοι. Τούτων δὲ λεγομένων, ὁ πατριάρχης λέγει τὴν εὐχὴν ταύτην. Εὐχὴ κατηχουμένων πρὸ τῆς ἁγίας ἀναφορᾶς· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν ὑψηλοῖς κατοικῶν. [3]) Λέγει ταύτην [4]) καὶ μετὰ τὸ Ἀμήν, προσκυνήσας ὁμοίως καὶ ὁ δεύτερος διάκονος κατέρχεται, ἄρχεται δὲ ὁ τρίτος... [5]) ὁ δὲ πατριάρχης λέγει τὴν εὐχὴν ταύτην. Εὐχὴ πιστῶν α'. μετὰ τὸ ἁπλωθῆναι τὸ εἰλητόν· Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς τῶν δυνάμεων... Τοῦ δὲ πατριάρχου τὴν εὐχὴν πληρώσαντος, νεύει τις τῶν ἐν τῷ βήματι διακόνων τῷ ἐν ἄμβωνι διακόνῳ καὶ εὐθὺς λέγει· Σοφία. Καὶ ἐκφωνεῖ ἕτερος ἀρχιερεύς, ὁ πρῶτος δηλονότι μετὰ τὸν χειροτονηθέντα, εἰ μή ἐστι χειροτονία, ὁ δεύτερος τὴν ἐκφώνησιν ταύτην· Ὅτι πρέπει... Καὶ μετὰ τὸ Ἀμήν, ὁ μὲν τρίτος διάκονος προσκυνήσας κατέρχεται, ἄρχεται ὁ τέταρτος, λέγων· Ἔτι καὶ ἔτι... Ταῦτα δὲ τοῦ διακόνου λέγοντος, ὁ πατριάρχης λέγει τὴν εὐχὴν ταύτην. Εὐχὴ πιστῶν β'. Πάλιν καὶ πολλάκις... Ταύτην δὲ τοῦ πατριάρχου πληρώσαντος, αἰσθόμενος ὁ ἐν τῷ ἄμβωνι διάκονος εὐθέως λέγει· Σοφία, καὶ ὁ πατριάρχης ἐκφωνεῖ τὴν ἐκφώνησιν ταύτην· Ὅπως ὑπὸ τοῦ κράτους... Καὶ ἄρχονται οἱ ψάλται τοῦ χερουβικοῦ ὕμνου. Ὁ δὲ χανστρίσιος, λαβὼν τὸν θυμιατὸν καὶ θυμίαμα βαλών, πρόσεισι τῷ πατριάρχῃ καί, τυχὼν εὐλογίας ἐπὶ τῷ θυμιάματι, θυμιᾷ σταυροειδῶς κύκλῳ τὴν ἁγίαν τράπεζαν καὶ τὸν πατριάρχην. Ὁ δὲ πατριάρχης, τοῦ χερουβικοῦ ᾀδομένου, λέγει καθ' ἑαυτὸν τὴν εὐχὴν ταύτην. Εὐχή· Οὐδεὶς ἄξιος... Ταύτην οὖν τελέσας, ὁ πατριάρχης ἀπέρχεται εἰς τὰς ἁγίας θύρας...

ἐκφώνησιν ταύτην· Ὅτι πρέπει σοι. Εἶτα ἄρχεται ὁ τέταρτος διάκονος, λέγων· Ἔτι καὶ ἔτι. Καὶ τῆς εὐχῆς πληρωθείσης, ἐκφωνεῖ ὁ πατριάρχης· Ὅπως ὑπὸ τοῦ κράτους σου. Καὶ τὴν εὐχὴν εἰπών, ἀπέρχεται εἰς τὰς ἁγίας θύρας καὶ λαμβάνει νίψιμον παρὰ τῶν ὑποδιακόνων, ὑποστρέφων δὲ ἵσταται ἔμπροσθεν τῆς ἁγίας τραπέζης, λέγων καθ' ἑαυτὸν τὸν χερουβικόν, τρὶς προσκυνῶν ἐν τῷ λέγειν αὐτόν. Εἶτα στρέφεται πρὸς δυσμάς, περιμένων τὴν τῶν ἁγίων εἴσοδον. Οἱ δὲ ἀρχιερεῖς, καὶ αὐτοὶ ἀπονιπτόμενοι, ἵστανται ἐξ ἑκατέρου μέρους τοῦ βήματος ἀπὸ τῶν ἁγίων θυρῶν μέχρι τῆς ἁγίας τραπέζης. Ὁ δὲ χανστρίσιος θυμιῶν λέγει τὸ Ἐλέησόν με, ὁ Θεός [1]), καὶ θυμιάσας τὰ ἅγια καὶ εἰπών· Ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ, λέγει πρὸς τὸν πρωτοπαπᾶν· Ἔπαρον, δέσποτα, τὰς χεῖρας ἡμῶν [2]). Ὁ [3]) δὲ ἐπάρας τὸν ἅγιον δίσκον καὶ εἰπών· Ἐπάρατε τὰς χεῖρας, τίθησιν ἐπάνω τῆς κορυφῆς τοῦ εἰπόντος τὸ εὐαγγέλιον [4]), καὶ οὕτω γίνεται ἡ εἴσοδος, προπορευομένου τοῦ ἐπὶ τῆς εὐταξίας ἔμπροσθεν, εἶτα τοῦ χανστρισίου μετὰ τοῦ ὠμοφορίου τοῦ πατριάρχου καὶ τοῦ θυμιατοῦ, ἢ τοῦ δευτερεύοντος τῶν διακόνων, εἶτα τῶν κρατούντων τὰ ῥιπίδια διακόνων, μεθ' οὓς ὁ τὸν ἅγιον ἄρτον κρατῶν, καὶ ὄπισθεν αὐτοῦ οἱ κρατοῦντες τοὺς λοιποὺς δίσκους, εἶτα ὁ πρωτοπαπᾶς μετὰ τοῦ ἁγίου ποτηρίου, καὶ οἱ λοιποὶ ἱερεῖς κατὰ τάξιν, ὄπισθεν δὲ πάντων οἱ κρατοῦντες ἐπὶ κεφαλῆς τὸν ἀέρα διάκονοι, καὶ μετ' αὐτοὺς πάλιν οἱ ὑποδιάκονοι, κατέχοντες καὶ τὸ χερνιβόξεστον [5]). Ὅταν δὲ ἔλθῃ ὁ κρατῶν [6]) τὸν ἅγιον ἄρτον, κατερχόμενος ὁ πατριάρχης ἀφ' ἧς ἵσταται κρηπῖδος καί, προσυπαντῶν αὐτῷ, λαμβάνει τὸν δίσκον ἀπὸ τῆς κεφαλῆς αὐτοῦ καὶ τίθησιν αὐτὸν ἐν τῇ ἁγίᾳ τραπέζῃ, συνεφαπτομένου καὶ αὐτοῦ. Ὁμοίως ποιεῖ καὶ εἰς τὰ ἐμπεπλησμένα ἅγια ποτήρια, θυμιῶντος αὐτὰ τοῦ κρατοῦντος τὸν θυμιατὸν διακόνου, εἰς δὲ τὸν ἀέρα συνεφάπτονται πάντες ἀρχιερεῖς, ἱερεῖς καὶ διάκονοι, λέγοντες· Ὁ εὐσχήμων Ἰωσήφ. Καὶ τίθησιν ὁ πατριάρχης τὰ ποτήρια ἐξ ἑκατέρου μέρους τοῦ δίσκου, ἓν παρ' ἕν, καὶ αἴρουσιν οἱ διάκονοι τὰ καλύμματά των, καὶ οὕτως τίθεται ὁ ἀήρ.

---

[1]) Ἀπέρχεται ἐν τῇ προθέσει μετὰ καὶ τῶν λοιπῶν πρεσβυτέρων καὶ διακόνων καὶ θυμιᾷ τὰ ἅγια καὶ εἰπὼν καθ' ἑαυτὸν τὸ Ὁ Θεός, ἱλάσθητί μοι. [2]) τὰς χεῖράς σου εἰς τὰ ἅγια. [3]) Καὶ ὁ πρωτοπαπᾶς, ἄρας [4]) τὸ εὐαγγέλιον διακόνου, συνεφαπτομένου καὶ αὐτοῦ μετὰ πάσης προσοχῆς καὶ ἀσφαλείας [5]) διερχόμενοι δὲ τὸν ναόν, εὔχονται ἅπαντες ὑπὲρ πάντων, καὶ οἱ ἱερεῖς· Μνησθείη ὑμῶν Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ. Ἐρχόμενοι δὲ πάντες εἰς τὸ ἅγιον βῆμα, λέγουσιν ἕκαστος πρὸς τὸν πατριάρχην· Μνησθείη Κύριος ὁ Θεὸς τῆς ἀρχιερωσύνης σου ἐν τῇ βασιλείᾳ... [6]) διάκονος.

Καὶ τοῦ κανστρισίου θυμιῶντος καὶ λέγοντος[1])· Ἀγάθυνον, Κύριε, ἕως ϑ͂ιλους τοῦ ψαλμοῦ, πάντων προσκυνησάντων ἔμπροσθεν τῶν ἁγίων, ὑποκλίνας ὁ πατριάρχης μικρὸν τὴν κεφαλὴν ἐφ' ἑκάτερα τὰ μέρη, στραφείς, λέγει· Εὐλογεῖτε, ἅγιοι. Καὶ πάντες προσκυνήσαντες αὐτόν, λέγουσι· Πνεῦμα ἅγιον ἐπελεύσεται. Καὶ εὐθὺς λέγουσι· Μνήσθητι ἡμῶν, δέσποτα ἅγιε. Καὶ ὁ πατριάρχης λέγει· Αὐτὸ τὸ Πνεῦμα τὸ ἅγιον μνησθείη ὑμῶν ἐν[2])... Τοῦ δὲ χερουβικοῦ πληρωθέντος, ἐρχόμενος ὁ πατριάρχης εἰς τὰς ἁγίας θύρας σφραγίζει τὸν λαὸν τρὶς μετὰ τοῦ τρικερίου[3]). Καὶ εἴ[4]) ἐστι χειροτονία πρεσβυτέρου, καθήμενος ἐν τῷ σελλίῳ αὐτοῦ, ἀναπαύεται ἕως γυρώσουσι τὸν μέλλοντα χειροτονεῖσθαι πρεσβύτερον τὴν ἁγίαν τράπεζαν τρίς, εἶτα ἀνίσταται καί, ἐνδυσάμενος τὸ ὠμοφόριον καὶ τελέσας τὴν χειροτονίαν, ἀποδύεται πάλιν τὸ ὠμοφόριον. Καὶ λέγει ὁ διάκονος· Πληρώσωμεν τὴν δέησιν καὶ τὰ λοιπά, ὁ δὲ πατριάρχης τὴν εὐχὴν καὶ τὴν ἐκφώνησιν· Διὰ τῶν οἰκτιρμῶν τοῦ μονογενοῦς σου Υἱοῦ. Ὅταν δὲ εἴπῃ ὁ διάκονος· Ἀγαπήσωμεν ἀλλήλους, ἀσπάζεται ὁ πατριάρχης τὴν ἁγίαν τράπεζαν, λέγων[5])· Ἀγαπήσω σε, Κύριε, ἡ ἰσχύς μου. Εἶτα οἱ ἀρχιερεῖς κατὰ τάξιν ἀσπάζονται τὴν ἁγίαν τράπεζαν, εἶτα τὴν δεξιὰν τοῦ πατριάρχου χεῖρα, κειμένην ἐν τῇ ἁγίᾳ τραπέζῃ, εἶτα τὴν παρειὰν αὐτοῦ, ἐν ᾧ καὶ λέγει ὁ μὲν πατριάρχης· Ὁ Χριστὸς ἐν μέσῳ ἡμῶν, οἱ δὲ ἀποκρίνονται αὐτῷ· Καὶ ἔστι καὶ ἔσται. Πρῶτος δὲ πάντων ὁ χειροτονηθεὶς ἐστιν ἀρχιερεὺς ἐν πάσῃ τῇ τῆς λειτουργίας ὑπηρεσίᾳ. Ἀσπάζονται δὲ καὶ ἀλλήλους, ὁμοίως καὶ οἱ πρεσβύτεροι ποιοῦσιν, ἀσπαζόμενοι τὴν ἁγίαν τράπεζαν, τὴν χεῖρα τοῦ πατριάρχου καὶ τὴν παρειάν, τοὺς ἀρχιερεῖς καὶ ἀλλήλους. Καὶ οἱ διάκονοι[6]) δέ, ἐν ἑνὶ μέρει τοῦ βήματος ἀπερ-

---

[1]) Ἐν τῷ θυμιᾷν· Ἀγάθυνον, Κύριε [2]) Μετὰ τὴν συμπλήρωσιν τοῦ χερουβικοῦ δηλονότι καὶ τὴν συνήθως παρ' αὐτοῦ πρὸς τὸν λαὸν μετὰ τοῦ κηρίου γινομένην εὐλογίαν καὶ τοῦτο, εἴπερ ἐστὶ χειροτονία οὐδόλως κάθηται, ἀλλὰ μετὰ τὴν εἰρημένην εὐλογίαν, ὁ μὲν διάκονος, ἐν τῷ ἄμβωνι ἀνελθών, τὰς συνήθεις λέγει αἰτήσεις, ὁ δὲ πατριάρχης λέγει καθ' ἑαυτὸν τὴν εὐχὴν καί, καθήμενος ἐν τῷ σελλίῳ, μικρὸν ἀναπαύεται. [3]) Далѣе слѣдуетъ чинъ рукоположенія во священника. [4]) Послѣ хиротоніи слѣдуетъ замѣчаніе: καὶ οὕτως ὁ ἐν τῷ ἄμβωνι διάκονος, λαμβάνων καιρόν, ἔρχεται λέγων ταῦτα· Πληρώσωμεν τὴν δέησιν... Τούτων δὲ λεγομένων παρὰ τοῦ διακόνου, ὁ πατριάρχης λέγει τὴν εὐχὴν ταύτην. Εὐχὴ προσκομιδῆς, μετὰ τὴν ἐν τῇ ἁγίᾳ τραπέζῃ τῶν θείων δώρων ἀπόθεσιν· Κύριε ὁ Θεός, ὁ παντοκράτωρ, ὁ μόνος ἅγιος. Ὁ μέντοι διάκονος ἐπισυνάπτει καὶ ταῦτα ἀδιαστάτως· Ἀντιλαβοῦ, σῶσον.. [5]) καθ' ἑαυτὸν τὸ [6]) καὶ οἱ διάκονοι ἀλλήλους, а вставки: ἐν ἑνὶ μέρει τοῦ βήματος ἀπερχόμενοι — нѣтъ.

χόμενοι, ἀλλήλους ἀσπάζονται, πρότερον ἕκαστος αὐτῶν τὸ οἰκεῖον ἀσπαζόμενος ὠράριον καθ' ἕνα ἀσπασμόν. Πληρωσάντων δὲ τῶν πρεσβυτέρων τὸν ἀσπασμόν, ὁ ἐν τῷ ἄμβωνι διάκονος ἐκφωνεῖ· Τὰς θύρας, τὰς θύρας[1]). Ὅταν δὲ λέγῃ· Στῶμεν καλῶς, λαμβάνουσιν οἱ ἀρχιερεῖς μετὰ τοῦ πατριάρχου καὶ τῶν πρεσβυτέρων, καὶ διακόνων τὸν ἀέρα, καὶ αἴρουσιν αὐτὸν ἀπὸ τῶν ἁγίων, κατὰ μικρὸν ὑψοῦντες αὐτὸν καὶ λέγοντες τὸ Ἅγιος ὁ Θεός. Ὁ δὲ πατριάρχης ἐκφωνεῖ· Ἡ χάρις τοῦ Κυρίου[2]). Καὶ ὅταν εἴπῃ· Εὐχαριστήσωμεν τῷ Κυρίῳ, εἰσέρχεται ὁ ἐν τῷ ἄμβωνι διάκονος, καὶ ποιεῖ ἀσπασμὸν μετὰ τῶν λοιπῶν διακόνων[3]). Ὅτε δὲ μέλλει εἰπεῖν ὁ δευτερεύων τῶν διακόνων πρὸς τὸν πατριάρχην· Εὐλόγησον, δέσποτα,

---

[1]) Καὶ λέγεται τὸ Πιστεύω εἰς ἕνα Θεόν, οὗ πληρωθέντος, ἐκφωνεῖ αὖθις ὁ διάκονος· Στῶμεν καλῶς. [2]) Καὶ ὁ μὲν λαὸς λέγει· Καὶ μετὰ τοῦ πνεύματός σου. Ὁ δὲ πατριάρχης αὖθις· Ἄνω σχῶμεν τὰς καρδίας. Ὁ λαός· Ἔχωμεν πρὸς τὸν Κύριον. Ὁ δὲ πατριάρχης· Εὐχαριστήσωμεν τῷ Κυρίῳ [3]) Ὁ δὲ πατριάρχης κλινόμενος ἐπεύχεται· Ἄξιον καὶ δίκαιόν σε ὑμνεῖν... Καὶ ὁ πατριάρχης ἐκφωνεῖ· Τὸν ἐπινίκιον ὕμνον. Καὶ τοῦτον τοῦ πατριάρχου λέγοντος, αἴρει ὁ δευτερεύων τῶν διακόνων τὸν ἀστερίσκον ἀπὸ τοῦ ἁγίου δίσκου, καὶ σπογγίσας αὐτὸν ἐπὶ τοῦ εἰλητοῦ καὶ ἀσπασάμενος τίθησιν αὐτὸν ἐπάνω τοῦ εἰλητοῦ εἰς μέρος. Ἄλλοι δὲ δύο τῶν διακόνων, λαβόντες δύο ῥιπίδια, ἵστανται ἐξ ἑκατέρου μέρους τῆς ἁγίας τραπέζης ἐκ πλαγίου καὶ ῥιπίζουσιν ἐπάνω τῶν ἁγίων μετὰ πάσης εὐλαβείας, ὥστε μὴ καθῆσαι μυῖαν ἤ τι τῶν τοιούτων ζωΰφίων. Ὁ δὲ πατριάρχης κλινόμενος ἐπεύχεται· Μετὰ τούτων καὶ ἡμεῖς τῶν... Ἐκφώνησις· Λάβετε, φάγετε... Μυστικῶς· Ὁμοίως καὶ τὸ ποτήριον... Ἐκφώνησις· Πίετε ἐξ αὐτοῦ... Ὁ λαός· Ἀμήν. Ὁ πατριάρχης κλινόμενος ἐπεύχεται· Μεμνημένοι τοίνυν... Ἐκφώνησις· Τὰ σὰ ἐκ τῶν σῶν... Καὶ πάλιν ὁ πατριάρχης κλινόμενος ἐπεύχεται· Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην... Καὶ οὕτως ἀνιστάμενος προσκυνεῖ αὐτός τε ὁ πατριάρχης καὶ οἱ λοιποὶ πάντες, λέγων καὶ τὸ τροπάριον τοῦτο τρίς· Κύριε, ὁ τὸ πανάγιόν σου Πνεῦμα ἐν τῇ τρίτῃ ὥρᾳ... καὶ προσκυνεῖ τρίς. Εἶτα ὁ δευτερεύων τῶν διακόνων, μικρὸν ὑποκλίνας τὴν κεφαλὴν καὶ δεικνύων σὺν τῷ ὠραρίῳ τὸν ἅγιον δίσκον, λέγει· Εὐλόγησον, δέσποτα, τὸν ἅγιον ἄρτον. Καὶ ὁ πατριάρχης εὐλογεῖ ἐπάνω τοῦ ἁγίου ἄρτου (въ ркп. лавры Аθан. Δ № 80 прибавлено: σταυροειδῶς), λέγων ἠρέμα· Καὶ ποίησον τὸν μὲν ἄρτον τοῦτον τίμιον σῶμα τοῦ Χριστοῦ σου. Ὁ διάκονος· Ἀμήν. Καὶ πάλιν ὁ διάκονος· Εὐλόγησον, δέσποτα, τὸ ἅγιον ποτήριον. Ὁ δὲ πατριάρχης, εὐλογῶν αὐτό, λέγει· Τὸ δὲ ἐν τῷ ποτηρίῳ τούτῳ τίμιον αἷμα τοῦ Χριστοῦ σου. Εἰ δὲ εἰσὶ πολλά, λέγει τοῦτο πληθυντικῶς, εἶτα πάλιν ὁ διάκονος· Εὐλόγησον καὶ ἀμφότερα, δέσποτα. Καὶ ὁ πατριάρχης, εὐλογῶν ἐπάνω τῶν ἁγίων, λέγει· Μεταβαλὼν τῷ Πνεύματί σου τῷ ἁγίῳ. Καὶ ὁ διάκονος, εἰπών· Ἀμήν, Ἀμήν, καὶ περισσότερον ἔτι τὴν κεφαλὴν ὑποκλίνας, λέγει· Μνήσθητί μου, δέσποτα, τοῦ ἁμαρτωλοῦ. Καὶ ὁ πατριάρχης λέγει πρὸς αὐτὸν καὶ τοῖς λοι-

τὸ ἅγιον ποτήριον, εἴπερ εἰσὶ πολλά, λέγει πληθυντικῶς. Καὶ μετὰ τὸ τελειωθῆναι τὰ ἅγια, λέγει ὁ πατριάρχης πρὸς τοὺς διακόνους· Μνησθείη ὑμῶν Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ. Καὶ εὐθύς, εἰ ἐχειροτονήθη πρεσβύτερος, προσέρχεται καὶ ἐπιδίδωσιν αὐτῷ ὁ πατριάρχης τὴν παρακαταθήκην. Ὅταν δὲ ἐκφωνήσῃ τὸ Ἐξαιρέτως, λέγουσι καὶ οἱ ἀρχιερεῖς καὶ ὁ πατριάρχης καὶ οἱ διάκονοι καθ' ἑαυτοὺς τὸ Ἄξιόν ἐστι.

---

ποῖς διακόνοις· Μνησθείη ὑμῶν Κύριος ὁ Θεός ἐν τῇ βασιλείᾳ αὐτοῦ. Καὶ εὐθὺς προσέρχεται ὁ χειροτονηθεὶς πρεσβύτερος, καὶ ἐπιδίδωσιν αὐτῷ ὁ πατριάρχης τὴν παρακαταθήκην, λέγων πρὸς αὐτὸν οὕτως· Λάβε ταύτην τὴν παρακαταθήκην... Ὁ δὲ λαβὼν καὶ ἀσπασάμενος τὴν χεῖρα τοῦ πατριάρχου, μεθίσταται ἐν ᾧ πρότερον ἵστατο τόπῳ, τὰς μὲν χεῖρας θεὶς ἐπάνω τῆς ἁγίας τραπέζης, τὴν δὲ κεφαλὴν ἔχων ἐπικειμένην ταῖς χερσίν, εὐχόμενος καθ' ἑαυτὸν αὖθις καὶ λέγων τὸ Ἐλέησόν με, ὁ Θεός. Ὁ δὲ πατριάρχης, αὖθις κλινόμενος, ἐπεύχεται· Ὥστε γενέσθαι τοῖς μεταλαμβάνουσιν εἰς νῆψιν ψυχῆς... Καὶ εὐθὺς ἐκφώνησις· Ἐξαιρέτως τῆς παναγίας ἀχράντου... Καὶ τοῦτο εἰπὼν ὁ πατριάρχης λέγει καὶ αὐτὸς καθ' ἑαυτὸν τὸ Ἄξιόν ἐστιν, ὡς ἀληθῶς... Ὁ δὲ κανστρίσιος, λαβὼν τὸν θυμιατὸν καὶ θυμίαμα βαλὼν παρὰ τοῦ πατριάρχου συνήθως εὐλογεῖ ἐπὶ τῷ θυμιάματι, θυμιᾷ σταυροειδῶς κύκλῳ τὴν ἁγίαν τράπεζαν, λέγων καθ' ἑαυτὸν καὶ τὸ Ἄξιόν ἐστιν. Εἶτα θυμιᾷ τὸν πατριάρχην, τοὺς ἀρχιερεῖς καὶ τοὺς διακόνους, καὶ αὖθις τὸν πατριάρχην, καὶ τὴν ἁγίαν τράπεζαν καὶ ἀποτίθησι τὸν θυμιατόν. Ὁ δὲ πατριάρχης, κλινόμενος αὖθις, ἐπεύχεται· Τοῦ ἁγίου Ἰωάννου τοῦ προφήτου .. Ταύτης οὖν τελεσθείσης πρὸ τοῦ ἐκφωνῆσαι τὸν πατριάρχην, λέγει εἷς τῶν διακόνων ἔνδοθεν τοῦ βήματος μεγαλοφώνως· Καὶ ὧν ἕκαστος κατὰ διάνοιαν ἔχει. Καὶ πάντων καὶ πασῶν. Καὶ οὕτως ἐκφωνεῖ ὁ πατριάρχης· Μνήσθητι, Κύριε, πάσης ἐπισκοπῆς ὀρθοδόξων τῶν ὀρθοτομούντων τὸν λόγον τῆς σῆς ἀληθείας. Ἰστέον (Въ ркп. лавры Аѳан. Δ № 80 этого замѣчанія нѣтъ) δέ, ὡς εἰ μὲν πατριάρχης ἐστὶν ὁ τὴν λειτουργίαν ἐπιτελῶν, λέγει τὴν ἐκφώνησιν ταύτην, εἰ δὲ ἀρχιερεύς, οὐ λέγει ταύτην, ἀλλὰ τήνδε· Ἐν πρώτοις μνήσθητι, Κύριε, τοῦ ἀρχιεπισκόπου. Και μετὰ τὴν ἐκφώνησιν λέγει ὁ ἀρχιδιάκονος εἰς ἐπήκοον πάντων ἔνδοθεν τοῦ βήματος τὰ δίπτυχα ταῦτα· Ὅδε τοῦ ἁγιωτάτου (Въ ркп. лавры Аѳанасія Δ № 80 нѣтъ поминовенія патріарховъ, священника, царя и никакихъ замѣчаній о службѣ патріарха и митрополита) καὶ οἰκουμενικοῦ πατριάρχου, ὅδε Ἀλεξανδρείας, ὅδε Ἀντιοχείας, ὅδε Ἱεροσολύμων καὶ ὑπὸ τοῦ προσκομίζοντος τὰ ἅγια δῶρα Κυρίῳ Θεῷ ἡμῶν τοῦδε τοῦ ἐντιμοτάτου ἱερέως, τῶν συμπαρόντων ἱερέων, τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας καὶ παντὸς ἱερατικοῦ τάγματος· ὑπὲρ σωτηρίας, κράτους, νίκης καὶ διαμονῆς τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων βασιλέων ἡμῶν ὅδε καὶ ὅδε, ὑπὲρ εἰρήνης καὶ καταστάσεως τοῦ σύμπαντος κόσμου καὶ τῶν ἁγίων τοῦ Θεοῦ ἐκκλησιῶν, ὑπὲρ ἀπολυτρώσεως τῶν ἀδελφῶν, τῶν αἰχμαλώτων, εὐοδώσεως καὶ ἐνισχύσεως τοῦ φιλοχρίστου

Πρὸ δὲ τοῦ εἰπεῖν τὸν πατριάρχην τὴν ἐκφώνησιν ταύτην· Μνήσθητι, Κύριε, πάσης ἐπισκοπῆς, λέγει εἷς τῶν διακόνων ἔνδοθεν· Καὶ ὧν ἕκαστος κατά... Ἰστέον δέ, ὅτι, εἰ ἀρχιερεύς ἐστιν ὁ λειτουργῶν, λέγει· Ἐν πρώτοις μνήσθητι, Κύριε, τοῦ ἀρχιεπισκόπου. Καὶ μετὰ τὴν ἐκφώνησιν λέγει ὁ διάκονος τὰ δίπτυχα. Καὶ πληρώσας προσκυνεῖ τὸν πατριάρχην καὶ λαμβάνει παρ' αὐτοῦ εὐλογίαν. Καὶ ὅταν ἐκφωνήσῃ ὁ πατριάρχης τὸ Καὶ ἔσται τὰ ἐλέη, καθήσας ἐν τῷ σελλίῳ αὐτοῦ, εἴπερ ἐστὶ χειροτονία διακόνου, μικρὸν ἀναπαύεται. Καὶ μετὰ τὴν χειροτονίαν λέγει ὁ διάκονος· Πάντων τῶν ἁγίων [1]). Μετὰ δὲ τὸ τελειῶσαι τὸν πατριάρχην τὴν εὐχὴν ταύτην· Πρόσχες, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ἐξ ἁγίου, εὐθὺς φο-

---

σταυροῦ, σωτηρίας τοῦ περιεστῶτος λαοῦ. Καὶ πάντων καὶ πασῶν. Ὅταν λειτουργῇ ὁ πατριάρχης, λέγονται οὕτω τὰ δίπτυχα· ὁ δεῖνος τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου, ὁ δεῖνος Ἀλεξανδρείας, ὁ δεῖνος Ἀντιοχείας, ὁ δεῖνος Ἱεροσολύμων, τῶν συμπαρόντων ἀρχιερέων, τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας καὶ τὰ λοιπά. Ὅταν λειτουργῇ μητροπολίτης μετὰ προτροπῆς τοῦ πατριάρχου· Ὁ δεῖνος τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου, ὁ δεῖνος Ἀλεξανδρείας, ὁ δεῖνος Ἀντιοχείας, ὁ δεῖνος Ἱεροσολύμων καὶ ὑπὲρ τοῦ προσκομίζοντος τὰ ἅγια δῶρα Κυρίῳ τῷ Θεῷ ἡμῶν ὁ δεῖνα, τοῦ πανιερωτάτου μητροπολίτου ὁ δεῖνος καὶ ὑπερτίμου, τοῦ τιμίου πρεσβυτερίου καὶ τὰ λοιπά. Καὶ πληρώσας τὰ δίπτυχα, ἔρχεται καὶ προσκυνεῖ τὸν πατριάρχην καὶ λαμβάνει παρ' αὐτοῦ εὐλογίαν. Ὁ δὲ πατριάρχης αὖθις ἐπεύχεται· Μνήσθητι, Κύριε, τῆς πόλεως, ἐν ᾗ... καὶ μνημονεύει, ὧν βούλεται ζώντων, μυστικῶς, καὶ οὕτως ἐκφωνεῖ· Καὶ δὸς ἡμῖν ἐν ἑνὶ στόματι... Ὁ λαός· Ἀμήν. Καὶ ὁ πατріάρχης αὖθις ἐκφωνεῖ· Καὶ ἔσται τὰ ἐλέη... (Въ ркп. лавры Аθан. Δ № 80 далѣе говорится: Καὶ μετὰ τὴν ἐκφώνησιν ταύτην, εἰ ἔχει χειροτονίαν διακόνου, καθήμενος ἐν τῷ σελλίῳ αὐτοῦ, μικρὸν ἀναπαύεται). Καὶ οὕτω καθήμενος ἐν τῷ σελλίῳ, μικρὸν ἀναπαύεται. Чинъ рукоположенія во діакона.

[1]) Ταῦτα δὲ τοῦ διακόνου λέγοντος, ὁ πατριάρχης κλινόμενος ἐπεύχεται· Σοὶ παρακατατιθέμεθα τὴν ζωὴν ἡμῶν. Ταύτην δὲ τὴν εὐχὴν τοῦ πατριάρχου λέγοντος, ὁ διάκονος ἀδιαστάτως ἐπισυνάπτει καὶ ταῦτα· Ἀντιλαβοῦ, σῶσον... Τὴν ἡμέραν πᾶσαν... Καὶ ταῦτα τοῦ διακόνου εἰπόντος, ἐκφώνησις· Καὶ καταξίωσον ἡμᾶς, Δέσποτα... Ὁ λαός· Πάτερ ἡμῶν. Ὁ πατριάρχης πάλιν ἐκφωνεῖ· Ὅτι σοῦ ἐστιν ἡ βασιλεία... Καὶ μετὰ τὸ Ἀμὴν λέγει πάλιν ὁ πατριάρχης· Εἰρήνη πᾶσιν. Ὁ διάκονος· Τὰς κεφαλὰς ὑμῶν... Καὶ τοῦτο εἰπών, κλίνει καὶ αὐτὸς σὺν τοῖς ἄλλοις τὴν κεφαλὴν μικρὸν ἄχρι τῆς ἐκφωνήσεως. Ὁ δὲ πατριάρχης κλινόμενος ἐπεύχεται· Εὐχαριστοῦμέν σοι, Βασιλεῦ ἀόρατε... Καὶ εὐθέως ἐκφωνεῖ οὕτως· Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ... Καὶ πάλιν οὖν κλινόμενος ἐπεύχεται· Πρόσχες, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐξ ἁγίου... Ταύτην δὲ τελέσας, εὐθὺς φορένει τὸ ὠμοφόριον ὁ πατριάρχης, τοῦτο ποιοῦσι καὶ οἱ ἀρχιερεῖς. Ὁ μέντοι διάκονος ἵσταται, καθ' ἑαυτὸν εὐχόμενος καὶ προσέχων τῷ πατριάρχῃ

ρένει τὸ ὠμοφόριον, ὁμοίως καὶ οἱ ἀρχιερεῖς. Ὁ δὲ πατριάρχης, μελίσας τὸν ἅγιον ἄρτον, λαβὼν τὴν ἄνω μερίδα, μερίζει αὐτὴν ἀναλόγως πρὸς τὰ ποτήρια, καὶ ἕκαστον τῶν τμημάτων ἐμβάλλει τῶν ποτηρίων ἑκάστῳ, ποιῶν σταυρὸν σὺ αὐτῇ ἐπάνω τοῦ ἁγίου ποτηρίου, καὶ λέγων· Πλήρωμα Πνεύματος ἁγίου. Καὶ ὁ διάκονος τὸ Ἀμήν. Μετὰ δὲ τὸ ἐγχέαι τοῦ ζέοντος τὸ ἀρκοῦν ἑκάστῳ τῶν ποτηρίων, ὁ πατριάρχης ἢ ὁ πρωτοπαπᾶς, προτροπῇ αὐτοῦ, διαιρεῖ τὰς λοιπὰς μερίδας τοῦ ἁγίου ἄρτου εἰς λεπτά, πρὸς τὸ ἀρκέσαι πᾶσιν. Εἶτα ὁ χειροτονηθεὶς ἀρχιερεὺς προσελθών, ἢ ὁ εὑρισκόμενος πρῶτος τῶν ἄλλων, εἰ μή ἐστι χειροτονία, καὶ λαβὼν μερίδα τοῦ ἁγίου ἄρτου, δίδωσι τῷ πατριάρχῃ. Ὁ δὲ λαβὼν αὐτὴν τῇ δεξιᾷ χειρὶ καὶ τοῖς τρισὶ δακτύλοις συσφίγξας αὐτὴν ἐν τῇ παλάμῃ τοῖς λοιποῖς δυσὶ δακτύλοις λαμβάνει ἄλλην μερίδα, καὶ δίδωσιν αὐτῷ [1]), καὶ δεξάμενος ἀσπάζεται τὴν χεῖρα τοῦ πατριάρχου καὶ τὴν

---

τὸν ὀφθαλμόν, καὶ ὅταν ἴδῃ ἐκεῖνον τὴν εὐχὴν συντελέσαντα καὶ ἀρξάμενον προσκυνεῖν, συμπροσκυνεῖ καὶ αὐτὸς ἐν ᾧ ἵσταται τόπῳ. Τοῦτο δὲ ποιοῦσι καὶ πάντες οἱ λειτουργοῦντες. Καὶ ὅταν ἴδῃ πάλιν ἐκεῖνον, ἐκτείναντα τὰς χεῖρας καὶ ἀψάμενον τοῦ ἁγίου ἄρτου, ἐκφωνεῖ· Πρόσχωμεν. Καὶ ὁ πατριάρχης, ὑψῶν τὸν ἅγιον ἄρτον, ἐκφωνεῖ· Τὰ ἅγια τοῖς ἁγίοις (Въ ркп. Аѳан. лавры Δ № 80 прибавлено: Μετὰ τοῦτο, εἴ ἐστι χειροτονία πρεσβυτέρου, ἀποτίθησιν ὁ πρεσβύτερος τὸν δοθέντα αὐτῷ ἅγιον ἄρτον ἐν τῷ ἁγίῳ δίσκῳ, καὶ ἵσταται μικρὸν αὐτόθι, εὐχόμενος καθ' ἑαυτόν, ὁ μὲν διάκονος εἰσέρχεται). Καὶ εἰσέρχεται ὁ διάκονος εἰς τὸ βῆμα, ὁ δὲ πατριάρχης, εἰπόντος τοῦ διακόνου· Μέλισον, δέσποτα, τὸν ἅγιον ἄρτον, μελίζει τὸν ἅγιον ἄρτον εἰς μερίδας δ'. λέγων ἐν τῷ μελίζειν ἠρέμα· Μελίζεται καὶ διαμερίζεται ὁ ἀμνὸς τοῦ Θεοῦ... καὶ τίθησιν αὐτὰς ἐν τῷ ἁγίῳ δίσκῳ σταυροειδῶς. Καὶ ὁ διάκονος, δεικνύων σὺν τῷ ὠραρίῳ τὰ ἅγια ποτήρια, λέγει· Πλήρωσον, δέσποτα. Καὶ ὁ πατριάρχης, τὴν ἄνω μερίδα λαβὼν καὶ μερίσας αὐτὴν ἀναλόγως πρὸς τὰ ποτήρια (Въ ркп. лавры Аѳан. прибавлено: εἴπερ εἰσὶ πλείονα δηλονότι), ἕκαστον τῶν τμημάτων ἐμβάλλει τῶν ποτηρίων ἑκάστῳ, ποιῶν σταυρὸν σὺν αὐτοῖς ἐπάνω τοῦ ἁγίου ποτηρίου καὶ λέγων Πλήρωμα Πνεύματος ἁγίου. Ὁ δὲ διάκονος, εἰπὼν τὸ Ἀμήν, δέχεται τὸ εἰσκομισθὲν ζέον (Въ ркп. лавры Аѳан. καὶ προσενεγκὼν αὐτό, λέγει πρὸς τὸν ἀρχιερέα· Εὐλόγησον, δέσποτα, τὸ ζέον), καὶ ὁ μὲν πατριάρχης, εὐλογῶν αὐτό, λέγει· Ζέσις Πνεύματος ἁγίου Ὁ δὲ διάκονος, κρατῶν τῇ μὲν ἀριστερᾷ χειρὶ ἕκαστον τῶν ποτηρίων, τῇ δὲ δεξιᾷ τὸ ζέον, ἐγχέει τοῦ ζέοντος τὸ ἀρκοῦν ἑκάστῳ. Ὁ μὲν πατριάρχης ἢ ὁ πρωτοπαπᾶς, προτροπῇ αὐτοῦ λαβὼν τὸν ἅγιον δίσκον, διαιρεῖ τὰς λοιπὰς μερίδας τοῦ ἁγίου εἰς λεπτά...

[1]) Ὁ δὲ κάτωθεν μὲν ὑποθεὶς την ἀριστερὰν χεῖρα, ἐπιθεὶς δὲ αὐτῇ τὴν δεξιάν, δέχεται ταύτην καὶ συσφίγγει τοῖς δακτύλοις πρὸς τὸ μὴ ἐκπεσεῖν τι καὶ ἀσπάζεται τὴν χεῖρα τοῦ πατριάρχου.

παρειάν, τοῦ μὲν πατριάρχου λέγοντος· Ὁ Χριστὸς ἐν μέσῳ ἡμῶν, τοῦ δὲ ἀρχιερέως· Καὶ ἔστι καὶ ἔσται [1]). Μεταλαβόντες δὲ τοῦ ἐν χερσὶν ἁγίου σώματος, ἀποσπογγίζουσι τὰς χεῖρας αὐτῶν εἰς τὸ εἰλητόν. Ὁ δὲ ἀρχιερεύς, λαβὼν τὸ πρῶτον ποτήριον, μεταδίδωσι τῷ πατριάρχῃ, εἶτα ὁ πατριάρχης τῷ ἀρχιερεῖ. Καὶ οὕτως ὁ μὲν ἀρχιερεύς, λαβὼν τὸ ποτήριον μετὰ τοῦ καλύμματος, συνεργούντων αὐτῷ καὶ διακόνων τινῶν δι' ἀσφάλειαν, ἵσταται ἐπὶ τοῦ δεξιοῦ κίονος, ἐκδεχόμενος τοὺς προσερχομένους ἐπὶ τὸ μεταλαβεῖν. Ὁ δὲ πατριάρχης, λαβὼν τὸν ἅγιον δίσκον, μεταδίδωσι τοῖς λοιποῖς ἀρχιερεῦσι καὶ πρεσβυτέροις τῶν μερίδων τοῦ ἁγίου ἄρτου [2]), εἶτα μεταλαμβάνουσι καὶ ἀπὸ τοῦ ἁγίου ποτηρίου. Τῷ δὲ πρώτῳ τῶν λοιπῶν ἀρχιερέων [3]) κοινωνήσαντι ἀρχιερεῖ ἐπιδίδοται παρὰ τῶν διακόνων τὸ δεύτερον ποτήριον καὶ ἵσταται ἐν τῷ ἀριστερῷ κίονι, καὶ μετ' αὐτοὺς ἵστανται οἱ τὰ λοιπὰ ποτήρια κατέχοντες. Οἱ δὲ διάκονοι, πρότερον ἀπελθόντες ἐν μέρει τοῦ ἁγίου βήματος καὶ συγχώρησιν παρ' ἀλλήλων ἐξαιτησάμενοι καὶ λαβόντες, δεσμήσαντες ἅμα καὶ τὰ ὠράρια ἑαυτῶν, προσέρχονται καὶ αὐτοί, καὶ μεταλαμβάνουσι τοῦ ἁγίου ἄρτου καὶ τοῦ ἁγίου ποτηρίου. Τῆς δὲ κοινωνίας τελεσθείσης, τὰ μὲν ἅγια ποτήρια ἀποτίθενται παρὰ τῶν διακόνων ἐν τῇ ἁγίᾳ τραπέζῃ, ὁ δὲ δευτερεύων τῶν διακόνων, λαβὼν μετὰ χεῖρας τόν τε ἅγιον δίσκον καὶ τὴν μοῦσαν, εἰσκομίζει πάντα ἐν τῷ ἁγίῳ ποτηρίῳ [4]). Ὁ δὲ πατριάρχης,

---

[1]) Καὶ κύψαντες ἀμφότεροι ἔμπροσθεν τῆς ἁγίας τραπέζης, εὔχονται καθ' ἑαυτούς, λέγοντες· Τοῦ δείπνου σου τοῦ μυστικοῦ, εἶτα Πιστεύω, Κύριε, καὶ ὁμολογῶ... Καὶ τελευταῖον εἰπόντες τὸ Μή μοι εἰς κρῖμα ἢ εἰς κατάκριμα γένοιτο ἡ μετάληψις... μεταλαμβάνει ἑκάτερος τοῦ ἐν χερσὶ μετὰ φόβου καὶ πάσης ἀσφαλείας, τὰς χεῖρας ἔχοντες ἐπάνω τῆς ἁγίας τραπέζης, εἶτα ἀποσπογγίζουσιν αὐτὰς μετὰ τοῦ εἰλητοῦ. Ὁ δὲ ἀρχιερεύς, λαβὼν τὸ πρῶτον ποτήριον, μεταδίδωσι τῷ πατριάρχῃ, κρατοῦντι ἐπὶ τοῦ πώγωνος καὶ τοῦ στήθους κάλυμμα. Λαβὼν τοίνυν ὁ πατριάρχης καὶ ἀμφοτέραις ταῖς χερσὶ τὸ ποτήριον μετὰ τοῦ καλύμματος, μεταλαμβάνει τρίτον ἐξ αὐτοῦ, καὶ μετὰ τοῦτο τὰ χείλη ἑαυτοῦ τε καὶ τοῦ ἱεροῦ ποτηρίου τῷ ἐν χερσὶ καλύμματι ἀποσπογγίσας καὶ αὐτοῦ που παρὰ τὸ χεῖλος ἔξω τοῦ ποτηρίου ἀσπασάμενος, λαμβάνει μὲν αὐτὸς τὸ ποτήριον, δίδωσι δὲ τῷ ἀρχιερεῖ τὸ κάλυμμα, καὶ οὕτω μεταλαμβάνει καὶ αὐτὸς ὁμοίως τὰ αὐτὰ ποιῶν. Καὶ οὕτως ὁ μὲν ἀρχιερεύς, λαβὼν τὸ ποτήριον μετὰ τοῦ καλύμματος, συνεργούντων αὐτῷ καὶ διακόνων τινῶν δι' ἀσφάλειαν, ἵσταται ἐπὶ τοῦ δεξιοῦ κίονος, ἐκδεχόμενος τοὺς προσερχομένους ἐπὶ τῷ μεταλαβεῖν, ὁ δὲ ἀρχιερεὺς λαβὼν τὸν ἅγιον δίσκον [2]) καὶ ποιοῦσιν ἕκαστος, ὡς ἄνωθεν εἴρηται [3]) Нѣтъ — τῶν λοιπῶν ἀρχιερέων [4]) Прибавлено: μετὰ φόβου καὶ πάσης ἀσφαλείας, ὥστε μηδέν τι τῶν λεπτοτάτων ἐκπεσεῖν ἢ καταλειφθῆναι.

τούτου γινομένου, ἐπιλέγει τὴν τῆς εὐχαριστίας εὐχὴν [1]). Εἶτα λαβὼν ὁ δευτερεύων τὸ ἅγιον ποτήριον, καί, προπορευόμενος τοῦ πατριάρχου, ἔρχεται εἰς τὰς ἁγίας θύρας, ὁ δὲ πατριάρχης, λαβὼν ἀπὸ τῶν τοῦ διακόνου χειρῶν τὸ ἅγιον ποτήριον, μεταδίδωσι διὰ τῆς λαβίδος τοῖς ὑποδιακόνοις καὶ ἀναγνώσταις [2]). Τοῦ δὲ ἁγίου ποτηρίου ἀποτεθέντος ἐν τῇ ἁγίᾳ τραπέζῃ [3]), θυμιᾷ ὁ δευτερεύων τὰ ἅγια ἐκ τρίτου, λέγων· Ὑψώθητι ἐπὶ τοὺς οὐρανούς, ὁ Θεός. Ὁ δὲ πατριάρχης, λαβὼν τὸν ἅγιον δίσκον [4]), ἐπιτίθησι τῇ κεφαλῇ ἑνὸς τῶν διακόνων, καί, [5]) εἰπὼν ἠρέμα· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, εἶτα ἐκφωνεῖ· Πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας [6]). Τὰ δὲ ἅγια ποτήρια λαμβάνουσι πρεσβύτεροι καὶ ἀποφέρουσιν ἐν τῇ προθέσει. Ἀπέρχονται δὲ καὶ διάκονοι σὺν αὐτοῖς, κατὰ τὸν ἀριθμὸν τῶν ποτηρίων, καὶ εἰσκομίζουσι τὰ ἅγια. Οἱ δὲ ὑποδιάκονοι, εἰσερχόμενοι εἰς τὸ ἅγιον βῆμα, διδόασι νίψιμον τῷ πατριάρχῃ. Ὁμοίως καὶ πάντες οἱ κοινωνήσαντες, ἀπερχόμενοι ἐν τῷ συνήθει τόπῳ, ἀπονίπτονται τὰς χεῖρας καὶ τὰ πρὸ τῶν χειλέων ἑαυτῶν, λέγοντες [7])· Νῦν ἀπολύεις [8]), καὶ τὰ λοιπά. Μετὰ δὲ τὸ εἰπεῖν τοὺς ψάλτας τὸ Πληρωθήτω, ὁ ἀρχιδιάκονος, ἢ εἴπερ ἐχειροτονήθη διάκονος, ἐξελθὼν [9]) λέγει τὰ διακονικά· Ὀρθοί, μεταλαβόντες. Ὁ δὲ πατριάρχης [10]), τοῦ εἰλητοῦ διπλωμένου, ἐκφωνεῖ· Ὅτι σὺ εἶ ὁ ἁγιασμός. Ἐξελθὼν δὲ ὁ δευτερεύων τῶν ἱερέων, εἰ δὲ [11]) ἐγένετο

---

[1]) Εὐχὴ μετὰ τὴν ἁγίαν μετάληψιν· Εὐχαριστοῦμέν σοι, Δέσποτα φιλάνθρωπε... Ὁ δὲ δευτερεύων τῶν διακόνων, τὴν λαβίδα ἐν τῷ ποτηρίῳ βαλὼν καὶ καλύψας αὐτὸ μετὰ καλύμματος, αἴρει αὐτό, καί, προπορευόμενος τοῦ πατριάρχου, ἔρχεται εἰς τὰς ἁγίας θύρας καὶ δείκνυσι τοῖς ἐκτός, λέγων· Μετὰ φόβου Θεοῦ καὶ πίστεως ἔλθετε. Αὐτὸς δὲ ὁ πατριάρχης, λαβὼν ἀπὸ τῶν τοῦ διακόνου χειρῶν [2]) τοῦ ἁγίου σώματος καὶ αἵματος Καὶ μετὰ τοῦτο εὐλογεῖ τὸν λαόν, λέγων· Σῶσον, ὁ Θεός, τὸν λαόν σου... [3]) λαβὼν ὁ δευτερεύων τῶν διακόνων τὸν θυμιατὸν καὶ θυμίαμα βαλών, καὶ συνήθως λαβὼν ἐπ' αὐτῷ εὐλογίαν παρὰ τοῦ πατριάρχου, θυμιᾷ τὰ ἅγια ἐκ τρίτου, λέγων ἠρέμα· Ὑψώθητι ἐπὶ τοὺς οὐρανούς... Καὶ μετατίθησι τὸν θυμιατὸν ἐν τῷ ἰδίῳ τόπῳ [4]) κεκαλυμμένον ὄντα [5]) καὶ πρῶτον μὲν λέγει ἠρέμα. [6]) Καὶ ψαλλομένου τοῦ Πληρωθήτω, ὁ μὲν τὸν δίσκον λαβὼν διάκονος ἀπέρχεται ἐν τῇ προθέσει [7]) καθ' ἑαυτὸν [8]) Τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν, ἀπολυτίκιον, τὸ κοντάκιον τῆς ἡμέρας καὶ θεοτοκίον, τὸ Κύριε ἐλέησον τρίς. Τὴν τιμιωτέραν τῶν.. καὶ ἀπόλυσις. Μετὰ τὸ πληρῶσαι τοὺς ψάλτας τὸ Πληρωθήτω [9]) ἐν τῇ σωλαίᾳ, ἢ εἴπερ ἔνι χειροτονία διακόνου, ὁ χειροτονηθεὶς διάκονος, [εἰς τὸν ἄμβωνα ἀνελθών, λέγει τὰ διακονικὰ ταῦτα· Ὀρθοί, μεταλαβόντες...] [10]) Нѣтъ этого замѣчанія [11]) χειροτονηθεὶς πρεσβύτερος καὶ ἀπέρχεται ὄπισθεν τοῦ ἄμβωνος καὶ λέγει μεγαλοφώνως τὴν ὀπισθάμβωνον εὐχὴν ταύτην· Ὁ εὐλογῶν τοὺς εὐλογοῦντάς σε, Κύριε...

πρεσβύτερος, οὗτος λέγει τὴν εὐχήν· Ὁ εὐλογῶν τοὺς εὐλογοῦντάς σε, Κύριε. Ταύτης δὲ λεγομένης, ὁ πατριάρχης, στὰς ἔμπροσθεν τῶν ἁγίων θυρῶν, ἢ ἕτερος ἀρχιερεύς, ὃν ἂν προτρέψῃ, διανέμει τῷ λαῷ ἀντίδωρον, καὶ λέγει τὴν ἀπόλυσιν [1]), σφραγίζων καὶ τὸν λαὸν τρίς, ἢ οὕτως

---

[1]) Ὁ προτραπεὶς ἀρχιερεὺς διανέμει τῷ λαῷ τὸ ἀντίδωρον. Ὁ δὲ τὴν ὀπισθάμβωνον εἰπὼν εὐχὴν ἱερεύς, ἀπελθὼν ἐν τῇ προθέσει, λέγει κἀκεῖ τὴν τελευταίαν εὐχὴν ταύτην· Τὸ πλήρωμα τοῦ νόμου καὶ τῶν προφητῶν... Οἱ μέντοι τὰ ἅγια εἰσκομίζοντες διάκονοι μετὰ πάσης προσοχῆς καὶ ἀσφαλείας συστέλλουσιν αὐτά, ἀποπλύναντες τρίτον τὰ ἅγια ποτήρια τῷ οἴνῳ καὶ τῷ ὕδατι, καὶ ἐκμάσσοντες ἀκριβῶς πᾶσαν τὴν ὑγρότητα τῷ σπόγγῳ, ὥστε μὴ ἐναπολειφθῆναι τὴν τυχοῦσαν νοτίδα. Ταῦ α δὲ συστείλαντες καὶ διαθέντες καλῶς, ἀπονίπτονται καὶ αὐτοὶ ὁμοίως τοῖς λοιποῖς ἐν τῷ συνήθει τόπῳ, λέγον ες καὶ τὰ εἰρημένα. Ὁ μέντοι πατριάρχης μετὰ τὸ διανεῖμαι τὸ ἀντίδωρον (въ ркп. лавры Аѳан. Δ № 80 καὶ πληρωθῆναι καὶ τὸ Εὐλογήσω τὸν Κύριον), αὐτόθι ἱστάμενος εἰς τὰς ἁγίας θύρας, ποιεῖ (въ ркп. лавры Аѳан. Δ № 80 ἐκφωνεῖ· Εὐλογία Κυρίου. . Τοῦτο δὲ λέγων, σφραγίζει τὸν λαόν, καὶ οὕτως οἱ μὲν ψάλλοντες λέγουσι Δόξα καὶ νῦν, Κύριε ἐλέησον γ'. ὁ δὲ ἀρχιερεὺς ἢ ὁ ἱερεὺς ποιεῖ ἀπόλυσιν. Εἰ δὲ δεσποτική ἐστιν ἑορτή... См. въ ркп. Александр. библ. № 371, гдѣ это поставлено въ концѣ чина) τὴν ἀπόλυσιν καὶ σφραγίζει τρὶς τὸν λαὸν καὶ ὑποστρέψας, ἀποδύεται τὰ ἀρχιερατικά, κάτω που ἱστάμενος περὶ τὰς τοῦ συνθρόνου βαθμίδας, λεγόντων τῶν διακόνων, τῶν ὑπηρετούντων, τὸ Νῦν ἀπολύεις, Τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν, τὸ ἀπολυτίκιον τῆς ἡμέρας καὶ τὸ κοντάκιον, Δόξα καὶ νῦν, Τὴν τιμιωτέραν. Καὶ ποιεῖ ὁ πατριάρχης ἠρέμα τὴν ἀπόλυσιν, καὶ καθήμενος ἐν τῷ σελλίῳ αὐτοῦ, μικρὸν ἀναπαύεται, εἶτα ἀναστὰς καὶ προσκυνήσας ἔμπροσθεν τῆς ἁγίας τραπέζης καὶ τῷ Θεῷ εὐχαριστήσας ἐπὶ πᾶσι, καὶ Δόξα σοι, Κύριε, πάντων ἕνεκεν ἐπειπών, ἐξέρχεται, ἢ οὕτως· μετὰ τὸ πληρωθῆναι τὸ Εὐλογήσω σὸν Κύριον, ἐκφωνεῖ· Εὐλογία Κυρίου ἐφ' ὑμᾶς τῇ αὐτοῦ φιλανθρωπίᾳ καὶ χάριτι... Τοῦτο δὲ λέγων, σφραγίζει καὶ τὸν λαόν, καὶ οὕτως ὁ μὲν λαὸς λέγουσι· Δόξα καὶ νῦν, Κύριε ἐλέησον τρίς, ὁ δὲ ἀρχιερεὺς ποιεῖ ἀπόλυσιν. Εἰ μὲν δεσποτική ἐστιν ἑορτή, κατάλληλον τῇ ἑορτῇ, εἰ δ' ἁγίου μεγάλου τινός ἐστι μνήμη, ἐκφωνεῖ ἐν τῇ ἀπολύσει καὶ τὸ τοῦ ἁγίου ὄνομα καὶ τὰ λοιπά, καθὼς προεγράφη, καὶ οὕτως, μετὰ τὸ Εὐλογία Κυρίου, λέγει τὸν στίχον τοῦτον ἀντὶ ἀπολύσεως· Διὰ πρεσβειῶν τῆς παναχράντου σου Μητρός καὶ πάντων σου τῶν ἁγίων, Κύριε Ἰησοῦ Χρισ ὲ ὁ Θεὸς ἡμῶν, ἐλέησον ἡμᾶς, καὶ οὕτως ἀπέρχεται. Σημείωσις (Въ ркп. лавры Аѳан. Δ № 80 нѣтъ этого замѣчанія) Ἐπεὶ δὲ ἔξεστι τὴν τοῦ διακόνου χειροτονίαν καὶ ἐν τοῖς προηγιασμένοις ποιεῖν, ἰστέον, ὅτι μετὰ τὸ ἀποτεθῆναι τὰ προηγιασμένα ἐν τῇ ἁγίᾳ τραπέζῃ πρὶν εἰπεῖν τὸν διάκονον· Πληρώσωμεν τὴν ἑσπερινὴν δέησιν, προσάγεται ὁ χειροτονεῖσθαι μέλλων, καὶ γίνεται ἡ χειροτονία, ὡς προεγράφη.

ἐν τῷ λέγειν αὐτόν· Εὐλογία Κυρίου ἐφ' ὑμᾶς, σφραγίζει καὶ τὸν λαόν. Ἀποδύεται δὲ ὁ πατριάρχης τὰ ἀρχιερατικά, κάτω που ἱστάμενος περὶ τὰς τοῦ συνθρόνου βαθμίδας, λεγόντων τῶν διακόνων, τῶν ὑπηρετούντων, τὸ Νῦν ἀπολύεις τὸν δοῦλόν σου καὶ τὰ λοιπά, καὶ ποιεῖ ὁ πατριάρχης ἠρέμα τὴν ἀπόλυσιν, καὶ καθήμενος ἐν τῷ σελλίῳ αὐτοῦ, ἐν ᾧ ἀπεφόρεσε τόπῳ, μικρὸν ἀναπαύεται. Εἶτα ἀναστὰς καὶ προσκυνήσας ἔμπροσθεν τῆς ἁγίας τραπέζης, καὶ τῷ Θεῷ εὐχαριστήσας ἐπὶ πάντων καὶ Δόξα σοι, Κύριε, πάντων ἕνεκεν ἐπειπών, ἐξέρχεται.

л. 61 об. Τάξις γινομένη τῇ μεγάλῃ πέμπτῃ ἐν τῇ ἐκπλύσει τῆς ἁγίας τραπέζης. Goar. pag. 497—499.

л. 65. Περὶ δὲ τῆς ἁγίας τραπέζης, ἧς τὰ ἄμφια παλαιωθέντα διεφθάρησαν. Goar. pag. 501.

л. 65 об. Εὐχὴ πρὸ τῆς θείας μυσταγωγίας.

Ὁ Θεός, ὁ Θεὸς ἡμῶν, ὁ τοῖς χερουβὶμ ἀθεώρητος καὶ τοῖς σεραφὶμ ἀκατανόητος. См. выше стр. 170—171.

л. 66 об. Ἑτέρα εὐχὴ εἰς τὴν ὑπεραγίαν Θεοτόκον.

Ὑπέραγνε Μῆτερ τοῦ ὑπερευλογημένου Θεοῦ, ἐνίσχυσόν μου τὴν ἐλεεινότητα, ἵνα ἀπροσκόπως ἀνύσαι τὴν προκειμένην λειτουργίαν τοῦ Υἱοῦ καὶ Θεοῦ σου πρεσβείαις καὶ ἱκεσίαις σου, ὡς παῤῥησίαν κεκτημένη πρεσβεύειν ὑπὲρ ἡμῶν...

л. 67. Τάξις ἐπὶ χειροτονίᾳ σταυροφόρου.

Κατερχομένου τοῦ πατριάρχου ἀπὸ τοῦ στασιδίου αὐτοῦ καὶ ἱσταμένου ἐν ταῖς ὑπ' αὐτὸ βαθμῖσιν, ὁ μέλλων χειροτονηθῆναι, εἰσελθὼν ἐν τῷ ἁγίῳ βήματι, εἰ μὲν διάκονος εἴη, φορένει τὸ στιχάριον αὐτοῦ καὶ τὸ ὠράριον καὶ ἐπάνω τούτων φαιλόνιον, καὶ ἐν τῇ κεφαλῇ περῤιπτάριον(;), εἰ δὲ πρεσβύτερος πᾶσαν τὴν ἱερατικὴν στολὴν καὶ περῤιπτάριον, καί, ἐξελθὼν ἔξω, ἔρχεται πλησίον τοῦ πατριάρχου, τοῦ δὲ μεγάλου χαρτοφύλακος ποιήσαντος μετάνοιαν τῷ πατριάρχῃ καὶ συνήθως κρατήσαντος τοῦ μέλλοντος χειροτονηθῆναι τὴν κεφαλήν, καὶ ἐκφωνήσαντος τὸ Κελεύσατε, ὁ πατριάρχης ἀναστάς, ἔχων τὴν δεξιὰν χεῖρα, ἀπῃωρημένην πρὸς εὐλογίαν, ἐκφωνεῖ τὸ Ἡ χάρις τοῦ παναγίου Πνεύματος προχειρίζεταί σε (τὸν) μέγαν τῆς ἁγιωτάτης τοῦ Θεοῦ μεγάλης ἐκκλησίας. Τῶν δὲ ψαλλόντων μεγαλοφώνως τὸ Εἰς πολλὰ ἔτη, δέσποτα, καθίζει ὁ πατριάρχης ἐν ταῖς εἰρημέναις βαθμῖσι, καὶ ἐλθὼν ὁ χειροτονηθεὶς ἀσπάζεται τὸ τοῦ πατριάρχου γόνυ, τὴν χεῖρα καὶ τὴν παρειάν, ὁμοίως ἀσπάζεται καὶ τοὺς ἄλλους σταυροφόρους. Εἶτα κομίζουσιν οἱ ὑπηρέται τῷ πατριάρχῃ τὸ ἅγιον εὐαγγέλιον, καί, λαβὼν τοῦτο, ἐπιδίδωσι τῷ χειροτονηθέντι, εἰπὼν πρὸς αὐτόν· Λάβε τὸ ἅγιον εὐαγγέλιον καὶ κρίνε κατὰ τὰ ἐν αὐτῷ γε-

γραμμένα, εἰδώς, ὡς ἐν ᾧ κρίματι κρίνεις, κριθήσει, καὶ ἐν ᾧ μέτρῳ μετρεῖς, ἀντιμετρηθήσει. Ὁ δὲ δεξάμενος τοῦτο ἀσπάζεται τὴν τοῦ πατριάρχου χεῖρα, ὑπὸ τῶν ὑπηρετῶν εὐτρεπίζεται ὁ τοῦ πατριάρχου θρόνος, ἔχων ἐπάνω καὶ τὸ βλατίον καὶ τίθεται ἀντικρὺ τῆς εἰκόνος τοῦ Χριστοῦ, τῆς ἐν ταῖς ὡραίαις πύλαις οὔσης, τὸν μέντοι χειροτονηθέντα λαβόντες οἱ ἐπισκοπιανοὶ καὶ ὁ πρεσβύτερος καὶ ὁ διάκονος φορεμένοι, ἀπέρχονται ἐν τῷ τόπῳ, ἐν ᾧ καὶ ὁ θρόνος ἡτοιμάσθη, καὶ ποιήσαντος τοῦ ἱερέως Εὐλογητόν, ψάλλεται τὸ Τρισάγιον καὶ ἀπολυτίκιον τοῦ Χριστοῦ. Καὶ μνημονεύσαντος τοῦ διακόνου τοὺς βασιλεῖς, τὸν πατριάρχην καὶ τὸν χειροτονηθέντα, καθήσαντός τε τοῦ ἀρτίως χειροτονηθέντος ἐν τῷ θρόνῳ, γίνεται φήμη τῶν βασιλέων, τοῦ πατριάρχου καὶ αὐτοῦ τοῦ χειροτονηθέντος, καὶ εὐθὺς ἡ ἀπόλυσις.

л. 68. Рукою XVI в. Τύπος ἀποκρίσεως εἰς μήνυμα χειροτονίας ἀρχιερέως ἐν τῷ πατριαρχείῳ τῶν Ἱεροσολύμων.

л. 58 об. Тою же рукою: Τύπος ἀποκρίσεως εἰς μήνυμα χειροτονίας ἀρχιερέως ἐν τῷ πατριαρχείῳ Κωνσταντινουπόλεως.

л. 69. Рукою XV в. написаны апостолы, евангелія и три молитвы изъ чина елеосвященія.

**XXXIV**. № 965. Рукопись Синайск. библ. въ 16 долю листа, 52 листа, писана на пергаменѣ почеркомъ XIV в. Начала и конца рукописи нѣтъ. Въ рукописи изложенъ чинъ елеосвященія, начинающійся вторымъ тропаремъ изъ канона Арсенія. Goar. p. 332—334. Послѣ канона στιχηρά, ἦχος δ'. προσόμοια· Ἔδωκας σημείωσιν. Ἔδωκας τὴν χάριν σου... Βλέψον, ἀκατάληπτε... Goar. p. 334—335. Πρόσδεξαι, φιλάνθρωπε, τῶν οἰκετῶν σου τὴν δέησιν... Δόξα καὶ νῦν, Σὲ τὸ καθαρώτατον, εἶτα τὸ Τρισάγιον, καὶ εὐθὺς τροπάρια, ἦχος πλ. β'. Ἐλέησον ἡμᾶς, Κύριε... Καὶ νῦν, Πολλὰ τὰ πλήθη, Ἐλέησον ἡμᾶς... Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ὑγείας, σωτηρίας... Τὸ Κύριε ἐλέησον μ'. Ἔτι δεόμεθα ὑπὲρ τοῦ ἵλεων, εὐμενῆ καὶ εὐδιάλλακτον γενέσθαι... τὸ Κύριε ἐλέησον γ'. Ἐκφώνησις· Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος... Καί, εἰ μὲν ἐστιν ἑσπέρα, γίνεται ἀπόλυσις, εἰ δὲ πρωί, τίθεται ἐν τῷ μέσῳ τετραπόδιον μετὰ σκεύους, ἔχοντος σῖτον, καὶ κανδήλαν μετὰ οἴνου, καὶ εὐθὺς λέγει ὁ ἱερεύς· Εὐλογητὸς ὁ Θεός, καὶ εὐθὺς τὸ Τρισάγιον, Δεῦτε προσκυνήσωμεν γ'. τὸ Ν'. τὸ Ὁ κατοικῶν ἐν βοηθείᾳ καὶ τὸ Πιστεύω εἰς ἕνα Θεόν, εἶθ' οὕτως ψάλλονται στιχηρά, κατανυκτικὸν κατ' ἦχον καὶ θεοτοκίον. Τούτων δὲ ψαλλομένων, λέγεται ἡ προκειμένη εὐχὴ παρ' ἑνὸς ἑκάστου ἱερέως, βάλλοντος ἔλαιον ἐν τῇ κανδήλᾳ. Εὐχή· Κύριε, ἐν τῷ

ἐλέει καὶ τοῖς οἰκτιρμοῖς. Goar. p. 335. Τὰ κατ' ἦχον τροπάρια, ἦχος α΄. Ἐν ἀνομίαις συλληφθεὶς ἐγὼ ὁ ἄσωτος... ἦχος β΄. Μητέρα σὲ Θεοῦ ἐπιστάμεθα πάντες... Εὐσπλαγχνίας ὑπάρχουσα πηγή... ἦχος γ΄. Παροικοῦσα ἐν τῇ γῇ, ψυχή μου, μετανόησον... Καταφυγὴ καὶ δύναμις ἡμῖν... ἦχος δ΄. Τὴν ταπεινήν μου ψυχὴν ἐπίσκεψαι, Κύριε... Τῇ Θεοτόκῳ ἐκτενῶς νῦν προσδράμωμεν... ἦχος πλ. α΄. Ψυχὴ τὰ ὧδε πρόσκαιρα, τὰ δὲ ἐκεῖθεν αἰώνια... ἦχος πλ. β΄. Τὴν ταχεῖαν σου σκέπην... Ἐλέησον ἡμᾶς, Κύριε... Τῆς εὐσπλαγχνίας τὴν πύλην... ἦχος βαρύς, Τοῦ τελώνου τὴν μετάνοιαν οὐκ ἐζήλωσα καὶ τῆς πόρνης τὰ δάκρυα κέκτημαι... Ὡς ἔχουσα τὸ συμπαθές... Ὄμματι εὐσπλάγχνῳ, Κύριε... Ἡ νοητὴ πύλη τῆς ζωῆς... Καὶ εὐθὺς κοντάκιον, ἦχος γ΄. Τὴν ψυχήν μου, Κύριε, ἐν ἁμαρτίαις... πλ. δ΄. Ἅγιοι, ἀνάργυροι καὶ θαυματουργοί... Οἱ τὴν χάριν λαβόντες... ἦχος β΄. Πρεσβεία θερμὴ καὶ τεῖχος... πλ. β΄. Προστασία τῶν χριστιανῶν... Εἶθ' οὕτως προσέρχεται ὁ μέλλων ποιῆσαι τὸ ἅγιον ἔλαιον μέσον τῶν ἱερέων καί, ποιήσας κατ' ἀνατολὰς μετανοίας τρεῖς καὶ μίαν πρὸς τοὺς ἱερεῖς, λέγει· Εὐλογήσατε, συγχωρήσατέ μοι τῷ ἁμαρτωλῷ, εἴτε ἥμαρτον ἐν λόγῳ, ἐν ἔργῳ, ἐν γνώσει, ἐν ἀγνοίᾳ, καὶ εὔξασθε ὑπὲρ ἐμοῦ. Καὶ λέγουσιν· Ὁ Θεὸς συγχωρήσαι σοι καὶ ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι. Εἶτα ὁ πρωτοπαπᾶς· Τοῦ Κυρίου δεηθῶμεν, καὶ λέγει τὴν εὐχὴν ταύτην ἐπάνω τῆς κανδήλας· Ἄναρχε, ἀδιάδοχε, ἅγιε τῶν ἁγίων, ὁ τὸν μονογενῆ σου Υἱόν. Goar. p. 337, Καὶ εὐθὺς Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῆς εἰρήνης... Ὑπὲρ τοῦ ἁγίου οἴκου... Ὑπὲρ τοῦ ἀδελφοῦ ἡμῶν τοῦδε καὶ τῆς σωτηρίας αὐτοῦ... Ὑπὲρ ἀφέσεως καὶ συγχωρήσεως... Ὑπὲρ τοῦ ἐλθεῖν ἐπ' αὐτῷ τὴν χάριν τοῦ ἁγίου Πνεύματος, φωτίζουσαν αὐτοῦ τὴν διάνοιαν... Ὑπὲρ τοῦ καταξιωθῆναι αὐτὸν τῆς βασιλείας... Ὑπὲρ τοῦ λυτρωθῆναι... Ὑπὲρ τοῦ ῥυσθῆναι... Τῆς παναγίας... Ὅτι πρέπει σοι πᾶσα δόξα... Прилож. къ Богослуж. въ русск. церкв. вь XVI в. ч. I, стр. 120, прим. 1. Πρόσχωμεν. Εἰρήνη πᾶσι. Προκείμενον, ἦχος α΄. Γένοιτο, Κύριε, τὸ ἔλεος... Goar. p. 336, апостолъ и евангеліе Прилож. стр. 123. Ἐλέησον ἡμᾶς... Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ὑγείας, σωτηρίας... τὸ Κύριε ἐλέησον μ΄. Ἔτι δεόμεθα ὑπὲρ τοῦ ἵλεων, εὐμενῆ καὶ εὐδιάλλακτον... τὸ Κύριε ἐλέησον γ΄. Ἐκφώνησις· Ὅτι ἐλεήμων... Τοῦ Κυρίου δεηθῶμεν καὶ ἡ εὐχή· Εὐδιάλλακτε Κύριε, ὁ μόνος ἐλεήμων καὶ φιλάνθρωπος. Goar. p. 339. Прилож. стр. 124. Καὶ ὁ ἱερεύς· Εἰσάκουσον, Κύριε. Εἰσάκουσον, Δέσποτα. Εἰσάκουσον, Ἅγιε. Εἶτα ἅπτει τὴν θρυαλλίδα καί, λαβὼν ἅγιον ἔλαιον, ἀλείφει, λέγων τὴν εὐχὴν ταύτην· Πάτερ ἅγιε, ἰατρὲ ψυχῶν καὶ σωμάτων... Прилож. стр. 111. Нѣтъ лишь имень Θαλαλαίου καὶ Τρύφωνος. Ὁ δεύτερος ἱερεύς· Ἐν εἰρήνῃ

и т. д. полная великая ектенья, что выше. Εἰρήνη πᾶσι. Προκείμενον, ἦχος β'. Ἰσχύς μου καὶ ὕμνησις,.. Στίχος· Παιδεύων ἐπαίδευσέ με... Ὁ ἀπόστολος πρὸς Ῥωμαίους, евангеліе отъ Луки. Прилож. стр. 124. Ἐλέησον ἡμᾶς и т. д. что выше. Τοῦ Κυρίου δεηθῶμεν. Εὐχή· Δέσποτα Κύριε, ὁ Θεὸς ὁ παντοκράτωρ, ἅγιε βασιλεῦ τῆς δόξης Прил. стр. 127. Εἶτα ἀλείφει ἅγιον ἔλαιον, λέγων τὴν προγραφεῖσαν εὐχήν· Πάτερ ἅγιε, ἰατρὲ ψυχῶν καὶ σωμάτων... Ὁ τρίτος ἱερεύς· Ἐν εἰρήνῃ и т. д. великая ектенья, что выше. Πρόσχωμεν. Εἰρήνη πᾶσι. Προκείμενον, ἦχος πλ. δ'. Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με. Στίχος· Ὅτι τὰ βέλη σου... Ὁ ἀπόστολος πρὸς Κορινθίους β'. Ἀδελφοί, ὑμεῖς ἐστὲ ναὸς Θεοῦ ζῶντος. Goar. p. 341. Ἀλληλούια, ἦχος πλ. β'. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεος. Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ματθαῖον· Τῷ καιρῷ ἐκείνῳ, προσκαλεσάμενος ὁ Ἰησοῦς τοὺς δώδεκα μαθητάς. Goar. p. 340. Ἐλέησον ἡμᾶς и т. д. Τοῦ Κυρίου δεηθῶμεν. Εὐχή· Ἀγαθὲ καὶ φιλάνθρωπε, εὔσπλαγχνε, πολυέλεε Κύριε Прилож. стр. 128—129. Καὶ ἀλείφει ἅγιον ἔλαιον κατὰ τοὺς προλαβόντας. Καὶ εὐθὺς ἄρχεται ὁ δ'. ἱερεύς· Ἐν εἰρήνῃ и т. д. Προκείμενον, ἦχος δ'. Ἐν ᾗ ἂν ἡμέρᾳ, апостолъ и евангеліе, что въ Прилож. стр. 128. Εἶτα Ἐλέησον ἡμᾶς и т. д. Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ παιδεύων καὶ πάλιν ἰώμενος. Goar. p. 342. Εἰσάκουσον, Κύριε. Εἰσάκουσον, Δέσποτα. Εἰσάκουσον, Ἅγιε. Καὶ ἀλείφει ἅγιον ἔλαιον, ἐπιλέγων καὶ τὴν προγεγραμμένην εὐχὴν κατὰ τοὺς προλαβόντας. Εἶτα ἄρχεται ὁ πέμπτος ἱερεύς· Ἐν εἰρήνῃ и т. д., прокименъ, апостолъ и евангеліе, что въ Прилож. стр. 129. Εἶτα Ἐλέησον ἡμᾶς.. Τοῦ Κυρίου δεηθῶμεν. Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἀγαθὸς ἰατρὸς τῶν ψυχῶν καὶ σωμάτων ἡμῶν... Goar. p. 343. Εἰσάκουσον, Κύριε. Εἰσάκουσον, Δέσποτα. Εἰσάκουσον Ἅγιε. Καὶ ἀλείφει ἅγιον ἔλαιον, καθὼς καὶ οἱ ἕτεροι. Εἶτα ἄρχεται ὁ ἕκτος ἱερεύς· Ἐν εἰρήνῃ и т. д., прокименъ, апостолъ и евангеліе, что въ Прилож. стр. 130—131. Ἐλέησον ἡμᾶς и т. д. Τοῦ Κυρίου δεηθῶμεν. Ἡ εὐχή· Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ἰατρὲ ψυχῶν καὶ σωμάτων. Goar. p. 345. Καὶ ἀλείφει ἅγιον ἔλαιον, ἐπιλέγων καὶ τὴν προγεγραμμένην εὐχήν. Ὁ ἕβδομος ἱερεύς· Ἐν εἰρήνῃ... и т. д. Προκείμενον, ἦχος πλ. β'. Κύριε, μὴ τῷ θυμῷ σου... Στίχος· Ἐλέησόν με, Κύριε, ὅτι ἀσθενής... Ὁ ἀπόστολος πρὸς Τιμόθεον· Τέκνον Τιμόθεε, ἐνδυναμοῦ ἐν τῇ χάριτι τῇ ἐν Χριστῷ Ἰησοῦ... Τέλος· τῆς ἐν Χριστῷ Ἰησοῦ μετὰ δόξης αἰωνίου. Ἀλληλούια, ἦχος πλ. δ'. Ἐπάκουσον ἡμῶν, ὁ Σωτὴρ ἡμῶν. Εὐαγγέλιον κατὰ Ματθαῖον· Εἶπεν ὁ Κύριος· ἐὰν ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν... Τέλος· ὅπου γάρ ἐστιν ὁ θησαυρὸς ὑμῶν, ἐκεῖ ἔσται καὶ ἡ καρ-

διὰ ὑμῶν. Ἐλέησον ἡμᾶς... Τοῦ Κυρίου δεηθῶμεν καὶ εὐχή· Ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, ὁ διὰ τοῦ προφήτου σου Νάθαν μετανοήσαντι τῷ Δαβὶδ ἐπὶ τοῖς ἰδίοις πλημμελήμασιν ἄφεσιν δωρησάμενος καὶ τοῦ Μανασσῆ τὴν ἐπὶ μετανοίᾳ προσευχὴν προσδεξάμενος, αὐτὸς καί. Слич. Прилож. стр. 134. Здѣсь рукопись обрывается.

**XXXV**. № 994, рукопись Синайск. библ. въ 24 долю листа, 216 листовъ, писана на бомбицинѣ разгонистымъ небрежнымъ почеркомъ XIV в.


Πρόσχες σεαυτῷ, ὦ πρεσβύτερε, καὶ βλέπε τὴν διακονίαν, ἣν παρέλαβες.

л. 22. Εὐχὴ ἐπὶ θεμελίου ἐκκλησίας.

— Εὐχὴ ἐπὶ θεμελίου οἴκου.

л. 22 об. Εὐχὴ εἰς εὐλογίαν οἴνου.

л. 23. Εὐχὴ εἰς τὸ φυτεῦσαι ἄμπελον.

л. 23 об. Εὐχὴ εἰς εὐλόγησιν οἴνου.

л. 24. Апостолъ и евагеліе преподобныхъ.

л. 25 чистый.

л. 26. Апостолъ и евангеліе апостоламъ Петру и Павлу.

л. 28 об. Евангеліе Богородицѣ.

л. 30. Литургія св. Златоуста.

л. 45 об. Литургія Василія Великаго.

л. 68 об. Литургія преждеосвященныхъ даровъ.

л. 78 об. Апостольскія и евангельскія чтенія по Мѣсяцеслову.

л. 139 об. Εὐχαὶ τῆς γονυκλισίας.

л. 153 об. Ἀκολουθία τῶν ἁγίων Θεοφανίων.

л. 167 об. Ἀκολουθία σὺν Θεῷ τοῦ ἁγιασμοῦ.

л. 178. Ἀποστολοευαγγέλια τῆς ἑβδομάδος.

л. 196 об. Ἀρχὴ σὺν Θεῷ εὐαγγέλια ἑωθινὰ τὰ ια΄.

л. 213. Εὐχαὶ τοῦ λυχνικοῦ.

л. 216. Утреннія молитвы безъ начала.

л. 223. Новой руки: Εὐχή, ἣν λέγει ὁ ἱερεὺς εἰς τὸν μέλλοντα μεταλαμβάνειν.

# XV ВѢКЪ.

**XLIX.** № 1021. Илитарій на пергаменѣ Синайск. библіотеки содержащій въ себѣ чинъ литургіи Василія Великаго, писанъ почеркомъ XIV—XV в. На поляхъ рукою современною написанію илитарія сдѣланы киноварью нѣкоторыя, не лишенныя интереса, замѣчанія, въ родѣ слѣдующихъ: Ὁ διάκονος· Εὐλόγησον, δέσποτα, τὸν καιρὸν τοῦ Τρισαγίου. Ὁ ἀρχιερεύς· Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν καὶ σοὶ τὴν δόξαν... Καὶ οἱ ψάλται τὸ Τρισάγιον. Ὁ ἀρχιερεὺς ὁμοίως τὸ Τρισάγιον δὶς καὶ εἰς τὴν καθέδραν μίαν. Ὁ διάκονος, λαβὼν τὸν τρίκεριν καὶ ἀπελθὼν εἰς τὰς θύρας, λέγει· Εὐλόγει Κυρίου τὴν δόξαν. Ὁ ἀρχιερεύς,

ἀνάψας τὸ μίαν (sic) τοῦ τρικερίου, λέγει· Τριάδος ἡ φανέρωσις. Ὁ διάκονος· Κύριε, Κύριε, ἐπίβλεψον ἐξ οὐρανοῦ. Ὁ διάκονος· Κέλευσον, δέσποτα. Καὶ ἀπέρχονται ἐν τῇ καθέδρᾳ. Ὁ ἀρχιερεύς· Εὐλογημένος ὁ ἐρχόμενος. Ὁ διάκονος· Εὐλόγησον, δέσποτα, τὴν ἄνω καθέδραν. Ὁ ἀρχιερεύς· Εὐλογημένος εἶ ἐπὶ θρόνου δόξης τῆς βασιλείας σου, ὁ καθήμενος ἐπὶ τῶν χερουβὶμ πάντοτε νῦν καὶ οἱ ἀεί. Καὶ μετὰ τὸ τέλος τοῦ Τρισαγίου, θυμιᾷ ὁ ἀρχιερεύς, καὶ οἱ ἱερεῖς ἐξέρχονται μετὰ λαμπάδων ἐκ τοῦ βήματος... По великомъ входѣ: Ὁ διάκονος· Εὖξαι ὑπὲρ ἐμοῦ, δέσποτα ἅγιε. Ὁ ἀρχιερεύς· Κατευθύναι Κύριος τὰ διαβήματά σου. Ὁ διάκονος· Μνήσθητί μου, δέσποτα ἅγιε. Ὁ ἀρχιερεύς· Μνησθείη σου Κύριος ὁ Θεός...

**L.** № 59 (62). Εὐχολόγιον, ркп. Аѳоно-Костамонитской библ. на бомбицинѣ писана четкимъ и весьма изящнымъ почеркомъ XIV—XV столѣтія. Отъ сырости рукопись настолько испорчена, что въ нѣкоторыхъ мѣстахъ совершенно неудобочитаема

Чинъ литургіи св. Іоанна Златоуста состоитъ изъ молитвъ. Эта часть евхологія наиболѣе испорченная.

Εὐχὴ τοῦ ἁγίου μάρτυρος Τρύφωνος.

Ἀκολουθία τῶν ἁγίων Θεοφανίων...

Въ чинѣ молитва на водоосвященіе начинается такъ: Δοξάζομεν, Δέσποτα πανάγιε παντοκράτωρ... ркп. XVI в. Св.-гроб. библ. № 68.

Ἀκολουθία τοῦ ἁγιασμοῦ.

Εὐχὴ εἰς λόχον γυναῖκα.

Τρισάγιον, Παναγία Τριάς, τὸ Πάτερ ἡμῶν, τροπάριον τῆς ἡμέρας καὶ τῆς Θεοτόκου· Ἡ γέννησίς σου Θεοτόκε χαρὰν ἐμήνυσε, Δόξα καὶ νῦν, τὸ κοντάκιον Ἰωακεὶμ καὶ Ἄννα ὀνειδισμοῦ ἀτεκνίας. Τοῦ Κυρίου δεηθῶμεν. Καὶ εὐχή· Δέσποτα Κύριε ὁ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, πᾶσαν φύσιν λογικὴν καὶ νοερὰν συστησάμενος. Goar. p. 267.

Ἀκολουθία εἰς τὸ βαπτίσαι παιδίον.

Εὐχὴ εἰς λόχον γυναῖκα.

Κύριε Σαβαὼθ ὁ Θεὸς τοῦ Ἰσραήλ, ὁ ἰώμενος πᾶσαν νόσον. Дмитріевскій Прил. стр. 3.

Εὐχὴ εἰς τὸ κατασφραγίσαι παιδίον τοῦ λαβεῖν ὄνομα τῇ ὀγδόῃ ἡμέρᾳ τῆς γεννήσεως αὐτοῦ. Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, σοῦ δεόμεθα καὶ σὲ ἱκετεύομεν. Прилож. стр. 7.

Εὐχὴ ἀφορκισμοῦ πρώτου. Чинъ крещенія.

Εὐχὴ εἰς τὸ ἀποκουρεῦσαι παιδίον.

Εὐχὴ εἰς τὸ ἀπολοῦσαι νεοφώτιστον.

Εὐχὴ εἰς τὸ ἐκκλησιάσαι παιδίον.

Ἰστέον, ὅτι βαστάζει ὁ ἱερεὺς τὸ παιδίον εἰς τὴν ἀριστερὰν αὐτοῦ χεῖρα, εἰσέρχεται εἰς τὸν ναὸν καὶ ποιεῖ εὐλογητόν, Τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν, τροπάριον τῆς Ὑπαπαντῆς· Χαῖρε, κεχαριτωμένη Θεοτόκε Παρθένε... Δόξα καὶ νῦν, τὸ κοντάκιον· Ὁ μήτραν παρθενικὴν ἁγιάσας, καὶ λέγει τὴν εὐχὴν ταύτην. Τοῦ Κυρίου δεηθῶμεν. Κύριε, ὁ ἐν τεσσαράκοντα ἡμέραις κατὰ τὸν νόμον εἰς τὸ ἱερὸν ἀνελθὼν μετὰ Μαρίας, τῆς ἁγίας σου Μητρός. Прилож. стр. 19. Καὶ ἱστάμενος ὁ ἱερεὺς ἔμπροσθεν τοῦ ἁγίου θυσιαστηρίου, ποιεῖ τρεῖς μετανοίας καὶ τίθησιν αὐτὸν πρὸ τοῦ βήματος εἰς τὸ ἔδαφος καὶ εὔχεται· Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν τεσσαράκοντα ἡμέραις, ὡς βρέφος τῷ νομικῷ ναῷ προσαχθείς... Goar. pag. 267. Καὶ σφραγίζει τὸ μέτωπον αὐτοῦ καὶ τὸ στόμα καὶ τὸ στῆθος, καὶ λαμβάνει ὁ ἀνάδοχος.

Εὐχὴ εἰς τὸ σαραντῆσαι γυναῖκα.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ παραγενόμενος ἐπὶ σωτηρίαν τοῦ γένους τῶν ἀνθρώπων... Goar. p. 267.

Εὐχαὶ διάφοροι.

Εὐχαὶ τοῦ λυχνικοῦ въ количествѣ 7 съ главопреклонною.

Εὐχαὶ ἑωθιναί. Молитвъ 12.

Εὐχαὶ ἕτεραι διάφοροι.

Апостольскія и евангельскія чтенія.

Ἀκολουθία τῆς γονυκλισίας τῆς Πεντηκοστῆς.

Ἀκολουθία εὐχελαίου (руки XVI в.)

Чины постриженія въ монахи.

**LI.** № 750 Εὐχολόγιον, рукопись Аѳоно-Иверской библ. въ 16 долю, 168 листовъ, писана скорописью 1400 года, какъ говоритъ о томъ приписка въ концѣ рукописи: Ἐτελειώθη ἡ παροῦσα βίβλος ἐν ἔτει ͵ςϡη΄. ἰνδικτιῶνος η΄. μηνὶ Φεβρουαρίῳ, νῦν τὸ κατὰ δύναμιν μὴ ἀμελήσαντες εὔχεσθε δοθῆναί μοι λύσιν σφαλμάτων.

л. 1. Ἡ θεία λειτουργία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου. Чинъ литургіи состоитъ изъ молитвъ и діаконскихъ прошеній. Тропаря: „Господи, иже пресвятаго твоего Духа“ нѣтъ.

л. 13. Ἡ θεία λειτουργία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου τοῦ Μεγάλου. Чинъ тоже состоитъ только изъ молитвъ.

л. 29. Ἡ θεία λειτουργία τῶν προηγιασμένων.

л. 36. Ἀκολουθία τοῦ ἁγίου ἐλαίου.

Ποιεῖ ὁ ἱερεὺς εὐλογητὸν καὶ ἀρχόμεθα· Κύριε, εἰσάκουσον. См. начало въ моей книгѣ „Богослуж. въ русск. церкв. въ XVI в. Прилож. стр. 119 прим. 4 (Рук. Севаст. собр. № 473). Послѣ канона Трисвятое, ἀπολυτίκιον· Ταχὺς εἰς ἀντίληψιν μόνος ὑπάρχων, Χριστέ... Καὶ γίνεται ἐκτενὴ καὶ ἀπόλυσις. Εἶτα συναγμένων τῶν ἱερέων καὶ στολισαμένων, ἐκφωνεῖ εἷς ἐξ αὐτῶν· Εὐλόγησον, δέσποτα. Καὶ ὁ πρωτοπαπᾶς· Εὐλογημένη ἡ βασιλεία καὶ εὐθύς· Ὁ κατοικῶν ἐν βοηθείᾳ. Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῆς εἰρήνης... Ὑπὲρ τοῦ ἁγίου οἴκου... Ὑπὲρ τοῦ ἀρχιεπισκόπου... Ὑπὲρ τῶν εὐσεβεστάτων... Ὑπὲρ τοῦ εὐλογηθῆναι τὸ ἔλαιον τοῦτο τῇ δυνάμει καὶ ἐνεργείᾳ καὶ ἐπιφοιτήσει τοῦ ἁγίου Πνεύματος... Ὑπὲρ τοῦ δούλου τοῦ Θεοῦ τοῦδε καὶ τῆς ἐκ Θεοῦ ἐπισκέψεως καὶ συγχωρήσεως τῶν πλημμελημάτων αὐτοῦ, καὶ ὑπὲρ τοῦ ἐλθεῖν ἐπ' αὐτὸν τὴν χάριν τοῦ ἁγίου Πνεύματος... Ὑπὲρ τοῦ ῥυσθῆναι... Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας. Ὅτι πρέπει σοι... Λέγοντος[1]) δὲ τοῦ ἱερέως τὰ διακονικά, ἐπιβάλλουσιν οἱ ἱερεῖς κατὰ τάξιν εἰς τὴν κανδήλαν ἔλαιον, λέγοντες καὶ τὴν εὐχὴν ταύτην· Κύριε, ὁ ἐν τῷ ἐλέει καὶ τοῖς οἰκτιρμοῖς σου ἰώμενος... Goar. p. 335. Εἶτα[2]) λέγονται τὰ τροπάρια ταῦτα: Μητέρα σε Θεοῦ... ἦχος β'. Εὐσπλαγχνίας ὑπάρχουσα πηγή... ἦχος γ'. Καταφυγὴ καὶ δύναμις ἡμῶν, Θεοτόκε... ἦχος δ'. Τῇ Θεοτόκῳ ἐκτενῶς.. ἦχος πλ. α'. Ὁ ἐκ Παρθένου ἀνατείλας τῷ κόσμῳ... ἦχος πλ. β'. Τῆς εὐσπλαγχνίας τὴν πύλην... ἦχος πλ. γ'. Ὁ καρπὸς τῆς κοιλίας σου ἄχραντε... ἦχος πλ. δ'. Ἡ νοητὴ πύλη... Δόξα, Ἅγιοι Ἀνάργυροι... Καὶ νῦν, Σὲ καὶ τεῖχος καὶ λιμένα... Καὶ ποιεῖ μετανοίας τρεῖς ὁ ἀδελφὸς[3]), ὑπὲρ οὗ ἡ εὐχὴ τοῦ ἁγίου γίνεται, πρὸς τοὺς ἱερεῖς, καθ' ἑκάστην προσκύνησιν λέγων· Εὐλογήσατε, δεσπόται μου ἅγιοι, εὔξασθε καὶ συγχωρήσατέ μοι τῷ ἁμαρτωλῷ. Καὶ[4]) συγχωρεῖται παρὰ τῶν ἱερέων, καὶ εὐθὺς[5]) τὸ προκείμενον· Γένοιτο, Κύριε, τὸ ἔλεός σου... апостолъ и евангеліе у Гоара pag. 337. Ἐλέησον ἡμᾶς... Ibid. Εὐχή· Ἄναρχε, ἀδιάδοχε[6]) Ibid. Καὶ

[1]) Ркп. Аѳон - Костам. библ. XV в. № 19 Λεγομένων δὲ τούτων παρὰ τοῦ ἱερέως, ἐπιβάλλουσιν οἱ ἱερεῖς ἕκαστος ὀλίγον ἔλαιον εἰς τὴν κανδήλαν, λέγοντες [2]) καὶ εὐθὺς ἄρχονται τὰ τροπάρια ταῦτα, ἦχος α'. [3]) ἄνθρωπος πρὸς τοὺς ἱερεῖς καὶ λέγει [4]) καὶ εὐλογεῖται καὶ συγχωρεῖται [5]) εἶτα λέγει ὁ πρωτοπαπᾶς τὸ προκείμενον [6]) На полѣ ркп. № 780 написано тою же рукою: Ἰστέον, ὅτι, πληρωμένης τῆς εὐχῆς, λέγεται τροπάριον· Κύριε, ὅπλον κατὰ τοῦ.. Τοῦτο ποιοῦμεν ἐν πάσαις ταῖς εὐχαῖς. Ркп. № 19 Χρίει τὸν ἀσθενῆ μὲ ἅγιον ἔλαιον, καὶ οἱ ἕτεροι ἱερεῖς λέγουσι τροπάριον· Κύριε, ὅπλον κατὰ τοῦ διαβόλου, καὶ ἅπτει τὸ ἀπτρότουβον καὶ θυμιᾷ. Εἶτα ἄρχεται ὁ δεύτερος ἱερεὺς τὸ προκείμενον, ἦχος β'.

λαβὼν παρὰ τοῦ δευτέρου ἱερέως τὸ ἅγιον ἔλαιον, κρατῶν αὐτό, ἐπιτίθησι τὰς χεῖρας τῇ κεφαλῇ τοῦ, δι' ὃν ἡ εὐχὴ γίνεται, καὶ εἰπὼν τὴν παροῦσαν εὐχὴν καθ' ἑαυτόν, ἔπειτα ἀλείφει τοῦτον σταυροειδῶς. Ὁμοίως καὶ οἱ λοιποὶ ποιοῦσι· Πάτερ ἅγιε, ἰατρὲ ψυχῶν... Goar. p. 338. Ὁ δεύτερος ἱερεὺς τὸ προκείμενον· Ἰσχύς μου, апостолъ, евангеліе, ектенья и молитва, что въ Прил. стр. 124[1]). 3 προκείμενον· Κύριος φωτισμός μου, апостолъ и евангеліе Ibid. стр. 126[2]). 4 προκείμενον· Ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαί σε, апостолъ и евангеліе Goar. p. 341, ектенья и молитва Прилож. стр. 128[3]). Ὁ πέμπτος ἱερεὺς προκείμενον· Σὺ Κύριε, φυλάξαις ἡμᾶς... апостолъ и евангеліе и молитва Goar. p. 342[4]). Ὁ ἕκτος ἱερεὺς προκείμενον· Ἐλέησόν με, ὁ Θεός, апостолъ, евангеліе и молитва Ibid. pag. 343[5]). Ὁ ἕβδομος ἱερεὺς προκείμενον· Κύριε, μὴ τῷ θυμῷ σου, апостолъ, евангеліе и молитва Goar. p. 344, 345[6]). Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι. Φῶς δικαίοις διὰ παντός· οἱ γὰρ ἅγιοι ἐν σοὶ φωτισθέντες... Πηγὴ ἰαμάτων ἔχοντες... Δόξα καὶ νῦν, Νεῦσον παρακλήσεσι. Εἶτα τιθέασι τὸ ἅγιον εὐαγγέλιον ἐπὶ τὴν κεφαλὴν τοῦ, δι' ὃν ἡ εὐχὴ γίνεται, καὶ ὑπανεχόντων τοῦτο καὶ κρατούντων τῶν ἱερέων, λέγει ὁ πρῶτος τὴν εὐχὴν ταύτην· Βασιλεῦ ἅγιε... p. 346. Λέγεται δὲ καὶ ὁ στίχος οὗτος τρὶς παρὰ τῶν ἱερέων, τὸ Ἐπάκουσόν μου, Κύριε, Εἰσάκουσόν μου, Κύριε, Ἐλέησόν με, Κύριε, εἶτα ἐκτενὴ καὶ ἀπόλυσις. Καὶ ποιεῖ ὁ ἀδελφὸς πάλιν μετανοίας τρεῖς, καὶ εὐλογεῖται καὶ συγχωρεῖται παρὰ τῶν ἱερέων.

л. 56. Ἀκολουθία εἰς ἀρχάριον ῥασοφοροῦντα. Goar. pag. 378, но съ прибавкою въ началѣ чина „Придите поклонимся" и 50 псалма.

л. 57. Ἀκολουθία τοῦ πρώτου σχήματος ἤτοι τοῦ μανδηλίου(;).

л. 65. Ἀκολουθία τοῦ μεγάλου καὶ ἀγγελικοῦ σχήματος.

л. 83. Ἀκολουθία τοῦ ἀποκουκουλίσματος.

л. 83 об. Ἀπόστολοι καὶ εὐαγγέλια τῆς ἑβδομάδος.

---

1) Εἶτα (т. е послѣ молитвы) ἅπτει τὸ (ἀπτρο)τουβίον καὶ θυμιᾷ, εἶτα ἄρχεται ὁ τρίτος ἱερεύς 2) εἶτα ἄρχεται ὁ δ'. ἱερεὺς τὸ προκείμενον 3) εἶτα ἄρχεται 4) καὶ ἅπτει (послѣ молитвы) τὸ ἀπτρότουβον, καὶ ἄρχεται ὁ ς'. 5) καὶ ἄρχεται ὁ ζ'. 6) καὶ ἅπτει τὸ ἀπτρότουβον, καὶ ἡμεῖς λέγομεν τὸ Κύριε, ὅπλον κατὰ τοῦ διαβόλου, Δόξα, Πηγὴ ἰαμάτων... Καὶ νῦν, Ἐκ παντοίων κινδύνων, εἶτα τίθησι τὸ ἅγιον εὐαγγέλιον εἰς τὴν κεφαλὴν τοῦ ἀσθενοῦς, καὶ κρατοῦσιν αὐτὸ καὶ οἱ ἑπτά, καὶ ἄρχεται ὁ πρωτοπαπᾶς μεγαλοφώνως τὴν εὐχήν· Βασιλεῦ ἅγιε... εἶτα ἀσπάζεται ὁ ἀσθενῶν τὸ εὐαγγέλιον, καὶ λέγουσιν οἱ ἱερεῖς ἐκ τρίτου· Εἰσάκουσόν μου, Κύριε, ἐκτενὴ καὶ ἀπόλυσις.

л. 91 об. Ἀπόστολοι καὶ εὐαγγέλια εἰς διαφόρους μνήμας ἁγίων.

л. 110. Εὐχὴ εἰς εὐλόγησιν οἴνου.

л. 110 об. Εὐχὴ ἐπὶ ἐξομολογουμένων.

л. 111. Εὐχὴ ἐπὶ τὸν προπετῶς ὀμνύοντα.

— Εὐχὴ ἐπὶ τῶν ἐν ἐπιτιμίοις ὄντων καὶ ἑαυτοῖς ὅρκῳ δεσμούντων.

л. 111 об. Εὐχὴ ἐπὶ μιαροφαγησάντων.

л. 112. Τάξις γινομένη, εἰ συμβῇ ἤ μιαρόν, ἤ τι ἀκάθαρτον προσφάτως ἐμπεσεῖν ἐν ὑποληνίῳ οἴνου ἢ ἀγγείῳ ἐλαίου.

л. 113. Εὐχὴ ἑτέρα εἰς σκεῦος μιασθέν.

л. 113 об. Εὐχὴ ἐπὶ αἰσχρῶν λογισμῶν.

л. 114. Εὐχὴ ἐπὶ μετανοούντων.

л. 114 об. Εὐχὴ τῶν ἐξ ἐπιτιμίων λυομένων.

л. 115. Εὐχὴ ἐπὶ πᾶν εἶδος ἀῤῥωστίας.

— Εὐχὴ σταφυλῶν εὐλογῆσαι.

л. 115 об. Εὐχὴ εἰς ὕδωρ μιανθέν.

л. 116. Εὐχὴ λεγομένη παρὰ τοῦ ἱερέως ἐπὶ τὴν κεφαλὴν τοῦ μέλλοντος μεταλαβεῖν τῆς ἁγίας κοινωνίας.

— Εὐχὴ ἑτέρα, λεγομένη καὶ αὕτη παρὰ τοῦ ἱερέως ἐπὶ τῶν ἐξομολογουμένων καὶ τοῖς θείοις καὶ φρικτοῖς προσιέναι μελλόντων (μυστηρίοις).

л. 118. Συγχωρικὸν γράμμα, ὅπερ ποιεῖ ὁ πνευματικὸς πατὴρ τοῖς αἰτουμένοις αὐτό.

л. 118 об. Ἀκολουθία τοῦ ἁγιασμοῦ Φώτων.

л. 125. Ἀκολουθία μικροῦ ἁγιασμοῦ.

л. 130. Εὐχή, ἣν λέγει ὁ ἱερεύς, ὅτε τὸν ἁγιασμὸν τόνδε ποιήσει εἴτε εἰς χωράφιον, ἢ κῆπον, ἢ ἀμπελῶνα, ἢ εἰς ποίμνην προβάτων καὶ λοιπῶν ζώων μετὰ τὸ ῥαντίσαι τὸ ἁγίασμα.

л. 130 об. Κανὼν εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν περὶ νίψεως. Акаѳистъ.

л. 133 об. Κανὼν παρακλητικὸς εἰς τὴν ὑπεραγίαν Θεοτόκον.

л. 137. Τὰ ἑωθινὰ ἕνδεκα ἀναστάσιμα εὐαγγέλια.

л. 145. Τάξις γινομένη ἐπὶ χειροτονίᾳ ἀναγνώστου καὶ ψάλτου.

л. 145 об. Τάξις γινομένη ἐπὶ χειροτονίᾳ ὑποδιακόνου.

л. 146. Τάξις γινομένη ἐπὶ χειροτονίᾳ διακόνου.

л. 148. Τάξις γινομένη ἐπὶ χειροτονίᾳ πρεσβυτέρου.

л. 150. Τάξις γινομένη ἐπὶ χειροτονίᾳ ἐπισκόπου, πατριάρχου καὶ μητροπολίτου.

л. 152 об. Ἀκολουθία τοῦ ἐξοδιαστικοῦ τῶν μοναχῶν.

л. 165. Ἀκολουθία τοῦ ἐξοδιαστικοῦ τῶν κοσμικῶν.

**LII.** Изъ рукописнаго Типикона Аѳоно-Ватопедск. библ. 1404—1405 г. № 324 (935).

л. 226. Εἴδησις περὶ τοῦ βαπτίσματος.

Εἰ μὲν ἐστὶν ἡλικίας τελείας ὁ μέλλων βαπτισθῆναι, ἀποδύει αὐτὸν ὁ ἱερεὺς καὶ ἀπολύει, καὶ ἵστησι κατ' ἀνατολάς, και ἐμφυσᾷ αὐτῷ τρίς, καὶ σφραγίζει τὸ μέτωπον αὐτοῦ καὶ τὸ στόμα, καὶ τὸ στῆθος, λέγων· Ἐπὶ τῷ ὀνόματί σου, Κύριε ὁ Θεὸς ἡμῶν· εἰ δὲ βρέφος ἐστί, κρατεῖ τοῦτο ἡ μαία ἐν ταῖς ἀγκάλαις αὐτῆς, ἱσταμένη κατ' ἀνατολὰς ἔξωθεν τῆς ἐκκλησίας, ὁ δὲ ἱερεὺς ποιεῖ, ὡς δεδήλωται. Μετὰ δὲ τὸ τέλος τῆς εὐχῆς ἄρχεται τῶν ἀφορκισμῶν. Ἀφορκισμος α'. Ἐπιτιμᾷ σοι Κύριος, διάβολε. Ἀφορκισμὸς β'. Ὁ Θεὸς ὁ ἅγιος ὁ φοβερός. Ἀφορκισμὸς γ'. Κύριε Σαβαὼθ ὁ Θεὸς τοῦ Ἰσραήλ. Εἶτα τὴν εὐχήν· Ὁ ὢν Δέσποτα Κύριε. Καὶ ὅταν ἔλθῃ ἐν τῷ τόπῳ, ἐν ᾧ λέγει· Ἀπὸ φαντάσματος πονηροῦ, ἐμφυσᾷ αὐτῷ τρὶς καὶ σφραγίζει τὸ μέτωπον αὐτοῦ, τὸ στόμα καὶ τὸ στῆθος, καὶ λέγει· Ἐξέλασον ἀπ' αὐτοῦ. Μετὰ δὲ τὸ τέλος τῆς εὐχῆς στρέφει αὐτὸν ἐπὶ δυσμὰς ὁ ἱερεύς, ἄνω τὰς χεῖρας ἔχοντα, καὶ ἐρωτᾷ αὐτὸν οὕτως· Ἀποτάσσῃ τῷ σατανᾷ; Καὶ ἀποκρίνεται ὁ βαπτιζόμενος, ἢ ὁ ἀνάδοχος αὐτοῦ λέγων· Ἀποτάσσομαι τῷ σατανᾷ. Καὶ αὖθις ἐρωτᾷ αὐτόν· Καὶ πᾶσι τοῖς ἔργοις αὐτοῦ; Καὶ ἀποκρίνεται· Καὶ πᾶσι τοῖς ἔργοις αὐτοῦ. Καὶ αὖθις ἐρωτᾷ· Καὶ πάσῃ τῇ λατρείᾳ αὐτοῦ; Καὶ ἀποκρίνεται· Καὶ πάσῃ τῇ λατρείᾳ αὐτοῦ. Καὶ πάλιν· Καὶ πᾶσι τοῖς ἀγγέλοις αὐτοῦ; Καὶ ἀποκρίνεται· Καὶ πᾶσι τοῖς ἀγγέλοις αὐτοῦ. Καὶ πάλιν ἐρωτᾷ· Καὶ πάσῃ τῇ πομπῇ αὐτοῦ; Καὶ ἀποκρίνεται· Καὶ πάσῃ τῇ πομπῇ αὐτοῦ Καὶ μετὰ ταῦτα πάλιν ἐρωτᾷ γ'. Ἀπετάξω τῷ σατανᾷ; Καὶ ἀποκρίνεται· Ἀπεταξάμην. Καὶ ὅτε εἴπῃ τοῦτο γ'. λέγει ὁ ἱερεύς· Καὶ ἔμπτυσον αὐτόν. Καὶ μετὰ τὸ ἐμπτύσαι γ'. στρέφει αὐτὸν κατὰ ἀνατολάς, κάτω τὰς χεῖρας ἔχοντα, καὶ λέγει γ'. Σύνταξον τῷ Χριστῷ. Καὶ ἀποκρίνεται· Καὶ συντάσσομαι τῷ Χριστῷ καὶ πιστεύω εἰς ἕνα Θεόν. Καὶ ὅτε πληρώσει τρὶς τὸ Πιστεύω, ἐπερωτᾷ ὁ ἱερεύς· Συνετάξω τῷ Χριστῷ; Καὶ ἀποκρίνεται· Συνεταξάμην. Καὶ ὅτε εἴπωσι τοῦτο τρίς, λέγει ὁ ἱερεύς· Καὶ προσκύνησον αὐτῷ. Καὶ προσκυνοῦντος αὐτοῦ, λέγει ὁ ἱερεὺς τὴν εὐχήν· Δέσποτα ὁ Θεός, ὁ προσκαλεσάμενος. Εἰρήνη πᾶσι. Τὰς κεφαλὰς ἡμῶν. Ὁ ἱερεὺς ἐπεύχεται μυστικῶς· Ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, ὁ πάντας ἀνθρώπους. Ἐκφώνησις· Σὸν γὰρ ἐστὶ τὸ ἐλεεῖν· Καὶ μετὰ τὴν ἐκφώνησιν ἀπέρχεται εἰς τὴν κολυμβήθραν καὶ θυμιᾷ αὐτήν. Εἶτα ἄρχεται τῶν εἰρηνικῶν· Ἐν εἰρήνῃ τοῦ Κυρίου, Ὑπὲρ τῆς ἄνωθεν, Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος, Ὑπὲρ τοῦ ἁγίου οἴκου, Ὑπὲρ τοῦ ἁγιασθῆναι τὸ ὕδωρ, ἐν ᾧ καὶ σφραγίζει αὐτὸ γ'. Ὑπὲρ τοῦ βασιλεία ἄφθάρτου, Ὑπὲρ τοῦ γενέσθαι αὐτό, Ὑπὲρ τοῦ καταπεμ-

φθῆναι αὐτόν. Ὑπὲρ τοῦ τέκνον φωτός, καὶ ὑπὲρ πάντων. Ὑπὲρ τοῦ ῥυσθῆναι. Ἀντιλαβοῦ, σῶσον, Τῆς παναγίας ἀχράντου. Τοῦ δὲ διακόνου λέγοντος ταῦτα, ὁ ἱερεὺς λέγει καθ' ἑαυτὸν εἰς τὸ ὕδωρ τὴν εὐχὴν ταύτην· Ὁ εὔσπλαγχνος καὶ ἐλεήμων· καὶ οὐκ ἐκφωνεῖ, ἀλλὰ καὶ τὸ Ἀμὴν καθ' ἑαυτὸν λέγει. Μετὰ δὲ τὸ πληρῶσαι τῷ διακόνῳ τὴν συναπτήν, ἀπάρχεται ὁ ἱερεὺς τῆς εὐχῆς μεγαλοφώνως· Μέγας εἶ, Κύριε. Ὅταν δὲ φθάσῃ εἰς τὸ Φυγέτωσαν ἀπ' αὐτοῦ, ἐμφυσᾷ εἰς τὸ ὕδωρ γ'. καὶ σφραγίζει τῷ δακτύλῳ γ'. καὶ λέγει· Συντριβήτωσαν ὑπὸ τὴν σημείωσιν καὶ τὰ ἑξῆς. Καὶ μετὰ τὸ τέλος τῆς εὐχῆς λέγει ὁ ἱερεύς· Εἰρήνη πᾶσι. Τὰς κεφαλὰς ἡμῶν. Καὶ κλίνει τὴν κεφαλὴν εἰς τὸ ἀγγεῖον τοῦ ἐλαίου, βασταζόμενον ὑπὸ τοῦ διακόνου, καὶ ἐμφυσᾷ αὐτῷ γ'. καὶ σφραγίζει γ'. καὶ λέγει· Δέσποτα Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν. Ἐκφώνησις· Εἰς δόξαν καὶ τιμήν. Καὶ μετὰ τὸ Ἀμήν, λέγοντος τοῦ διακόνου· Πρόσχωμεν, λαμβάνει ὁ ἱερεὺς τρυβλίον τοῦ ἁγίου ἐλαίου καὶ ποιεῖ ἐξ αὐτοῦ εἰς τὸ ὕδωρ σταυροὺς γ'. ψάλλων τὸ Ἀλληλούια γ'. σὺν τῷ λαῷ, εἶτα ἐκφώνησιν λέγων· Εὐλογητὸς ὁ Θεός, ὁ φωτίζων καὶ ἁγιάζων. Και εὐθέως λαμβάνει ὁ ἱερεὺς ἐκ τοῦ ἁγίου ἐλαίου τῷ δακτύλῳ αὐτοῦ καὶ ποιεῖ σταυροῦ τύπον ἐπὶ τοῦ μετώπου καὶ τοῦ στήθους, καὶ τῶν μεταφρένων, λέγων· Χρίεται ὁ δοῦλος τοῦ Θεοῦ ὁ δεῖνα ἔλαιον ἀγαλλιάσεως εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. Καὶ τότε χρίεται ὑπὸ διακόνου ὅλον τὸ σῶμα αὐτοῦ ἐκ τοῦ ἁγίου ἐλαίου, καὶ εὐθέως βαπτίζει ὁ ἱερεὺς ἐν τῇ ἁγίᾳ κολυμβήθρᾳ ἐν τρισὶ καταδύσεσι, λέγων οὕτως· Βαπτίζεται ὁ δοῦλος τοῦ Θεοῦ ὁ δεῖνα εἰς τὸ ὄνομα τοῦ Πατρός. Ἀμήν. Καὶ τοῦ Υἱοῦ. Ἀμήν. Καὶ τοῦ ἁγίου Πνεύματος. Ἀμήν. Καὶ εὐθέως ἀνάγων αὐτὸν ἐκ τῆς κολυμβήθρας, ψάλλει σὺν τῷ λαῷ· Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι, Δόξα καὶ νῦν, πάλιν τὸ αὐτό. Καί, τοῦ διακόνου ποιοῦντος μικρὰν συναπτήν, ἐπεύχεται ὁ ἱερεύς· Εὐλογητὸς εἶ, Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ. Εἶθ' οὕτως χρίει ὁ ἱερεὺς τὸν βαπτισθέντα τῷ ἁγίῳ μύρῳ, ποιῶν σταυροῦ τύπον ἐπὶ τοῦ μετώπου, τῶν ὀφθαλμῶν, τῶν μυκτήρων, τοῦ στόματος καὶ τῶν ὤτων, καὶ λέγει· Σφραγὶς δωρεᾶς Πνεύματος ἁγίου, καὶ ψάλλει γ'. Μακάριοι ὧν ἀφέθησαν, καὶ κυκλοῖ ὁ ἱερεὺς ἢ τὸν θεῖον λουτρόν, ἢ τὸν ναὸν ἐκ τρίτου, συνεφεπομένου καὶ τοῦ βαπτισθέντος καὶ τοῦ ἀναδόχου, ψάλλων· Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, εἶθ' οὕτως ποιεῖ ἐκτενὴν ὁ διάκονος, μνημονεύων τοῦ τε νεοφωτίστου καὶ τοῦ ἀναδόχου αὐτοῦ, καὶ οὕτως γίνεται ἀπόλυσις.

Τῇ ὀγδόῃ ἡμέρᾳ προσέρχεται ὁ νεοφώτιστος τῷ θείῳ ναῷ μετὰ τοῦ ἀναδόχου αὐτοῦ καὶ εὐλογήσας αὐτὸν ὁ ἱερεύς, λέγων εὐχήν· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ λύτρωσιν ἁμαρτιῶν. Καὶ μετὰ τὸ τέλος, λαβὼν σπόγγον

καινὸν μεθ' ὕδατος, ἀποσπογγίζει τὸ μέτωπον αὐτοῦ καὶ τὰ ὦτα καὶ τὰ λοιπά, λέγων· Εὐλογητὸς ὁ Θεὸς ὁ φωτίζων καὶ ἁγιάζων. Ὁ διάκονος· Τὰς κεφαλὰς ἡμῶν. Ὁ ἱερεὺς ἐπεύχεται μυστικῶς· Οἱ ἐνδυσάμενοί σε τὸν Χριστόν. Ἐκφώνησις· Ὅτι σὸν ἐστὶ τὸ ἐλεεῖν. Λέγεται καὶ ἑτέρα εὐχή· Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ διὰ τῆς κολυμβήθρας. Εἰ δὲ μέλλει ἀποκουρεῦσαι αὐτόν, λέγει καὶ τὴν εὐχὴν ταύτην· Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τῇ εἰκόνι σου τιμήσας. Καὶ μετὰ τὸ τέλος λαμβάνει ψαλλίδιον, κουρεύει αὐτὸν σταυροειδῶς, ἐπιλέγων· Κείρεται τὴν κόμην τῆς κεφαλῆς αὐτοῦ ὁ δοῦλος τοῦ Θεοῦ ὁ δεῖνα εἰς τὸ ὄνομα τοῦ Πατρός. Εἶθ' οὕτως λέγει· Εἰρήνη πᾶσι. Τὰς κεφαλὰς ἡμῶν. Καὶ ἡ εὐχὴ μυστικῶς· Σὲ ἱκετεύομεν, Κύριε ὁ Θεὸς τῆς σωτηρίας ἡμῶν. Καὶ μετὰ τὴν ἐκφώνησιν γίνεται ἀπόλυσις.

λ. 228. Ἀκολουθία ἁγιασμοῦ.

Μετὰ τὸν εὐλογητὸν Τρισάγιον καὶ τὰ λοιπά. Μετὰ δὲ τὴν ἐκφώνησιν, Κύριε, εἰσάκουσον τῆς προσευχῆς καὶ ὁ Ν'. Ἀλληλούια, ἦχος πλ. β'. μετὰ τῶν στίχων αὐτοῦ, τροπάρια· Ἐλέησον ἡμᾶς, Δόξα, Κύριε, ἐλέησον ἡμᾶς, Καὶ νῦν, Τῆς εὐσπλαγχνίας, ὁ πεντηκοστὸς καὶ εὐθὺς τὰ κδ'. στιχηρὰ τῆς Θεοτόκου, ἦχος πλ. α'. Πρός. Ἡ τὸ χαῖρε δι' ἀγγέλου· ἑνωμένως δὲ τούτοις λέγομεν καὶ ἕτερα ὅμοια εἰς ἁγίους διαφόρους, ἤγουν τῶν ἀσωμάτων, τοῦ Προδρόμου, τῶν ἀποστόλων, τῶν μαρτύρων, τῶν ὁσίων, τῶν ἱεραρχῶν, τῶν ἀναργύρων καὶ ἑτέρων, ὧν ἂν βούλοιτό τις, Δόξα, τὸ τριαδικὸν Τὸν Πατέρα καὶ Υἱόν, Καὶ νῦν, Κύριε, ἡ τεκοῦσα, καὶ εὐθέως ἕτερα στιχηρά, ἦχος πλ. δ'. Νῦν ἐπέστη ὁ καιρός, Νάμασιν ἐπομβρίσας, Δόξα, Παρθένος ἔτεκες, Καὶ νῦν, Παναγία Θεοτόκε τῶν χειρῶν ἡμῶν, καὶ σὺν τούτῳ τὸ Τρισάγιον ἐκ τρίτου, Δόξα καὶ νῦν, Ἅγιος ἀθάνατος καὶ πάλιν τὸ Τρισάγιον ἅπαξ. Ὁ ἱερεύς· Πρόσχωμεν. Εἰρήνη πᾶσι, Σοφία. Ψαλμὸς τοῦ Δαβίδ, προκείμενον, ἦχος, δ'. Ἐγὼ εἶπα, Κύριε, ἐλέησόν με, Στίχος· Μακάριος ὁ συνιών, ὁ ἀπόστολος τῆς καθολικῆς ἐπιστολῆς Ἰακώβου· Ἀδελφοί, ὑπόδειγμα λάβετε, εὐαγγέλιον κατὰ Ματθαῖον· Τῷ καιρῷ ἐκείνῳ διήρχετο ὁ Ἰησοῦς εἰς τὴν Ἱεριχώ, καὶ εὐθύς· Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν καὶ τὰ λοιπὰ τῆς συναπτῆς, εἶτα προστίθησι καὶ ταῦτα, ἐν οἷς εὐλογεῖ τὸ ἐν τῇ λεκάνῃ ὕδωρ, λέγων· Ὑπὲρ τοῦ εὐλογηθῆναι τὸ ὕδωρ τοῦτο, καὶ τὰς ἑτέρας ὁμοίας αἰτήσεις· Ἀντιλαβοῦ, σῶσον, Τῆς παναγίας ἀχράντου. Ἐκφώνησις· Ὅτι πρέπει σοι. Εἰρήνη πᾶσι. Καὶ ἡ εὐχὴ μεγαλοφώνως· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ μέγας τῇ βουλῇ. Μετὰ δὲ τὴν ταύτης ἐκπλήρωσιν· Ὅτι σὺ εἶ ἡ πηγὴ τῶν ἰαμάτων, Εἰρήνη πᾶσι, Τὰς κεφαλὰς ἡμῶν, καὶ ἡ εὐχὴ μυστικῶς· Κλῖνον, Κύριε, τὸ οὖς σου, καὶ εὐθὺς λαμβάνει τὸν σταυρὸν ὁ ἱερεὺς καί, ἐμβάπτων αὐτὸν ἐν τῷ ὕδατι, λέγει καθ'

ἑαυτόν· Εἰς τὸ ὄνομα τοῦ Πατρός. Ἐν ἄλλῳ· Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ, εἶτα ἐκφωνεῖ τροπάριον, ἦχος β'. Τῶν σῶν δωρεῶν, ὃ καὶ ψάλλεται ὑπὲρ πάντων ἐκ τρίτου, ὁ δὲ σταυροειδῶς ἐμβάπτων τὸν σταυρὸν ἐν τῷ ὕδατι ἐκ γ'. εἶτα ῥαντίζει τὸν λαὸν ἅπαντα καὶ τὸν οἶκον ἐκ τοῦ ἁγιάσματος, ψαλλόντων ἡμῶν· Πηγὴν ἰαμάτων καὶ θεοτοκία εἰς τὸν αὐτὸν ἦχον· Νεῦσον παρακλήσεσιν, Ἐκ παντοίων κινδύνων ῥῦσαι ἡμᾶς, Ἔχοντές σε, Θεοτόκε, καὶ ἕτερον ἕως οὗ ῥαντισθῶσι πάντες, εἶτα ἐκτενῆς προστιθεμένης καὶ τῆς αἰτήσεως τῆς Ὑπὲρ τοῦ διαφυλαχθῆναι, ἐκφώνησις· Ἐπάκουσον ἡμῶν, καὶ γίνεται ἀπόλυσις·

**LIII.** № 371 (Μη'.). Εὐχολόγιον, ркп. патріаршей Александрійской библ. въ Каирѣ, въ 16 долю листа, 155 листовъ, писана четкою скорописью 1407 года, какъ это видно изъ слѣдующей приписки: Ἐτελειώθη διὰ χειρὸς ἐμοῦ τοῦ ταπεινοῦ Ἰωακείμ, μητροπολίτου Σουπακίου, ἔτους ,ςϡιε'. ἰνδικτιῶνος ιε'. μηνὶ Ἰουλίῳ κη'. ἡμέρᾳ πέμπτῃ. Ταπεινὸς μητροπολίτης Σουπακίου Ἰωακείμ. Въ рукописи есть немало и позднѣйшихъ приписокъ и молитвъ, которыя, при описаніи, мы отмѣтимъ.

л. 1. Διάταξις τῆς τοῦ πατριάρχου λειτουργίας, πῶς γίνεται ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ, ἐν ᾗ καὶ ἡ τάξις τῶν χειροτονιῶν, πότε καὶ πῶς γίνεται ἑκάστη, συνταχθεῖσα παρὰ τοῦ πρωτονοταρίου τῆς ἁγιωτάτης τοῦ Θεοῦ μεγάλης ἐκκλησίας κυροῦ Δημητρίου τοῦ Γεμιστοῦ. Haberti. Ἀρχιερατ. Paris. 1643 pag. 1—7. Разности въ чинѣ проскомидіи сравнительно съ печатнымъ текстомъ заключаются въ прибавленіи эпитета: ἐνδόξου ἀποστόλου къ первомученику архидіакону Стефану, въ поминовеніи τῶν ἁγίων καὶ θαυματουργῶν Ἀναργύρων и въ чтеніи особаго, кромѣ употребляющагося нынѣ, стиха, при поставленіи звѣздицы на дискосъ, Τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν...

л. 6. Πότε φορένει ὁ πατριάρχης, μέλλων τὴν θείαν ἐπιτελέσαι μυσταγωγίαν καὶ ἐν ποίῳ τόπῳ καὶ περὶ τῶν ὑπηρετούντων αὐτῷ. Ὁ δὲ πατριάρχης κατερχόμενος, εἰ μὲν ψάλλουσιν ἔτι τὸν ὄρθρον, φορένει... См. выше стр. 301—318 въ варіантахъ и у Haberti Ἀρχιερατικ. pag. 17.

л. 9. Чинъ хиротоніи въ епископа см. выше стр. 298.

л. 11. Ὅπως γίνεται ἡ χειροτονία τῶν ἀναγνωστῶν. Goar. p. 194—195, но отсутствуетъ замѣчаніе о посвященіи въ чтеца, когда нѣтъ литургіи.

л. 12. Ὅπως γίνεται ἡ τῶν ὑποδιακόνων χειροτονία. См. выше стр. 297.

л. 28 об. Ὅπως ὁ ὑποψήφιος εἰς τὸ ἅγιον εἰσέρχεται βῆμα. Ὁ δὲ ὑποψήφιος ἵσταται εἰς τὸ διακονικόν, καὶ παραλαμβάνουσιν αὐτὸν ἐξ ἑκατέρου μέρους... См. выше стр. 300 и варіант.; Conf. Haber. p. 66.

л. 29 об. Ὅπως γίνεται ἡ τοῦ πρεσβυτέρου χειροτονία. См. тамъ же стр. 298.

л. 37 об. Ὅπως γίνεται ἡ τοῦ διακόνου χειροτονία. Тамъ же.

т. 47 об. Τάξις γινομένη ἐπὶ χειροτονίᾳ χωρεπισκόπου.

Ὅταν φορέσῃ ὁ πατριάρχης, προσάγεται ὁ χειροτονεῖσθαι μέλλων ὑπὸ τοῦ χαρτοφύλακος ἔμπροσθεν τοῦ πατριάρχου καί, κλίνας τὴν κεφαλὴν αὐτοῦ, λέγει ὁ χαρτοφύλαξ ἢ καὶ ἀρχιδιάκονος τὸ Πρόσχωμεν. Καὶ ἐγερθεὶς ὁ πατριάρχης ἐκφωνεῖ, λέγων εἰς ἐπήκοον τῶν περιεστώτων ἔχοντα οὕτως· Ἡ χάρις τοῦ παναγίου Πνεύματος διὰ τῆς ἡμῶν μετριότητος προχειρίζεταί σε χωρεπίσκοπον τῆς θεοσώστου πόλεως ὁ δεῖνος. Καὶ ψάλλοντες ἐκ τρίτου τὸ Εἰς πολλὰ ἔτη, δέσποτα. Εἶτα ὁ πατριάρχης, ποιῶν σταυροῦ τύπον ἐπὶ τῆς κεφαλῆς αὐτοῦ καὶ ἔχων ἐπικειμένην αὐτῇ τὴν χεῖρα, εὔχεται οὕτως· Δέσποτα Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ τῶν ἁγίων σου ἐκκλησιῶν πρόνοιαν ἀεὶ τὴν προσήκουσαν ποιούμενος, καὶ διαφόροις χαρίσμασι τοὺς ἐκτεταγμένους τῶν θείων αὐτῶν κλήρων καταχαρίσας, καὶ διαφόρους ἱερὰς λειτουργίας ἐπ' αὐτῶν καταστησάμενος, εὐλόγησον καὶ νῦν τὸν δοῦλόν σου ὁ δεῖνα, τὸν κληθέντα εἰς τὴν διακονίαν τῶν χωρεπισκόπων, τοῦ ἐπιστρέφειν τοὺς πεπλανημένους εἰς τὴν ὁδὸν τῆς ἐπιγνώσεώς σου καὶ τοὺς ἐσκοτισμένους εἰς τὸ φῶς τῆς ἀληθείας σου, ἵνα καὶ ἐν τούτῳ δοξασθῇ τὸ πανάγιον ὄνομά σου τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Καὶ φέροντες ἐπιγονάτιον, περιτίθησι τοῦτο ὁ ἀρχιερεὺς τὸν χειροτονηθέντα τὸ μέρος αὐτοῦ τὸ δεξιόν, λέγων· Ἄξιος. Καὶ οἱ περιεστῶτες, ψάλλοντες ἐκ τρίτου τὸ Ἄξιος, εἶτα στένουν εἰς τὴν τάξιν αὐτοῦ καὶ οὕτως ἄρχεται ἡ θεία λειτουργία.

л. 48 об. Εὐχὴ γινομένη τοῦ ἡγουμένου.

Λαμβάνει αὐτὸν ὁ χαρτοφύλαξ καὶ προσάγει τῷ ἀρχιερεῖ, καὶ ἐκδύουσιν αὐτὸν τὸ παλλίον αὐτοῦ, καὶ ἐνδύουσιν αὐτὸν φαινόλιον, καί, κλίνας τὴν κεφαλὴν αὐτοῦ, λέγει ὁ χαρτοφύλαξ ἢ ἕτερος διάκονος τὸ Κελεύσατε. Καὶ ἐγερθεὶς ὁ πατριάρχης ἐκφωνεῖ, λέγων· Ἡ χάρις τοῦ παναγίου Πνεύματος διὰ τῆς ἡμῶν μετριότητος προχειρίζεταί σε καθηγούμενον τῆς σεβασμίας μονῆς ὁ δεῖνα, καὶ ψάλλοντες ἐκ τρίτου τὸ Εἰς πολλὰ ἔτη, δέσποτα. Εἶτα ὁ πατριάρχης, ποιῶν σταυροῦ τύπον ἐπὶ τῆς κεφαλῆς αὐτοῦ καὶ ἔχων ἐπικειμένην αὐτῇ τὴν χεῖρα, εὔχεται οὕτως· Ὁ Θεός, ὁ διὰ παντὸς τῆς τῶν ἀνθρώπων σωτηρίας πρόνοιαν ποιούμενος. Goar. pag. 393. Εὐχὴ ἑτέρα· Δέσποτα

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καταστήσας ἐν τῇ ἁγίᾳ σου ἐκκλησίᾳ τάγματα καὶ βαθμοὺς καὶ θέμενος τοὺς μὲν ἀποστόλους καὶ εὐαγγελιστάς, τοὺς δὲ ποιμένας καὶ διδασκάλους πρὸς καταρτισμὸν τοῦ χριστωνύμου λαοῦ σου καὶ ὁδηγίαν τῆς ἠγαπημένης κληρονομίας σου, καὶ ὁρίσας τοὺς μὲν ἄρχειν, τοὺς δὲ ἄρχεσθαι, καὶ τοὺς μὲν ποιμαίνειν, τοὺς δὲ ποιμένεσθαι, ἵνα μηδὲν ᾖ ἐν ἡμῖν ἄτακτον καὶ ἀνώμαλον· Αὐτὸς καὶ τὸν παρόντα δοῦλόν σου, ἐκλεγέντα καὶ προχειριζόμενον παρ' ἐμοῦ διὰ τῆς σῆς ἀγαθῆς χάριτος ἡγούμενον καὶ ποιμένα τῶν λογικῶν σου προβάτων, ἐν ἀμέμπτῳ πολιτείᾳ διαφύλαξον, καὶ δὸς αὐτῷ σύνεσιν καὶ σοφίαν, καὶ δύναμιν ποιμάναι τὸ ἐμπιστευθὲν αὐτῷ λογικὸν ποίμνιον, καὶ εἰρήνην καὶ ὁμόνοιαν πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτῶν πρεσβείαις τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας καὶ πάντων σου τῶν ἁγίων. Εἰρήνη πᾶσι. Τὰς κεφαλὰς ἡμῶν... Καὶ ὁ ἀρχιερεὺς εὔχεται οὕτως· Κλῖνον, Κύριε, τὸ οὖς σου. Goar. p. 395 καὶ ἀνάδειξον τὸν δοῦλόν σου τοῦτον πιστὸν καὶ φρόνιμον οἰκονόμον... Καὶ μετὰ τὸ Ἀμὴν ἐπαίρει τὸ περικείμενον αὐτῷ φαινόλιον, καὶ περιτίθησιν αὐτῷ τὸ παλλίον αὐτοῦ, καὶ ἀσπασάμενος δίδωσιν αὐτῷ δεκανίκον καὶ ἀπολύει.

л. 50 об. Εὐχὴ γινομένη πρωτοπαπᾶ. Goar. p. 238.

л. 51 об. Λίβελλος τῆς ὀρθῆς τῶν χριστιανῶν πίστεως· Πιστεύω εἰς Πατέρα καὶ Υἱὸν καὶ Πνεῦμα ἅγιον, τὴν ἁγίαν Τριάδα καὶ ὁμοούσιον, τὴν διαιρετὴν μὲν τοῖς προσώποις, ἀδιαίρετον δὲ τῇ οὐσίᾳ καὶ τῇ θεότητι...

л. 54 об. Ἐρώτησις· Ὁποία ἐστὶν ἡ ἀληθινὴ πίστις ἡμῶν τῶν χριστιανῶν ἡ θεότης. Ἀπόκρισις· Πατήρ, Υἱός, Πνεῦμα ἅγιον Θεὸς εἷς, πρόσωπα τρία οὐσία, ὑποστάσεις τρεῖς, φύσις μία, ἰδιότητες τρεῖς, μορφὴ μία, χαρακτῆρες τρεῖς...

л. 55. Ὁμολογία τῶν ἀρχιερέων· Πιστεύω εἰς ἕνα Θεόν... Πρὸς τούτοις ἀποδέχομαι τὰς ἁγίας οἰκουμενικὰς ἑπτὰ συνόδους... См. ниже ркп. Синайск. библ. XV в. № 1006 л. 43.

л. 59 об. Εἰς προχείρισιν πατριάρχου εἰς πατριάρχην Ibid. л. 37.

л. 66. Τάξις γινομένη ἐπὶ τῶν ἀντιμινσίων. Ibid. л. 30. Goar. pag. 518—519.

л. 67 об. Εὐχὴ τοῦ ἁγίου δίσκου. Ibid. л. 31 об. Ркп. № 1006.

л. 68. Εὐχὴ ἑτέρα τοῦ ποτηρίου. Ibid. л. 32.

л. 69. Περὶ τῶν ὑπηρετισαμένων ἐργαλείων εἰς ἀνακαίνισιν ἱερῶν σκευῶν ἐκ τῶν ἀποκρίσεων τοῦ ἱερωτάτου ἐπισκόπου Κύπρου πρὸς τὸν ἱερώτατον ἐπίσκοπον Δυρραχίου, τὸν Καβάσιλαν.

л. 70 об. Εἰ συμβαίη χεθῇ ἐκ τῶν ἁγιασμάτων τι, ἢ καὶ ὅλον, ἢ τὸ ἅγιον ποτήριον, ἢ ὁ ἅγιος δίσκος.

л. 71 об. Τάξις γινομένη ἐπὶ καθιερώσει ναοῦ καὶ ἱδρύσει ἐν αὐτῷ ἁγίας τραπέζης. Goar. p. 655—664, но есть нѣкоторыя и особенности. Такъ, напр., нѣтъ тропаря: „Святіи мученицы“, при обхожденіи съ мощами вокругъ храма. Послѣ молитвы: Ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας... замѣчено: Ἡ δὲ αὐτὴ λέγεται καὶ εἰς ἐγκαίνια ναοῦ παντὸς ἁγίου Goar. pag. 666. Codex Cryptoferraten. Bessarionis. Μετὰ δὲ τὸ Ἀμὴν εὐθὺς ἐπιφέρει τὴν εἰθισμένην τῆς εἰσόδου εὐχήν, ἔχουσαν οὕτως· Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καταστήσας ἐν οὐρανοῖς... Goar. p. 662. Послѣ послѣдней молитвы: Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καὶ ταύτην τὴν δόξαν τοῖς ὑπὲρ σοῦ ἀθλήσασιν ἁγίοις μάρτυσιν δωρησάμενος... замѣчено: καὶ εὐθὺς οἱ ψάλται δοξάζοντες ἐπισυνάπτουσι τὸ Τρισάγιον, καὶ πᾶσα ἡ θεία μυσταγωγία πληροῦται κατὰ τὴν τῶν ἐγκαινίων ἀκολουθίαν. Μέχρι δὲ συμπληρώσεως ἡμερῶν ζ'... Goar. p. 664

л. 88 об. Εὐχὴ τῶν ἀντιμινσίων.

Θυσιαστήριον τοῦ ἁγίου τοῦδε, ἱερουργηθὲν ὑπὸ τοῦ δεῖνος μητροπολίτου ἢ ἐπισκόπου τῆςδε τῆς πόλεως μηνὶ τῷ δεῖνι· εἰ δὲ ἐν τῇ πόλει γένωνται, προστίθεται ἐπὶ δεῖνος τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου μηνὶ τῷ δεῖνι.

л. 89. Τάξις ἐπὶ ἀνοίξει ναοῦ, βεβηλωθέντος ὑπὸ ἐθνῶν, γίνεται οὕτως.

Ποιεῖ εὐλογητὸν ὁ ἱερεὺς καὶ ποιεῖ ἁγιασμὸν τοῦ κατὰ μῆνα, καὶ ῥαντίζει τὴν ἐκκλησίαν, εἶτα Τρισάγιον, τὸ Παναγία Τριάς, τὸ Πάτερ ἡμῶν, τροπάριον τοῦ ἁγίου τῆς μονῆς, εἶτα λέγει τὴν εὐχὴν ἐν τῇ ἁγίᾳ τραπέζῃ. Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὸν ναὸν τοῦτον ἀναδείξας κατοικητήριον σὸν διὰ τῆς ἐπιφοιτήσεως τοῦ ζωοποιοῦ σου Πνεύματος... Goar. p. 495. Καὶ ῥαντίζει τὴν ἁγίαν τράπεζαν ἐκ τοῦ ἁγιάσματος, καὶ ποιεῖ ἀπόλυσιν.

л. 89 об. Εὐχή, λεγομένη ὑπὸ ἱερέως ἢ ἀρχιερέως ἐπὶ τὸν μέλλοντα μεταλαβεῖν, συγχωρῶν αὐτοῦ πάντα τὰ ἁμαρτήματα.

Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, Υἱὲ καὶ Λόγε τοῦ Θεοῦ τοῦ ζῶντος, ποιμὴν καὶ ἀμνέ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου... Goar. p. 536.

л. 93. Ἀκολουθία εἰς τὸ καθιερῶσαι ἀντιμίνσια μετὰ ἁγίων λειψάνων εἰς τὸ ἱερουργεῖν ὁ ἱερεὺς εἰς ἐκκλησίας χαλασμένας καὶ ἁγίας τραπέζας, λείψανα μὴ ἐχούσας. См. ниже Ркп. Синайск. библ. XVI в. № 993 л. 57, но съ нѣкоторыми особенностями въ текстѣ, указанными нами въ варіантахъ къ синайскому списку.

л. 98. Ἀκολουθία, ὅτε ποιήσει ὁ ἱερεὺς ἀλλαγὴν κενούργιον, οἷον στιχάριον καὶ φελώνιον καὶ τὰ ἕτερα.

Ποιεῖ ὁ ἀρχιερεὺς Εὐλογητόν, τὸ Τρισάγιον, τὸ Παναγία Τριάς, τὸ Πάτερ ἡμῶν, τροπάριον καὶ κοντάκιον τῆς ἡμέρας, εἶτα σφραγίζει ταῦτα καὶ λέγει τὴν εὐχὴν ταύτην· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τῷ ζωοποιῷ σου θανάτῳ τὸν θάνατον νεκρώσας καὶ ἡμᾶς τῶν παθῶν καὶ τῆς ἁμαρτίας ἀναστήσας, Αὐτὸς καὶ νῦν εὐλόγησον τὴν ἱερατικὴν στολὴν ταύτην, ὡς ηὐλόγησας τῶν ἀρχιερέων σου Μελχισεδὲκ, Ἀβραάμ, Μωϋσέως καὶ Ἀαρὼν καὶ τοῦ προφήτου σου Ζαχαρίου, ἵνα καὶ ἡμεῖς, ἀκατακρίτως ἐνδυόμενοι ταύτην, αἰνῶμεν καὶ δοξάζωμεν τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Καὶ εὐλογεῖ ὁ ἀρχιερεὺς καὶ ποιεῖ ἀπόλυσιν.

л. 98 об. Ἀκολουθία εἰς τὸ ἁγιάσαι σκεύη· κενούργιον οἷον ποτήριον καὶ δίσκον καὶ τὰ ἕτερα. Εὐχὴ πρῶτον τοῦ ἁγίου δίσκου. Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, κατάπεμψον ἐπὶ τὸν δίσκον τοῦτον. Ркп. Синайск. библ. № 1006 л. 31.

л. 99. Εὐχὴ τοῦ ποτηρίου. Ibid. л. 32.

л. 100. Τάξις ἐπὶ ἀνοίξει ναοῦ, ἐν ᾧ συνέβη θανεῖν ἄνθρωπον βιαίως, ἢ γυναῖκα ἐγέννησεν ἢ ἔθανεν, ἢ ἄλογον ζῶον, κατὰ τὸν παλαιὸν νόμον ἀκάθαρτον καὶ ἄθυτον, ἢ ἐγέννησεν, ἢ ἔθανεν.

Προηγουμένως σφαλίζει τὴν πόρταν τῆς ἐκκλησίας καὶ ποιεῖ ἡμέρας τεσσαράκοντα ἠσφαλισμένην, καὶ ἔρχεται ὁ ἀρχιερεὺς μετὰ τεσσαράκοντα ἡμέρας καὶ ἀνοίγει τὴν ἐκκλησίαν, καὶ φορένει τὴν ἀρχιερατικὴν στολήν, καὶ τίθεται λεκάνι, καὶ γεμίζει αὐτὸ ὕδωρ, καὶ ποιεῖ εὐλογητόν, καὶ γίνεται ἁγιασμὸς τοῦ κατὰ μῆνα, καὶ ῥαντίζει τὸν ναὸν ὅλον καὶ ἁγιάζει αὐτόν, εἶτα εἰσέρχεται ἐντὸς τοῦ βήματος καὶ ἀπαμφιάζει τὴν ἁγίαν τράπεζαν, καὶ καταπλύνει αὐτόν, ὡς ἐν τῇ ἁγίᾳ πέμπτῃ, εἶτα λέγει τὴν εὐχὴν ταύτην ἐπάνω τῆς ἁγίας τραπέζης. Τοῦ Κυρίου δεηθῶμεν. Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ διὰ πολλὴν καὶ ἄφατον ἀγαθότητα καταξιώσας ὀνομασθῆναι. Goar. p. 496. Καὶ ποιεῖ ἀπόλυσιν καὶ ἄρχεται τῆς λειτουργίας.

л. 101. Τάξις γινομένη ἐπὶ σαλευθείσης ἁγίας τραπέζης. Goar. p. 492.

л. 106. Εὐχὴ ἐπὶ ἀρχιδιακόνων. См. ркп. Синайск. библ. 1510 г. № 1006 л. 34 об.

л. 106 об. Εὐχὴ εἰς μέγαν οἰκονόμον.

Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ πάντα σοφῶς οἰκονομῶν, καὶ τῇ κατὰ σάρκα σου οἰκονομίᾳ τὴν σωτηρίαν ἡμῶν ἐργασάμενος. Goar. p. 232.

л. 107. Εὐχὴ γινομένη, ὁσάκις ἔλθῃ πατριάρχης εἰς τὸν βασιλέα. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ βασιλεὺς τῶν βασιλευόντων καὶ Κύριος τῶν κυριευόντων. Goar. p. 733.

л. 107 об. Ἑρμηνεία περὶ πατριάρχου. Ркп. Свят.-гроб. библ. 1665 г. л. 154. Послѣ возгласа діакона: Πρόσχωμεν. Καὶ ὁ πατριάρχης· Ψήφῳ καὶ δοκιμασίᾳ τῶν θεοφιλεστάτων...

л. 109. Ἀκολουθία εἰς χειροτονίαν χωρεπισκόπου.

Μετὰ τὴν εἴσοδον τοῦ εὐαγγελίου, πρὸ τοῦ Τρισαγίου, γίνεται ἡ χειροτονία. Προσάγεται παρὰ τοῦ χαρτοφύλακος καὶ τοῦ πρώτου τῶν ἱερέων ὁ μέλλων χειροτονηθῆναι χωρεπίσκοπος καὶ ποιεῖ μετανοίας γ'. ἔμπροσθεν τῆς ἁγίας τραπέζης, λέγων· Κύριε, εὐλόγησον. Καὶ λέγει ὁ ἀρχιερεύς· Ὁ Θεὸς εὐλογήσει σε εἰς χωρεπίσκοπον τοῦδε τοῦ τόπου, καὶ εὐλογεῖ αὐτόν· Εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος νῦν. Καὶ λέγει εἷς τῶν πρεσβυτέρων· Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος... Ἔτι δεόμεθα ὑπὲρ σωτηρίας καὶ ἀντιλήψεως τοῦ ἀδελφοῦ ἡμῶν ὁ δεῖνα, τοῦ νῦν προχειριζομένου χωρεπισκόπου τοῦ Κυρίου.. Ὅπως ὁ φιλάνθρωπος Θεὸς ἄσπιλον καὶ ἀμώμητον χαρίσηται αὐτῷ τὴν χάριν τῆς ἐμπιστευθείσης αὐτῷ λογικῆς ποίμνης τοῦ... Τῆς παναγίας... Καὶ σφραγίσας αὐτὸν ὁ ἀρχιερεύς, ἔχων τὸ ὠμοφόριον ἐν τῇ τούτου κεφαλῇ, ἐπιθεὶς ὁ ἀρχιερεὺς τὴν χεῖρα ἐπ' αὐτῷ. Λέγει ὁ ἀρχιδιάκονος· Τοῦ Κυρίου δεηθῶμεν. Καὶ ὁ ἀρχιερεύς, ἔχων τὴν χεῖρα ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, λέγει· Ὁ τὴν καθόλου σου ἐκκλησίαν διὰ τῆς τῶν ἐν αὐτῇ λειτουργῶν εὐσχημοσύνης κατακοσμῶν, Δέσποτα τῶν ἁπάντων, Σὺ καὶ τὸν δοῦλόν σου, ὃν κατηξίωσας τὴν τοῦ χωρεπισκόπου δέξασθαι ἱερουργίαν, ῥύθμισον πρὸς πᾶσαν εὐταξίαν καὶ κατάστασιν εἰρηνικήν, πλήρωσον αὐτὸν πάσης πίστεως, καὶ ἀγάπης καὶ δυνάμεως, καὶ ἁγιασμοῦ διὰ τῆς ἐπιφοιτήσεως τοῦ ζωοποιοῦ καὶ παναγίου σου Πνεύματος· οὐ γὰρ ἐν τῇ ἐπιθέσει τῶν ἐμῶν χειρῶν, ἀλλ' ἐν τῇ ἐπισκοπῇ τῶν σῶν οἰκτιρμῶν δίδοται χάρις τοῖς ἀξίοις σου, ἵνα, πάσης ἁμαρτίας ὑψηλότερος γενόμενος, ἐν τῇ φοβερᾷ τῆς κρίσεως ἡμέρᾳ ἀμέμπτως παραστῇ τῷ φοβερῷ βήματί σου καὶ τὸν μισθὸν δέξηται τὸν ἀδιάψευστον τῆς ἐπαγγελίας χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Χριστοῦ σου, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι νῦν... Εἰρήνη πᾶσι. Τὰς κεφαλὰς ὑμῶν. Εὐχή· Κλῖνον, Κύριε, τὸ οὖς σου καὶ ἐπάκουσον τῆς δεήσεως ἡμῶν, καὶ ἀνάδειξον τὸν δοῦλόν σου ὁ δεῖνα πιστὸν καὶ φρόνιμον οἰκονόμον. Goar. p. 359 Σὺ γὰρ προσκυνητὸς καὶ δεδοξασμένος ὑπάρχεις

ὁ Θεὸς ἡμῶν, καὶ ὁ μονογενής σου Υἱὸς καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι νῦν... Καὶ ἐνδύει αὐτὸν φελώνιον, λέγων· Ἐνδύεται ὁ δεῖνος χωρεπίσκοπος τῆς χώρας τῆς δεῖνα φελώνιον χωρεπισκόπων Εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος... Καὶ ἀσπάζεται αὐτὸν ὁ ἀρχιερεὺς καὶ οἱ ἱερεῖς ἅπαντες, καὶ γίνεται ἡ εὐχὴ τοῦ Τρισαγίου καὶ τὰ λοιπὰ τῆς λειτουργίας.

л. 111—119 чистые.

л. 120. Молитвы надъ новорожденнымъ ребенкомъ, писанныя инымъ почеркомъ и носящія арабскія надписанія.

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, Τρισάγιον, τὸ Παναγία Τριάς, τὸ Πάτερ ἡμῶν, Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον, Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ πλάσας ἐκ τοῦ χοὸς τὸν ἄνθρωπον καὶ ἐξ αὐτοῦ ἀναπλάσας γυναῖκα, καὶ ἰσοτιμίᾳ τιμήσας αὐτήν, παραβάντας δὲ αὐτοὺς τὴν ἐντολήν σου ἐκβαλὼν τοῦ παραδείσου σου... Прилож. стр. 3. Κύριε ὁ Θεὸς ἡμῶν ὁ ἀληθινὸς τῆς ζωῆς, ὁ χαρισάμενος ἡμᾶς τοὺς ἀναξίους δούλους σου εὐλογεῖν καὶ ἁγιάζειν τοὺς ὑπερχομένους τῇ ἁγίᾳ σου ἐκκλησίᾳ καὶ προσκυνοῦντας τὸ ὄνομά σου τὸ ἅγιον...

л. 121. Молитвы въ 40 день.

Εὐλογητὸς ὁ Θεός, Τρισάγιον, τὸ Παναγία Τριάς, τὸ Πάτερ ἡμῶν τροπάριον· Ἐλέησον ἡμᾶς, Δόξα, Κύριε ἐλέησον ἡμᾶς, Καὶ νῦν, Χαῖρε κεχαριτωμένη Θεοτόκε... Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν τεσσαράκοντα ἡμέραις κατὰ τὸν νόμον Μωϋσέως εἰς τὸ ἱερὸν ἀνελθὼν ὑπὸ Μαρίας τῆς Μητρός σου... См. выше стр. 25. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ παραγενόμενος ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων, παραγενοῦ καὶ ἐπὶ τὴν δούλην σου τήνδε καὶ δὸς αὐτὴν εἰσελθεῖν εἰς τὴν ἁγίαν σου ἐκκλησίαν... Goar. p. 267. Ἀνοιγέσθω ἡ πύλη τοῦ οὐρανοῦ... Νῦν ἀπολύεις... Χαῖρε, κεχαριτωμένη Θεοτόκε.

л. 123 чистый.

л. 124. Ἀκολουθία τοῦ ἁγίου καὶ μεγάλου σχήματος, γενομένη εἰς περίστασιν. Ркп. Син. библ. XXI в. № 985 л. 3, но съ нѣкоторыми особенностями, указанными въ варіантахъ.

л. 127 об. Συστατικὸν πνευματικοῦ γράφε οὕτως.

л. 128. Безъ начала богословскаго содержанія грамматa съ подписью: Ἰωάννης ἐλέῳ Θεοῦ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων ὁ Καντακουζινός, ὁ διὰ τοῦ θείου καὶ μοναχικοῦ σχήματος μετονομασθεὶς Ἰωάσαφ μοναχός.

л. 130. Συστατικὸν ἀρχιερέως.

л. 31. Τροπάρια, ψαλλόμενα εἰς τὴν παράκλησιν τῆς ὑπεραγίας Θεοτόκου.

л. 134. Στιχηρά, ψαλλόμενα εἰς τὴν ὑπεραγίαν Θεοτόκον ἐν τῇ τεσσαρακοστῇ.

л. 137—145 арабскій текстъ.

л. 146—149 чистые.

л. 150. Исповѣданіе вѣры.

л. 154 об. Образцы писемъ къ царю и патріарху.

**LIV**. № 450. Εὐχολόγιον, ркп. Аѳоно-Діонисіатской библ. въ 4 долю листа писана почеркомъ крупнымъ и красивымъ 1408 г. Приписка къ рукописи гласитъ слѣдующее: Ἐτελειώθη τὸ παρὸν βιβλίον διὰ χειρὸς ἐμοῦ ἁμαρτωλοῦ Διονυσίου ἱερομονάχου ἐν ἔτει ,ςϡις΄. ἰνδικτιῶνος πρώτης, ἐν μηνὶ Δεκεμβρίῳ ιγ΄. ἡμέρᾳ τρίτῃ, ὥρᾳ ἐννάτῃ.

л. 1. рукою XVI в. Εὐχή, ἣν λέγει ἱερεὺς ἢ ἀρχιερεὺς ἐπὶ τοὺς μέλλοντας μεταλαβεῖν τῶν ἀχράντων μυστηρίων.

л. 6. Ἀκολουθία τοῦ βαπτίσματος.

Εὐχὴ εἰς τὸ κατασφραγίσαι παιδίον, λαμβάνον ὄνομα τῇ ὀγδόῃ ἡμέρᾳ τῆς αὐτοῦ γεννήσεως.

л. 7. Ἑτέρα ἀκολουθία εἰς τὸ σαραντίσαι παιδίον.

Одна молитва, обрядъ внесенія въ алтарь съ чтеніемъ: „Нынѣ отпущаеши“ до „Свѣтъ во откровеніе языковъ“ и положеніе младенца предъ св. вратами съ словами: Τὸ δὲ παιδίον ηὔξανε καὶ ἐκρατοῦτο Πνεύματι.

л. 8. Ἀκολουθία εἰς τὸ ποιῆσαι κατηχούμενον, ἤγουν βαπτίσαι.

л. 21 об. Εὐχὴ εἰς τὸ ἀπολοῦσαι νεοφώτιστον.

л. 22. Εὐχὴ εἰς τὸ κουρεῦσαι παιδίον.

л. 24. Ἀκολουθία τοῦ ἁγίου ἐλαίου.

Обычное начало, псаломъ: Κύριε εἰσάκουσον, тропари: Помилуй: насъ Господи и т. д., 50 псаломъ и обычный канонъ (Goar. p. 332), но безъ акростиха: εὐχὴ ἐλαίου ψαλμὸς ἐξ Ἀρσενίου и съ перестановкою тропарей, изъ которыхъ получается такая фраза: εὐχὴ ὁ (μόνος, нынѣ Σὺ μόνος) ἐλέῳ... Стихиры: Οὐρανῶν ὑπάρχουσα πλατυτέρα, χερουβὶμ καὶ θρόνων ἐνδοξοτέρα... Ὕμνους τῶν χειλέων μου μὴ παρίδῃς... Οἱ πεπωρωμένοι τῇ διανοίᾳ... Ἡ ἀπηλπισμένων ἐλπὶς βεβαία... Δόξα, Πανάχραντε Παρθένε ἁγνή... Καὶ νῦν, Ἀνύμφευτε Παρθένε... Τρισάγιον, ἀπολυτίκιον· Ταχὺς εἰς ἀντίληψιν... καὶ γίνεται ἐκτενὴς καὶ ἀπόλυσις.

Εἶτα συνηγμένων τῶν ἱερέων καὶ στολισαμένων, ἐκφωνεῖ εἷς ἐξ αὐτῶν· Εὐλόγησον, δέσποτα· Καὶ ὁ πρωτοπαπᾶς· Εὐλογημένη ἡ βασιλεία... καὶ εὐθύς· Ὁ κατοικῶν ἐν βοηθείᾳ, εἶτα ἡ συναπτὴ Goar. p. 335, но съ прибавкою прошеній объ архіепископѣ и царѣ. Λέγοντος δὲ τοῦ ἱερέως τὰ διακονικά, ἐπιβάλλουσιν οἱ ἱερεῖς κατὰ τάξιν εἰς τὴν κανδήλαν ἔλαιον, λέγοντες καὶ τὴν εὐχήν· Κύριε ἐν τῷ ἐλέει καὶ τοῖς οἰκτιρμοῖς. Goar. p. 335. Εἶτα λέγονται τὰ τροπάρια ταῦτα κατ' ἦχον· Μητέρα σε Θεοῦ ἐπιστάμεθα πάντες, Παρθένον ἀληθῶς...Εὐσπλαγχνίας ὑπάρχουσα πηγὴ συμπαθείας ἀξίωσον ἡμᾶς, Θεοτόκε... Καταφυγὴ καὶ δύναμις... Τῇ Θεοτόκῳ ἐκτενῶς νῦν προσδράμωμεν... Ὁ ἐκ Παρθένου ἀνατείλας... Τῆς εὐσπλαγχνίας τὴν πύλην... Ὁ καρπὸς τῆς κοιλίας σου ἄχραντε... Ἡ νοητὴ πύλη τῆς ζωῆς ἡμῶν, ἄχραντε Θεοτόκε... Δόξα, Ἅγιοι Ἀνάργυροι... Καὶ νῦν, Σὲ καὶ τεῖχος καὶ λιμένα ἔχομεν... Καὶ ποιεῖ μετανοίας γ'. ὁ ἀδελφός, ὑπὲρ οὗ ἡ εὐχὴ τοῦ ἁγίου ἐλαίου γίνεται, πρὸς τοὺς ἱερεῖς καθ' ἑκάστην προσκύνησιν, λέγων· Εὐλογήσατε, δεσπόται μου ἅγιοι, εὔξασθε καὶ συγχωρήσατέ μοι τῷ ἁμαρτωλῷ. Καὶ συγχωρεῖται παρὰ τῶν ἱερέων καὶ εὐθὺς προκείμενον. Goar. p. 337 и т. д. См. выше стр. 370—371.

л. 56. Ἀκολουθία εἰς ἀρχάριον ῥασοφοροῦντα.

Начало чина, какъ у Гоара pag. 378—379, но здѣсь, послѣ постриженія, положено читать третью молитву: Κύριε ὁ Θεὸς ἡμῶν, ἡ ἐλπὶς καὶ καταφυγὴ πάντων τῶν ἐλπιζόντων ἐπὶ σέ Goar. p. 385. Εἶτα ἐνδύει αὐτὸν τὸν χιτῶνα, τὸν μανδύαν καὶ τὸ καμηλαύκιον, μηδὲν ἐπιλέγων, καὶ ποιεῖ ἀπόλυσιν.

л. 58 об. Ἀκολουθία εἰς κουρὰν μανδυώτου.

Ἀπὸ ἑσπέρας φέρουσι τὰ ἱμάτια καὶ τὰ λοιπὰ τοῦ μέλλοντος κουρευθῆναι ἔμπροσθεν τῆς εἰκόνος Χριστοῦ καὶ τίθενται, καὶ ἐν τῷ ὄρθρῳ ψάλλεται ὁ κανὼν τοῦ σχήματος καὶ τὰ στιχηρὰ (имѣются въ рукописи на лицо) см. выше стр. 279, ркп. Ватоп. библ. № 133 въ великой схимѣ, и у Goar. p. 403. Εἰς δὲ τὴν λειτουργίαν ψάλλονται πρῶτον τὰ συνήθη ἀντίφωνα, ἤγουν Εὐλόγει ἡ ψυχή μου... Αἴνει ἡ ψυχή μου τὸν Κύριον... καὶ οἱ μακαρισμοί. Ἵσταται δὲ ὁ μέλλων λαβεῖν τὸ σχῆμα, ἀρχομένης τῆς λειτουργίας, ἔνδον τῆς βασιλικῆς πύλης, φορῶν τὰ συνήθη αὐτοῦ ἱμάτια μέχρι τῆς εἰσόδου, εἶτα ψάλλονται καὶ οἱ μακαρισμοὶ τοῦ σχήματος εἰς ἦχον δ'. Ὅσοι τὰ ἐν κόσμῳ ποθεινὰ ἐγκατελίπετε... Ὁ θέλων πάντας εἰς ἐπίγνωσιν ἐλθεῖν τοῦ φωτισμοῦ... Πάντων τῶν προσκαίρων ὡς φθαρτῶν... Πάσας τῆς σαρκὸς τὰς ἡδονὰς ἀποσεισάμενος... Τρίβον τὴν πλατεῖαν καὶ εὐρύχωρον ἀφέμενος... Ἕτερα εἰς γυναῖκας· Βίον τὸν ἐνάρετον σεμνὴ ἐπιποθήσασα... Παύλῳ μαθητῇ... Μύρῳ καινωθέντι τῷ Χριστῷ... Χαίρει

ἐπὶ σοί.. Δόξα καὶ νῦν, Χαῖρε τῆς παρθενίας τὸ ὑπέρτιμον... Τῆς εἰσόδου δὲ γενομένης, ὁ μελλοκουρίτης ἀποβάλλει τὸ ἐπὶ τῆς κεφαλῆς αὐτοῦ κάλυμμα καὶ ἐν ποσὶ καλύγια καὶ ἵσταται ἐζωσμένος μέχρις ἂν ἔλθῃ ἔμπροσθεν τῶν ἁγίων θυρῶν. Εἶτα τὸ παρὸν στιχηρόν· Ἀγκάλας πατρικάς... καὶ εὐθὺς ἀντίφωνα. Ἀντίφωνον α'. ἦχος γ'. Ἤθελον δάκρυσιν ἐξαλεῖψαι... Στίχος· Ὡς ἀγαπητά... Τίς χειμαζόμενος καὶ προστρέχων... Στίχος· Ἐξελεξάμην παραριπτεῖσθαι... Ἐν τῇ πηγῇ τῇ μυστικῇ τῆς ἀναγεννήσεως... Δόξα καὶ νῦν, Ῥῦσαι ἡμᾶς ἐκ τῶν ἀναγκῶν ἡμῶν... Ἀρχομένου δὲ τοῦ δευτέρου ἀντιφώνου, μεθίσταται ὁ τὸ σχῆμα μέλλων λαβεῖν τῶν βασιλικῶν πυλῶν ὀλίγον. Ἀντίφωνον δεύτερον, ἦχος ζ'. Ζάλη ἁμαρτημάτων περιέχει με, Σωτήρ... Στίχος· Εἰπάτωσαν οἱ λελυτρωμένοι... Ἀντιλαβοῦ μου κατὰ τὸ λόγιόν σου καὶ ζῆσόν με... Δόξα καὶ νῦν, Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου... Ἀντίφωνον γ'. ἦχος δ'. Ποῦ ἐστὶν ἡ τοῦ κόσμου προσπάθεια... Στίχος· Δεῦτε, τέκνα, ἀκούσατέ μου... Καὶ τούτου λεγομένου, ἔρχεται εἰς τὴν σωλαίαν, κἀκεῖ ἵσταται, εἶτα τὸ παρὸν τροπάριον· Δεῦτε πρός με πάντες... Στίχος· Ἐπλανήθην, ὡς πρόβατον... Πρόβατον εἰμὶ τῆς λογικῆς σου ποίμνης... Τούτου δὲ λεγομένου, ἔρχεται διὰ τῆς σωλαίας ἕως τῶν ἁγίων θυρῶν καὶ προσπίπτει καὶ οὐκ ἀνίσταται μέχρις ὅτου πληρωθῇ τὸ ἀντίφωνον. Ἀντίφωνον, τροπάριον, ἦχος δ'. Κύριε, Κύριε, ἐπίβλεψον ἐξ οὐρανοῦ... Δόξα καὶ νῦν, Ἡ μόνη ἁγνὴ καὶ ἄχραντος Παρθένος... Εἶτα κελεύει αὐτὸν ἀναστῆναι ὁ ἀνάδοχος αὐτοῦ, ὁ δὲ ἱερεὺς ἐπερωτᾷ αὐτὸν ταῦτα, λέγων οὕτως. Ἐρώτησις· Τί προσῆλθες... καταταγῆναι τῷ χορῷ τῶν μοναζόντων; Ἀπόκρισις· Ναί, τίμιε πάτερ. **Вопросы, что у Гоара, по съ прибавкою:** Ἀποτάσσῃ τῷ κόσμῳ καὶ τοῖς ἐν κόσμῳ κατὰ τὴν ἐντολὴν τοῦ Κυρίου; Ἀπόκρισις· Ναί, τίμιε πάτερ. **Оглашеніе:** „Βλέπε, τέκνον, **съ небольшими прибавками въ текстѣ противъ Гоаровскаго чтенія p. 383—384. Послѣ молитвы:** Ὁ πανοικτίρμων οὖν Θεὸς καὶ πολυέλεος... στραφεὶς ὁ ἱερεὺς σφραγίζει ἐπὶ τὴν κεφαλὴν τοῦ λαμβάνοντος τὸ σχῆμα τρίτον, μετὰ δὲ τὸ κατασφραγίσαι αὐτόν, προσπίπτει ὁ κατηχούμενος ἕως συμπληρώσεως τῆς εὐχῆς τῆς κεφαλοκλισίας, ὁ δὲ ἱερεύς, στραφεὶς κατὰ ἀνατολάς, λέγει τὴν εὐχὴν ταύτην εἰς ἐπήκοον πάντων ἐπάνω τῆς κεφαλῆς αὐτοῦ· Ὁ ὢν Δέσποτα παντοκράτωρ ὕψιστε Goar. p. 409. Καὶ εὐθὺς τίθεται τὸ ψαλλίδιον ἐπάνω τοῦ εὐαγγελίου, εἶτα ἡ εὐχὴ παρὰ τοῦ ἱερέως· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἀξίους σου εἶναι νομοθετήσας. Goar. p. 385. Εἶτα λέγει πρὸς αὐτὸν ὁ ἱερεύς· Ἰδοὺ ὁ Χριστὸς ἀοράτως... Ἀπόκρισις· Ναί, τίμιε πάτερ, ἐκ προαιρέσεως. Καὶ μετὰ τὸ συντάξασθαι, λέγει πρὸς αὐτόν· Λάβε τὸ ψαλλίδιον καὶ ἐπίδος μοι αὐτό. Καὶ ἐπιδόντος αὐτῷ τὸ ψαλλίδιον, λέγει πρὸς αὐτὸν ὁ ἱερεύς·

Ἰδοὺ ἐκ τῆς χειρὸς τοῦ Χριστοῦ... καὶ εὐθὺς ἡ εὐχὴ αὕτη εἰς ἐπήκοον πάντων· Κύριε ὁ Θεὸς ἡμῶν, ἡ ἐλπὶς καὶ καταφυγή... Goar. p. 385 καὶ λαβὼν τὸ ψαλλίδιον ὁ ἱερεὺς ἐκ τῆς χειρὸς τοῦ ἀνθρώπου, λέγει οὕτως· Εὐλογητὸς ὁ Θεός, ὁ θέλων πάντας ἀνθρώπους σωθῆναι... Εἶτα κουρεύει αὐτὸν σταυροειδῶς, λέγων· Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα κείρεται τὴν κόμην τῆς κεφαλῆς αὐτοῦ, συναποβαλλόμενος ταῖς θριξὶ καὶ τὰς κοσμικὰς ἐπιθυμίας εἰς τὸ ὄνομα τοῦ Πατρός... Ὁ λαός· Κύριε ἐλέησον. Εἰς τὸν χιτῶνα· Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα ἐνδύεται χιτῶνα δικαιοσύνης καὶ ἀγαλλιάσεως, τὸν ἀρραβῶνα τοῦ ἀγγελικοῦ σχήματος, εἴπωμεν ὑπὲρ αὐτοῦ τὸ Κύριε ἐλέησον, τρίς. Εἰς παλλίον· Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα λαμβάνει παλλίον... εἴπωμεν ὑπὲρ αὐτοῦ τὸ Κύριε ἐλέησον γ΄. Εἰς τὴν ζώνην· Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα περιζώννυται τὴν ὀσφὺν αὐτοῦ, δύναμιν ἀληθείας, εἴπωμεν ὑπὲρ αὐτοῦ... Εἰς τὸ καμηλαύχιον· Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα περιβάλλεται τὴν περικεφαλαίαν, τὸν ἀρραβῶνα τοῦ ἀγγελικοῦ σχήματος, εἴπωμεν ὑπὲρ αὐτοῦ... Εἰς τὰ σανδάλια· Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα ὑποδύεται σανδάλια τῆς ἑτοιμασίας τοῦ εὐαγγελίου τῆς εἰρήνης, τὸν ἀρραβῶνα τοῦ ἀγγελικοῦ σχήματος, εἴπωμεν... Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα ἔλαβε τὸ μοναδικὸν σχῆμα ἐν ὀνόματι τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ... Ἐνδυομένου δὲ αὐτοῦ, ψάλλονται τὰ τροπάρια ταῦτα, ἦχος δ΄. Ἤνοικται ἡ θύρα τῆς μετανοίας... Ἐνδύσασθε χιτῶνα τῆς σωτηρίας... Στίχος· Αὕτη ἡ πύλη... Ἀγαλλιᾶσθε τῷ Θεῷ, τῷ βοηθῷ ἡμῶν... Δόξα καὶ νῦν, Ἔχοντές σε, Θεοτόκε, ἐλπίδα... τροπάριον ἦχος πλ. β΄. Ἀγαλλιάσθω ἡ ψυχή μου... Τούτων οὖν πληρωθέντων, αὖθις ἡ εὐχή· Κύριε, Κύριε, ἡ δύναμις τῆς σωτηρίας ἡμῶν. Goar. p. 379. Εἶτα δίδοται τῷ κουρευθέντι τὸ ἅγιον εὐαγγέλιον, καὶ γίνεται ἀσπασμὸς μετὰ πάντων, ψαλλομένου τοῦ παρόντος στιχηροῦ, ἦχος α΄. Ἐπιγνῶμεν, ἀδελφοί, τοῦ μυστηρίου τὴν δύναμιν... Τοῦ ἀσπασμοῦ τελευτῶντος, λέγεται τὸ κοντάκιον τῆς ἡμέρας, εἶτα τὸ Τρισάγιον καὶ ὁ ἀπόστολος τῆς ἡμέρας, εἶθ' οὕτως καὶ ὁ τοῦ σχήματος. Προκείμενον· Κύριος φωτισμός μου, στίχος· Κύριος ὑπερασπιστὴς τῆς ζωῆς... ὁ ἀπόστολος Goar. p. 387. Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ματθαῖον (sic)· Εἶπεν ὁ Κύριος· ὅστις θέλει ὀπίσω μου ἀκολουθεῖν... Τέλος· ἐληλυθυῖαν ἐν δυνάμει. Καὶ καθεξῆς ἡ θεία λειτουργία. Τελεσθείσης δὲ τῆς λειτουργίας, ἅπτουσιν οἱ ἀδελφοὶ τοὺς αὐτοὺς κηροὺς καὶ ἀπέρχονται ἐν τῇ τραπέζῃ, ψάλλοντες τροπάριον, ἦχος δ΄. Κύριε, Κύριε, ἐπίβλεψον ἐξ οὐρανοῦ... Στίχος· Ὁ ποιμένων τὸν Ἰσραήλ... τὸ (αὐτὸ) τροπάριον. Στίχος· Ὁ καθήμενος ἐπὶ τῶν χερουβείμ... τὸ τροπάριον. Στίχος· Ἐξέγειρον τὴν δυναστείαν σου... ὁμοίως, Στίχος· Ὁ Θεὸς τῶν δυνάμεων... ὁμοίως, Στίχος· Ἀφῆκας τὰς ἀνομίας... ὁμοίως, Στίχος· Κύριε, καταφυγὴ ἐγενήθης... ὁμοίως, Δόξα καὶ νῦν, Ἡ λαμπὰς ἡ ἄσβε-

στος..., καὶ εἶθ' οὕτως ψάλλεται ὁ τῆς τραπέζης ψαλμός· Ὑψώσω σε, ὁ Θεός μου, καὶ τὰ ἕτερα τούτων καὶ ἀπόλυσις. Εἰ δὲ οὐκ ἔστι λειτουργία, γίνεται ἐκτενὴ (краткая сугубая) καὶ εὐθὺς ἀπόλυσις. Εἶτα ἀδελφός τις κουρεύει αὐτόν, ψάλλων καὶ τὸν ἄμωμον.

л. 84 об. Ἀκολουθία τοῦ μεγάλου καὶ ἀγγελικοῦ σχήματος.

Γενομένης τῆς πρώτης εἰσόδου τῆς λειτουργίας, ἔρχεται ὁ μέλλων λαβεῖν τὸ μέγα σχῆμα ἔμπροσθεν τῶν ἁγίων θυρῶν καὶ προσπίπτει καὶ οὐκ ἀνίσταται μέχρι συμπληρώσεως τῶν ἀντιφώνων· ψάλλονται δὲ ταῦτα τὰ ἀντίφωνα· ἀντίφωνον α'. ἦχος δ'. Ἤνοικται ἡ θύρα τῆς μετανοίας... Στίχος· Προσέχετε, λαός μου... Ὁ ζυγός μου χρηστὸς ἐστί... Δόξα καὶ νῦν, Ἡ λαμπὰς ἡ ἄσβεστος... Ἀντίφωνον β'. ἦχος γ'. Εὐαγγελικῆς φωνῆς σπουδαίως... Στίχος· Τί καλὸν ἢ τί τερπνόν... Ἐγγὺς Κύριος τοῖς ὑπομένουσιν αὐτόν... Δόξα καὶ νῦν, Ἁγιόπρωτε, σεμνή, ἐγκώμιον οὖσα τῶν οὐρανίων... Ἀντίφωνον γ'. ἦχος α'. Ἀκολουθήσωμεν, ἀδελφοί, ἀγαθῷ Δεσπότῃ... Στίχος· Ἐξαπόστειλον τὴν χεῖρά σου... τροπάριον ἦχος α'. Ὁ βασιλεὺς τῶν οὐρανῶν τὰς χεῖρας ὑφαπλώσας... θεοτοκίον· Χαίροις παρ' ἡμῶν ἁγία Θεοτόκε Παρθένε... Εἶτα κελεύει ἀναστῆναι τὸν μέλλοντα καὶ ἐπεύχεται ὁ ἱερεὺς εἰς ἐπήκοον τὴν εὐχὴν ταύτην· Ἅγιε Κύριε τῶν δυνάμεων, ὁ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εὐλόγησον τὸν δοῦλόν σου Goar. p. 410. Τῆς οὖν εὐχῆς πληρωθείσης, περιτίθησιν αὐτῷ τὸν ἀνάλαβον καὶ τὸ κουκούλιον, καὶ τὴν ζώνην, καὶ τὸ μανδύον, καὶ τὸ καμηλαύχιον, λέγων καθ' ἕνα ἕκαστον ταῦτα. Δεῖ γινώσκειν, ὅτι ὁ τὸ μέγα σχῆμα λαμβάνων διότι ἐκδυδίσκεται, ἅπερ φορεῖ, ἤγουν τὸ καμηλαύχιον, τὸ μανδύον, τὴν ζώνην καὶ τὰ σανδάλια, ἵνα βάλῃ τὸ κουκούλιον, τὸν ἀνάλαβον, καὶ εἶθ' οὕτως τὰ ἕτερα τούτων, τούτου ἕνεκεν καὶ τὰ τοιαῦτα πάλιν λέγονται πρὸς αὐτόν, ἤγουν Ὁ ἀδελφὸς ἡμῶν λαμβάνει τὸ καὶ τό. Ὀφείλει οὖν εἰπεῖν καὶ εἰς πάντα· εἰς τὸν χιτῶνα· Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα ἐνδύεται... (см. выше въ чинѣ малой схимы), εἰς τὸν ἀνάλαβον· Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα λαμβάνει τὸν ἀνάλαβον, ἀναλαμβάνων τὸν σταυρὸν αὐτοῦ ἐπὶ τῶν ὤμων καὶ ἀκολουθῶν τῷ Δεσπότῃ Χριστῷ, εἴπωμεν ὑπὲρ αὐτοῦ τὸ Κύριε ἐλέησον. Ὁ λαὸς τὸ Κύριε ἐλέησον, τρίς. Εἰς τὸ κουκούλιον· Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα ἐνδύεται τὸ κουκούλιον τῆς ἀκακίας εἰς περικεφαλαίαν ἐλπίδος σωτηρίας, εἴπωμεν ὑπὲρ αὐτοῦ τὸ Κύριε ἐλέησον. Остальныя возглашенія, при надѣваніи пояса, мантіи, камилавки, сандалій и схимы, а равно стихиры, которыя пѣлись при этомъ, тѣже, что и въ чинѣ малой схимы. Τούτων δὲ ψαλλομένων (т. е. стихиры Ἤνοικται ἡ θύρα τῆς μετανοίας κ. τ. λ.) παρὰ τῶν μοναχῶν, ὁ ἱερεὺς λέγει τὴν μεγάλην συναπτήν. Goar. p. 412—423, но безъ прошеній о домѣ и

**архіепископѣ.** Εἶθ' οὕτως τὴν εὐχὴν ὁ ἱερεύς· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ πιστὸς ἐν ταῖς ἐπαγγελίαις σου καὶ ἀμεταμέλητος ἐν τοῖς χαρίσμασί σου Goar. p. 411. Ἐπισύναψον καὶ ταύτην· Κύριε ὁ Θεὸς ἡμῶν, εἰσάγαγε τὸν δοῦλόν σου τόνδε εἰς τὴν πνευματικήν σου αὐλήν... pag. 412. Εἶτα δίδωσι τῷ λαβόντι τὸ μέγα σχῆμα τὸ ἅγιον εὐαγγέλιον, καὶ γίνεται ἀσπασμὸς παρὰ πάντων, ψαλλομένου τοῦ παρόντος στιχηροῦ, ἦχος α'. Ἐπιγνῶμεν, ἀδελφοί... **и прочее до апостола, какъ въ чинѣ малой схимы.** Ὁ ἀπόστολος πρὸς Γαλάτας ἐπιστολῆς· Ἀδελφοί, ὁ καρπὸς τοῦ Πνεύματός ἐστιν ἀγάπη... Τέλος· καὶ οὕτως ἀναπληρώσατε τὸν νόμον τοῦ Χριστοῦ. Ἀλληλουάριον καὶ εὐαγγέλιον. Goar. pag. 413. Καὶ καθεξῆς ἡ θεία λειτουργία· εἰ δὲ οὐκ ἔστι λειτουργία, γίνεται ἐκτενὴς καὶ ἀπόλυσις, ἤγουν Ἐλέησον ἡμᾶς... Ἔτι δεόμεθα ὑπὲρ ἀφέσεως καὶ συγχωρήσεως τῶν ἁμαρτιῶν... Ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτῷ... Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος... καὶ εὐθὺς ἀπόλυσις. Εἰ δὲ ἔνι λειτουργία, ἅπτουσιν οἱ ἀδελφοὶ τοὺς κηροὺς καὶ συναπέρχονται μετὰ τοῦ νεοφωτίστου εἰς τὴν τράπεζαν κ. τ. λ. (**см. выше чинъ малой схимы**). Εἶτα ἀναστάντες ἀπὸ τῆς τραπέζης, συναπέρχονται αὐτῷ εἰς τὴν ἐκκλησίαν, ψάλλοντες τὰ προγεγραμμένα τροπάρια· Κύριε, Κύριε, ἐπίβλεψον ἐξ οὐρανοῦ... Στίχος· Ὡς ἀγαπητὰ τὰ σκηνώματά... Στίχος· Ἡ καρδία μου καὶ ἡ σάρξ... Στίχος· Καὶ γὰρ στρουθίον εὗρεν ἑαυτῷ... Τὰς δὲ ἑπτὰ ἡμέρας ὁ νεοφώτιστος προσκαρτερεῖ τῇ ἐκκλησίᾳ, σχολάζων ἀπὸ τῶν ἔργων, τῇ δὲ ἑβδόμῃ ἡμέρᾳ ποιεῖ εὐχὴν ὁ ἱερεὺς καὶ αἴρει τὸ κουκούλιον ἀπὸ τῆς κεφαλῆς αὐτοῦ, χαλῶν αὐτὸ ὄπισθεν. Σημειωτέον, ὅτι, εἰ ἔστιν ὁ ἀδελφὸς ἄξιος μεταλαβεῖν τῶν ἁγίων δώρων, εἰσοδεύει καὶ μεταλαμβάνει.

л. 95. Ἀκολουθία τοῦ ἀποκουκουλίσματος.

Μετὰ τὴν τελείωσιν τῶν ἑπτὰ ἡμερῶν, ποιεῖ ὁ ἱερεὺς Εὐλογητὸν καὶ λέγεται Τρισάγιον, εἶτα τροπάρια ταῦτα, ἦχος β'. Ἐλέησον ἡμᾶς... Δόξα, Κύριε ἐλέησον... Καὶ νῦν, Τῆς εὐσπλαγχνίας... Τὸ Κύριε ἐλέησον μ'. καὶ τὰς εὐχὰς ταύτας· Πολυέλεε Κύριε... Goar. p. 419. Εἰρήνη πᾶσιν. Ὁ διάκονος· Τὰς κεφαλάς... Ὁ ἱερεὺς ἐπεύχεται· Τὸν τῇ πυρίνῃ κεφαλῇ... Ibid. Εἶτα σφραγίζων τὴν κεφαλὴν αὐτοῦ τρίς, ποιεῖ ἀπόλυσιν.

л. 97. Σημειωτέον εἰς κανονικάς· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὴν παρθενίαν οὕτως ἀγαπήσας. Goar. p. 382. Εἰ δὲ οὐκ ἔνι λειτουργία, Τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν, Κύριε ἐλέησον ιβ'. Δεῦτε προσκυνήσωμεν γ'. Εἶτα τὸν Ν'. τὸν κανόνα, τοὺς μακαρισμοὺς καὶ καθεξῆς τὴν λοιπὴν ἀκολουθίαν.

л. 97. Ἀκολουθία τοῦ ἁγιασμοῦ τῶν Φώτων.

л. 109 об. Ἀκολουθία μικροῦ ἁγιασμοῦ.
л. 118 об. Ἀκολουθία τῆς γονυκλισίας.
л. 133. Ἀκολουθία εἰς ψυχὴν κρινομένην.
л. 138 об. Εὐχαὶ διάφοροι.
л. 167. Ἀκολουθία τοῦ ἐξοδιαστικοῦ.

Ἐπειδάν τις τῶν μοναζόντων... См. выше стр. 282 Ркп. Ват. библ. № 133 καὶ εὐθὺς (т. е. послѣ заупокойной ектеньи) τὸ λείψανον εἰσφέρουσιν ἐν τῷ νάρθηκι, ψάλλοντες τὸ Ἅγιος ὁ Θεός..., δίδοντες καὶ κηρία τοῖς ἀδελφοῖς· ἅπτουσι δὲ καὶ ἐπὶ τοῦ λειψάνου κηρία τέσσαρα, ἐπάνω δὲ αὐτοῦ τίθεται καὶ εἰκὼν τοῦ Χριστοῦ, καὶ εὐθὺς θυμιᾷ ὁ ἱερεὺς ἐπάνω τοῦ λειψάνου σταυροειδῶς, καὶ ἵσταται ἐπάνω τοῦ λειψάνου, λέγει· Εὐλογητὸς ὁ Θεός... καὶ ἄρχονται τοῦ Τρισαγίου, τὸ Παναγία Τριάς. Πάτερ ἡμῶν, Κύριε ἐλέησον ιβʹ. Δεῦτε προσκυνήσωμεν γʹ. τὸν Νʹ. εἶτα τὸν ἄμωμον εἰς ἦχον πλ. αʹ. καὶ ἐκφωνεῖ· Εὐλογητὸς εἶ, Κύριε... Goar.. p. 424—426. Εἶτα τὰ τροπάρια ταῦτα· Εὐλογητὸς εἶ, Κύριε... Τῶν ἁγίων ὁ χορός... κ. τ. λ. Εἶτα μνημονεύει ὁ ἱερεὺς ἢ ὁ διάκονος, εἴπερ ἐστίν· Ἔτι καὶ ἔτι... Ἔτι δεόμεθα ὑπὲρ ἀναπαύσεως κ. τ. λ., εἶθ' οὕτως τροπάριον, ἦχος πλ. αʹ. Ἀνάπαυσον, Σωτήρ... θεοτοκίον· Ὁ ἐκ Παρθένου ἀνατείλας... Εἶτα οἱ ἀναβαθμοὶ καὶ τὰ στιχηρὰ и до евангелія Goar. pag. 439—445, но съ опущеніемъ второго тропаря „подобнаго“. Послѣ евангелія γίνεται ὁ ἀσπασμὸς καὶ ψάλλονται τὰ τελευταῖα τροπάρια, ἦχος βʹ. Δεῦτε τελευταῖον ἀσπασμόν... Δεῦτε ἐν τῷ τάφῳ, ἀδελφοί... Δεῦτε τελευταῖον ἀσπασμόν.. Ποῖος χωρισμός, ὦ ἀδελφοί... Ὅταν ἐκ τοῦ σώματος ψυχή... Δεῦτε, ἀδελφοὶ πνευματικοί... Τρέμω τὸ κριτήριον, Χριστέ... Μέγας ὁ κλαυθμὸς καὶ ὀδυρμός... Πάντες δυσωποῦμεν, Χριστέ... Τοῦτο τῆς ζωῆς ἡμῶν ἐστί... Δόξα, Μίαν, ὑποστάσεσι τρισί, σέβοντες Θεότητα πίστει.. Καὶ νῦν, Σῶζε τοὺς ἐλπίζοντας εἰς σέ... Εἶτα Τρισάγιον καὶ τὰ τροπάρια ταῦτα· Μετὰ πνευμάτων δικαίων κ. τ. λ. Goar. p. 446. Послѣ ектеньи Δόξα καὶ νῦν καὶ γίνεται ἀπόλυσις.

Εἶτα αὖθις ἀρχὴ παρὰ τοῦ ἱερέως καί, ἄραντες τὴν κλίνην μετὰ τοῦ λειψάνου, ἀπέρχονται εἰς τὸ κοιμητήριον, ψάλλοντες τὸ Ἅγιος ὁ Θεός, εἶτα νεκρώσιμα στιχηρὰ καὶ καθίσματα κατ' ἦχον. Ἐναποτίθουσι δὲ τὸ λείψανον τρὶς ἕως τοῦ κοιμητηρίου, καὶ ὁ ἱερεὺς συναπτὴν τὴν συνήθη, τὰ καθίσματα, ἦχος δεύτερος· Ὡς ἄνθος μαραίνεται... Μνήσθητι, Κύριε, ὡς ἀγαθός... Πάντα ματαιότης τὰ ἀνθρώπινα... Ὅτε τῷ λόγῳ σου παραστησώμεθα... Ψυχήν, ἣν μετέστησας ἐκ τῶν προσκαίρων... Σὺ ἔπλασάς με, Κύριε... Ἀρχή μοι καὶ ὑπόστασις... Ἀνάπαυσον, Σωτὴρ ἡμῶν ζωοδότα... Ἐν χώρᾳ ζώντων, Κύριε, καὶ ἐν σκηναῖς τῶν δικαίων σου... Ὁ

θάνατός σου, Κύριε, ἀθανασίας γέγονε πρόξενος... Καὶ φθάσαντες ἐν τῷ κοιμητηρίῳ, βάλλουσι τὸ λείψανον ἐν τῷ τάφῳ, λέγοντες τροπάριον, ἦχος πλ. δ'. Γῆ χανοῦσα... Εἶτα ὁ ἱερεὺς ἐπιχέει τὸ ἔλαιον ἐπάνω τοῦ λειψάνου, ποιῶν δι' αὐτοῦ σταυρὸν καὶ λέγων· Τοῦ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς... καὶ ἕτερον, ἦχος γ'. Τῷ τύπῳ τοῦ σταυροῦ σου, φιλάνθρωπε... καὶ εὐθὺς σφαλίζεται ὁ τάφος, ἡμεῖς δὲ ψάλλομεν τὰ ἰδιόμελα ταῦτα, ἦχος πλ. β'. Πνευματικοὶ ἀδελφοί, μή μου ἐπιλάθησθε... ἦχος πλ. δ'. Καθὼς εἶπας, Κύριε, τῇ Μάρθᾳ· ἐγώ εἰμι ἡ ἀνάστασις... Δόξα, ὁ αὐτός, Θρηνῶ καὶ ὀδύρομαι... Καὶ νῦν, Δέσποινα, πρόσδεξαι τὰς δεήσεις... Εἶτα Τρισάγιον καὶ τὰ τροπάρια· Μετὰ πνευμάτων δικαίων κ. τ. λ. Послѣ ектеньи καὶ ἡμεῖς ποιοῦμεν μετανοίας ιβ'. καὶ ὁ ἡγούμενος· Δόξα σοι, ὁ Θεός... καὶ ὁ ἱερεὺς τὸ Χριστὸς ὁ ἀληθινός, ἢ Ὁ ἀναστὰς ἐκ νεκρῶν... καὶ ἡμεῖς τὸ Αἰωνία σου ἡ μνήμη, ἀξιομακάριστε ὁ δεῖνα μοναχὲ καὶ ἀείμνηστε ἀδελφὲ ἡμῶν.

л. 199 об. Ἀκολουθία εἰς κοσμικοὺς κοιμηθέντας.

Εὐλογοῦντος τοῦ ἱερέως, ἀρχόμεθα τῶν ἀμώμων, μετὰ δὲ τὸν ἄμωμον εὐθὺς λέγει ὁ ψάλτης στίχον· Ἐγγισάτω ἡ δέησίς μου ἐνώπιόν σου, καὶ ἄρχονται τὰ τροπάρια ταῦτα· Οὐκ ἔστι τῶν ἐν τῷ βίῳ τερπνῶν οὐδέν... Στίχος· Εἰσέλθοι τὸ... Ἴασαι τὴν συντριβήν μου, Σῶτερ, σαυτὸν κενώσας ὁ ὕψιστος... Στίχος· Ἐξερεύξοντο τὰ χείλη μου... Καθεῖλας τὴν τοῦ θανάτου ὀφρὺν τῷ πάθει, ἀναμάρτητε... Στίχος· Φθέγξεται ἡ γλῶσσά μου τὸ λόγιόν σου... Ὁ μόνος τὰ τῶν ἀνθρώπων εἰδώς, Χριστέ... Ζήσεται ἡ ψυχή μου. Goar. p. 425 καὶ ταῦτα τὰ εὐλογητάρια· Τῶν ἁγίων ὁ χορὸς εὗρε πηγήν... κ. τ. λ. Ἀνάπαυσον, ὁ Θεός, τὸν δοῦλόν σου καὶ κατάταξον αὐτόν.. Δόξα, Τὸν ἄναρχον καὶ Υἱόν σου, Δέσποινα, καὶ Θεὸν ἡμῶν ἀπαύστως, ὃν ἔτεκες, ἐκδυσώπει, πάναγνε, τῆς ἐκ δεξιῶν σου παραστάσεως δειχθῆναι ἡμᾶς καὶ τρυφῆσαι αἰωνίου ἀπολαύσεως. Καὶ νῦν, Ἐμνήσθην τοῦ προφήτου βοῶντος· ἐγώ εἰμι γῆ καὶ σποδὸς καὶ πάλιν κατενόησα ἐν τοῖς μνήμασι, καὶ εἶδον τὰ ὀστᾶ τὰ γεγυμνωμένα, καὶ εἶπον· ἄρα τίς ἐστι βασιλεὺς ἢ πένης, ἢ δίκαιος, ἡ ἁμαρτωλός, ἀλλὰ ἀνάπαυσον, Σωτὴρ ἡμῶν, μετὰ δικαίων τὸν δοῦλόν σου. Καὶ ὁ ἱερεὺς τὴν ἐκτενὴν καὶ εὐθὺς ἀντίφωνον ἦχος πλ. β'. Ἐν τῷ οὐρανῷ τοὺς ὀφθαλμούς... Στίχος· Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς... Ἀλληλούια. Στίχος· Ἰδοὺ ὡς ὀφθαλμοὶ δούλου... Ἀλληλούια. Στίχος· Ὡς ὀφθαλμοὶ παιδίσκης εἰς χεῖρας τῆς κυρίας... Ἀλληλούια. Ἐλέησον ἡμᾶς τοὺς ἐξουθενημένους... Στίχος· Ἐλέησον ἡμᾶς, Κύριε... Ἀλληλούια. Στίχος· Ὅτι ἐπὶ πολὺ ἐπλήσθημεν... Ἀλληλούια. Στίχος· Ἐπὶ πλέον ἐπλήσθη ἡ ψυχὴ ἡμῶν... Ἀλληλούια. Ἁγίῳ Πνεύματι πανσωστικὴ αἰτία... Δόξα καὶ νῦν, Δέσποτα Χριστέ, ὅταν μετὰ φόβου παρίστανται... Καὶ οἱ

μακαρισμοί, ἦχος πλ. β'. Ἐν τῇ βασιλείᾳ σου. Goar. p. 430 καὶ εὐθὺς τὸ πχρὸν ἰδιόμελον· Δεῦτε καὶ θεάσασθε ἅπαντες ξένον θέαμα καὶ παράδοξον... Μετὰ τῶν ἁγίων ἀνάπαυσον, Χριστέ... Ὁ ἱερεύς· Πρόσχωμεν. Εἰρήνη πᾶσι. Σοφία. Τὸ προκείμενον τοῦ ἀποστόλου· Μακαρία ἡ ὁδός... Ἐπίστρεψον, ψυχή μου... Καὶ ὁ λαός· Ἡ ψυχὴ αὐτοῦ ἐν ἀγαθοῖς, ἐκ γ'. Πρὸς Κορινθίους πρώτης ἐπιστολῆς· Ἀδελφοί, Χριστὸς ἐγήγερται ἐκ νεκρῶν... Τέλος· ἵνα ἡ ὁ Θεὸς τὰ πάντα ἐν πᾶσιν. Ἀλληλούια, ψαλμὸς Δαβίδ, στίχος· Μακάριος, ὃν ἐξελέξω καὶ προσελάβου... Εὐαγγέλιον κατὰ Ἰωάννην Goar. p. 430 καὶ εὐθὺς ψάλλονται τὰ τελευταῖα τροπάρια, ἦχος β'. Δεῦτε τελευταῖον ἀσπασμόν... Ποῖος χωρισμός... Ἄρτι ἡ τοῦ βίου πονηρά... Πάντα τὰ τοῦ σώματός μου νῦν ὄργανα ἀργὰ θεωροῦνται... Μέγας ὁ κλαυθμὸς καὶ ὀδυρμός... Δεῦτε, οἱ ἀπόγονοι Ἀδάμ... θεοτοκίον· Χαῖρε πᾶσα κτίσις σοι βοᾷ... Εἶτα δοξάζουσιν εἰς ἦχον πλ. α'. καὶ ψάλλουσι τὸ παρὸν ἰδιόμελον μετὰ μέλους· Ὁρῶντές με ἄφωνον... Εἰ βούλεις, εἰπὲ τὸ παρὸν στιχηρόν· Ἐξέλιπον ἐκ τῆς συγγενείας μου... Καὶ νῦν, θεοτοκίον· Θεὸν ἐκ σοῦ σαρκωθέντα ἔγνωμεν, Θεοτόκε Παρθένε... Καὶ εὐθὺς Τρισάγιον καὶ τὰ τροπάρια ταῦτα· Μνήσθητι, Κύριε, ὡς ἀγαθός... Δόξα καὶ νῦν, Μήτηρ ἁγία ἡ τοῦ... Καὶ μνημονεύει ὁ ἱερεὺς τὸν κεκοιμημένον, καὶ οὕτω γίνεται ἀπόλυσις. Μετὰ δὲ τούτων πάντων, ἄραντες τὴν κλίνην, ἀπερχόμεθα ἐν τῷ μνήματι, ψάλλοντες ἡσύχως τὸ Ἅγιος ὁ Θεός, κἀκεῖσε φθάσαντες ψάλλομεν· Μετὰ πνευμάτων δικαίων καὶ τὰ ὅμοια. Ὅταν δὲ βάλλωσι τὸ λείψανον ἐν τῷ τάφῳ, λέγει ὁ ἱερεὺς τὸ τροπάριον τοῦτο· Γῆ χανοῦσα, ὑπόδεξαι τὸν ἀπὸ σοῦ... Καὶ λαβὼν ὁ ἱερεὺς μίαν τῶν κρεμαμένων κανδηλῶν, ἐπιχέει ἐπάνω τοῦ λειψάνου τὸ ἔλαιον σταυροειδῶς, λέγων· Ῥαντιεῖς με ὑσσώπῳ... καὶ λέγει ψαλμὸν μέχρι τέλους. Λαβὼν δὲ καὶ δίκελλαν, ὁ ἱερεὺς ποιεῖ ἐν τῷ μνήματι σταυρόν, λέγων· Τοῦ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα... Εἶτα μνημονεύει ὁ ἱερεύς· Ἐλέησον ἡμᾶς, εἶτα ἕτερα τούτων καὶ τὴν εὐχήν· Ὁ Θεὸς τῶν πνευμάτων καὶ ποιεῖ τελείαν ἀπόλυσιν.

л. 209. Ἀκολουθία, ψαλλομένη εἰς ἱερεῖς.

Μετὰ τὸν ἄμωμον εὐθὺς ἄρχονται ταῦτα τὰ εὐλογητάρια. Goar. p. 425. Καὶ εὐθὺς μνημονεύει, εἶτα ἀντίφωνον α'. ἦχος πλ. β'. ἐνταῦθα ἄρχονται ψάλλειν ἀλληλουάρια κατὰ στίχον, εἰς τὸν αὐτὸν στίχον (т. е. поются антифоны 6 гласа: первыя три съ припѣвами и Аллилуія, что выше въ чинѣ мірского погребенія) καὶ εὐθύς· Ἔτι καὶ ἔτι, τὴν ἐκτενήν, εἶτα ἄρχεται ὁ ψάλτης τοῦ ἑτέρου χοροῦ, λέγων οὕτως· ἀντίφωνον β'. ἦχος πλ. δ'. Εἰ μὴ Κύριος ἦν ἐν ἡμῖν... δίς, Στίχος· Εἰ μὴ ὅτι Κύριος ἦν... Ἀλληλούια, Στίχος· Εἰπάτω δὴ Ἰσραήλ... Ἀλληλούια,

Στίχος· Ἐν τῷ ἐπαναστῆναι ἀνθρώπους... Ἀλληλούια, Στίχος· Ἐν τῷ ὀργισθῆναι τὸν θυμὸν αὐτοῦ... Ἀλληλούια... Τοῖς ὀδοῦσιν αὐτῶν μή μου ληφθήτω ἡ ψυχή... δίς, Στίχος· Εὐλογητὸς Κύριος, ὃς οὐκ ἔδωκε... Ἀλληλούια, Στίχος· Ἡ ψυχὴ ἡμῶν, ὡς στρουθίον ἐῤῥύσθη... Ἀλληλούια, Στίχος· Ἡ παγὶς συνετρίβη καὶ ἡμεῖς... Ἀλληλούια, Στίχος· Ἡ βοήθεια ἡμῶν ἐν ὀνόματι Κυρίου... Ἀλληλούια, Τριαδικόν· Ἁγίῳ Πνεύματι ἐνθέωσις τοῖς πᾶσιν, εὐδοκία, σύνεσις... δίς, Δόξα, Ἀλληλούια, Καὶ νῦν, Ἀλληλούια, καὶ εὐθὺς τὸ παρὸν στιχηρόν· Δεῦτε καὶ θεάσασθε ἅπαντες ξένον καὶ φρικτὸν θέαμα τοῖς πᾶσι γνωριζόμενον... δίς, εἶθ' οὕτως ὁ ἱερεύς· Ἔτι καὶ ἔτι, τὴν συναπτήν, καὶ εὐθὺς ἄρχεται ὁ τοῦ ἑτέρου χοροῦ ψάλτης, λέγων οὕτως· Οἱ πεποιθότες ἐπὶ Κύριον... δίς, Στίχος· Μακάριοι πάντες οἱ φοβούμενοι... Ἀλληλούια, Στίχος· Οἱ πορευόμενοι ἐν ταῖς ὁδοῖς.... Ἀλληλούια, Στίχος· Τοὺς πόνους τῶν καρπῶν σου... Ἀλληλούια, Στίχος· Μακάριος εἶ, καὶ καλῶς σοι... Ἀλληλούια. Ἐν ἀνομίαις χεῖρας αὐτῶν ὁ τῶν δικαίων κλῆρος... δίς, Στίχος· Οἱ υἱοί σου, ὡς νεόφυτα... Ἀλληλούια, Στίχος· Εὐλογήσαι σε Κύριος ἐκ Σιών... Ἀλληλούια, Στίχος· Καὶ ἴδοις τὰ ἀγαθὰ Ἱερουσαλήμ... Ἀλληλούια, Ἁγίῳ Πνεύματι τὸ κράτος ἐπὶ πάντων... Δόξα, Ἀλληλούια, Καὶ νῦν, Ἀλληλούια, εἶτα τὸ παρὸν στιχηρόν· Δέσποτα Χριστέ, ὅταν μετὰ φόβου παρίστανται τῶν ἀγγέλων αἱ δυνάμεις... δίς, καὶ εὐθὺς οἱ μακαρισμοί, ἦχος πλ. β'. Ἐν τῇ βασιλείᾳ σου... κ. τ. λ. Μακάριοι οἱ ἐλεήμονες... Τὸ ἄχραντόν σου σῶμά τε καὶ τὸ αἷμα ἱερουργῶν ὁ οἰκέτης σου... δίς, Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ... Μακάριοι οἱ εἰρηνοποιοί... Σὲ τὸν ἀμνὸν τὸν ἄμωμόν τε καὶ θεῖον... δίς, Μακάριοι οἱ δεδιωγμένοι... Μακάριοι ἐστὲ ὅταν ὀνειδίσωσιν... Τῶν θείων μυστηρίων ὑπηρέτης ἀναδειχθεὶς ὁ οἰκέτης σου... δίς, Χαίρετε καὶ ἀγαλλιᾶσθε... Δόξα, Ἀνάρχῳ καὶ γεννήσει τε καὶ προόδῳ Πατέρα προσκυνῶ τὸν γεννήσαντα... Καὶ νῦν, Πῶς ἐκ μαζῶν σου γάλα βρύεις, Παρθένε... κοντάκιον· Μετὰ τῶν ἁγίων ἀνάπαυσον, Χριστέ... Προκείμενον τοῦ ἀποστόλου· Μακαρία ἡ ὁδός... Στίχος· Ἐπίστρεψον, ψυχή μου... Καὶ ὁ λαός· Ἡ ψυχὴ αὐτοῦ ἐν ἀγαθοῖς, ἐκ τρίτου τὸ αὐτό... Πρὸς Κορινθίους ἐπιστολῆς Παύλου· Ἀδελφοί, ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς χοϊκός... Τέλος· διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἀλληλουάριον· Μακάριος, ὃν ἐξελέξω. Εὐαγγέλιον κατὰ Ἰωάννην. Goar. p. 430 καὶ εὐθύς· Δεῦτε τελευταῖον ἀσπασμόν... Ποῖος χωρισμός... Μέγας ὁ κλαυθμός... Δεῦτε, οἱ ἀπόγονοι Ἀδάμ... Ἄρτι ἡ τοῦ βίου πονηρά... Εἶτα δοξάζουσιν εἰς ἦχον πλ. β'. καὶ ψάλλουσι τὸ παρὸν ἰδιόμελον μετα μέλους· Ἀδελφοὶ πνευματικοὶ καὶ συλλειτουργοί μου, μή μου ἐπιλάθησθε... Καὶ νῦν, Θεὸν ἐκ σοῦ σαρκωθέντα ἔγνωμεν, Θεοτόκε Παρθένε... Εἶτα τὰ λοιπὰ καθεξῆς συνήθως, καὶ οὕτω γένεται τελεία ἀπόλυσις.

л. 261. Ἀκολουθία εἰς μνημόσυνα νεκρῶν.

Первый канонъ см. у Гоара pag. 426, а другой ἦχος πλ. δ'. Θανάτῳ τὸν θάνατον τοῦ Χριστοῦ καὶ πάθεσι πάθος μιμησάμενοι.. Νεότητος πταίσματα παρορῶν καὶ τὰς ἁμαρτίας ὑπερβαίνων.. Ἧς ἔτυχον δόξης τε καὶ χαρᾶς... θεοτοκίον· Συνέλαβε λόγον τὸν τοῦ Θεοῦ...

**LV**. № 9 Сборникъ литургій, рукопись библ. Аѳоно-Пантелеимоновскаго русскаго монастыря писана на пергаменѣ четкою скорописью 1409 года, какъ это видно изъ приписки въ концѣ рукописи: Θεοῦ τὸ δῶρον, Θεοῦ πόνος Ἀντωνίου. Ἔτους ,ςϡιζ'. ἰνδικτ. β'. μηνὶ Φεβρουαρίῳ α'. Въ началѣ и въ концѣ рукописи имѣется много позднѣйшихъ приписокъ, изъ которыхъ нѣкоторыя не лишены интереса, напр., Τῷ ,ςϡιζ'. ἐκοιμήθη εἰς Θεσσαλονίκην Ἰωάννης ὁ β'. μετονομασθεὶς Ἰωάσαφ. Τούτῳ τῷ ἔτει κατηγορήθη Ματθαῖος ὁ πατριάρχης εἰς τὴν ἁγίαν Σοφίαν λειτουργεῖσαι καὶ τῷ ,ςϡιθ'. ἀπέθανεν. Δοσιθ. Ἱστορία περὶ τῶν ἐν Ἱεροσολύμοις πατριαρχευσάντων, σελίδ. 87 и другая приписка: Τῷ δὲ καιρῷ τῇ εἰκοστῇ τρίτῃ τοῦ Μαρτίου μηνὸς τοῦ ,ςϡνη'. ἔτους τέθνηκεν ἡ ἐν μακαρίᾳ τῇ λήξει ἀοίδιμος Εἰρήνη, ἡ διὰ τοῦ θείου καὶ ἀγγελικοῦ σχήματος Ὑπομονὴ μοναχὴ μετονομασθεῖσα, καὶ ἐτάφη εἰς τὴν μονὴν τοῦ Παντοκράτορος, πλησίον τοῦ μακαρίτου καὶ ἀοιδίμου βασιλέως τοῦ συζύγου αὐτῆς. Въ рукописи имѣются двѣ миньятюры и нѣсколько виньетокъ весьма неискусной работы.

л. 2. Ἡ θεία λειτουργία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου τοῦ Μεγάλου.

л. 28. Ἡ θεία λειτουργία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου. Чинъ состоитъ изъ молитвъ.

л. 44 об. Εὐχὴ τῆς προθέσεως.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ὑποδείξας ἡμῖν τὸ μέγα τοῦτο τῆς σωτηρίας μυστήριον, Σὺ ἱκάνωσον ἡμᾶς προσφέρειν σοι θυσίαν ἀναίμακτον, θυσίαν προηγιασμένην εἰς δόξαν καὶ αἶνον τοῦ Χριστοῦ σου. Ὅτι ηὐλόγηται καὶ δεδόξασται τὸ πανάγιον ὄνομά σου τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος νῦν καὶ ἀεί.

л. 44 об. Ἡ θεία λειτουργία τῶν προηγιασμένων.

**LVI**. № 968 Εὐχολόγιον, рукопись Синайской библіотеки въ 16 долю на великолѣпномъ пергаменѣ писана скорописью четкою и прекрасною 1426 года. Время написанія рукописи опредѣляется приписками въ концѣ ея, изъ коихъ одна 1426 г. напечатана у Кондакова

„Путеш. на Синай въ 1881 г." Одесса 1882. стр. 115 и Gardthaus. Catal. Codic. graec. Sinait. p. 207. а вторая 1429 г. въ печати не извѣстна еще и читается такъ: Τοῦτο τὸ Εὐχολόγιον ἐγένετο διὰ τὴν μεγάλην ἐκκλησίαν τοῦ ἁγίου προφήτου μεγάλου Μωϋσέως καὶ τῆς ἐνδόξου μεγαλομάρτυρος Αἰκατερίνης διὰ ἐξόδου καὶ κόπου τοῦ ἐν μακαρίᾳ τῇ μνήμῃ γενομένου ἀειμνήστου δούλου τοῦ Θεοῦ Μωϋσέως ἱεροδιακόνου, ποτὲ οἰκονόμου ἐν τῇ νήσῳ Κρήτῃ, ὅστις δὲ ὑστερήσει αὐτὸ τῆς ἁγίας μονῆς, νὰ ἔχῃ τὴν ἀρὰν τῶν ἑπτὰ συνόδων καὶ τοῦ ἁγίου Μωϋσέως κατάδικον. Ἐγράφη μὲ τὸ θέλημα τοῦ ἐπισκόπου ἁγιωτάτου Σάββα εἰς χιλίους τετρακοσίους εἴκοσι ἐννέα μηνὶ Μαρτίῳ η΄. ἔτους δὲ ἀρχῆς κόσμου ἑξακισχιλιοστῷ ἐνακοσιοστῷ τριακοστῷ ἑβδόμῳ. Листовъ въ рукописи 488.

л. 1. Ἡ θεία λειτουργία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου, ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου.

Начинается литургія молитвою: εὐχὴ τῆς προθέσεως· Ὁ Θεὸς ὁ Θεὸς ἡμῶν, ὁ τὸν οὐράνιον ἄρτον..., послѣ которой замѣчено: Καὶ λαμβάνει ὁ ἱερεὺς ἐπὶ χεῖρας τὸ κοντάκιον, καὶ ποιεῖ μετανοίας γ΄. ἔμπροσθεν τῆς ἁγίας τραπέζης, λέγει καθ' ἑαυτὸν Δόξα ἐν ὑψίστοις, δίς, Κύριε, τὰ χείλη μου ἄνοιξον, ἅπαξ, εἶτα ἀσπάζεται τὸ ἅγιον εὐαγγέλιον καὶ τὴν ἁγίαν τράπεζαν, καὶ λέγει ὁ διάκονος· Εὐλόγησον, δέσποτα, καὶ ὁ ἱερεὺς ἐκφωνεῖ· Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρός...

л. 22. Ἡ θεία λειτουργία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου. Листы перемѣшаны.

л. 56. Ἡ θεία λειτουργία τῶν προηγιασμένων.

л. 60. Εἰς τὸ λυχνικόν, λεγομένου συνήθως τοῦ προοιμιακοῦ ψαλμοῦ, ὁ ἱερεὺς ποιεῖ καὶ αὐτὸς τὰς συνήθεις εὐχὰς τοῦ λυχνικοῦ, εἶτα τὴν συναπτὴν καὶ τὴν ἐκφώνησιν, καὶ εὐθὺς στιχολογοῦνται τὰ Πρὸς Κύριον. Γινομένων καὶ τῶν μετανοιῶν εἰς τὸ Ἀλληλούια· ἐν ἑκάστῳ δὲ ἀντιφώνῳ συναπτὴ μικρὰ καὶ ἐκφώνησις. Ὅτε δὲ ἀρξώμεθα τῆς εἰρημένης στιχολογίας, ἀπέρχεται ὁ ἱερεὺς ἐν τῇ ἁγίᾳ προθέσει καί, λαβὼν τὸν προηγιασμένον ἄρτον μετ' εὐλαβείας πολλῆς, τίθησιν ἐν τῷ δίσκῳ· βαλὼν δὲ καὶ εἰς τὸ ἅγιον ποτήριον οἶνον συνήθως καὶ ὕδωρ, θυμιάσας αὐτὰ καὶ περικαλύψας ἀπέρχεται· οὐ μέντοι λέγει τῶν συνήθων ἐν τῇ προθέσει ἢ εὐχὴν προθέσεως, ἐὰν καὶ ἔν τισιν εὕρηται προθέσεως εὐχή, ἀλλ' ἢ μόνον τὸ Δι' εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν... ἢ Κύριε Ἰησοῦ Υἱὲ τοῦ Θεοῦ, ἐλέησόν με τὸν ἁμαρτωλόν· προηγιασμένη γὰρ ἐστὶ καὶ τελειωμένη αὕτη ἡ θυσία. Εἰς τὸ Κύριε ἐκέκραξα θυμιᾷ ὁ ἱερεύς, ὡς ἔθος, εἴσοδος μετὰ τοῦ θυμιατοῦ καὶ μανουαλίου καὶ ἡ εὐχὴ τῆς εἰσόδου τοῦ λυχνικοῦ, Σοφία, ὀρθοί, τὸ Φῶς ἱλαρόν. Ὁ διάκονος· Πρόσχωμεν. Ὁ ἱε-

ρεύς· Εἰρήνη πᾶσιν. Ὁ διάκονος· Σοφία. Ὁ ἀναγνώστης τὸ προκείμενον τῆς προφητείας, καὶ ἀναγινώσκεται ἡ Γένεσις, εἶτα τὸ β′. προκείμενον, καὶ μετὰ τοῦτο ἀνίσταται ὁ ἱερεύς, ἐκφωνοῦντος τοῦ διακόνου τὸ Κελεύσατε. Λαβὼν οὖν ὁ ἱερεὺς ἐν τῇ δεξιᾷ αὐτοῦ χειρὶ θυμιατὸν καὶ μανουάλιον μετὰ κηροῦ ἵσταται κατενώπιον τῆς ἁγίας τραπέζης καὶ σφραγίζων σταυροειδῶς, λέγει· Σοφία, ὀρθοί. Φῶς Χριστοῦ φαίνει πᾶσι. Καὶ ἀναγινώσκεται ἡ Παροιμία, εἶτα ὁ ἱερεύς· Εἰρήνη σοι, Σοφία, καὶ ὁ ψάλτης τὸ Κατευθυνθήτω καὶ ἐκτενής. Ἰστέον, ὅτι ἀπὸ τῆς τετράδης τῆς μεσονηστίμου μέχρι καὶ τῆς μεγάλης τετράδης προτίθεται καὶ τὰ τῶν διπλοκατηχουμένων διακονικὰ σὺν τῇ εὐχῇ, καὶ ὀφείλει, ἅμα τῷ εἰπεῖν τὸ Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξάζωσιν, ἄρξασθαι οὕτως· Ὅσοι κατηχούμενοι προέλθετε καὶ τὰ λοιπά. Οὐ λέγεται δὲ εὐχὴ χερουβικοῦ. Μετὰ δὲ τὴν εὐχήν· Πρόσχες, Κύριε Ἰησοῦ Χριστέ, ἔτι κεκαλυμμένων ὄντων τῶν θείων δώρων μετὰ τῆς προσφορᾶς, ἤτοι τοῦ ἀέρος, βαλὼν ὁ ἱερεὺς τὴν χεῖρα ἅπτεται τοῦ ζωοποιοῦ ἄρτου μετ' εὐλαβείας καὶ φόβου πολλοῦ καὶ ἐκφωνεῖ· Πρόσχωμεν. Τὰ προηγιασμένα ἅγια. Οὐ γὰρ ὑψοῖ ἀρτίως τὰ ἅγια, εἶτα ἀνακαλύψας αὐτὰ ἐκπληροῖ τὴν μετάληψιν, μελίσας τὸν ἅγιον ἄρτον.

л. 62. Εὐχαὶ τοῦ λυχνικοῦ.

**Молитвъ 10. Первыя четыре, что у Гоара р. 28—29, пятая:** Εὐλογητὸς εἶ, Κύριε ὁ Θεὸς παντοκράτωρ, ὁ ἐπιστάμενος τὸν νοῦν Goar. p. 35 not., **шестая и седьмая, что у Гоара пятая и шестая р. 29, восьмая:** Ἑσπέρας καὶ πρωῒ καὶ μεσημβρίας... p. 31, **девятая:** Εὐλογητὸς εἶ, Κύριε Δέσποτα παντοκράτωρ, ὁ φωτίσας τὴν ἡμέραν τῷ φωτὶ τῷ ἡλιακῷ Goar. p. 35, **десятая:** Ὁ Θεὸς ὁ μέγας καὶ ὕψιστος... p. 29 **и послѣднею молитвою стоитъ:** Κύριε ὁ Θεὸς ἡμῶν, ὁ κλίνας οὐρανοὺς καὶ καταβὰς ἐπὶ σωτηρίᾳ... p. 32.

л. 67. Εὐχαὶ ἑωθιναί.

**Первыя восемь, что у Гоара** pag. 39—41, **на девятомъ мѣстѣ стоитъ десятая, на десятомъ одинадцая, на одинадцатомъ—двѣнадцатая. Послѣдняя молитва:** Κύριε, ἅγιε, ὁ ἐν ὑψηλοῖς κατοικῶν... Goar. p. 44.

л. 73 об. Ἀκολουθία εἰς λοχοῦσαν.

*Ποιεῖ ὁ ἱερεὺς εὐλογητόν, τὸ Τρισάγιον, τὸ Παναγία Τριάς, τὸ Πάτερ ἡμῶν, ὁ ἱερεὺς Ὅτι σοῦ ἐστίν, ἀπολυτίκιον τὸ παρὸν εἰς ἦχον δ′. εἰ βούλει, εἰ δ' οὖν τῆς ἡμέρας,* Ἡ γέννησίς σου, Χριστὲ ὁ Θεὸς ἡμῶν, *ἕτερον ὅμοιον·* Ἡ γέννησίς σου, Θεοτόκε Παρθένε, *εἶτα ὁ ἱερεύς·* Τοῦ Κυρίου δεηθῶμεν, Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ πάντα ἐν σοφίᾳ τῷ λόγῳ σου δημιουργήσας καὶ ἐκ μὴ ὄντων εἰς τὸ εἶναι παραγαγών, ὁ δια-

σώσας τὴν δούλην σου ἐκ τῆς συνεχούσης τεκνογονίας, ἔπιδε ἐπ' αὐτῆς, καὶ τὸ ἐξ αὐτῆς γεννηθὲν παιδίον εὐλόγησον καὶ τοὺς ἐν τῷ οἴκῳ τούτῳ ἀσπίλους αὐτοὺς διατήρησον. Ἐκφώνως· Ὅτι εὐλόγηται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ... Ἑτέρα εὐχή. Τοῦ Κυρίου δεηθῶμεν. Ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, ὁ τὸν ἄνθρωπον πλάσας ἰδίαις χερσί... Дмитріевскій. Прилож. стр. 4—5. Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις... Ἑτέρα εὐχή, λεγομένη ἐπὶ τὴν μαίαν· Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τῷ ἐνυποστάτῳ σου λόγῳ Goar. p. 263. Αὗται αἱ εὐχαὶ λέγονται εἰς γέννησιν, εἰ ζῇ τὸ βρέφος, εἰ δ' οὔ, εἰπὲ τὰς εἰς ἀπόβαλσιν γεγραμμένας. Τοῦ Κυρίου δεηθῶμεν. Κύριε Σαβαὼθ ὁ Θεὸς τοῦ Ἰσραήλ, ὁ ἰώμενος πᾶσαν νόσον. Прилож. стр. 1 Ἑτέρα εὐχή. Τοῦ Κυρίου δεηθῶμεν. Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ πᾶσαν φύσιν λογικὴν τῷ λόγῳ σου δημιουργήσας... Goar. p. 367 καθάρισον ἀπὸ πάσης ἁμαρτίας καὶ παντὸς ῥύπου ἁμαρτημάτων, ἐλευθέρωσον αὐτὴν προσερχομένην τῇ ἁγίᾳ σου ἐκκλησίᾳ καὶ συναρίθμησον τῇ ἁγίᾳ σου ποίμνῃ καὶ τοῦ μονογενοῦς σου Υἱοῦ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι νῦν καὶ ἀεί.

л. 76 об. Ἑτέρα ἀκολουθία εἰς τὸ κατασφραγίσαι παιδίον, λαμβάνον ὄνομα τῇ ὀγδόῃ ἡμέρᾳ τῆς αὐτοῦ γεννήσεως.

Ἰστέον, ὅτι τῇ η'. ἡμέρᾳ προσάγεται τῷ ναῷ παρὰ τῆς μαίας τὸ βρέφος ἐπὶ τὸ λαβεῖν ὄνομα. Ἑστώσης δὲ τῆς μαίας ἔξωθεν τοῦ ναοῦ, κρατούσης τὸ βρέφος ἐπὶ χεῖρας, ποιεῖ ὁ ἱερεὺς εὐλογητόν, λέγων τὸ Τρισάγιον, τὸ Παναγία Τριάς, τὸ Πάτερ ἡμῶν, Ὅτι σοῦ ἐστὶν ἡ βασιλεία, τὸ ἀπολυτίκιον τῆς ἡμέρας, εἶθ' οὕτως, εἰσελθὼν ἡ μαία μετὰ τοῦ βρέφους, ἵσταται ἔμπροσθεν τῆς θύρας τοῦ ναοῦ, ὁ δὲ ἱερεὺς ἐμφυσᾷ εἰς τὸ πρόσωπον μετὰ τοῦ βρέφους ἕως τοῦ στήθους σταυροειδῶς τρίς, ὁμοίως καὶ κατασφραγίζει σταυροειδῶς μετὰ τῆς χειρὸς τρίς, εἶτα λέγει τὴν εὐχὴν ταύτην. Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, σοῦ δεόμεθα καὶ σὲ ἱκετεύομεν... Goar. p. 264. Αὕτη λέγεται, ζῶντος τοῦ βρέφους, εἰ δ' οὔ, λέγεται ἡ παροῦσα. Τοῦ Κυρίου δεηθῶμεν. Δέσποτα Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν, ὁ ἀληθινὸς ἄρτος τῆς ζωῆς ἡμῶν... Goar. p. 264, но съ небольшею слѣдующею передѣлкою: καθάρισον ἐκ τοῦ ἀπελθόντος ἐξ αὐτῆς σωματικοῦ μολυσμοῦ διὰ τῆς ὀκταημέρου καθάρσεως, καὶ εὐλόγησον αὐτὴν καὶ τὴν ζύμην αὐτῆς, καὶ πάντα τὰ ἔργα τῶν χειρῶν αὐτῆς. καὶ γίνεται ἀπόλυσις. Δεῖ δὲ γινώσκειν, ὅτι τὸ γεννηθὲν βρέφος, ἐὰν ἄρα ἀσθενῇ... Goar. p. 265.

л. 78. Ἑτέρα ἀκολουθία εἰς τὸ σαραντῆσαι παιδίον μετὰ τῆς μητρός. Τῇ δὲ τεσσαρακοστῇ ἡμέρᾳ πάλιν προσάγεται ἐν τῷ ναῷ τὸ βρέφος παρὰ τῆς μητρός, ἤδη κεκαθαρμένης καὶ λελουμένης οὔσης, παρόντος καὶ τοῦ μέλλοντος ἀναδέχεσθαι τοῦτο κατὰ τὸ βάπτισμα· ἱσταμένης δὲ τῆς μητρὸς μετὰ τοῦ παιδίου ἔξωθεν τῆς θύρας τοῦ ναοῦ, βαλὼν ὁ ἱερεὺς πετραχήλιον ἢ φελώνιον ποιεῖ εὐλογητόν, καὶ ἄρχεται τοῦ Τρισαγίου, εἶτα τὸ Παναγία Τριάς, τὸ Πάτερ ἡμῶν, Ὅτι σοῦ ἐστίν, τὸ ἀπολυτίκιον τῆς ἡμέρας, εἰ βούλει, καὶ τὸ παρόν· Χαῖρε, κεχαριτωμένη Θεοτόκε Παρθένε, Τῇ πρεσβείᾳ, Κύριε, πάντων τῶν ἁγίων... Εἶθ' οὕτως ἵσταται ἡ μήτηρ μετὰ τοῦ παιδίου, ἔχουσα ἐν ταῖς ἰδίαις ἀγκάλαις αὐτὸ καί, κλινούσης τὴν κεφαλὴν ἅμα τῷ βρέφει πρὸ τῶν πυλῶν τοῦ ναοῦ, καὶ τὴν τοῦ τιμίου σταυροῦ σφραγῖδα ποιῶν ὁ ἱερεύς, ἁπτόμενός τε τῆς κεφαλῆς αὐτῆς, λέγει· Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, σοῦ δεόμεθα καὶ σὲ παρακαλοῦμεν καὶ ἱκετεύομεν τὸν Πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ πᾶσαν λογικήν τε καὶ ἄλογον φύσιν Goar. p. 267. Εὐχὴ ἑτέρα· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ παραγενόμενος ἐπὶ σωτηρίᾳ... p. 267 ἐν τῇ συμπληρώσει τῶν τεσσαράκοντα ἡμερῶν, καὶ ποίησον αὐτὴν ἀξίαν γενέσθαι τῆς μεταλήψεως τοῦ τιμίου σώματός σου καὶ αἵματος. Ἐκφώνως· Ὅτι ἡγίασται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ... Αὗται αἱ εὐχαὶ λέγονται καὶ μόνον ἐπὶ τὴν μητέρα, εἰ οὐχ εὑρίσκεται τὸ βρέφος, καί, γενομένης ἀπολύσεως, εἰσέρχεται εἰς τὸν οἶκον αὐτῆς· εἰ δὲ ζῇ τὸ βρέφος, μετὰ τὸ εἰπεῖν τὰς προγραφείσας εὐχάς, ὀφείλει ποιῆσαι οὕτως· ἐμφυσῆσαι εἰς τὸ πρόσωπον αὐτοῦ σταυροειδῶς τρὶς καὶ σφραγίσαι τῇ χειρὶ γ'. εἶτα ἄρξασθαι οὕτως. Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν τεσσαράκοντα ἡμέραις τοῦ νόμου εἰς τὸ ἱερὸν ἀνελθών... Прилож. стр. 19. Καὶ μετὰ τὴν εὐχὴν εἰσέρχονται ἐν τῷ ναῷ, καὶ λαμβάνει ὁ ἱερεὺς τὸ παιδίον ἐπὶ χεῖρας καί, εἰ μὲν ἐστὶ ἄρρεν, κυκλοῖ αὐτὸ τρὶς γύρωθεν τῆς ἁγίας τραπέζης, σχηματίζων αὐτὸ εἰς τὰ τέσσαρα μέρη, ὡς προσκυνοῦν, εἰ δὲ ἐστὶ θῆλυ, ποιεῖ οὕτως ἔξω τῶν ἁγίων θυρῶν εἰς τὰς ἁγίας εἰκόνας, λέγων· Νῦν ἀπολύεις... ἕως τοῦ· Φῶς εἰς ἀποκάλυψιν, εἶτα τίθησιν ὁ ἱερεὺς τὸ παιδίον ἔμπροσθεν τῶν ἁγίων θυρῶν, λέγων· Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν τεσσαράκοντα ἡμέραις, ὡς βρέφος τῷ νομικῷ ναῷ προσαχθείς... Goar. pag. 267. Καὶ μετὰ τὸ Ἀμὴν σφραγίζει ὁ ἱερεὺς τὸ μέτωπον τοῦ παιδίου καὶ τὸ στόμα καὶ τὸ στῆθος, λέγων· Τὸ παιδίον ηὔξανε καὶ ἐκραταιοῦτο Πνεύματι, καὶ χεὶρ Κυρίου ἔστω μετ' αὐτοῦ. Ἀμήν, καὶ εὐθὺς γίνεται ἀπόλυσις οὕτως· Ὁ ἐν ἀγκάλαις τοῦ δικαίου Συμεὼν βασταχθῆναι καταδεξάμενος Χριστὸς ἀληθινὸς Θεὸς ἡμῶν

πρεσβείαις τῆς παναχράντου αὐτοῦ Μητρὸς καὶ πάντων τῶν ἁγίων ἐλεῆσαι καὶ σῶσαι. Καὶ οὕτως ὁ ἀνάδοχος λαμβάνει αὐτὸ καὶ ἐξέρχεται.

л. 81 об. Ἀκολουθία εἰς τὸ ποιῆσαι κατηχούμενον, ἤγουν βαπτίσαι.

Λύει ὁ ἱερεὺς τὴν ζώνην... καὶ ἵστησιν αὐτὸν κατὰ ἀνατολὰς μετὰ τοῦ ἀναδόχου, μονοχίτωνα... καὶ σφραγίζει αὐτοῦ τὸ μέτωπον ἕως τοῦ στήθους ἐκ τρίτου, οἷον ἐμφυσᾷ ἀπὸ τὸ μέτωπον ἕως τοῦ στήθους γ'. ποιῶν καὶ σταυροὺς γ'. μετὰ τῆς χειρός, εἶτα λέγει ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν, καὶ ὁ ἱερεὺς τὴν εὐχήν· Ἐπὶ τῷ ὀνόματί σου... Слич. Прил. стр. 20. Δεῖ εἰδέναι, ὅτι πρὸς ἀνατολὰς βλέπων ὁ ἱερεύς, λέγων τὰς εὐχάς, καὶ στραφεὶς ἐμφυσᾷ εἰς τὸ πρόσωπον αὐτοῦ γ'. καὶ σφραγίζει αὐτὸ γ'. ἀπὸ τοῦ μετώπου ἕως τοῦ στήθους, λέγων οὕτως· Ἐξέλασον ἀπ' αὐτοῦ πᾶν πονηρόν... λέγει ἐκ γ'. εἶτα ἄρξου· Πνεῦμα πλάνης, πνεῦμα πονηρίας и т. д. Καὶ μετὰ τὸ Ἀμὴν ἀποστρέφει ὁ ἱερεὺς πρὸς δυσμὰς τὸν βαπτιζόμενον, ἄνω τὰς χεῖρας ἔχοντα, καὶ λέγει τρίς, ἀποκρινομένου τοῦ βαπτιζομένου τὰ ὅμοια, ἢ τοῦ ἀναδεχομένου, κἂν ᾖ βάρβαρος ὁ βαπτιζόμενος, ἢ παιδίον. Ὁ ἱερεὺς ἄρχεται, λέγων τρίς· Ἀποτάσσομαι τῷ σατανᾷ.

Καὶ πᾶσι τοῖς ἔργοις αὐτοῦ.

Καὶ πάσῃ τῇ λατρείᾳ αὐτοῦ.

Καὶ πᾶσι τοῖς ἀγγέλοις αὐτοῦ.

Καὶ πάσῃ τῇ πομπῇ αὐτοῦ.

Καὶ ἀποκρίνεται ὁ κατηχούμενος πρὸς ἕνα ἕκαστον τούτων, ἢ ὁ ἀνάδοχος αὐτοῦ. Καὶ μετὰ ταῦτα ὁ ἱερεὺς ἐρωτᾷ αὐτόν· Ἀπετάξω τῷ σατανᾷ; Καὶ ὁ μέλλων βαπτίζεσθαι λέγει, ἀποκρίνεται· Ναί, ἀπεταξάμην. Καὶ ὅτε εἴπῃ τοῦτο τρίς, λέγει ὁ ἱερεύς· Καὶ ἔμπτυσον αὐτῷ. Καὶ στραφεὶς ὁ ἱερεὺς πρὸς δυσμὰς ἐν τῷ ἀριστερῷ μέρει μετὰ τοῦ βαπτιζομένου, οἷον καὶ τοῦ ἀναδόχου, ἐμπτύουσιν αὐτῷ ἅμα, οἷον τῷ σατανᾷ, κάτω βλέποντες ἐπὶ τῆς γῆς, καὶ τοῦτο ποιοῦντος, ἱστᾷ πάλιν αὐτὸν κατὰ ἀνατολάς, δεδεμένον φόβῳ τὰς χεῖρας, καὶ λέγονται ἐκ τρίτου· Καὶ συντάσσομαι τῷ Χριστῷ, γ'. καὶ Πιστεύω εἰς ἕνα Θεόν, γ'. Καὶ ὅτε πληρώσει ἐκ τρίτου τὸ ἅγιον σύμβολον ὁ μέλλων βαπτίζεσθαι, ἐρωτᾶται παρὰ τοῦ ἱερέως· Συνετάξω τῷ Χριστῷ; Καὶ ἀποκρίνεται· Συνεταξάμην. Καὶ γίνεται ἡ ἐρώτησις καὶ ἀπόκρισις ἐκ γ'., εἶτα λέγει ὁ ἱερεύς· Προσκύνησον αὐτῷ. Προσκυνῶ Πατέρα Υἱὸν καὶ ἅγιον Πνεῦμα, Τριάδα ὁμοούσιον καὶ ἀχώριστον. Μετὰ δὲ τὸ προσκυνῆσαι τῷ Κυρίῳ τὸν μέλλοντα βαπτίζεσθαι, ὁ ἱερεὺς λέγει· Τοῦ Κυρίου δεηθῶμεν. Δέσποτα ὁ Θεός, προσκάλεσαι τὸν δοῦλόν σου ὁ δεῖνα... Goar. p. 281. Εὐδοκίᾳ καὶ χάριτι τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι... Τότε ἀπέρχεται ὁ ἱερεὺς μετὰ τοῦ θυμιατοῦ εἰς τὴν κολυμ-

βήθραν καί, θυμιῶν αὐτὴν σταυροειδῶς, λέγων· Ἐν εἰρήνῃ. Порядокъ прошеній, что въ ркп. М. Син. библ. № 473. Прил. стр. 12, прим. Εἰρήνη πᾶσιν. Εὔσπλαγχνος καὶ ἐλεήμων Θεός... Goar. p. 288. Καθ' ἑαυτὸν δὲ λέγεται καὶ τὴν ἐκφώνησιν καὶ τὸ Ἀμήν, εἶτα ἐκφώνως· Μέγας εἶ, Κύριε, καὶ θαυμαστὰ τὰ ἔργα... pag. 288. Καὶ ποιεῖ σταυρὸν ἔσω εἰς τὴν κολυμβήθραν καὶ εὐλογεῖ τὸ ὕδωρ· Καὶ δὸς αὐτῷ τὴν χάριν τῆς ἀπολυτρώσεως... p. 289. Καὶ ἐμφυσῶν εἰς τὸ ὕδωρ γ'. καὶ σφραγίζει τῷ δακτύλῳ γ'. λέγων· Συντριβήτωσαν ὑπὸ τὴν σημείωσιν... γ'. ὑποχωρησάτωσαν ἡμῖν πάντα τὰ ἐναέρια καὶ ἀφανῆ εἴδωλα, καὶ μὴ κρυβήτω τῷ ὕδατι τούτῳ δαιμόνιον σκοτεινόν. Καὶ εὐλογεῖ εἰς τὸ ὕδωρ μίαν καὶ ποιεῖ σταυροῦ τύπον· Μηδὲ συγκαταβήτω и т. д. Goar. p. 289. Καὶ μετὰ τὸ Ἀμὴν λέγει ὁ ἱερεύς· Εἰρήνη πᾶσι. Τὰς κεφαλάς. Καὶ κλίνας ὁ ἱερεὺς εἰς τὸ ἀγγεῖον τοῦ ἐλαίου, βασταζόμενον ὑπὸ τοῦ διακόνου, ἐμφυσᾷ αὐτῷ τρὶς καὶ σφραγίζει τρίς, καὶ λέγει μυστικῶς, καὶ ποιεῖ σταυρὸν ἐπάνω τοῦ ἐλαίου· Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τοῖς ἐν κιβωτῷ τοῦ Νῶε... p. 289. Καὶ ἀνιστάμενος ἐκφωνεῖ· Εἰς δόξαν σὴν καὶ τοῦ μονογενοῦς σου Υἱοῦ καὶ τοῦ παναγίου καὶ ἀγαθοῦ καὶ ζωοποιοῦ σου Πνεύματος, νῦν καὶ ἀεί... Λαβὼν δὲ ὁ ἱερεὺς τὸ ἔλαιον ἐκχέει εἰς τὴν κολυμβήθραν σταυροειδῶς ἐκ τρίτου, ἐπιλέγει ἐν ἑκάστῳ σταυρῷ τὸ Ἀλληλούια, συμψάλλοντος τούτῳ καὶ τοῦ λαοῦ, εἶθ' οὕτως· Εὐλογητὸς ὁ Θεός, ὁ φωτίζων καὶ ἁγιάζων... Καὶ μετὰ τὸ Ἀμὴν λαμβάνει ὁ ἱερεὺς ἐκ τοῦ ἐλαίου τῷ δακτύλῳ καὶ ποιεῖ σταυροῦ τύπον ἐπὶ τοῦ μετώπου καὶ τοῦ στήθους καὶ τῶν μεταφρένων τοῦ μέλλοντος βαπτίζεσθαι, λέγων· Χρίεται ὁ δοῦλος τοῦ Θεοῦ ὁ δεῖνα ἔλαιον ἀγαλλιάσεως εἰς τὸ ὄνομα... Καὶ [1]) τότε χρίεται ὑπὸ τοῦ διακόνου ἢ τοῦ ὑπηρέτου ὁ μέλλων βαπτίζεσθαι τὸ σῶμα ἐκ τοῦ ἐλαίου. Ὁ δὲ ἱερεύς, λαβὼν ἐπὶ χεῖρας τὴν σινδόνα καὶ δήσας σταυροὺς τρεῖς, τίθησιν ἐν τῷ τραχήλῳ τοῦ ἀναδόχου, καὶ πάλιν ὁ ἱερεύς, ὁμοίως λαβὼν τὸ παιδίον ἐπὶ χεῖρας, καταδύει αὐτὸ εἰς τὴν κολυμβήθραν τρίς, λέγων· Βαπτίζεται ὁ δοῦλος τοῦ Θεοῦ ὁ δεῖνα εἰς τὸ ὄνομα τοῦ Πατρός. Ἀμήν, κατάδυσις α'. Καὶ τοῦ Υἱοῦ. Ἀμήν, κατάδυσις β'. Καὶ τοῦ ἁγίου Πνεύματος. Ἀμήν, κατάδυσις γ'. Ἀνάγων αὐτὸν ὄρθιον καὶ κατάγων ἐν τῇ κολυμβήθρᾳ εἰς μίαν ἑκάστην κατάδυσιν, καὶ εὐθὺς οἱ ψάλται· Μακάριοι, ὧν ἀφέθησαν αἱ ἀνομίαι... Εἶτα ὁ ἱερεύς· Εὐλογητὸς ὁ Θεός, ὁ φωτίζων καὶ ἁγιάζων... Καὶ λαβὼν τὸ μύρον, χρίει τὸν νεοφώτιστον, σταυροῦ τύπον ποιῶν ἐπί τε τοῦ μετώπου

[1]) Ркп. 1516 г. № 977 Синайск. библ. все это до словъ: καὶ πάλιν ὁ ἱερεὺς ὁμοίως λαβὼν пропущено.

καὶ τῶν ὀφθαλμῶν, καὶ τῶν μυκτήρων, καὶ τοῦ στόματος, καὶ τῶν δύο ὤτων, καὶ τῶν χειρῶν, καὶ τῶν γονάτων, τοῦ στήθους τε καὶ τῶν μεταφρένων, ἑκάστῃ χρίσει ἐπιλέγων· Σφραγὶς δωρεᾶς Πνεύματος ἁγίου. Ἀμήν. Καί, ἐνδύσας αὐτόν, λέγει τὴν εὐχὴν ταύτην· Εὐλογητὸς εἶ, Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ἡ πηγὴ τῶν ἀγαθῶν Goar. p. 290. Καὶ λαβὼν τὸν θυμιατόν, βαλὼν θυμίαμα καὶ εὐλογῶν αὐτόν, περικυκλοῖ τὴν κολυμβήθραν ἐκ γ'. μετὰ τοῦ ἀναδόχου καὶ τοῦ βαπτιζομένου, θυμιᾷ σταυροειδῶς, ψάλλων· Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε... ψάλλων δὲ αὐτὸ ἐκ γ'. Δόξα καὶ νῦν, Χριστὸν ἐνεδύσασθε, καὶ πάλιν Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε. Καὶ μετὰ τούτων λέγει ὁ ἱερεύς· Τοῦ Κυρίου δεηθῶμεν.

л. 98. Εὐχὴ εἰς τὸ ἀπολοῦσαι τὸν φωτισθέντα τῇ ὀγδόῃ ἡμέρᾳ.

Ὁ λύτρωσιν ἁμαρτιῶν διὰ τοῦ ἁγίου βαπτίσματος τῷ δούλῳ σου δωρησάμενος... Goar. p. 303. Καὶ μετὰ τὸ Ἀμήν, λαβὼν σπόγγον καινὸν ἐξ ὕδατος, ἀποσπογγίζει τὸ μέτωπον αὐτοῦ καὶ τὰ ὦτα καὶ τοὺς λοιποὺς τόπους, ἔνθα ἐχρίσθη τὸ ἅγιον μύρον. Εὐχὴ εἰς τὸ ἀπολοῦσαι νεοφώτιστον· Τοῦ Κυρίου δεηθῶμεν. Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ διὰ τῆς κολυμβήθρας τὴν οὐράνιον ἔλλαμψιν. Goar. p. 304. Εἰρήνη πᾶσι. Τὰς κεφαλάς. Οἱ ἐνδυσάμενοί σε τὸν Χριστὸν καὶ Θεὸν ἡμῶν... p. 304.

л. 99 об. Εὐχὴ εἰς τὸ ἀποκουρεῦσαι παιδίον.

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τῇ εἰκόνι σου τιμήσας τὸν ἄνθρωπον. Goar. p. 306. Καὶ μετὰ τὸ Ἀμὴν κείρει αὐτοῦ τὰς τρίχας σταυροειδῶς· Κείρεται ὁ δοῦλος τοῦ Θεοῦ ὁ δεῖνα τὴν κόμην τῆς κεφαλῆς αὐτοῦ... Ποιεῖ δὲ τὴν κουρὰν οὕτως· ἀρχὴν ποιῶν ἀπὸ τῆς κορυφῆς τὸ μέτωπον δεξιὰ καὶ ἀριστερά, καὶ δίδωσιν αὐτὰς τῷ ἀναδόχῳ. Εἶτα Εἰρήνη πᾶσι. Τὰς κεφαλάς. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐκ τοῦ πληρώματος τῆς κολυμβήθρας τῆς σῆς ἀγαθότητος... p. 306. Καὶ οὕτως λύει ὁ ἱερεὺς τὸ σάβανον καὶ πάντα τὰ φωτιστικά, καὶ ἀπολύει αὐτὸν ἐν εἰρήνῃ... Εἰ δ' οὖν ἔτι βαστάζων ἐν τῷ τραχήλῳ αὐτοῦ ὁ ἀνάδοχος τὸν νεοφώτιστον, λαβὼν ἐπὶ χεῖρας ὁ ἱερεὺς ἵσταται ἐνώπιον τῶν ἁγίων θυρῶν, ἀνάγων αὐτὸν καὶ κατάγων ἐκ τρίτου, ποιῶν σταυρὸν καὶ λέγων ἐκ γ'. Ἐβαπτίσθης, ἐφωτίσθης, ἡγιάσθης, εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ... Εἶτα βαλὼν ἐπὶ γῆς τὸν νεοφώτιστον ἔμπροσθεν τῶν ἁγίων εἰκόνων, ποιεῖ ὁ ἀνάδοχος μετανοίας γ'. καὶ λαβὼν αὐτόν, ἀπέρχονται ἐν εἰρήνῃ, ὁ δὲ ἱερεὺς ποιεῖ ἀπόλυσιν τελείαν.

л. 101 об. Τάξις βαπτίσματος εἰς νήπιον, κατεπειγόμενον ὑπὸ θανάτου.

Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ πάσης κτίσεως δημιουργός... Goar. p. 303. Μετὰ δὲ τὴν τῆς εὐχῆς συμπλήρωσιν, λαβὼν ὁ ἱερεὺς τὸ βρέφος,

βαπτίζει αὐτό, κατάγων εἰς τὸ ὕδωρ καὶ ἀνάγων ἐκ γ'. ἐκφωνῶν ἐν μὲν τῇ α'. καταδύσει τὸ ὄνομα τοῦ Πατρός, ἐν δὲ τῇ β'. τὸ ὄνομα τοῦ Υἱοῦ, ἐν δὲ τῇ γ'. τὸ ὄνομα τοῦ παναγίου Πνεύματος, ὡς ἀκριβέστερον ἐν τῷ μεγάλῳ βαπτίσματι ἐδηλώθη, καὶ μετὰ ταῦτα χρίει αὐτὸ τῷ ἁγίῳ μύρῳ κατὰ τὴν τῆς ἐκκλησίας παράδοσιν καὶ ἀπολύει.

л. 103. Εὐχὴ τῆς γονυκλισίας τῆς ἁγίας Πεντηκοστῆς. Goar. p. 597—504, но не достаетъ двухъ послѣднихъ молитвъ: Σὸν γὰρ ὡς ἀληθῶς καὶ μέγα ὄντως μυστήριον... и Ὁ Θεὸς ὁ μέγας καὶ ὕψιστος, ὁ μόνος ἔχων ἀθανασίαν...

л. 115 об. Ἀκολουθία εἰς μνῆστρα.

Εἰσελθόντων τῶν νεονύμφων ἐν τῇ ἐκκλησίᾳ, ἵσταται ὁ ἀνὴρ ἐκ δεξιῶν, ἡ δὲ γυνὴ ἐξ ἀριστερῶν· ἀπόκειντοι δὲ καὶ τὰ δακτυλίδια δύο, χρυσοῦν καὶ ἀργυροῦν, ἐν τῇ ἁγίᾳ τραπέζῃ, καὶ ὁ ἱερεὺς εὐλογεῖ, λέγων· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, εἶτα Τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν, Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καὶ λέγομεν τὸ ἀπολυτίκιον τῆς ἡμέρας καὶ τὸ κοντάκιον, καὶ εὐθὺς δίδει ὁ ἱερεὺς τοὺς κηροὺς τῶν νεονύμφων καὶ ἀλλάσσουν αὐτοὺς ἐκ τρίτου, εἶτα λέγει· Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν и т. д. великая ектенья изъ 10 прошеній. Послѣ прошенія: „О плавающихъ, путешествующихъ“ слѣдуютъ прошенія: Ὑπὲρ τοῦ εὐλογηθῆναι τὰ μνῆστρα ταῦτα τῇ χάριτι... Ὑπὲρ τῶν νῦν μνηστευομένων πρὸς ἕνωσιν συζυγίας... Ὅπως Κύριος ὁ Θεὸς ἡμῶν χαρίσηται αὐτοῖς σωφροσύνην. Ὑπὲρ τοῦ δούλου τοῦ Θεοῦ ὁ δεῖνα καὶ τῆς δούλης τοῦ Θεοῦ καὶ τῆς ἀγάπης καὶ σωτηρίας αὐτῶν τοῦ... Ὑπὲρ τοῦ δωρηθῆναι αὐτοῖς ἀκατάγνωστον διαγωγὴν τοῦ... Ὑπὲρ τοῦ ῥυσθῆναι... Ἀντιλαβοῦ... Τῆς παναγίας... Ὅτι πρέπει... Τοῦ Κυρίου δεηθῶμεν. Δέσποτα φιλάνθρωπε Κύριε, ὁ ἐν προφητικῇ φωνῇ ἐνισχύσας ἡμᾶς... См. ниже ркп. XV в. Свят.-гроб. библ. № 8 л. 44. Καὶ ἄρας τὰ δακτυλίδια ἐκ τῆς ἁγίας τραπέζης, δίδει τὸ μὲν χρυσοῦν τῷ ἀνδρί, τὸ δὲ ἀργυροῦν τῇ γυναικί, καὶ ἀλλάσσουν αὐτὰ ἐκ γ'.[1]), εἶτα λέγει ὁ ἱερεύς· Τοῦ Κυρίου δεηθῶμεν. Δότε δακτυλίδιον εἰς τὴν δεξιὰν αὐτοῦ καί, ἐξενέγκαντες τὴν στολὴν τὴν πρώτην, ἐνδύσατε αὐτόν. См. выше стр. 182. Τοῦ Κυρίου δεηθῶμεν. Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἀποστείλας τὴν ἀλήθειάν σου καὶ τὴν ἐπαγγελίαν σου. См. ркп. Свят.-гроб. библ. № 8, въ прим. Αὐτὸς ἐξαπόστειλον τὴν ἀλήθειάν σου ἐπὶ τὸν δοῦλόν σου ὁ δεῖνα καὶ τὴν δούλην τήνδε ἐν πίστει καὶ ἀγάπῃ· διὰ δακτυλιδίου σφραγισθήσονται θησαυροὶ καὶ οἶκοι φυλαχθήσονται, διὰ δακτυλιδίου δίδοται ἀρραβὼν ἀληθείας καὶ

---

[1]) Ркп. XVI в. № 978 ἵνα καταλήξῃ τὸ χρυσοῦν τῇ γυναικί, εἶτα λέγει.

στηριχθήσονται, διὰ δακτυλιδίου ἐκηρύχθη νίκη τῇ Θάμαρ, διὰ δακτυλιδίου ἐδόθη ἐξουσία τῷ Ἰωσὴφ ἐν Αἰγύπτῳ, διὸ καὶ ὁ Πατὴρ ἡμῶν ὁ οὐράνιος ἐλεήμων γέγονεν ἐπὶ τὸν Υἱὸν αὐτοῦ καὶ ἰδὼν αὐτὸν εἶπε· Χριστὸς ὁ Θεός, ὁ ἐν Τριάδι ὑμνούμενος, εὐλογήσει, ἁγιάσει, στηρίξει. Ἐκφώνησις· Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις... Τοῦ Κυρίου δεηθῶμεν. Σωτὴρ ἀγαθὲ καὶ φιλάνθρωπε, τὸν ἀρραβῶνα τοῦτον... Тамъ же л. 44. Τοῦ Κυρίου δεηθῶμεν. Ὁ Θεὸς ὁ αἰώνιος, ὁ τὰ διῃρημένα συναγαγών... Goar. p. 311. Εἰρήνη πᾶσι. Τὰς κεφαλάς. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὴν ἐξ ἐθνῶν προμνηστευσάμενος... Ibid. καὶ γίνεται ἀπόλυσις.

Εἰ δὲ βούλονται καὶ ἐνταῦθα στεφανωθῆναι, εἰσέρχονται εἰς τὸ μέσον τοῦ ναοῦ μετὰ θυμιατοῦ καὶ λαμπάδων, ψάλλων καὶ ψαλμὸν ρκζ'. Μακάριοι πάντες οἱ φοβούμενοι... Δόξα καὶ νῦν. Ἀπόκεινται δὲ ἐν τῇ ἁγίᾳ τραπέζῃ στέφανα δύο καὶ ποτήριον φιάλου, πλῆρες οἴνου, ἔχον προηγιασμένον καὶ τὸ ἅγιον ποτήριον, λέγων· Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῆς εἰρήνης... Ὑπὲρ τοῦ ἁγίου οἴκου... Ὑπὲρ τοῦ δούλου τοῦ Θεοῦ ὁ δεῖνα καὶ τῆς δούλης τοῦ Θεοῦ ἡ δεῖνα καὶ τῆς ἐν Θεῷ συζεύξεως.. Ὑπὲρ τοῦ εὐλογηθῆναι τὸν γάμον τοῦτον, ὡς ἐν Κανᾷ τῆς Γαλιλαίας τοῦ... Ὑπὲρ τοῦ παρασχεθῆναι αὐτοῖς σωφροσύνην καὶ καρπὸν κοιλίας... Ὑπὲρ τοῦ δωρηθῆναι αὐτοὺς ἐν ὁράσει υἱῶν καὶ θυγατέρων τοῦ... Ὑπὲρ τοῦ δωρηθῆναι αὐτοῖς στέφανον τίμιον καὶ ἀμαράντινον... Ὅπως Κύριος ὁ Θεὸς ἡμῶν δωρήσηται αὐτοῖς τίμιον τὸν γάμον... Ὑπὲρ τοῦ διαφυλαχθῆναι αὐτούς... Ὑπὲρ τοῦ ῥυσθῆναι... Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας... Ὅτι πρέπει σοι πᾶσα δόξα... Τοῦ Κυρίου δεηθῶμεν. Ὁ Θεὸς ὁ ἅγιος, ὁ πλάσας τὸν ἄνθρωπον καὶ ἐκ τῆς πλευρᾶς αὐτοῦ ἀνοικοδομήσας γυναῖκα. Goar. p. 317. Τοῦ Κυρίου δεηθῶμεν. Ὁ Θεὸς ὁ ἄχραντος, ὁ πάσης κτίσεως δημιουργός... p. 315. Ἐκφώνησις· Ὅτι εὐλόγηται καὶ δεδόξασται τὸ πάντιμον... (въ молитвѣ есть весьма незпачительныя особенности). Τοῦ Κυρίου δεηθῶμεν. Εὐλογητὸς εἶ, Δέσποτα παντοκράτωρ, ὁ τῆς ζωῆς ἀρχηγὸς καὶ τῶν αἰωνίων ἀγαθῶν δοτήρ... Ркп. № 8 Святгроб. библ., прим. Καὶ κρατήσας αὐτῶν τὰς δεξιὰς χεῖρας, παραδίδει ἀλλήλους, λέγων· Παράλαβε Μαρίαν τὴν γυναῖκά σου. Τοῦ Κυρίου δεηθῶμεν. Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τῶν ἁπάντων Πατὴρ χεῖρα πρὸς χεῖρα διδούς, Ἰησοῦ Χριστέ, στεφανώσας... Ibid. Στεφάνωσον αὐτούς, Κύριε ὁ Θεὸς ἡμῶν, ὡς τοὺς ἁγίους σου παῖδας, φύλαξον αὐτούς, Κύριε ὁ Θεὸς ἡμῶν, ὡς διεφύλαξας τὸν προφήτην Δανιὴλ ἐν τῷ λάκκῳ ἐκ στόματος λεόντων, καὶ ἔλθοι ἐπ' αὐτοὺς ἡ χάρις ἐκείνη, ἣν μέλλουσι λαμβάνειν οἱ καλῶς εὐαγγελίσαντες ἐν ἐκείνῃ τῇ ἡμέρᾳ τῇ μεγάλῃ, καὶ διαφύλαξον, Κύριε ὁ Θεὸς ἡμῶν, πάντοτε καὶ τοὺς δούλους σου τοὺς

νεονύμφους, καὶ εὔφρανον αὐτοὺς ἐπὶ τέκνα φωτός, καὶ διαφύλαξον, Κύριε ὁ Θεὸς ἡμῶν, πάντας ἡμᾶς τῆς ἐκ δεξιῶν σου παραστάσεως, ἵνα ἀπαύστως ὑμνοῦμέν σε τὸν μόνον ἀληθινὸν καὶ φιλάνθρωπον Θεὸν ἡμῶν. Ἐκφώνησις· Σὺ γὰρ εἶ ὁ στέφανος, ὁ δοθησόμενος, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν... Καὶ ἄρας τοὺς στεφάνους ἐκ τῆς ἁγίας τραπέζης, ἐπεύχεται ὁ ἱερεὺς μυστικῶς· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ εὐλογήσας τὰ στέφανα τῶν ἁγίων σου ἀποστόλων, μαρτύρων καὶ προφητῶν καὶ χαρισάμενος αὐτοῖς πίστιν ἀμώμητον καὶ λόγον μεταδόσεως καὶ δικαιοσύνης, ἵνα, κατὰ τὰς ἐντολάς σου πολιτευσάμενοι, καταξιωθῶσι τῆς ἐκ δεξιῶν σου παραστάσεως. Ἐκφώνησις· Ὅτι ηὐλόγηται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου... См. выше стр. 183. Καὶ κρατήσας ὁ ἱερεὺς τὰ στέφανα, στέφει τὸν ἄνδρα, λέγων· Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, δόξῃ καὶ τιμῇ στεφάνωσον τὸν δοῦλόν σου ὁ δεῖνα καὶ κατάστησον αὐτὸν ἐπὶ τὰ ἔργα τῶν χειρῶν σου, ἐκ τρίτου. Καὶ στεφανοῖ αὐτὸν τὸν νεόνυμφον, ὁμοίως καὶ τὴν νύμφην, λέγων τὸ αὐτό. Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, δόξῃ καὶ τιμῇ στεφάνωσον τὴν δούλην σου τήνδε... Εἶτα τὸν ψαλμόν· Κύριε, ἐν τῇ δυνάμει σου εὐφρανθήσεται ὁ βασιλεύς... (до конца). Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, ἔκτεινον τὴν χεῖρά σου καὶ εὐλόγησον τοὺς δούλους σου τούτους... Ркп. Свят.-гроб. библ. № 8. Ἐπιθεὶς ἐπὶ τὴν κεφαλὴν αὐτῶν στέφανον ἐκ λίθου τιμίου καί, ὡς ἡ ἐλαία κατάκαρπος καὶ ὡς ἡ ἄμπελος εὐθηνοῦσα ἐν τοῖς κλίτεσιν αὐτῆς οἱ υἱοὶ αὐτῶν, ὡς νεόφυτα ἐλαιῶν κύκλῳ τῆς τραπέζης αὐτῶν· δὸς αὐτοῖς ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ καὶ ἀπὸ τῆς πιότητος τῆς γῆς πρεσβείαις τῆς ἀχράντου σου Μητρὸς καὶ πάντων τῶν ἁγίων σου. Ἐκφώνησις· Ὅτι ἅγιον ὑπάρχεις τὸ ὄνομα τοῦ Πατρός... Сн. выше стр. 30. Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν τῇ σωτηριώδει σου οἰκονομίᾳ καταξιώσας ἐν Κανᾷ τῆς Γαλιλαίας. Goar. p. 318. Προκείμενον ἀποστόλου, апостолъ, евангеліе и ектенья тѣже, что и въ ркп. Свят.-гроб. библ. № 8. По возгласѣ: Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος... Τοῦ Κυρίου δεηθῶμεν. Ἐπικαλούμεθά σε, Κύριε ὁ Θεὸς ἡμῶν ὁ παντοκράτωρ, σὲ ἐπικαλοῦμαι τὸν μόνον ἀγαθὸν καὶ φιλάνθρωπον... Тамъ же Сн. выше стр. 342. Καὶ οὓς ὁ Θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω, τὸ μυστήριον τοῦτο μέγα ἐστί. Εὐλόγησον, Κύριε ὁ Θεός, τὸν γάμον τοῦτον, ὡς εὐλόγησας τὸν γάμον τῷ Τωβὶτ τῷ σῷ δούλῳ. Εὐλόγησον, Κύριε ὁ Θεὸς τὸν γάμον τοῦτον, ὡς εὐλόγησας τὴν μήτραν Σάῤῥας καὶ ἔδωκας αὐτῇ υἱὸν τὸν Ἰσαὰκ καὶ Ἰσαὰκ τὸν Ἰακώβ, καὶ Ἰακὼβ τοὺς δώδεκα πατριάρχας, οἵτινες οἰκονόμησαν τὸν οἶκον Ἰσραήλ. Εὐλόγησον, Κύριε ὁ Θεός, τὸν γάμον τοῦτον, ὡς εὐλόγησας Ἰωσὴφ καὶ τὴν Ἀσυνέθ. Εὐλόγησον, Κύριε ὁ Θεός,

τὸν γάμον τοῦτον, ὡς εὐλόγησας τὸν Μωϋσῆν καὶ τὴν Σεπφώραν. Εὐλόγησον, Κύριε ὁ Θεός, τὸν γάμον τοῦτον, ὡς εὐλόγησας Ζαχαρίαν καὶ τὴν Ἐλισάβετ. Εὐλόγησον, Κύριε ὁ Θεός, τὸν γάμον τοῦτον, ὡς εὐλόγησας Ἰωακεὶμ καὶ τὴν Ἄνναν. Εὐλόγησον, Κύριε ὁ Θεός, τὸν γάμον τοῦτον, ὡς εὐλόγησας τὸν γάμον τὸν ἐν Κανᾷ τῆς Γαλιλαίας κατ' ἐκείνην τὴν εὐλογίαν. Φιλάνθρωπε Κύριε ὁ Θεὸς ἡμῶν, εὐλόγησον τὸν δοῦλόν σου ὁ δεῖνα καὶ τὴν δούλην σου ἡ δεῖνα, εὔφρανον αὐτοὺς ἐν ὁράσει υἱῶν καὶ θυγατέρων· Σὺ γὰρ εἶπας, Κύριε, αὐξάνεσθε καὶ πληθύνεσθε, καὶ πληρώσατε τὴν γῆν, καὶ κατακυριεύσατε αὐτῆς· καὶ νῦν, φιλάνθρωπε Κύριε ὁ Θεὸς ἡμῶν, δὸς αὐτοῖς ἐκ τῆς δρόσου τοῦ οὐρανοῦ καὶ ἐκ τῆς πιότητος τῆς γῆς, ἔμπλησον τὰ ταμιεῖα αὐτῶν παντὸς ἀγαθοῦ ἀπὸ καρποῦ, σίτου, οἴνου καὶ ἐλαίου καὶ πάσης ἀγαθωσύνης, ἵνα, ἔχοντες καὶ περισσευόμενοι, μεταδίδωσι τοῖς χρείαν ἔχουσιν. Ἐκφώνησις· Εἰς δόξαν σὴν καὶ τοῦ μονογενοῦς σου Υἱοῦ καὶ τοῦ παναγίου καὶ ἀγαθοῦ καὶ ζωοποιοῦ... Ἀντιλαβοῦ, σῶσον... Τὴν ἡμέραν πᾶσαν... Ἄγγελον εἰρήνης... Goar. p. 318—319. Καὶ καταξίωσον ἡμᾶς, Δέσποτα.. Πάτερ ἡμῶν... Ὅτι σοῦ ἐστίν... Εἰρήνη πᾶσι. Τὰς κεφαλάς... Καὶ προσφέρουσι τὸ κοινὸν ποτήριον, καὶ λέγει τὴν εὐχὴν ταύτην μυστικῶς ἐπάνω αὐτοῦ. Τοῦ Κυρίου δεηθῶμεν. Ὁ Θεός, ὁ πλάσας τὸν ἄνθρωπον καὶ τῇ ἰσχύϊ σου ποιήσας τὰ πάντα. Goar. p. 319. Χάριτι, οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ... Καὶ λαβὼν τὸ κοινὸν ποτήριον ὁ ἱερεὺς δίδει τοῦ ἀνδρὸς μερίδα, λέγων· Ἐξ ἀμπέλου πολυκάρπου καὶ πηγῆς ἀθανάτου πίης, ζῆς (sic), νεόνυμφε· ἡ ἁγία Τριὰς εὐλογήσει σε. Ὁμοίως καὶ τῆς νύμφης [1]). Καὶ εὐθὺς λέγων· Ζήσατε, οἱ νεόνυμφοι [2])· ἡ ἁγία Τριὰς διαφυλάξει πάντοτε. Καὶ εἰσοδεύουσιν οἱ νεόνυμφοι μετὰ τοῦ ἱερέως, ψάλλοντες τροπάριον εἰς ἦχον βαρύν· Ἅγιοι μάρτυρες... Δόξα σοι, Χριστὲ ὁ Θεός, ἀποστόλων καύχημα... Καὶ [3]) ἕτερον εἰς ἦχον πλ. δ'. Μετὰ φόβου καὶ τρόμου καὶ εὐλαβείας... Ἐπὶ σοὶ χαίρει, κεχαριτωμένη, πᾶσα ἡ κτίσις... Δόξα. Καὶ μετὰ τοῦτο λέγει ὁ ἱερεύς· Ἀδελφοί, χαίρετε ἐν Κυρίῳ πάντοτε... См. выше стр. 184. Τοῦ Κυρίου δεηθῶ-

---

[1]) **Ркп. Синайск. библ. № 978** τὸ αὐτὸ κοινωνικόν· Γεύσασθε καὶ ἴδετε... ἢ τὸ Ποτήριον σωτηρίου· εἰ βούλονται, λέγονται καὶ τὰ δύο· εἶτα λέγει ὁ ἱερεὺς [2]) εἰς αἰῶνα αἰῶνος· ἡ ἁγία Τριὰς ὑμᾶς ἀχωρίστους διαφυλάξει. Καὶ κρατοῦσιν οἱ παράνυμφοι τὰ στέφανα τῶν νεονύμφων, καὶ εἰσοδεύουσι μετὰ τοῦ ἱερέως, ψάλλοντες δὲ καὶ τροπάρια εἰς ἦχον [3]) καὶ μετὰ τοῦτο λέγει ὁ ἱερεύς· Τοῦ Κυρίου δεηθῶμεν. Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὸν παράδεισον ἀκαμάτως φυτεύσας .., εἶτα λέγει νεονύμφοις· Ἀδελφοί, χαίρετε ἐν Κυρίῳ... Εὐχή· Σὲ ἱκετεύομεν, Κύριε ὁ Θεὸς ἡμῶν.

μεν. Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὸν παράδεισον ἀκαμάτως φυτεύσας καὶ τὸν ἄνθρωπον οἰκείαις χερσὶ πλάσας, καὶ λαβὼν ἀπόνως ἐκ τῆς πλευρᾶς αὐτοῦ καὶ εἰπὼν πρὸς αὐτόν· ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα καὶ προσκολληθήσεται τῇ γυναικὶ αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν. Αὐτὸς εὐλόγησον καὶ τοὺς δούλους σου τούτους καί, ὡς ἔθηκας ἐπὶ τὰς κεφαλὰς αὐτῶν στέφανον γαμικόν, στεφάνωσον τούτους ἐν ἐλέει καὶ οἰκτιρμοῖς, καὶ ποίησον αὐτοὺς εἰς σάρκα μίαν, εἰς ὁμόνοιαν ἀδιαίρετον, δώρησαι αὐτοῖς ὁμοτροπίαν ἀπαράλλακτον, ζωὴν πολυχρόνιον, σπέρμα ὅσιον· εὔφρανον αὐτοὺς ἐν ὁράσει υἱῶν καὶ θυγατέρων, ἵνα καὶ αὐτοὶ διὰ τεκνογονίας σωθῶσι· Σὺ γάρ, Κύριε, καὶ παρθενίαν ἡγίασας καὶ τοὺς δούλους σου ἐν εἰρήνῃ διαφύλαξον. Ἐκφώνησις· Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμή... Сн. выше стр. 5. Τοῦ Κυρίου δεηθῶμεν. Σὲ ἱκετεύομεν, Κύριε ὁ Θεὸς ἡμῶν, ἐπίβλεψον ἐπὶ τοὺς δούλους σου τούτους, οὓς ηὐδόκησας συναφθῆναι πρὸς γάμου κοινωνίαν καὶ συμβίωσιν καὶ εὐλόγησον αὐτούς, ὡς εὐλόγησας Ἀβραὰμ καὶ τὴν Σάρραν, Ἰσαὰκ καὶ Ῥεβέκκαν, Ἰακὼβ καὶ τὴν Ῥαχήλ, Ἰωσὴφ καὶ τὴν Ἀσυνέθ, καὶ δὸς αὐτοῖς ἐπὶ τέκνοις σωφροσύνην καὶ μακροημέρευσιν βίου, καὶ ὑγείαν μετὰ δόξης, καὶ τοὺς παρόντας καταξίωσον εἰς τὴν βασιλείαν σου τὴν ἐπουράνιον. Ἐκφώνησις· Ὅτι ηὐλόγηταί σου τὸ ὄνομα, δεδόξασταί σου ἡ βασιλεία τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεί...

л. 136. Εὐχὴ τοῦ ἀποστεφανώματος.

Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ παραγενόμενος ἐν Κανᾷ τῆς Γαλιλαίας... Goar. p. 320 ἀσπίλους καὶ ἀμώμους καὶ ἀνεπιβουλεύτους διατήρησον εὐχαῖς καὶ πρεσβείαις τῆς παναχράντου σου Μητρὸς καὶ πάντων τῶν ἁγίων σου. Ἐκφώνησις· Σὺ γὰρ εἶ ὁ εὐλογῶν καὶ ἁγιάζων τὰ σύμπαντα, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν...

л. 137. Ἀκολουθία τοῦ ἁγίου ἐλαίου, ἁγιαζομένου ὑπὸ ἑπτὰ πρεσβυτέρων.

Ἑσπέρας ἢ πρωὶ συναχθέντες οἱ ζ΄. ἱερεῖς ἐν ἐκκλησίᾳ ἢ ἐν οἴκῳ, εὐλογοῦντος τοῦ πρώτου ἱερέως, ψάλλομεν τὸ Κύριε, εἰσάκουσον... Καὶ μετὰ τὸ τέλος μικρὰ συναπτή· Ἔτι καὶ ἔτι, Θεὸς Κύριος, Ἀλληλούια κατὰ τὴν ἡμέραν, εἶτα τροπάρια εἰς ἦχον πλ. β΄. Ἐλέησον ἡμᾶς, Κύριε... Δόξα, Κύριε, ἐλέησον ἡμᾶς... Καὶ νῦν, Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν... καὶ εὐθὺς ὁ κανών, οὗ ἡ ἀκρόστιχος· Εὐχὴ ἐλαίου ψαλμὸς ἐξ Ἀρσενίου. Ὠδὴ α΄. ἦχος δ΄. Θαλάσσης τὸ ἐρυθραῖον. Ἐλαίῳ τῆς εὐσπλαγχνίας... Goar. p. 332—335 и стихиры на хвалитѣхъ. Καὶ εὐθὺς

λέγουσι τὸν Ν΄. Τούτου δὲ λεγομένου, λέγεται ἡ προκειμένη εὐχὴ παρ' ἑνὸς ἑκάστου ἱερέως, βάλλοντος ἔλαιον καὶ οἶνον ἐν τῇ κανδήλῃ. Τοῦ Κυρίου δεηθῶμεν. Κύριε, ὁ ἐν τῷ ἐλέει καὶ τοῖς οἰκτιρμοῖς σου. Goar. p. 335 Εἶτα ὁ διάκονος τὸ προκείμενον, апостолъ и евангеліе, что у Гоара p. 337, ектенья: Ἐλέησον ἡμᾶς... Ἔτι δεόμεθα, ὑπεράγαθε Κύριε, ἔπιδε τὸν δοῦλόν σου ὁ δεῖνα τὸν ἐν ἀσθενείᾳ ψυχῆς καὶ σώματος κατακείμενον, τοῦ ἐλέους σου ἐπιδεόμενον, τῆς ταχείας ἐπισκέψεως, ἀναστάσεώς τε καὶ ἰάσεως... Ἐκφώνησις· Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρί... Τοῦ Κυρίου δεηθῶμεν. Ἄναρχε, ἀκατάληπτε, ἀδιάδοχε Κύριε, ἅγιε ἁγίων, ὁ τὸν μονογενῆ σου Υἱὸν ἐξαποστείλας, ἰώμενον πάντα τὰ πάθη τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, ὁ φυλάσσων τὴν διαθήκην σου καὶ διδοὺς τὸ ἔλεός σου τοῖς ἀγαπῶσί σε καὶ τὴν ἄφεσιν τῶν ἁμαρτιῶν διὰ τοῦ Παιδός σου Ἰησοῦ Χριστοῦ... καὶ μετόχους ἡμᾶς ποιήσας τοῦ ὀνόματος αὐτοῦ τοῦ ἁγίου, μετέστησεν ἡμᾶς ἐκ τῆς δυναστείας τοῦ διαβόλου καὶ εἰς τὴν αὐτοῦ ἀδιάδοχον βασιλείαν ἐκάλεσεν. Αὐτὸς οὖν, Δέσποτα τῶν ἁπάντων, ἔπιδε ἐφ' ἡμᾶς, οὓς οὐκ ηὐδόκησας ἐν αἵματι διαθήκης καθαρίζεσθαι, ἀλλ' ἐν ἐλαίῳ ἁγίῳ, καὶ ἔδωκας τοῖς φοβουμένοις σε σημείωσιν τῷ τύπῳ τοῦ σταυροῦ σου καὶ τὴν σφραγίδα τοῦ ἁγίου σου Πνεύματος εἰς τὸ γενέσθαι αὐτοὺς τοῦ Χριστοῦ ποίμνιον, βασίλειον ἱεράτευμα, ἄνθος ἅγιον, καὶ καθαρίσας ἡμᾶς ἐν ὕδατι, ἁγιάσας τῷ Πνεύματί σου τῷ ἁγίῳ, ὄντως καὶ ἡμῖν δώρησαι τὴν χάριν εἰς τὴν διακονίαν ταύτην, ὡς ἔδωκας Μωϋσεῖ, τῷ θεράποντί σου, καὶ Σαμουήλ, τῷ ἐκλεκτῷ σου, καὶ ἱκάνωσον ἡμᾶς γενέσθαι διακόνους τῆς καινῆς σου διαθήκης, χρίων τὸ ἔλαιον τοῦτο, ὑπὲρ ὧν ἐποίησας, ὅπως ἂν ἐκδυσάμενοι τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας μὴ ἀποθάνωμεν τῇ ἁμαρτίᾳ, ζήσαντες δὲ τῇ δικαιοσύνῃ σου, ἐνδυσάμενοι τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν διὰ τοῦ ἁγιάσματος τοῦ μέλλοντος ἀπογεύεσθαι. Ἐκφώνησις· Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν [1])... Conf. Goar. p. 337 Κύριε, ὅπλον κατὰ τοῦ διαβόλου τὸν σταυρόν σου ἡμῖν δέδωκας. Καὶ εὐθὺς ἀπαλείψας τὸν ἀσθενῆ, ποιῶν τὸν τύπον τοῦ τιμίου σταυροῦ, λέγων· Ἡ βοήθεια ἡμῶν ἐν ὀνόματι Κυρίου, ἢ Πάτερ ἅγιε, ἰατρὲ τῶν ψυχῶν... Καὶ ἔκτοτε, ποιήσας μετάνοιαν τοῖς ἱερεῦσιν, ἵσταται ἐν τῷ τόπῳ αὐτοῦ. Εἶτα ὁ δεύτερος ἱερεὺς τὸ προκείμενον, апостолъ и

---

[1]) Ркп. Син. библ. № 978 καὶ εὐθὺς ἅψας τὸ αὐτὸ τροῦβον (sic) αὐτοῦ καὶ ἐμφυσήσας ἐν τῇ κανδήλῃ γ΄. ποιῶν καὶ τὸν τύπον τοῦ τιμιου σταυροῦ, καὶ ἔκτοτε ποιήσας μετάνοιαν τοῖς ἱερεῦσιν, ἵσταται ἐν τῷ τόπῳ αὐτοῦ καὶ λέγει· Κύριε ὅπλον... Πρόσχωμεν, второй апостолъ и т. д.

вангеліе Goar. p. 333—339 и ектенья, что выше. Τοῦ Κυρίου δεηθῶμεν. Δέσποτα μακρόθυμε, εὐδιάλλακτε Κύριε, ὁ μόνος ἐλεήμων καὶ φιλάνθρωπος, ὁ μετανοῶν ἐπὶ ταῖς ἀκακίαις ἡμῶν. Прилож. стр. 124, Conf. Goar. p. 339... πρὸς τὸ μηκέτι ἐπίχαρμα γενέσθαι αὐτὸν τῷ διαβόλῳ, ἀλλ' ἵνα γένηται τὸ ἔλαιον τοῦτο εἰς αὐτὸν ἔλαιον ἁγιωσύνης, ἔλαιον ἀναγεννήσεως, ἔλαιον ἁγιασμοῦ, ἔνδυμα βασιλικόν, θώραξ δυνάμεως, πάσης διαβολικῆς ἐνεργείας ἀποστροφή, σφραγὶς ἀνεπιβούλευτος, ἀγαλλίαμα καρδίας, εὐφροσύνη αἰώνιος, ἵνα οἱ ἐκ τούτου χριόμενοι, ὡς ἐν τῷ τῆς ἀναγεννήσεως ἐλαίῳ ἀφόβως ἀρύωνται, ἐκλάμποντες ὡς οἱ ἀστέρες τοῦ οὐρανοῦ τῇ λαμπρότητι, μὴ ἔχοντες σπῖλον ἢ ῥυτίδα, καὶ δεχθῶσιν εἰς τὰς αἰωνίους ἀναπαύσεις, καὶ δέξωνται τὸ βραβεῖον τῆς ἄνω κλήσεως ἐν ἐλέει καὶ οἰκτιρμοῖς τοῦ μονογενοῦς σου Υἱοῦ· χάριτι δὲ καὶ φιλανθρωπίᾳ τοῦ Πατρὸς καὶ τοῦ παναγίου σου Πνεύματος νῦν... Κύριε, ὅπλον κατὰ τοῦ διαβόλου τὸν σταυρόν· καὶ ποιεῖ ὁμοίως ὁ ἱερεύς. Προκείμενον εἰς ἦχον γ'. Κύριος φωτισμός μου... Στίχος· Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου... Πρὸς Κορινθίους β'. Ἀδελφοί, ὑμεῖς ἐστὲ ναὸς Θεοῦ ζῶντος. Goar. p. 341. Ἀλληλούια, ἦχος γ'. Τὰ ἐλέη σου, Κύριε... Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ματθαῖον· Τῷ καιρῷ ἐκείνῳ, προσκαλεσάμενος ὁ Ἰησοῦς τοὺς δώδεκα μαθητὰς αὐτοῦ... p. 340. Ἐλέησον ἡμᾶς... и т. д. что выше. Τοῦ Κυρίου δεηθῶμεν. Ὁ Θεὸς ὁ μέγας καὶ ὕψιστος, ὁ ὑπὸ πάσης κτίσεως προσκυνούμενος... Goar. p. 339 καὶ ἄφεσιν ἁμαρτιῶν καὶ ἴασαι αὐτὸν ἐν τῷ πλήθει τοῦ ἐλέους σου, ὅτι Σὺ εἶ ὁ παιδεύων καὶ μὴ θανατῶν, ὁ ὑποστηρίζων τοὺς καταπίπτοντας... Прилож. стр. 127. Εὐαρεστοῦντα τὸ θέλημά σου πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ πρεσβείαις τῆς παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τῶν τιμίων ἐπουρανίων δυνάμεων ἀσωμάτων, τοῦ τιμίου ἐνδόξου προφήτου Προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων, τῶν ἁγίων καὶ θαυματουργῶν ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ, Κύρου καὶ Ἰωάννου, Παντελεήμονος καὶ Ἑρμολάου, Σαμψὼν καὶ Διομήδους, Μωκίου καὶ Θαλαλαίου καὶ πάντων σου τῶν ἁγίων. Ὅτι σὺ εἶ ἡ πηγὴ τῶν ἰαμάτων, Χριστὲ ὁ Θεός, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρί... Κύριε, ὅπλον κατὰ τοῦ διαβόλου... Καὶ ποιεῖ ὁ ἕτερος ὁμοίως. Προκείμενον, ἦχος δ'. Ἐγὼ εἶπα· Κύριε, ἐλέησον, ἴασαι τὴν ψυχήν μου... Στίχος· Μακάριος ὁ συνιῶν... Πρὸς Κορινθίους β'. Ἀδελφοί, οὐ θέλομεν ὑμᾶς ἀγνοεῖν περὶ τῆς θλίψεως ἡμῶν Goar. p. 342. Ἀλληλουάριον, ἦχος δ'. Ὑπομένων ὑπέμεινα τὸν Κύριον.., Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ματθαῖον· Τῷ καιρῷ ἐκείνῳ, ἦλθεν ὁ Ἰησοῦς εἰς τὰ μέρη Τύρου καὶ Σιδῶνος... Goar. p. 343. Ἐλέησον ἡμᾶς и т. д. Τοῦ Κυρίου δεηθῶμεν. Ὁ Θεὸς ὁ μέ-

γας, ὁ πολὺς ἐν ἐλέει καὶ πλούσιος ἐν ἀγαθότητι. Прилож. стр. 130, прим. 3 ὁ μόνος ψυχῶν καὶ σωμάτων ἰατρός. Αὐτὸς ἴασαι καὶ τὸν δοῦλόν σου ὁ δεῖνα καὶ ἐξέγειρον αὐτὸν ἀπὸ κλίνης ὀδυνηρᾶς, ἀπὸ στρωμνῆς κακώσεως. Ναί, Δέσποτα Κύριε Ἰησοῦ Χριστέ, μονογενὴ Λόγε τοῦ Πατρός, ὁ πάντα δεσμὸν ἁμαρτιῶν ἡμῶν τῷ σῷ ἑκουσίῳ πάθει θεραπεύσας, ὁ ἐμφυσήσας εἰς τὰ πρόσωπα τῶν σῶν ἀποστόλων καὶ εἰπών· Λάβετε Πνεῦμα ἅγιον, ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς· ἄν τινων κρατῆτε, κεκράτηνται. Σὺ Δέσποτα, διὰ τῶν ἁγίων σου ἀποστόλων ἐχαρίσω τοῖς κατὰ καιρὸν ἱερουργοῦσιν ἐν τῇ ἁγίᾳ σου ἐκκλησίᾳ ἐπὶ γῆς ἀφιέναι ἁμαρτίας καὶ δεσμεύειν καὶ λύειν πάντα σύνδεσμον ἀδικίας, διὸ δεόμεθά σου, Δέσποτα παντοκράτωρ, ἔπιδε καὶ νῦν ἐπὶ τὸν δοῦλόν σου τόνδε τὸν παρεστηκότα ἐνώπιόν σου, ἐπιχορήγησον αὐτῷ τὸ σὸν ἔλεος διὰ τῆς χρίσεως τοῦ ἁγίου ἐλαίου τούτου, διάῤῥηξον τὸν δεσμὸν τῶν ἁμαρτιῶν αὐτοῦ, καὶ εἴ τι ἐν ἀγνοίᾳ ἐλάλησεν, ἢ ἔπραξεν ἀπὸ μικροψυχίας, εἰδὼς τὴν ἀνθρωπίνην ἀσθένειαν, ὡς φιλάνθρωπος καὶ ἀγαθὸς Δεσπότης πάντα τὰ ἑκούσια καὶ τὰ ἀκούσια ἁμαρτήματα συγχώρησον, ὅτι σὺ εἶ ὁ λύων τοὺς πεπεδημένους καὶ ἀνορθῶν τοὺς κατερραγμένους, ἡ ἐλπὶς τῶν ἀπελπισμένων, καὶ ἀνάστασις τῶν πεπτωκότων. Αὐτὸς καὶ τὸν δοῦλόν σου ὁ δεῖνα ἐλευθέρωσον τοῦ δεσμοῦ τῶν ἁμαρτημάτων καὶ ἀποδίωξον ἀπ' αὐτοῦ πᾶσαν ἀῤῥωστίαν καὶ ἀσθένειαν, ἵνα, ἐξαναστὰς τῇ κραταιᾷ σου χειρί, δουλεύει σοι μετὰ πάσης εὐχαριστίας, ὑμνῶν σὺν ἡμῖν τὸ πανάγιον καὶ προσκυνητὸν ὄνομά σου τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας... Καὶ ποιεῖ καὶ αὐτὸς ὁμοίως, καὶ οὕτως ἵσταται ἐν τῷ τόπῳ αὐτοῦ. Προκείμενον, ἦχος δ'. Σύ, Κύριε, φυλάξαις ἡμᾶς... Στίχος· Σῶσόν με, Κύριε, ὅτι ἐκλέλοιπε.. Πρὸς Ἐφεσίους· Ἀδελφοί, ὁ Θεός, πλούσιος ὢν ἐν ἐλέει, διὰ τὴν πολλὴν ἀγάπην αὐτοῦ... Τέλος· ἵνα ἐν αὐτοῖς περιπατήσωμεν. Ἀλληλουάριον, ἦχος πλ. α'. Τὰ ἐλέη σου, Κύριε... Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ματθαῖον· Εἶπε Κύριος τὴν παραβολὴν ταύτην· ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν. Goar. p. 342. Ἐλέησον ἡμᾶς. и. т. д. Τοῦ Κυρίου δεηθῶμεν. Κύριε, ὁ παιδεύων καὶ πάλιν ἰώμενος, ὁ ἐγείρων ἀπὸ γῆς πτωχόν. Goar. p. 342. Κύριε, ὅπλον κατὰ τοῦ διαβόλου... Προκείμενον, ἦχος πλ. β'. Ἐπακούσαι σου, Κύριος, ἐν ἡμέρᾳ... Ἐξαποστείλαι σοι βοήθειαν. Πρὸς Θεσσαλονικεῖς· Ἀδελφοί, παρακαλῶ ὑμᾶς· νουθετεῖτε τοὺς ἀτάκτους. Goar. p. 344. Ἀλληλουάριον, ἦχος πλ. β'. Ἐγὼ εἶπα· Κύριε, ἐλέησον... Εὐαγγέλιον ἐκ τοῦ κατὰ Μάρκον· Τῷ καιρῷ ἐκείνῳ, προσκαλεσάμενος ὁ Ἰησοῦς τοὺς δώδεκα μαθητὰς αὐτοῦ... Τέλος· καὶ ἤλειφον ἐλαίῳ πολλοὺς ἀῤῥώστους καὶ ἐθεράπευον. Ἐλέησον

ἡμᾶς... и т. д. Τοῦ Κυρίου δεηθῶμεν. Κύριε[1]) ὁ Θεὸς ἡμῶν, ὁ δυνατὸς καὶ ἐλεήμων, ὁ πάντα οἰκονομῶν... Прилож. стр. 132, прим. 3. Κύριε, ὅπλον κατὰ τοῦ διαβόλου... Προκείμενον, ἦχος πλ. δ'. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου... Στίχος· Ἡ σωτηρία σου, ὁ Θεός, ἀντιλάβοιτο. Πρὸς Γαλάτας ἐπιστολῆς· Ἀδελφοί, ὁ καρπὸς τοῦ Πνεύματός ἐστιν ἀγάπη Goar. p. 343. Ἀλληλούια πλ. δ'. Ἐπίβλεψον ἐπ' ἐμέ... Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ματθαῖον· Τῷ καιρῷ ἐκείνῳ, ἐλθὼν ὁ Ἰησοῦς εἰς τὴν οἰκίαν Πέτρου Goar. p. 341. Ἐλέησον ἡμᾶς и т. д. Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καταπέμψας τοὺς ἑπτὰ ἀρχαγγέλους ἐπὶ τὸν οἶκον τοῦ Ζακχαίου. См. выше стр. 186, прим. Ἕτεραι εὐχαὶ μεγάλαι. Τοῦ Κυρίου δεηθῶμεν. Εὐχαριστοῦμέν[2]) σοι, Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἀγαθὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν. Goar. p. 343. Κύριε, ὅπλον κατὰ τοῦ διαβόλου. Τοῦ Κυρίου δεηθῶμεν. Δέσποτα[3]) Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καταπέμψας τοὺς ἑπτὰ ἀρχαγγέλους ἐπὶ τὸν οἶκον τοῦ Ζακχαίου. Таже молитва, что выше но до словъ: καὶ εὐλόγησον τὸ ἔλαιον τοῦτο, καὶ τοῖς ἐξ αὐτοῦ χριομένοις δὸς πίστιν ἄμετρον καὶ εὐλογίαν ἀδιάληπτον. Ὅπως εὐαρεστήσωσί σε τὸν μόνον ἀληθινὸν Θεὸν ἡμῶν, καὶ εἰσάκουσον καὶ ἡμῶν τῶν ἁμαρτωλῶν δεομένων σου, ὁ ἰατρὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, ὁ τὰ χρόνια πάθη θεραπεύων, ὁ ἰώμενος πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐν τῷ λαῷ. Goar. p. 345... οὐ γὰρ ἔπλασας τὸν ἄνθρωπον εἰς ἀπώλειαν, ἀλλ' εἰς περιποίησιν ψυχῆς καὶ σώματος, εὐχαῖς καὶ πρεσβείαις τῆς πανυμνήτου καὶ παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τῶν τιμίων καὶ ἐπουρανίων δυνάμεων ἀσωμάτων Μιχαὴλ καὶ Γαβριήλ, Οὐριὴλ καὶ Ῥαφαὴλ καὶ πάντων τῶν ἁγίων, τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων. Ἐκφώνησις· Ὅτι σὺ εἶ ἡ πηγὴ τῶν ἰαμάτων, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρὶ καὶ τῷ Υἱῷ... Εὐχή, λεγομένη ὑπὸ τοῦ πρώτου ἱερέως, κρατῶντες ἕτεροι ἱερεῖς τὸ ἅγιον εὐαγγέλιον ἐπάνω τῆς κεφαλῆς τοῦ ἀρρώστου. Τοῦ Κυρίου δεηθῶμεν. Εὔσπλαγχνε, ἀναλλοίωτε, ἀκατάληπτε, πολυέλεε Κύριε ὁ Θεὸς ἡμῶν[4]) Прилож. стр. 133 слич. Εὐχολ. Goar. p. 346. Τοῦ Κυρίου δεηθῶμεν. Πάτερ ἅγιε, ἰατρὲ ψυχῶν καὶ σωμάτων. Goar. p. 338 διὰ τῆς χάριτος τοῦ Χριστοῦ σου καὶ ζωοποίησον αὐτὸν κατὰ τὸ σοὶ εὐάρεστον, ἵνα καὶ τὴν

---

[1]) Ркп. XVI в. Синайск. библ. № 978 Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἀγαθὸς ἰατρὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν. Goar. p. 343. [2]) эта молитва стоитъ послѣ 6 евангелія. [3]) Этой молитвы нѣтъ [4]) за молитвою стоитъ замѣчаніе: εἰ βούλει, λέγει καὶ τὴν εὐχὴν ταύτην τῆς διατάξεως· Βλέπε, ἀδελφέ, τὸ ὑπόλοιπον τῆς ζωῆς σου...

ὀφειλομένην σοι εὐχαριστίαν ἐν ἀγαθοεργίᾳ πλήρει πρεσβείαις τῆς ὑπερευλογημένης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τῶν τιμίων καὶ ἐπουρανίων δυνάμεων ἀσωμάτων, τοῦ τιμίου ἐνδόξου προφήτου Προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων καὶ τῆς ἁγίας Ἀναστασίας τῆς φαρμακολυτρίας, καὶ πάντων σου τῶν ἁγίων. Ἐκφώνησις· Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι νῦν καὶ ἀεί... Δόξα καὶ νῦν, Πηγὴ ἰαμάτων[1]), καὶ γίνεται ἀπόλυσις.

л. 176. Ἀκολουθία τοῦ φωτισμοῦ τῶν ἁγίων Θεοφανίων.

Чинъ обычный. Goar. p. 366—372. Въ числѣ прошеній о водѣ три: Ὑπὲρ τοῦ ἁγιασθῆναι τὸ ὕδωρ... Ὑπὲρ τοῦ καταπεμφθῆναι αὐτῷ... Ὑπὲρ τοῦ γενέσθαι αὐτὸ ῥεῖθρον ἰάσεως... Молитвы Софронія іерусалимскаго нѣтъ.

л. 186. Ἑτέρα ἀκολουθία τοῦ μικροῦ ἁγιασμοῦ.

Μετὰ τὸν εὐλογητόν, τὸ Τρισάγιον, τὸ Παναγία Τριάς, τὸ Πάτερ ἡμῶν, ὁ ἱερεύς· Ὅτι σοῦ ἐστίν... καὶ εὐθὺς Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου... Ἀλληλούια, ἦχος πλ. β'. Στίχος α'. Ἐκ νυκτὸς ὀρθρίζει κ. τ. α. τροπάριον εἰς ἦχον τὸν αὐτόν· Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς... Δόξα, Κύριε, ἐλέησον ἡμᾶς... Καὶ νῦν, θεοτοκίον· Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον... ὁ Ν'. καὶ εὐθὺς τὰ κδ'. τροπάρια, τὰ κατὰ ἀλφάβητον εἰς ἦχον τὸν αὐτὸν πλ. β'. Ἡ τὸ χαῖρε δι' ἀγγέλου δεξαμένη... Ἀνυμνοῦμεν τὸν Υἱόν σου... Goar. p. 358—359, но съ тою разницею, что вмѣсто тропаря: Τίς προστρέχων τῷ ναῷ σου, Θεοτόκε... стоитъ: Ταῖς πρεσβείαις, ἐλεῆμον, τῆς Μητρός σου τῆς ἀχράντου... и не достаетъ послѣднихъ семи тропарей, начиная съ Χαῖρε ὄρος... Послѣ евангелія, ектенья: Ἐν εἰρήνῃ. Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῆς εἰρήνης... Ὑπὲρ τοῦ ἁγίου οἴκου... Ὑπὲρ τοῦ ἀρχιεπισκόπου... Ὑπὲρ τῶν εὐσεβεστάτων... Ὑπὲρ τοῦ συμπολεμῆσαι... Ὑπὲρ τοῦ ἁγιασθῆναι τὸ ὕδωρ τοῦτο... Ὑπὲρ τοῦ καταπεμφθῆναι αὐτῷ... Ὑπὲρ τοῦ δωρηθῆναι αὐτῷ δύναμιν ἰαματικὴν διὰ τῆς ἐπιφοιτήσεως τοῦ... Ὑπὲρ τοῦ καταφοιτῆσαι τοῖς ὕδασι τούτοις τὴν κάθαρσιν τῆς ἁγίας Τριάδος... Ὑπὲρ τοῦ φωτισθῆναι ἡμᾶς φωτισμὸν γνώσεως διὰ τῆς ὁμοουσίου Τριάδος τοῦ... Ὑπὲρ τοῦ ῥυσθῆναι... Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας ἀχράντου... Ὅτι σὺ

---

[1]) Καὶ νῦν, Νεῦσον παρακλήσεσιν, εἶτα ἐκτενή· Ἐλέησον ἡμᾶς... Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς... Ὑπὲρ τοῦ συγχωρήσεως... Ὅτι ἐλεήμων... καὶ ποιεῖ ἀπόλυσιν· Χριστὸς ἀληθινὸς Θεὸς ἡμῶν... (и поминается имя Іакова апостола), εἶτα λέγει· Εὐλογήσατε, δέσποται ἅγιοι, συγχωρήσατέ μοι τῷ ἁμαρτωλῷ ἐκ γ'.

εἶ ὁ εὐλογῶν καὶ ἁγιάζων τὰ σύμπαντα, Χριστὲ ὁ Θεὸς ἡμῶν... Καὶ εὐθὺς τὴν εὐχήν. Τοῦ Κυρίου δεηθῶμεν. Ὁ Θεὸς ὁ μέγας καὶ ὕψιστος, ὁ ἐν Τριάδι ἁγίᾳ προσκυνούμενος... Εἰρήνη πᾶσι. Τὰς κεφαλάς. Κλῖνον, Κύριε, τὸ οὖς σου καὶ ἐπάκουσόν μου Goar. p. 362. Καὶ εὐθὺς λαμβάνει τὸν τίμιον σταυρὸν ὁ ἱερεὺς καὶ ἐμβάπτων ἐν τοῖς ὕδασιν, ἐκ τρίτου, κατάγων αὐτὸν ὄρθριον, λέγει καθ' ἑαυτόν· Εἰς τὸ ὄνομα τοῦ Πατρός... Εἶτα ἐκφωνεῖ τροπάριον εἰς ἦχον β'. Τῶν σῶν δωρεῶν (На полѣ замѣчено: ἐν ἄλλοις εὗρον· Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ) ἐκ γ'. καὶ ἡμεῖς αὖθις τὸ αὐτό, ὁ δὲ ἱερεὺς ῥαντίζει τὸν λαὸν ἅπαντα ἐκ τοῦ ἁγιάσματος, καὶ τὸν οἶκον, ψαλλόντων ἡμῶν· Πηγὴν ἰαμάτων... Δόξα, ἦχος πλ. β'. Ἀτελεύτητος ὑπάρχει τῶν ἁγίων ἡ χάρις, Καὶ νῦν, θεοτοκίον· Μεταβολὴ τῶν θλιβομένων.. Οὐδεὶς προστρέχων ἐπὶ σοί, εἶτα ἡ ἐκτενή· Ἐλέησον ἡμᾶς... Ἔτι δεόμεθα ὑπὲρ τοῦ διαφυλαχθῆναι τὴν πόλιν ταύτην.. Τὸ Κύριε ἐλέησον μ'. Ἐπάκουσον ἡμῶν, ὁ Θεὸς ὁ Σωτήρ... Εἰρήνη πᾶσι. Τὰς κεφαλὰς ἡμῶν... Δέσποτα πολυέλεε, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν... Goar. p. 33 καὶ γίνεται ἀπόλυσις.

л. 196. Ἑτέρα ἀκολουθία τῆς κοινῆς παρακλήσεως.

Обычный молебный канонъ: Ὑγρὰν διοδεύσας ὡσεὶ ξηράν... Πολλοῖς συνεχόμενος πειρασμοῖς... съ обычнымъ началомъ и концемъ и чтеніемъ евангелія Богородицѣ.

л. 204. Εὐχαί, λεγόμεναι ἐν τῇ λιτῇ τῶν δεσποτικῶν ἑορτῶν καὶ εἰς μνήμας ἁγίων. Goar. p. 32—34.

л. 208. Εὐχὴ εἰς τὸ ἐπάραι παιδίον ἀπὸ τὴν ἐκκλησίαν. Goar. p. 561.

л. 209. Εὐχὴ ἐπὶ θεμελίου ἐκκλησίας καὶ ἐπὶ σταυροπηγίου Goar. p. 485.

л. 209 об. Εὐχὴ ἐπὶ θεμελίου ἐκκλησίας. Goar. p. 486.

л. 210 об. Εὐχὴ ἀπολυτίκιον εἰς ἡμέραν ἑορτὴν τοῦ Προδρόμου.

Ὁ τὸν ἐν σώματι ἄγγελον καὶ μέγαν ἐν γεννητοῖς γυναικῶν Ἰωάννην πρὸ προσώπου τοῦ μονογενοῦς σου Υἱοῦ, Δέσποτα, ἐξαποστείλας.

л. 211. Εὐχὴ ἐν ἡμέρᾳ κατανύξεως.

Σῆς ἐν τόπῳ ἁγίῳ σου στάσεως καταξιωθέντες, ἡμεῖς οἱ ἀνάξιοι, Κύριε ὁ Θεὸς ἡμῶν, καὶ μηδεμίαν ἀγαθοεργίαν ἔχοντες προσαγαγεῖν...

л. 211 об. Εὐχὴ ἐπὶ τελευτήσαντος ἱερέως.

Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς ἡμῶν, ὅτι σοῦ μόνον ἐστὶ τὸ ζῆν ἀθάνατε... p. 452.

л. 212 об. Εὐχὴ ἑτέρα εἰς ἱερέα τελευτήσαντα.

Κύριε, Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν τῇ σοφίᾳ σου πλάσας ἐκ γῆς τὸν ἄνθρωπον... p. 465.

л. 213. Εὐχὴ ἐπὶ οἴκῳ κτιζομένῳ. Goar. p. 483.

л. 213 об. Εὐχὴ ἐπὶ εὐλογίᾳ οἴκου. Goar. p. 484.

— Εὐχὴ επὶ οἴκῳ περιεργαζομένῳ.

л. 215. Εὐχὴ ἐπὶ σεισμοῦ.

Ὁ φοβερὸς καὶ θαυμαστὸς καὶ μέγας, ὑπερένδοξός τε καὶ ἀληθινὸς Θεός, ὁ ποιῶν πάντα καὶ μετασκευάζων αὐτά. Goar. p. 623.

л. 215 об. Εὐχὴ ἐπὶ ἀνομβρίας. Goar. p. 613.

л. 216. Εὐχὴ ἐν ἀπαρχῇ σπόρου.

л. 216 об. Εὐχὴ ἐπὶ θέρους καὶ ἅλωνος. pag. 524.

л. 217. Εὐχὴ εἰς τὸ φυτεῦσαι ἀμπελῶνα. Goar. p. 551.

л. 218. Εὐχὴ εἰς μετάληψιν σταφύλης τῇ ἕκτῃ τοῦ Αὐγούστου.

Εὐλόγησον, Κύριε, τὸν καρπὸν τοῦτον τὸν νέον τῆς ἀμπέλου διὰ τῆς τοῦ ἀέρος εὐκρασίας... p. 553.

л. 218 об. Εὐχή, λεγομένη τῇ ιε'. τοῦ Αὐγούστου εἰς τὴν Κοίμησιν τῆς ὑπεραγίας Θεοτόκου.

Ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, ὁ εὐδοκήσας ἄμπελον κληθῆναι τὸν μονογενῆ σου Υἱόν. Goar. 552.

л. 219. Εὐχὴ ἐν ἀρχῇ τρύγης κοινῆς.

Ὁ προσκυνητὸς Σωτὴρ καὶ πάντων Θεός, ὁ τὴν ἄμπελον φυτευθῆναι τῷ δικαίῳ σου Νῶε καθυποδείξας. См. выше стр. 72.

л. 219 об. Εἰς τὸ εὐλογῆσαι οἶνον νέον.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ποιῶν θαυμάσια μόνος μεγάλα καὶ ἀνεξιχνίαστα, ὁ καὶ ὕδωρ εἰς οἶνον μεταποιήσας.

— Εὐχὴ ἑτέρα ἐπὶ οἴνου νέου.

Κύριε ἀγαθὲ καὶ φιλάνθρωπε, ἔπιδε ἐπὶ τὸν οἶνον τοῦτον καὶ ἐπὶ τοὺς μεταλαμβάνοντας ἐξ αὐτοῦ. Goar. p. 553.

л. 220. Εὐχὴ ἑτέρα.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ παραγενόμενος ἐν Κανᾷ τῆς Γαλιλαίας καὶ εὐλογήσας αὐτοῖς τὸν γάμον καὶ τὰς ἓξ ὑδρίας τοῦ ὕδατος εἰς οἶνον μεταβαλών... См. ркп. XV в. патр. iерус. библ. № 273.

л. 220 об. Εὐχὴ ἐπὶ ἀποδημούντων.

— Εὐχὴ τῶν ἐξ ἐπιτιμίων λυομένων. Goar. p. 531.

л. 221. Εὐχὴ ἐπὶ μετανοούντων. p. 536.

л. 222. Εὐχὴ ἐπὶ ἐξομολογουμένων. p. 537.

— Εὐχὴ ἐπὶ προπετῶς ὀμνυόντων. p. 534.

л. 222 об. Εὐχὴ ἐπὶ χειμαζομένων ὑπὸ πνευμάτων ἀκαθάρτων. p. 581.

л. 223. Εὐχὴ ἐπὶ ψυχὴν κρινομένην ἐν ὥρᾳ θανάτου. p. 587.

л. 223 об. Εὐχὴ ἐπὶ μιαροφαγησάντων Goar. p. 534.

л. 224 об. Εὐχὴ εἰς τὸ στῆσαι τοξάριον πλοίου.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τοὺς οὐρανοὺς στερεώσας ἐν συνέσει καὶ τὴν γῆν θεμελιώσας (ἐπὶ τῶν ὑδάτων), καὶ τὸ ξύλον τῆς ζωῆς συναρμώσας, Αὐτὸς καὶ νῦν συνάρμωσον τὴν ναῦν ταύτην καὶ κυβέρνησον αὐτὴν εἰς λιμένα σωτηρίας. Ὅτι σὺ εἶ ὁ λιμὴν καὶ καταφυγὴ τῶν πλεόντων καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι...

— Εὐχὴ ἑτέρα· Δέσποτα Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν, ὁ ἐντειλάμενος τῷ Νῶε καὶ κατασκευάσαι κιβωτόν. Goar. p. 559.

л. 225 об. Ἐπὶ πλοίου, μέλλοντος πλέειν.

Τρισάγιον καὶ τὰ λοιπά, τὸ τροπάριον καὶ τὸν κοντάκιον τῆς ἡμέρας, εἶτα Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τοῦ εὐλογηθῆναι τὴν ναῦν ταύτην ὑπὸ τοῦ ἁγίου Πνεύματος τοῦ... Ὑπὲρ τοῦ δοθῆναι τοὺς ἐν αὐτῇ πλέοντας ὑγιαίνοντας (ἐπανελθεῖν) εἰς τὰ ἴδια αὐτῶν τοῦ... Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας... Ὅτι πρέπει σοι πᾶσα δόξα... Τοῦ Κυρίου δεηθῶμεν... Κύριε ὁ Θεὸς ἡμῶν, ὁ δοὺς ἐν θαλάσσῃ ὁδὸν καὶ ἐν ὕδασιν ἰσχυροῖς τρίβον σωτηρίας, ὁ διὰ ξύλου εὐτελοῦς διακυβερνῶν πάντας, Αὐτός, Δέσποτα, σύμπλευσον τοῖς δούλοις σου καὶ χάρισαι αὐτοῖς λιμένα σωτηρίας καὶ ἐλπίδα πίστεως, ὁδηγῶν αὐτοὺς τῷ σημείῳ τοῦ σταυροῦ σου. Σὺ γὰρ εἶ, ὁ Θεὸς ἡμῶν, Θεὸς τοῦ ἐλεεῖν καὶ σώζειν..,

л. 226. Εὐχὴ ἑτέρα εἰς τὸ κατασπάσαι πλοῖον ἐν τῇ θαλάσσῃ, ἤτοι ἀποπλεῖν.

Εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν, ὁ ὁρίσας τὰ ἄψυχα ξύλα ταῦτα ἀπὸ ὀρέων καὶ κοιλάδων καταβαίνειν κόπτεσθαι, πρίζεσθαι, πελεκᾶσθαι, συναρμόζεσθαι εἰς ξύλον ἕν, καὶ ἐντειλάμενος τῷ Νῶε κατασκευάσαι κιβωτὸν εἰς σωτηρίαν τοῦ κόσμου. Αὐτὸς εἶ ὁ εἰπών· εἴσελθε εἰς τὴν ναῦν ταύτην καὶ τὰς ψυχὰς τῶν πλεόντων ἐν αὐτῇ διάσωσον, ὁ ἐν ἀψύχοις ξύλοις διὰ τῆς δόξης ἐμπιστεύσας τὰς ψυχὰς αὐτῶν, ἐλπίζοντας κυβερνηθῆναι παρὰ τῆς σῆς δεξιᾶς, ῥῦσαι, Κύριε, τὸ πλοῖον τοῦτο ἀπὸ βιαίων ἀνέμων καὶ ἀπὸ πάντων τῶν βρυχίων πνευμάτων, καὶ ἀπὸ τῶν σάλων τῆς θαλάσσης, ὁ καὶ μετὰ τὴν σάρκωσιν τῆς σῆς φιλανθρωπίας συμπλεύσας τοῖς ἁγίοις σου μαθηταῖς καὶ ἀποστόλοις, καὶ διασώσας αὐτοὺς ἐκ τοῦ κλύδωνος τῆς θαλάσσης. Ναί, Κύριε ὁ Θεὸς ἡμῶν, ἐπάκουσον κἀμοῦ τοῦ ἁμαρτωλοῦ καὶ ἀναξίου δούλου σου ἐν τῇ ὥρᾳ ταύτῃ, ὁδήγησον τὸ πλοῖον τοῦτο ἀπὸ λιμένα εἰς λιμένα σωτηρίας. Ὅτι σὺ εἶ ὁ λιμὴν τῆς σωτηρίας ὁ ἀχείμαστος, καὶ ἀπόστειλον τὸν ἄγγελόν σου Μιχαήλ, καὶ περιφύλαττε, καὶ κυβέρνησον, καὶ λύτρωνε τὸ πλοῖον τοῦτο ἀπὸ πονηρῶν καὶ ἀκαθάρτων πνευμάτων, καὶ ἐπάκουσον ἡμῶν, ὁ Θεός, διὰ πρεσβειῶν

τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου, τῶν τιμίων ἀσωμάτων ἀρχαγγέλων καὶ πασῶν τῶν ἐπουρανίων δυνάμεων, τοῦ τιμίου ἐνδόξου προφήτου Προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων, τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν ἀρχιεράρχου καὶ θαυματουργοῦ Νικολάου Μύρων τῆς Λυκίας καὶ πάντων τῶν ἁγίων. Ἐκφώνησις· Ὅτι σὺ εἶ ὁ λιμὴν ὁ ἀχείμαστος, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν.

л. 227 об. Εὐχὴ ἐπὶ ὀρύξει φρέατος καὶ εὑρέσει ὕδατος. Goar. p. 550.

л. 228. Εὐχὴ ἐπὶ μιαροῦ τινος πεσόντος εἰς φρέαρ. См. выше стр. 286.

л. 229. Τάξις γινομένη, εἰ συμβῇ μιαρόν τι ἢ ἀκάθαρτον προσφάτως ἐμπεσεῖν εἰς ἀγγεῖον οἴνου ἢ ἐλαίου. Goar. p. 481.

л. 230. Εὐχὴ μετὰ τὸ ἀναστῆναι τῆς τραπέζης.

л. 230 об. Εὐχὴ ἑτέρα, ἣ λέγεται εἰς λιτὴν καὶ εἰς ἐπιδρομὴν ἐθνῶν, καὶ εἰς λοιμόν, καὶ εἰς φθορὰν τοῦ θανατικοῦ ἢ καὶ εἰς πᾶσαν αἴτησιν... Ἔτι δεόμεθα ὑπὲρ τοῦ διαφυλαχθῆναι τὴν πόλιν ταύτην καὶ πᾶσαν τὴν πόλιν. Goar. p. 33.

л. 231. Εὐχὴ τῶν κολύβων. Goar. p. 524.

л. 231 об. Εὐχὴ τῶν μνημοσύνων.

Ὁ Θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκός. p. 424.

л. 232. Ἀκολουθία εἰς ῥεῦσιν ὑπνίου.

Εὐλογεῖ ὁ ἱερεύς, Δόξα σοι ὁ Θεός, Βασιλεῦ οὐράνιε, τὸ Τρισάγιον, Παναγία Τριάς, τὸ Πάτερ ἡμῶν, τὸ Κύριε ἐλέησον ιβʹ. Δεῦτε προσκυνήσωμεν, τὸν Νʹ. ψαλμὸν Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα, καὶ τὸν λδʹ. Δίκασον, Κύριε, τοὺς ἀδικοῦντας, καὶ τὸν ξʹ. Εἰσάκουσον, ὁ Θεός, εἶτα τὰ τροπάρια ταῦτα εἰς ἦχον βʹ. Ἥμαρτον εἰς σέ, Σῶτερ, ὡς ὁ ἄσωτος Υἱός... Κράζω σοι, Χριστὲ Σωτήρ, τοῦ τελώνου τὴν φωνήν... Ὡς ὁ ἄσωτος Υἱὸς ἦλθον κἀγώ, οἰκτίρμων... Δόξα, Ὡς ὁ περιπεσὼν εἰς τοὺς λῃστὰς καὶ τετραυματισμένος... Καὶ νῦν, Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον... τὸ Κύριε ἐλέησον μʹ. μετανοίας νʹ. καὶ εὐχήν· Πάλιν ὑπεσκελίσθην ὁ τάλας τὸν νοῦν τῇ πονηρᾷ συνηθείᾳ τῆς ἁμαρτίας δουλεύων, πάλιν ὁ τοῦ σκότους ἄρχων καὶ τῆς ἐμπαθοῦς ἡδονῆς ὁ γεννήτωρ αἰχμάλωτον εἷλε με, καὶ ὥσπερ δοῦλον τεταπεινωμένον τῷ ἑαυτοῦ θελήματι ταῖς ἐπιθυμίαις τῆς σαρκὸς δουλεύειν καταναγκάζει με...

л. 235. Здѣсь двѣ молитвы, написанныя инымъ почеркомъ: Πολυέλεε, εὔσπλαγχνε Κύριε, ἀκήρατε, μόνε ἀναμάρτητε. Goar. p. 529. и Ἄχραντε, ἀμόλυντε, πολυεύσπλαγχνε Κύριε, ὁ τῇ ἀναλήψει τῆς ἀνθρω-

πότητος τὴν ἡμετέραν φύσιν τῆς φθορᾶς ἀπανοάξας(;) καὶ τῇ ἑνώσει τῆς κρείττονος ὅλην καθαγιάσας..

л. 235 об. Почеркомъ, отличнымъ отъ почерка писца, но древнѣйшаго времени: Εὐχὴ συγχωρητική, λεγομένη ὑπὸ πνευματικοῦ πατρός.

Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, Υἱὲ καὶ Λόγε τοῦ Θεοῦ τοῦ ζῶντος, ποιμὴν καὶ ἀμνέ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου... Goar. p. 536.

л. 238. Чтенія евангельскія и апостольскія на цѣлый годъ и на различные случаи.

**LVII** I. № 21 Εὐχολόγιον рукопись библ. Лавры пр. Аѳанасія на Аѳонѣ въ листъ, 297 листовъ, писана на бумагѣ въ 1435 году[1]), какъ значится въ припискѣ: Ἐτελειώθη τὸ παρὸν Εὐχολόγιον σὺν Θεῷ παρ' ἐμοῦ Γρηγορίου, μοναχοῦ μὲν τῷ σχήματι, τῷ ἐπίκλην δὲ Ἀλλιάτη λεγομένῳ, διὰ συνδρομῆς καὶ ἐξόδου κυροῦ Μελετίου, τοῦ ἀπὸ τὴν Κερασέαν· εὔχεσθε οὖν, ὅσοι μέλλετε ἐντυγχάνειν τοῦτο, καὶ δότε σύγγνώμην τοῖς σφάλμασιν, ὡς ἀγροίκῳ παναγεῖ. Ἐγράφη οὖν ἐν μηνὶ Ἀπριλίῳ ἰνδ. ιγ'. τοῦ ‚ϛϡμγ'. ἔτους.

л. 1 об. Πίναξ βιβλίου.

л. 5. Διάταξις τῆς θείας λειτουργίας καὶ τὰ διακονικά. *Красносельцевъ*. „Матер. для исторіи чинопослѣдов. литургіи св. І. Златоустаго", в. I, стр. 36—78.

л. 21. Ἡ θεία λειτουργία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου. См. выше стр. 273.

л. 35. Ἡ θεία λειτουργία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου τοῦ Μεγάλου. См. выше стр. 273.

л. 54. Ἡ θεία λειτουργία τῶν προηγιασμένων. См. выше стр. 273, но съ небольшими особенностями въ текстѣ.

л. 63 об. Ἀποστολοευαγγέλια τῆς ἑβδομάδος.

л. 75 об. Ἀκολουθία τοῦ μικροῦ ἁγιασμοῦ. См. выше стр. 285.

л. 82. Ἀρχὴ σὺν Θεῷ ἁγίῳ τοῦ ἁγιασμοῦ τῶν ἁγίων Θεοφανίων.

л. 89 об. Εἰς ἀρχάριον ῥασοφοροῦντα. Двѣ молитвы, что у Гоара pag. 378.

л. 90. Ἀκολουθία τοῦ μικροῦ σχήματος, ἤγουν τοῦ μανδύου. См. выше стр. 276, но съ небольшими особенностями, при одѣваніи въ

---

[1]) Намъ извѣстенъ Илитарій 1431 года № 246 въ библіотекѣ Аѳоно-Каракальской, содержащій въ себѣ чинъ литургіи св. Іоанна Златоуста съ одними лишь молитвами.

слѣдующія одежды: хитонъ, паллій, камилавку (*καμιλαύκιον*) или перикефалій, поясъ и сандалія и въ концѣ чина. *Καὶ εὐθὺς ὁ ἱερεύς· Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, εἰσάγαγε τὸν δοῦλόν σου.* Goar. p. 386, *καὶ μετὰ τὸ Ἀμὴν λέγει· Ἀδελφὸς ἡμῶν ὁ δεῖνα ἔλαβε τον ἀρραβῶνα... Εἶτα ἀσπάζεται τὸ εὐαγγέλιον καὶ ἅπαντας τοὺς ἀδελφούς, καὶ εἰ μὲν οὐκ ἔνι λειτουργία, γίνεται ἐκτενὴ καὶ ἀπόλυσις, εἰ δ' οὖν, Δόξα καὶ νῦν, τὸ κοντάκιον τῆς ἡμέρας, καὶ τότε λέγει ὁ διάκονος τὴν συναπτὴν τοῦ Τρισαγίου, καὶ αὖθις ἡ θεία τελεῖται λειτουργία. Καὶ εἰ ἔστιν ὁ ἀδελφὸς ἄξιος, μεταλαμβάνει τῶν θείων μυστηρίων καὶ εἰσοδεύει καὶ εἰς τὰ ἅγια, εἰ δὲ οὐκ ἔστιν, ἵσταται, ἔνθα προσταγῇ παρὰ τοῦ ἡγουμένου.*

л. 95. *Ἀκολουθία τοῦ μεγάλου ἀγγελικοῦ σχήματος.* См. выше стр. 278—282.

л. 114. *Εὐχὴ εἰς τὸ ἀποκουκουλίσαι.* См. выше стр. 282.

л. 114 об. *Εὐχὴ α'. ἐπὶ ἀνομβρίας.* Goar. p 613.

л. 115. *Ἑτέρα εὐχὴ ἐπὶ ἀνομβρίας.* Goar. p. 614.

л. 115 об. *Εὐχὴ ἐπὶ θεμελίου ἐκκλησίας καὶ ἐπὶ σταυροπηγίου.* Goar. p. 485.

л. 116. *Εὐχὴ ἑτέρα ἐπὶ θεμελίου ἐκκλησίας.* pag. 486.

л. 116 об. *Εὐχὴ ἐπὶ ἐξομολογουμένων.* pag. 537.

— *Εὐχὴ ἐπὶ τῶν ἐξ ἐπιτιμίων λυομένων* pag. 531.

л. 117. *Εὐχὴ ἐπὶ τῶν προπετῶς ὀμνυόντων.* См. выше стр. 286.

л. 117 об. *Εὐχὴ ἐπὶ τῶν ἀλόγως ὑπό τινων ἀφοριζομένων, ἢ λόγῳ ἑαυτοὺς δεσμευόντων.* Goar. pag. 531.

л. 118. *Εὐχὴ ἐπὶ μιαροφαγησάντων.* pag. 534.

л. 118 об. *Εὐχὴ ἐπὶ ὀρύξει φρέατος καὶ εὑρέσει ὕδατος.*

л. 119. *Εὐχὴ ἐπὶ μιαροῦ τινος ἐμπεσόντος εἰς φρέαρ.* См. выше стр. 286.

л. 119 об. *Εἰ δὲ ἐν ἑτέρῳ σκεύει.* Тамъ же и у Goar. p. 482.

— *Τάξις γινομένη, εἰ συμβῇ μιαρόν τι ἢ ἀκάθαρτον προσφάτως ἐμπεσεῖν εἰς ἀγγεῖον οἴνου ἢ ἐλαίου ἔχοντος.* Goar. p. 481.

л. 120 об. *Εὐχὴ εἰς τὸ φυτεῦσαι ἀμπελῶνα.* Goar. p. 551.

л. 121. *Εὐχὴ ἐπὶ τρυγητοῦ.* p. 552.

л. 121 об. *Εὐχὴ ἐν ἀρχῇ σπόρου.*

л. 122. *Εὐχὴ ἐπὶ θέρους.*

л. 122 об. *Εὐχὴ εἰς ψυχορραγοῦντας.* pag. 587.

— *Εὐχὴ ἐπὶ σεισμοῦ.*

л. 123. *Εὐχὴ ἐπὶ τῶν προσφερόντων ἀπαρχάς.*

л. 123 об. *Εὐχὴ ἐπὶ οἴκῳ κτιζομένῳ* p. 483.

— Εὐχὴ ἐπὶ εὐλογίᾳ οἴκου. p. 484.

л. 124. Εὐχὴ ἐπὶ οἴκῳ περιεργαζομένῳ.

л. 125. Εὐχὴ ἐπὶ μετανοούντων. Goar. p. 536.

— Εὐχὴ ἐπὶ πυρεττόντων. p. 549.

л. 125 об. Εὐχὴ ἐπὶ λογισμῶν αἰσχρῶν. p. 536.

л. 126. Εὐχὴ ἐπὶ πᾶν εἶδος ἀῤῥωστίας.

л. 126 об. Εὐχὴ εἰς ἄγραν ἰχθύων. См. выше стр. 287.

л. 127. Εὐχὴ ἐπὶ ἀνοίξει ἐκκλησίας, ὑπὸ αἱρετικῶν βεβηλωθείσης, Ταρασίου, πατριάρχου Κωνσταντινουπόλεως. Goar. p. 496.

— Εὐχὴ ἐπὶ ἀνοίξει ναοῦ, βεβηλωθέντος ὑπὸ ἐθνῶν. p. 495.

л. 128. Εὐχὴ ἑτέρα, λεγομένη ἐν τῇ εἰσόδῳ πρὸ τῆς συνήθους, ἐπὶ ἀνοίξει ναοῦ, ἐν ᾧ συνέβη θανεῖν ἄνθρωπον βιαίως p. 496.

л. 129. Εὐχὴ εἰς τεκνοποίησιν.

л. 129. об. Εὐχὴ εἰς εὐλογίαν καὶ μετάληψιν σταφυλῶν.

— Εὐχὴ ἐπὶ εὐλογίᾳ οἴνου. pag. 553.

л. 130 об. Εὐχὴ λεγομένη ἐν κολύβοις εἰς ἁγίων μνήμην.

л. 131. Εὐχὴ ἐπὶ πλοίου καινοῦ, κτισθέντος καὶ μέλλοντος ἐμβῆναι κατ᾽ ἀρχὰς ἐν τῇ θαλάσσῃ.

Δέσποτα Κύριε ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, ὁ ποιήσας τὸν οὐρανὸν ἐν συνέσει καὶ θεμελιώσας τὴν γῆν ἐπὶ τῶν ὑδάτων. Сн. выше стр. 413.

л. 132. Ἀκολουθία ἐπὶ τελευτήσαντος μοναχοῦ. Ркп. Синайск. библ. 1546 г. № 977 л. 397 об.

л. 155. Εὐχή, ἥτις λέγεται παρὰ τοῦ ἀρχιερέως ἐπὶ τὸν μέλλοντα κοινωνῆσαι, συγχωρῶν αὐτῷ πᾶσαν ἁμαρτίαν.

л. 157. Εὐχὴ τοῦ ἁγίου καὶ μεγάλου Τρύφωνος.

л. 159. Ἀρχὴ σὺν Θεῷ ἁγίῳ τῶν ια΄. ἑωθινῶν εὐαγγελίων.

л. 167. Ἀποστειλάρια ἑωθινὰ ια΄. σὺν τοῖς θεοτοκίοις καὶ ἰδιόμελα ἑωθινὰ ια΄. τοῦ σοφωτάτου κὺρ Λέοντος Δεσπότου.

л. 173. Στιχηρά, ψαλλόμενα τῇ κυριακῇ εἰς τὸν ὄρθρον μετὰ τὸν ἄμωμον.

л. 174. Τῷ σαββάτῳ ἑσπέρας, εἰς τὸ Κύριε ἐκέκραξα, στιχηρὰ ἀναστάσιμα, ἦχος δ΄. Здѣсь троичный канонъ, сѣдальны, антифоны, канонъ на утрени, стихиры на хвалитѣхъ.

л. 187. Ἀκολουθία τῆς ἀκαθίστου.

л. 187 об. Стихиры на всю недѣлю.

л. 208. Ἀκολουθία εἰς ἐγκαινισμὸν ναοῦ. Написаны это послѣдованіе и слѣдующее въ XV в. рукою Діонисія: χεὶρ ἁμαρτωλοῦ Διονυσίου ἱεροδιακόνου.

л. 214. Τάξις γινομένη ἐπὶ καθιερώσει ναοῦ καὶ ἱδρύσει τῆς ἐν αὐτῷ ἁγίας τραπέζης. См. выше стр. 275.

л. 223. Εὐχὴ ἑτέρα εἰς τὴν κατάθεσιν τῶν ἁγίων λειψάνων. См. выше стр. 295.

л. 224 об. Εὐχὴ ἑτέρα μετὰ τὴν ἀπόθεσιν τῶν ἁγίων λειψάνων. См. выше 296.

л. 224. Τάξις γινομένη ἐπὶ σαλευθεῖσαν ἁγίαν τράπεζαν. Goar. p. 490—491.

л. 226—229 чистые.

л. 230. Εὐχαὶ τοῦ λυχνικοῦ. 8 молитвъ. См. выше стр. 274.

л. 232 об. Εὐχαὶ ἑωθιναί. 13 молитвъ. См. выше стр. 274.

л. 237. Ἀκολουθία τῆς γονυκλισίας.

л. 245 об. Μεθοδίου, πατριάρχου Κωνσταντινουπόλεως, τοῦ ἁγιωτάτου, περὶ τῶν διαφόρῳ τρόπῳ καὶ ἡλικίᾳ ἐκ τῶν ἐθνικῶν ἐπιστρεφόντων. Goar. pag. 689.

л. 246. Εὐχὴ ἱλασμοῦ εἰς τὸν ἀπ' ἀρνήσεως ἐπιστρέφοντα πρὸς τὴν ἡμετέραν πίστιν. pag. 689.

л. 247. Εὐχὴ ἐπὶ χριστιανοῖς ὑπαχθεῖσι τῇ ἐθνικῇ πλάνῃ, ἐπιστρέψασι δὲ καὶ τῇ ἐκκλησίᾳ προσδραμοῦσιν. Ibid.

л. 248. Εὐχὴ ἐπὶ ἀποστήσαντος παιδὸς καί μαγαρίσαντος καὶ μετανοοῦντος. Goar. pag. 693—694.

л. 249 об. Εὐχὴ εἰς τὸ ποιῆσαι ἐθνικὸν κατηχούμενον, ποιῶν αὐτὸν κλῖναι γόνυ πρὸ τῶν πυλῶν, καὶ σφραγίζει αὐτὸν τρὶς καὶ λέγει. Goar. p. 283.

л. 250. Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου εὐχὴ λεγομένη ἐν τῷ μέλλειν ἀναγινώσκειν τινὰ ἢ ἀκροᾶσθαι.

Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἄνοιξον τὰ ὦτα καὶ τοὺς ὀφθαλμοὺς τῆς καρδίας μου τοῦ ἀκούειν με τοὺς λόγους σου.

л. 250 об. Τοῦ αὐτοῦ εὐχή, ἤτοι ἀφορκισμὸς πρὸς πάσχοντα ὑπὸ δαιμόνων, ἔτι δὲ πρὸς ἑκάστην ἀσθένειαν.

Ὁ Θεὸς ὁ αἰώνιος, ὁ λυτρωσάμενος ἐκ τῆς αἰχμαλωσίας τοῦ διαβόλου Goar. pag. 581.

— Τοῦ αὐτοῦ εἰς τὸ αὐτό· Ἐπικαλούμεθά σε, Δέσποτα Θεὲ παντοκράτωρ, ὕψιστε βασιλεῦ, ἐπικαλούμεθά σε τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν. p. 583.

л. 251. Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου τοῦ Μεγάλου εὐχὴ εἰς τὸ αὐτό.

Ὁ Θεὸς τῶν θεῶν καὶ Κύριος τῶν κυρίων, ὁ τῶν πυρίνων ταγμάτων δημιουργός. Goar. pag. 578.

л. 251 об. Ἕτερος ἀφορκισμὸς τοῦ αὐτοῦ εἰς τὸ αὐτό.

Ἐξορκίζω σε τὸν ἀρχέκακον τῆς βλασφημίας, τὸν ἀρχηγὸν τῆς ἀνταρσίας. pag. 579.

л. 254. Ἀκολουθία τοῦ βαπτίσματος. Εὐχὴ εἰς τὸ κατασφραγίσαι παιδίον.

Λαβὼν αὐτὸ ἔξω τῆς ἐκκλησίας, ἐμφυσᾷ εἰς τὸ πρόσωπον αὐτοῦ σταυροειδῶς γ΄. ὁμοίως καὶ κατασφραγίσας αὐτὸ μετὰ τῆς χειρὸς γ΄. λέγει τὴν εὐχὴν ταύτην· Κύριε ὁ Θεὸς ἡμῶν, σοῦ δεόμεθα καὶ σὲ ἱκετεύομεν. Goar. pag. 264.

л. 254 об. Ἀκολουθία ἑτέρα εἰς τὸ σαραντῆσαι παιδίον. Дмитріевскій. Прилож. стр. 18—20.

л. 255. Ἀκολουθία εἰς τὸ ποιῆσαι κατηχούμενον.

Чинъ сходенъ съ ркп. 1426 г. Син. библ. № 968 (см. выше стр. 398—400), но съ небольшими особенностями въ концѣ чина, начиная съ мνропомазанія. Особенности эти см. ниже въ ркп. XV в. Синайск. библ. № 972.

л. 264. Καὶ μετὰ ἡμέρας ζ΄. πάλιν εἰσφέρουσιν αὐτὸν ἐν τῇ ἐκκλησίᾳ εἰς τὸ ἀπολοῦσαι, καὶ λύει αὐτοῦ τὸ σάβανον, τὴν ζώνην и т. д. См. выше стр. 400.

л. 265 об. Ἀκολουθία τοῦ εὐχελαίου.

л. 286. Ἀκολουθία κοσμικὴ ἤτοι κηδεία.

л. 292. Κανὼν ψαλλόμενος εἰς κοιμηθέντας κοσμικούς.

л. 294 об. Ἕτερος κανὼν εἰς κοιμηθέντας μοναχούς.

**LVIII**. Θ. № 142 Εὐχολόγιον, рукопись той же библ. въ четверку, 133 листа, писана четкою скорописью 1440 года. Дата эта содержится въ слѣдующей припискѣ къ настоящей рукописи: Ἐσταχώθη τὸ παρὸν βιβλίον διὰ χειρὸς ἐμοῦ Γερασίμου, ἱερομονάχου καὶ δομεστίκου Χριστοῦ τοῦ Ἀκαταλήπτου, μηνὶ σεπτεμβρίῳ κζ΄. ἔτους ,ϛϡμη΄. ἰνδ. γ΄.

л. 1. Τάξις ἐπὶ τελευτήσαντος μοναχοῦ.

л. 34. Ἀκολουθία εἰς μνημόσυνα μοναχῶν.

л. 40. Ἑτέρα ἀκολουθία νεκρώσιμος εἰς κοσμικούς.

л. 44 об. Ἑτέρα ἀκολουθία νεκρώσιμος εἰς ἀρχιερεῖς.

Канонъ: Τῷ θανάτῳ καταπατήσας τὸν θάνατον θείας ζωῆς ἀνέβλυσας... Ὁ τὸ πλούσιον ἀεὶ πηγάζων ἔλεος τοῖς εὐσεβῶς ἀεὶ προσδεχομέ-

νοις σε.. Ἰσχυρώτατος κατὰ θανάτου γέγονας... Ἐστερέωσας τὴν κλονουμένην φρέναν μου.

л. 49 об. Ἀκολουθία εἰς ψυχὴν κρινομένην.

л. 56 Ἀκολουθία εἰς ἀρχάριον μοναχόν.

л. 57. Ἀκολουθία εἰς κουρὰν μανδιώτου.

л. 63. Ἀκολουθία τοῦ μεγάλου ἀγγελικοῦ σχήματος.

л 92 об. Ἀκολουθία τοῦ ἀποκουκουλίσματος.

л. 94. Ἀκολουθία τοῦ ἁγίου ἐλαίου.

**LIX**. Изъ рукописнаго Типикона Аѳоно-Ватопед. библ. 1468 года № 322 (934).

л. 274. Ἀκολουθία εἰς μνῆστρα.

Λαβὼν ὁ ἱερεὺς τὰ δακτυλίδια, τίθησιν αὐτὰ ἐπάνω τοῦ ἁγίου εὐαγγελίου ἐν τῇ ἁγίᾳ τραπέζῃ. Ὀφείλει δὲ ὁ ἀνὴρ ἵστασθαι δεξιὸν τῆς γυναικός, εἶτα ἐρωτᾷ αὐτούς. Ὅταν συνταχθῶσιν ἀλλήλοις, λέγει ὁ διάκονος· Εὐλόγησον, δέσποτα. Καὶ ὁ ἱερεύς· Εὐλογημένη ἡ βασιλεία. Εἶτα ὁ διάκονος ἄρχεται τὰ εἰρηνικά см. выше стр. 132. Καὶ εὐθὺς ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν. Καὶ ὁ ἱερεὺς τὴν εὐχὴν ταύτην· Δέσποτα φιλάνθρωπε Κύριε, ὁ ἐν τῇ προφητικῇ φωνῇ ἐνισχύσας. См. ниже въ ркп. XV в. Свят.-гроб. библ. № 8. Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν. Καὶ ὁ ἱερεὺς τὴν εὐχήν· Ὁ Θεὸς ὁ αἰώνιος, ὁ τὰ διῃρημένα... Goar. p. 311. Καὶ λαμβάνει ὁ ἱερεὺς τὰ δακτυλίδια καὶ δίδει πρῶτον τῷ ἀνδρὶ τὸ χαλκοῦν, εἶτα τῇ γυναικί, καὶ ἀλλάσσουν αὐτὰ ἀμφότερα ἕως τρίτου, καὶ πάλιν ἔρχεται τὸ χρυσοῦν εἰς τὸν ἄνδρα. Εἶτα ὁ ἱερεύς· Εἰρήνη πᾶσιν. Ὁ διάκονος· Τὰς κεφαλὰς ἡμῶν. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὴν ἐξ ἐθνῶν προμνηστευσάμενος... Ibid. Γίνωσκε δέ, ὅτι, ἐὰν θέλῃ στεφανῶσαι, ὑπάγει ἔμπροσθεν εἰς τὴν ἀκολουθίαν τῶν στεφάνων, εἰ δὲ θέλει στεφανῶσαι ἐνταῦθα, λέγει τὰ παρόντα· Ἀντιλαβοῦ, σῶσον... Просительная ектенья. Καὶ καταξίωσον ἡμᾶς, Δέσποτα... Καὶ εὐθὺς τὸ Πάτερ ἡμῶν. Ἐκφώνησις· Ὅτι σοῦ ἐστίν... Εἰρήνη πᾶσι. Τὰς κεφαλὰς ἡμῶν. Ὁ Θεός, ὁ τὰ πάντα ποιήσας τῇ ἰσχύι σου.. πεποιημένων ὑπὸ σοῦ, ὁ τὸ ὕδωρ εἰς οἶνον μεταβαλὼν καὶ ἐμπλήσας τῇ εὐφροσύνῃ τῆς σῆς ἀγαθότητος τοὺς ἐν Κανᾷ γάμῳ τῆς Γαλιλαίας, καὶ τὸ ποτήριον τὸ κοινόν... Conf. Εὐχολ. pag. 319 и выше стр. 183. Καὶ κατὰ τοῦτο δίδει τοὺς νεογάμους καὶ πίνουσιν, εἶθ᾽ οὕτως ἐκτενὴ καὶ ἀπόλυσις. Εἰ δὲ θέλει στεφανῶσαι ἐνταῦθα, συμπλέκων τὰς δεξιὰς αὐτῶν καὶ εἰσέρχεται εἰς μέσον τοῦ ναοῦ, προηγουμένου τοῦ ἱερέως μετὰ τοῦ θυμιατοῦ, καὶ ἐν τῷ εἰσέρχεσθαι αὐτοὺς ψάλλει τὸν παρόντα ψαλμόν· Μακάριοι πάντες οἱ φο-

βούμενοι τὸν Κύριον... Καὶ εἰσελθόντες εἰς μέσον τοῦ ναοῦ κατεναντίον τῶν ἁγίων θυρῶν, ἀπολύουσι τὰς χεῖρας καὶ ἵστανται· ἀπόκεινται δὲ ἐν τῇ θείᾳ τραπέζῃ ποτήριον, ἔχον προηγιασμένα, καὶ στέφανοι δύο καὶ ποτήριον πλῆρες οἴνου. Εἶτα λέγει ὁ διάκονος· Εὐλόγησον, δέσποτα, καὶ ὁ ἱερεύς· Εὐλογημένη ἡ βασιλεία.

л. 277 об. Ἀκολουθία τῶν στεφάνων.

Μετὰ τὸν εὐλογητὸν ἄρχεται ὁ διάκονος τὰ εἰρηνικά· Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῆς εἰρήνης... Ὑπὲρ τοῦ ἁγίου οἴκου... Ὑπὲρ τοῦ εὐλογηθῆναι τὸν γάμον... Ὑπὲρ τοῦ δούλου... Ὅπως Κύριος ὁ Θεὸς ἡμῶν χαρίσηται αὐτοῖς... Ὑπὲρ τοῦ δωρῆσαι αὐτοῖς υἱούς... Ὑπὲρ τοῦ ρυσθῆναι... Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας ἀχράντου... Ὅτι πρέπει. Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν. Καὶ εὐχή· Ὁ Θεὸς ὁ ἅγιος, ὁ πλάσας τὸν ἄνθρωπον καὶ ἐκ τῆς πλευρᾶς αὐτοῦ ἀνοικοδομήσας... Goar. p. 317. Εἶτα στέφει αὐτοὺς λέγει οὕτως ὁμοίως καὶ τῇ γυναικί· Κύριε ὁ Θεὸς ἡμῶν, δόξῃ καὶ τιμῇ στεφάνωσον τὸν δοῦλόν σου ὁ δεῖνα. Εἶτα εὐλογήσας ἀμφοτέρους, λέγει· Καὶ κατάστησον αὐτοὺς ἐπὶ τὰ ἔργα τῶν χειρῶν σου. Εἶθ' οὕτως κρατήσας αὐτοὺς τὰς δεξιὰς χεῖρας, παραδίδει ἀλλήλοις καὶ λέγει οὕτως· Παράλαβε, ὦ ἄνερ, ταύτην τὴν γυναῖκα, ἥν σοι ἐδωρήσατο ὁ Θεός. Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν τῇ σωτηρίῳ σου οἰκονομίᾳ... Goar. pag. 318. Ὁ διάκονος· Πρόσχωμεν. Ὁ ἱερεύς· Εἰρήνη πᾶσι. Ὁ διάκονος· Σοφία. Ὁ ἀναγνώστης τὸ προκείμενον τοῦ ἀποστόλου, ἦχος δ'. Δόξῃ καὶ τιμῇ στεφάνωσον αὐτούς. Ἔθηκας ἐπὶ τὴν κεφαλὴν αὐτῶν. Ὁ ἀπόστολος πρὸς Ἐφεσίους· Ἀδελφοί, αἱ γυναῖκες τοῖς ἰδίοις ἀνδράσιν ὑποτάσσεσθε... Τέλος· Η δὲ γυνὴ ἵνα φοβῆται τὸν ἄνδρα. Ψάλλων τὸ Ἀλληλούια, στίχος· Ἡ γυνή σου, ὡς ἄμπελος. Εὐαγγέλιον κατὰ Ἰωάννην Goar. pag. 318, ἐκτενή· Ἐλέησον ἡμᾶς... Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβεστάτων. Это прошенiе повторено въ рукописи, вѣроятно по ошибкѣ. Ἔτι δεόμεθα ὑπὲρ τοῦ ἐπισκόπου... Ἔτι δεόμεθα ὑπὲρ τοῦ δούλου... καὶ τῆς δούλης... Ἔτι δεόμεθα ὑπὲρ τοῦ περιεστῶτος λαοῦ καὶ ἀπεκδεχομένου. Ἐκφώνησις· Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ τῶν προπάτορα τοῦ γένους ἡμῶν Ἀδὰμ διὰ τῶν ἀχράντων σου χειρῶν ἐκ τῆς γῆς πλάσας κατ' εἰκόνα σου καὶ ὁμοίωσιν καὶ τὴν τούτου πλευρὰν διὰ τὴν σὴν φιλανθρωπίαν εἰς γυναῖκα μεταμορφώσας... διὰ τῆς συζυγίας, ὁ τὸν θεράποντά σου Ἀβραάμ... Ὁ ἐκ ῥίζης Ἰεσσαὶ τὸ κατὰ σάρκα βλαστήσας, ὁ ἐν μήτρᾳ τῆς Παρθένου οἰκήσας καὶ ἐξ αὐτῆς σαρκωθεὶς εἰς σωτηρίαν τοῦ γένους τῶν ἀνθρώπων... Goar. pag. 315. Εὐχὴ ἑτέρα τοῦ γάμου· Ἐπικαλούμεθά σου, Κύριε ὁ Θεός, τὸν μόνον φιλάνθρωπον... См. ниже въ ркп. Свят.-гроб. библ. № 8. Ἀντιλαβοῦ,

σῶσον и т. д. Просительная ектенья. Καὶ καταξίωσον ἡμᾶς. Ὁ λαός· Πάτερ ἡμῶν. Εἶτα ἐκφωνεῖ· Ὅτι σοῦ ἐστίν. Ὁ διάκονος· Πρόσχωμεν. Ὁ ἱερεύς· Τὰ προηγιασμένα ἅγια τοῖς ἁγίοις. Καὶ οἱ μὲν νηστεύοντες οἱ νεόνυμφοι μεταλαμβάνουσι τῶν προηγιασμένων, καὶ μετὰ τοῦτο δίδει αὐτοῖς τὸ κοινὸν ποτήριον τοῦ οἴνου. Εὐχὴ τοῦ ποτηρίου· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ εὐλογήσας τὸ ποτήριον τῶν ἁγίων σου μαθητῶν καὶ ἀποστόλων εἰς ὁμόνοιαν καὶ ὁμοπιστίαν. См. выше стр. 31. Εἶτα ποτίζει αὐτοὺς ἐκ τρίτου, καὶ μετὰ τοῦτο χορεύει αὐτούς, ψάλλοντες τοὺς παρόντας εἱρμοὺς τῆς Θεοτόκου, τὸ Ἠσαΐα, χόρευε... Δόξα σοι, Χριστὲ Σωτὴρ Υἱὲ Θεοῦ μονογενές... Ἅγιοι μάρτυρες... Εἶτα ἐκτενή· Ἐλέησόν με, ὁ Θεός... Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβεστάτων... Ἔτι δεόμεθα ὑπὲρ τοῦ ἐπισκόπου... Ἔτι δεόμεθα ὑπὲρ τοῦ δούλου... Ἔτι δεόμεθα ὑπὲρ τοῦ περιεστῶτος... Ὅτι ἐλεήμων... Εἶθ' οὕτως γίνεται ἀπόλυσις.

л. 284. Εὐχὴ εἰς τὸ ἐπάραι στέφανα.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ παραγενόμενος ἐν Κανᾷ τῆς Γαλιλαίας... Goar. pag. 320. Εἶτα λαβὼν τοὺς στεφάνους αὐτῶν ἀπὸ τὰς κεφαλὰς αὐτῶν καὶ μανδήλιον ἕν. Ἐν δὲ τῇ ὀγδόῃ ἡμέρᾳ γίνεται ἡ λύσις τῶν στεφάνων, ἢ ὡς δόξει τῷ προεστῶτι. Εὐχὴ εἰς τὴν λύσιν τῶν στεφάνων· Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καταξιώσας ἡμᾶς εἰσελθεῖν εἰς τὸν νυμφῶνα τῶν δούλων σου ὁ δεῖνα, σὲ Κύριε τῶν δυνάμεων, ἐπικαλούμεθα συνεισελθεῖν καὶ εὐλογῆσαι τὴν λύσιν τοῦ θαλάμου, καθὼς εὐλόγησας τὸν γάμον ἐν Κανᾷ τῆς Γαλιλαίας· τὴν σὴν χάριν καὶ σὴν εἰρήνην παράσχου αὐτοῖς καὶ τοῖς συμπαροῦσιν ἡμῖν πᾶσι καὶ συνισταμένοις. Ὅτι σοῦ ἐστὶ ἡ βασιλεία καὶ ἡ δύναμις, καὶ ἡ δόξα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ. Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι καὶ ἀπόλυσις· Ὁ διὰ τῆς ἐν Κανᾷ ἐπιδημίας τίμιον ἀναδείξας τὸν γάμον... Κωνσταντίνου καὶ Ἑλένης καὶ πάντων τῶν ἁγίων ἐλεῆσαι καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν, ὡς μόνος ἀγαθὸς καὶ φιλάνθρωπος.

**LX.** № 980 Εὐχολόγιον, рукопись Синайской библ. въ 16 долю листа, 462 листа, писана скорописью 1475 года. Время написанія опредѣляется слѣдующею припискою: Ἐτελειώθη ἐν τῷ ἁγίῳ ὄρει Σινᾷ Ἀπριλίου ζʹ. ἡμέρᾳ ςʹ. ὥρᾳ γʹ. τοῦ ͵ϛϡπγʹ. ἰνδικτιῶνος ζʹ.

л. 1. Περὶ τοῦ πῶς χρὴ δέχεσθαι τοὺς ἀναθεματίζοντας τὴν ἰδίαν καὶ πᾶσαν αἵρεσιν καὶ μύρῳ θείῳ χριομένους μόνον καὶ μὴ βαπτιζομένους. Προηγουμένως μέντοι χρή, ἡνίκα μέλλουσι προσάγεσθαι τῇ ὀρθῇ πίστει, νηστεύειν ἡμέρας ιεʹ. ἢ καὶ πλεῖον, καὶ σχολάζειν ταῖς εὐχαῖς πρωΐας καὶ μεσημβρίας καὶ ἑσπέρας, μανθάνειν τε καὶ ψαλμούς.

Περὶ τῶν Ἀρμενίων καὶ Ἰακωβιτῶν.

Ὀφείλει ὁ ἱερεὺς ἱστᾶν τὸν ἀπὸ Ἀρμενίων ἢ Ἰακωβιτῶν ἐλθόντα πρὸς τὴν καθολικὴν ἐκκλησίαν ἔμπροσθεν τῆς ἁγίας κολυμβήθρας, καὶ λέγει αὐτῷ ταῦτα· Ὁ ἀπὸ τῆς βδελυρᾶς τῶν Ἀρμενίων καὶ Ἰακωβιτῶν αἱρέσεως τῇ ἀμωμήτῳ τῶν ὀρθοδόξων χριστιανῶν ὁλοψύχως προσερχόμενος πίστει, εἰπὲ ταῦτα· Εὐτυχεῖ [1]), τῷ ἀρχιμανδρίτῃ καὶ αἱρεσιάρχῃ, ἀνάθεμα. Διοσκόρῳ, συνίστορι αὐτοῦ, ἀνάθεμα. Ἰακώβῳ τῷ Τζατζάλῳ ἀνάθεμα. Σεργίῳ τῷ Σύρῳ καὶ ὁμόφρονι αὐτοῦ ἀνάθεμα. Σεργίῳ, τῷ Ἀρμενίῳ καὶ ἀρχηγῷ τῆς τῶν Ἀρμενίων αἱρέσεως, ἀνάθεμα. Σίμωνι, τῷ πρώτῳ αἱρετικῷ, καὶ Μοντανῷ καὶ Μάνεντι, Μαρκίωνι καὶ τῶν σὺν αὐτῷ, ἀνάθεμα. Ἀρείῳ, Εὐνομίῳ, Μακεδόνι, Διοσκόρῳ, Θεοδοσίῳ ἀνάθεμα. Τιμοθέῳ, Ἰουλιανῷ, Πέτρῳ τῷ κναφεῖ, καὶ Πέτρῳ τῷ μογγῷ, καὶ φιλοξένῳ τῷ τούτου μαθητῇ, ἀνάθεμα. Κύρῳ, Μακαρίῳ καὶ Πύῤῥῳ ἀνάθεμα. Τούτους πάντας, οὓς ἀναθεμάτισαν αἱ ἅγιαι καὶ οἰκουμενικαὶ ἑπτὰ σύνοδοι, καὶ τοὺς ὁμόφρονας αὐτοῦ πάντας ἀναθεματίζω κἀγὼ καὶ λέγω οὕτως· Εἴ τις οὐχ ὁμολογεῖ τὴν ἁγίαν Τριάδα· Πατέρα, Υἱὸν καὶ Πνεῦμα ἅγιον, ἀνάθεμα. Εἴ τις οὐ λέγει ἄναρχον τὸν Πατέρα, καὶ συνάναρχον ὁμοίως τὸν Υἱὸν καὶ τὸ ἅγιον Πνεῦμα, ἀνάθεμα. Εἴ τις λέγει μὴ εἰληφέναι τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν σάρκα ἐκ τῆς ἁγίας Παρθένου Μαρίας, ἀνάθεμα. Τοῖς κηρύττουσι τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν παθητὸν κατὰ τὴν θεότητα, ἀνάθεμα. Τοῖς μὴ ὁμολογοῦσι τὸν Κύριον ἡμῶν Ἰησοῦν ἀπαθῆ μὲν καὶ ἀθάνατον κατὰ τὴν θεότητα, παθητὸν δὲ καὶ θνητὸν κατὰ τὴν ἀνθρωπότητα, ἀνάθεμα. Εἴ τις λέγει ἔχειν τὸν Χριστὸν δύο ὑποστάσεις, ἀνάθεμα. Τοῖς μὴ δογματίζουσι δύο μὲν φύσεις καὶ δύο θελήσεις, μίαν δὲ τὴν ὑπόστασιν ἐπὶ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἀνάθεμα. Τοῖς μίαν φύσιν ἐπὶ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ὁμολογοῦσι καὶ δεχομένοις, ἀνάθεμα. Τοῖς ἀθετοῦσι καὶ ἀναθεματίζουσι τὴν ἐν Χαλκιδόνι ἁγίαν καὶ οἰκουμενικὴν δ'. σύνοδον ἀνάθεμα. Τοῖς μὴ προσκυνοῦσι καὶ τιμῶσι τὰς σεπτὰς καὶ τιμίας εἰκόνας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τῆς ἀχράντου Θεοτόκου καὶ πάντων τῶν ἁγίων ἀνάθεμα. Τοῖς μὴ ὁμολογοῦσι Μαρίαν τὴν ἄχραντον Μητέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ κυρίως καὶ ἀληθῶς Θεοτόκον ἀνάθεμα. Τοῖς μὴ ἀποδεχομένοις τὴν πρὸς Φλαβιανόν, τὸν πατριάρχην Κωνσταντινουπόλεως, Λέοντος πάπα Ῥώμης ἐπιστολήν, ἀνάθεμα. Τοῖς μὴ ἀποδεχομένοις τὴν ἕκτην σύνοδον, τὴν ἐν

---

[1]) Славянскій переводъ этихъ анаѳематизмовъ съ нѣкоторыми дополненіями напечатанъ нами въ Прилож. къ „Богослужен. въ русск. церкви въ XVI в.“ ч. I, стр. 54—60.

Κωνσταντινουπόλει τῶν συνελθόντων ἁγίων πατέρων κατὰ Θεοδώρου, Σεργίου, Πύῤῥου, Κύρου, Παύλου, καὶ τὴν ζ'. τὴν ἐν Νικαίᾳ, τὸ δεύτερον ὑπὲρ τῆς προσκυνήσεως τῶν ἁγίων καὶ σεβασμίων εἰκόνων συναχθεῖσαν, ἀνάθεμα. Ὅλοις τοῖς αἱρετικοῖς ἀνάθεμα. Ταῖς ἐναντία φρονοῦσι τῶν ἁγίων καὶ οἰκουμενικῶν ἑπτὰ συνόδων ἀνάθεμα. Εἴ τις προστίθησιν εἰς τὸ Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος τὸ Ὁ σταυρωθεὶς δι' ἡμᾶς, ἀνάθεμα. Εἴ τις οὐ προσκυνεῖ τὰς ἁγίας εἰκόνας, ἀλλὰ λέγει εἴδωλα εἶναι, ἀνάθεμα. Εἴ τις οὐ βάλλει εἰς τὴν προσφορὰν προζύμην καὶ ἅλας, οὔτε εἰς τὸ ἅγιον ποτήριον ὕδωρ, ἀλλὰ λέγει ἁμαρτία ἐστίν, ἀνάθεμα. Τοῖς βάλλουσιν ἔλαιον εἰς τοὺς ἄρτους τῆς προθέσεως ἀνάθεμα. Τοῖς κρεοφαγοῦσιν ἐν τῇ ἑβδομάδι τῆς τυρινῆς ἀνάθεμα. Εἴ τις οὐ σφραγίζει τοῖς δυσὶ δακτύλοις, καθὼς καὶ ὁ Χριστός, ἀνάθεμα. Εἴ τις οὐχ ἑορτάζει εἰς τὰς κε'. τοῦ Μαρτίου μηνὸς τὸν Εὐαγγελισμὸν τῆς Θεοτόκου, καὶ εἰς τὰς κε'. τοῦ Δεκεμβρίου μηνὸς τὴν ἁγίαν τοῦ Χριστοῦ γέννησιν, καὶ εἰς τὰς ς'. τοῦ Ἰαννουαρίου μηνὸς τὰ Φῶτα, καὶ εἰς τὰς β'. τοῦ Φεβρουαρίου μηνὸς τὴν Ὑπαπαντήν, ἀνάθεμα. Εἴ τις λέγει, ὅτι ἡ κοινωνία καὶ ἡ λειτουργία τῆς τεσσαρακοστῆς ἐν καθημερινῇ ἁμαρτία ἐστί, καὶ ἐσθίει γάλα καὶ ᾠὸν ἐν σαββάτῳ καὶ κυριακῇ, ἀνάθεμα. Εἴ τις ἱερεὺς λειτουργεῖ χωρὶς στιχαρίου, ἐπιτραχηλίου καὶ φελωνίου, ἢ συλλειτουργεῖ, ἢ συγκοινωνεῖ τοῖς αἱρετικοῖς τοῖς προγεγραμμένοις, ἢ ἐν ταῖς ἐκκλησίαις, αὐτῶν ψαλλόντων, εἰσέρχεται, ἢ προσάγει αὐτοὺς εἰς χειροτονίαν, ἀνάθεμα. Εἴ τις οὐ βαπτίζει εἰς τρεῖς καταδύσεις, ἤτοι Εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. Ἀμήν, ἀνάθεμα. Ὅλοις τοῖς αἱρετικοῖς ἀνάθεμα. Ἀποτάσσομαι γὰρ καὶ τοῖς δόγμασιν αὐτῶν καὶ τοῖς συνευδοκοῦσιν αὐτοῖς, καὶ τοῖς φρονοῦσι τὸ αὐτῶν, καὶ τοῖς συνεσθίουσιν αὐτοῖς, καὶ παντὶ αἱρετικῷ δόγματι, καὶ πιστεύω εἰς τὴν ἁγίαν ὁμοούσιον Τριάδα, κατὰ τὴν ἔκθεσιν τῶν ἁγίων πατέρων τῶν ὀρθοτομούντων τὸν λόγον τῆς ἀληθείας, καὶ ὑπισχνοῦμαι κατὰ Θεὸν ζῆν καὶ πολιτεύεσθαι, καὶ ὁμολογῶ Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος εἶναι φύσιν μίαν· συνῆπται γὰρ τῇ φύσει οὐ φύσις· φύσει μία γὰρ ἐστίν. Ὅθεν, ἐπειδὴ φύσις μία καὶ θεότης μία, διαιρουμένας μὲν τρισσῶς, εἰς μονάδα δὲ καταντώσας, διὰ τὸν τῆς οὐσίας λόγον, διάτοι τοῦτο καὶ Πατέρα λέγω καὶ Υἱὸν δοξάζω, τὸ Πνεῦμα ἅγιον ὁμολογῶ, ἤτοι πρόσωπα γ'. οὐ λέγω δὲ τρεῖς οὐσίας, ἢ τρεῖς φύσεις, ἢ θεοὺς τρεῖς, ἀλλ' ἕνα Θεόν, μίαν οὐσίαν, ἤτοι φύσιν, οὐ λέγω μίαν ὑπόστασιν, ἵνα μὴ σαβελλίσω, ἀλλὰ τρεῖς ὑποστάσεις, τρία πρόσωπα ἐν μίᾳ θεότητι, οὐσίᾳ τε μίᾳ καὶ φύσει πιστεύω. Καὶ μακάριός ἐστιν, ὅστις ἐν ταύτῃ τῇ πίστει τῇ στηριγμένῃ καὶ ἀμεταθέτῳ, ὁμολογῶν καὶ πιστεύων καὶ δόξαν συναναπέμπων τῷ ἀληθινῷ Θεῷ καὶ

Πατρί, τῷ ἀληθινῷ Υἱῷ καὶ Θεῷ ἐν τῷ παναγίῳ Πνεύματι καὶ ζωοποιῷ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Μετὰ ταῦτα πάντα λοιπὸν ἐρωτᾷ αὐτὸν ὁ ἱερεὺς τρίτον· Πιστεύεις εἰς τὴν ἁγίαν καὶ ὁμοούσιον Τριάδα; Καὶ ἀποκρίνεται πρὸς ἕκαστα καὶ λέγει· Πιστεύω. Καὶ ἐπικλίνοντος τοῦ προσερχομένου τὴν κεφαλήν, ποιεῖ ὁ ἱερεὺς τὴν εὐχὴν ταύτην καὶ οὕτως εὔχεται· Ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, ὁ βουλόμενος πάντας ἀνθρώπους σωθῆναι. Goar. p. 695. Καὶ χρίει αὐτὸν μύρῳ, καθὼς καὶ τοὺς νεοφωτίστους, τὴν αὐτὴν ἐπίκλησιν καὶ ἐπ' αὐτῷ ποιούμενος, ἤγουν λέγει ἐφ' ἕκαστον αἰσθητήριον, καὶ πάλιν λέγει τὴν εὐχὴν ταύτην. Εὐχή· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καταξιώσας τέλειον ἀναδεῖξαι τὸν δοῦλόν σου. Goar. p. 695. Εἶθ' οὕτως κοινωνεῖ καὶ λαμβάνει παραγγελίαν ταῖς ἑπτὰ ἡμέραις μὴ φαγεῖν κρέας, ἢ τυρόν, ἢ ᾠόν, μήτε νίψασθαι τὴν ὄψιν, ἀλλὰ καθὼς οἱ βαπτιζόμενοι οὕτως διατελεῖν, καὶ τῇ η'. ἡμέρᾳ ἀπολούεται.

Περὶ γινομένων βρέφων καὶ ἀποθνησκόντων. Δεῖ γινώσκειν, ὅτι τὸ γεννηθὲν βρέφος ἐὰν ἄρα καὶ ἀσθενοῦν... Goar. p. 265.

л. 5. Τυπικὸν τῆς ἐκκλησιαστικῆς ἀκολουθίας τῆς ἐν Ἱεροσολύμοις ἁγίας λαύρας τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Σάββα. Αὕτη δὲ ἡ ἀκολουθία γίνεται καὶ ἐν ταῖς λοιπαῖς τῶν ἐν Ἱεροσολύμοις ἁγίων μονῶν.

Чинъ малой и великой вечерни.

л. 9. Ἀρχὴ σὺν Θεῷ ἁγίῳ τοῦ εὐχολογίου. Εὐχαὶ τοῦ λυχνικοῦ. См. выше стр. 395.

л. 12 об. Εὐχαὶ ἑωθιναὶ τοῦ ὄρθρου.

Молитвъ одинадцать, что у Гоара pag. 39—42. Опущена девятая.

л. 19. Εἰρηνικὰ τοῦ ἑσπερινοῦ.

л. 19 об. Τάξις καὶ ἀκολουθία ἐπὶ τελευτήσαντα μοναχόν.

Начало чина до евангелія съ незначительными особенностями сходно съ чиномъ въ рукописи Аѳоно-Ватоп. библ. № 133. См. выше стр. 282—284. Разница въ томъ, что сейчасъ за антифонами Ѳеодора Студита слѣдуютъ стихиры Іоанна Дамаскина (по двѣ послѣ каждаго антифона): Ποία τοῦ βίου τρυφὴ διαμένει λύπης ἀμέτοχος... Ἔργῳ, Σωτήρ μου, δεικνύς... что въ ркп. XV в. Іерусал. библ. № 273 и затѣмъ уже стихиры Ѳеофана Goar. p. 439. Послѣ стихиръ 8 антифона слѣдуютъ стихиры, ἦχος πλ. δ'. Ἀθάνατε, οἰκτίρμων τῶν νεκρῶν καὶ τῶν ζώντων, ὡς Κύριος... Ἐπ' ὤμων τὸν ζυγόν σου... Ἰδοὺ καιρός, οἰκτίρμων, τῶν δακρύων μνησθῆναι τοῦ δούλου σου... Νεκρώσεις, προσπαθείας καὶ γαστρὸς ἐγκρατείας ἐπίσκεψας, ξενώσεις κόσμου... Δόξα, Ῥημάτων τῶν ἐν λόγοις μὴ μνησθῇς ἐσφαλμένων τοῦ δού-

λου σου... Καὶ νῦν, Φιλάνθρωπε οἰκτίρμων, ἐλεήμων μόνε μακρόθυμε... Εἶτα μνημονεύει ὁ ἱερεὺς ἢ ὁ διάκονος, καὶ εὐθὺς τὸ κοντάκιον, ἦχος πλ. δ΄. Μετὰ τῶν ἁγίων... ὁ οἶκος· Αὐτὸς μόνος ὑπάρχεις ἀθάνατος... Παναγία Παρθένε ἀνύμφευτε... Καὶ πάλιν τὸ κοντάκιον, εἶτα τροπάριον, ἦχος πλ. δ΄. Τὸν μεταστάντα ἐξ ἡμῶν ἐκ τῶν προσκαίρων... Ὁ ψάλτης τὸ ἀκροτελευταῖον τοῦ τροπαρίου· Ἵνα συμφώνως βοῶμεν ὑπὲρ αὐτοῦ, εἶθ' οὕτως οἱ μακαρισμοί Goar. p. 445, апостолъ и евангеліе, καὶ αὖθις γίνεται ὁ ἀσπασμός, καὶ ψάλλομεν στιχηρά, ἦχος β΄. Δεῦτε τελευταῖον ἀσπασμὸν δῶμεν, ἀδελφοί, τῷ θανόντι... Δεῦτε τελευταῖον ἀσπασμὸν δῶμεν, ἀδελφοὶ καὶ πατέρες, τὸν πρὸ μικροῦ μεθ' ἡμῶν... Ἔχεις τὴν ἐλπίδα πρὸς Θεόν... Ξένος γεγονὼς τῶν συγγενῶν καὶ τῶν ἐν τῷ βίῳ φροντίδων... Σχῆμα μοναστῶν ἀναλαβών... Πάντα τὰ τοῦ σώματός μου νῦν ὄργανα ἀργὰ θεωροῦνται... Ποῖος χωρισμός, ὦ ἀδελφοί, ποῖος κοπετός, ποῖος θρῆνος... Ἄρτι ἡ τοῦ βίου πονηρὰ λύεται πανήγυρις... Ὅτε ἐκ τοῦ σώματος ψυχὴ μέλλει μετὰ βίας ἐκσπᾶσθαι... Δεῦτε ἐν τῷ τάφῳ, ἀδελφοί, βλέψωμεν τὴν τέφραν καὶ γνῶμεν... Πάντες δυσωποῦμεν, Χριστέ... Τοῦτο τῆς ζωῆς ἡμῶν ἐστὶ τὸ ἀπαραχώρητον τέλος... Τρέμω τὸ κριτήριον Χριστοῦ... Μέγας ὁ κλαυθμός, ὦ ἀδελφοί, μέγας στεναγμός... Δεῦτε, ἀδελφοὶ πνευματικοί, ἴδωμεν τὸ πέρας τοῦ βίου... Δόξα, Ποίμνης ἐπιστήμων γεγονώς... Νεῦσον παρακλήσεσι, Χριστέ... Καὶ αὖθις μετὰ τὸν ἀσπασμόν, ἄραντες τὸ λείψανον οἱ ἀδελφοί, καθὼς ἔθος ἐστί, ψάλλουσι τὸ Ἅγιος ὁ Θεός... Μετὰ δὲ τὸ Πάτερ ἡμῶν, ὁ ἱερεύς· Ὅτι σοῦ, εἶθ' οὕτως· Ἀνάπαυσον, Σωτήρ... Μνήσθητι, Κύριε, καὶ ἕτερα τροπάρια, ἦχος γ΄. Ὅτε τῷ λόγῳ σου παραστησώμεθα... Ἀρχή μοι καὶ ὑπόστασις τὸ πλαστουργόν σου γέγονε πρόσταγμα... Κατ' εἰκόνα σὴν καὶ ὁμοίωσιν... Ἐναποθέτουσι δὲ εἰς γ΄. τὸ λείψανον, ἕως οὗ φθάσωσιν εἰς τὸν τάφον ἅπαξ, καὶ δὶς καὶ τρίς· καθὲν δὲ ἀπόθεμα ποιεῖ ὁ ἱερεὺς αἴτησιν, ὁμοίως λέγει καὶ τὴν εὐχήν. Μετὰ δὲ τὴν ἐκφώνησιν αἴρουσι τὸ λείψανον καί, φθάσαντες ἐν τῷ κοιμητηρίῳ, ψάλλουσιν αὐτὸ ἐν τῷ τάφῳ, εἶτα ψάλλομεν τροπάριον, ἦχος πλ. δ΄. Γῆ χανοῦσα, ὑπόδεξαι... Τὴν πολυτάραχον θάλασσαν τοῦ βίου διαδραμών... Ἡ ἀοίδιμος φωνὴ τοῦ θείου Δαβίδ... Δόξα καὶ νῦν, Σὲ δυσωποῦμεν, ὡς Θεοῦ Μητέρα... Λαβὼν δὲ ὁ ἱερεὺς κανδήλαν, ἐπιχέει ἐπάνω τοῦ λειψάνου σταυροειδῶς, λέγει· Τοῦ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς... Καὶ αὖθις ἀσφαλίζεται ὁ τάφος, ἡμεῖς δὲ ψάλλομεν στιχηρά, ἦχος πλ. δ΄. Πνευματικοί μου ἀδελφοὶ καὶ συνασκηταί, μή μου ἐπιλάθησθε... Καθὼς εἶπας, Κύριε, Μάρθα· ἐγώ εἰμι ἡ ἀνάστασις... Τροπάριον, ἦχος βαρύς· Ἐξέλιπον ἀπὸ τῆς συγγενείας... Δόξα, Θρηνῶ καὶ ὀδύρομαι, Καὶ νῦν, Δέσποινα, πρόσδεξαι τὰς δεήσεις...

л. 60. Εὐχὴ τοῦ μεγάλου Βασιλείου συγχωρητική.

Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, Υἱὲ καὶ Λόγε τοῦ Θεοῦ τοῦ ζῶντος... Goar. p. 536. Εὐχὴ ἀφέσιμος πατρὸς πνευματικοῦ· Ἡ πανάγαθος ἀνταγαθότης καὶ ζωοπάροχος σοφία τοῦ Θεοῦ καὶ Πατρός...

л. 63. Εὐχὴ ἐπὶ ἀποδημούντων.

— Εὐχὴ ἐπὶ μετανοούντων.

л. 63 об. Εὐχὴ ἐπὶ ἐξομολογουμένων.

— Συγχωρητικὴ πνευματικοῦ πατρὸς πρὸς τὸν ἐξομολογούμενον. Годъ ,ς϶μδ′.

л. 64. Εὐχὴ ἐπὶ δίσκου ναοῦ καινόν.

Κατάπεμψον, Κύριε ὁ Θεὸς ἡμῶν, ἐπὶ τοὺς δίσκους τούτους... Goar. p. 672.

— Εὐχὴ εἰς ποτήριον καινόν.

Ἐπίταξον, Κύριε, ἐπὶ τὸ ποτήριον τοῦτο ἐκ τῶν ἀπεριγράπτων κόλπων σου τὸ Πνεῦμα τὸ ἅγιον... p. 672.

— Εὐχὴ εἰς ποτήριον καινούριον.

Δέσποτα Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ τὸ ποτήριον τῆς καινῆς σου διαθήκης ἁγιάσας... p. 671.

л. 64 об. Εὐχὴ εἰς τὸ εὐλογῆσαι σταφυλὰς ἐν τῇ ς′. Αὐγούστου.

л. 65. Σχηματολόγιον σὺν Θεῷ ἁγίῳ, ἔχον ἀκολουθίαν ῥασοφόρου, μικροσχήμου καὶ μεγαλοσχήμου.

Ἀκολουθία εἰς τὸ ἐνδύσασθαι ῥάσα.

Μετὰ τὸ τελεσθῆναι τὴν ἱερὰν μυσταγωγίαν, ἵσταται ὁ μέλλων λαμβάνειν τὴν θείαν εὐλόγησιν ἔσωθεν τῶν βασιλικῶν πυλῶν καὶ ποιεῖ τῷ ἡγουμένῳ μετανοίας γ′. δεόμενος τοῦ εὐλογηθῆναι, καὶ πληρουμένου τοῦ ὀπισθάμβωνος, ποιεῖ ὁ ἱερεὺς εὐλογητόν, καὶ ἡμεῖς Τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν, Ὅτι σοῦ ἐστίν, τὸ Κύριε ἐλέησον ιβ′. Δεῦτε προσκυνήσωμεν γ′. ὁ Ν′. Πληρουμένου δὲ τούτου, ψάλλομεν τροπάριον, ἦχος α′. Ἀγκάλας πατρικὰς διανοῖξαί μοι σπεῦσον... ἦχος βαρύς, Ὡς περιπεσὼν εἰς τοὺς λῃστὰς καὶ τετραυματισμένος... Καὶ νῦν, θεοτοκίον· Εὐρύχωρον χωρίον τοῦ ἀχωρήτου... Ἵσταται δὲ ὁ μέλλων εὐλογηθῆναι ἀσκεπής, ἄζωστος, ἀνυπόδετος, εἶτα ὁ ἱερεὺς τὰς εὐχάς. Τοῦ Κυρίου δεηθῶμεν. Ἅγιε ἀγαθέ, ὁ τοῦ ἀγαθοῦ Πατρὸς Υἱός, ὁ τὴν ὑπερηφάνειαν ἐκκόπτων. См. ниже ркп. XV в. Иерус. библ. № 273. Εὐχὴ ἑτέρα· Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς ἡμῶν, ὁ κατὰ τὸ πολυέλεός σου. Goar. p. 378. Εἰρήνη πᾶσι. Τὰς κεφαλὰς ἡμῶν. Εἰς τὸν ζυγόν, Δέσποτα, τὸν σωτήριον πρόσδεξαι τὸν δοῦλόν σου τόνδε... Ibidem. Εἶτα κουρεύει αὐτὸν σταυροειδῶς, λέγων· Εἰς τὸ ὄνομα τοῦ Πατρός. Ἀμήν. Καὶ τοῦ Υἱοῦ.

'Αμήν. Καὶ τοῦ ἁγίου Πνεύματος. 'Αμήν. Νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας... Καὶ ἐνδύει αὐτὸν τὸν χιτῶνα καὶ τὸ καμηλαύκιον, μηδὲν ἐπιλέγων, καὶ ποιεῖ ἀπόλυσιν.

л. 68. 'Ακολουθία εἰς κουρὰν μανδυώτου.

'Ο μέλλων κουρευθῆναι ἀδελφὸς εἰσέρχεται καὶ ἵσταται εἰς τὸν νάρθηκα, τὰ δὲ ἱμάτια αὐτοῦ εἰσφέρουσιν ἔμπροσθεν τοῦ θυσιαστηρίου· μετὰ δὲ τὴν εἴσοδον ψάλλουσι τὸ 'Αγκάλας πατρικὰς διανοῖξαί μοι σπεῦσον, ἐκ γ'. Καὶ εἰσφέρουσι τὸν ἀδελφὸν γυμνόν, ἄζωστον καὶ ἀνυπόδετον, καὶ ποιεῖ ἔμπροσθεν τῶν ἁγίων θυρῶν μετανοίας τρεῖς καὶ τὸν ἡγούμενον μίαν καὶ ἐπερωτᾶται· Τί προσῆλθες... Ποθεῖς τὸν βίον τῆς ἀσκήσεως; 'Απόκρισις· Ναί, τίμιε πάτερ. 'Ερώτησις· Ποθεῖς ἀξιωθῆναι τοῦ ἀγγελικοῦ σχήματος... καὶ διὰ τοῦτο ζητεῖς τὸν ἀρραβῶνα τοῦ μεγάλου καὶ ἀγγελικοῦ σχήματος; 'Απόκρισις· Ναί, τίμιε πάτερ. Ὄντως καλὸν ἔργον καὶ μακάριον ἐξελέξω и т. д., какъ у Goar. p. 383. Отвѣтъ на каждый вопросъ утвердительный: Ναί, τίμιε πάτερ. Βλέπε, τέκνον, οἵας συνθήκας δίδως τῷ Δεσπότῃ Θεῷ, καὶ ὅπως ἑκουσίᾳ τῇ γνώμῃ ἐπὶ τοιαύταις συνθήκαις τὸν ἀρραβῶνα λαμβάνεις τοῦ μεγάλου καὶ ἀγγελικοῦ σχήματος· ἄγγελοι γὰρ πάρεισιν ἀοράτως ἀπογραφόμενοί σου τὴν ὁμολογίαν, ἣν καὶ μέλλεις ἀπαιτεῖσθαι ἐν τῇ δευτέρᾳ παρουσίᾳ τοῦ Κυρίου ἡμῶν. 'Ερώτησις· Ταῦτα πάντα οὕτω καθομολογεῖς... 'Απόκρισις· Ναί, τίμιε πάτερ. Καὶ στραφεὶς ὁ ἱερεὺς κατὰ ἀνατολὰς λέγει· 'Ο πανοικτίρμων οὖν Θεὸς καὶ πολυέλεος, ὁ τὰ ἄχραντα σπλάγχνα... Goar. p. 384. Καὶ σφραγίζει αὐτὸν τρίτον ἐπάνω τῆς κεφαλῆς, εἶτα κλίνει μικρὸν τὴν κεφαλήν, καὶ τοῦ διακόνου εἰπόντος· Τοῦ Κυρίου δεηθῶμεν, τίθησιν ὁ ἱερεὺς ἐπάνω τῆς κεφαλῆς αὐτοῦ τὸ σχηματολόγιον καὶ λέγει τὴν εὐχὴν ταύτην, εἰ δ' οὐκ ἔστι διάκονος, λέγει ὁ ἱερεύς· Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἀξίους σου εἶναι νομοθετήσας... p. 385. Εἰρήνη πᾶσι. Τὰς κεφαλάς... Καὶ πάλιν ὁ ἱερεὺς ἐπεύχεται τὴν εὐχὴν ταύτην· Κύριε ὁ Θεὸς ἡμῶν, ἡ ἐλπὶς καὶ καταφυγὴ πάντων... p. 386. Καί, λαβὼν ὁ ἱερεὺς ἀνὰ χεῖρας τὸ ἅγιον εὐαγγέλιον, ἐπιτίθησι τὸ ψαλλίδιον ἐν τῷ εὐαγγελίῳ, ὁ δὲ μέλλων κουρευθῆναι λαμβάνει αὐτὸ μετὰ εὐλαβείας καὶ ἐπιδίδωσι τῷ ἱερεῖ καί, δεξάμενος αὐτοῦ, ὁ ἱερεὺς λέγει πρὸς αὐτόν· 'Ιδοὺ ἐκ τῆς χειρός... Εἶτα λέγει· Εὐλογητὸς ὁ Θεός, ὁ θέλων σωθῆναι... Εἶτα κουρεύει αὐτὸν σταυροειδῶς, λέγων· 'Ο ἀδελφὸς ὁ δεῖνα κείρεται... Εἰς χιτῶνα· 'Ο ἀδελφὸς ἡμῶν ὁ δεῖνα ἐνδύεται χιτῶνα δικαιοσύνης, τὸν ἀρραβῶνα τοῦ μεγάλου καὶ ἀγγελικοῦ σχήματος, εἰς τὸ ὄνομα τοῦ Πατρός... Εἰς τὸ παλλίον· 'Ο ἀδελφὸς ἡμῶν ὁ δεῖνα περιβάλλεται τὸ παλλίον, τὸν ἀρραβῶνα τοῦ μεγάλου καὶ ἀγγελικοῦ σχήματος, εἰς τὸ ὄνομα... Εἰς τὸ καμηλαύκιον· 'Ο ἀδελφὸς

ἡμῶν ὁ δεῖνα περιβάλλεται τὴν περικεφαλαίαν, τὸν ἀρραβῶνα τοῦ μεγάλου καὶ ἀγγελικοῦ σχήματος, εἰς τὸ ὄνομα... Εἰς τὴν ζώνην· Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα περιζώννυται τὴν ὀσφὺν αὐτοῦ δύναμιν ἀληθείας, τὸν ἀρραβῶνα τοῦ μεγάλου καὶ ἀγγελικοῦ σχήματος, εἰς τὸ ὄνομα... Εἰς τὰ σανδάλια· Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα ὑποδύεται τὰ σανδάλια τῆς ἑτοιμασίας τοῦ εὐαγγελίου τῆς εἰρήνης, τὸν ἀρραβῶνα τοῦ μεγάλου καὶ ἀγγελικοῦ σχήματος, εἰς τὸ ὄνομα... Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα ἔλαβε τὸν ἀρραβῶνα τοῦ μεγάλου καὶ ἀγγελικοῦ σχήματος, εἰς τὸ ὄνομα... Τοῦ Κυρίου δεηθῶμεν. Κύριε, Κύριε, ἡ δύναμις τῆς σωτηρίας ἡμῶν, ὁ εὐλογήσας ἡμᾶς ἐν πάσῃ εὐλογίᾳ πνευματικῇ. Goar. p. 379. Εἶτα ἀσπάζεται τὸ εὐαγγέλιον καὶ ἅπαντας τοὺς ἀδελφούς, καὶ εἰ μὲν ἔνι λειτουργία, Δόξα, καὶ λέγει κοντάκιον τῆς ἡμέρας, καὶ καθεξῆς τὰ ἕτερα. Καί, εἰ ἐστὶν ὁ ἀδελφὸς ἄξιος, μεταλαμβάνει τῶν θείων μυστηρίων, καὶ εἰσοδεύει καὶ εἰς τὰ ἅγια, εἰ δ' οὐκ ἔστι λειτουργία, γίνεται ἐκτενὴ καὶ ἀπόλυσις. Εἶτα ἀδελφός τις κουρεύει αὐτόν, ψάλλουσι καὶ τὸν ἄμωμον.

л. 75. Ἀκολουθία τοῦ μεγάλου καὶ ἀγγελικοῦ σχήματος.

Чинъ тотъ же, что въ ркп. № 133 Аѳоно-Ватоп. библ. (см. выше стр. 278—282), но съ нѣкоторыми особенностями. Такъ, напр., постриженіе происходитъ въ алтарѣ; послѣ евангелія поются антифоны: Ἤνοικται ἡ θύρα. . Στίχος Προσέχεται λαός μου... Ὁ ζυγός μου χρηστός... Δόξα νῦν, Ἡ λαμπὰς ἡ ἄσβεστος и т. д Второй и третій антифонъ, что въ ркп. Синайск. библ. № 971. См. выше стр. 259. Σημειωτέον, ὅτι, εἰ ἐστὶν ὁ ἀδελφὸς ἄξιος μεταλαμβάνειν τῶν ἁγίων δώρων, εἰσοδεύει καὶ μεταλαμβάνει.

л. 110. Ἀκολουθία τοῦ ἀποκουκουλίσματος. См. выше стр. 388.

л. 212. Ἀκολουθία ἐπὶ μονάσαντος, εἶτα πάλιν κοσμήσαντος, ἔπειτα αὖθις ἐπιστρέφοντα καὶ μετανοοῦντα.

Τοῦ Κυρίου δεηθῶμεν. Ἐπεύχεται ὁ ἱερεύς· Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ Πατὴρ τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ θέλων πάντας ἀνθρώπους σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, ὁ διὰ τὸ ἀπολωλὸς πρόβατον ἐξαποστείλας τὸν μονογενῆ σου Υἱὸν εἰς τὸν κόσμον Σωτῆρα καὶ λυτρωτήν, ἵνα σὴν ἀναζητήσῃ εἰκόνα· σοῦ δεόμεθα καὶ σὲ ἱκετεύομεν, πρόσδεξαι τὸν δοῦλόν σου τόνδε, τὸν καταφεύγοντα εἰς τοὺς σοὺς οἰκτιρμούς, ἐκ παιδόθεν μὲν τῆς ἀγγελικῆς καταστάσεως ἀξιωθέντα, κατὰ ἀμέλειαν δὲ καὶ ῥάθυμον γνώμην ταύτην ἀρνησάμενον, καὶ μετανοήσαντα καὶ πάλιν δρομήσαντα πρὸς τὴν ἀρχαίαν αὐτοῦ διαγωγὴν τῆς μοναδικῆς πολιτείας, καὶ πρὸς τὴν σὴν ὑποστρέψας ἀγαθότητα, ἔκχεον ἐπ' αὐτόν, Δέσποτα, τῆς σῆς φιλανθρωπίας τὴν εὐσπλαγχνίαν,

πρόσδεξαι αὐτόν, ὡς τὸν ἄσωτον πρὸς σὲ τὸν Πατέρα καὶ Θεὸν ἐπιστρέφοντα καὶ μετανοοῦντα γνησίως, ἀπόστησον ἀπ' αὐτοῦ πᾶσαν πλάνην τοῦ μισοκάλου ἐχθροῦ, καὶ σύντριψον τὸν σατανὰν ὑπὸ τοὺς πόδας αὐτοῦ, καὶ συναρίθμησον αὐτὸν τῇ ἁγίᾳ σου ποίμνῃ, καὶ ἕνωσον αὐτὸν τῇ ἁγίᾳ σου ποίμνῃ, καὶ ἕνωσον αὐτὸν τῇ μάνδρᾳ τῶν λογικῶν σου προβάτων, ἐπίγραψον αὐτοῦ τὸ ὄνομα ἐν τῇ βίβλῳ τῆς ζωῆς, κόσμησον αὐτὸν τῇ δόξῃ τοῦ παναγίου ὀνόματος τοῦ Χριστοῦ σου, ἵνα γένηται συναρίθμιος τοῖς πρωτοτόκοις καὶ δικαίοις τοῖς ἀπογεγραμμένοις ἐν οὐρανῷ, καταξίωσον αὐτὸν τῆς δυνάμεως καὶ ἐπιφοιτήσεως καὶ τῆς εὐδοκίας τοῦ παναγίου σου Πνεύματος, μέτοχον αὐτὸν ἀπέργασαι μετὰ πάντων τῶν ἁγίων σου, καὶ τῆς χάριτος καὶ τῆς δωρεᾶς τοῦ παναγίου Σώματος τοῦ Χριστοῦ σου εἰς ἄφεσιν μὲν τῶν προγενομένων αὐτοῦ ἁμαρτημάτων, σωτηρίαν δὲ καὶ σκέπην τοῦ τε πνεύματος καὶ τῆς ψυχῆς καὶ τοῦ σώματος αὐτοῦ, καὶ εἰς βεβαίωσιν τῆς ἀγγελικῆς ταύτης καὶ μοναδικῆς πολιτείας, ἣν ἐπηγγείλατο καὶ ἠγάπησε· μετανοήσας δὲ γνησίως, δὸς αὐτῷ ἐν παντὶ καιρῷ καὶ ἐν παντὶ τόπῳ καὶ ὥρᾳ πρὸς σὲ καταφεύγειν ἐν τῇ ἁγίᾳ σου ἐκκλησίᾳ, σχολάζειν καὶ τὰ εὐάρεστά σοι ἐπιτελεῖν, ἵνα ἀκούσῃ καὶ αὐτὸς τῆς μακαρίας φωνῆς ἐκείνης τῆς λεγούσης· Δεῦτε, οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου, ἧς καὶ ἡμᾶς ἀξίωσον, ὁ Θεὸς ἡμῶν, διὰ τοῦ ἐλέους τῆς φιλανθρωπίας σου. Χάριτι καὶ φιλανθρωπίᾳ... Εἰρήνη πᾶσι. Τὰς κεφαλάς. Ὁ κλίνας οὐρανοὺς καὶ καταβὰς ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων, ὁ διὰ τοῦ τιμίου σταυροῦ λυτρωσάμενος ἡμᾶς τῆς κατάρας καὶ τῆς φθορᾶς, καὶ πρὸς αἰώνιον ζωὴν ἐπαγαγών· Αὐτός, φιλάνθρωπε Κύριε, ὁ εἰπών, ὅτι μεγάλη χαρὰ γίνεται ἐν τῷ οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι, πρόσδεξαι τὸ ἀπολωλός σου πρόβατον τόδε, πρὸς σὲ τὸν Θεὸν ἡμῶν ἐπιστρέφοντα καὶ τὴν σὴν ἐπιζητοῦντα εὐσπλαγχνίαν, καὶ ὡς ποιμὴν καλός, τοῦτον διάσωσον καὶ ῥῦσαι αὐτὸν ἐκ τῆς πλάνης τοῦ διαβόλου, καὶ ἕνωσον αὐτὸν τῇ ποίμνῃ τῶν λογικῶν σου προβάτων· εἰ γὰρ καὶ ὡς ἄνθρωπος ἥμαρτεν, ἀπατηθεὶς ὑπὸ τοῦ διαβόλου, καὶ ἠθέτησε τὴν ἐπαγγελίαν αὐτοῦ, ἀρνησάμενός σε τὸν μόνον ἀγαθὸν καὶ Δεσπότην καὶ Θεὸν καὶ φιλάνθρωπον, ἀλλὰ νῦν ἐπιστρέφοντα καὶ ἐξομολογούμενον τὰς ἁμαρτίας αὐτοῦ πρόσδεξαι τῇ ἀφάτῳ σου φιλανθρωπίᾳ, καὶ συναρίθμησον αὐτὸν τοῖς ἀξίως σοι δουλεύουσιν ἐν τῇ μοναδικῇ ταύτῃ καὶ ἀγγελικῇ πολιτείᾳ, διδοὺς αὐτῷ διὰ τῆς χάριτος καὶ ἐπιφοιτήσεως τοῦ ἁγίου σου Πνεύματος δύναμιν καὶ ἰσχὺν κατὰ τοῦ ἐχθροῦ, ὥστε πατεῖν καὶ συντρίβειν πάσας τὰς μεθοδείας αὐτοῦ, καὶ τειχίζεσθαι καὶ φρουρεῖσθαι τῇ ταπεινοφροσύνῃ καὶ τῇ φυλακῇ, καὶ τῇ τηρήσει τῶν σῶν ἁγίων ἐντολῶν. Σὺ γὰρ εἶ ὁ Θεὸς ἡμῶν,

Κύριε ὁ Θεὸς ἡμῶν, ἐλέησον ἡμᾶς. Ἀμήν. Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐλέησον ἡμᾶς. Κύριε, βοήθει. Ὁ ἅγιος Μάμας ὁ πρωτοποιμὴν εἶχε χιλιάδας αἶγας καὶ μυριάδας ἀμνάδας, καὶ ἐποίησε, τυροὺς καὶ κατέβαινεν εἰς πόλιν Καισαρείας, καὶ ἐρόγευεν αὐτὰ χήρας καὶ ὀρφανούς, καὶ τυφλούς, καὶ χωλούς, καὶ ἀδυνάτους. Ἰδὼν δὲ ὁ διάβολος τὸν ἅγιον Μάμαν, τοῦτο ποιοῦντα, ἐζήλωσεν αὐτόν, ἀνέστειλεν τὴν μοῖραν αὐτοῦ, λέγων· Ἐπάρατε τὰς ἑβδομήκοντα δύο αἰτίας καὶ βάλετε εἰς τὰς ἑβδομήκοντα δύο πηγὰς τῶν ὀρέων. Ὅταν δὲ ἦλθον εἰς τὰ ποίμνια τοῦ ἁγίου Μάμα, καὶ ἔπεσον καὶ ἀπέθανον, τότε ὁ ἅγιος Μάμας, πεσὼν ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν καὶ ἔκλαιε πικρῶς. Καὶ κατῆλθεν ὁ ἀρχάγγελος Μιχαὴλ ἐξ οὐρανοῦ, λέγων αὐτῷ· Μάμα, δοῦλε Κυρίου, τί ὀδύρεσαι; Καὶ εἶπε πρὸς τὸν ἄγγελον· κύριε, τὴν εὐλογίαν, ἣν ἔδωκέ μοι ὁ Χριστός, ἐζήλωσεν ὁ διάβολος καὶ ἀπέκτεινεν αὐτά. Καὶ λέγει αὐτῷ ὁ ἀρχάγγελος· ἀνάστα, Μάμα, καὶ ἔπαρε ἐκ τριῶν πηγῶν ὕδωρ καὶ βάλε εἰς τὸ ἀγγεῖον, καὶ ἆρον τὰ πρόβατα εἰς τόπον ἀπόκρυφον, καὶ κράτησον ἀγγεῖον, καὶ εἰπὲ τὴν εὐχὴν ταύτην· Κύριε, εὐλόγησον. Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ πᾶσαν αἰτίαν προβάτων καὶ αἰγῶν καὶ βοῶν ἰώμενος καὶ τὰς νόσους ἀράμενος, ἐπικαλούμεθά σου, Δέσποτα Κύριε, ὅτι διὰ τὴν ἡμετέραν παρακοὴν ἐπῆλθε φθορὰ καὶ διὰ τὴν ἄφατόν σου φιλανθρωπίαν ἦλθες καὶ ἔσωσες ἡμᾶς ἐκ τῆς πλάνης καὶ ἐπιβουλῆς τοῦ διαβόλου, καὶ τῶν ἐπιτηδευμάτων αὐτοῦ, κλῖνον τὸ οὖς σου καὶ ἐπάκουσόν μου, καὶ πρόσδεξαί μου τὴν ἐκτενήν, ὡς προσεδέξω τοῦ δικαίου σου Ἄβελ τὰ δῶρα ἐκ τῆς ποίμνης αὐτοῦ, ἴασαι καὶ εὐλόγησον τὰ πρόβατα καὶ τὰ κτήνη ταῦτα, ὡς εὐλόγησας τὰ ποίμνια τοῦ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ καὶ

Μωσῆ καὶ Ἀαρών· εὐδόκησον, Κύριε, τοῦ ῥύσασθαι τὰ πρόβατα καὶ τὰ κτήνη ταῦτα ἀπὸ πάσης νόσου, ἀπὸ ζήλου καὶ φθόνου, καὶ βαρουχίας, τυφλωσίας, λευκώματος, δρασμοῦ, συνδέσμων συνεπιστόνους(;), καὶ φουσγόνους, καὶ σπλήνας, καὶ χολῆς, καὶ βδέλλας, καὶ δυσεντερίας, καὶ γλωσσολυσίας, καὶ θυμοῦ, καὶ ψώρας, καὶ πλήθους, καὶ φθαρίου, καὶ καρκίνου, καὶ σκορδαίου, καὶ σκώληκος, καὶ μύξους καὶ ἐπιδρομῆς σταυρίδος(;), καὶ φλουμήδος(;), καὶ ἐντεροκουφισμοῦ, κρανιακοῦ, δαψιλήδος(;), σκλέπου, καὶ κρατονίου, καὶ λημίας, καὶ ταινίας, καὶ δυσσουρίας, καὶ ὑδρολικοῦ, τετανοσφίμου, συκαμίνου, καὶ σφαληγγίας(;), καὶ παραλύμου(;), καὶ σειριάσματος, καὶ φαρμακίου. Εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος καὶ διὰ πρεσβειῶν τοῦ ἁγίου Μάμαντος, Τάρσου, Θύρσου, Προκοπίου, Δομετιανοῦ, Παπᾶ, Βαβύλου, Παντελεήμονος, Νίκονος καὶ Νικάνδρου, Βαρβάρας καὶ Ἰουλιανῆς, Μαρίνας καὶ Ἀναστασίας, Πολυκάρπου, Ἀκινδύνου καὶ Ἀνεμποδίστου, Ἀφθονίου, Πηγασίου, Ἐλπιδοφόρου, εἰς τὸ ὄνομα τοῦ Πατρός.

л. 197. Ἀπορκισμὸς καὶ φυλακτήριον τοῦ ἁγίου Τρύφωνος περὶ τῆς ἀμπέλου, κήπου καὶ τῶν χωραφίων.

л. 200. Περὶ ὄφεως.

л. 202. Ἀκολουθία τοῦ ἁγιάσματος.

л. 217—220 Пасхалія.

**LXIV**. № 8 (182) Εὐχολόγιον, рукопись Святогробской библіотеки въ Константинополѣ XV вѣка, въ четверку, 194 листа, писана четкою скорописью на бомбицинѣ. Рукопись безъ начала и конца.

л. 1. Рукопись начинается чтеніями изъ пророка Іереміи, положенными на вечерни въ день Пятидесятницы. Вторая паремія: Ἐγένετο λόγος Κυρίου πρός με, λέγων· τί σὺ ὁρᾷς Ἱερεμία; καὶ εἶπον· βακτηρίαν καρυΐνην ἐγὼ ὁρῶ... Τέλος· Ὅτι μετὰ σοῦ ἐγώ εἰμι, τοῦ ἐξαιρεῖσθαί σε, λέγει Κύριος. 3 паремія: Τάδε λέγει Κύριος· ἐμνήσθην ἐλέους νεότητός σου καὶ ἀγάπης τελειώσεώς σου... Τέλος· ἐξέστη ὁ οὐρανὸς ἐπὶ τούτῳ καὶ ἔφριξεν ἐπὶ τοῦτο, λέγει Κύριος. Καὶ ἀναστὰς ὁ ἱερεὺς καὶ στὰς ἔμπροσθεν τῆς ἁγίας τραπέζης, ἐκφωνεῖ ἀσκεπὴς ὤν· Ἔτι καὶ ἔτι... Ἄχραντε, ἀμίαντε, ἄναρχε... и т. д., какъ у Гоара pag. 597—601 до послѣдней молитвы: Ὁ Θεὸς ὁ μέγας καὶ αἰώνιος... Goar. p. 601, которая, по этой рукописи, во первыхъ, читается тайно (μυστικῶς), а во вторыхъ, сравнительно съ подобною же молитвою, напечатанною у Гоара, значительно короче. Оканчивается она слѣ-

дующими словами: *Καὶ μετὰ παῤῥησίας δοξάσωμεν ἐπὶ πᾶσι σὲ τὸν μόνον ἀκατάληπτον ἀληθινὸν Θεὸν καὶ φιλάνθρωπον Σωτῆρα ἡμῶν.* Goar. pag. 601. Далѣе слѣдуютъ: Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας ἀχράντου... Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν... У Гоара напечатанъ другой возгласъ. Остальной порядокъ, какъ у Гоара.

л. 12 об. Ἀκολουθία τοῦ ἁγιασμοῦ τῶν ἁγίων Θεοφανίων. Goar. pag. 366.

Καὶ εὐθέως (т. е. послѣ евангелія) ἄρχεται ὁ διάκονος, εἴπερ ἐστί, τὰ διακονικὰ τοῦ ἁγιασμοῦ, ὧν λεγομένων, δίδονται κηρία τοῖς ἀδελφοῖς, ὁ δὲ ἱερεὺς ἀναγινώσκει καθ' ἑαυτὸν τὴν εὐχήν· Κύριε, ὁ μονογενής σου, εἰ δὲ οὐκ ἔστι διάκονος, λέγει τὴν εὐχὴν ὁ ἱερεύς, ἀναγινωσκομένων τῶν προφητειῶν, ἵνα ᾖ ἕτοιμος μετὰ τὸ πληρῶσαι τὰ διακονικὰ ἄρξασθαι τῆς ἑτέρας εὐχῆς. Τὰ διακονικά· Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τοῦ ἁγίου οἴκου... Ὑπὲρ τοῦ ἀρχιεπισκόπου... Ὑπὲρ τῶν εὐσεβεστάτων... Ὑπὲρ τοῦ ἁγιασθῆναι τὰ ὕδατα... Ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς ἐμπλησθῆναι τοῦ ἁγιασμοῦ τούτου διὰ τῆς τοῦ ὕδατος μεταλήψεως τῇ ἀοράτῳ ἐπιφανείᾳ τοῦ ἁγίου Πνεύματος... Ὑπὲρ τοῦ καταπεμφθῆναι αὐτῷ τὴν χάριν τῆς ἀπολυτρώσεως, τὴν εὐλογίαν τοῦ Ἰορδάνου... Ὑπὲρ τοῦ γενέσθαι αὐτῷ ἀφθαρσίας πηγὴ ἁγιασμοῦ... Ὑπὲρ τοῦ γενέσθαι πᾶσι τοῖς χρισμένοις ἐξ αὐτοῦ πίστει... Ὑπὲρ τοῦ γενέσθαι αὐτὸ φυλακτήριον καὶ ἁγιασμοῦ οἴκων... Ὑπὲρ τοῦ καταφοιτῆσαι... Ὑπὲρ τοῦ καταξιωθῆναι τὸν περιεστῶτα λαὸν ζωῆς αἰωνίου διὰ τοῦ ἁγιασμοῦ... Ὑπὲρ τοῦ εἰσακοῦσαι Κύριον τὸν Θεὸν τῆς ἡμετέρας δεήσεως καὶ ἀναδεῖξαι τὸ ὕδωρ τοῦτο σωτηριώδη πηγήν... Ὑπὲρ τοῦ ῥυσθῆναι... Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας... Ὅτι πρέπει σοι πᾶσα δόξα... Εἰρήνη πᾶσι. Τὰς κεφαλὰς ὑμῶν... Καὶ εὐχὴ μυστικῶς μέχρι τοῦ Ἀμήν. Κύριε, ὁ μονογενὴς Υἱός... Goar. pag. 368. Послѣ молитвы на главопреклоненіе Goar. pag. 371, положена еще εὐχὴ ἑτέρα· Ὁ Θεὸς ὁ Θεὸς ἡμῶν ὁ τὸ πικρὸν ὕδωρ ἐπὶ Μωϋσέως τῷ λαῷ εἰς γλυκύτατον. Goar. p. 363. Ἐκφώνησις· Σὺ γὰρ εἶ ἁγιασμός... Этою молитвою чинъ оканчивается. Далѣе нѣсколько листовъ вырвано.

л. 23. Конецъ молитвы: διὰ τὴν σωτηρίαν ἡμῶν τῶν ἁμαρτωλῶν, ὁ γινώσκων τὸ ἀσθενὲς τῆς φύσεως ἡμῶν... Goar. pag. 262.

— Εὐχὴ ἑτέρα τῆς λεγχώνας (sic).

Δέσποτα Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ τεχθεὶς ἐκ τῆς παναχράντου Δεσποίνης... Goar. pag. 261.

л. 24. Εὐχή, λεγομένη εἰς τὰς εὑρεθούσας γυναῖκας τῇ ὥρᾳ τῆς γεννήσεως.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὰ ἐν τῇ ὀθόνῃ εἰπὼν Πέτρῳ τῷ ἀποστόλῳ τὰ μιαρὰ καὶ ἀκάθαρτα πάντα καθαρὰ νομοθετήσας Прилож. стр. 6; Εὐχολ. Goar. p. 263 съ концемъ: καὶ ἀξίωσον αὐτὰς ἀμέμπτως εἰσελθεῖν ἐν τῇ ἁγίᾳ σου ἐκκλησίᾳ. Ὅτι σὺ ὑπάρχεις συμπαθὴς ἐπὶ τοῖς παραπτώμασιν.

— Εὐχὴ τῆς μαίας.

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τῷ ἐνυποστάτῳ σου λόγῳ... Goar. pag. 263.

л. 24 об. Εὐχὴ ἑτέρα· Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ μόνος ἀναμάρτητος, ὁ πλούσιος ἐν ἐλέει καὶ οἰκτιρμοῖς, ὁ μὴ βουλόμενος τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν, πρόσδεξαι καὶ τῆς δούλης σου ὁ δεῖνα τὴν μετάνοιαν, καὶ [1]) ἴασαι τὰ συντρίμματα αὐτῆς, καὶ δὸς αὐτῇ μετὰ φόβου καὶ ἀγάπης προσελθεῖν τῇ ἁγίᾳ σου ἐκκλησίᾳ καὶ προσελθεῖν τοῖς ἀχράντοις σου μυστηρίοις, καὶ ἀξίωσον αὐτὴν εὐαρέστως τοῦ δοξάζειν σε πάντοτε. Ὅτι ηὐλόγηται καὶ δεδόξασται τὸ πάντιμον... Τὴν τιμιωτέραν, καὶ γίνεται ἀπόλυσις.

л. 25. Εὐχὴ εἰς τὸ κατασφραγίσαι παιδίον, λαμβάνον ὄνομα τῇ ὀγδόῃ ἡμέρᾳ τῆς γεννήσεως αὐτοῦ.

Ἰστέον, ὅτι τῇ μετὰ τὴν γέννησιν... Прилож. стр. 6 ποιήσας οὖν ὁ ἱερεὺς εὐλογητὸν πρὸ τῶν πυλῶν τοῦ ναοῦ, σφραγίζει αὐτοῦ τὸ μέτωπον καὶ τὸ στόμα, καὶ τὸ στῆθος, καὶ λέγει· Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, σοῦ δεόμεθα... Goar. p. 264. Εὐχὴ ἑτέρα πρὸς ταύτην· Ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ διὰ τοῦ μεγαλοφωνοτάτου τῶν προφητῶν... Αὐτὸς ὁ φυλάσσων τὰ νήπια, Κύριε, εὐλόγησον καὶ τὸ παιδίον τοῦτο, καὶ καταξίωσον αὐτὸ δι' ὕδατος καὶ Πνεύματος τῆς τοῦ ἁγίου βαπτίσματος ἀναγεννήσεως, συγκαταριθμῶν αὐτὸ τῇ ἁγίᾳ ποίμνῃ τῶν λογικῶν προβάτων, τῶν ἐπικεκλημένων τὸ ὄνομα τοῦ Χριστοῦ σου... Goar. pag. 268. Λαβὼν δὲ ὁ ἱερεὺς τὸ παιδίον ἐκ τῶν ἀγκαλῶν τῆς μαίας, ἵσταται πρὸ τῶν πυλῶν τοῦ ναοῦ, λέγων τὸν ψαλμόν· Τὰ ῥήματά μου ἐνώτισαι, Κύριε... ἕως τὸ εἰσελεύσομαι εἰς τὸν οἶκόν σου, προσκυνήσω πρὸς ναὸν ἅγιόν σου, Κύριε. Καὶ εἰσέρχεται μέσον τοῦ ναοῦ, λέγων· Χαῖρε, κεχαριτωμένη

---

[1]) Ркп. Синайск. библ. XV в. № 988 καὶ καθάρισον αὐτῆς τὸν ῥύπον τοῦ σώματος καὶ τὸν σπῖλον τῆς ψυχῆς, καὶ καταξίωσον αὐτὴν ἀκατακρίτως μετασχεῖν τῶν ἀχράντων μυστηρίων καὶ προσπεσεῖν τοῖς οἰκτιρμοῖς σου. Ὅτι σὸν τὸ κράτος καὶ σοῦ ἐστὶν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ.

Θεοτόκε Παρθένε... Καὶ λαβὼν ὁ ἱερεὺς ἐκ τῆς κανδήλας ἔλαιον ἅγιον, χρίει τὸ μέτωπον τοῦ παιδός, λέγων· Χρίεται ὁ δοῦλος τοῦ Θεοῦ ἔλαιον ἀγαλλιάσεως, τὸν ἀῤῥαβῶνα τοῦ ἁγίου βαπτίσματος, εἰς τὸ ὄνομα τοῦ Πατρός... Εἶτα ἐπιδίδει τὸ παιδίον τῇ μαίᾳ, λέγων· Εἰρήνη πᾶσι. Τὰς κεφαλὰς ὑμῶν Εὐχή· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν τεσσαράκοντα ἡμέραις τοῦ νόμου εἰς τὸ ἱερὸν προσελθὼν ὑπὸ Μαρίας... Goar. p. 267. Εἶτα σφραγίζει τὸ μέτωπον τοῦ παιδὸς καὶ τὸ στόμα, καὶ τὸ στῆθος, καὶ ποιεῖ ἀπόλυσιν καὶ ἐξέρχεται.

л. 27 об. Εὐχὴ εἰς γυναῖκα τεσσαράκοντα ἡμερῶν τῆς γεννήσεως αὐτῆς.

Εὐλογεῖ ὁ ἱερεύς, Τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν, Ὅτι σοῦ ἐστίν, τροπάριον τῆς ἡμέρας. Σημείωσαι· Δεῖ γινώσκειν, ὅτι τῇ τεσσαρακοστῇ ἡμέρᾳ προσάγεται ἡ γεννήσασα γυνὴ τῷ ναῷ ἐπὶ τὸ ἐκκλησιασθῆναι, ἤγουν ἀρχὴν λαβεῖν εἰσάγεσθαι εἰς τὴν ἐκκλησίαν, μετὰ τοῦ παιδίου αὐτῆς, κεκαθαρμένης καὶ λελουμένης, καὶ κλινούσης ταύτης τὴν κεφαλὴν ἅμα τῷ βρέφει πρὸ τῶν πυλῶν τοῦ ναοῦ, τὴν τοῦ σταυροῦ σφραγίδα ποιῶν ὁ ἱερεύς, ἁπτόμενός τε τῆς κεφαλῆς, λέγει· Εἰρήνη πᾶσι. Τὰς κεφαλὰς ἡμῶν. Κύριε ὁ Θεὸς ἡμῶν, σοῦ δεόμεθα καὶ σὲ παρακαλοῦμεν καὶ ἱκετεύομεν... Goar. p. 267; Прилож. стр. 8. Εἰρήνη πᾶσι. Τὰς κεφαλάς. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ παραγενόμενος ἐπὶ σωτηρίαν τοῦ γένους τῶν ἀνθρώπων... Goar. p. 267. Τὴν τιμιωτέραν, καὶ γίνεται ἀπόλυσις καὶ ἐξέρχονται. Δεῖ γινώσκειν... Прилож. стр. 7; Goar. p. 265.

л. 29. Νομικὸν ἐκ τῶν τιη′. θεοφόρων πατέρων τῶν ἐν Νικαίᾳ. Χρὴ γινώσκειν, ὅτι εἰ αἱ πέντε μῆνας ἐγγυμονοῦσαι... Goar. p. 265.

л. 29 об. Εὐχὴ εἰς τὸ ποιῆσαι κατηχούμενον.

Ἀποδύει αὐτὸν καὶ ὑπολύει καὶ ἵστησιν αὐτόν... Прилож. стр. 9. Καὶ ἐμφυσᾷ τοῦ παιδὸς γ′. καὶ σφραγίζει τὸ μέτωπον αὐτοῦ καὶ τὸ στόμα, καὶ τὸ στῆθος καὶ λέγει· Ἐξέλασον ἀπ' αὐτοῦ... Прилож. стр. 10. Ἀποδυομένου δὲ καὶ ὑπολυομένου τοῦ βαπτιζομένου, ἵσταται, εἰ μέγας ἐστί, καὶ στρέφει αὐτὸν πρὸς δυσμάς, ἄνω τὰς χεῖρας ἔχοντα, καὶ λέγει ταῦτα ἐκ τρίτου, ἢ ὁ κατηχούμενος, ἢ ὁ ἀνάδοχος αὐτοῦ, ἐὰν ἐστὶ βρέφος, ἢ βάρβαρος·

Ἀποτάσσομαι τῷ σατανᾷ;
Καὶ πᾶσι τοῖς ἔργοις αὐτοῦ;
Καὶ πάσῃ τῇ λατρείᾳ αὐτοῦ [1]);
Καὶ πάσῃ τῇ πομπῇ αὐτοῦ;
Καὶ πᾶσι τοῖς ἀγγέλοις αὐτοῦ;

---

[1]) Этого стиха нѣтъ въ Пандократор.-Аѳон. ркп. XV в. № 149.

Καὶ ἀποκρίνεται ὁ κατηχούμενος πρὸς ἕκαστον τούτων[1]) ἢ ὁ ἀνάδοχος. Καὶ ὅτε εἴπῃ τρίτον, πάλιν λέγει. Ἐρώτησις· Ἀπετάξω τῷ σατανᾷ; Καὶ ἀποκρίνεται[2]). Ἀπόκρισις· Ἀπεταξάμην. Καὶ ὅτε εἴπῃ τρίς[3]), λέγει· (Ἔ)μπτυσον αὐτῷ. Ὕπαγε ὀπίσω μου, σατανᾶ[4]). Εἶτα ἱστᾷ αὐτὸν κατὰ ἀνατολάς, κάτω τὰς χεῖρας ἔχοντα, καὶ λέγει[5]). Ἐρώτησις· Συντάσσεσαι τῷ Χριστῷ; Καὶ ἀποκρίνεται· Καὶ συντάσσομαι καὶ προσκυνῶ αὐτόν. Καὶ λέγει· Πιστεύω εἰς ἕνα Θεόν. Ἀποκρινομένου καθ' ἕκαστον τοῦ ἀναδόχου, ὡς εἴρηται, καὶ ὅτε πληρώσῃ τοῦτο τρίς, ἐρωτᾷ ὁ ἱερεὺς τὸν βαπτιζόμενον[6])· Συνετάξω τῷ Χριστῷ; Καὶ ἀποκρίνεται· Συνεταξάμην. Καὶ ὅτε εἴπῃ τοῦτο γ'. λέγει· Προσκύνησον αὐτόν. Καὶ προσκυνήσας ὁ βαπτιζόμενος, ἢ ὁ ἀνάδοχος[7]) λέγει· Προσκυνῶ Πατέρα, Υἱὸν καὶ ἅγιον Πνεῦμα, Τριάδα ὁμοούσιον καὶ ἀχώριστον τὴν βασιλεύουσαν εἰς αἰῶνα αἰῶνος. Ἀμήν. Снес. Прилож. стр. 10 и 11. Καὶ οὕτως εὔχεται ὁ ἱερεύς, λέγων· Τοῦ Κυρίου δεηθῶμεν. Δέσποτα ὁ Θεός, προσκάλεσαι τὸν δοῦλόν σου... Goar. pag. 278. Εἶτα ἀπέρχεται ἐν τῇ κολυμβήθρᾳ[8]) καί, βαλόντες ἐν αὐτῇ ὕδατος χλιαροῦ, θυμιᾷ κύκλῳ καὶ λέγει· Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῆς εἰρήνης... Ὑπὲρ τοῦ ἁγίου οἴκου... Ὑπὲρ τοῦ ἁγιασθῆναι... Ὑπὲρ τοῦ καταπεμφθῆναι... Ὑπὲρ τοῦ προσερχομένου... Ὑπὲρ τοῦ γενέσθαι... Ὑπὲρ τοῦ ῥυσθῆναι... Ἀντιλαβοῦ, σῶσον... Goar. p. 287. Εἰρήνη πᾶσι. Τὰς κεφαλάς. Καὶ ἡ εὐχὴ μυστικῶς μέχρι τοῦ Ἀμὴν Ὁ εὔσπλαγχνος καὶ ἐλεήμων Goar. pag. 288—289. При словахъ: Συντριβήτωσαν ὑπὸ τὴν σημείωσιν... замѣчено: καὶ ἐμφυσᾷ τὸ ὕδωρ καὶ σφραγίζει ἐκ τρίτου, λέγων· Εἰρήνη πᾶσι. Τὰς κεφαλάς. Λαβὼν τοίνυν ὁ διάκονος[9]) τὸ ἀγγεῖον τοῦ ἐλαίου[10]), ἐμφυσᾷ αὐτῷ τρίτον ὁ ἱερεὺς καί, κλίνας ὁ ἱερεὺς τὴν κεφαλήν, εὔχεται μυστικῶς· Δέσποτα Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν... Goar. pag. 289. Καὶ λαβὼν ὁ ἱερεὺς τὸ τρυβλίον τοῦ ἁγίου ἐλαίου, λέγει· Πρόσχωμεν. Καὶ ποιεῖ ἐξ αὐτοῦ εἰς τὸ ὕδωρ σταυροὺς γ'. ψάλλων τὸ Ἀλληλούια γ'.[11]) Ἐκφώνησις· Εὐλογητὸς ὁ Θεός, ὁ φωτίζων... Καὶ προσφέρεται ὁ βαπτιζόμενος[12]), καὶ

---

[1]) Ркп. Синайск. библ. № 988 ἐκ τρίτου, καὶ μετὰ τοῦτο πάλιν λέγει ὁ ἱερεύς· Ἀπετάξω. [2]) ὁ κατηχούμενος [3]) ἐμφυσᾷ ὁ ἱερεὺς τὸ μέτωπον αὐτοῦ γ'. καὶ τότε λέγει· Ὕπαγε [4]) καὶ τοῦτο ποιήσαντος, ἱστᾷ αὐτὸν [5]) ἐκ τρίτου· Καὶ συντάσσομαι τῷ Χριστῷ καὶ Πιστεύω εἰς ἕνα... καὶ ἑξῆς μέχρι τέλους [6]) πάλιν γ'. καὶ λέγει [7]) этого замѣчанія нѣтъ [8]) καὶ θυμιᾷ σταυροειδῶς καὶ λέγει τὰς αἰτήσεις [9]) ὁ ἀνάδοχος [10]) καὶ κλίνας ὁ ἱερεὺς τὴν κεφαλὴν εἰς τὸ ἀγγεῖον τοῦ ἐλαίου, βασταζόμενον ὑπὸ τοῦ διακόνου, καὶ ἐμφυσᾷ αὐτῷ γ'. καὶ σφραγίζει τρίτον, καὶ λέγει τὴν εὐχήν· Δέσποτα Κύριε... [11]) σὺν τῷ λαῷ, εἶτα ἐκφωνεῖ [12]) ἐπ

χρίει αὐτὸν ὁ ἱερεὺς ἐκ τοῦ ἁγίου ἐλαίου τὸ μέτωπον αὐτοῦ καὶ τὸ στῆθος, καὶ τὰ μετάφρενα, καὶ λέγει· Χρίεται ὁ δοῦλος τοῦ Θεοῦ... Εἶτα χρίεται ἐκ τοῦ ἁγίου ἐλαίου ὁ βαπτιζόμενος ὅλον τὸ σῶμα ὑπὸ τῆς μαίας[1]), ἢ ὑπὸ τοῦ διακόνου[2]). Καὶ δήσας ὁ ἱερεὺς τὸ μανδήλιον, τίθει αὐτὸ ἐπὶ τοῦ τραχήλου, καὶ λαβὼν τὸ παιδίον, βαπτίζει αὐτὸν ὁ ἱερεύς, λέγων· Βαπτίζεται ὁ δοῦλος... Ἐν ἑκάστῃ προῤῥήσει κατάγων αὐτὸν καὶ ἀνάγων εἰς τὸ ὕδωρ, εἶτα ψάλλει· Μακάριοι ὧν... Τοῦτο λέγει τρίτον καὶ δοξάζει. Καὶ λαβὼν ὁ ἀνάδοχος τὸ παιδίον εἰς τὰς ἀγκάλας αὐτοῦ, χρεμάμενον εἰς τὸ μανδήλιον, ἐνδύει αὐτὸν ὁ ἱερεὺς τὸν χιτωνίσκον, λέγων· Ἐνδύεται ὁ δεῖνα χιτῶνα ἀφθαρσίας καὶ ἀγαλλιάσεως εἰς τὸ ὄνομα... Καὶ τὸ ψάλλει ἦχος πλ. δ'. Χιτῶνά μοι παράσχου... Εἰς τὸ σταύρωμα ψάλλει, ἦχος πλ. δ'. Τῷ σταυρῷ ἐνδέδυμαι τὸ βάπτισμα εἴληφα, τὴν πηγὴν τοῦ λουτροῦ τοῦ ἁγίου Πνεύματος. Εἰς τὴν ζώνην λέγει· Περιζώννυται τὴν ὀσφὺν ὁ δοῦλος τοῦ Θεοῦ εἰς τὸ ὄνομα... Εἶτα λέγει τὴν εὐχὴν ταύτην· Εὐλογητὸς εἶ, Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ... Goar. p. 290. Εἶτα ψάλλουσιν· Ὅσοι εἰς Χριστόν, ἐκ γ'. Καὶ λαβὼν ὁ ἱερεὺς τὸ μύρον, χρίει τὸν βαπτιζόμενον, λέγων ἐπὶ τοῦ μετώπου καὶ τῶν μεταφρένων, καὶ τῶν δύο ὤτων· Σφραγὶς δωρεᾶς... Εἰς τὰ ὦτα λέγει· Εἰς ἀκοὴν πίστεως. Εἰς τὰς χεῖρας· Εἰς πᾶν ἔργον ἀγαθόν. Εἶτα ἀπέρχεται καὶ τελεῖ τὴν θείαν λειτουργίαν.

л. 41 об. Εὐχὴ εἰς τὸ ἀπολοῦσαι τὸν νεοφώτιστον τῇ ὀγδόῃ ἡμέρᾳ τῇ μετὰ τὸ βάπτισμα.

Ὁ λύτρωσιν ἁμαρτιῶν... Goar. pag. 303. Ὁ δὲ ἱερεύς, λαβὼν σπόγγον ἐξ ὕδατος, ἀποσπογγίζει τὸ μέτωπον τοῦ βαπτισθέντος καὶ τὰ ὦτα, λέγων· Ἐφωτίσθης, ἡγιάσθης, ἀπελούσθης, εἰς τὸ ὄνομα τοῦ Πατρός.

л. 42 об. Εὐχὴ εἰς τὸ ἀπολοῦσαι νεοφώτιστον· Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ διὰ τῆς κολυμβήθρας... Goar. pag. 304. Εἰρήνη πᾶσι. Τὰς κεφαλὰς ἡμῶν. Οἱ ἐνδυσάμενοί σε τὸν Χριστὸν καὶ Θεὸν ἡμῶν... Ibidem.

---

τῶν πρεσβυτέρων, καὶ λαβὼν ὁ ἱερεὺς ἐκ τοῦ ἁγίου ἐλαίου τῷ δακτύλῳ αὐτοῦ, ποιεῖ σταυροῦ τύπον.

[1]) Нѣтъ. [2]) На той же самой страницѣ рукою XVI столѣтія сдѣланы приписки о томъ, какія слова нужно произносить священнику при помазаніи частей тѣла. Λέγει ἐν τῷ μετώπῳ· Σφραγὶς δωρεᾶς... Εἰς τὰ ὦτα· Εἰς ἀκοὴν πίστεως καὶ φόβου Θεοῦ. Εἰς ὀφθαλμούς· Φώτισον τοὺς ὀφθαλμούς. Ἐν τῷ στόματι· Παῦσον γλῶσσάν σου. Ἐν τῇ καρδίᾳ· Καρδίαν καθαρὰν κτίσον... Εἰς χεῖρας· Εἰς πᾶν ἔργον ἀγαθόν. Εἰς τοὺς πόδας· Τοῦ πατεῖν ἐπάνω ὁδούς.

л. 43. Εὐχὴ εἰς τὸ ἀποκουρεῦσαι παιδίον.

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τῇ εἰκόνι σου τιμήσας τὸν ἄνθρωπον... Goar. pag. 306. Καὶ λαβὼν τὸ ψαλλίδιον, κουρεύει τὴν κόμην τῆς κεφαλῆς, λέγων· Κείρεται τὴν κόμην τῆς κεφαλῆς ὁ δοῦλος τοῦ Θεοῦ ὁ δεῖνα... Καὶ λαβὼν τὰς τρίχας, σμίγει ταύτας μετὰ κηροῦ, εἶτα λέγει· Εἰρήνη πᾶσι. Τὰς κεφαλάς... Σὲ ἱκετεύομεν, Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐκ τοῦ πληρώματος τῆς κολυμβήθρας... Goar. pag. 306 съ прибавкою словъ: καὶ εὐαρεστήσει σοι ἐν ἔργοις καλοῖς καὶ ἀγαθοῖς, οἷσπερ ἡτοίμασας, ἵνα ἐν αὐτοῖς περιπατήσῃ. Ὅτι σὺ εἶ ὁ εὐλογῶν καὶ ἁγιάζων καὶ πληθύνων τὰ σύμπαντα, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν... Καὶ γίνεται ἀπόλυσις.

л. 44 об. Ἀκολουθία εἰς μνῆστρα. Ἀρχὴ τοῦ ἀῤῥαβῶνος.

Ἵσταται ὁ μὲν πρεσβύτερος ἐν τῷ ἱερατείῳ, οἱ δὲ ἁρμοζόμενοι πρὸ τῶν θυρῶν, καὶ λαβὼν ὁ πρεσβύτερος τὰ δακτυλίδια τῶν νεωτέρων καὶ τίθει αὐτὰ ἐν τῷ εὐαγγελίῳ, εἶθ' οὕτως ποιεῖ Εὐλογητόν, Τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν, Ὅτι σοῦ ἐστίν, τὸ ἀπολυτίκιον τῆς ἡμέρας, καὶ κοντάκιον, εἶθ' οὕτως τὴν εὐχήν. Τοῦ Κυρίου δεηθῶμεν. Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἀποστείλας τὴν ἀλήθειάν σου εἰς τὴν κληρονομίαν[1]) σου[2]) καὶ τοῖς πατράσιν ἡμῶν τοῖς ἐκλεκτοῖς σου, Αὐτὸς ἐξαπόστειλον τὸ ἔλεός σου ἐφ' ἡμᾶς καὶ τοὺς δούλους σου τούσδε, καὶ στήριξον τὸν ἀῤῥαβῶνα αὐτῶν ἐν πίστει καὶ ἀγάπῃ[3]), εὐλόγησον τὰ δακτυ-

---

[1]) Ркп. Лавры пр. Аѳанасія XIII в. καὶ τὴν ἐπαγγελίαν σου ἐπὶ τοὺς δούλους σου τοῖς πατράσιν ἡμῶν τῶν καθ' ἑκάστην γενεὰν καὶ γενεὰν τοῖς ἐκλεκτοῖς, Αὐτὸς ἐξαπόστειλον τὴν ἀλήθειάν σου καὶ τὴν ἐπαγγελίαν σου ἐπὶ τὸν δοῦλόν σου ὁ δεῖνα καὶ ἐπὶ τὴν δοόλην σου ἡ δεῖνα καὶ στήριξον. [2]) Ркп. XVI в. Свят.-гроб. библ. № 68 ἐπὶ τῶν δούλων σου τούτων στήριξον τὸν ἀῤῥαβῶνα. [3]) Прибавлоно: διὰ δακτυλιδίου. Ркп. Лавры XIII в. σφραγισθήσονται θησαυροὶ καὶ οἶκοι φυλαχθήσονται· διὰ δακτυλιδίου ἐδόθη ἐξουσία τῷ Ἰωσὴφ ἐν Αἰγύπτῳ, διὸ καὶ [3]) ркп. № 68 Свят.-гроб. библ. σφραγισθήσονται θησαυροὶ καὶ οἰκίαι φυλαχθήσονται, διὰ δακτυλιδίου ἐκηρύχθη Χαναὰν ἐκ Ναζαρὲτ καὶ διὰ δακτυλιδίου ἐξουσία τῷ Ἰωσὴφ ἐν Αἰγύπτῳ ἐδόθη, δι' οὗ καὶ ὁ πατὴρ ἐλεήμων γέγονεν ἐπὶ τὸν υἱὸν αὐτοῦ καὶ ἰδὼν αὐτὸν εἶπεν· δότε τὸ δακτυλίδιον εἰς τὴν δεξιὰν αὐτοῦ καὶ ἐξενέγκατε τὴν στολὴν τὴν πρώτην, ἐνδύσατε αὐτὸν καὶ θύσατε τὸν μόσχον τὸν σιτευτὸν καὶ φαγόντες εὐφρανθῶμεν. Καὶ νῦν, Κύριε, εὐλόγησον τοὺς δούλους σου τούτους εὐλογίαν τὴν οὐρανόθεν· τῷ λόγῳ σου τῷ ἀληθινῷ οἱ οὐρανοὶ ἐστερεώθησαν καὶ πάντα τὰ ἐν αὐτοῖς καὶ ἡ δεξιά(;) σου τῇ δεξιᾷ σου φυλαχθήσονται, καὶ εὐφροσύνην στῆσον ἐνώπιον αὐτῶν, λυτρούμενος αὐτοὺς ἀπὸ πάσης ἐπιβουλῆς τοῦ ἐχθροῦ. Ὅτι ἐλεήμων.

λοθέσια αὐτῶν τῇ δεξιᾷ σου χειρί, καὶ εὐλογηθήσονται ἐν χαρᾷ καὶ εὐφροσύνῃ, καὶ ἄγγελος ἀγαθὸς ἔστω πρὸ προσώπου αὐτῶν, ῥυόμενος αὐτοὺς ἀπὸ πάσης διαβολικῆς ἐνεργείας, πάντοτε νῦν καὶ ἀεί... Εὐχὴ ἑτέρα· Πάτερ ἀγαθὲ καὶ φιλάνθρωπε, τὸν ἀῤῥαβῶνα τοῦτον ἰσχυρὸν καὶ βέβαιον διατήρησον, ἵνα γένηται αὐτοῦ τὸ συνάλλαγμα εἰς πολὺν χρόνον καὶ ἀδιάλειπτον. Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος... Τὰ εἰρηνικά· Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῆς εἰρήνης... Ὑπὲρ τοῦ ἁγίου οἴκου... Ὑπὲρ τῶν εὐσεβεστάτων... Ὑπὲρ τοῦ εὐλογηθῆναι τὰ μνῆστρα ταῦτα... Ὑπὲρ τῶν νῦν μνηστευομένων πρὸς γάμου κοινωνίαν καὶ συμβίωσιν... Ὅπως Κύριος ὁ Θεὸς χαρίσηται αὐτοῖς σωφροσύνην καὶ μακροημέρευσιν καὶ τὴν εἰς ἀλλήλους ἀγάπην... Ὑπὲρ τοῦ δούλου τοῦ Θεοῦ ὁ δεῖνος καὶ τῆς δούλης τοῦ Θεοῦ ἡ δεῖνα καὶ τῆς ἐν Θεῷ ἀγάπης καὶ σωτηρίας αὐτῶν... Ὑπὲρ τοῦ παρασχεθῆναι αὐτοῖς τε καὶ ἡμῖν πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα... Ὑπὲρ τοῦ ῥυσθῆναι... Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας... Ὅτι πρέπει. Ὁ ἱερεὺς εὔχεται. Τοῦ Κυρίου δεηθῶμεν. Δέσποτα φιλάνθρωπε Κύριε, ὁ διὰ τῆς προφητικῆς φωνῆς ἐνισχύσας, ὅτι παρὰ σοὶ ἁρμόζεται ἀνδρὶ γυνή, σὺ καὶ τὴν παροῦσαν μνηστείαν ἀξίωσον[1]) τῆς παρὰ σοῦ εὐλογίας, καὶ συμπλήρωσον τὴν συζυγίαν[2]) τῶν δούλων σου ὁ δεῖνος καὶ ἡ δεῖνα ἄμεμπτον[3]), εὐάρεστον τῷ ζωοποιῷ σου θελήματι· Σὺ γὰρ εἶ ὁ Θεὸς ἡμῶν ὁ ἀπὸ γῆς πλάσας τὸν ἄνθρωπον καὶ ἔδωκας αὐτῷ βοηθὸν κατ' αὐτοῦ, τὴν ἐκ πλευρᾶς αὐτοῦ πλασθεῖσαν γυναῖκα, καὶ ζεύξας αὐτοὺς εἰς κοινωνίαν καὶ εἰς διαδοχὴν παίδων, καὶ αὔξησιν τοῦ γένους τῶν ἀνθρώπων· καὶ νῦν, Κύριε, εὐλόγησον τὴν μνηστείαν τοῦ δούλου σου ὁ δεῖνος καὶ ἡ δεῖνος, καὶ ἀξίωσον αὐτοὺς πληθυνθῆναι ἐν τῷ πλήθει τῶν οἰκτιρμῶν σου, καὶ δὸς αὐτοῖς καρπὸν εὐλογίας, καὶ τρόπον εὐσε-

---

[1]) Типик. 1468 г. Ватоп. библ. καταξίωσον καὶ πνευματικῆς εὐλογίας [2]) τὴν εὐλογίαν [3]) καὶ ἀνεπίληπτον εὑρεθῆναι καὶ εὐαρέστους τῶν ζωοποιῶν σου θελημάτων, χάρισαι αὐτοῖς πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα, συμφωνίαν πίστεως καὶ ἔργα δικαιοσύνης, αὔξησον αὐτοὺς ἐν τῷ πλήθει τῶν οἰκτιρμῶν σου, τὴν εἰρήνην τῶν ἁγίων σου ἀποστόλων, βράβευσον ἐν ταῖς καρδίαις αὐτῶν καὶ τῷ σῷ φόβῳ ὁδήγησον αὐτοὺς πάσας τὰς ἡμέρ ς τῆς ζωῆς αὐτῶν, σκέπασον αὐτοὺς ἐν τῇ σκέπῃ τῶν πτερύγων σου, ἄῤῥ κτον τὸ πέρας αὐτῶν διατήρησον τὸν τῆς ἀσφαλείας νόμον, ὁ τὰ διῃρημένα εἰς ἑνότητα συνάψας καὶ ποιήσας τὰ ἀμφότερα ἓν· πλήρ μα γὰρ νόμου ὑπάρχων, καὶ ἡμῖν προσέταξας ἀγῶνα ἀγαθῶν, καὶ νῦν, εὔσπλαγχνε Κύριε, καταξίωσον τοὺς δούλους σου τοὺς μνηστευομένους σωφρόνως καὶ ἀμέμπτως καὶ εὐσεβῶς διαπράξαντας ἐν τῇ συναφείᾳ αὐτῶν, ἵνα καὶ τὸν νυμφικὸν γάμον καταξιωθέντες ἰδεῖν τοὺς στεφάνους τῆς χάριτός σου δέξωνται, δοξάζοντες σὺν ἡμῖν τὸ πανάγιον ὄνομά σου τοῦ Πατρ ς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος.

βείας καὶ συμφωνίαν πίστεως καὶ σωφροσύνης, ἵνα, κατὰ σάρκα καὶ κατὰ πνεύματα καὶ κατὰ ψυχὴν ἑνωθέντες τῷ φόβῳ σου τῶν παρὰ σοῦ καταξιωθῶσιν εὐλογιῶν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ... Εὐχὴ ἑτέρα· Ὁ Θεὸς ὁ αἰώνιος, ὁ τὰ διῃρημένα συναγαγὼν εἰς ἑνότητα καὶ σύνδεσμον διαθέσεως τιθεὶς ἄῤῥηκτον, ὁ εὐλογήσας Ἰσαὰκ καὶ Ῥεβέκκαν. Goar. p. 311. Καὶ λαβὼν ὁ ἱερεὺς τὰ δακτυλίδια, ἐπιδίδει τὸ μὲν χρυσοῦν τῷ ἀνδρί, τὸ δὲ ἀργυροῦν τῇ γυναικί, καὶ ἀλλάσσουσιν αὐτὰ ἐκ τρίτου. Εἶτα λέγει τὴν εὐχὴν ταύτην. Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὴν ἐξ ἐθνῶν προμνηστευσάμενος ἑαυτῷ ἐκκλησίαν... καὶ φύλαξον αὐτοὺς ὑπὸ τὴν σκέπην τῶν πτερύγων σου ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ. Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος... Conf. Goar. p. 311. (Далѣе нѣсколько листовъ вырвано). Ὑπὲρ τοῦ ῥυσθῆναι... Очевидно, конецъ ектеньи въ чинѣ вѣнчанія. За возгласомъ: Ὅτι πρέπει... Καὶ εὐχαί. Τοῦ Κυρίου δεηθῶμεν. Ὁ Θεὸς ὁ ἅγιος, ὁ πλάσας τὸν ἄνθρωπον καὶ ἐκ τῆς πλευρᾶς αὐτοῦ ἀνοικοδομήσας γυναῖκα... Goar. p. 317. Εὐλογητὸς εἶ, Δέσποτα παντοκράτωρ, ὁ τῆς ζωῆς ἀρχηγὸς καὶ τῶν αἰωνίων ἀγαθῶν δοτήρ, ὁ στιλβώσας τὸ φῶς καὶ καλέσας ἡμέραν, ὁ τῇ μεγάλῃ σου σοφίᾳ συστησάμενος τὸν κόσμον καὶ τῇ ἀῤῥήτῳ σου βουλῇ παραθεὶς τὴν εὐπρέπειαν τοῦ κόσμου, ὁ τὸν δροσοβόλον οὐρανὸν καμαρώσας, καὶ τὸν ἀκτινόμορφον ἥλιον περιβολὴν φωτὸς ἀμφιάσας, καὶ τὴν τῶν ἀστέρων μορφὴν συμφαιδρύνας, ὁ τὴν φεγγοειδῆ σελήνην διαυγάσας, καὶ ταύτην ὡς νύμφην νυμφῶνος πορεύεσθαι δᾳδουχήσας, ὁ τὰς ὀμβροτόκους νεφέλας διαπετάσας καὶ τὰ ἄνθη κελεύσας ἐκθάλπειν, ὁ τὴν ζωογόνον γῆν καρποφορεῖν κατὰ καιρὸν τῷ κόσμῳ ἐπαγγειλάμενος[1]), ὁ τὴν μεγάλην καὶ εὐρύχωρον θάλασσαν ὁροθετήσας, καὶ ἐν αὐτῇ ζῶα ἀναρίθμητα ἐμφωλεύσας[2]), ὁ τοῦ μυστικοῦ γάμου νομοθέτης καὶ τῆς ἱερᾶς καὶ ἀφθάρτου νύμφης νυμφοστόλος, καὶ τοῖς ἐπ' ἐλπίδι[3]) νυμφαγωγός, ὁ τῆς παρθενίας νυμφίος καὶ τοῦ νομικοῦ γάμου στεφανωτής, καὶ τῆς βιωτικῆς κοινωνίας ἀγαθὸς οἰκονόμος. Αὐτὸς οὖν, φιλάνθρωπε βασιλεῦ, ἔπλασας τὸν ἄνθρωπον καὶ ἔθηκας[4]) αὐτὸν ἐπὶ τὸν κόσμον καὶ εἶπας· οὐ καλὸν εἶναι τὸν ἄνθρωπον μόνον ἐπὶ τῆς γῆς, ποιήσωμεν οὖν βοηθὸν κατ' αὐτοῦ[5])· ἐν ἐκστάσει οὖν ὕπνῳ κορέσας αὐ-

---

[1]) Ркп. 1426 г. Синайск. библ. № 968 παρέχειν [2]) τῇ κελεύσει σου καὶ τοῦ μυστικοῦ καὶ ἀχράντου καὶ σωματικοῦ γάμου [3]) νυμφευομένοις νυμφαγωγὸς καὶ τοῦ γάμου στεφανωτής, ὁ τῆς ἀφθαρσίας φύλαξ καὶ τῆς βιωτικῆς κοινωνίας ἀγαθὸς οἰκονόμος [4]) θέμενος ἐν πάσῃ τῇ κτίσει [5]) καὶ λαβὼν μίαν τῶν πλευρῶν.

τὸν ἔλαβες μίαν τῶν πλευρῶν τοῦ Ἀδὰμ καὶ ἔπλασας αὐτὴν εἰς γυναῖκα[1]), καὶ ἰδὼν αὐτὴν Ἀδὰμ εἶπε· τοῦτο ἦν ὀστοῦν ἐκ τῶν ὀστέων μου, καὶ σάρξ ἐκ τῆς σαρκός μου, αὕτη κληθήσεται γυνή, ὅτι ἐκ τοῦ ἀνδρὸς αὐτῆς ἐλήφθη αὕτη, ἕνεκεν τούτου καταλήψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται τῇ ἰδίᾳ γυναικί, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν, καὶ οὓς ὁ Θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω· αὐτὸς γὰρ εἶπας, Κύριε· αὐξάνεσθε καὶ πληθύνεσθε καὶ πληρώσατε τὴν γῆν[2]) κατὰ τὴν λαμπρότητα τῶν ἀστέρων καὶ τὴν σοφίαν[3]). Αὐτὸς Δέσποτα, ἐξαπόστειλον τὸν ἀρχάγγελόν σου Μιχαήλ, τὸν νυμφῶνα τοῦ παστοῦ εὐτρεπίσαι, καὶ τὸν Γαβριὴλ τὰς συζυγίας[4]) καὶ τὰ στέφανα συμπλέξαι. Ὅτι σὺ εἶ ὁ εὐλογῶν καὶ ἁγιάζων... Καὶ παραδίδει ἀλλήλοις τὰς χεῖρας τὰς δεξιάς, λέγων· Παράλαβε[5]) Μαρίαν[6]) τὴν γυναῖκά σου. Καὶ εὔχεται· Τοῦ Κυρίου δεηθῶμεν. Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τῶν ἁπάντων Πατήρ, ὁ χεῖρα πρὸς χεῖρα διδούς, Ἰησοῦς Χριστὸς ἐστεφάνωσε, τὸ Πνεῦμα τὸ ἅγιον ἐνυμφαγώγησεν, ὁ ἥλιος καὶ ἡ σελήνη παρίστανται, καὶ πᾶσαι στρατιαὶ τῶν ἀγγέλων[7])· εὐλογήθης, νύμφη, ὡς εὐλογήθη Ἀβραάμ, ἐδοξάσθης, ὡς ἐδοξάσθη Ἰσαάκ, δοθήσεταί σοι χάρις[8]), ὡς τῇ Ἄννῃ, καὶ σοφία, ὡς τῇ Μαριάμ, καὶ ἔσῃ[9]) εὐλογημένη ἐν ὀνόματι Κυρίου[10]) Θεοῦ παντοκράτορος, αὐξάνεσθαι εἰς χιλιάδας καὶ μυριάδας. Εὐλόγησον αὐτούς, Κύριε ὁ Θεὸς ἡμῶν, ὡς εὐλόγησας τὸν Ἀβραὰμ καὶ τὴν Σάῤῥαν, εὐλόγησον αὐτούς, Κύριε ὁ Θεὸς ἡμῶν, ὡς εὐλόγησας τὸν Ἰωσὴφ καὶ τὴν Ἀσυνέθ[11]), εὐλόγησον αὐτούς, Κύριε ὁ Θεὸς ἡμῶν, ὡς εὐλόγησας Ζαχαρίαν καὶ τὴν Ἐλισάβετ, διὸ ἐβλάστησας ἐξ αὐτῶν τὸν[12]) Πρόδρομον Ἰωάννην, εὐλόγησον αὐτούς, Κύριε ὁ Θεὸς ἡμῶν,

---

[1]) Ркп. № 968 καὶ εἰπών· τοῦτο οὖν ὀστοῦν ἐκ τῶν ὀστέων μου [2]) καὶ κατακυριεύσατε αὐτήν [3]) καὶ εὐτρέπισον τὸν νυμφῶνα τοῦ παστοῦ [4]) ἔπλεκεν, ὁ ἥλιος καὶ ἡ σελήνη ἀκτινοφόροι παρίσταντο, πᾶσα δὲ ἡ κτίσις εὐφραίνετο, ὅτε ὁ γάμος ἐπετελεῖτο, καὶ νῦν, Δέσποτα Κύριε, ἐνταῦθα παραγένου καὶ εὐλόγησον τοὺς νυμφίους τούτους. Ὅτι ἡγίασται καὶ δεδόξασται. [5]) Рук. Синайск. библ. № 988 нѣтъ этой формулы. [6]) Вмѣсто этого: ἄνδρα [7]) Ркп. XV в. Пант. Аѳон. мон. № 364 ἐπιθυμοῦσαι ἔτρεχον ἰδεῖν, εὐλογήθης, νυμφίε [8]) ὡς τὸν Δαβὶδ καὶ σοφία ὡς τὸν Σολομών, καὶ σύ, νύμφη, εὐλογήθης ὡς ἡ Σάῤῥα, ἐπληθύνθης ὡς ἡ Ῥαχήλ, δοθήσεταί σοι χάρις, ὡς τῇ Ἄννῃ [9]) ἔσεσθαι [10]) τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν, αὐξάνεσθαι εἰς χιλιάδας καὶ πληθύνεσθαι εἰς μυριάδας, καὶ αἰνέσατε Κύριον τὸν Θεόν, τὸν ποιήσαντα ἡμᾶς, εὐλόγησον αὐτούς [11]) εὐλόγησον αὐτούς, Κύριε ὁ Θεὸς ἡμῶν, ὡς εὐλόγησας Μωσῆ καὶ Σεπφώραν, εὐλόγησον αὐτούς, Κύριε ὁ Θεὸς ἡμῶν, ὡς εὐλόγησας τὸν Δαβὶδ καὶ τὴν Μαλχῶ [12]) δίκαιον καὶ Πρόδρομον καὶ Βαπτιστήν.

ὡς εὐλόγησας τὸν Ἰωακεὶμ καὶ τὴν Ἄνναν, διὸ ἐβλάστησας ἐξ αὐτῶν τὴν [1]) Δέσποιναν Θεοτόκον, εὐλόγησον αὐτούς, Κύριε ὁ Θεὸς ἡμῶν, ὡς εὐλόγησας τοὺς δύο υἱοὺς Ζεβεδαίου, Ἰάκωβον καὶ Ἰωάννην. Στεφάνωσον αὐτούς [2]), ὡς ἐστεφάνωσας τοὺς ἁγίους σου παῖδας, εὔφρανον αὐτοὺς ἐπὶ τέκνα τῶν τέκνων, ἵνα ὑμνοῦσί σε τὸν μόνον ἀληθινὸν καὶ φιλάνθρωπον Θεὸν ἡμῶν... Ὅτι ηὐλόγηται καὶ δεδόξασται τὸ πάντιμον... Εὐχὴ ἑτέρα· Ὁ Θεὸς ὁ ἄχραντος, ὁ πάσης κτίσεως δημιουργός, ὁ τὴν πλευρὰν τοῦ προπάτορος Ἀδὰμ εἰς γυναῖκα μορφώσας... Goar. p. 315. Καὶ ἄρας τὰ στέφανα στέφει τὸν νεόνυμφον, λέγων· Δόξῃ καὶ τιμῇ στεφάνωσον [3]) τὸν δοῦλόν σου ὁ δεῖνα [4]). Εἶτα [5]) τὴν νύμφην, λέγων· Ἔθηκας ἐπὶ τὰς κεφαλὰς [6]) αὐτῶν στέφανον ἐκ λίθου τιμίου, ζωὴν ᾐτήσαντό σε... Καὶ ἔδωκας αὐτῶν [7]) μακρότητα ἡμερῶν εἰς αἰῶνα αἰῶνος [8]). Εὐχὴ ἑτέρα· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ δόξῃ καὶ τιμῇ στεφανώσας τοὺς ἁγίους σου, Αὐτὸς δὸς [9]) τοῖς δούλοις σου τούτοις στέφανον δόξης καὶ τιμῆς, στέφανον εἰρήνης καὶ ἀγαλλιάσεως [10]) εἰς δόξαν σὴν καὶ τοῦ μονογενοῦς σου Υἱοῦ καὶ τοῦ παναγίου καὶ ἀγαθοῦ καὶ... Сн. выше стр. 41. Εὐχὴ [11]) ἑτέρα· Κύριε ὁ Θεὸς ἡμῶν, ἔκτεινον τὴν χεῖρά σου καὶ εὐλόγησον τοὺς δούλους σου τούτους, καὶ λαβὼν κλάδους ἐλαίας, καὶ βαΐα φοινίκων, καὶ ῥόδα ἐκ τοῦ παραδείσου, καὶ βότρυν ἐκ τῆς ἀμπέλου, καὶ μαργαρίτην ἐκ τῆς θαλάσσης, καὶ λίθον τίμιον ἐκ τῆς ἐρήμου, καὶ πλέξας διὰ καταπετάσματος [12]), ἐπίθες ἐπὶ τὰς κεφαλὰς αὐτῶν στέφανον, καὶ δὸς αὐτοῖς ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ καὶ ἀπὸ τῆς

---

[1]) Ркп. Пант. мон. № 364 Ἁγίαν Δέσποιναν Θεοτόκον καὶ ἀειπαρθένον Μαρίαν, ἐξ ἧς κατεδέξω προελθεῖν [2]) Κύριε ὁ Θεὸς ἡμῶν, τῇ σῇ χρηστότητι διαφύλαξον αὐτούς. Κύριε ὁ Θεὸς ἡμῶν, ὡς διεφύλαξας τοὺς ἁγίους τρεῖς παῖδας ἐκ τῆς καμίνου τοῦ πυρός, διαφύλαξον αὐτούς, Κύριε ὁ Θεὸς ἡμῶν, ὡς διεφύλαξας τὸν προφήτην Δανιὴλ ἐν τῷ λάκκῳ ἐκ στόματος λεόντων, ἔλθοι ἐπ' αὐτοὺς ἡ χαρὰ ἐκείνη, ἣν μέλλουσι λαμβάνειν οἱ καλῶν εὐαρεστήσαντες ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τῇ μεγάλῃ, καὶ διαφύλαξον, Κύριε ὁ Θεὸς ἡμῶν, τοὺς δούλους σου, τοὺς παρανύμφους, καὶ εὔφρανον ἐπὶ τέκνα τέκνων, καὶ διαφύλαξον, Κύριε ὁ Θεὸς ἡμῶν, πάντας τοὺς συναγωνιζομένους, καὶ καταξίωσον πάντας ἡμᾶς τῆς ἐκ δεξιῶν σου παραστάσεως, ἵνα ἀπαύστως ὑμνοῦμέν σε τὸν μόνον ἀληθινὸν καὶ φιλάνθρωπον Θεὸν ἡμῶν. Ὅτι σὺ εἶ ἕνωσις καὶ ἀσφάλεια τῶν δούλων σου, Χριστὲ ὁ Θεὸς ἡμῶν.
[3]) Ркп. Панд.-Аѳон. библ. № 149 Στεφανῶ [4]) Χριστὲ ὁ Θεός [5]) τίθησι τὸν στέφανον ἐπὶ τὴν κεφαλὴν τοῦ νυμφίου, λέγει [6]) κεφαλῇ αὐτοῦ [7]) αὐτῷ [8]) Прибавлено: Εἶτα τὴν νύμφην ὁμοίως, ἔπειτα λέγει τὴν εὐχήν [9]) Ркп. X в. Син. библ. № 958 παράσχου καὶ [10]) εἰς αἴνεσιν, εἰς δόξαν τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας... [11]) ркп. Панд.-Аѳон. библ. № 149 Εἰρήνη πᾶσι. Τὰς κεφαλάς. [12]) ркп. Син. библ. № 958 (κατα)πετάσματος ἁγίου σου.

πιότητος τῆς γῆς. Ὅτι σὸν τὸ κράτος... Εὐχὴ ἑτέρα [1]). Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν τῇ κατὰ σάρκα [2]) σου οἰκονομίᾳ τὸν γάμον, τὸν ἐν Κανᾷ τῆς Γαλιλαίας... Goar. p. 318. Προκείμενον, ἦχος βαρύς· Δόξῃ καὶ τιμῇ στεφάνωσον τοὺς δούλους. Στίχος· Ἔθηκας ἐπὶ τὰς κεφαλάς... Ἀπόστολος πρὸς Κορινθίους· Ἀδελφοί, αἱ γυναῖκες τοῖς ἰδίοις ἀνδράσιν ὑποτασσέσθωσαν ὡς τῷ Κυρίῳ, ὅτι ὁ ἀνήρ ἐστι κεφαλὴ τῆς γυναικός... Τέλος· Καὶ προσκολληθήσεται τῇ γυναικὶ αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν, καὶ οὓς ὁ Θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω. Ἀλληλουάριον. Ἡ γυνή σου, ὡς ἄμπελος. Στίχος· Οἱ υἱοί σου, ὡς νεόφυτα ἐλαιῶν. Εὐαγγέλιον κατὰ Ἰωάννην. Goar. p. 318. Εἴπωμεν πάντες κ. τ. λ. Goar. p. 318. Εἰρήνη πᾶσι [3]). Τὰς κεφαλάς. Ἐπικαλούμεθά σε, Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ [4]), τὸν μόνον ἀγαθὸν [5]) καὶ φιλάνθρωπον, τὸν στερεωτὴν καὶ ἀρχηγὸν τῆς σωφροσύνης, τὸν στεφανοῦντα τοὺς παρθενικοὺς γάμους, τὸν διδόντα [6]) σωφροσύνην τοῖς μονογάμοις τοῦ ποθεῖν αὐτοὺς ἄλυπον καὶ ἀσκανδάλιστον βίον, τὰς συζυγίας αὐτῶν διατήρησον· ἐπὶ σοὶ γὰρ κεκλίκασι τὰς ἑαυτῶν κεφαλάς, σοῦ δέονται [7]) καὶ σὲ παρακαλοῦσι· Σὺ γὰρ εἶ ὁ πηλῷ πλάσας τὸν ἄνθρωπον καὶ εἰπών· οὐ καλὸν εἶναι τὸν ἄνθρωπον... *Красносельцевъ* стр. 105; Goar. p. 316 καὶ οὓς ὁ Θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω, τὸ μυστήριον τοῦτο μέγα ἐστίν, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. Στεφάνωσον, Κύριε ὁ Θεός, τοὺς δούλους σου τούτους, ὡς ἐστεφάνωσας τὸν ἥλιον καὶ τὴν σελήνην, στεφάνωσον αὐτούς, Κύριε ὁ Θεὸς ἡμῶν, ὡς ἐστεφάνωσας τὸν χορὸν τῶν ἁγίων σου ἀποστόλων, στεφάνωσον αὐτούς, Κύριε ὁ Θεὸς ἡμῶν, ὡς ἐστεφάνωσας τὴν ἁγίαν σου ἐκκλησίαν, στεφάνωσον αὐτούς, Κύριε ὁ Θεὸς ἡμῶν, ὡς ἐστεφάνωσας τὸν κύκλον τοῦ ἐνιαυτοῦ, σύζευξον αὐτοὺς ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ, χάρισαι αὐτοῖς καρπὸν κοιλίας, καὶ εὐλόγησον αὐτούς, ὡς εὐλόγησας τὸν γάμον τῷ Τωβὶτ τῷ σῷ δούλῳ, εὐλόγησον, Κύριε ὁ Θεός, τὸν γάμον τοῦτον, ὡς εὐλόγησας τὴν μήτραν Σάρρας καὶ ἔδωκας [8]) αὐτῇ υἱὸν τὸν Ἰσαάκ, εὐλόγησον, Κύριε ὁ Θεός, τὸν

---

[1]) Ркп. Панд.-Аѳон. № 149 нѣтъ этого [2]) σαρκί [3]) этихъ возгласовъ нѣтъ [4]) Тип. Ватоп. библ. 1468 нѣтъ [5]) Idem [6]) τὴ ἀγάπην τοῦ ποθεῖν [7]) τῆς σῆς φιλανθρωπίας, ἵνα αὐτοὺς διατηρῶν πάσας τὰς ἡμέρας αὐτῶν ἀμέμπτους· σὺ εἶ ὁ πηλῷ πλάσας τὸν ἄνθρωπον... *Красносельцевъ* стр. 105. Εὐλόγησον, ὁ Θεός, τὸν γάμον τοῦτον, ὡς εὐλόγησας τὴν μήτραν Σάρρας. [8]) Это мѣсто въ Тип. 1468 читается такъ: ἔδωκας αὐτῇ υἱοὺς τὸν Ἰσαὰκ καὶ τὸν Ἰακὼβ τοὺς δώδεκα πατριάρχους, οἵτινες οἰκοδόμησαν τὸν οἶκον Ἱερουσαλήμ. Εὐλόγησον, ὁ Θεός, τὸν γά-

γάμον τοῦτον, ὡς τὸν γάμον τὸν ἐν Κανᾷ τῆς Γαλιλαίας, κατ' ἐκείνην τὴν εὐλογίαν, φιλάνθρωπε Κύριε ὁ Θεὸς ἡμῶν, εὐλόγησον τὸν γάμον τοῦτον τοῦ δούλου σου ὁ δεῖνα καὶ τῆς δούλης σου ἡ δεῖνα, εὔφρανον αὐτοὺς ἐν ὁράσει υἱῶν καὶ θυγατέρων, καὶ τὰ νῦν, φιλάνθρωπε Κύριε, δὸς αὐτοῖς ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ καὶ ἀπὸ τῆς πιότητος τῆς γῆς, ἔμπλησον τὸν οἶκον αὐτῶν ἀπὸ καρποῦ σίτου, οἴνου καὶ ἐλαίου, καὶ [1]) παντὸς ἀγαθοῦ, ἵνα ἔχοντες και περισσευόμενοι μεταδίδωσι καὶ τοῖς χρείαν ἔχουσιν. Εἰς δόξαν σὴν καὶ τοῦ μονογενοῦς σου Υἱοῦ... Ἀντιλαβοῦ, σῶσον... Goar. p. 318 и 319. Καὶ καταξίωσον... Πάτερ ἡμῶν. . Ὅτι σοῦ... Εἰρήνη πᾶσι. Τὰς κεφαλὰς ὑμῶν... Ὁ Θεός, ὁ πάντα ποιήσας τῇ ἰσχύϊ σου... Goar. p. 319. Εἶθ' οὕτως μεταλαμβάνουσιν οἱ νεόνυμφοι, ψάλλοντες [2]) κοινωνικόν· Ποτήριον σωτηρίου λήψομαι... Εἶτα λέγει· Ζήσονται οἱ νεόνυμφοι εἰς αἰῶνα αἰῶνος. Ἡ ἁγία Τριὰς αὐτοὺς ἀχωρίστους διαφυλάξει. Καὶ εὐθὺς κρατοῦσιν οἱ παράνυμφοι τὰ στέφανα τῶν νεονύμφων [3]). Καὶ ὁ ἱερεὺς λέγει εὐχήν· Ἀδελφοί, χαίρετε ἐν Κυρίῳ πάντοτε, πάλιν ἐρῶ χαίρετε, τὸ ἐπιεικὲς ὑμῶν γνωσθήτω πᾶσιν ἀνθρώποις, ὁ Κύριος ἐγγύς, μηδὲν μεριμνᾶτε [4]), καὶ ὁ Θεὸς τῆς εἰρήνης ἔσται μεθ' ὑμῶν. Καὶ εὐθὺς ποιοῦσιν γύρους γ'. χορεύοντες καὶ ψάλλοντες τροπάρια, ἦχος βαρύς· Δόξα σοι, Χριστὲ ὁ Θεός... Ἅγιοι μάρτυρες... Ἐπὶ σοὶ χαίρει, κεχαριτωμένη [5])... Ὅταν [6]) φθάσωσιν εἰς τὴν πύλην τοῦ παστοῦ, εἰσέρχονται οἱ γονεῖς αὐτῶν καὶ εὔχονται, καὶ ὁ ἱερεὺς λέγει τὴν εὐχήν· Κύριε ὁ Θεὸς ἡμῶν ὁ παραγενόμενος ἐν Κανᾷ τῆς Γαλιλαίας... (См. ркп. Свят.-гроб. библ. № 615 1522 г.) Εὐχὴ παστοῦ [7]) δήσεων· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καταξιώσας εἰσελθεῖν εἰς τὸν νυμφῶνα τῶν δούλων σου, εὐλόγησον τὸν γάμον τοῦτον, ὡς τὸν ἐν Κανᾷ τῆς Γαλιλαίας, τὴν εἰρήνην καὶ τὴν χάριν σου παράσχου αὐτοῖς ἅμα καὶ τοῖς συμπαροῦσιν ἡμῖν. Ὅτι σοῦ ἐστίν... Conf. Goar. p. 326.

---

μον τοῦτον, ὡς εὐλόγησας Ἰωσὴφ καὶ τὴν Ἀσυνέθ. Εὐλόγησον, Κύριε ὁ Θεός, τὸν γάμον τοῦτον, ὡς εὐλόγησας Μωϋσέα καὶ τὴν Σεπφώραν. Εὐλόγησον Κύριε, Κύριε ὁ Θεός, τὸν γάμον τοῦτον, ὡς εὐλόγησας Ζαχαρίαν καὶ τὴν Ἐλισάβετ. Εὐλόγησον, Κύριε ὁ Θεός, τὸν γάμον τοῦτον, ὡς εὐλόγησας τὸν ἐν Κανᾷ.

[1]) Тип. Ватоп. библ. 1468 г. καὶ παντὸς ἀγαθοῦ, ὅπως μεταδίδοντες καὶ τοῖς χρείαν ἔχουσιν εἰς δόξαν σοῦ τοῦ μονογενοῦς σου Υἱοῦ καὶ τοῦ παναγίου καὶ ἀγαθοῦ... [2]) οἱ δὲ ψάλται ψάλλουσιν [3]) Ркп. Синайск. библ. № 988 ζήτει παπᾶ τὰ κουμπαρικά. [4]) Ркп. Синайск. библ. № 984 φυλαττόμενοι ὑπὸ τῆς ἁγίας καὶ ὁμοουσίου καὶ ζωοποιοῦ καὶ ἀδιαιρέτου Τριάδος πάντοτε νῦν καὶ ἀεὶ [5]) Ркп. Син. библ. № 988 Нѣтъ этого тропаря [6]) этого замѣчанія въ Пандокр.-Аѳон. ркп. № 149 нѣтъ [7]) ἑτέρα.

Καὶ ἄρας τὰ στέφανα ὁ ἱερεὺς καὶ δήσας αὐτὰ ἐν τῷ παστῷ. Μετὰ δὲ τὴν πλήρωσιν [1]) τῶν η'. ἡμερῶν, ἀπέρχεται ὁ ἱερεὺς εἰς τὸν οἶκον τῶν νεονύμφων καὶ ποιεῖ εὐλογητόν, Τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν, Ὅτι σοῦ, τροπάριον τῆς ἡμέρας καὶ εὐχή· Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τοῦ ἐνιαυτοῦ τὸν στέφανον εὐλογήσας... Goar. p. 325. Τοῦ Κυρίου δεηθῶμεν. Νυμφῶνα καταντήσαντες οἱ δοῦλοί σου, Κύριε... Ibidem. Εἶτα εἰσέρχονται οἱ γονεῖς αὐτῶν καὶ εὔχονται [2])· Δῴη ὑμῖν Κύριος ἐκ τῆς δρόσου τοῦ οὐρανοῦ καὶ ἐκ τῆς πιότητος τῆς γῆς, ἵνα ἔχοντες καὶ περισσευόμενοι μεταδίδητε καὶ τοῖς χρείαν ἔχουσιν δι' εὐχῶν τῶν ἁγίων προπατόρων Ἀβραάμ, Ἰσαὰκ καὶ Ἰακώβ, τῶν ἁγίων προφητῶν, τῶν ἁγίων ἀποστόλων, τῶν ἁγίων μαρτύρων, τῶν ἁγίων θεοσέπτων βασιλέων Κωνσταντίνου καὶ Ἑλένης, καὶ πάντων τῶν ἁγίων καὶ ἡμῶν τῶν ἁμαρτωλῶν. Καὶ ἀσπάζονται τὰ στέφανα καὶ τὰ πρόσωπα αὐτῶν, καὶ γίνεται ἀπόλυσις.

л. 57. Ἀκολουθία εἰς ἀδελφοποίησιν.

Εὐλογητόν, Τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν, Ὅτι σοῦ ἐστίν, τροπάριον τῆς ἡμέρας καὶ εὐχή. Τοῦ Κυρίου δεηθῶμεν. Ἀδελφοί, ἠκούσατε τὴν εὐαγγελικὴν φωνὴν [3]), τὴν λέγουσαν ταῦτα· Ἐντέλλομαι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους, καὶ τοῦ μεγάλου Παύλου λέγοντος· ἡ ἀγάπη οὐ ζηλοῖ, ἡ ἀγάπη οὐ περπερεύεται [4]), οὐ φυσιοῦται, οὐκ ἀσχημονεῖ, ἡ ἀγάπη οὐδέποτε ἐκπίπτει ἐν Χριστῷ τῷ Θεῷ ἡμῶν, ὡς Δαβὶδ προφητικῶς φάσκει· ἰδοὺ δὴ τί καλόν, ἢ τί τερπνόν, ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἅμα ἐν ἀγάπῃ Θεοῦ. Χάριτι καὶ οἰκτιρμοῖς... Καὶ εὐθὺς ἄρχεται ἡ συναπτή· Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῆς εἰρήνης... Ὑπὲρ τῶν δούλων τοῦ Θεοῦ οἱ δεῖνοι καὶ τῆς ἐν Θεῷ ἀγάπης αὐτῶν... Ὅπως Κύριος ὁ Θεὸς χαρίσῃ τὴν ἀγάπην αὐτῶν ἀνυπόκριτον... Ὑπὲρ τοῦ ῥυσθῆναι... Ἀντιλαβοῦ... Τῆς παναγίας... Ὅτι πρέπει... Ἐν εἰρήνῃ πᾶσι. Τὰς κεφαλὰς ὑμῶν. Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ποιήσας τὸν ἄνθρωπον κατ' εἰκόνα σὴν καὶ ὁμοίωσιν, καὶ δοὺς αὐτῷ ἐξουσίαν ζωῆς ἀοιδίου, ὁ εὐδοκήσας τοὺς ἁγίους σου ἀποστόλους... Goar. p. 708 См. выше стр. 32. Καὶ ἀλλάσσουν τὰς χεῖρας αὐτῶν. Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν τῇ κατὰ σάρκα σου οἰκονομίᾳ Ἰάκωβόν τε καὶ Ἰωάννην, υἱοὺς Ζεβεδαίου, καταξιώσας ἀδελφοὺς γενέσθαι καὶ μαθητὰς καὶ ἀποστόλους,

---

[1]) Далѣе до самой молитвы не записанъ порядокъ. Писецъ оборвалъ, не докончивъ слова: πλη... [2]) Ркп. Синайск. библ. № 988 нѣтъ этого замѣчанія [3]) Ркп. Пант. мон. № 364 ὥς φησιν вмѣсто τὴν λέγουσαν ταῦτα [4]) нѣтъ.

Αὐτὸς καὶ νῦν, Δέσποτα, καὶ τοὺς δούλους σου τοὺς δεῖνας ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ διατήρησον πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτῶν, ἐργαζομένους τὰς ἐντολάς σου, τὴν λαμπάδα αὐτῶν ἄσβεστον διατήρησον, συγκαταριθμῶν αὐτοὺς μετὰ τῶν πέντε φρονίμων παρθένων, σῶσον, ἐλέησον αὐτοὺς ἕνεκεν τοῦ ὀνόματός σου, τὸ ἐπικεκλημένον ἐπ' αὐτούς, καὶ καταξίωσον αὐτοὺς εὑρεῖν χάριν ἐνώπιόν σου, ὅτι οὐκ ἦν τὰ σαρκικά, ὡς τὰ πνευματικά. Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος... Κύριε ὁ Θεὸς ἡμῶν, ὁ συναθροίσας τοὺς ἁγίους σου ἀποστόλους ἐν νεφέλαις καὶ ἐνώσας αὐτοὺς ἐν Πνεύματι ἁγίῳ, ἕνωσον καὶ τοὺς ἐνταῦθα ἀδελφοὺς ἐν ἁγίῳ φιλήματι, ἐν εἰρήνῃ [1]) καὶ ἀγάπῃ ἀνυποκρίτῳ, ἐργαζόμενοι τὰς ἐντολάς σου. Χάριτι καὶ οἰκτιρμοῖς... Εὐχὴ ἑτέρα· Κύριε ὁ Θεός, ὁ πάντα πρὸς σωτηρίαν ἡμῖν χαρισάμενος καὶ ἐντειλάμενος ἡμῖν ἀγαπᾶν ἀλλήλους... Goar. p. 707. Ἐλέησον ἡμᾶς... Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ὑγείας, ζωῆς, σωτηρίας τῶν νῦν γενομένων ἀδελφῶν τῶν δούλων τοῦ Θεοῦ τοῦ δεῖνα καὶ τοῦ δεῖνα, εἴπωμεν καὶ ὑπὲρ αὐτῶν. Κύριε ἐλέησον ιβ'. Τὴν τιμιωτέραν. Καὶ γίνεται ἀπόλυσις, καὶ ἀσπάζονται τὸ ἅγιον εὐαγγέλιον καὶ ἀλλήλους οἱ ἀδελφοί, καὶ ἀπέρχονται, νουθετῶν αὐτοὺς ὁ ἱερεύς.

л. 59. Ἀκολουθία, ἐὰν συμβῇ προσφάτως ἐμπεσεῖν ἐκ τῶν ἀκαθάρτων εἰς ἀγγεῖον οἴνου καὶ ἐλαίου. Χρὴ τὸ ἐμπεσὸν ἀκάθαρτον παραχρῆμα ῥίπτεσθαι ἔξω, καὶ ἕτερον ἀγγεῖον πλυνέσθω καὶ βαλεῖν ἐν αὐτῷ, εἰς τὸ ἀγγεῖον τὸ πλυνθέν, ὕδωρ τῶν ἁγίων Θεοφανίων, καὶ εἶθ' οὕτως τὸ μιανθὲν εἶδος μεταβάλλουσιν ἐντὸς τοῦ καινοῦ ἀγγείου, καὶ ποιήσας ὁ ἱερεὺς εὐλογητόν, λέγει Τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν, Ὅτι σοῦ, ἀπολυτίκιον τῆς ἡμέρας, καὶ ἡ εὐχή· Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ ἐν τῇ κατὰ σάρκα σου οἰκονομίᾳ διαστειλάμενος... Goar. p. 482. Ὁ Θεὸς ὁ μέγας καὶ θαυμαστός, ὁ ἀνεκδιηγήτῳ ἀγαθότητι καὶ πλουσίᾳ προνοίᾳ διοικῶν τὴν τῶν ἀνθρώπων ζωήν, ὁ τὸ πικρὸν ὕδωρ ἐπὶ Μωϋσέως τῷ λαῷ εἰς γλυκύτατον ποιήσας, ὁ τῷ κορυφαίῳ τῶν ἀποστόλων σου Πέτρῳ δι' ὀπτασίας καὶ φωνῆς νομοθετήσας... Αὐτός, Δέσποτα, καθάρισον καὶ τὸ εἶδος τοῦτο ἀπὸ παντὸς μολυσμοῦ καὶ ἀκαθάρτου ἰοβόλου τῶν ἐπὶ τῆς γῆς, καὶ εὐλόγησον αὐτὸ εἰς τὸ γενέσθαι πᾶσι τοῖς πίνουσιν ἐξ αὐτοῦ εἰς εὐφροσύνην καὶ ὑγείαν, ἵνα δοξασθῇ τὸ πανάγιον ὄνομά σου... Goar. p. 483. Μετὰ δὲ τὴν εὐχήν, βάλλει πάλιν ὕδωρ τῶν ἁγίων Θεοφανίων, καὶ λαμβάνει ὁ ἱερεὺς πρῶτον καὶ πίνει ἐξ αὐτοῦ, ὁμοίως καὶ ὁ λαός, καὶ γίνεται ἀπόλυσις. Εἰ δὲ συμβῇ τὸ ἐμπεσὸν ἀκάθαρτον χρονῆσαι ἐν τῷ ἀγγείῳ... Goar. p. 483 ἢ εὐχὴν ποιῆσαι, ἀλλὰ δὴ καὶ τὸ ἀγγεῖον συντετρίφθαι.

[1]) Εἰς εἰρήνην καὶ σωφροσύνην, εἰς ἀγάπην ἀνυπόκριτον καὶ εἰς πᾶν ἔργον ἀγαθόν.

*

л. 60 об. Εὐχὴ ἐπὶ παντὸς σκεύους μιανθέντος.

Δέσποτα καρδιογνῶστα Κύριε, ὁ ἐπιστάμενος τὰ πάντα[1]) πρὶν γενέσεως[2]), σὺ μόνος εἶ ὁ νομοθετήσας ἐν νόμῳ ἁγίῳ σου, ὅτι πᾶν σκεῦος μιανθὲν καὶ τὸ ἐν αὐτῷ συντριβήσεται, καθαιρεθήσονται δὲ κλίβανοι καὶ χυτρόποδες, ὅτι ἅγιοι ἐστέ[2]), ὅτι ἐγὼ ἅγιός εἰμι φήσας[4]), ὁ διὰ τοῦ σκεύους τῆς ἐκλογῆς Παύλου τοῦ ἀποστόλου[5]) πάντα καθαρὰ τοῖς καθαροῖς κηρύξας· Αὐτὸς καὶ νῦν, Δέσποτα τῶν ἁπάντων, ἁγίασον τὸ σκεῦος τοῦτο διὰ τῆς ἐπιφανείας[6]) τοῦ μονογενοῦς σου Υἱοῦ, ὅπως, τοῦ λοιποῦ ῥυσθέντες πάσης ἀκαθαρσίας, καταξιωθῶμεν τῶν ἀχράντων σου μυστηρίων καὶ δόξαν σοὶ ἀναπέμπωμεν τῷ Πατρί.

л. 61. Εὐχὴ ἐπὶ ἀνορύξει φρέατος. Goar. p. 550.

л. 61 об. Εὐχὴ ἐπὶ καθαρισμοῦ φρέατος,

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ πάντα καλὰ λίαν ποιήσας καὶ οὐδὲν κοινὸν ἐν κόσμῳ διὰ τοῦ ἁγίου σου ἀποστόλου ἀποφηνάμενος. См. выше стр. 252.

л. 62. Εὐχὴ ἐπὶ φρέαρ μιανθέν.

Ἄντλησον ἐξ αὐτοῦ κάδους μ΄. καὶ βάλε ὕδωρ τῶν ἁγίων Θεοφανίων, καὶ θυμιάσας κύκλῳ τοῦ φρέατος, καὶ ποιήσας εὐλογητόν, ψάλλε Τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν, Ὅτι σοῦ, τροπάριον καὶ εὐχή· Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ δι' ὀπτασίας σου καὶ φωνῆς νομοθετήσας. См. выше стр. 34.

л. 63. Εὐχὴ ἐπὶ μιαροφαγησάντων. Goar. p. 534.

л. 63 об. Εὐχὴ ἐπὶ παντὸς εἴδους μιανθέντος.

Κύριε ὁ Θεός, ὁ μόνος ἅγιος καὶ ἐν ἁγίοις ἀναπαυόμενος... Goar.. pag. 483.

л. 64. Εὐχὴ ἐπὶ τῶν βρώμασι σκανδαλισθέντων Goar. p. 535.

л. 64 об. Ἀκολουθία ἐπὶ τεκνοποιητῶν.

Εἰσέρχεται ὁ μέλλων υἱοθετεῖσθαι καὶ ἵσταται ἐν μέσῳ τοῦ θυσιαστηρίου, κρατῶν ἐν ταῖς δυσὶ χερσὶν αὐτοῦ λαμπάδας δύο ἅπτοντας. Καὶ ὁ ἱερεὺς ποιεῖ εὐλογητόν, Τρισάγιον, Πάτερ ἡμῶν, Ὅτι σοῦ... τροπάριον καὶ ἡ εὐχή· Τοῦ Κυρίου δεηθῶμεν. Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ Πατὴρ τῶν οἰκτιρμῶν καὶ Θεὸς πάσης παρακλήσεως, ὁ καταξιώσας ἡμᾶς

---

[1]) Ркп. Син. библ. № 258 ἀπόρρητα καὶ γινώσκοντα [2]) αὐτῶν [3]) ἔσεσθαι [4]) нѣтъ [5]) нѣтъ [6]) Ркп. Лавры пр. Аѳан. XIII в. τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ φωτήσαντος τὰ σύμπαντα καὶ τῷ παναγίῳ καὶ ζωοποιῷ σου Πνεύματι, ὅπως τοῦ λοιποῦ ῥυσθέντες πάσης ἀκαθάρτου πτώσεως ἐπειδὴ καὶ πράξεως εὑρεθῶμεν τῶν ἀχράντων καὶ ἀθανάτων μυστηρίων τοῦ μονογενοῦς Υἱοῦ καὶ Θεοῦ ἡμῶν καὶ τῆς οὐρανίου βασιλείας. Ὅτι σὺ εἶ καταφυγή.

τοὺς ταπεινοὺς γενέσθαι κληρονόμους τῶν αἰωνίων σου ἀγαθῶν, διὰ τῆς ἐνανθρωπήσεως τοῦ μονογενοῦς σου Υἱοῦ καὶ τοῦ Θεοῦ ἡμῶν, ὃν ἀπέστειλας εἰς τὸν κόσμον, γενόμενος ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ, ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν διὰ λουτροῦ παλιγγενεσίας καὶ ἀνακαινώσεως Πνεύματος ἁγίου, καὶ δὸς ἡμῖν τὸν ἀῤῥαβῶνα τοῦ Χριστοῦ σου χαρισάμενος ἡμῖν τὴν ἐπίγνωσιν τῶν θείων σου μυστηρίων. Αὐτός, Δέσποτα τῶν ἁπάντων, ἐπίβλεψον ἐξ οὐρανοῦ (ἐπὶ) ἁγίου σου θυσιαστηρίου, καὶ εὐδόκησον ἐν τῇ προθέσει, ᾗ προεθέμεθα ἐνώπιόν σου, καὶ τὰ ἔργα τῶν χειρῶν ἡμῶν κατεύθυνον, καὶ τὸν προσελθόντα σοι παῖδα τοῦ ἀναγεννηθῆναι ὑπὸ γαστρὸς τῆς ἁγίας σου ἐκκλησίας, καὶ ὑπὸ μητρὸς τοῦ ἁγίου σου θυσιαστηρίου, καὶ τοῦ τιμίου καὶ προσκυνητοῦ καὶ ἀχράντου σου εὐαγγελίου εὑρήσει εὐλογίαν πνευματικὴν καὶ τὸν μισθὸν τῶν πιστῶν καὶ φρονίμων οἰκονόμων ἐν τῇ ἡμέρᾳ τῇ φοβερᾷ τῆς κρίσεώς σου τῆς δικαίας. Ὅτι παρὰ σοῦ δίδοται πᾶν δώρημα καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν... Καὶ λαβὼν ὁ ἱερεὺς τὸν παῖδα ἐκ τῆς δεξιᾶς χειρός, φέρει αὐτὸν ἔσωθεν τοῦ θυσιαστηρίου μετὰ τῶν δύο κηρῶν καί, προσκυνήσας τὴν ἁγίαν τράπεζαν ἐκ τρίτου, ἀσπάζεται τὸ ἅγιον εὐαγγέλιον καὶ τὸν ἱερέα. Ὁ δὲ ἱερεὺς λέγει τὴν εὐχὴν ταύτην· Κλῖνον Κύριε, τὸ οὖς σου καὶ ἐπάκουσον ἡμῶν δεομένων σου, ὁ ἐν μήτρᾳ παρθενικῇ χωρηθῆναι καταδεξάμενος καὶ τεχθῆναι ἐν σπηλαίῳ, ὡς νήπιος, ὑπὸ Μαρίας, τῆς ἁγίας Μητρός σου, καὶ ἀχθεὶς ἐν ναῷ τῷ νομικῷ μετὰ δώρων δύο νεοσσοὺς περιστερῶν κατὰ τὸ εἰθισμένον, καὶ ἐν ἀγκάλαις τοῦ πρεσβύτου βασταχθείς, καὶ ἀμείψας ἡμῖν τὴν χάριν καὶ τὴν δωρεὰν τοῦ ἁγίου σου Πνεύματος. Αὐτὸς οὖν, βασιλεῦ ἀόρατε, ἔπιδε ἐπὶ τὴν προσευχὴν ἡμῶν, καὶ τὸν ἤδη προσενεχθέντα παῖδα ἐν τῇ ἁγίᾳ σου ἐκκλησίᾳ, ἣν Αὐτὸς ἔταξας, δῶρα προσενεγκόντα οὐ κατὰ νόμον ζεῦγος τρυγόνων ἢ δύο νεοσσοὺς περιστερῶν, ἀλλὰ κατὰ χάριν τῆς σῆς ἀγαθότητος, τὰς δύο λαμπάδας συνεζευγμένας ἐν ταῖς χερσὶ κατέχοντα, καὶ τὴν ἐν τῷ ναῷ εἰσόδῳ τὸν τελειωτικὸν ἀσπασμὸν τῶν ἐντολῶν ἀναπλήρωσιν, ἵνα συνέλθῃ ἐν τῷ νυμφῶνι τῷ σῷ μετὰ τῶν πέντε παρθένων τὴν ψυχικὴν λαμπάδα κατέχοντα, καὶ λήψεται παρὰ σοῦ χάριν καὶ ἔλεος μετὰ πάντων τῶν ἁγίων σου. Ὅτι πρέπει σοι... Καὶ λαμβάνει ὁ ἱερεὺς τὰς δύο λαμπάδας ἐκ τῶν χειρῶν τοῦ παιδὸς καὶ ἵστησιν αὐτὰς ἑκατέρωθεν τοῦ θυσιαστηρίου, καὶ λέγει· Κύριε παντοκράτωρ ἐπουράνιε βασιλεῦ, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, ὁ αἰνετὸς καὶ δεδοξασμένος, ὁ τῶν ἁπάντων ποιητὴς καὶ φυτουργὸς τῶν ἀγαθῶν, εὐλογίᾳ τοῦ ἁγίου Πνεύματος εὐλόγησον νῦν τοὺς ἀμφοτέρους σὺν τῷ Πατρὶ καὶ ἅμα τῷ Υἱῷ, ὁ ἀνακαλύψας τὴν πατρικὴν στοργὴν πρὸς τὸν Υἱόν, λέγων· ἐγὼ σήμερον γεγέννηκά σε, οὕτως καὶ ἐπὶ τοῦ φοβεροῦ βήματος

μετὰ παῤῥησίας εἴπῃ· ἰδοὺ ἐγὼ καὶ τὸ παιδίον, ὅν μοι ἔδωκεν ὁ Θεὸς ἐκ τοῦ θυσιαστηρίου αὐτοῦ. Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις... Καὶ γίνεται ἀπόλυσις.

л. 66 об. Εὐχὴ εἰς εὐλογίαν οἴκου νέου.

Ἅπτουσι κηροὺς δ΄. τετραμερῆς τοῦ οἴκου καὶ εὐλογήσας ὁ ἱερεύς, λέγομεν Τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν, Ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, ὁ καταξιώσας ὑπὸ τὴν στέγην Ζακχαίου εἰσελθεῖν καὶ σωτηρία τῷ οἴκῳ αὐτοῦ γενόμενος κατὰ τὴν σὴν ἄχραντον καὶ ἀθάνατον φωνήν [1]), τὴν ὑπὸ τῶν εὐαγγελιστῶν τῇ οἰκουμένῃ [2]) κηρυχθεῖσαν, Αὐτὸς καὶ νῦν τοὺς ἐνταῦθα οἰκεῖν βουλομένους [3]), δι' ἡμῶν τῶν ταπεινῶν [4]) τὰς δεήσεις [5]) εὐλόγησον [6]), δόξασον, ἀβλαβεῖς καὶ ἀσινεῖς αὐτοὺς [7]) ὑπὸ τὴν στέγην ταύτην διαφύλαξον διὰ τῶν σῶν ἀφθόνων δωρεῶν [8]). Ὅτι πρέπει.

л. 67. Εὐχὴ εἰς εἴσοδον οἴκου.

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ εὐλογήσας τὸν οἶκον Λάβαν ἐπὶ τῇ εἰσόδῳ τοῦ Ἰακώβ, ὁ εὐλογήσας τὸν οἶκον Πετεφρῆ ἐπὶ τῇ εἰσόδῳ τοῦ Ἰωσήφ, ὁ εὐλογήσας τὸν οἶκον Ἀβεδρὰχ ἐπὶ τῇ εἰσόδῳ τῆς κιβωτοῦ, ὁ εὐλογήσας τὸν οἶκον Ζακχαίου καὶ εἰπών· σωτηρία σήμερον τῷ οἴκῳ τούτῳ ἐγένετο. Αὐτὸς εὐλόγησον καὶ τὸν οἶκον τοῦτον καὶ τοὺς ἐνταῦθα οἰκεῖν βουλομένους, καὶ διαφύλαξον αὐτοὺς ἀπὸ τῶν ἀντικειμένων, καὶ εἰρήνην τὴν σὴν ἐπὶ τῇ εἰσόδῳ ἡμῶν χάρισαι, καὶ καταξίωσον αὐτοὺς ἐργάζεσθαι τὰς ἐντολάς σου. Ὅτι ἐλεήμων... Conf. Goar. pag. 571.

л. 67 об. Εὐχὴ ἐπὶ θεμελίου ἐκκλησίας.

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ ἐρασθεὶς καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομηθῆναί σοι... Goar. p. 485.

— Εὐχὴ εἰς ἀπαρχὴν σπόρων.

Ὁ ὢν Δέσποτα Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ ποιήσας τὸν οὐρανὸν ἐν συνέσει καὶ θεμελιώσας τὴν γῆν ἐπὶ τῶν ὑδάτων. Ркп. № 954 Син. библ.

л. 68 об. Εὐχὴ ἐπὶ θέρους. Goar. p. 524.

л. 69. Εὐχὴ εἰς ἅλωνα, ὅταν θέλῃ μετρήσειν... pag. 523.

— Εὐχὴ ἑτέρα· Ἅγιε Κύριε, ὁ πάντα τὰ φυτὰ πλήρη, τέλεια καὶ πεπληρωμένα ἐκ τῆς γῆς ἀνατείλας, καὶ δεδωκὼς ἡμῖν αὐτά, ὡς λάχανα χόρτου, εὐχαριστοῦμεν τῇ ἀδιαδόχῳ σου βασιλείᾳ, ὅτι ἔδειξας ἡμῖν καρ-

---

[1]) Ркп. XIII в. Лавры Аѳанасія на Аѳонѣ Πηγήν [2]) ἀληθῶς [3]) βουληθέντας καὶ [4]) ἁμαρτωλῶν [5]) σοὶ προσάγοντας [6]) ἁγίασον [7]) ἐν πάσῃ τῇ κατοικήσει τῆς στέγης ταύτης ὑποδοχνεὶς διὰ τῶν [8]) ἐπιγείων τε καὶ ἐπουρανίων.

πὸν πρῶτον τῶν γεννημάτων, διὸ δεόμεθά σου, Κύριε, εὐλόγησον καὶ πλήθυνον ἥνπερ ἡμῖν παρέσχου τῶν ἀγαθῶν εὐλογίαν, ἄσηπτον, ἀμόλυντον ἀνεπιβούλευτον, εἰς καλὸν καὶ ἀγαθὸν καὶ τελεσφόρον, ἵνα καὶ ἡμεῖς ἐξ αὐτῶν προσφέρομέν σοι μυστικὸν ἄρτον προσκομιδῆς, καὶ μεταλαμβάνοντες καὶ στηρίζοντες ἐξ αὐτῶν, καὶ ἐν πλησμονῇ κορεσθέντες, ὥσπερ ἐπὶ τῶν πέντε ἄρτων διὰ σοῦ χορτασθῶμεν, τόνδε τὸν δοῦλόν σου ὁ δεῖνα, τὸν καλέσαντα ἡμᾶς, διάσωσον καὶ πᾶσαν τὴν οἰκίαν αὐτοῦ ἀπὸ πάσης ἐπιβουλῆς τοῦ ἀντικειμένου. Ὅτι σὺ εἶ ὁ χορηγὸς τῆς ζωῆς ἡμῶν, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν...

л. 70. Εὐχὴ πρὸς τὸ φυτεῦσαι ἄμπελον. p. 551.

— Εὐχὴ εἰς τὰς σταφυλάς.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ πρὶν μὲν τὴν γῆν τοῖς ἄνθεσι καλλωπίσας καὶ καρποφορίαν φυτοῖς ἅπαν τὸ ταύτης πρόσωπον ὡραΐσας... См. Евсигм. ркп. XVI в. № 208.

л. 71. Εὐχὴ ἐπὶ τρύγους.

Δέσποτα Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ εὐδοκήσας ἄμπελον κληθῆναι τὸν μονογενῆ σου Υἱόν... Goar. p. 552.

л. 71 об. Εὐχὴ εἰς εὐλογίαν οἴνου.

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ παραγενόμενος ἐν Κανᾷ τῆς Γαλιλαίας καὶ τὸ ὕδωρ εἰς οἶνον μεταβαλών, ὁ εὐλογήσας τὸ φρέαρ τοῦ Ἰακώβ.

— Εὐχὴ εἰς θυσιαστήριον μιανθὲν ὑπὸ ἐθνικῶν.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὸν ναὸν τοῦτον ἀναδείξας κατοικητήριον τῆς σῆς ἁγίας δόξης... Goar. p. 495.

л. 72 об. Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, δυσωποῦμέν σε τὸν ἔλεον... pag. 494.

л. 73. Εὐχὴ εἰς ὕψωσιν σταυροῦ.

Κύριε Ἰησοῦ Χριστέ, ὁ ἅγιος λόγος τοῦ παντοκράτορος Θεοῦ, ὁ παθὼν καὶ ἀναστὰς καὶ χαρισάμενος σωτηρίαν τοῦ γένους τῶν ἀνθρώπων, διὰ τοῦ τεθέντος ἡμῖν τοῦ τιμίου σταυροῦ εἰς καταφυγὴν καὶ συγχώρησιν τῶν ἡμαρτημένων ἡμῖν πταισμάτων, Αὐτὸς εὐλόγησον καὶ ἁγίασον τὸν ἱδρυμένον τίμιον σταυρόν, ὅπως γένηται τοῦ οἴκου σου φυλακτήριον τὸν ἐνοικοῦντα σταυρὸν καὶ παραφύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ᾽ ἡμᾶς διὰ τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ, τῇ πρεσβείᾳ τῆς ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας καὶ πάντων τῶν ἁγίων σου. Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις...

— Εὐχὴ εἰς σεισμόν.

Φοβερὸς καὶ θαυμαστὸς, καὶ μέγας, ἔνδοξός τε καὶ ἀληθινὸς Θεός... Goar. p. 623.

л. 74. Εὐχὴ εἰς φόβον.

Πάλιν σου τοῦ φιλανθρώπου Δεσπότου, Κύριε Goar. p. 636.

— Εὐχὴ περὶ ἀνομβρίας.

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ διὰ τὸν πρὸς σὲ ζῆλον ἐπακούσας Ἠλιοὺ τοῦ Θεσβίτου... Goar. p. 613.

л. 74 об. Εὐχὴ ἑτέρα· Κύριε ὁ Θεὸς παντοκράτωρ, ὁ ἀνάγων τὰς νεφέλας ἐξ ἐσχάτων τῆς γῆς. Goar. p. 614.

л. 75 об. Εὐχή, λεγομένη ὑπὸ τοῦ ἱερέως, ὅταν μέλλῃ μεταλαβεῖν ὁ λαός· Κύριε Ἰησοῦ Χριστέ, ἀμνὲ καὶ ποιμήν, ὁ τὸ δάνειον χαρισάμενος τοῖς δυσὶ χρεωφειλέταις... Goar. p. 536.

л. 76 об. Εὐχὴ συγχωρητικὴ ὑπὸ πνευματικοῦ.

Ὁ Θεός, ὁ συγχωρήσας Δαβὶδ διὰ Νάθαν τὰ ἴδια ὁμολογήσαντι κακά... Goar. p. 538.

— Εὐχὴ ἐπὶ προπετῶς ὀμνυόντων. Goar. p. 534.

л. 77. Εὐχὴ ἐπὶ χειμαζομένων ὑπὸ πνευμάτων ἀκαθάρτων.

Ὁ Θεὸς ὁ αἰώνιος, ὁ λυτρωσάμενος ἐκ τῆς αἰχμαλωσίας τοῦ διαβόλου... Goar. p. 581,

л. 77 об. Εὐχὴ ἐν τῷ μέλλειν ἀριστᾶν.

Σύ, Κύριε, ὁ ἐπουράνιος καὶ ζωοποιὸς ἄρτος, ἡ ἀληθινὴ τροφὴ τοῦ παντὸς κόσμου... Goar. p. 569.

— Εὐχὴ μετὰ τοῦ ἀρίστου.

Σοὶ τῷ ἀληθινῷ καὶ φιλανθρώπῳ Θεῷ ἡμῶν, ἡμεῖς οἱ ἁμαρτωλοί... Goar. p. 569 конецъ: ἀνάδειξον πρεσβείαις τῆς πανυπερευλογημένης Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τῇ δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων, τοῦ τιμίου ἐνδόξου προφήτου Προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, καὶ πάντων τῶν ἁγίων, τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων. Ὅτι σὺ ὁ εὐλογῶν.

л. 78. Εὐχὴ εἰς εὐλογίαν οἴκου νέου.

Κύριε ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, ὁ καταξιώσας ὑπὸ τὴν στέγην Ζακχαίου εἰσελθεῖν... См. выше стр. 470. Τοῦ Κυρίου δεηθῶμεν. Κύριε παντοκράτωρ, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν... Goar. p. 483.

л. 78 об. Εὐχὴ εἰς πλεῦσαι πλοῖον.

Εὐλογεῖ ὁ ἱερεύς, Βασιλεῦ οὐράνιε, Τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν, Κύριε ἐλέησον ιβʹ. τὸ ἀπολυτίκιον τῆς ἡμέρας, τὸ κοντάκιον,

θεοτοκίον, Δεῦτε προσκυνήσωμεν γ'. ψαλμὸς ρκ'. Ἦρα τοὺς ὀφθαλμούς μου. Τοῦ Κυρίου δεηθῶμεν, Κύριε, Κύριε, ἡ ἐλπὶς καὶ σωτηρία ἡμῶν, ὁ δοὺς ἐν τῇ θαλάσσῃ ὁδὸν καὶ ἐν ὕδατι ἰσχυρὰς τρίβους, καὶ διὰ ξύλου εὐτελοῦς σώζων, ὡς δημιουργός...

λ. 79 οβ. Εὐχὴ ἐπὶ προσφερόντων ἀπαρχάς.

Δέσποτα Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν ὁ παντοκράτωρ, ὁ πλουσιόδωρος καὶ φωτοπάροχος, ὁ ἐλεήμων ἅμα καὶ πολυεύσπλαγχνος...

λ. 80. Εὐχὴ εἰς πόλεμον πορνείας.

χεται καθ' ἑαυτόν· Ὁ Θεὸς ὁ ἄχραντος, ὁ πάσης κτίσεως δημιουργός, ὁ τὴν πλευρὰν τοῦ προπάτορος Ἀδὰμ εἰς γυναῖκα μεταποιήσας. Текстъ изложенъ иначе противъ Гоара pag. 315. Сн. выше стр. 29. Καὶ ἀνιστάμενος ἐκφωνεῖ· Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ... Ἀντιλαβοῦ, σῶσον... Τὴν ἡμέραν... καὶ λέγει ἕως Τὴν ἑνότητα. Καὶ καταξίωσον ἡμᾶς, Δέσποτα. Ὁ λαὸς τὸ Πάτερ ἡμῶν. Ὁ ἱερεύς· Ὅτι σοῦ ἐστίν... Ὁ λαός· Ἀμήν. Ὁ ἱερεὺς τὴν εὐχήν· Πρόσχες, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός... p. 65. Ἐκφώνησις. Πρόσχωμεν. Τὰ προηγιασμένα. Ὁ λαός· Εἷς Κύριος, κοινωνικόν· Ποτήριον σωτηρίου. Καὶ μεταδοὺς αὐτοῖς τῶν θείων μυστηρίων, ποιεῖ τὴν εὐχὴν τοῦ κοινοῦ ποτηρίου. Εὐχή· Ὁ Θεός, ὁ πάντα ποιήσας τῇ ἰσχύϊ σου... Goar. p. 318. Ὁ λαός· Ἀμήν. Καὶ λαβὼν τὸ ποτήριον, ἐπιδίδωσι πρῶτον τῷ ἀνδρὶ καὶ ἀπογεύεται, εἶτα τῇ γυναικὶ καὶ πάλιν τῷ ἀνδρὶ ἕως ἐκπίῃ, εἶθ' οὕτως λέγει· Ὀρθοὶ μεταλαβόντες. Ἀντιλαβοῦ, σῶσον... Ὅτι σὺ εἶ ἁγιασμός. Ἐν εἰρήνῃ προέλθωμεν. Καὶ ἐπευχόμενος αὐτοῖς, λέγει· Χαίρετε ἐν Κυρίῳ πάντοτε, πάλιν ἐρῶ χαίρετε... Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μεθ' ὑμῶν.

л. 76. Εὐχὴ εἰς τὸ λῦσαι τὰ ἱερὰ στέφη.

Ὁ Θεὸς ὁ ἅγιος καὶ φιλάνθρωπος, ὁ εὐλογῶν ἔτι δίκαιον, καὶ τὸ σπέρμα αὐτοῦ ἐν γενεαῖς εὐθέων διατηρῶν, ὁ ταῖς διδαχαῖς αὐξάνων τὸ γένος τῶν ἀνθρώπων, καὶ ταῖς διδαχαῖς[1]) κρατύνων, Αὐτὸς εὐλόγησον τὴν στρωμνὴν τῶν δούλων σου τούτων τῇ ἀγαθότητι καὶ τὴν συνάφειαν αὐτῶν ἁγίασον, ὡς τὴν τῶν πατέρων ἡμῶν Ἀβραὰμ Ἰσαὰκ καὶ Ἰακώβ, περιθέμενος αὐτοῖς μήτραν, ἀγαλλιάσεως καρπόν, ὁμολογουμένων[2]) τὸ ἅγιον ὄνομά σου, καὶ ἀνάδησον αὐτοὺς ἔνδυμα ἀληθείας καὶ στέφανον κάλλους ἐν χειρί σου, καὶ γενοῦ αὐτοῖς ἔρεισμα ἑδραῖον ἐν ἀληθινῇ πίστει, καὶ εὐλόγησον τὴν ζωὴν αὐτῶν ἐν πάσῃ εὐλογίᾳ πνευματικῇ. Ὅτι εὐλόγηται[3]) καὶ δεδόξασται.

— Εὐχὴ εἰς τὰ ἀπολύσια.

Ὁ Θεός, ὁ παραγενόμενος ἐν Κανᾷ τῆς Γαλιλαίας. См. ркп. Свят.-гроб. библ. № 615. Καὶ λύει τὰ στέφανα καὶ ἐξέρχονται.

л. 77. Ἀκολουθία τῆς γονυκλισίας.

Чинъ состоитъ изъ молитвъ. Goar. pag. 597—602. Молитва: „Ὁ Θεὸς ὁ μέγας καὶ ὕψιστος“ pag. 602 опущена.

л. 86. Εὐχὴ εἰς ψυχὴν κρινομένην.

Δέσποτα Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ πάντα ἄνθρωπον θέλων σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. Goar. p. 587.

---

[1]) Ркп. Свят.-гроб. библ. № 615 ἐντολαῖς [2]) ἐξομολογουμένων [3]) ἡγίασται.

— Ἕτεραι εὐχαὶ διάφοροι. Εὐχὴ ἐπὶ θεμελίῳ ἐκκλησίας καὶ ἐπὶ σταυροπηγίου.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἀρεσθεὶς ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομηθῆναί σοι ἐκκλησίαν... Goar. pag. 485.

л. 86 об. Εὐχὴ ἑτέρα ἐπὶ θεμελίῳ ἐκκλησίας.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὸ σὸν ἅγιον αἷμα ὑποβαλλόμενος... Goar. pag. 486.

л. 87. Εὐχὴ εἰς εὐλόγησιν οἴνου. Goar. p. 553.

л. 87 об. Εὐχὴ εἰς εὐλόγησιν οἴνου.

Ὁ Θεὸς ὁ Θεὸς ἡμῶν, ὁ εὐδοκήσας ἄμπελον κληθῆναι τὸν μονογενῆ σου Υἱόν. Goar. p. 552.

— Εὐχὴ ἐπὶ ἀποδημούντων.

Ὁ Θεὸς ὁ Θεὸς ἡμῶν, ὁ συνοδεύσας τῷ θεράποντί σου Ἰακώβ. См. выше стр. 33.

л. 88. Εὐχὴ ἐπὶ ἀνομβρίας. Goar. p. 613.

л. 88 об. Εὐχὴ ἑτέρα ἐπὶ ἀνομβρίας. Goar. p. 614.

л. 89. Εὐχὴ λεγομένη ἐν λιτῇ διὰ φόβου. Goar. p. 636.

л. 89 об. Εὐχὴ ἐπὶ ἐξομολογουμένων. Goar. p. 537.

— Εὐχὴ ἐπὶ τῶν ἐξ ἐπιτιμιῶν λυομένων. pag. 531.

л. 90. Εὐχὴ τῶν προπετῶς ὀμνύοντων. См. выше стр. 286.

— Εὐχὴ ἑτέρα εἰς προπετῶς ὀμνυόντα ἢ εἰς εὐχόμενον καὶ μὴ ἀποδιδόντα. Goar. p. 534.

л. 90 об. Εὐχὴ ἐπὶ τῶν ἀλόγως ὑπό τινων ἀφοριζομένων ἢ λόγῳ ἑαυτοὺς δεσμευόντων.

Ὁ Θεὸς ὁ φοβερὸς καὶ δυνατός, ὁ διὰ τοὺς σοὺς οἰκτιρμοὺς ἐξαποστείλας τὸν μονογενῆ σου Υἱὸν εἰς τὸν κόσμον. Goar. p. 531.

л. 91. Εὐχὴ ἑτέρα ἐπὶ τῶν ἐν ἐπιτιμίαις ὄντων καὶ ἑαυτοὺς ὅρκῳ δεσμευόντων. Goar. p. 528.

л. 91 об. Εὐχὴ ἐπὶ μιαροφαγησάντων. Ibid. pag. 534.

л. 92. Εὐχὴ ἐπὶ πλοίου, μέλλοντος πλέειν. Goar. p. 684.

л. 92 об. Εὐχὴ εἰς κατασκευὴν σκάφους. См. выше стр. 288.

л. 93. Τάξις γινομένη, εἰ συμβῇ μιασθὲν ἤ τι ἀκάθαρτον προσφάτως ἐμπεσεῖν.

Χρὴ ἐπαίρειν αὐτὸ τὸ ἐμπεσὸν ἀκάθαρτον καὶ ῥίπτειν ἔξω, καὶ ἕτερον ἀγγεῖον πλύνεσθαι ἔσωθεν καὶ ἔξωθεν, καὶ ἐπιβάλλειν ἁγίασμα τῶν ἁγίων θεοφανίων εἰς τὸ ἀγγεῖον τρίτον, καὶ εἶθ' οὕτως τὸ μιανθὲν μεταβαλεῖν ἐν αὐτῷ, καὶ φέρειν δύο μανουάλια καὶ ἱστάναι ἔνθεν καὶ ἔνθεν καὶ θυμιᾷν αὐτὸ τὸν ἱερέα σταυροειδῶς γύρωθεν ἐκ τρίτου, καὶ μετὰ τοῦτο

ἱστάμενον κατὰ ἀνατολὰς ἐπεύχεσθαι· Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐν τῇ ἐνσάρκῳ καὶ σωτηρίῳ σου οἰκονομίᾳ διαστειλάμενος... Goar. p. 482. Εἰ δὲ συμβῇ τὸ ἐμπεσὸν ἀκάθαρτον χρονίσαι καὶ σαπῆναι, ἐκχέεσθαι τὸ εἶδος καὶ μηδενὸς τὸ σύνολον ἅπτεσθαι αὐτοῦ.

л. 94. Εὐχὴ ἑτέρα εἰς σκεῦος μιασθέν.

Δέσποτα καρδιογνῶστα, ὁ ἐπιστάμενος τὰ ἀπόῤῥητα καὶ γινώσκων τὰ πάντα... См. выше стр. 468, прим. 1—6.

л. 94. Εὐχὴ ἐπὶ τῶν μετανοούντων.

Ὁ Θεὸς ὁ Θεὸς ἡμῶν, ὁ διὰ τοῦ προφήτου σου Νάθαν. Goar. pag. 536.

л. 95. Εὐχὴ ἐπὶ πυρεττόντων.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὰ χρόνια καὶ δεινὰ πάθη λόγῳ μόνῳ θεραπεύσας. Goar. p. 549.

— Εὐχὴ ἐπὶ πᾶν εἶδος ἀῤῥωστίας.

Δέσποτα παντοκράτωρ, ἰατρὲ ψυχῶν καὶ σωμάτων. Goar. p. 459.

л. 95 об. Εὐχὴ ἐπὶ ὀρύξει φρέατος. Goar. p. 550.

л. 96. Εὐχὴ ἐπὶ οἴκῳ κτιζομένῳ.

Ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ ποιήσας τὸν οὐρανὸν ἐν συνέσει. Goar. pag. 483.

— Εὐχὴ ἐπὶ εὐλογίᾳ οἴκου.

Ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, ὁ καταξιώσας ὑπὸ τὴν σκηνὴν τοῦ Ζακχαίου... Goar. 484.

л. 96 об. Εὐχὴ ἐπὶ οἴκῳ περιεργαζομένῳ.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐπάνω πάσης ἀρχῆς καὶ ἐξουσίας. Ркп. Есфигм. библ. № 208 л. 66

л. 97 об. Τάξις γινομένη εἰς χωράφιον, ἢ εἰς ἀμπελῶνα, ἢ εἰς κῆπον, εἰ συμβῇ βλάπτεσθαι ὑπὸ ἑρπετῶν, ἢ ἄλλων εἰδῶν. Goar. p. 554.

л. 98. Εὐχὴ τοῦ ἁγίου μεγαλομάρτυρος Τρύφωνος. Goar. pag. 554—555.

л. 100 об. Εὐχή, λεγομένη παρὰ τοῦ ἱερέως ἐπὶ τὴν κεφαλὴν τοῦ μέλλοντος μεταλαβεῖν τῆς ἁγίας κοινωνίας.

Ἔκλινε τὸν αὐχένα ὁ σὸς δοῦλος ὁ δεῖνα, ἀπεκδεχόμενος τὰ παρὰ σοῦ πλούσια ἐλέη, πλουσίαν τὴν παρὰ σοῦ πνευματικὴν εὐλογίαν, ἁγίασον, Κύριε, τὸ σῶμα καὶ τὴν ψυχὴν καὶ καταξίωσον αὐτὸν κοινωνῆσαι τῶν ἀχράντων, ἀθανάτων καὶ ζωοποιῶν μυστηρίων τοῦ Υἱοῦ σου καὶ ἄφεσιν ἁμαρτιῶν αὐτῷ δώρησαι, ὅτι προσκυνητὸς εἶ καὶ δεδοξασμένος σὺν τῷ μονογενεῖ σου Υἱῷ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι...

— Εὐχή, ὅταν (ἀπαίρῃ ἄνθρωπος ἀπὸ τῶν τῇδε· γράφει) δὲ ταύτην ὁ πνευματικὸς πατὴρ εἰς χαρτίον καὶ βάλλει εἰς τὴν χεῖρα τοῦ τεθνηκότος διὰ τὸν φόβον τῶν τελωνίων τοῦ ἀέρος καὶ τοῦ σκότους τοῦ αἰῶνος τούτου· Ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ркп. XVI в. Ватопед. библ. № 134 ἔμπροσθεν τοῦ φοβεροῦ αὐτοῦ βήματος, ὁ ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας. Ἀμήν.

л. 101. Εὐχὴ εἰς ὕδωρ μιασθέν.

Δέσποτα Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ δοὺς ἐξουσίαν καὶ ἐντολὴν τοῖς δούλοις σου τοῖς προφήταις καὶ ἀποστόλοις, ἐν τῷ λόγῳ σου καθαρίζειν πάντα μολυσμὸν καὶ πάντα ἀκάθαρτον. Сн. выше стр. 241.

л. 101 об. Εὐχὴ ἐπὶ σεισμοῦ.

Ὁ φοβερὸς καὶ θαυμαστὸς καὶ μέγας ὑπερένδοξός τε καὶ ἀληθινὸς Θεός. Goar. p. 623.

л. 102. Εὐχὴ ἐπὶ προσφερόντων ἀπαρχάς. Goar. p. 522.

— Εὐχὴ ἐπὶ βασιλέως γινομένη.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ βασιλεὺς τῶν βασιλευόντων. Goar. p. 733.

л. 102 об. Εὐχὴ εἰς τὸν σπόρον.

Δέσποτα Χριστὲ ὁ Θεός, ὁ ἐκ τῆς ἀσπόρου ἀρούρας καὶ ἐκ τῆς χώρας τῆς μὴ δεξαμένης τὴν σπορὰν βλαστήσας. См. ркп. XVI в. Есфигм.библ. № 208.

л. 103. Εὐχὴ ἐπὶ θέρους. Goar. p. 524.

— Εἰς ἅλωνα θέρους καὶ καρπῶν τε πληρωμάτων· Πηγὴ τῶν ἀγαθῶν, Δέσποτα παμβασιλεῦ καὶ εὐεργέτα. Goar. p. 523.

л. 103 об. Εὐχὴ εἰς κόλυβα ἁγίων. Goar. p. 524.

л. 104. Εὐχὴ εἰς κοιμηθέντας.

Ὁ Θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκός. Goar. p. 424.

л. 103. Εὐχὴ εἰς ἀπαρχὰς σταφυλῆς καὶ συκῶν τῇ ς΄. τοῦ αὐγούστου μηνὸς ἐν τῇ ἑορτῇ τῆς Μεταμορφώσεως.

Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἡ ἄμπελος ἡ ἀληθινὴ ἡ μέθην μὴ ποιοῦσα σωματικήν, ἐλευθερωσύνην (δὲ)γεννῶσα πνευματικήν, ὁ ἀσπόρως βλαστήσας ἐκ Παρθένου καὶ ἀνηρότου γῆς τῆς ἁγίας Μαρίας τῆς Θεοτόκου, Αὐτὸς εὐλόγησον καὶ τὸν καρπὸν τῆς ἀμπέλου ταύτης διὰ τοῦ ἀναξίου ἐμοῦ δούλου σου καὶ δὸς ἡμῖν πλήρη τὸν καρπὸν τῆς σῆς εὐλογίας πλουσίως, μεγαλόδωρε Κύριε, καὶ ἀνεστερήτους παντὸς ἀγαθοῦ ἀνάδειξον, ἵνα καὶ πένησιν ἐπαρκοῦντές σοι διὰ παντὸς εὐχαριστοῦμεν τῷ δοτῆρι πάντων τῶν ἀγαθῶν δωρημάτων. Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις.

— Εὐχὴ εἰς ἄγραν ἰχθύων.

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ διὰ τοῦ πλήθους τῶν οἰκτιρμῶν σου φανερώσας τοῖς ἁγίοις σου μαθηταῖς καὶ ἀποστόλοις τὴν μεγαλωσύνην

τῆς δόξης τῆς ἁγιωσύνης σου καὶ ἐν τῇ λίμνῃ Γενησαρὲτ ἐν τῇ ἄγρᾳ τῶν ἰχθύων ἐπιδείξας αὐτοῖς τὴν δυναστείαν σου, καὶ εἰπὼν ἐκθαμβουμένῳ τῷ Σίμωνι Πέτρῳ· μὴ φοβοῦ, ἀπὸ τοῦ νῦν ἀνθρώπους ἔσῃ ζωγρῶν, εἶτα πάλιν μετὰ τὴν τριήμερον καὶ σωσικόσμιόν σου ἔγερσιν φανερώσας ἑαυτὸν τοῖς ἁγίοις σου ἀποστόλοις ἐπὶ τῆς θαλάσσης τῆς Τιβεριάδος, κἀκεῖσε τὴν δωρεὰν τῶν ἑκατὸν πεντήκοντα τριῶν ἰχθύων αὐτοῖς χορηγήσας. Αὐτὸς καὶ νῦν, φιλάνθρωπε βασιλεῦ καὶ δοτὴρ τῶν ἀγαθῶν, παρορῶν ἡμῶν τὰ πλημμελήματα τὰ ἑκούσια καὶ τὰ ἀκούσια τὴν αὐτὴν εὐλογίαν κατάπεμψον καὶ ἐπὶ τὰ εὐτελῆ δίκτυα ταῦτα, καὶ ἔμπλησον αὐτὰ τῆς σῆς δωρεᾶς, παρέχων αὐτοῖς χάριν ἀνεξάλειπτον· πάντα γὰρ σὰ δωρήματα εἰσὶ πρεσβείαις καὶ ἱκεσίαις τῆς παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τῶν ἁγίων καὶ πανευφήμων ἀποστόλων καὶ πάντων σου τῶν ἁγίων, ἵνα καὶ ἐν τούτῳ καὶ ἐν πᾶσι δοξάζηταί σου τὸ πανάγιον ὄνομα σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ...

л. 105. Εὐχὴ εἰς εὐλογίαν ἐλαίου.

Δέσποτα Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν, ὁ τοῖς ἐν τῇ κιβωτῷ τοῦ Νῶε. Ркп. Есфигм. библ. № 208. л. 72.

л. 105. Εὐχὴ εἰς μνήμην ἁγίων.

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ποιήσας τὸν οὐρανόν. См. выше стр. 35.

л. 106. Εὐχὴ ἐπὶ υἱοθετοῦ.

Κύριε ὁ ἀκατάληπτος ἡμῖν, ὁ τῇ παντοκρατορικῇ σου δυνάμει τὰ πάντα ποιῶν καὶ οἰκονομῶν, μετασκευάζων πρὸς τὸ συμφέρον, ὁ τῷ θεράποντί σου Ἰωσὴφ χαριτώσας ἀρέσαι τῷ Φαραῷ καὶ υἱοθετηθῆναι παρ᾽ αὐτοῦ, καὶ κληρονομῆσαι αὐτῷ τε καὶ πάσῃ τῇ περιουσίᾳ αὐτοῦ καὶ τοὺς πρεσβυτέρους, κατάπεμψον καὶ τὰ νῦν τὴν χάριν τοῦ παναγίου σου Πνεύματος ἐπὶ τὸν δοῦλόν σου τόνδε τὸν υἱοθετούμενον παρὰ τοῦ δούλου σου τοῦδε καὶ σύνδησον τῇ πρὸς ἀλλήλους ἀγάπῃ, ἵνα, συγκληρονομοῦντες ἀλλήλοις ἐν θεϊκῇ σου παρουσίᾳ, δόξαν σοι ἀναπέμψωσι πάντοτε νῦν καὶ ἀεί.

— Εὐχὴ εἰς ἀδελφοποίησιν.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ πάντα πρὸς σωτηρίαν ἡμῖν. Goar. p. 707. Конецъ: ὡς ἐδωρήσω τοῖς ἁγίοις σου μαθηταῖς καὶ ἀποστόλοις τὴν σὴν εἰρήνην καὶ ἀγάπην, καὶ τούτοις παράσχου, Χριστὲ ὁ Θεὸς ἡμῶν, χαριζόμενος αὐτοῖς πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα καὶ ζωὴν αἰώνιον. Σὺ γὰρ εἶ φύλαξ.

л. 106 об. Εὐχὴ τοῦ Χρυσοστόμου εἰς τὸ μέλλειν ἀναγινώσκειν, ἢ, ἀναγινώσκοντος ἑτέρου, ἀκροᾶσθαι.

Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἄνοιξον τὰ ὦτα καὶ τοὺς ὀφθαλμοὺς τῆς καρδίας μου τοῦ ἀκούειν με τοὺς λόγους σου καὶ συνιέναι καὶ ποιεῖν τὸ θέλημά σου, Κύριε, ὅτι πάροικος ἐγὼ εἰμὶ ἐν τῇ γῇ, μὴ ἀποκρύψῃς ἀπ' ἐμοῦ τὰς ἐντολάς σου, ἀλλὰ ἀποκάλυψον τοὺς ὀφθαλμούς μου καὶ κατανοήσω τὰ θαυμάσια ἐκ τοῦ νόμου σου· ἐπὶ σοὶ γὰρ ἐλπίζω, ὁ Θεός μου, ἵνα μου φωτίσῃς τὴν καρδίαν.

— Εὐχὴ λεγομένη πρὸ τοῦ ὑπνῶσαι καὶ εἰς ἐνυπνιαζόμενον· Πολυεύσπλαγχνε Κύριε, ἀκήρατε, ἀμόλυντε, μόνε ἀναμάρτητε... Goar. p. 529.

л. 107. Εὐχὴ εἰς πόλεμον πορνείας. Goar. p. 530.

л. 107 об. Εὐχὴ ἑτέρα ὁμοία. Ibidem.

л. 108. Εὐχὴ ἐπὶ αἰσχρῶν λογισμῶν. Goar. pag. 536.

л 108 об. Εὐχὴ ἐπὶ διγαμοῦντας.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ πάντων κηδόμενος καὶ πάντων προνοούμενος. Goar. p. 329.

л. 109. Εὐχὴ ἑτέρα.

Κύριε Ἰησοῦ Χριστέ, Λόγε τοῦ Θεοῦ καὶ Πνεύματος, ὁ ὑψωθεὶς ἐπὶ τοῦ σταυροῦ καὶ τὸ καθ' ἡμῶν διαῤῥήξας χειρόγραφον. Goar. p. 329.

л. 109 об. Ἀποστολο-ευαγγέλια.

л. 156. Ἀκολουθία τοῦ εὐχελαίου.

Εὐλογοῦντος τοῦ ἱερέως, ἄρχεται τὸ Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, εἶτα Θεὸς Κύριος, καὶ εἰ δὲ ἐστὶ μ'. Ἀλληλούια, εἶτα τὰ τροπάρια· Ἐλέησον ἡμᾶς, Κύριε κ. τ. α., ψαλμὸς Ν'. τὸ Ἐλέησόν με, ὁ Θεὸς καὶ ἄρχεται τὸν κανόνα ᾠδὴ α'. ἦχος δ'. Θαλάσσης τὸ ἐρυθραῖον. Ἐλέῳ τῆς εὐσπλαγχνίας, Δέσποτα... Goar. p. 332. Послѣ канона ексапостиларій Goar. p. 334 καὶ εὐθὺς στιχηρά, ἦχος πλ. β'. Οὐρανῶν ὑπάρχουσα πλατυτέρα, χερουβὶμ καὶ θρόνων ἐνδοξοτέρα καὶ πάσης τῆς κτίσεως ἁγνὴ τιμιωτέρα... Ὕμνους τῶν χειλέων μου μὴ παρίδῃς, στεναγμοὺς τῆς καρδίας μου μὴ ἀθετήσῃς... Οἱ πεπωρωμένοι τῇ διανοίᾳ καὶ πεφορτισμένοι ταῖς ἁμαρτίαις... Ἡ ἀπελπισμένων ἐλπὶς βεβαία καὶ ἁμαρτανόντων ἡ σωτηρία, Μαρία πανύμνητε ἁγνὴ καὶ Θεοτόκε, δέξαι... Δόξα καὶ νῦν, ὁ αὐτός, Τριήμερος ἀνέστης. Πανάχραντε Παρθένε ἁγνή, τοὺς δούλους σου περίσωζε ἀπὸ πάσης ἐναντίας προσβολῆς... Ἀπολυτίκιον, ἦχος δ'. Ταχὺς εἰς ἀντίληψιν μόνος ὑπάρχων, Χριστέ... καὶ γίνεται ἐκτενὴ καὶ ἀπόλυσις. Εἶτα περὶ τὴν πρέπουσαν ὥραν συνάγονται οἱ ἱερεῖς καὶ λαμβάνουσι κηροὺς καὶ ὑφάπτουσιν, εἶτα εἷς τῶν ἱερέων ἐκφωνεῖ τὸ Εὐλόγησον, δέσποτα, καὶ ὁ πρωτοπαπᾶς· Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρός... καὶ ὁ ἀρξάμενος· Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν. Далѣе см. выше стр. 370—376, прим.

*

л. 174 об. Εὐχή, ἣν λέγουσιν οἱ ἱερεῖς, ὅτε χρίουσι τὸν ἀσθενῆ. Τοῦ Κυρίου δεηθῶμεν. Πάτερ ἅγιε, ἰατρὲ ψυχῶν καὶ σωμάτων... Goar. pag. 338. Именъ святыхъ, кромѣ Іоанна Предтечи, нѣтъ. Καὶ ἀλείφοντες, λέγουσιν· Ἡ βοήθεια ἡμῶν ἐν ὀνόματι Κυρίου τοῦ ποιήσαντος...

л. 175. Εὐαγγέλια ἑωθινά.

л. 182. Ἀποστολο-εὐαγγέλια τῆς ἁγίας τεσσαρακοστῆς.

**LXVII.** Εὐχολόγιον, рукопись библ. арх. Антонина (нынѣ Императ. Спб. публичной) въ 16 долю, 371 листъ, писана скорописью XV в.

л. 1. Εὐχαί, λεγόμεναι ἐν λιτανείαις εἰς πληγὴν θανατικοῦ, ποίημα τοῦ ἁγιωτάτου καὶ σοφωτάτου κυροῦ Φιλοθέου καὶ οἰκουμενικοῦ πατριάρχου. Τοῦ Κυρίου δεηθῶμεν. Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ἡ τῶν οἰκτιρμῶν ἀνεξάντλητος πηγή, τὸ τῆς φιλανθρωπίας ἀνεξιχνίαστον πέλαγος. Goar. p. 629.

л. 3. Εὐχὴ ἑτέρα εἰς τὴν αὐτὴν ὑπόθεσιν.

Ἡμάρτομεν, ἠνομήσαμεν, ἠδικήσαμεν ἐνώπιόν σου, πανάγαθε Δέσποτα. Goar. p. 630.

л. 5 об. Εὐχαὶ ἕτεραι τοῦ αὐτοῦ πατριάρχου κὺρ Φιλοθέου εἰς ἀνομβρίαν.

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τῷ ζῶντι καὶ ἐνυποστάτῳ σου λόγῳ. См. выше стр. 291.

л. 7 об. Κύριε, Κύριε, ὁ διὰ τοῦ σοῦ προφήτου Ἠλιοὺ λύσας τὸν αὐχμόν. Goar. p. 615.

л. 10. Ἀκολουθία τοῦ μικροῦ ἁγιασμοῦ.

Начало обычное. Послѣ „Придите поклонимся“ 50 псаломъ и затѣмъ стихиры по алфавиту. Дальнѣйшій порядокъ до молитвы, какъ въ рукописи Ватопед.-Аѳон. XVI в. № 134—350. Послѣ ектеньи положена молитва: Ὁ Θεὸς ὁ μέγας, ὁ ὕψιστος, ὁ ἐν Τριάδι ἁγίᾳ προσκυνούμενος, ἡ προαιώνιος φύσις... Въ молитвѣ между другими именами поминается Συμεὼν τοῦ ἐν τῇ Μάνδρᾳ. Дальнѣйшій порядокъ, какъ у Гоара pag. 362, но съ небольшими особенностями въ текстѣ. Ектенья и обычный отпустъ оканчиваютъ этотъ чинъ.

л. 19. Ἀκολουθία τοῦ μεγάλου ἁγιασμοῦ.

Μετὰ τὸ εἰπεῖν τὸν ἱερέα τὴν ὀπισθάμβωνον εὐχήν, νηστείας δηλονότι οὔσης, ἐξερχόμεθα πάντες ἐν τῷ ἁγίῳ λουτῆρι, προπορευομένου τοῦ ἱερέως μετὰ λαμπάδων καὶ θυμιατοῦ καὶ τοῦ τιμίου ξύλου, ψάλλοντες τροπάριον, ἦχος πλ. δ'. Φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων κ. τ. λ. Goar. p. 366. Про-

шенія слѣдуютъ въ такомъ порядкѣ: Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῆς εἰρήνης... Ὑπὲρ τοῦ ἁγίου οἴκου.. Ὑπὲρ τοῦ ἐπισκόπου ἡμῶν... Ὑπὲρ τοῦ ἁγιασθῆναι τὸ ὕδωρ τοῦτο... Ὑπὲρ τοῦ καταπεμφθῆναι αὐτῷ τὴν χάριν... Ὑπὲρ τοῦ γενέσθαι αὐτὸ ἀφθαρσίας πηγήν, ἁγιασμοῦ δῶρον... Ὑπὲρ τοῦ γενέσθαι αὐτὸ φυλακτήριον καὶ ἁγιασμὸν οἴκων καὶ πρὸς πᾶσαν ὠφέλειαν ἐπιτήδειον... Ὑπὲρ τοῦ γενέσθαι αὐτὸ πᾶσι τοῖς χρωμένοις ἐξ αὐτοῦ... Ὑπὲρ τοῦ ῥυσθῆναι... Τῆς παναγίας, ἀχράντου... Τούτων δὲ λεγομένων, λέγει ὁ ἱερεὺς τὴν εὐχὴν ταύτην μυστικῶς· Κύριε Ἰησοῦ Χριστέ, ὁ μονογενὴς Υἱός, ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρός, ὁ ἀληθινὸς Θεός. Goar. p. 368.

л. 28 об. Ἀκολουθία τῆς γονυκλισίας τῆς ἁγίας Πεντηκοστῆς. Goar. pag. 597—603.

л. 39 чистый.

л. 40. Εὐχαὶ τοῦ λυχνικοῦ. См. выше стр. 274, но надписаніе имѣетъ лишь одна пятая молитва.

л. 44. Εὐχαὶ ἑωθιναί. Goar. p. 39—42.

л. 52. Ἡ θεία λειτουργία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου, ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου.

л. 69 об. Εὐχὴ ἐπὶ κολύβων ἁγίων. Goar. p. 524.

л. 71. Ἡ θεία λειτουργία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου τοῦ Μεγάλου.

Моментъ, послѣ перенесенія даровъ съ жертвенника на престолъ, описывается такъ: Καὶ μετὰ τὸ ἀποθεῖναι τὰ ἅγια δῶρα ἐν τῇ τραπέζῃ καὶ καλύψαι, κλινόμενος ἀριστερὰ μετὰ τοῦ θυμιατοῦ, λέγει· Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι καὶ συλλειτουργήσει σοι, εἶθ' οὕτως δεξιά· Αὐτὸ τὸ Πνεῦμα τὸ ἅγιον συλλειτουργήσει ἡμῖν καὶ ὑμῖν πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν, πάντοτε νῦν καὶ ἀεί. Ὁ διάκονος· Πληρώσωμεν τὴν δέησιν ἡμῶν... Послѣ пресуществленія даровъ, на возгласъ діакона: Μνήσθητι ἡμῶν, δέσποτα. Ὁ ἱερεύς· Μνησθείη ἡμῶν Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ πάντοτε νῦν. Ὁ διάκονος (послѣ молитвы: Τοῦ ἁγίου Ἰωάννου τοῦ Προδρόμου καὶ βαπτιστοῦ)· Καὶ ὧν ἕκαστος κατὰ διάνοιαν ἔχει καὶ πάντων καὶ πασῶν. Послѣ молитвы: Πρόσχες, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, προσκυνεῖ ὁ ἱερεὺς ἐκ τρίτου καὶ λέγει μυστικῶς· Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν καὶ προσκυνεῖτε... Εὐθὺς ὁ διάκονος· Πρόσχωμεν. Ὁ ἱερεὺς ὑψοῖ τὸν ἄρτον, λέγων· Τὰ ἅγια τοῖς ἁγίοις. Εἶθ' οὕτως μελίζει τὸν ἄρτον εἰς τέσσαρα μέρη, καί, λαβὼν ἓν μέρος ἐκ τοῦ ἄρτου, βάλλει εἰς τὸ ἅγιον ποτήριον, λέγων· Πλήρωμα Πνεύματος ἁγίου, πάντοτε νῦν. Εἶθ' οὕτως ποιεῖ

ὁ ἱερεὺς μετανοίας γ'. καὶ δέχεται ἓν μέρος καὶ κλινόμενος λέγει· Βασιλεῦ οὐράνιε, Τοῦ δείπνου σου τοῦ μυστικοῦ. Καὶ ποιῶν σφραγίδα ἐκ γ'. λέγων· Σὺ εἶπας, Κύριε, ὁ τρώγων μου τὴν σάρκα. Καὶ μετὰ τὴν μετάληψιν ποιεῖ μετανοίας γ'. καὶ οὕτως μεταλαμβάνει ἐκ τοῦ ἁγίου ποτηρίου καί, καλύπτων τὰ ἅγια, λέγει τὴν εὐχήν· Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς ἡμῶν, ἐπὶ τῇ μεταλήψει τῶν ἁγίων ἀχράντων... Goar. p. 148. Возгласа: „Спаси Боже люди твоя“—нѣтъ.

л. 115 об. Εὐχὴ τῆς προθέσεως.

Ὁ Θεός, ὁ ὑποδείξας ἡμῖν τὸ μέγα τοῦτο τῆς σωτηρίας μυστήριον. См. выше стр. 490, прим. и стр. 393.

л. 116. Ἡ θεία λειτουργία τῶν προηγιασμένων. Goar. p. 162—168.

л. 130. Ἀρχὴ τοῦ ἐξοδιαστικοῦ. См. выше стр. 282—285 и прим. Чинъ обрывается на стихирахъ при цѣлованіи: Ἀνάπαυσον, Σωτὴρ ἡμῶν... Ὁ θάνατός σου, Κύριε, τοῖς νεκροῖς ζωὴν ἐξήνθησεν...

л. 165 об. Ἕτερος κανὼν εἰς κοιμηθέντας, φέρων ἀκρόστιχον τήνδε· Θνήσκουσι πιστοῖς ὄγδοον πλέκω μέλος. Ὠδὴ α'. ἦχος πλ. δ'. Ὑγρὰν διοδεύσας. Θανάτῳ τὸν θάνατον τοῦ Χριστοῦ καὶ πάθεσι πάθος μιμησάμενοι τὸ σεπτόν... Νεότητος πταίσματα παρορῶν... κ. τ. λ. Трисвятое, Отче нашъ, „Со духи праведныхъ“ и проч., ектенья и отпустъ.

л. 170. Κανὼν εἰς κοιμηθέντας, οὗ ἡ ἀκρόστιχος αὕτη· Ἕκτον προσᾴδω τοῖς ἀπελθοῦσι μέλος, ἦχος πλ. β'. ᾠδὴ α'. Ὡς ἐν ἠπείρῳ... Ἐν οὐρανίοις θαλάμοις διηνεκῶς. Goar. p. 426—428. Далѣе листы перепутаны и нѣкоторыхъ не достаетъ.

л. 178 об. Ἀκολουθία σὺν Θεῷ τοῦ ἁγίου εὐχελαίου. Дмитріевскій. Прилож. стр. 119—135. Ектенья послѣ вліянія масла изложена сходно съ ркп. Московъ. Синодал. библ. № 498. Тамъ же, стр. 120, прим. 1.

л. 214 об. Ἀκολουθία τῆς ἀνομβρίας.

Состоитъ этотъ чинъ изъ ектеньи и двухъ первыхъ молитвъ. Goar. p. 612—613.

л. 2 8. Εὐχὴ τοῦ μεγάλου ἑσπερινοῦ εἰς τὴν λιτήν. Goar. pag. 32—33.

л. 221. Εὐχὴ εἰς τὸ κατασφραγίσαι παιδίον, λαμβάνον ὄνομα τῇ η'. ἡμέρᾳ τῆς γεννήσεως αὐτοῦ. Дмитріевскій. Прилож. стр. 6—7.

л. 222. Τῇ δὲ τεσσαρακοστῇ ἡμέρᾳ πάλιν προσάγεται τῷ ναῷ и т. д. Тамъ же стр. 7—9. Нѣтъ только надписанія: Εὐχή, ἣν ποιεῖ ὁ ἱερεύς, μέλλων εἰσάξαι τὴν λεχὼ εἰς τὴν ἐκκλησίαν.

л. 225. Εὐχαὶ εἰς τὸ ποιῆσαι κατηχούμενον. Тамъ стр. 9—15. Goar. p. 292—293. Есть нѣкоторыя разности противъ указаннаго списка. Такъ, отриданія написаны вмѣстѣ и раздѣлены тремя точками, причемъ въ одной изъ этихъ формулъ нѣтъ фразы: Καὶ πάσῃ τῇ λατρείᾳ αὐτοῦ. Вмѣсто дуновенія положено плюновеніе—Ἔμπτυσον αὐτῷ. Объ одѣваніи новокрещеннаго не говорится въ чинѣ. Мνромъ помазываются, кромѣ указанныхъ въ Тактиконѣ Іоанна Кантакузина Прилож. стр. 14, еще слѣдующіячасти тѣла: καὶ τοῦ στήθους, καὶ τῶν χειρῶν, καὶ τῶν ποδῶν. Нѣтъ замѣчанія: Ἐν δὲ ταῖς λοιπαῖς ἑορταῖς, ὅτε ἐν τῷ μικρῷ φωτιστηρίῳ и т. д. стр. 15.

л. 242 об. Εὐχὴ εἰς τὸ ἀπολοῦσαι τὸν φωτισθέντα τῇ ὀγδόῃ ἡμέρᾳ. Ὁ λύτρωσιν ἁμαρτιῶν διὰ τοῦ ἁγίου σου βαπτίσματος... Ἐκφώνησις· Ὅτι ηὐλόγηται καὶ δεδόξασται... Goar. p. 303. Καὶ λαβὼν σπόγγον καινόν... Дмитріевскій. Прилож. стр. 16.

л. 243 об. Εὐχὴ εἰς τὸ ἀπολοῦσαι νεοφώτιστον.

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ διὰ τῆς κολυμβήθρας τὴν οὐράνιον ἔλλαμψιν τοῖς βαπτιζομένοις παρέχων... Goar. p. 304. Τὰς κεφαλὰς ἡμῶν. Ἐπεύχεται ὁ ἱερεύς· Ὁ ἐνδυσάμενός σε τὸν Χριστὸν καὶ Θεὸν ἡμῶν... Ibid.

л. 244 об. Εὐχὴ εἰς τὸ κουρεῦσαι παιδίον. Дмитріевскій. Прилож. стр. 16.

л. 246. Διακονικὰ εἰς ἀνομβρίαν. Goar. p. 612—613. Не достаетъ противъ Гоара лишь двухъ прошеній: Κατάπεμψον τοὺς ὑετούς... Καὶ οἰκτίρμων καὶ ἐλεήμων... и возгласа: Ἐπάκουσον ἡμῶν, ὁ Θεός..., но есть въ концѣ ектеньи лишнее прошеніе: Καὶ ὑπὲρ τοῦ ἐπομβρίσαι τῇ γῇ ὑετὸν ἀγαθότητος.

л. 249. Εὐχὴ ἐπὶ θεμελίῳ ἐκκλησίας. Goar. p. 486.

л. 250. Εὐχὴ ἐπὶ ἐξομολογουμένων. Goar. p. 537.

л. 250 об. Εὐχὴ συγχωρητικὴ παρὰ πνευματικοῦ πατρός.

Ὁ Θεός, ὁ συγχωρήσας διὰ Νάθαν τῷ προφήτῃ Δαβὶδ τὰ ἴδια ὁμολογήσαντι κακὰ καὶ Πέτρῳ τὴν ἄρνησιν, κλαύσαντι ἰσχυρῶς, καὶ πόρνῃ δακρυσάσῃ ἐπὶ τοὺς ἀχράντους Αὐτοῦ πόδας, καὶ Μανασσῇ καὶ τῷ τελώνῃ, ὁ εἰπών· Ἐξομολογεῖσθε ἀλλήλοις. Αὐτός, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς συγχωρῆσαι σε, ἀδελφὲ ὁ δεῖνα, καὶ εἴ τι οὐκ ἔφθασας, ὡς ἄνθρωπος ἐξαγγεῖλαι ἑκουσίως καὶ ἀκουσίως, ἢ καὶ δι᾽ ἄγνοιαν ὑπὸ πλήθους ὀνομάτων διαφόροις πνευματικοῖς, συγχωρήσαι σε καὶ ταῦτα ὁ φι-

λάνθρωπος Θεὸς ἐν τῷ μέλλοντι, καὶ ἀκατάκριτον παραστῆσαι σε ἐνώπιον τοῦ φοβεροῦ αὐτοῦ βήματος, ὁ ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας Ἀμήν.

л. 251. Εὐχὴ ἐπὶ τῶν προπετῶς ὀμνυόντων. См. выше стр. 286.

л. 251 об. Εὐχὴ ἐπὶ τῶν ἀλόγως ὑπό τινων ἀφοριζομένων, ἢ λόγῳ αὐτοὺς δεσμευόντων Goar. p. 531.

л. 253. Εὐχὴ ἐπὶ μιαροφαγησάντων. Goar. p. 534.

л. 254. Εὐχὴ ἐπὶ μικροῦ τινος ἐμπεσόντος εἰς φρέαρ См. выше стр. 286.

Далѣе слѣдуютъ тѣже молитвы и въ томъ же порядкѣ, какъ въ Εὐχολόγ. ркп. Ватопед.-Аѳон. библ. № 133. См. выше стр. 286—287.

л. 275. Ἀρχὴ τῶν ια΄. ἑωθινῶν εὐαγγελίων.

л. 290. Ἀκολουθία τοῦ μικροῦ σχήματος, ἤγουν τοῦ μανδύου. См. выше стр. 276.

л. 301 об. Εἰς ἀρχάριον ρασοφοροῦντα. См. выше стр. 276.

л. 303. Τὰ διακονικὰ τῆς θείας λειτουργίας. Здѣсь содержатся ектеньи, произносимыя діакономъ во время литургіи. Изъ примѣчаній достойно вниманія слѣдующее: Εἰ δὲ εἰσὶ δύο διάκονοι, λέγουσι τοῦτο (т. е. ектенью объ оглашенныхъ) ἀμοιβαδὸν οἷον, ὁ μὲν ἔξω· Ὅσοι κατηχούμενοι προέλθετε, ὁ δὲ ἔσω· Οἱ κατηχούμενοι προέλθετε, καὶ αὖθις ὁ μὲν ἔξω· Ὅσοι κατηχούμενοι προέλθετε, ὁ δὲ ἔσω· Μή τις τῶν κατηχουμένων, καὶ εὐθὺς πάλιν ὁ ἐκτός· Ὅσοι πιστοὶ ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

л. 307. Τὰ διπλοκατηχούμενα, ἃ καὶ λέγονται ἀπὸ τῆς τετράδος τῆς μεσονηστίμου μέχρι τῆς μεγάλης τετράδος.

л. 308. Εὐχή, λεγομένη παρὰ ἀρχιερέως ἢ ἱερέως, ἢ καὶ παρὰ πνευματικοῦ πατρὸς συγχωρῶν τὰ ἑκούσια καὶ τὰ ἀκούσια ἁμαρτήματα, λύων πᾶσαν ἀρὰν καὶ ὅρκον ἐπὶ τὸν μέλλοντα μεταλαβεῖν.

Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, Υἱὲ καὶ Λόγε τοῦ Θεοῦ, τοῦ ζῶντος, ποιμὴν καὶ ἀμνέ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου... Goar. p. 536.

л. 312. Ἀκολουθία, γινομένη εἰς τὸ μέγα καὶ ἀγγελικὸν καὶ ἅγιον σχῆμα. См. выше стр. 272—282.

л. 351. Μεγαλυνάρια, ψαλλόμενα τῷ ἁγίῳ καὶ μεγάλῳ σαββάτῳ εἰς Ἄμωμον, τοῦτο ἄστιχον καὶ εἰς τοὺς δύο χορούς.

л. 366. Канонъ (неполный) плачъ Пресвятой Богородицы.

л. 371. Εὐχὴ εἰς ψυχορραγοῦντα.

Δέσποτα Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ Πατὴρ τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ... Goar. p. 587.

л. 371. об. Εὐχὴ εἰς εὐλογίαν ἐλαίου. Ркп. Есфигм. библ. № 208 л. 72.

**LXVIII.** № 73(274) Εὐχολόγιον, рукопись патріаршей библіотеки въ Іерусалимѣ на бумагѣ писана скорописью XV вѣка. Листовъ 141.

л. 1. Ἀκολουθία εἰς ῥασοφόρον μοναχόν.

Ἅγιε ἀγαθέ, ὁ τοῦ ἀγαθοῦ Πατρὸς Υἱός, ὁ τὴν ὑπερηφανίαν ἐκκόπτων καὶ καταργῶν τὴν ἔνστασιν τοῦ ἀντικειμένου, καὶ ἐκχέων τὴν δόξαν τῆς ταπεινοφροσύνης ἐπὶ τῆς κεφαλῆς τῶν ἁγίων καὶ στέφων αὐτοὺς τὸν στέφανον τῆς ζωῆς καὶ τῆς ἀθανασίας, καὶ ὁδηγῶν εἰς τὴν στενὴν ὁδόν, δι' ἧς εἰσῆλθον οἱ ἅγιοι πατέρες καὶ ἀπειλήφασι τὸν τόπον τῆς ἀναπαύσεως· Αὐτὸς Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, δώρησαι τὴν παροῦσαν δύναμιν καὶ χάριν τῆς σῆς θεότητος ἐπὶ τὸ πνεῦμα καὶ τὴν ψυχὴν καὶ τὸ σῶμα τοῦ σοὶ προσελθόντος ἀδελφοῦ ἡμῶν καὶ δεξαμένου τὴν ἀπαρχὴν τοῦ ἁγίου σχήματος ἐν τῷ ὀνόματί σου, τῷ ἁγιάζοντι τὰ σύμπαντα, ἵνα καὶ τοῦτον ἕξῃς ἐν τῷ ὀνόματί σου τῷ παντοδυνάμῳ καὶ ἀγαθῷ. Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν... Conf. Goar. pag. 391. Εἰρήνη πᾶσι. Τὰς κεφαλὰς ἡμῶν... Ὁ Θεὸς ὁ μεγαλόδωρος, ὁ ἑλκύσας τὸν δοῦλόν σου ὁ δεῖνα см. ркп. Ватопед. библ. XVI в. № 134 л. 126. Καὶ εὐθὺς κουρεύει αὐτὸν σταυροειδῶς καὶ ἐνδύει αὐτὸν στιχάριον μαῦρον καὶ μικρὸν κουκούλιον καὶ ζώνην δερματίνην. Ὁ ἱερεύς· Εἰρήνη πᾶσι. Τὰς κεφαλάς. Δέσποτα Κύριε, ὁ μόνος ἀγαθὸς καὶ φιλάνθρωπος, ὁ πλούσιος ἐν ἐλέει... См. выше стр. 221. Καὶ ἀσπάζονται αὐτὸν οἱ ἀδελφοὶ καὶ ἀπόλυσις.

л. 2. Τάξις εἰς σχῆμα μοναχοῦ σταυροφόρου.

Εἰσφέρουσιν οἱ ἀδελφοὶ τὸν μέλλοντα φορέσαι τὸν σταυρὸν εἰς τὸ διακονικὸν καὶ ἐπιτίθουσι τὸ ψαλλίδιον ἐπὶ τὸ παρατράπεζον καὶ τὸν σταυρόν, καὶ λέγει ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν. Καὶ ὁ ἱερεὺς τὴν εὐχήν· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἀξίους σου εἶναι νομοθετήσας τοὺς τὰ βιωτικὰ πάντα καταλιπόντας συγγένειαν. Goar. p. 380. Ὁ ἱερεύς· Εἰρήνη πᾶσι. Τὰς κεφαλάς. Εὐχαριστοῦμέν σοι, Κύριε, ὁ κατὰ τὸ πολὺ ἔλεός σου ῥυσάμενος τὸν δοῦλόν σου τόνδε ἐκ τῆς ματαίας τοῦ κόσμου ζωῆς... Goar. p. 378. Εἶτα ἐγείρει αὐτὸν ὁ ἱερεύς, καὶ λαμβάνει ὁ μέλλων κουρευθῆναι τὸ ψαλλίδιον καὶ δίδωσιν αὐτῷ τῷ ἱερεῖ, ὁ δὲ λαβὼν αὐτὸ λέγει· Εὐλογητὸς ὁ Θεός, ὁ θέλων πάντας ἀνθρώπους σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, νῦν καὶ ἀεί. Καὶ κουρεύει αὐτὸν ὁ ἱερεὺς σταυροειδῶς, λέγων· Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα κείρεται τὴν κόμην τῆς κεφαλῆς αὐτοῦ...[1]) Ὁ ἀδελφὸς ἡμῶν ἔλαβε τὸ σχῆμα τῆς ἀγγελικῆς καταστάσεως, εἰς τὸ ὄνομα τοῦ Πατρός...[2]) Κύριε ἐλέησον γ'. Λέγει ὁ ἱερεὺς τὴν εὐχήν· Κύριε, Κύριε, ἡ δύ-

[1]) Ркп. Синайск. библ. XVI в. № 978 Прибавлено: καὶ φορένει τὸν σταυρὸν καὶ λέγει· Ὁ ἀδελφὸς ἡμῶν ἔλαβε τὸ σχῆμα [2]) Ibid. Εἶτα πάλιν κλίνει τὴν κεφαλήν, καὶ ὁ ἱερεὺς εὔχεται.

ναμις τῆς σωτηρίας ἡμῶν, ὁ εὐλογήσας ἡμᾶς ἐν πάσῃ εὐλογίᾳ πνευματικῇ ἐν τοῖς ἐπουρανίοις. Goar. pag. 379. Εἰρήνη πᾶσι. Τὰς κεφαλάς. Εἰς τὸν ζυγόν σου, Δέσποτα, τὸν σωτήριον, πρόσδεξαι τὸν δοῦλόν σου ὁ δεῖνα, καὶ καταξίωσον αὐτὸν ἐν τῇ ποίμνῃ τῶν ἐκλεκτῶν σου. Goar. p. 378. Καὶ εὐθὺς ἀσπάζονται αὐτὸν οἱ ἀδελφοὶ καὶ ἀπόλυσις.

л. 4. Ἀκολουθία τοῦ ἁγίου σχήματος, ἔχουσα οὕτως·

Ἀφ' ἑσπέρας εἰσφέρουσι τὰ ἱμάτια τοῦ μέλλοντος ἀποκαρῆναι εἰς τὸ ἅγιον θυσιαστήριον καὶ ἀποτίθενται ἐν τῷ θαλασσιδίῳ τῆς ἁγίας τραπέζης· ἐν τῷ ὄρθρῳ οὖν συμψάλλεται καὶ ὁ κανὼν τοῦ σχήματος, καὶ εἰς τὴν λειτουργίαν ψάλλομεν τὰ ἀντίφωνα, εἰ δὲ οὐκ ἔστι λειτουργία, εὐλογοῦντος τοῦ ἱερέως, λέγομεν τὸ Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, εἶθ' οὕτως Ἀλληλούια εἰς ἦχον πλ. β'. καὶ λέγομεν τροπάρια Ἐλέησον ἡμᾶς, Δόξα, Κύριε, ἐλέησον ἡμᾶς, Καὶ νῦν, Πολλὰ τὰ πλήθη, εἶτα τὸν Ν'. καὶ τὸν παρόντα κανόνα ᾠδὴ α'. ἦχος δ'. Θαλάσσης τὸ ἐρυθραῖον. См. выше стр. 226—227. По канонѣ, стихиры προσόμοια ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου. Πίστει προσερχόμενον κ. τ. λ. Goar. pag. 405—406. Δόξα, ἦχος β'. Τῶν πεπραγμένων μοι δεινῶν... Καὶ νῦν, θεοτοκίον· Τὴν πᾶσαν ἐλπίδα μου... Εἰς τὴν λειτουργίαν τὰ ἀντίφωνα· Εὐλόγει ἡ ψυχή μου... Ἀντίφωνον β'. Αἴνει ἡ ψυχή μου, καὶ λέγει τοὺς μακαρισμούς. Ἵσταται δὲ ὁ τὸ σχῆμα μέλλων λαβεῖν ἐκτὸς τῶν βασιλικῶν πυλῶν τοῦ ναοῦ, φορῶν τὰ προσυνήθη καθημερινὰ ἱμάτια αὐτοῦ, καὶ μετὰ τὴν εἴσοδον λέγει ὁ διάκονος· Πρόσχωμεν. Ψάλλομεν χῦμα εἰς ἦχον δ'. Ἤθελον δάκρυσιν... Στιχος· Ὡς ἀγαπητὰ τὰ σκηνώματα... Τίς χειμαζόμενος καὶ προστρέχων τῷ λιμένι τούτῳ οὐ διασώζεται... Στίχος· Ἐξελεξάμην... Ἐν τῇ πηγῇ τῇ μυστικῇ τῆς ἀναγεννήσεως.. Ῥῦσαι ἡμᾶς ἐκ τῶν ἀναγκῶν ἡμῶν... Εἶτα εἰσάγουσιν αὐτὸν μέσον τοῦ ναοῦ καὶ ἵσταται ἀσκεπὴς τὴν κεφαλὴν καὶ ἀνυπόδητος τοῖς ποσίν· ἄρχονται δὲ οἱ ἀδελφοί, ψάλλουσιν ἀντίφωνον β'. ἦχος β'. Πρόβατον εἰμὶ τῆς λογικῆς σου ποίμνης... Στίχος· Εἰπάτωσαν οἱ... Ζάλη ἁμαρτημάτων περιέχει με, Σωτήρ... Goar. p. 406. Στίχος· Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι... Πλῦνόν με τοῖς δάκρυσί μου, Σωτήρ, ὅτι ῥερύπωμαι ἐν πολλαῖς ἁμαρτίαις... Δόξα καὶ νῦν, θεοτοκίον· Ἐξ ἀχράντων σου λαγόνων, Θεοτόκε πανύμνητε... Καὶ οὕτως εἰσφέρουσιν αὐτὸν ἕως τοῦ ἄμβωνος καὶ ἵσταται, ψάλλεται δὲ ἀντίφωνον τρίτον· Ποῦ ἔστιν ἡ τοῦ κόσμου προσπάθεια... Καὶ τούτου λεγομένου, ἄγουσιν αὐτὸν εἰς τὴν σολαίαν, ἤτοι ἐγγύτερον τοῦ βήματος καὶ ἵσταται. Στίχος· Δεῦτε, τέκνα, ἀκούσατέ μου. Δεῦτε πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι... Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν... Καὶ οὕτως φέρουσιν αὐτὸν καὶ προσπίπτει ἔμπροσθεν τῶν ἁγίων θυρῶν καὶ οὐκ

ἀνίσταται μέχρι συμπληρώσεως τῶν ἀντιφώνων, καὶ εἰ' μὲν ἐστὶν ἱερεὺς καὶ μέλλει ἱερατεύειν, εἰσέρχεται ἐντὸς τοῦ ἁγίου θυσιαστηρίου, ποιήσας μετανοίας γ'. καὶ τῷ προεστῶτι μίαν, εἰ δὲ οὐκ ἔστιν ἱερεύς, ποιεῖ ἔξωθεν τοῦ θυσιαστηρίου τὰς αὐτὰς μετανοίας· εἰ δὲ καὶ εἷς ἐστὶν ἱερεύς, οὐ μέλλει δὲ ἱερατεύειν, ἐπίσης τῷ ἰδιότῃ, ποιεῖ καὶ αὐτὸς ἔξωθεν τοῦ θυσιαστηρίου, καὶ ψάλλομεν ἡμεῖς τὰ τροπάρια ταῦτα, ἦχος δ'. Κύριε, Κύριε, ἐπίβλεψον ἐξ οὐρανοῦ καὶ ἴδε... Δόξα καὶ νῦν, θεοτοκίον· Ὁ διὰ σὲ θεοπάτωρ προφήτης Δαβίδ... Ὁ δὲ ἱερεὺς λέγει τὴν εὐχὴν ταύτην· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ εὐδοκήσας διὰ τὸ γένος τῶν ἀνθρώπων κατελθεῖν ἐκ τῶν οὐρανῶν καὶ τοῖς ἀνθρώποις συναναστραφείς, ὁ τὰ ἐνενήκοντα ἐννέα πρόβατα καταλιπὼν ἐπὶ τὰ ὄρη καὶ τοὺς βουνοὺς καὶ ἐπὶ τὸ πλανηθὲν ἀναδραμὼν καὶ εὑρὼν αὐτό, καὶ ἐπὶ τῶν ὤμων ἀναλαβὼν καὶ χαίρων ἐπ' αὐτῷ μᾶλλον ἢ ἐπὶ τοῖς ἐνενήκοντα ἐννέα τοῖς μὴ πλανηθεῖσιν, ὁ τὸν οἶκον σαρώσας καὶ συγκαλὼν τὰς ἑαυτοῦ δυνάμεις συγχαρῆναι ἐπὶ τῇ εὑρεθείσῃ δραχμῇ, ὁ ποιμὴν ὁ καλός, ὁ τὴν ψυχὴν αὐτοῦ θεὶς ὑπὲρ τῶν προβάτων, ἡ θύρα καὶ ἡ ὁδὸς καὶ ἡ ἀλήθεια, δι' ἧς ἄν τις εἰσέλθῃ, σωθήσεται, ὁ εἰπών· οὐκ ἦλθον καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν, καθὼς καὶ ἡ εὐαγγελικὴ φωνὴ ἡ λέγουσα· ἥτις ἐστὶν Ἰησοῦς ὁ Χριστὸς λέγων· Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου, ὁ ἀκολουθῶν ἐμοὶ οὐ περιπατήσει ἐν τῇ σκοτίᾳ, ἀλλ' ἕξει τὸ φῶς τῆς ζωῆς, ἄναρχε, ἀόρατε, ἀνερμήνευτε, ὁ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγὼν τὰ σύμπαντα, ὁ φῶς οἰκῶν ἀπρόσιτον καὶ θρόνον ἔχων τὸν οὐρανόν, τὴν δὲ γῆν ὑποπόδιον. Αὐτὸς ἐνίσχυσον τὸν δοῦλόν σου ὁ δεῖνα πρὸς τὸ ἀντιπαλαῖσαι τὰς τέχνας καὶ μεθοδίας τοῦ πονηροῦ, ῥυόμενος αὐτὸν ἀπὸ πάσης ἐνεργείας διαβολικῆς καὶ ἀντικειμένης δυνάμεως. Ὅτι σὸν τὸ κράτος σου... Εἶθ' οὕτως ἀνιστᾷ αὐτὸν καὶ ἐπερωτᾷ αὐτὸν ὁ ἱερεύς, λέγων. Ἐρώτησις· Τί προσῆλθες, ἀδελφέ, προσπίπτων τῷ ἁγίῳ θυσιαστηρίῳ... Goar. p. 407. Ἀποτάσσεις τῷ προεστῶτι καὶ πᾶσι τοῖς ἐν Χριστῷ ἀδελφοῖς; Ἀπόκρισις· Ναί, τίμιε πάτερ. Ἐρώτησις· Φυλάττεις ἑαυτὸν ἐν παρθενίᾳ καὶ σωφροσύνῃ ἕως ἐσχάτης σου ἀναπνοῆς; Ἀποκρίνει· Ναί, τίμιε πάτερ. Ἐρώτησις· Φυλάττεις ἑαυτὸν ἐν παρθενίᾳ καὶ σωφροσύνῃ ἕως ἐσχάτης σου ἀναπνοῆς; Ἀπόκρισις· Ναί, τίμιε πάτερ. Ἐρώτησις· Σώζεις μέχρι θανάτου τὴν ὑπακοὴν τῷ προεστῶτι καὶ πάσῃ τῇ ἐν Χριστῷ ἀδελφότητι; Ἀπόκρισις· Ναί, τίμιε πάτερ. Ἐρώτησις· Ὑπομένεις πᾶσαν θλίψιν καὶ στενοχωρίαν τοῦ μονήρους βίου διὰ τὴν βασιλείαν τῶν ἀνθρώπων; Ἀπόκρισις· Ναί, τίμιε πάτερ. Ὁ ἱερεύς· Βλέπε, τέκνον... Goar. p. 383 καὶ ὧνπερ δέον ἐκφυγεῖν· ἡ ἀποταγὴ τοίνυν οὐδὲν ἄλλο καθέστηκε κατὰ τὸν εἰπόντα, εἰ μὴ σταυροῦ καὶ θανάτου ἐπαγγελία· γίνωσκε τοίνυν ἀσφαλῶς ἀπὸ τῆς παρούσης ἡμέρας

σταυροῦσαι καὶ νεκροῦσαι τῷ κόσμῳ καὶ τὸν κόσμον σχοίης διὰ τῆς τελειοτάτης ἀποταγῆς; Ἀπόκρισις· Ναί, τίμιε πάτερ. Καὶ ῥίπτει ἑαυτὸν ἐπὶ πρόσωπον, καὶ λέγει ὁ ἱερεὺς τὴν εὐχὴν ταύτην· Ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ χορηγὸς τοῦ ἁγίου καὶ ζωοποιοῦ Πνεύματος. См. выше стр. 224, сн. стр. 152 καὶ ἀνείληφαν τὴν ἐλπίδα τῆς αὐτῶν ἀναπαύσεως. Ὁ ποιμὴν ὁ καλός, ὁ ἀποσπῶν ἐκ τῆς πλάνης τὰ λογικά σου πρόβατα ἐπὶ νομὴν σωτηρίας καὶ τοῖς σε ἐπιγινώσκουσι τὴν ἄσκησιν διδούς, ὁ ἐκ τῶν κοσμικῶν δοξάζων τοὺς σὲ θεραπεύοντας ᾄσμασί τε ἀποστολικῶν καὶ προφητικῶν παραδόσεων σεμνύνων τοὺς ἐπιθυμοῦντας, Αὐτὸς Δέσποτα φιλάνθρωπε, εὐλόγησον καὶ ἁγίασον τὸν δοῦλόν σου ὁ δεῖνα, τὸν νῦν, καταλιμπάνοντα τὸν πρόσκαιρον καὶ φθαρτὸν βίον τοῦτον, χάρισαι αὐτῷ παρθενίαν, τῷ τῇ ψυχῇ τε καὶ σώματι προσελθόντι σοι τῷ ἀμωμήτῳ νυμφίῳ, σύντριψον τὸν σατανᾶν ἐν τάχει ὑπὸ τοὺς πόδας αὐτοῦ καὶ ἀνάδειξον αὐτὸν φωστῆρα, λογικὸν πρόβατον τῆς ἁγίας σου ποίμνης[1]), ἐργάτην ἀληθινὸν τοῦ ἁγίου σχήματος ἐν τῷ ὀνόματί σου τῷ ἁγίῳ, τῷ ἁγιάζοντι τὰ σύμπαντα, ἵνα καὶ αὐτὸς ἁγιασθῇ. Ὅτι σὺ εἶ, ὁ θέλων πάντας ἀνθρώπους σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρί. Goar. p. 391. Εἶτα ἐγείρας αὐτόν, εἰσηγεῖται ὁ ἱερεὺς οὕτως αὐτῷ· Ἀδελφέ μου, καταλιμπάνεις τὸν βίον, σωθῆναι θέλων, βλέπε σεαυτόν, περίσφιγξόν σου τὸν νοῦν ἀπὸ πάσης φαντασίας, ἀπόῤῥιψον ἀπὸ σοῦ πᾶσαν φαντασίαν σαρκικήν, ἀπόθου πάντα τὰ ἤθη τοῦ κόσμου. Ἀδελφέ, μονάσαι παραγέγονας, μονάσαι σου τὴν ψυχὴν ἀπὸ πάσης φροντίδος, τῆς ἐν τῷ οἴκῳ σου ὑπαρχούσης, ἤγουν τοῦ προσκαίρου βίου· οὐδαμῶς γὰρ μεριμνῆσαι ὀφείλεις τοῦ λοιποῦ ὧν καὶ νῦν ἐᾶσαι βούλει πραγμάτων ἢ πατρός, ἢ μητρός, ἢ ἀδελφῶν, ἢ γυναικός, ἢ ἀνδρός, ἢ τέκνων, ἢ τῶν λοιπῶν συγγενῶν. Ἀγαπητέ, τῷ μονήρει βίῳ ἐλήλυθας ἀσκῆσαι, δίωξον ἀπὸ τῆς καρδίας σου τῶν βρωμάτων πάντων τὰ ἡδέα, οἴνου τε τὸ πλεῖστον, τῶν ἐνδυμάτων τὰ μαλακά, τὸν ὕπνον, τὸν γέλωτα, τὴν ἄνεσιν, τὸν θόρυβον, τοὺς ὅρκους, τὸν ταχὺν περίπατον, τὰς ἀπρεπεῖς ὁμιλίας, τὸν δόλον, τὴν μανιώδη ὀξύτητα, τὴν μνησικακίαν, τὸν ζῆλον, τὸν φθόνον, τὴν ἔχθραν, τὴν φιλονικίαν καὶ πάντα τὰ ὅμοια αὐτῆς. Ἀδελφέ μου, τὴν ἀγγελικὴν[2]) ποθεῖς πραγματεύσασθαι πολιτείαν, γύμνωσον σεαυτὸν ἀπὸ πάντων τῶν τοῦ βίου πραγμάτων, μὴ μόνον τῶν ὁρωμένων, ἀλλὰ καὶ τῶν διὰ τῆς σῆς ἐννοίας ζωγραφῆσθαι δυναμένων ἐν τῷ ἀοράτῳ τῆς καρδίας ἐργαστηρίῳ, καὶ ἔνδυσαι ὡς θώρακα πίστεως τὴν

---

[1]) Ркп. XIII в. Синайск. библ. № 967 δεχομένων παρὰ σοῦ τὰς ἀπαρχὰς τοῦ ἁγίου σχήματος [2]) πολιτείαν ποθεῖς.

ἑκούσιον πτωχείαν, τὴν πεῖναν, τὴν δίψαν, τὴν γυμνότητα, ἔπειτα τὴν νηστείαν, τὴν τῶν βρωμάτων ἔνδειαν, τὴν τοῦ πλείστου οἴνου ἀποχήν, ἄλλως τε δὲ καὶ περὶ τὰ ἔργα σπουδὴν ἔχειν ), ὅσα κατὰ τὴν ἀναγκαίαν τοῦ σώματος χρείαν, πόθησον χαμευνίαν, ἀγρυπνίαν [2]), στάσιν, παννυχίαν, ἄσκησιν, τὴν τοῦ σώματος χαλιναγωγὸν καὶ καταστολήν. Ἀδελφέ μου, τὸν θόρυβον τοῦ κόσμου ἐμίσησας καὶ τὴν ἡσυχίαν ἐπεπόθησας ἀναλαβέσθαι, πραότητα σπούδασον καὶ τὴν ὑπομονήν, λέγω δὴ τὴν ἀδιάστροφον λόγῳ τε καὶ ἔργῳ, τὰ χρήματα ἀπόθου, πόθησον δὲ δικαιοσύνην, τὴν τῆς ἀκτημοσύνης μητέρα. Ἀγαπητέ, εἰρηνεῦσαι ζητεῖς, εἰρήνευσον τοὺς ἀτάκτους λογισμοὺς [3]) καὶ τὴν σὴν καρδίαν ἀπὸ τούτων ἀεὶ διατήρησον καθαράν, ἡμέρωσον οὖν τὴν ψυχὴν καὶ τὸν νοῦν, ὡς ἐν γῇ βαθείᾳ, καταβαλλόμενος τὰ ἐκ τῶν θείων Γραφῶν λόγια, ἅπερ εἰσὶ σωτηρίας σπέρματα καὶ πνευματικὴ τροφή, ἵνα οὕτω ὁδηγηθῇς δι' αὐτῶν πρὸς τὴν γνῶσιν τὴν ἀληθῆ τῶν αἰωνίων καλῶν· καὶ γὰρ ὥσπερ τὰ σπέρματα ἐν τόπῳ χερσώδει ἀποπνίγεται ὑπὸ ἀγρίων βοτανῶν, καθὼς φησὶν ἐν εὐαγγελίοις ὁ Κύριος, τὸν αὐτὸν δὴ τρόπον καὶ οἱ λόγοι τῶν θείων Γραφῶν [4]) συμπνίγονται καὶ οὐ τελεσφοροῦσιν ἐν τῇ γῇ τῆς ψυχῆς τῇ χερσώδει, ἐὰν μὴ πρῶτον αἱ ῥίζαι τῶν ἀκαθάρτων λογισμῶν ἐξ αὐτῆς ἐκβληθῶσιν, αἵτινες εἰσὶν ἐπιθυμίαι πάσης σαρκικῆς ἡδονῆς, οἷον βρωμάτων, χρημάτων, φιλαργυρίας, δόξης καὶ τῶν τούτοις ὁμοίων. Εἰ οὖν ἐξ ὅλης σου τῆς ψυχῆς τῷ Κυρίῳ προσέδραμες, ἀδελφέ, ἀγάπησον αὐτὸν ἐξ ὅλης τῆς διανοίας σου, ἀποθούμενος πάντα τὸν κόσμον· ὅρα τοίνυν, ἵνα μὴ ἔγκειται ἔν τινι τῶν εἰρημένων ἡ καρδία σου πάθει καὶ γένηταί σοι ἀργὸν τὸ ἐπιχείρημα, καθαρός ἐστιν ὁ νυμφίος, καθαρεύειν θέλει καὶ τὴν ψυχὴν τὴν προσερχομένην αὐτῷ ἀπὸ πάσης πονηρᾶς ἐπιθυμίας, ἵνα τούτων ἀπεχόμενος γένησαι πνευματικὸς ἀνήρ, τὴν κατὰ πνεῦμα ζωὴν ἀσπασάμενος. Βλέπε οὖν καθαρᾷ σου τῇ διανοίᾳ προσελθεῖν σε τῷ βήματι τοῦ Χριστοῦ, μὴ ἐν δισταγμῷ τινι ἐνδυθῆναι θελήσῃς τὴν ἀγγελικὴν ταύτην στολὴν [5]), ἀλλ' ἐν ἁπλότητι καὶ ἀδιστάκτῳ καρδίᾳ, ἵνα ὁρῶν σου τὸ πρόθυμον

---

[1]) Ркп. Синайск. библ. № 967 Πόθησον χαμαικοιτείαν [2]) τὴν τοῦ σάκκου στολήν, ἀδελφέ μου, τῶν θορόβων τοῦ κόσμου ἐμίσησας, ἀναλάβου πραότητα καὶ ὑπομονήν, ὑπομονὴν δέ σοι λέγω [3]) καὶ φιλοκάλησον τὴν σεαυτοῦ πρόθεσιν ἐκ τῶν οἰκίων λογισμῶν τῶν φθειρόντων ἀνθρώπων, ἡμέρωσόν σου τὴν ψυχὴν [4]) εἰς ψυχήν, ἐν ᾗ τυγχάνουσι τῶν ἀγρίων λογισμῶν αἱ ῥίζαι· ἐπιθυμίαι ἡδονῆς σαρκικῆς, ἐπιθυμίαι πλούτου, ἐπιθυμίαι βρωμάτων, ἐπιθυμίαι φιλαρχίας καὶ τὰ τούτοις παραπλήσια. Ἀδελφέ μου, ἐπὶ σωτηρίᾳ παραγέγονας τῆς σῆς ψυχῆς καὶ τῆς διανοίας ἀποθέμενος [5]) ἵνα ὁρῶν σε πρόθυμον ὁ νυμφίος.

ὁ νυμφίος Χριστὸς κατατάξῃ σε ἐν τῷ χορῷ τῶν ἀγγέλων, ᾧ καὶ γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι [1]). *Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ*... Εἶτα στραφεὶς ὁ ἱερεὺς κατὰ ἀνατολὰς λέγει τὴν εὐχήν· *Ὁ πανοικτίρμων οὖν Θεὸς καὶ πολυέλεος, ὁ τὰ ἄχραντα σπλάγχνα τῆς αὐτοῦ ἀνεξιχνιάστου ἀγαθότητος ὑπανοίγων παντὶ τῷ προσερχομένῳ αὐτῷ* Goar. p. 384. Καὶ στραφεὶς σφραγίζει τὴν κεφαλὴν αὐτοῦ καὶ ἐπιτίθησι τὰς χεῖρας ἐπ' αὐτόν, λέγων τὴν εὐχὴν ταύτην· *Ἐπὶ τῷ ὀνόματί σου, Κύριε ὁ Θεὸς τῶν δυνάμεων, ἐπιτίθημι τὴν χεῖρά μου ἐπὶ τὸν πνευματικὸν ἡμῶν ἀδελφὸν ὁ δεῖνα* Goar. p. 389. *Καὶ ἔμπλησον αὐτὸν τῆς πίστεως καὶ ἐλπίδος καὶ ἀγάπης, καὶ εὔφρανον αὐτὸν εν τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ, ἵνα ἀεὶ ἐκδουλεύων τῇ σῇ ἀγαθότητι προσκυνῇ καὶ δοξάζῃ τὸ ὄνομά σου τὸ ἅγιον, αἰνῶν καὶ εὐλογῶν σε διὰ παντὸς πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ. Χάριτι καὶ οἰκτιρμοῖς*... Καὶ λαβὼν τὸ ἅγιον εὐαγγέλιον, τίθησι τὸ ψαλλίδιον ἐπάνω αὐτοῦ καί, προσκυνήσας αὐτὸ ὁ μέλλων ἀποκείρασθαι, λέγει αὐτῷ ὁ ἱερεύς· *Βλέπε, ὅτι οὐδεὶς ἀναγκάζει σε εἰσελθεῖν ἐπὶ τὸ πρᾶγμα τοῦτο· βλέπε, ὅτι σὺ ἐξ οἰκείας σου προθέσεως καὶ προαιρέσεως προσῆλθες, ζητῶν τὸ ἅγιον σχῆμα;* Ἀπόκρισις· *Ναί, τίμιε πάτερ.* Ὁ ἱερεύς· *Ἰδοὺ ὁ Χριστὸς ἐνταῦθα, βλέπε, ὅτι οὐδείς σε ἀναγκάζει... Λάβε τὸ ψαλλίδιον καὶ ἐπίδος μοι.* Καὶ λαβὼν αὐτό, δίδωσι τῷ ἱερεῖ, καὶ λέγει ὁ ἱερεύς· *Ἰδοὺ ἐκ τῆς χειρὸς τοῦ Χριστοῦ λαμβάνεις*... Καὶ λέγει τοῦτο ἐκ τρίτου. Εἶτα πάλιν λέγει ὁ ἱερεύς· *Εὐλογητὸς ὁ Θεός, ὁ θέλων πάντας ἀνθρώπους σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, νῦν και ἀεί*... Εἶτα λαβὼν τὸ ψαλλίδιον, κουρεύει αὐτὸν σταυροειδῶς, λέγων· *Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα κείρεται τὴν κόμην*... Εἶτα λαβὼν τον χιτῶνα, λέγει· *Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα ἐνδύεται τὸν χιτῶνα τῆς δικαιοσύνης καὶ ἀγαλλιάσεως*... Καὶ λαβὼν τὴν περικεφαλαίαν, λέγει· *Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα λαμβάνει τὴν περικεφαλαίαν τοῦ σωτηρίου, εἰς τὸ ὄνομα τοῦ Πατρός*... Καὶ λαβὼν τὸ παλλίον μετὰ τοῦ σταυροῦ, λέγει· *Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα λαμβάνει τὸ παλλίον τοῦ ἀγγελικοῦ σχήματος εἰς στολήν... ἀναλαμβανόμενος τὸν σταυρὸν καὶ ἀκολουθῶν τῷ Δεσπότῃ Χριστῷ.* Καὶ λαβὼν τὴν ζώνην, λέγει· *Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα περιζώννυται τὸν ὀσφὺν αὐτοῦ, δύναμιν ἀληθείας, εἰς τὸ ὄνομα τοῦ Πατρός*... Καὶ λαβὼν τὸ παλλίον τὸ ἔξωθεν, λέγει· *Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα λαμβάνει τὸ παλλίον τοῦ ἁγίου καὶ ἀγγελικοῦ σχήματος, εἰς τὸ ὄνομα τοῦ Πατρός*... Καὶ λαβὼν τὰ σανδάλια· *Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα ὑποδύεται τὰ σανδάλια τῆς ἑτοιμασίας τοῦ εὐαγγελίου τῆς εἰρήνης, εἰς τὸ ὄνομα τοῦ Πατρός... Ὁ ἀδελφὸς ἡμῶν ὁ*

[1]) **Ркп. Синайск. библ. № 967** ἐπιτυχεῖν διὰ τῆς χάριτος καὶ ἀγάπης τοῦ νυμφίου, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας.

δεῖνα ἔλαβε τὸ μανδυακὸν σχῆμα, εἰς τὸ ὄνομα τοῦ Πατρός... Καὶ εὐθὺς ψάλλουσι τὰ τροπάρια· Ἐνδύσασθε χιτῶνα τῆς σωτηρίας, ζώσασθε τὴν ζώνην τῆς σωφροσύνης, δέξασθε τὸ σημεῖον τοῦ σταυροῦ... Στίχος· Ἀγαλλιᾶσθε τῷ Θεῷ, καὶ πάλιν τὸ αὐτό, Δόξα τὸ αὐτό, Καὶ νῦν, θεοτοκίον· Ἔχοντές σε, Θεοτόκε, ἐλπίδα καὶ προστασίαν, ἐχθρῶν ἐπιβουλὰς οὐ πτοούμεθα... Οἱ δὲ ἀδελφοὶ κουρεύουσιν αὐτόν, ψάλλοντες τὸν Ἄμωμον, εἶτα λέγει ὁ ἱερεύς, Τοῦ Κυρίου δεηθῶμεν. Εὐχή· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ πιστὸς ἐν ταῖς ἐπαγγελίαις σου καὶ ἀμεταμέλητος ἐν τοῖς χαρίσμασί σου pag. 411, но въ изложеніи есть небольшія особенности. Ὅτι Θεὸς ἐλέους καὶ οἰκτιρμῶν... Εἶτα ἀνακρίνει αὐτὸν πάλιν, λέγων οὕτως· Ἀνέλαβες τὴν στολὴν τὴν ἀγγελικὴν πολιτείαν; Ἀπόκρισις· Ναί, τίμιε πάτερ. Ἐρώτησις· Ἀνέλαβες τὴν στολὴν τῶν ἁγίων ἀποστόλων; Ἀπόκρισις· Ναί, τίμιε πάτερ. Καὶ ἀναβλέψας εἰς τὸν οὐρανόν· Δόξα ἐν ὑψίστοις Θεῷ См. Схиматолог. Θеодор. Студ. въ ркп. Пант. библ. XV в. Καὶ εἰ μὲν ἐστὶ λειτουργία, ποιοῦμεν τὸν ἀσπασμὸν ἐν φιλήματι ἁγίῳ· ἐπιδίδοται γὰρ αὐτὸ τὸ ἅγιον εὐαγγέλιον καὶ διέρχεται σὺν αὐτῷ πᾶσαν τὴν ἀδελφότητα, ποιῶν ἐπὶ ἑκάστῳ, ὡς ἔθος, τὸν ἀσπασμόν. Μετὰ δὲ τοῦτο ἵσταται πλησίον τῶν ἁγίων θυρῶν τοῦ βήματος μετὰ κηροῦ μέχρι συμπληρώσεως τῆς θείας λειτουργίας, ὁ δὲ διάκονος ποιεῖ αἴτησιν μικρὰν λέγων· Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τοῦ ἀδελφοῦ ἡμῶν ὁ δεῖνα... Ὑπὲρ τοῦ ἀμέμπτως τὸ μοναχικὸν σχῆμα διανῦσαι αὐτόν... Ὑπὲρ τοῦ ἀπαλλαγῆναι αὐτὸν πάσης κοσμικῆς προσπαθείας καὶ τῶν κατὰ σάρκα γονέων αὐτοῦ, τοῦ Κυρίου δεηθῶμεν. Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς. Ἀντιλαβοῦ, σῶσον. Τῆς παναγίας ἀχράντου... Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν. Ἀντὶ δὲ τοῦ Τρισαγίου λέγων· Ὅσοι εἰς Χριστόν, εἰ δὲ οὐκ ἔστι λειτουργία, λέγει τὸ προκείμενον τοῦ ἀποστόλου, ἦχος πλ. β'. Δουλεύσατε τῷ Κυρίῳ ἐν φόβῳ, Στίχος· Κύριος φωτισμός μου, καθολικῆς ἐπιστολῆς Πέτρου· Ἀδελφοί, χάρις ὑμῖν καὶ εἰρήνη πληθυνθείη ἐπὶ ἐπιγνώσει τοῦ Θεοῦ καὶ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν.. Τέλος· ταῦτα γὰρ ποιοῦντες οὐ μὴ πταίσητέ ποτε. Ἀλληλούια, ἦχος β'. Ἰδοὺ δὴ τί καλὸν ἢ τί τερπνόν... Εὐαγγέλιον κατὰ Μάρκον· Εἶπεν ὁ Κύριος· ὅστις θέλει ὀπίσω μου ἐλθεῖν ἀπαρνησάσθω ἑαυτόν... Τέλος· ἕως ἂν ἴδωσι τὴν βασιλείαν τοῦ Θεοῦ ἐληλυθυῖαν ἐν δυνάμει. Τελεσθείσης δὲ τῆς λειτουργίας αἴρουσιν οἱ μοναχοὶ τὸν νεοφώτιστον καὶ ὀφικεύουσιν αὐτὸν πάντες ἕως τῆς κέλλης αὐτοῦ, ψάλλοντες καὶ τὸ παρὸν τροπάριον, ἦχος δ'. Κύριε, Κύριε, ἐπίβλεψον ἐξ οὐρανοῦ καὶ ἴδε... Στίχος· Ὁ ποιμαίνων τὸν Ἰσραήλ, καὶ πάλιν τὸ αὐτό, Δόξα καὶ νῦν, Ἡ μόνη ἁγνὴ καὶ ἄχραντος Παρθένος.

Καὶ τῇ η'. ἡμέρᾳ λέγει ὑπὲρ αὐτοῦ ὁ ἱερεὺς τὴν εὐχὴν ταύτην ἐπάνω αὐτοῦ· Τοῦ Κυρίου δεηθῶμεν. Δέσποτα Κύριε ἕως τέλους εἰς τὸν ζυγόν σου

τοῦτον τὸν χρηστὸν καὶ ἐλαφρὸν διατήρησον τὸν δοῦλόν σου... Goar. p. 418. Καὶ λέγει τροπάριον τοῦ ἀναλάβου, ἦχος δ΄. Ἀναλαβόμενος ὁ ἀδελφὸς ἡμῶν τὸν ἀνάλαβον τοῦ σχήματος τῶν ἁγίων ἀποστόλων εἰς θώρακα πίστεως καὶ ἐλπίδος καὶ ἀγάπης, εἰς τὸ ὄνομα τοῦ Πατρός... Φέροντες οὖν, ἀδελφοί, ἐπὶ τῶν ὤμων τὸν σταυρὸν τοῦ Χριστοῦ, τῷ ἀχράντῳ συμβόλῳ τούτῳ προθύμως καὶ ἡμεῖς ἀκολουθήσωμεν ἀκλινῶς τὴν στενὴν διοδεύοντες ὁδόν, φύγωμεν καὶ τὰς κοσμικὰς ἐπιθυμίας, σωφρόνως καὶ δικαίως καὶ εὐσεβῶς βιώσαντες καὶ εὑρήσομεν ἀνάπαυσιν ταῖς ψυχαῖς ἡμῶν. Καὶ γίνεται ἀπόλυσις παρὰ τοῦ ἱερέως.

л. 25 об. Ἀκολουθία τοῦ μεγάλου καὶ ἀγγελικοῦ σχήματος.

Ἀφ' ἑσπέρας εἰσφέρουσι τὰ ἱμάτια αὐτοῦ ἐν τῇ ἁγίᾳ ἐκκλησίᾳ καὶ ἀποτίθενται ἐν τῷ θαλασσιδίῳ τῆς ἁγίας τραπέζης καὶ εἰς τὸν ὄρθρον ψάλλουσι τὸν κανόνα, ἐὰν ἐστὶ λειτουργία, εἰ δ' οὐκ ἔστιν, εὐλογοῦντος τοῦ ἱερέως, λέγομεν Τρισάγιον, τὸ Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, τὰ ἀλληλουάρια, ἦχος πλ. β΄. τροπάρια, ἦχος ὁ αὐτός· Ἐλέησον ἡμᾶς, Κύριε, Δόξα, Κύριε, ἐλέησον ἡμᾶς, Καὶ νῦν, Τῆς εὐσπλαγχνίας, εἶτα τὸν Ν΄. καὶ ψάλλομεν τὸν κανόνα, οὗ ἡ ἀκρόστιχος· Εὐδόκιμον τέλος εὐδοκίμῳ μοι, Χριστέ, παράσχου. Ὠδὴ α΄. ἦχος β΄. Δεῦτε λαοί. Ἐπὶ τὴν σὴν φιλανθρωπίαν καταφυγόντα, Χριστέ. Goar. p. 403. ὧδε λέγει τὴν μεγάλην συναπτὴν κατήχησιν, ἐγράφη δὲ εἰς τὸ μικρὸν σχῆμα. Εἰς τὴν λειτουργίαν, ψάλλομεν τὰ Τυπικά, εἰ δὲ οὐκ ἔστι λειτουργία, ψάλλομεν τοὺς μακαρισμοὺς εἰς ἦχον δ΄. Ὁ δὲ μέλλων τὸ μέγα σχῆμα λαβεῖν ἵσταται ἔνδον τῆς βασιλικῆς πύλης ἕως τοῦ πρώτου ἀντιφώνου, ἦχος δ΄. Ἐν τῇ βασιλείᾳ σου μνήσθητι ἡμῶν, Κύριε и др. Ὅτε ἐν τῷ πάθει ὁ λῃστὴς συνεσταυροῦτο σοι... и т. д. Goar. p. 414. См. выше стр. 279. Μετὰ τὴν συμπλήρωσιν τούτων, ἵσταται ὁ τὸ μέγα σχῆμα λαβεῖν μέλλων ἔξω τῶν βασιλικῶν πυλῶν ἐνδεδυμένος καὶ ἐζωσμένος, φορῶν καὶ τὸν μανδύαν αὐτοῦ καὶ τὰ σανδάλια ἐν τοῖς ποσίν, ἀσκεπὴς δέ. Εἶτα γίνεται εἴσοδος. Μετὰ δὲ τὴν εἴσοδον, εἰπόντος τὸ Σοφία ὀρθοί, ἄρχεται α΄. ἀντίφωνον καὶ καθ' ἑκάστην δόξαν βραχὺ μεθιστάμενος ἕως τῆς ἀπάρξεως τοῦ τρίτου ἀντιφώνου, ἐν ᾧ λέγομεν τροπάριον· Ποῦ ἐστὶν ἡ τοῦ κόσμου προσπάθεια... Φθάνει αὐτὸς ἐν τῷ ἄμβωνι, καὶ λεγομένου ἑτέρου, τροπάριον· Δεῦτε πρὸς μὲ πάντες οἱ κοπιῶντες... Εἰσέρχεται εἰς τὴν σολαίαν, κἀκεῖ ἵσταται ἕως εἴπῃ τὸ Δεῦτε προσκυνήσωμεν. Εἶτα εἰσέρχεται πλησίον τῶν ἁγίων θυρῶν καί, βαλὼν μετάνοιαν, ἵσταται μέχρι ἂν πληρωθῇ τὸ Δεῦτε προσκυνήσωμεν... Ἀντίφωνον πρῶτον· Ἤθελον δάκρυσιν ἐξαλεῖψαι... Τίς χειμαζόμενος καὶ προστρέχων... Ἡ μόνη ἁγνὴ καὶ ἄχραντος Παρθένος... Ἐν τῇ πηγῇ τῇ μυστικῇ τῆς ἀναγεννήσεως... Ῥῦσαι

ἡμᾶς ἐκ τῶν ἀναγκῶν ἡμῶν... Ἀντίφωνον β'. Ζάλη ἁμαρτημάτων περιέχει με, Σωτήρ... p. 406 Στίχος· Εἰπάτωσαν οἱ λελυτρωμένοι. Πρόβατον εἰμὶ τῆς λογικῆς σου ποίμνης... Ἀντιλαβοῦ μου κατὰ τὸ λόγιόν σου καὶ ζῆσόν με... Στίχος· Ῥαντιεῖς με ὑσσώπῳ. Πλῦνόν με τοῖς δάκρυσί μου, Σωτήρ... Ἐξ ἀχράντων λαγόνων σου, Θεοτόκε πανύμνητε... Ἀρχομένου δὲ τοῦ γ'. ἀντιφώνου, ἔρχεται ἕως τοῦ ἄμβωνος καὶ ἵσταται. Ἀντίφωνον τρίτον. Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου... Ποῦ ἐστιν ἡ τῶν προσκαίρων φαντασία... Στίχος· Δεῦτε, τέκνα, ἀκούσατε. Δεῦτε πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι... Ἐπλανήθη, ὡς πρόβατον. Πρόβατον εἰμὶ τῆς λογικῆς σου ποίμνης... Στίχος· Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ... Καὶ τούτου λεγομένου, εἰσφέρουσιν αὐτόν, καὶ πίπτει ἐναντίον τῶν ἁγίων θυρῶν καὶ οὐκ ἀνίσταται μέχρι συμπληρώσεως τῶν ἀντιφώνων καὶ στραφεὶς ὁ ἱερεὺς κατὰ ἀνατολάς, ψάλλομεν τὸ παρὸν τροπάριον, ἦχος δ'. Κύριε, Κύριε, ἐπίβλεψον ἐξ οὐρανοῦ... Δόξα καὶ νῦν, Ὁ διὰ σέ, θεοπάτωρ προφήτης Δαβίδ... Καὶ λέγει ὁ ἱερεὺς τὴν εὐχὴν ταύτην· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ εὐδοκήσας διὰ τὸ γένος τῶν ἀνθρώπων κατελθεῖν ἐκ τῶν οὐρανῶν... (См. въ чинѣ малой схимы). Ἐρώτησις· Ἑκουσίᾳ σου βουλῇ προσέρχῃ τῷ Χριστῷ; Ἀπόκρισις· Ναί, τίμιε πάτερ. Μὴ ἔκ τινος ἀνάγκης ἢ βίας; Ἀπόκρισις· Οὐχί, τίμιε πάτερ. Ἀποτάσσῃ τῷ κόσμῳ καὶ τοῖς ἐν τῷ κόσμῳ; Ἀπόκρισις· Ναί, τίμιε πάτερ. Ἐρώτησις· Παραμένεις τῷ μοναστηρίῳ καὶ τῇ ἀσκήσει ἕως ἐσχάτης σου ἀναπνοῆς; Ἀπόκρισις· Ναί, τίμιε πάτερ. Ἐρώτησις· Ὑποτάσσῃ τῷ προεστῶτι καὶ πᾶσι τοῖς ἐν Χριστῷ ἀδελφοῖς; Ἀπόκρισις· Ναί, τίμιε πάτερ. Ἐρώτησις· Φυλάττεις ἑαυτὸν ἐν παρθενίᾳ καὶ σωφροσύνῃ ἕως ἐσχάτης σου ἀναπνοῆς; Ἀπόκρισις· Ναί, τίμιε πάτερ. Ἐρώτησις· Ὑπομένεις πᾶσαν θλίψιν καὶ στενοχωρίαν, τουτέστι πεῖναν καὶ δίψαν διὰ τὴν ἀγάπην τοῦ Θεοῦ; Ἀπόκρισις· Ναί, τίμιε πάτερ. Ὁ ἱερεύς, Βλέπε, τέκνον, οἵας συνθήκας δίδως τῷ Δεσπότῃ Χριστῷ. Goar. p. 407. Φησὶ τὸ ἱερὸν λόγιον. Ἐρώτησις· Ταῦτα πάντα οὕτω καθομολογεῖς... Ibid. Καὶ στραφεὶς ὁ ἱερεὺς κατὰ ἀνατολάς, λέγει τὴν εὐχὴν ταύτην· Ὁ πανοικτίρμων οὖν Θεὸς καὶ πολυέλεος Ibid. p. 409. Καὶ οὕτως σφραγίζει τὴν κεφαλὴν αὐτοῦ καὶ κλίνων εἰς τὸ ἔδαφος ὁ κατηχούμενος. Εἰσελθόντος τοῦ ἡγουμένου ἐν τῇ ἁγίᾳ τραπέζῃ, λέγει ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμέν. Καὶ ὁ ἱερεὺς κλινόμενος εὔχεται· Ὁ ὢν Δέσποτα παντοκράτωρ, ὕψιστε βασιλεῦ τῆς δόξης... Ibid. p. 409. Εἰρήνη πᾶσι. Τὰς κεφαλάς. Ἅγιε Κύριε τῶν δυνάμεων, ὁ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ... Ibid. p. 410. Εἶτα ἐγείρει αὐτὸν ὁ ἡγούμενος καὶ εἰσφέρει ἐν τῷ θυσιαστηρίῳ, καὶ ποιεῖ μετανοίας τρεῖς, καὶ ἀσπάζεται τὸ ἅγιον εὐαγγέλιον, καὶ ἐκ-

τείνας τὴν χεῖρα, ὁ ἱερεὺς λέγει αὐτῷ· Ἰδοὺ ὁ Χριστὸς ἐνταῦθα πάρεστι... Goar. p. 410. Καὶ ὅταν ταῦτα συντάξηται, λαβὼν ὁ ἱερεὺς τὸ ψαλλίδιον, τίθησιν ἐπάνω τοῦ εὐαγγελίου καὶ λέγει αὐτῷ· Λάβε τὸ ψαλλίδιον καὶ ἐπίδος μοι αὐτό. Καὶ λέγει· Ἰδοὺ ἐκ τῆς χειρὸς τοῦ Χριστοῦ λαμβάνεις αὐτό, βλέπε τίνι συντάσσῃ καὶ τίνι ἀποτάσσῃ; Καὶ τοῦτο ποιήσας τρισσῶς, λαβὼν ὁ ἡγούμενος τὸ ψαλλίδιον λέγει· Εὐλογητὸς ὁ Θεός, ὁ θέλων πάντας ἀνθρώπους σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, ὁ ὢν εὐλογημένος εἰς τοὺς αἰῶνας. Ἀμήν. Καὶ κουρεύει αὐτὸν σταυροειδῶς, λέγων· Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα κείρεται τὴν κόμην... Καὶ εὐθὺς λαμβάνουσιν αὐτὸν οἱ ἀδελφοὶ οἱ ἀνάδοχοι αὐτῷ εἰς τὸ διακονικὸν καὶ κουρεύουσιν αὐτόν, ψάλλοντες τὸν Ἄμωμον. Εἶτα λέγει (на полѣ тою же рукою: καὶ σφραγίζει αὐτὰ ὁ ἱερεὺς τοῖς τρισὶ δακτύλοις). Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα ἐνδύεται χιτῶνα...[1]) Καὶ λαβὼν τὸ κουκούλιον, σφραγίζει αὐτὸν λέγει· Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα ἐνδύεται τὸ κουκούλιον τῆς ἀκακίας εἰς περικεφαλαίαν ἐλπίδος σωτηρίας... Καὶ λαβὼν τὸν ἀνάλαβον, λέγει· Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα λαμβάνει τὸν ἀνάλαβον τοῦ σχήματος τῶν ἁγίων ἀποστόλων, εἰς θώρακα πίστεως καὶ ἐλπίδος καὶ ἀγάπης, ἀναλαβὼν τὸν σταυρὸν ἐπὶ τῶν ὤμων καὶ ἀκολουθῶν τῷ Δεσπότῃ Χριστῷ, ἐν ὀνόματι τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, εἴπωμεν. Καὶ λαβὼν τὴν ζώνην, σφραγίζει αὐτήν, λέγει· Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα περιζώννυται τὴν ὀσφὺν αὐτοῦ... Καὶ λαβὼν τὸ ἀποστολικόν, λέγει· Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα λαμβάνει τὸ ἀποστολικὸν ἐπάγγελμα τοῦ εὐαγγελίου τῆς εἰρήνης, εἰς τὸ ὄνομα τοῦ Πατρός... Καὶ λαβὼν τὰ σανδάλια, σφραγίζει αὐτὰ λέγει· Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα ὑποδύεται τὰ σανδάλια... Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα ἔλαβε τὸ ἅγιον καὶ ἀγγελικὸν σχῆμα, ἐν ὀνόματι τοῦ Πατρός... Καὶ οὕτως ἀρχόμεθα ψάλλειν τὰ παρόντα στιχηρά· Ἤνοικται ἡ θύρα τῆς μετανοίας... Στίχος· Προσέχετε, λαός μου. Ὁ ζυγός μου χρηστός ἐστι καὶ τὸ φορτίον μου ἐλαφρόν... Ἀντίφωνον β΄. Ἀρχὴ ὁδοῦ ἀγαθῆς φοβεῖσθαι τὸν Κύριον... Εὐαγγελικῆς φωνῆς σπουδαίως πρόσταγμα πεπλήρωκας... Στίχος· Ἰδοὺ δὴ τί καλόν... Ἐγγὺς Κύριος τοῖς ὑπομένουσιν αὐτόν, ψυχὴ ζητοῦσα... Ἁγιόπρωτε σεμνὴ ἐγκώμιον οὖσα τῶν οὐρανίων ταγμάτων... Ἀντίφωνον γ΄. ἦχος α΄. Ἀκολουθήσωμεν, ἀδελφοί, τῷ ἀγαθῷ Δεσπότῃ· φύγωμεν τὸν πλάνον κόσμον... Στίχος· Ἀνοίξατέ μοι πύ-

---

[1]) На полѣ вверху тою же рукою написано: λαβὼν τὸ παλλίον· Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα λαμβάνει τὸ π α λ λ ί ο ν... καὶ λαβὼν τὸ μέγα σχῆμα, λέγει· Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα λαμβάνει τὸ μέγα σχῆμα τοῦ ἀποστολικοῦ ἐπαγγέλματος τοῦ εὐαγγελίου τῆς εἰρήνης, εἰς τὸ ὄνομα τοῦ Πατρός...

λας δικαιοσύνης. Ὁ βασιλεὺς τῶν οὐρανῶν τὰς χεῖρας ὑφαπλώσας, ἡμᾶς προσκαλεῖται εἰς τὴν ἄνω πόλιν... Δόξα καὶ νῦν, Χαίροις παρ᾽ ἡμῶν, ἁγία Θεοτόκε, τὸ σεπτὸν κειμήλιον πάσης τῆς οἰκουμένης... Εἶτα κρατήσας ὁ ἱερεὺς τῆς δεξιᾶς χειρὸς αὐτοῦ, εἰσάγει εἰς τὸ θυσιαστήριον, ἐνδύουσιν αὐτὸν οἱ ἀνάδοχοι, λέγοντος τοῦ ἱερέως αὖθις τὰς προγεγραμμένας ἐκφωνήσεις ἐν τῷ ἐνδύεσθαι αὐτόν· Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα ἐνδύεται χιτῶνα δικαιοσύνης καὶ ἀγαλλιάσεως, εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ... Ψάλλουσιν οἱ μοναχοὶ τὰ παρόντα τροπάρια εἰς ἦχον δ΄. Ἤνοικται ἡ θύρα τοῦ παραδείσου, ἐνδύσασθε χιτῶνα δικαιοσύνης... Στίχος· Ἀγαλλιᾶσθε τῷ Θεῷ. Ἐνδύσασθε χιτῶνα τῆς σωτηρίας, τὴν ζώνην τῆς σωφροσύνης... Καὶ λέγεται τοῦτο ἐκ δευτέρου, καὶ λέγομεν στίχον· Αὕτη ἡ πύλη τοῦ Κυρίου, καὶ πάλιν τὸν στίχον καὶ τὸ τροπάριον, Εἰσέλθετε εἰς τὰς πύλας αὐτοῦ, Καὶ νῦν, θεοτοκίον· Ἔχοντές σε, Θεοτόκε, ἐλπίδα καὶ προστασίαν... Καὶ εὐθὺς τροπάριον, ἦχος πλ. β΄ Ἀγαλλιάσθω ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ... Τοῦτο δὲ λέγεται τρισσῶς. Μετὰ καὶ τῶν παρόντων, στίχος· Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ, στίχος· Ἀγαλλιάσθωσαν ἐνώπιον τοῦ Θεοῦ, στίχος· Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν, Δόξα καὶ νῦν, Μεγάλων χαρισμάτων, ἁγνὴ Παρθένε, μόνη Μήτηρ Θεοῦ, ἠξιώθης... Καὶ κλινομένου τοῦ νεοφωτίστου, λέγει ὁ ἱερεύς· Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ πιστὸς ἐν ταῖς ἐπαγγελίαις σου. Goar. p. 412. Εἰρήνη πᾶσι. Τὰς κεφαλάς... Κύριε ὁ Θεὸς ἡμῶν, εἰσάγαγε τὸν δοῦλόν σου. Ibid. p. 412. Καὶ λαβὼν ὁ διάκονος τὸ ἅγιον εὐαγγέλιον, ἵσταται ἔξωθεν τοῦ θυσιαστηρίου καὶ προσκυνεῖ ἡ ἀδελφότης αὐτοῦ καὶ τὸ ἅγιον σχῆμα τοῦ ἀδελφοῦ, ψαλλόντων ἡμῶν καὶ τὰ τροπάρια ταῦτα τοῦ ἀσπασμοῦ, ἰδιόμελος ἦχος α΄. Ἐπιγνῶμεν, ἀδελφοί, τοῦ μυστηρίου τὴν δύναμιν... Τοῦτο δὲ λέγεται δὶς καὶ τρὶς μέχρι ἂν προσκυνήσωσι πάντες. Στίχος· Ἀγαλλιάσεται τὰ χείλη μου... Στίχος· Ἀγαπήσατε τὸν Κύριον.., Δόξα καὶ νῦν, θεοτοκίον· Χαῖρε, Θεοτόκε Παρθένε· χαῖρε καύχημα τῆς οἰκουμένης... Καὶ εὐθὺς ὁ διάκονος μεγάλην συναπτήν· Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τοῦ ἁγίου οἴκου... Ὑπὲρ πάσης ἐπισκοπῆς... Ὑπὲρ τῆς πόλεως... Ὑπὲρ τοῦ ἀμέμπτως, ἀκατακρίτως... Ὑπὲρ τοῦ φωτισθῆναι... Ὑπὲρ τοῦ ἀπαλλαγῆναι αὐτὸν πάσης κοσμικῆς... Ὑπὲρ ἀφέσεως καὶ συγχωρήσεως... Ὑπὲρ τοῦ ἀποθέσθαι αὐτὸν τὸν παλαιὸν ἄνθρωπον... Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς... Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας ἀχράντου... Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν.., εἶτα Ὅσοι εἰς Χριστόν... καὶ εὐθὺς τὸ προκείμενον τοῦ ἀποστόλου· Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα... Στίχος· Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου... Ὁ ἀπόστολος καθολικῆς ἐπιστολῆς Ἰακώβου· Ἀδελφοί, ὑπόδειγμα λάβετε τῆς κακοπαθείας καὶ τῆς μακροθυμίας... Τέλος· σώσει ψυχὴν ἐκ

*

θανάτου, καὶ καλύψει πλῆθος ἁμαρτιῶν. Στίχος· Ἐπεκαλοῦντο τὸν Κύριον. Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ματθαῖον· Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου... Τέλος· Ὁ γὰρ ζυγός μου χρηστός ἐστι καὶ τὸ φορτίον μου ἐλαφρόν. Ὁ διάκονος· Εἴπωμεν πάντες καὶ τὰ λοιπὰ συνήθως. Ὅτι ἐλεήμων. Καὶ ὀψικεύουσιν αὐτὸν οἱ ἀδελφοὶ ἔμπροσθεν τῶν ἁγίων θυρῶν μετὰ κηροῦ, τῆς θείας λειτουργίας τελεσθείσης, ἅπτουσιν οἱ ἀδελφοὶ τοὺς κηροὺς αὐτῶν καὶ συναπέρχονται μετὰ τοῦ νεοφωτίστου εἰς τὴν τράπεζαν, κρατοῦντες αὐτὸν τῆς δεξιᾶς χειρὸς καὶ ψάλλοντες τροπάριον, ἦχος δ'. Κύριε, Κύριε, ἐπίβλεψον ἐξ οὐρανοῦ... Στίχος· Ὁ ποιμαίνων τὸν Ἰσραήλ. Στίχος· Ὁ καθήμενος... Δόξα, τὸ αὐτὸ πάλιν, Καὶ νῦν, θεοτοκίον· Ῥῦσαι ἡμᾶς ἐκ τῶν ἀναγκῶν ἡμῶν, Μῆτερ Χριστοῦ τοῦ Θεοῦ... Καὶ μετὰ τὸ ἀναστῆναι ἀπὸ τῆς τραπέζης, ἀπέρχονται πάλιν ἐν τῇ ἐκκλησίᾳ, ψάλλοντες τὸ αὐτὸ τροπάριον, τὸ Κύριε, Κύριε, ἐπίβλεψον ἐξ οὐρανοῦ, καὶ γίνεται ἀπόλυσις. Ὁ δὲ νεοφώτιστος σχολάζει ἐν ἑπτὰ ἡμέραις ἐκ παντὸς ἔργου σωματικοῦ, ἀπερχόμενος καθεκάστην ἐν τῇ ἐκκλησίᾳ, προσευχόμενος καὶ ἀναγινώσκων ἢ ἐν τῷ κελλίῳ αὐτοῦ τοῦτο ποιῶν καὶ μένων ἀπρόσιτος. Μετὰ δὲ τὴν ζ'. εἰσέρχεται εἰς τὸν καιρὸν τῆς θείας λειτουργίας καί, μετὰ τὸ ἀναγνωσθῆναι τὸ ἱερὸν εὐαγγέλιον, ποιεῖ συναπτήν, ὡς ἔθος, ὁ διάκονος καὶ ἐπισυνάπτει πάλιν ὑπὲρ αὐτοῦ τοῦ νεοφωτίστου, λέγων οὕτως· Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα... Ἔτι δεόμεθα ὑπὲρ τοῦ ἀδελφοῦ ἡμῶν. Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεός... Ὁ δὲ ἱερεὺς λέγει ἐπάνω τοῦ ἀδελφοῦ τὴν εὐχὴν ταύτην. Τοῦ Κυρίου δεηθῶμεν. Πολυέλεε Θεὲ καὶ Κύριε, ὁ δωρησάμενος τῷ δούλῳ σου ὁ δεῖνα διὰ τῆς ἀνακλήσεως τοῦ ἀγγελικοῦ σχήματος.... Goar. p. 417. Εἰρήνη πᾶσι. Τὰς κεφαλάς. Τὸν τῇ πυρίνῃ κεφαλῇ τὴν ἰδίαν κεφαλήν σοι... Ibid. Καὶ σφραγίζει τὴν κεφαλὴν αὐτοῦ τῷ τύπῳ τοῦ σταυροῦ τρὶς καὶ ἀποκουκουλίζει αὐτόν, καὶ παραινέσας τὰ τῆς σωτηρίας προσήκοντα πρὸς αὐτόν, ἀπολύει ἐν εἰρήνῃ.

λ. 53. Τάξις καὶ ἀκολουθία εἰς κηδίαν μοναχοῦ. Ἐπειδὰν τις τῶν μοναχῶν. Conf. Εὐχολ. Goar. pag. 448 ὅλως γυμνόν, οἱ δὲ εἰς τοῦτο τεταγμένοι ἀποσπογγίζουσι τὸ λείψανον μετὰ χλιαροῦ ὕδατος καὶ σπόγγου οὕτως· πρῶτον ποιοῦντες μετὰ τοῦ σπόγγου ἐν τῷ μετώπῳ αὐτοῦ τοῦ τελευτηκότος, τὸ ὅλον πρόσωπον ἀποσπογγίζουσι καὶ ἐν τῷ στήθει σταυρὸν καὶ εἰς τὰς χεῖρας, καὶ εἰς τὰ γόνατα καὶ πλεῖον οὐδέν. Μετὰ δὲ τὸ ἀποσπογγῖσαι, ἐκδύουσιν αὐτοῦ τὰ ἱμάτια, ἅπερ φορεῖ, καὶ ἐνδύουσιν αὐτὸν ἱμάτια καθαρά, μηδαμῶς τὴν τούτου γύμνωσιν θεασάμενοι μηθ' ἕτερον ἐάσας παρεῖναι. Μετὰ δὲ τὸ ἐνδῦσαι, περιβάλλουσιν αὐτὸν τὸ κου-

κούλιον, εἴγε μεγαλοσχήμων ἐστί, περιτιθέντες τὴν περικεφαλαίαν ἀπὸ ἄνωθεν τῆς κεφαλῆς καὶ καταβιβάσαντες αὐτὴν ἄχρι τοῦ πώγωνος, ὥστε μὴ ὁρᾶσθαι τὸ πρόσωπον τοῦ λειψάνου. Εἶτα περιτίθησιν αὐτῷ τὸν ἀνάλαβον εἰς τὴν τάξιν αὐτοῦ, καὶ τὸ παλλίον χωρὶς τοῦ σταυροῦ καὶ περιζωννύει τὸν λῶρον αὐτοῦ, ἐπὶ δὲ τοὺς πόδας καλίγια καινά, ὡς ἔθος ἐστὶ τοῦ στολίσαι νυμφίον, εἶτα οὕτω εἰσφέρουσι τὸν μανδύαν αὐτοῦ, καὶ ἀνακουφίσαντες τὸ λείψανον ἐκ τοῦ ψιαθίου, ἁπλοῦσι τὸν μανδύαν αὐτοῦ ὑποκάτω ἀπὸ ποδῶν ἕως κεφαλῆς οὐ πλαγίως, καθὼς φορεῖται, ἀλλ' ὀρθῶς καὶ ἐπιμήκης, εἶτα μετὰ μαχαίρας σχίσαντες τὰ πλάγια τοῦ μανδύου καὶ λωρία ἐκβαλόντες ἀπὸ ἄνωθεν ἕως κάτωθεν, καὶ τοῦ μανδύου πάλιν τὰ πλάγια διατρήσαντες καὶ τὰ λωρία ἔνθεν κἀκεῖθεν διαβιβάσαντες, καὶ ἐπὶ τὰς τρύπας ὑποβάλλοντες, ποιοῦσι σταυροὺς τρεῖς μέχρι τῶν ποδῶν καὶ τὰ ὑπολειφθέντα λωρία δεσμοῦσι τοὺς πόδας, καὶ τιθέντες αὐτὸν ἐν τῇ κλίνῃ. Ποιεῖ ὁ ἱερεὺς Εὐλογητὸν ἐπάνω τοῦ λειψάνου καὶ ἀρχόμεθα τοῦ Τρισαγίου, Παναγία Τριάς, τὸ Πάτερ ἡμῶν, Ὅτι σοῦ ἐστί, τροπάρια νεκρώσιμα, ἦχος δ'. Μετὰ πνευμάτων δικαίων κ. τ. α. Καὶ εὐθὺς γίνεται ἐκτενή· Ἐλέησον ἡμᾶς κ. τ. α. καὶ γίνεται ἀπόλυσις. Καὶ οὕτω ἄραντες τὸ λείψανον, εἰσφέρουσιν αὐτὸ ἐν τῷ νάρθηκι τῆς ἐκκλησίας κατέναντι τῆς βασιλικῆς πύλης, καὶ τοῦ ἐκκλησιάρχου τρὶς κρούσαντος τὸ μέγα σημαντήριον, συνάγονται οἱ ἀδελφοί, καὶ δίδοται αὐτοῖς ἀνὰ κηρίου ἑνός, ἅψαντες δὲ καὶ ἐπὶ τοῦ λειψάνου κηρία δ'. καὶ τιθέντες ἐπάνω αὐτοῦ τὴν εἰκόνα τοῦ Χριστοῦ, εἶτα θυμιᾷ ὁ ἱερεὺς ἐπάνω τοῦ λειψάνου καὶ ποιεῖ Εὐλογητόν, καὶ εὐθὺς λέγομεν Τρισάγιον, Παναγία Τριάς, τὸ Πάτερ ἡμῶν Ὅτι σοῦ ἐστίν, τὸ Κύριε ἐλέησόν με ιβ'. τὸ Δεῦτε προσκυνήσωμεν γ'. τὸν Ν'. Ἐλέησόν με ὁ Θεός, εἶτα ἄρχεται ὁ πρῶτος χορὸς εἰς ἦχον πλ. α'. Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου, καὶ ἄρχεται ὁ αὐτὸς χορὸς τὸν Ἄμωμον (17 каѳизма). Εἶτα (т. е. на первой славѣ) ἄρχεται ὁ πρῶτος χορὸς γεγωνοτέρᾳ τῇ φωνῇ· Εἰς τὸν αἰῶνα οὐ μὴ ἐπιλάθωμαι τῶν δικαιωμάτων σου, ὅτι ἐν αὐτοῖς ἔζησάς με. Εἶτα πάλιν ὁ ἕτερος χορός· Εἰς τὸν αἰῶνα οὐ μὴ ἐπιλάθομαι... Πάλιν ὁ πρῶτος χορός· Εἰς τὸν αἰῶνα οὐ μὴ ἐπιλάθωμαι... Καὶ εὐθὺς γίνεται συναπτὴ καὶ μετὰ τὴν ἐκφώνησιν ἄρχεται ὁ β'. χορὸς καὶ αὐτὸς εἰς ἦχον πλ. α'. Ὅτι τὰ δικαιώματά σου ἐξεζήτησα. Ἐλέησόν με, Κύριε. Ὁ δὲ ἕτερος χορὸς ἄρχεται στίχον καὶ αὐτός· Ὅτι τὰ δικαιώματά σου... Ἐλέησόν με, Κύριε. Εἶτα ἄρχεται ὁ ἐναρξάμενος χορὸς στίχον· Σός εἰμι ἐγώ, σῶσόν με... (Въ концѣ статьи отъ стиха: Ἄρχοντες κατεδίωξάν με δωρεὰν καὶ ἀπὸ τῶν λόγων σου... на поляхъ тою же рукою приписаны слѣдующіе припѣвы: Ἀβραὰμ ἐν κόλποις καὶ μετὰ Λαζάρου τάξον, ἐλεη-

μων, ψυχήν, ἣν προσελάβου. Ἐν σκηναῖς δικαίων ἐν μοναῖς ὁσίων τάξον, ἐλεήμων, ψυχήν, ἣν προσελάβου. Ἀρχάγγελοι Κυρίου πρεσβεύετε ἀπαύστως ὑπὲρ τοῦ κοιμηθέντος. Ἀπόστολοι Κυρίου πρεσβεύετε ὑπὲρ τοῦ κοιμηθέντος. Μάρτυρες Κυρίου πρεσβεύετε... Πρόδρομε Κυρίου πρέσβευε... Ἀσκηταὶ Κυρίου πρεσβεύετε... Παρθένε Θεοτόκε, πρέσβευε ὑπὲρ τοῦ κοιμηθέντος) Послѣ окончанія статьи καὶ ὁ ἕτερος χορὸς τὸν αὐτὸν στίχον· Ζήσεται ἡ ψυχή μου.., εἶτα πάλιν ὁ πρῶτος χορὸς τὸν αὐτὸν στίχον, εἶτα ἄρχεται ὁ πρῶτος χορὸς εἰς ἦχον πλ. α΄. τὸ Εὐλογητὸς εἶ, Κύριε... Τῶν ἁγίων ὁ χορὸς εὗρε πηγὴν τῆς ζωῆς... Εἶτα μνημονεύει ὁ ἱερεὺς, ὡς σύνηθες (т. е. послѣ Ἀλληλούια, ἀλληλούια δόξα σοι ὁ Θεός). Μετὰ δὲ τὴν ἐκφώνησιν, ψάλλομεν τὸ παρὸν στιχηρὸν νεκρώσιμον τοῦ Δαμασκηνοῦ, ἦχος πλ. α΄. Ἀνάπαυσον, Σωτὴρ ἡμῶν, μετὰ δικαίων... Δόξα, τὸ αὐτό, Καὶ νῦν, θεοτοκίον· Ὁ ἐκ Παρθένου ἀνατείλας τῷ κόσμῳ, Χριστὲ ὁ Θεός... Μεθ' ἣν οἱ ἀναβαθμοί, ἦχος α΄. ποίημα Θεοδώρου τοῦ Στουδίτου· Ἐν τῷ θλίβεσθαί με εἰσάκουσόν μου... Goar. p. 439. Εἶτα τὰ νεκρώσιμα τοῦ Δαμασκηνοῦ· Ποία τοῦ βίου τρυφὴ διαμένει λύπης ἀμέτοχος... Ἔργῳ, Σωτήρ μου, δεικνύς, ὅτι σὺ εἶ ἡ πάντων ἀνάστασις... Θεοτοκίον· Ἄχραντε Θεοτόκε, ἡ ἐν οὐρανοῖς εὐλογημένη καὶ ἐπὶ γῆς δοξολογουμένη... Καὶ εὐθὺς τὰ προσόμοια τοῦ κυροῦ Θεοφάνους, ὧν ἡ ἀκρόστιχος κατ' ἦχον, Σόν, Χριστέ, δοῦλον γράψον ἐν ζώντων βιβλίῳ. Στιχηρὰ προσόμοια, ἦχος α΄. Πρὸς τὸ Πανεύφημοι μάρτυρες. Σοῦ, Σῶτερ, δεόμεθα τῆς σῆς γλυκείας μεθέξεως... Οὐδεὶς ἀναμάρτητος... Ἡ ψυχὴ αὐτοῦ... Ὑπὲρ τὰ ὁρώμενα τὰ σά... Σταυρῷ σου γηθόμενοι, σταυρῷ θαῤῥοῦντες, οἱ δοῦλοί σου... Χριστὸν ἐκδυσώπησον τὸν σὸν τόκον, Μητροπάρθενε... Ἀρχὴ τοῦ β΄. ἤχου, ἀντίφωνον, ἦχος β΄. μοναχοῦ Θεοδώρου· Ἐν τῷ οὐρανῷ τὰ ὄμματα... Goar. p. 440—441. Ἕτερα στιχηρὰ νεκρώσιμα Ἰωάννου μοναχοῦ, ἦχος β΄. Ὡς ἄνθος μαραίνεται καὶ ὡς ὄναρ παρέρχεται... Μνήσθητι, Κύριε, ὡς ἀγαθὸς τοῦ δούλου σου... Δόξα καὶ νῦν, θεοτοκίον· Θείας γεγόναμεν κοινωνοὶ φύσεως διὰ σοῦ, Θεοτόκε ἀειπάρθενε... Ἕτερα στιχηρὰ προσόμοια Θεοφάνους, ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου. Ῥώμην τοῦ θανάτου καὶ φθοράν σου τῷ ζωηφόρῳ θανάτῳ.. Ἵνα τοὺς ἀνθρώπους κοινωνοὺς θείας βασιλείας ἐργάσῃ... Σῶσαι τὸ σὸν πλάσμα, βουληθεὶς τῆς οἰκονομίας τὸ ὄντως βαθὺ μυστήριον, θέλων ἐξετέλεσας... Δόξα, Τρόμῳ τῷ φρικτῷ καὶ φοβερῷ βήματι τῷ σῷ παρεστῶτες... Καὶ νῦν, Εὔας τῆς προμήτορος ἁγνή, σὺ τὴν ὀφειλὴν... Ἀρχὴ τοῦ γ΄. ἤχου, ἀντίφωνον μοναχοῦ Θεοδώρου· Τὴν αἰχμαλωσίαν Σιών... Goar. p. 440. Ἕτερα στιχηρὰ νεκρώσιμα Ἰωάννου μοναχοῦ, ἦχος γ΄. Πάντα ματαιότης τὰ ἀνθρώπινα, ὅσα οὐχ ὑπάρχει μετὰ θάνατον... Ἄνθρωποι, τί μάτην ταραττόμεθα; ὁ δρό-

μος βραχύς ἐστιν, ὃν τρέχομεν... Ἕκαστος, ὅπου σώζεται ἐκεῖ δικαίως καὶ προστρέχει... Ἕτερα στιχηρὰ προσόμοια τοῦ κυροῦ Θεοφάνους, ἦχος γ'. Τῷ τύπῳ τοῦ σταυροῦ. Δοξάζω τὸν σταυρόν σου τὸν τίμιον, δι' οὗ ζωὴ δεδώρηται... Ὁ μόνος ἐλεήμων καὶ εὔσπλαγχνος, ὁ ἔχων ἀγαθότητος πέλαγος... Ὑπνώσας ἐν τῷ τάφῳ, ὡς ἄνθρωπος, δυνάμει ἀηττήτῳ σου... Θεοτοκίον· Λαμπάδα νοητήν σε βαστάζουσαν τὸ φέγγος τῆς θεότητος. Ἀρχὴ τοῦ δ'. ἤχου, ἀντίφωνον α'. ἦχος δ'. Ἐκ νεότητός μου πολλὰ πολεμεῖ με πάθη... Goar. p. 441. Νεκρώσιμα ὁ αὐτός. Μετὰ πνευμάτων δικαίων τετελειωμένων τὴν ψυχήν... Εἰς τὴν κατάπαυσίν σου, Κύριε... Σὲ τεῖχος κέκτημαι, Θεοτόκε... Ἕτερα στιχηρὰ προσόμοια, ἦχος δ'. Ἔδωκας σημείωσιν. Ὄντως φοβερώτατον τὸ τοῦ θανάτου μυστήριον... Ὕπνος ἀναδέδεικται τῶν πιστευόντων ὁ θάνατος... Σὺ δικαιοσύνη τε ἁγιασμὸς ἡμῶν γέγονας καὶ ψυχῶν ἀπολύτρωσις... Δόξα, Γένος τὸ ἀνθρώπινον πρὸς ἀφθαρσίαν ἀνόλεθρον... Καὶ θεοτοκίον· Ῥήσεσιν ἑπόμενοι τῶν θεηγόρων, πανάμωμε... Εἶτα γίνεται συναπτὴ καὶ μνημονεύει ὁ ἱερεύς, ὡς σύνηθες. Καὶ εὐθὺς οἱ ἀναβαθμοί, ἦχος πλ. α'. Ἐν τῷ θλίβεσθαί με... Goar. p. 441—442. Εἶτα νεκρώσιμα Ἰωάννου μοναχοῦ· Ἐμνήσθην τοῦ προφήτου βοῶντος· ἐγώ εἰμι γῆ καὶ σποδός... Σὺ ἔπλασας, Κύριε, καὶ ἔθηκας ἐπ' ἐμὲ τὴν χεῖρά σου... Ἡ κεχαριτωμένη μεσίτευσον ταῖς δεήσεσι... Ἕτερα στιχηρὰ προσόμοια τοῦ κυροῦ Θεοφάνους, ἦχος πλ. α'. Χαίροις ὁ ζωηφόρος. Αἴγλη τοῦ σοῦ προσώπου, Χριστέ... Ψάλλειν παναρμονίῳ φωνῇ δοξολογοῦντα τὸ σὸν κράτος εὐδόκησον... Ὅπου τῶν προφητῶν ὁ χορὸς τῶν ἀποστόλων καὶ μαρτύρων τὰ πράγματα... Καὶ νῦν, θεοτοκίον· Νόμῳ τῆς ἁμαρτίας ἡμᾶς δεδουλωμένους ἠλευθέρωσας, Δέσποινα... Ἀρχὴ τοῦ πλ. β'. ἤχου οἱ ἀναβαθμοί. Ἀντίφωνον α'. Θεοδώρου· Ἐν τῷ οὐρανῷ τοὺς ὀφθαλμούς μου αἴρω... κ. τ. α. Goar. p. 442. Νεκρώσιμα Ἰωάννου μοναχοῦ, ἦχος πλ. β'. Ἀρχή μοι καὶ ὑπόστασις τὸ πλαστουργόν σου γέγονε πρόσταγμα... Ἐτίμησας εἰκόνι σου τὸ τῶν χειρῶν σου, Σῶτερ, πλαστούργημα... Οὐδεὶς προστρέχων ἐπὶ σοὶ κατῃσχυμμένος ἀπὸ σοῦ... Ἕτερα στιχηρὰ προσόμοια τοῦ κυροῦ Θεοφάνους, ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι. Ἔχων ἀκατάληπτον τὴν εἰς ἡμᾶς εὐσπλαγχνίαν... Δόξα, Ζώντων κυριεύοντα θεαρχικῇ ἐξουσίᾳ... Καὶ νῦν, θεοτοκίον· Ὤφθης ἐνδιαίτημα θεοπρεπές, Παναγία... Ἀρχὴ τοῦ βαρέως ἤχου, Θεοδώρου, ἀντίφωνον α'. Τὴν αἰχμαλωσίαν Σιὼν ἐκ πλάνης ἐπιστρέψας... νεκρώσιμα Ἰωάννου μοναχοῦ, ἦχος βαρύς· Ἀνάπαυσον, Σωτὴρ ἡμῶν, ζωοδότα... Κατ' εἰκόνα σὴν καὶ ὁμοίωσιν πλαστουργήσας κατ' ἀρχὰς τὸν ἄνθρωπον... Δόξα καὶ νῦν, θεοτοκίον· Ὑμνοῦμέν σε, πανάχραντε Θεοτόκε... Ἕτερα στιχηρὰ προσόμοια, ἦχος ὁ αὐτός, Καταφρονήσας. Θεοφά-

νους· Νενεκρωμένος ὡράθης ἐπὶ σταυροῦ... Τῷ ἀκηράτῳ σου κάλλει.. Δόξα, Ὡς ἀδαπάνητον ἔχων τῶν δωρεῶν τὴν μεγαλοπρέπειαν... θεοτοκίον· Νόμου τὸ πλήρωμα τίκτεις τὸν λυτρωτὴν σάρκα γενόμενον... Ἀρχὴ τοῦ πλ. δ'. ἤχου. Ἀντίφωνον α', Θεοδώρου· Ἐκ νεότητός μου ὁ ἐχθρός με πειράζων... Goar. pag. 444. Ἕτερα στιχηρὰ νεκρώσιμα, ἦχος ὁ αὐτός, Θρηνῶ καὶ ὀδύρομαι, ὅταν ἐννοήσω τὸν θάνατον... Ὁ θάνατός σου, Κύριε, ἀθανασίας γέγονε πρόξενος... θεοτοκίον· Ἁγνὴ Παρθένε, τοῦ Λόγου πύλη... Ἕτερα στιχηρὰ προσόμοια Θεοφάνους, ἦχος πλ. δ'. Ὢ τοῦ παραδόξου. Βασιλικῶς μοι ὑπέγραψας ἐλευθερίαν, βαφαῖς ἐρυθραῖς τῶν δακτύλων σου... Ἱεραρχήσας, ὡς ἄνθρωπος σφαγιασθεὶς ἑαυτῷ... Δόξα, Βάθει σοφίας ἀῤῥήτου σου ὁροθετεῖς τὴν ζωήν... Ὡς συλλαβοῦσα τὸν ἄναρχον λόγον Θεοῦ... Εἶθ' οὕτως γίνεται ὁ θανὼν ἀδελφός, καθὼς προεγράφη. Μετὰ τῶν ἁγίων ἀνάπαυσον, Χριστέ... Ὁ οἶκος· Αὐτὸς μόνος ὑπάρχεις ἀθάνατος... Καὶ εὐθὺς Μετὰ τῶν ἁγίων ἀνάπαυσον... ἕτεροι οἶκοι, ὧν ἡ ἀκρόστιχος· Τοῦ ταπεινοῦ Ῥωμανοῦ ψαλμῳδοῦ. Τοῖς τοῦ βίου τερπνοῖς ἐνητένιζον οὐ λογισμῷ θεωρῶν τὰ γινόμενα... Ἀλληλούια. Οὐ δὲ ἕνα βροτὸν εὗρον ἄλυπον· ὁ γὰρ κόσμος ἑκάστοτε τρέπεται... Ὑψαυχεῖ κατὰ πένητος πλούσιος κατεσθίων αὐτοῦ πᾶσαν ὕπαρξιν... Τοὺς ἀγάμους ἐλπίδες συγκόπτουσι, τοὺς ἐν γάμῳ φροντίδες συντήκουσι... Ἁλμυρὰ τῆς θαλάσσης τὰ κύματα... Πειρατὰς καὶ χειμῶνας καὶ κλύδωνας περαιοῦνται οἱ χρήματα στέργοντες... Ἵνα δὲ συνελὼν εἴπω· ἅπαντα τὰ ἐν κόσμῳ σὺν τῷ κόσμῳ παρέρχονται... Νῦν εἰσὶν ἐν ἡμῖν οἱ βοῶντες συχνῶς κἂν μὴ τῷ στόματι... Ὅμως μέντοι οὐ πάντες ἐχώρησαν, ὃ προσέταξε πᾶσιν, ἔφη σε... Ὑπεκκαίω ὑμῶν τὴν προαίρεσιν πρὸς τὸ ψάλλειν καὶ τέρπειν τὸν Κύριον... Ῥύπον βίου καλῶς ἀπεφύγετε καὶ πηγῇ καθαρᾷ προσεφύγετε... Ὧν τὸν βίον καλῶς ἀπεφύγετε, τούτων νῦν καὶ τὴν μνήμην μισήσατε... Μὴ ἀλλήλων ἁπλῶς κατεπαίρεσθε, τί γὰρ ἔχεις, φησίν, ὃ οὐκ ἔλαβες... Ἀλλ' ἐρεῖ τίς ἐγὼ περισσότερον, ὡς μαθὼν τὰς γραφάς, ἔχω καύχημα... Νεκρωθῶμεν τῇ πίστει σφιγγόμενοι οἱ τὰ σώματα ἀποταξάμενοι... Ὁ εἰπὼν ἐγώ εἰμι ἄμπελος καὶ ὑμεῖς μου ὑπάρχετε κλήματα.. Ὑπ' ἐμοῦ νῦν ὑμεῖς ἐδιδάχθητε κατακρίνειν ἐμὲ τὸν ταλαίπωρον... Ψυχικῶς τὸν κανόνα ποθήσατε, ὃν καλῶς καὶ φρονίμως τηρήσατε... Ἂν ὁ νοῦς σου ποτὲ σκανδαλίζῃ σε, ἐρεθίζων καὶ σὲ πρὸς τὴν ἔξοδον... Λέγει πάλιν πρὸς σὲ καὶ πῶς δύνασαι τὸν κανόνα τελεῖν τοῦ μονάζοντος... Μετὰ τῶν ἐργατῶν, ὧν ἐκάλεσεν ἔνδον τοῦ ἀμπελῶνος ὁ Κύριος... Ὁ καιρὸς τῆς ζωῆς ἡμῶν ἔφθασεν· ὁ γὰρ Κύριος τάχιον ἔρχεται... Σὺ οὖν, Δέσποτα, ὡς παντοδύναμος τὴν ζωὴν ἡμῶν πάντων κυβέρνησον... (Къ каждому изъ этихъ тропарей положенъ припѣвъ: Ἀλ-

ληλούια). Καὶ εὐθὺς μετὰ τοὺς οἴκους οἱ μακαρισμοί. Goar. p. 445, εἶτα λέγει ὁ ἱερεὺς прокименъ, апостолъ и евангеліе p. 430. Καὶ εὐθὺς Ἐλέησον ἡμᾶς, ὁ Θεός... Ἔτι δὲ ὑπὲρ ἀναπαύσεως τῆς ψυχῆς... Ὑπὲρ τοῦ κοινωνὸν αὐτόν... Ὑπὲρ τοῦ ἀπολαῦσαι αὐτόν... Ὑπὲρ τοῦ εἰσδεχθῆναι αὐτόν... Ὑπὲρ τοῦ μετασχεῖν αὐτόν... Ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτῷ... Ὅπως Κύριος ὁ Θεός... Τὰ ἐλέη τοῦ Θεοῦ... Τοῦ Κυρίου δεηθῶμεν. Καὶ εὐχήν· Ὁ Θεὸς τῶν πνευμάτων... Μετὰ δὲ τὴν παροῦσαν εὐχὴν ἐκφωνεῖ ὁ ἱερεύς· Τοῦ Κυρίου δεηθῶμεν. Ὁ Θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκός, ὁ ἐκ γῆς χοῦν λαβὼν καὶ ἄνθρωπον οἰκοδομήσας, καὶ ζωὴν αὐτῷ δωρησάμενος, καὶ ἐντολὴν αὐτὸν ἐκπαιδεύσας, φθόνῳ δὲ διαβόλου παραβάτης γεγονὼς καὶ ἐξόριστος, τοῖς οἰκείοις σου δὲ σπλάγχνοις κατακαμφθείς, καὶ αὐτὸν ἀνακαλεσάμενος, ἐκ γῆς δὲ μεταστήσας πάλιν καὶ πρὸς ἕτερον κόσμον αἰώνιον διαβιβάσας. Αὐτὸς Κύριε, ἀνάπαυσον τὴν ψυχὴν τοῦ δούλου σου τοῦδε καὶ κατάταξον αὐτὸν ἐν τοῖς κόλποις Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, ἐν ἐκκλησίᾳ τῶν πρωτοτόκων τῆς ἄνω Ἱερουσαλὴμ μετὰ τῶν ἁγίων, τῶν ἀπ' αἰῶνος εὐαρεστησάντων σοι. Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν καὶ εὐεργέτης πάντων καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι... Ἐκφώνησις· Ὅτι σὺ εἶ ἡ ἀνάστασις, ἡ ζωή... Καὶ εὐθὺς γίνεται ὁ ἀσπασμός, ψαλλόντων ἡμῶν καὶ τὰ παρόντα νεκρώσιμα στιχηρά, ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου σε. Δεῦτε τελευταῖον ἀσπασμὸν δῶμεν, ἀδελφοί, τῷ θανέντι... Δεῦτε τῷ τάφῳ, ἀδελφοί, βλέψωμεν τὴν τέφραν καὶ γνῶμεν, ποῖος ὁ δοῦλος ἐκεῖ... Δεῦτε τελευταῖον ἀσπασμὸν δῶμεν, ἀδελφοί, τῷ θανέντι... Ὅταν ἐκ τοῦ σώματος ψυχὴ μέλλει μετ' ἀνίας ἁρπᾶσθαι ὑπὸ ἀγγέλων φρικτῶν... Δεῦτε, ἀδελφοὶ πνευματικοί, ἴδωμεν τὸ πέρας τοῦ βίου καὶ τῆς παρούσης ζωῆς... Τρέμω τὸ κριτήριον, Χριστέ, καὶ τὴν ἐν τῷ βήματι γύμνωσιν τῶν πταισμάτων μου... Πάντες δυσωποῦμέν σε, Χριστέ, νῦν ἐν κατανύξει βοῶντες καὶ προσευχῇ ἐκτενεῖ... Τοῦτο τῆς ζωῆς ἡμῶν ἐστὶ τὸ ἀπαραχώρητον τέλος καὶ ἐπιτίμιον, θάνατος καὶ τάφος γὰρ ἡμᾶς ἐκδέχεται... Μίαν ὑποστάσεσι τρισὶ σέβοντα θεότητα πίστει παντουργικῇ σε Τριάς... Σῶζε τοὺς ἐλπίζοντας εἰς σέ, Μῆτερ τοῦ ἀδύτου ἡλίου θεογεννήτρια... Μετὰ δὲ τὸν ἀσπασμόν, εἰ οὐκ ἔχει ἡ μονὴ κοιμητήριον, ἢ καὶ ὁ τάφος οὐκ ἔστιν ἕτοιμος, λέγομεν Τρισάγιον, τὸ Παναγία Τριάς, τὸ Πάτερ ἡμῶν... Ὅτι σοῦ ἐστίν. Καὶ λέγομεν τὰ παρόντα νεκρώσιμα τροπάρια ταῦτα, ἦχος δ'. Μετὰ πνευμάτων δικαίων... κ. τ. α. Καὶ εὐθὺς γίνεται συναπτὴ παρὰ τοῦ ἱερέως· Ἐλέησον ἡμᾶς... καὶ ἡ εὐχή· Ὁ Θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκός... Ἐν ᾗ λέγεται παρὰ πάντων τῶν ἱερέων, καὶ γίνεται ἀπόλυσις· Ὁ ἀναστὰς ἐκ νεκρῶν... Ποιήσαντες δὲ ἀμφότεροι σταυρὸν οἱ ἱερεῖς ἐπάνω

τοῦ λειψάνου, λέγουσι· Αἰωνία σου ἡ μνήμη, ἀξιομακάριστε ὁ δεῖνα καὶ ἀείμνηστε ἀδελφὲ ἡμῶν, ἐκ γ'. Εἶτα λέγεται παρὰ πάντων· Ὁ Θεός, μακάρισον καὶ ἀνάπαυσον αὐτόν, ἔνθα οἱ δίκαιοι ἀναπαύονται, καὶ ἡμᾶς ἐλεήσει διὰ τῆς αὐτοῦ ἀγαθότητος. Εἰ δὲ ἔστι κοιμητήριον ἐν τῇ μονῇ καὶ ὁ τάφος ἕτοιμος, ἀπόλυσιν οὐ ποιοῦμεν, ἀλλὰ μετὰ τὸ γενέσθαι τὸν ἀσπασμόν, ἄραντες τὴν κλίνην, ἀπέρχονται εἰς τὸ κοιμητήριον, ψαλλόντων ἡμῶν τὸ Ἅγιος ὁ Θεός, ἐκ γ'. ἡσύχως καὶ πάλιν τὸ Ἀνάπαυσον, Σωτὴρ ἡμῶν, Δόξα, τὸ αὐτό, Καὶ νῦν, θεοτοκίον· Ὁ ἐκ Παρθένου ἀνατείλας. Φθάσαντες δὲ εἰς τὸ κοιμητήριον, ἄραντες τὸ λείψανον, θάπτουσιν αὐτὸ ἐν τῷ κοιμητηρίῳ, ψάλλοντες καὶ τροπάρια, ἦχος πλ. δ'. Γῆ χανοῦσα ὑπόδεξαι τὸν ἀπὸ σοῦ πλασθέντα χειρὶ Θεοῦ τὸ πρότερον... Καὶ λαβὼν ἔλαιον ὁ ἱερεὺς μετὰ κανδήλαν, ἐπιχέει ἄνωθεν τοῦ λειψάνου, ποιῶν τύπον σταυροῦ ἐκ γ'. λέγων καὶ τὸ Ἀλληλούια ἐκ γ'. καὶ Τοῦ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτοῦ, ἡ οἰκουμένη καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ, ἅπαξ· ὁμοίως καὶ τὸ Ἔλαιον ἀγαλλιάσεως καὶ σωτηρίας ἐν σκηναῖς δικαίων, ὅπου ἡ ἄληκτος χαρά, ἐκεῖ Χριστὸς ὁ Θεὸς κατατάξαι τὸ πνεῦμά σου. Καὶ αὐτὸ ἅπαξ καὶ οὕτως σφαλίζεται ὁ τάφος, ψαλλόντων ἡμῶν τροπάρια, ἦχος γ'. Τῷ τύπῳ τοῦ σταυροῦ σου, φιλάνθρωπε, ὁ θάνατος νενέκρωται καὶ ὁ ᾅδης ἐσκύλευται... Στίχος· Τοῦ Κυρίου ἡ γῆ, πάλιν τὸ αὐτό, Δόξα καὶ νῦν, Θεοτόκε ἡ προστασία πάντων τῶν δεομένων, εἰς σὲ καυχώμεθα... Ἕτερα στιχηρὰ νεκρώσιμα, ἦχος δ'. Μετὰ πνευμάτων δικαίων. Στίχος· Εἰσαγαγὼν καταφύτευσον εἰς τὴν κατάπαυσιν... Στίχος· Κύριος ποιμαίνει με καὶ οὐδέν με ὑστερήσει. Σὺ εἶ ὁ Θεός, ὁ καταβὰς εἰς Ἅδην... Στίχος· Ἐπὶ ὕδατος ἀναπαύσεως, ἦχος δ'. Τὴν ἀειτάραχον θάλασσαν τοῦ βίου διαδραμών, τῷ σῷ λιμένι προσέδραμε τῇ πίστει ὁ μεταστάς... Δόξα καὶ νῦν, θεοτοκίον· Ἡ μόνη ἁγνὴ καὶ ἄχραντος Παρθένος ἡ Θεὸν ἀσπόρως κυήσασα... Ἕτερον, ἦχος πλ. α'. Ἡ ἀοίδιμος φωνὴ τοῦ θείου Δαβίδ, σήμερον πληροῦται· ἄνθρωπος, λέγουσα, ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ... Στίχος· Μὴ εἰσέλθῃς εἰς κρίσιν, πάλιν τὸ αὐτό, Δόξα καὶ νῦν, θεοτοκίον· Σὲ δυσωποῦμεν, ὡς Θεοῦ Μητέρα... Ἕτερα στιχηρὰ νεκρώσιμα· Ὁ θάνατός σου, Κύριε, ἀθανασίας γέγονε πρόξενος... Στίχος· Ἡ ψυχὴ αὐτοῦ ἐν ἀγαθοῖς. Παντοκράτωρ ὕψιστε, τὴν ψυχὴν τοῦ δούλου σου ἀνάπαυσον... Δόξα καὶ νῦν, θεοτοκίον· Τὰ οὐράνια ὑμνεῖ σε, κεχαριτωμένη. Ἕτερα νεκρώσιμα, ἦχος βαρύς· Ἐξέλιπον ἀπὸ τῆς συγγενείας μου, κατέλιπον τὸ λοιπὸν τῆς ζωῆς μου... Στίχος· Μνήσθητι, Κύριε, τοῦ Δαβίδ... Πάλιν τὸ αὐτό. Στίχος· Ὡς ὤμοσε τῷ Κυρίῳ. Κατάπαυσιν δικαίοις ἡτοίμασας εἰσάγαγέ με, Σωτὴρ... Δόξα καὶ νῦν, θεοτοκίον· Εἰρήνευσον πρεσβείαις τῆς Θεοτόκου... Ἕτερα στιχηρά, ἦχος πλ. β'. Πνευματικοὶ ἀδελ-

φοὶ καὶ συνασκηταί, μή μου ἐπιλάθησθε... Στίχος· Ἡ ψυχὴ αὐτοῦ ἐν ἀγαθοῖς. Καθὼς εἶπας, Κύριε, τῇ Μάρθᾳ· ἐγώ εἰμι ἀνάστασις... Δόξα καὶ νῦν, θεοτοκίον· Ἁγνὴ Παρθένε τοῦ Λόγου, πύλη τοῦ Θεοῦ ἡμῶν... Καὶ εὐθὺς τὸ Τρισάγιον, τὸ Παναγία Τριάς, τὸ Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστίν. Εἶτα τροπάρια, ἦχος β'. Μνήσθητι, Κύριε, ὡς ἀγαθὸς τῆς ψυχῆς τοῦ δούλου σου... Δόξα καὶ νῦν, θεοτοκίον· Μῆτερ ἁγία, ἡ τοῦ ἀφράστου φωτός... Εἶθ' οὕτως γίνεται ἐκτενή· Ἐλέησον ἡμᾶς, ὁ Θεὸς κ. τ. α. καὶ ἡ εὐχή· Ὁ Θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκός... ἐν ᾗ λέγεται παρὰ πάντων τῶν ἱερέων. Μετὰ δὲ τὸ τέλος λέγει ὁ καθηγούμενος· Τοῦ Κυρίου δεηθῶμεν. Καὶ εὐχὴ παρὰ μόνου τοῦ καθηγουμένου· Μνήσθητι, Κύριε ὁ Θεὸς ἡμῶν, τοῦ ἐν τῇ μα...

л. 96. Κανὼν ψαλλόμενος (εἰς) ψυχορραγοῦντας.

Ὁ ἱερεὺς ποιεῖ εὐλογητὸν καὶ ἀρχόμεθα τοῦ ρμβ'. ψαλμοῦ τὸ Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου... Μετὰ δὲ τὸ τέλος τοῦ ψαλμοῦ, ψάλλομεν τὸ Θεὸς Κύριος εἰς ἦχον πλ. β'. καὶ ἀρχόμεθα τὰ παρόντα τροπάρια· Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, Δόξα καὶ νῦν, Τῆς εὐσπλαγχνίας τὴν πύλην, ὁ Ν'. καὶ ἀρχόμεθα τοῦ κανόνος, ποίημα κυροῦ Ἀνδρέου Κρήτης τοῦ Ἱεροσολυμίτου. Ὠδὴ α'. ἦχος πλ. β'. Ὡς ἐν ἠπείρῳ πεζεύσας... Δεῦτε συνάχθητε πάντες οἱ εὐσεβῶς Goar. p. 585. Послѣ третьей и 6 пѣсни, ποιεῖ ὁ ἱερεὺς ἐκτενήν, λέγει οὕτως· Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεος... Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ἐπισκέψεως, συγχωρήσεως... Ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτῷ πάντα τὰ ἁμαρτήματα... Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος. Послѣ 3 пѣсни, τροπάριον, θεοτοκίον, ἦχος β'. Πρεσβεία θερμὴ καὶ τεῖχος ἀπροσμάχητον... По 6 пѣсни, κοντάκιον, ἦχος πλ. β'. Τὴν ὑπὲρ ἡμῶν. Προστασία τῶν χριστιανῶν ἀκαταίσχυντε, μεσιτεία πρὸς τὸν ποιητὴν ἀμετάθετε... Ὁ οἶκος Ἔκτεινόν σου παλάμας, ἐν αἷς ὁ πάντων Δεσπότης... Εἶτα (т. е. послѣ 9 пѣсни) λέγει· Ἄξιόν ἐστιν, ὡς ἀληθῶς. Δὸς ἡμῖν βοήθειαν, Θεοτόκε, δὸς ἡμῖν βοήθειαν τοῖς ἐλπίζουσιν ἐπὶ σέ... Δέσποινα καὶ Μῆτερ τοῦ λυτρωτοῦ... Καὶ λέγομεν τὸ Τρισάγιον, τὸ Παναγία Τριάς, τὸ Πάτερ ἡμῶν. Ὁ ἱερεὺς τὸ Ὅτι σοῦ ἐστίν, καὶ εὐθὺς τὰ παρόντα τροπάρια, ἦχος πλ. β'. Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον, Δόξα, Κύριε, ἐλέησον ἡμᾶς, Καὶ νῦν, Τῆς εὐσπλαγχνίας τὴν πύλην, εἶτα γίνεται ἐκτενὴ παρὰ τοῦ ἱερέως· Ἐλέησον ἡμᾶς, ὁ Θεός... Ἐκφώνησις· Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεός... Τοῦ Κυρίου δεηθῶμεν. Καὶ εὐχὴ εἰς ψυχορραγοῦντας· Δέσποτα Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ Πατὴρ τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ πάντας ἀνθρώπους θέλων σωθῆναι. Goar. p. 587. Καὶ γίνεται ἀπόλυσις οὕτως· Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν πρεσβείαις τῆς

παναχράντου αὐτοῦ Μητρὸς δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ, τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν καὶ πάντων τῶν ἁγίων.

л. 103. Ἀκολουθία τοῦ μικροῦ ἁγιασμοῦ.

Начало и первыя стихиры до Τὸν Πατέρα καὶ Υἱὸν δοξολογοῦμεν καὶ τὸ Πνεῦμα τὸ ἅγιον λέγοντες, что въ ркп. 1522 г. № 615 Свят.-гроб. библ. Καὶ νῦν, θεοτοκίον· Θεοτόκε, ἡ τεκοῦσα τὸν Σωτῆρα καὶ Δεσπότην, ἐκ κινδύνων καὶ θλίψεων... Ἕτερα στιχηρὰ ἰδιόμελα, ἦχος πλ. δ΄. ψάλλονται δὲ και ταῦτα εἰς τὸν ἦχον αὐτὸν μετὰ μέλους· Νῦν ἐπέστη ὁ καιρός, ὁ πάντας ἁγιάζων... Νάμασιν ἐπομβρίσας, Χριστέ, πηγὴν τῶν ἰάσεων... Παναγία Θεοτόκε, τῶν χειρῶν ἡμῶν τὰ ἔργα κατεύθυνον... Прокименъ апостолъ и евангеліе. Goar. p. 360. Εἶτα ὁ διάκονος τὴν συναπτήν· Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῆς εἰρήνης... Ὑπὲρ τοῦ ἁγίου οἴκου... Ὑπὲρ πάσης ἐπισκοπῆς... Ὑπὲρ τῆς πόλεως... Ὑπὲρ τοῦ ἁγιασθῆναι τὸ ὕδωρ... Ὑπὲρ τοῦ καταπεμφθῆναι αὐτῷ... Ὑπὲρ τοῦ δωρηθῆναι αὐτῷ δύναμιν ἰαματικήν... Ὑπὲρ τοῦ φωτισθῆναι ἡμᾶς... Ὑπὲρ τοῦ ῥυσθῆναι... Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας ἀχράντου... Ἐκφώνησις· Ὅτι πρέπει. Εὐχή, ἣν λέγει εἰς ἐπήκοον· Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ μέγας τῇ βουλῇ... Goar. p. 361—362. Послѣ чина καὶ τὴν συνήθη ἅπασαν ἐκτενήν· Ἔτι δεόμεθα ὑπὲρ τοῦ διαφυλαχθῆναι τὴν ἁγίαν μονὴν ταύτην... τὸ Κύριε ἐλέησον μ΄. καὶ εὐθὺς τὸ Ἐπάκουσον ἡμᾶς, ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν... Καὶ εὐθὺς γίνεται ἀπόλυσις.

л. 110. Εὐχή, ἣν λέγει ὁ ἱερεὺς ἐπὶ τὸν μέλλοντα μεταλαβεῖν τῶν ἁγίων μυστηρίων.

Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, Υἱὲ καὶ Λόγε τοῦ Θεοῦ τοῦ ζῶντος, ποιμὴν ὑπάρχων καὶ ἀμνὸς ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου... Conf. Goar. p. 536.

л. 113. Εὐχὴ ἑτέρα.

Ἔκλινε τὸν αὐχένα ὁ σὸς δοῦλος ὁ δεῖνα, ὁ ἀπεκδεχόμενος τὰ παρὰ σοῦ πλούσια ἐλέη. См. выше стр. 496.

л. 113 об. Εὐχὴ ἐξομολογουμένων.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ Πέτρῳ καὶ τῇ πόρνῃ διὰ δακρύων ἄφεσιν ἁμαρτιῶν δωρησάμενος... Goar. p. 537.

л. 114. Εὐχὴ λεγομένη ἐπὶ σπορᾶς.

Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ δημιουργὸς τῶν ἁπάντων, ὁ ποιήσας τὴν γῆν καὶ τὸν ἄνθρωπον ἐπ' αὐτήν... Goar. pag. 557.

л. 115 об. Εὐχὴ ἐπὶ θέρους.

Σοί, Κύριε, τῷ τελειωτῇ πάντων καὶ κηδεμόνι καὶ λέγοντες καὶ ἀρχόμενοι τὴν εὐχαριστίαν ἐπὶ πᾶσι προσαναφέρομεν καὶ δεόμεθά σου, πα-

ράσχου ἡμῖν τὴν τῶν νέων καρπῶν μετάληψιν ἀκατάκριτον, καὶ συγκομιδὴν ἀνεπιβούλευτον, τὰ δράγματα πλήθυνον, τοὺς συγκομίζοντας ἐνίσχυσον, πολύχουν τὸν τῆς ἀρούρας καρπὸν ἐν τῇ ἅλωνι ποίησον, ἵνα καὶ ὁ θερίζων χαίρει μετὰ τοῦ σπείροντος καὶ ἀποκλείων μὴ ἀποκναίηται, ὡς τοῖς σοῖς ἀγαθοῖς εὐθηνούμενος. Ὅτι σὺ εἶ ὁ πληθύνων τὰ σύμπαντα, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν.

— Εὐχὴ ἐπὶ ἅλωνα.

Ὁ Θεός, ὁ τῶν ὅλων ποιητὴς καὶ πάντων δημιουργός, ὁ εὐλογήσας τὴν σκηνὴν τοῦ Ἀβραὰμ διὰ τῆς τηρήσεως αὐτοῦ καὶ ἀγγέλους ὁρατοὺς δείξας, ὁ διὰ τῆς φιλοξενίας αὐτῷ ἐπαγγειλάμενος στοχήσασθαι(;) τὸν Ἰσαάκ. Αὐτὸς καὶ νῦν εὐλόγησον τὴν ἅλωνα ταύτην, ἔμπλησον, Κύριε, τὰ ταμιεῖα τοῦ δούλου σου ὁ δεῖνα, ἀπὸ σίτου, οἴνου καὶ ἐλαίου, αὐτὰ πληθυνθήσονται, ἵνα καὶ αὐτὸς ἐμπλησθήσονταί σου τοῦ μεταδίδειν ὀρφανοῖς καὶ πτωχοῖς προθύμως καὶ χήραις καὶ πένησιν. Ὅτι εὐλόγηται καὶ δεδόξασταί σου τὸ πανάγιον ὄνομα τοῦ Πατρός...

л. 115. Εὐχὴ ἑτέρα εἰς ἅλωνα.

Ἡ πηγὴ τῶν ἀγαθῶν, Δέσποτα παμβασιλεῦ καὶ εὐεργέτα τῶν σῶν ποιημάτων, πρόσδεξαι κατὰ τὴν ἀγαθότητά σου τὴν καρποφορίαν τοῦ δούλου σου ὁ δεῖνα, εἰς ὀσμὴν εὐωδίας, ἔμπλησον αὐτοῦ τὰ ταμεῖα. Goar. pag. 523.

л. 115 об. Εὐχὴ εἰς θεμέλιον οἴκου. Goar. pag. 483.

л. 116. Εὐχὴ εἰς φρέαρ μιασθέν.

Μετὰ τὸ ῥιφθῆναι τὸ ἐμπεσὸν ἀκάθαρτον, δέον ἀντλῆσαι κάδους μ΄. ποιεῖ ὁ ἱερεὺς εὐλογητόν, τὸ Τρισάγιον, τὸ Πάτερ ἡμῶν, Ὅτι σοῦ ἐστίν, τὸ τροπάριον τῆς ἡμέρας, καὶ εὐχὴ Τοῦ Κυρίου δεηθῶμεν. Ὁ Θεὸς ὁ μέγας καὶ θαυμαστός, ὁ ἀνεκδιηγήτῳ ἀγαθωσύνῃ. Goar. p. 479.

л. 116 об. Ἐπὶ πλοίου, μέλλοντος πλεῖν.

Δέσποτα Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν, ὁ ἐντειλάμενος τῷ Νῶε κατασκευάσαι κιβωτὸν πρὸς σωτηρίαν τοῦ κόσμου. Goar. p. 559.

л. 117. Εὐχὴ ἑτέρα ἐπὶ πλεόντων.

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καταξιώσας συμπλεῦσαι τοῖς ἁγίοις σου μαθηταῖς καὶ ἀποστόλοις. Goar. p. 684.

— Εὐχὴ ἐπὶ δικτύων.

Δέσποτα Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ διὰ τοῦ πλήθους τῶν οἰκτιρμῶν σου φανερώσας. См. выше стр. 497—498.

л. 118. Εὐχὴ ἐπὶ μελησίων τοῦ ὁσίου πατρὸς ἡμῶν Ζωσιμᾶ.

Κύριε ὁ Θεὸς ἡμῶν ὁ παντοκράτωρ, ὁ ἐκ τοῦ ὄντος εἰς τὸ εἶναι τὰ σύμπαντα λόγῳ μόνῳ δημιουργήσας, Αὐτὸς Δέσποτα, διαφύλαξον καὶ τὰ

παρόντα μελήσια, τὴν εἴσοδον καὶ τὴν ἔξοδον ἀκλόνητον διατήρησον αὐτὰ ἐν τῷ τόπῳ τούτῳ, ὃν ἡρετίσαντο κατοικεῖν ἀπὸ γενεᾶς. Ἅγιε Λαυρέντιε, ἅγιε Ἀγάπιε, ἅγιε Κοδράτε, ἅγιοι τεσσαράκοντα μάρτυρες καὶ ἅγιε Ζωσιμᾶ, καὶ ἅγιοι πάντες, διαφυλάξατε τὰ παρόντα μελήσια ἀπὸ πάντων τῶν ἑρπετῶν καὶ ἀπὸ τῶν πονηρῶν μερμήκων καὶ σκρηκῶν(;) καὶ τῆς βρουτηρίας, καὶ κάμπης, καὶ ἀπὸ πάντων τῶν ἑρπετῶν ἀβλαβῶς διαφυλαττόμενα, ὁμοίως δὲ καὶ ἀπὸ τῶν μερόπων, ὡς γὰρ πολυπλάσιον ἀποδώσουσι τὸν καρπὸν ἐν τῷ καιρῷ αὐτῶν, πρεσβείαις τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου, τῶν τιμίων ἐπουρανίων, ἀχράντων νοερῶν δυνάμεων ἀσωμάτων, τῶν ἁγίων ἐνδόξων Ἀναργύρων, τῶν ἁγίων καὶ ὁσίων ἱεραρχῶν, καὶ τῇ πρεσβείᾳ τοῦ ὁσίου πατρὸς ἡμῶν Ζωσιμᾶ. Ὅτι σὺ ὁ εὐλογῶν καὶ ἁγιάζων καὶ πληθύνων τὰ σύμπαντα, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρὶ καὶ τῷ Υἱῷ.

л. 119. Εὐχή, ὅταν ἀπαίρῃ ὁ ἄνθρωπος ἀπὸ τῶν τῇδε· γράφει δὲ ταύτην ὁ πνευματικὸς αὐτοῦ πατὴρ εἰς χαρτί(ον) καὶ βάλλει εἰς τὴν χεῖρα τοῦ τεθνηκότος διὰ τὸν φόβον τῶν τελωνίων τοῦ ἀέρος καὶ τοῦ σκότους τοῦ αἰῶνος τούτου.

Ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ συγχωρήσει σοι, πνευματικόν μου τέκνον ὁ δεῖνα, ὅσα ἐνώπιον. См. ркп. Ватопед. библ. № 134 л. 359. Ὁ ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας. Ἀμήν.

— Εὐχὴ εἰς εὐλογίαν οἴνου. Goar. pag. 553.

л. 119 об. Εὐχὴ ἑτέρα.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ποιῶν θαυμάσια μόνος μεγάλα καὶ ἀνεξιχνίαστα, ὁ καὶ τὸ ὕδωρ εἰς οἶνον μεταποιήσας ἐν Κανᾷ τῆς Γαλιλαίας. Αὐτὸς Δέσποτα, ὡς ἐκεῖσε καὶ ἐνταῦθα παραγενόμενος, εὐλόγησον, ὅνπερ ἐδωρήσω ἡμῖν εἰς εὐφροσύνην καρδίας οἶνον, ἵνα ἐπὶ σωτηρίᾳ γένηται τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν. Ὅτι σὺ ἡ πηγὴ τῶν ἀγαθῶν, Χριστὲ ὁ Θεὸς ἡμῶν...

л. 120. Κεφάλαια ὡραιότατα, α) περὶ βρώσεως καὶ πόσεως, β) περὶ μέθης, γ) περὶ ἀποχῆς κακῶν, δ) περὶ τῆς μὴ ἀγάπης τοῦ κόσμου, ε) περὶ χρημάτων, ζ) περὶ τοῦ μὴ ἐλπίζειν ἐπ' ἄνθρωπον, η) περὶ βρωμάτων.

л. 120 об. Τοῦ Χρυσοστόμου καὶ τοῦ μεγάλου Βασιλείου περὶ πνευματικῶν καὶ τῶν εἰς αὐτοὺς ἐξομολογουμένων. Перечисляются качества исповѣдника.

л. 122. Τοῦ Χρυσοστόμου ἐπιστολή.

Наставленіе о частомъ произношеніи молитвы: „Господи Іисусе Христе“ и о значеніи этой молитвы.

л. 122 об. Τοῦ ἀββᾶ Βαρσανουφίου.

Наставленіе монаху о провожденіи времени въ келліи.

л. 123 об. Νικολάου, τοῦ ἁγιωτάτου πατριάρχου Κωνσταντινουπόλεως, ποίημα πρὸς τὸν πρῶτον ἅγιον, ὡς τυπικὸν κατὰ στίχον. Издается эта статья въ Іерусалимскихъ обычныхъ Типикахъ.

л. 131. Ἐκ τοῦ Τυπικοῦ τοῦ Ἄθωνος περὶ τῶν ἑορτῶν τῶν μεγάλων καὶ μικρῶν καὶ μεσαίων, ἐν αἷς δεῖ τὸν μοναχὸν ἀργεῖν ἐκ τοῦ ἔργου καὶ τὴν νηστείαν καταλύειν εἰς βρῶσιν καὶ πόσιν. Pitra. Spicil. Solesmens. t. IV. p. 455.

л. 134. Ἔζησεν ἐν ἀνθρωπότητι ἡ ὑπεραγία Θεοτόκος ἐν τῷ ναῷ Κυρίου ἔτη ιδ΄. καὶ τῷ οἴκῳ Ἰωσὴφ μῆνας δ΄. εὐαγγελιζέσθη καὶ ἔτεκε τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἔτη ιε΄. καὶ ἐπὶ ἀνθρωπήσεως τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἔτη λς΄. μετὰ τὴν ἀνάληψιν ἔτη ια΄. ὁμοῦ ἔτη νθ΄. καὶ μετέστη εἰς οὐρανοὺς πρὸς Κύριον.

— Τοῦ ἀββᾶ Ἡσαΐου.

л. 135. Ἀκολουθία εἰς τὸ ποιῆσαι παράκλησιν.

**LXIX.** № 373 (291) Ἐξοδιαστικόν, ркп. библ. Саввы Освященнаго (нынѣ патріаршей въ Іерусалимѣ) въ 16 долю листа, 119 листовъ, писана въ два столбца четкою скорописью XV в. Помѣтки, не важныя по содержанію, относятся къ 1575 и 1579 гг.

Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ὅλος τοῦ καταλόγου τοῦ ἱερατικοῦ ἐκδημήσει πρὸς Κύριον, ἀπέρχονται τρεῖς ἱερεῖς καὶ καταβιβάζουσιν αὐτὸν τῆς κλίνης, καὶ τιθέασιν ἐπὶ τῆς γῆς ἐν ψιαθίῳ καί, ἐπεὶ οὐ δεῖ λούεσθαι γυμνουμένου παρὰ τῶν ἱερέων, ἀποσπογγίζουσιν αὐτὸν μετὰ οἴνου ἢ μετὰ ὕδατος χλιαροῦ ἐν σπόγγῳ, ποιοῦντες ἐν τῷ μετώπῳ πρῶτον τοῦ τελευτήσαντος μετὰ τοῦ σπόγγου σταυρόν, καὶ ἐν τῷ ὅλῳ προσώπῳ, καὶ εἰς τὸ στῆθος σταυρόν, καὶ εἰς τὰς χεῖρας, καὶ εἰς τὰ γόνατα καὶ πλέον οὐδέν. Εἶθ' οὕτως ἐκδύουσιν αὐτὸν τὰ ἱμάτια, ἅπερ φορεῖ, καὶ ἐνδύουσιν καθαρά, μηδαμῶς τὴν τούτου γύμνωσιν ὁρῶντες, εἶτα τὴν ἱερατικὴν στολὴν ἅπασαν καὶ σκεπάζουσι τὸ πρόσωπον αὐτοῦ μετὰ τοῦ ἀέρος, καὶ τιθέασιν τὸ ἅγιον εὐαγγέλιον ἐπάνω αὐτοῦ. Εἶτα κρούσαντες τὸ σιδηροῦν καὶ συναχθέντες ἅπαντες ἐν τῇ ἐκκλησίᾳ, ἀπέρχονται οἱ ἱερεῖς ἐν τῷ σκευοφυλακίῳ καὶ ἐνδύονται πάντες τὰς ἱερατικὰς στολὰς αὐτῶν, καὶ ἐξέρχονται μετὰ θυμιατοῦ καὶ λαμπάδων, προπορευομένου τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ ἔμπροσθεν αὐτῶν, ἱερεῖς ἀκολουθοῦντες ὄπισθεν, λέγοντες μετὰ μέλους, εἰς ἦχον πλ. β΄. προσόμοια τὸ Ὅλην ἀποθέμενοι. Σταυρὸς ἀνυψούμενος... Μωσῆς προετύπου σε... Σταυρὲ πανσεβάσμιε.., Δόξα καὶ

νῦν, θεοτοκίον ὅμοιον· Βουλὴν προαιώνιον... Φθασάντων δὲ ἐν τῷ τόπῳ, ὅπου ἐστὶ τὸ λείψανον, ἄρχονται τῆς εὐχαριστίας. Ἡ δὲ εὐχαριστία οὕτως ἔχει· Ποιοῦντος τοῦ ἱερέως Εὐλογητόν, ἄρχονται τοῦ Τρισαγίου, τὸ Παναγία Τριάς, τὸ Πάτερ ἡμῶν, Ὁ ἱερεύς· Ὅτι σοῦ ἐστὶν ἡ βασιλεία, εἶτα τὰ τροπάρια ταῦτα εἰς ἦχον δ'. Μετὰ πνευμάτων δικαίων.., Στίχος· Τοῦ Κυρίου ἡ γῆ.. Εἰς τὰ σκηνώματά σου, Κύριε... κ. τ. α. Οὕτως μνημονεύει ὁ ἱερεὺς ἢ ὁ διάκονος· Ἐλέησον ἡμᾶς, ὁ Θεὸς κ. τ. α. Τοῦ Κυρίου δεηθῶμεν. Ὁ Θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκός... Goar. p. 424. Μετὰ δὲ τὸ τέλος τῆς εὐχῆς, λέγομεν καὶ τὴν εὐχὴν ταύτην εἰς μοναχούς· Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ἐλεήμων, οἰκτίρμων, καὶ πολυέλεε, ὁ διὰ τὴν ἡμετέραν σωτηρίαν σταυρωθείς, καὶ ταφεὶς καὶ ἀναστάς, αὐτός, Δέσποτα Χριστὲ παντοκράτωρ, πρόσδεξαι τὴν δέησιν ἡμῶν καὶ ἀπάλλαξον τοῦ ἐξωτέρου σκότους τὸν δοῦλόν σου ὁ δεῖνα καὶ πάσης ἑτέρας δεινῆς κολάσεως, ὅτι ἐπὶ σὲ ἐλπίζομεν τὸν Σωτῆρα καὶ λυτρωτὴν τῶν ψυχῶν ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν και ἀεί... Εὐχὴ ἑτέρα εἰς ἱερομονάχους· Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον... ἐπιστρέφεις, τὸ τῆς ψυχῆς χρέος ἀπαιτῶν, Σὲ ἱκετεύομεν· πρόσδεξαι τὴν ψυχὴν τοῦ νῦν ἐξ ἡμῶν μνημονευθέντος ἀδελφοῦ ἡμῶν ὁ δεῖνα ἱερομονάχου καὶ συλλειτουργοῦ ἡμῶν, καὶ ἀνάπαυσον... Ὅτι σὺ ἡ ἀνάστασις, ἡ ζωὴ καὶ ἡ ἀνάπαυσις τοῦ κεκοιμημένου... Conf. Goar. p. 449. Καὶ οὕτως ἄρχονται οἱ ἱερεῖς καὶ ἀνακλίνουσι τὸ λείψανον ἐν θρονίῳ ἢ ἐν κλίνῃ, καὶ ἄραντες αὐτὸν σὺν τῷ θρόνῳ ἢ ἐν τῇ κλίνῃ, καὶ ἀπέρχονται ἐν τῷ ναῷ, ψάλλοντες τὸ Τρισάγιον μετὰ μέλους· ἔστι δὲ ὁ ναὸς κεκλεισμένος παρὰ τοῦ προσμοναρίου, εἰ δὲ βαστάζουν τὸ λείψανον οἱ ἱερεῖς καὶ οἱ ἀκολουθοῦντες σὺν παντὶ τῷ λαῷ, ἀπέρχονται γύρωθεν εἰς τὸν ναόν, ψάλλοντες ἐκ τρίτου καὶ τροπάριον εἰς ἦχον γ'. Ἡ ἐκκλησία στενάζει καὶ βοᾷ, ζητοῦσα τὸν ἱερέα, καὶ τὸ θυσιαστήριον ζητεῖ τὸν ποιμένα. Ὁμοίως δὲ ψάλλοντες ἕτερον τροπάριον, ἦχος βαρύς· Ἅγιοι μάρτυρες οἱ καλῶς ἀθλήσαντες καὶ στεφανωθέντες... Δόξα σοι, Χριστὲ ὁ Θεός, ἀποστόλων τὸ καύχημα... Μετὰ δὲ ταύτην ἄρχεται ὁ προεστὼς μετὰ μέλους εἰς ἦχον γ'. ἔμπροσθεν τοῦ ναοῦ, τὸ Ἀνοίξατέ μοι πύλας δικαιοσύνης, ἵνα εἰσέλθω (καὶ) ἐξομολογήσωμαι τῷ Κυρίῳ. Ὁ δὲ προσμονάριος εὐθὺς ἀνοίγει τὴν πύλην, καὶ εἰσερχόμενοι ψάλλοντες τροπάριον εἰς ἦχον πλ. β'. Χαῖρε ναὲ τοῦ Θεοῦ, χαῖρε τὸ ἅγιον θυσιαστήριον, χαῖρε ἁγία τράπεζα, χαῖρε ἅγιον βῆμα Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, χαῖρε ἁγία σκηνή, χαῖρε ἅγιον προπύλαιον, χαῖρε τοῦ Θεοῦ τὸ οἴκημα. Στίχος· Εἰσέλθοι τὸ ἀξίωμά μου, πάλιν τὸ αὐτό. Τούτου δὲ λεγομένου, ἀποτίθεται τὸ λείψανον ἐν τῷ μέσῳ

τοῦ ναοῦ καὶ τιθέασι τὸ ἅγιον εὐαγγέλιον ἐπάνω αὐτοῦ, ὡς προέφημεν, καὶ τὰ μανουάλια σταυροειδῶς μετὰ λαμπάδων, καὶ ἄρχεται ὁ προεστὼς μετὰ τοῦ θυμιατοῦ ἔμπροσθεν τῆς ἁγίας τραπέζης καὶ ποιεῖ εὐλογητόν, καὶ μετὰ τὸ Ἀμὴν ἄρχονται τὸ Τρισάγιον, τὸ Παναγία Τριάς, τὸ Πάτερ ἡμῶν, ὁ ἱερεύς· Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, τὸ Κύριε ἐλέησον ιβ'. καὶ εὐθὺς τὸ Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ καὶ ζωοποιῷ... καὶ ψάλλεται ὁ ἑξάψαλμος μετὰ πάσης προσοχῆς καὶ φόβου Θεοῦ, μετὰ δὲ τὸν ἑξάψαλμον γίνεται συναπτὴ μεγάλη ὑπὸ τοῦ διακόνου, καὶ ὁ ἱερεὺς ἐκφωνεῖ, ἢ ὁ διάκονος· Ἐν εἰρήνῃ τοῦ Κυρίου... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῆς εἰρήνης... Ὑπὲρ τοῦ ἁγίου οἴκου... Ὑπὲρ μακαρίας μνήμης καὶ αἰωνίας ἀναπαύσεως τῆς ψυχῆς τοῦ κεκοιμημένου δούλου τοῦ Θεοῦ ὁ δεῖνα ἱερομονάχου καὶ συλλειτουργοῦ ἡμῶν τοῦ... Εἰ δὲ ἐστιν ἀρχιερεύς, οὕτως ὀφείλει· Ὑπὲρ τῆς μακαρίας μνήμης καὶ αἰωνίας ἀναπαύσεως τῆς ψυχῆς τοῦ ἐν μακαρίᾳ τῇ μνήμῃ γενομένου ἀοιδίμου ἀρχιερέως ὁ δεῖνα τοῦ... Ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτῷ πᾶν πλημμέλημα... Ὑπὲρ τοῦ ἀπολαῦσαι αὐτὸν ἦχον (τῆς τῶν) ἑορταζόντων ἀγγέλων χοροστασίας τοῦ... Ὑπὲρ τοῦ κοινωνὸν αὐτὸν γενέσθαι τῆς ἀλήκτου εὐφροσύνης τῶν ἀπ' αἰῶνος ἁγίων τοῦ... Ὑπὲρ τοῦ λυτρωθῆναι αὐτὸν καὶ ἡμᾶς τῆς αἰωνίου κολάσεως τοῦ... Ὅπως Κύριος ὁ Θεὸς τάξῃ τὸ πνεῦμα αὐτοῦ ἐν τόπῳ φωτεινῷ, ὅπου οἱ δίκαιοι ἀναπαύονται τοῦ... Τὰ ἐλέη τοῦ Θεοῦ καὶ τὴν φιλανθρωπίαν αὐτοῦ αἰτησάμενοι (παρὰ) Χριστῷ τῷ ἀθανάτῳ τοῦ... Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς... Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας ἀχράντου... Ὅτι σὺ εἶ ἡ ἀνάστασις, ἡ ζωὴ καὶ ἡ ἀνάπαυσις τοῦ κεκοιμημένου... Καὶ ψάλλομεν Ἀλληλούια εἰς ἦχον πλ. δ'. Στίχος· Μακάριοι, οὓς ἐξελέξω... Στίχος· Καὶ τὸ μνημόσυνον αὐτοῦ... Ψάλλομεν δὲ καὶ τροπάρια νεκρώσιμα εἰς ἦχον πλ. δ'. τὸ Προσταχθέν. Τὸν μεταστάντα εὐσεβῶς ἐκ τῶν προσκαίρων, ἐν ταῖς σκηναῖς τῶν ἐκλεκτῶν μετὰ δικαίων... Δόξα, τὸ αὐτό, Καὶ νῦν, θεοτοκίον ὅμοιον· Τῶν ἀσωμάτων σου, Χριστέ, καὶ τοῦ Προδρόμου, τῶν μαθητῶν, τῶν προφητῶν καὶ τῶν μαρτύρων... Προκείμενον τοῦ ἀποστόλου, ἦχος πλ. β'. Ἡ ψυχὴ αὐτοῦ ἐν ἀγαθοῖς... Στίχος· Πρὸς σέ, Κύριε, κεκράξομαι. Πρὸς Ῥωμαίους ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα· Ἀδελφοί, ὁ φρονῶν τὴν ἡμέραν, Κυρίῳ φρονεῖ... Τέλος· ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ. Καὶ ψάλλομεν τὸ Ἀλληλούια νεκρώσιμον εἰς ἦχον γ'. Εὐαγγέλιον κατὰ Ματθαῖον· Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· πᾶς ὅστις ὁμολογήσει ἐν ἐμοί... Τέλος· Πολλοὶ δὲ ἔσονται πρῶτοι ἔσχατοι καὶ ἔσχατοι πρῶτοι. Καὶ εὐθὺς μνημονεύει ὁ ἱερεύς, ἢ ὁ διάκονος οὕτως· Ἐλέησον ἡμᾶς... κ. τ. λ. Εὐχὴ λεγομένη εἰς μοναχούς. Τοῦ Κυρίου δεηθῶμεν. Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τῇ σοφίᾳ σου κατασκευάσας τὸν ἄνθρω-

πον καὶ τῇ εἰκόνι σου τιμήσας αὐτόν... См. рки. 1522 г. Свят.-гроб. библ. въ Константинополѣ № 615 л. 149. Ἑτέρα εὐχὴ εἰς ἱερομονάχους. Τοῦ Κυρίου δεηθῶμεν. Μνήσθητι, Κύριε, τοῦ ἐν δεσμοῖς τοῦ ᾅδου κατεχομένου δούλου σου ὁ δεῖνα ἱερομονάχου καὶ συλλειτουργοῦ ἡμῶν, τοῦ πίστει ὁμολογοῦντός σε τὸν πρότερον ἄσαρκον ὄντα, ὕστερον δὲ διὰ τὴν ἡμετέραν σωτηρίαν ἐν τῇ μήτρᾳ τῆς ἀειπαρθένου Μαρίας οἰκήσαντα καὶ ἐξ αὐτῆς αὐθυπάρκτως σαρκωθέντα, καὶ ἡ σάρξ, ἣν προσελάβου, ἐν τῇ θεϊκῇ σου δυνάμει ἀναστᾶσα καὶ εἰς φθορὰν μὴ χωρήσασα, τὸν μονογενῆ Υἱὸν τοῦ Πατρὸς τὸν ἕνα τῆς Τριάδος καὶ μετὰ τὴν σάρκωσιν, τὸν εὐσπλαγχνίᾳ καὶ φιλανθρωπίᾳ Υἱὸν ἀνθρώπου γενόμενον, δύο φύσεις καὶ θελήσεις ἔχοντα, οὐκ ἐναντιουμένας, ὑποτασσόμενον δὲ τὸ τῆς σαρκὸς θέλημα τῷ θεϊκῷ θελήματι, καὶ δύο ἐνεργείας ἐν ἑνὶ προσώπῳ, ταύτῃ τῇ πίστει καὶ ὁμολογίᾳ τοῦ δούλου σου ὁ δεῖνα ἱερομονάχου ἀδελφοῦ ἡμῶν καὶ συλλειτουργοῦ ἐπιλαβόμενοι ἡμεῖς οἱ εὐτελεῖς δοῦλοί σου, ὁλοκαύτωσιν προσάγομέν σοι μετὰ ἐκτενοῦς ἐντεύξεως· ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν δεομένων σου, καὶ παράσχου συγγνώμην τῷ δούλῳ σου, τῷ παροργίσαντί σε, ὡς σάρκα ἀνθρωπίνην φοροῦντι, καὶ ἀσθένειαν ἔχοντι, καὶ ὡς ἐπήκουσας τῇ δούλῃ σου Θέκλῃ τῇ πρωτομάρτυρι, τῇ ἐπὶ μητρὶ αὐτῆς εἰδωλολάτριδι, καὶ οὐ παρεῖδες τὴν δέησιν αὐτῆς, ἀλλ' ὡς ὑπεράγαθος καὶ εὐδιάλλακτος ἔδωκας αὐτῇ συγγνώμην, καὶ ὡς ἔλυσας τῆς μάστιγος Τραϊνῷ δι' ἐκτενοῦς ἐντεύξεως τοῦ δούλου σου Γρηγορίου τοῦ Διαλόγου, ἐπάκουσον καὶ ἡμῶν δεομένων σου, οὐκ ἐπὶ εἰδωλολάτριδι, ἀλλ' ἐπὶ τὸν πιστόν σου δοῦλον, παροργίσαντά σε δι' ἀσθένειαν, διὰ τοῦτο ἁμαρτίας νεότητος καὶ ἀγνοίας αὐτοῦ μὴ μνησθῇς, Κύριε, ἀλλ' ἄνες τῶν δεσμῶν τοῦ σκότους, λῦσον τῆς μάστιγος καὶ δὸς αὐτῷ συγγνώμην, καὶ ἀνάπαυσον αὐτὸν ἐν τόπῳ φωτεινῷ, ἐν τόπῳ χλοερῷ, ἐν τόπῳ ἀναψύξεως, ἔνθα ἀπέδρα πᾶσα ὀδύνη λύπη καὶ στεναγμός, ὅπου ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου, εὐφραίνων πάντας τοὺς ἀπ' αἰῶνος ἁγίους σου εὐαρεστηκότας σοι. Ὅτι σὺ εἶ ἡ ἀνάστασις, ἡ ζωὴ καὶ ἡ ἀνάπαυσις τῆς ψυχῆς... Τροπάριον, ψαλλόμενον εἰς ἦχον β'. μετὰ τὴν ἐκφώνησιν· Εὔφρανον, Κύριε, σὺν ἐκλεκτοῖς τὸν δοῦλόν σου, καὶ ὅσα ὑπέσχου, πλήρωσον ἱερουργήσαντα... Δόξα, τὸ αὐτό, Καὶ νῦν, θεοτοκίον· Μῆτερ ἁγία, ἡ τοῦ ἀφράστου φωτός, ἀγγελικοῖς σε ὕμνοις... Μετὰ δὲ ταῦτα ἵσταται ὁ ἱερεὺς μετὰ τοῦ θυμιατοῦ ἐπάνω τοῦ λειψάνου, λέγων μετὰ μέλους εἰς ἦχον πλ. α'. Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου, ἐκ γ'. Εἶτα ἄρχεται ὁ δομέστικος τοῦ δεξιοῦ χοροῦ τοῦ Ἀμώμου εἰς ἦχον πλ. α'. ἢ εἰς ἦχον β'. Ἄμωμοι ἐν ὁδῷ οἱ πορευόμενοι... Ἀλληλούια. Вся первая слава. Εἰ δὲ ἐστὶ κηδία μοναχοῦ, οὐ γίνεται τέλος ἕως τὸ Σός εἰμι ἐγώ,

σῶσον ἡμᾶς. Ἐκεῖσε πάλιν μνημονεύει ὁ ἱερεύς, εἰ δὲ οὐκ ἔστιν, εὐθὺς μετὰ τὴν τελείωσιν τοῦ ψαλμοῦ τῆς στάσεως τῆς πρώτης, λέγεται τὸ ἀποστολοευαγγέλιον, προκείμενον, ἦχος πλ. β΄. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος... Στίχος· Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ. Πρὸς Ἑβραίους ἐπιστολῆς· Ἀδελφοί, ἔχοντες ἀρχιερέα μέγαν... Τέλος· σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ. Ἀλληλουάριον, ἦχος γ΄. Μνήσθητι τῆς συναγωγῆς σου... Στίχος· Ὁ δὲ Θεὸς βασιλεὺς ἡμῶν πρὸ αἰώνων... Εὐαγγέλιον κατὰ Μάρκον· Εἶπεν ὁ Κύριος· ὅστις θέλει ὀπίσω μου ἀκολουθεῖν, ἀπαρνησάσθω ἑαυτόν... Τέλος· ἕως ἂν ἴδωσι τὴν βασιλείαν τοῦ Θεοῦ ἐληλυθυῖαν ἐν δυνάμει. Εἶτα μνημονεύει ὁ ἱερεύς, ὡς σύνηθες, λέγων· Ἐλέησον ἡμᾶς, ὁ Θεός... κ. τ. λ. Καὶ ἡ εὐχὴ αὕτη εἰς μοναχούς. Τοῦ Κυρίου δεηθῶμεν. Δέσποτα Κύριε ὁ Θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκός... Goar. p. 437. ἢ ἐνθυμήσει ἥμαρτεν, συγχώρησον ὡς ἀγαθὸς καὶ φιλάνθρωπος Θεός, καὶ τῶν πενθούντων ἀντιλήπτωρ καὶ παραμυθία γενοῦ καὶ καταύγασον τὴν ἀχλὺν αὐτῶν τῆς ἀθυμίας τῷ νοερῷ σου φωτί, ἡμᾶς δὲ πάντας τοὺς συνελθόντας εἰς τὴν τοῦ τάφου τοῦ δούλου σου τιμὴν περικράτυνον καὶ ἵλεως γενοῦ ἡμῖν ἐν ταῖς ἀνομίαις ἡμῶν. Δέσποτα Θεὲ καὶ Κύριε τοῦ ἐλέους, γένους θνητοῦ τε καὶ ἀθανάτου καὶ πάσης φύσεως ἀνθρωπίνης, Δημιουργέ, συνισταμένης τε καὶ πάλιν λυομένης, ζωῆς τε καὶ τελευτῆς, τῆς ἐνταῦθα διαγωγῆς καὶ ἐκεῖθεν μεταστάσεως, ὁ χρόνους μετρῶν τοῖς ζῶσι καὶ καιροὺς ἱστῶν θανάτου, κατάγων εἰς ᾅδου καὶ ἀνάγων, δεσμεύων ἐν ἀσθενείᾳ καὶ ἀπολύων ἐν δυναστείᾳ, ὁ τὰ παρόντα χρησίμως οἰκονομῶν καὶ τὰ μέλλοντα λυσιτελῶς διοικῶν, ὁ τοὺς θανάτου κέντρῳ πληγέντας, ἀναστάσεως ἐλπίσιν εὐφραίνων. Αὐτὸς Δέσποτα τῶν ἁπάντων, ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς καὶ τῶν ἐν θαλάσσῃ μακράν, ἐπάκουσόν μου δεομένου σου καὶ ἀνάπαυσον τὴν ψυχὴν τοῦ κεκοιμημένου δούλου σου ὁ δεῖνος ἐν τόποις φωτεινοῖς, ἐν τόποις χλοεροῖς, ἐν τόποις ἀναψύξεως, ἔνθα ἀπέδρα ὀδύνη, λύπη καὶ στεναγμὸς ἐν σκηναῖς δικαίων, καὶ εἰρήνης καὶ αἰνέσεως ἀξίωσον. ὅτι οὐχ οἱ νεκροὶ αἰνέσουσί σε, Κύριε, οὐ δὲ ἐλπιοῦσιν οἱ ἐν ᾅδου τὴν ἐλεημοσύνην σου, ὅτι οἱ εἰς σὲ πιστεύουσιν οὐ θνήσκουσιν, ἀλλὰ ζῶσιν ἐν σοὶ εἰς αἰῶνα αἰῶνος ἐν τῇ βασιλείᾳ σου. Ὅτι σὺ εἶ ἡ ἀνάστασις, ἡ ζωὴ καὶ ἡ ἀνάπαυσις τοῦ κεκοιμημένου δούλου σου... Εὐχὴ ἑτέρα εἰς ἱερομονάχους· Ὁ Θεὸς ὁ Θεὸς ἡμῶν, ὁ πάσης κτίσεως Δημιουργός, ὁ οἴκησιν ἔχων τὸν οὐρανὸν καὶ πάντα διέπων ἐπὶ τῆς γῆς· Σὺ γὰρ ἐπίστασαι τοῦ πρὸς σὲ ἐκδημήσαντος ἀδελφοῦ ἡμῶν ὁ δεῖνα ἱερομονάχου καὶ συλλειτουργοῦ τὴν ἐργασίαν τὴν ἐν τῷ οἴκῳ σου ἐργασαμένην καὶ τὰ μεγαλεῖα σου ἐκτελέσαντος, καὶ ἄμειψον αὐτόν, ἀγαθέ, τὴν ἐκεῖθεν ἄνεσιν, καὶ παράσχου αὐτῷ, ἔνθα

ἐστὶ φωτεινὴ κατοίκησις, ἐν χώρᾳ ζώντων, ἐν ταῖς τῶν δικαίων σου σκηναῖς μετὰ πάντων τῶν δικαίων σου, συγχωρῶν αὐτοῦ τὰ ὀφειλήματα, καὶ ἀξίωσον τῆς σῆς ἐλλάμψεώς τε καὶ ἀγαθότητος. Ὅτι σὺ εἶ, ὁ ζώντων καὶ νεκρῶν κυριεύων, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ... Μετὰ δὲ τὴν ἐκφώνησιν τῆς εὐχῆς, ἄρχεται ὁ δομέστικος τοῦ δευτέρου χοροῦ μετὰ μέλους, εἰς ἦχον β'. τὸ Αἱ χεῖρές σου... Ἐλέησόν με, Κύριε... Ἀλληλούια. Весь псаломъ съ тѣмъ же припѣвомъ. Εἰ δὲ καὶ ἐστὶν ἡ κηδία μοναχοῦ, ψάλλεται ὁ παρὼν στίχος ἐκ τρίτου εἰς ἦχον πλ. α'. Καὶ μετὰ τὸ τέλος μνημονεύει ὁ ἱερεύς, εἰ δὲ οὐκ ἔστι, ψάλλεται καὶ ὁ αὐτὸς στίχος, ὡς καὶ τοὺς ἄλλους, καὶ οὐ γίνεται ἡ δευτέρα στάσις τοῦ Ἀμώμου ἐνταῦθα, ἀλλά, καθὼς ἐστιν διηρμηνευμένον, Σός εἰμι ἐγώ, σῶσόν με. Ἀλληλούια и д. т. Καὶ λέγομεν τὸ προκείμενον τοῦ ἀποστόλου· Ἡ ψυχὴ αὐτοῦ ἐν ἀγαθοῖς... Πρὸς σέ, Κύριε, κεκράξομαι... Πρὸς Κορινθίους πρώτης ἐπιστολῆς· Ἀδελφοί, ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς χοϊκός... Τέλος· τῷ διδόντι ἡμῖν τὸ νῖκος διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Καὶ ὁ ψάλτης λέγει τὸ ἀλληλουάριον. Μακάρισον, ὃν ἐξελέξω καὶ προσελάβου. Εὐαγγέλιον κατὰ Ἰωάννην· Εἶπεν ὁ Κύριος πρὸς τοὺς πεπιστευκότας πρὸς αὐτὸν Ἰουδαίους· ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς... Τέλος· ἀλλὰ ἀναστήσω αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. Εἶτα μνημονεύει ὁ ἱερεύς· Ἐλέησον ἡμᾶς κ. τ. α. Καὶ εὐθὺς λέγει τὴν παροῦσαν εὐχὴν εἰς μοναχούς. Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἀρρήτῳ σου σοφίᾳ δημιουργήσας τὸν ἄνθρωπον καὶ ἐκ τοῦ χοὸς τοῦτον ἀναμορφώσας, ὡς εἶδος καὶ κάλλος, καὶ ἐξωραΐσας, ὡς τίμιον καὶ οὐράνιον κτῆμα, εἰς δοξολογίαν καὶ εὐπρέπειαν τῆς σῆς δόξης καὶ βασιλείας, διὰ τὸ κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν τοῦτον παραγαγεῖν, τὴν ἐντολὴν δὲ παραβάντα τοῦ σοῦ προστάγματος καὶ μεταλαβόντα τῆς εἰκόνος, καὶ οὐ φυλάξαντος, καὶ διὰ τοῦτο, ἵνα μὴ τὸ κακὸν ἀθάνατον γένηται, ὡς φιλάνθρωπος κελεύσας τὴν κρᾶσιν καὶ μῖξιν ταύτην τῷ σῷ θείῳ βουλήματι ἀποτέμνεσθαί τε καὶ διαλύεσθαι, τὴν δὲ ψυχὴν ἐκεῖθεν χωρεῖν, ἔνθα καὶ τὸ εἶναι προσελάβετο μέχρι τῆς κοινῆς ἀναστάσεως, διὰ τοῦτο δεόμεθά σου τοῦ ἀνάρχου καὶ ἀθανάτου Πατρὸς καὶ τοῦ μονογενοῦς σου Υἱοῦ, ἵνα μὴ παρίδῃς τὸ σὸν πλάσμα καταποθῆναι τῇ ἀπωλείᾳ, ἀλλὰ τὸ μὲν σῶμα διαλυθῆναι εἰς τὰ ἐξ ὧν συνετέθη, τὴν δὲ ψυχὴν καταταγῆναι ἐν χορῷ τῶν δικαίων. Ναί, Κύριε ὁ Θεὸς ἡμῶν, νικησάτω σου τὸ ἄμετρον ἔλεος καὶ ἡ φιλανθρωπία σου ἡ ἀνείκαστος, καὶ εἴ τε ὑπὸ κατάραν πατρός, ἢ μητρός, ἢ τῷ ἰδίῳ ἀναθέματι ὑπέπεσεν ὁ δοῦλός σου οὗτος, ἤ τινα τῶν ἱερομένων παρεπίκρανε καὶ δεσμὸν ἄλυτον παρ' αὐτοῦ ἐδέξατο, ἢ ὑπὸ ἀρχιερέως βαρυτάτῳ ἀφορισμῷ περιέπεσεν, ἢ ἀμελείᾳ καὶ

ῥαθυμίᾳ χρησάμενος, οὐκ ἔτυχε συγχωρήσεως, συγχώρησον αὐτῷ δι' ἐμοῦ τοῦ ἁμαρτωλοῦ καὶ ἀναξίου δούλου σου καὶ τὴν ψυχὴν αὐτοῦ ἐν σκηναῖς δικαίων ἁγίων κατάταξον. Ναί, Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τῷ κορυφαίῳ Πέτρῳ ταύτην τὴν ἐξουσίαν δούς, ὥστε τῶν ἁμαρτημάτων διδόναι τὴν ἄφεσιν καὶ εἰπών· ὅσα ἂν δήσῃ καὶ λύσῃ, ἵνα ὦσι δεδεμένα καὶ λελυμένα, καὶ δι' αὐτοῦ τὴν ἐξουσίαν ταύτην καὶ ἡμῖν χαρισάμενος, συγχώρησον πάντα τὰ ἁμαρτήματα τοῦ κεκοιμημένου δούλου σου ὁ δεῖνα ἔν τε τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι πρεσβείαις τῆς σῆς ἐνδόξου καὶ παναχράντου Μητρὸς καὶ πάντων τῶν ἁγίων. Ἀμήν. Ἑτέρα εὐχὴ εἰς ἱερομονάχους· Ὁ Θεὸς ὁ Θεός, ὁ μέγας ἀρχιερεὺς καὶ δίκαιος κριτὴς τῶν μεθ' ἡμῶν συμβουλευόντων, καὶ τὸν ἐκ τοῦ κόσμου τούτου ἐκδημήσαντα ἱερέα καὶ μοναστήν, φιλάνθρωπε, τῆς ἐκεῖθεν ζωῆς κληρονόμον ἀνάδειξον, τῶν ἐνταῦθα, ὡς ἄνθρωπον πλημμελήσαντα, λήθην ποιούμενος, ἁμαρτίας ἐλευθέρωσον, καὶ ἡμῶν τὸν βίον διεξάγαγε, ἵνα σοι εὐαρέστως αἰτούμενοι εἰς θεράπευσιν τῆς ἡτοιμασμένης ἁμαρτίας ἐλευθερώσῃς. Ὅτι σὺ εἶ ἀνάστασις, ἡ ζωὴ καὶ ἀνάπαυσις τοῦ κεκοιμημένου... Слич. выше стр. 57 и 480. Εἶτα ὁ ψάλτης ἄρχεται μετὰ μέλους εἰς ἦχον γ'. τὸ Ἐλέησόν με. Ἀλληλούια. Ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με... Ἀλληλούια. Весь псаломъ. Αἱ γενεαὶ πᾶσαι. Ἀβραὰμ ἐν κόλποις καὶ μετὰ Λαζάρου τάξον, ἐλεήμων, ψυχήν, ἣν προσελάβου. Ἀγαλλιάσομαι ἐγὼ ἐπὶ τὰ λόγιά σου, ὡς ὁ εὑρίσκων σκῦλα πολλά... Στίχος· Ἀβραὰμ ἐν κόλποις. Ἀδικίαν ἐμίσησα καὶ ἐβδελυξάμην... и т. д. Καὶ εὐθὺς λέγει ὁ πρῶτος χορὸς τὰ νεκρώσιμα εὐλογητάρια· Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με... Τῶν ἁγίων ὁ χορός... Ὁ (σῇ) παλάμῃ ἐκ μὴ ὄντων πλάσας... Εἰκὼν εἰμι τῆς ἀρρήτου δόξης σου... Οἱ τὸν ἀμνὸν τῆς ἀρρήτου κηρύξαντες... Ἱεραρχῶν καὶ ὁσίων, Κύριε, ἀσκητῶν καὶ πάντων τῶν ἁγίων, ἔνθα φωναὶ εὐλαβῶς δοξάζουσι σὺν χοροῖς τῶν θείων ἀρχαγγέλων μέλος τὸ Τρισάγιον μέλπουσι, σὺν αὐτοῖς ἡμᾶς σύνταξον, ὡς εὔσπλαγχνος. Οἱ τὴν ὁδὸν τὴν στενὴν βαδίσαντες... Ἀνάπαυσον, ὁ Θεός, τὸν δοῦλόν σου... Δόξα, Τὸ τριλαμπὲς τῆς μιᾶς θεότητος... Καὶ νῦν, Χαῖρε σεμνὴ ἡ Θεόν... Ἀλληλούια, Ἀλληλούια Δόξα σοι ὁ Θεὸς γ'. Προκείμενον τοῦ ἀποστόλου· Κύριος ποιμαίνει... Στίχος· Τὴν ψυχήν μου ἐπέστρεψε. Πρὸς Κορινθίους δευτέρας· Ἀδελφοί, οἴδαμεν, ὅτι ἐὰν ἡ ἐπίγειος ἡμῶν οἰκία τοῦ σκήνους καταλυθῇ... Τέλος· Τοὺς γὰρ πάντας ἡμᾶς φανερωθῆναι δεῖ ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ. Ἀλληλουάριον, Μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου. Εὐαγγέλιον κατὰ Ἰωάννην· Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους... Τέλος· Ἰησοῦς δὲ ἐκρύβη καὶ ἦλθεν ἐκ τοῦ ἱεροῦ, διελθὼν διὰ μέσου αὐτῶν καὶ παρῆγεν οὕτως. Εἶτα μνημονεύει ὁ ἱερεὺς ἢ ὁ διάκονος· Ἐλέη-

σον ἡμᾶς... κ. τ. λ. Καὶ ἡ εὐχὴ εἰς μοναχούς. Τοῦ Κυρίου δεηθῶμεν. Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ παντοκράτωρ, κλῖνον, Κύριε, τὸ οὖς σου καὶ ἐπάκουσόν μου καὶ τὸν δοῦλόν σου τόνδε, τὸν ἐπ' ἐλπίδι ἀναστάσεως κεκοιμημένον, ἀνάπαυσον μετὰ τῶν ἁγίων σου, σύναψον καὶ στῆσον ἐκ δεξιῶν σου ἐν τῇ βασιλείᾳ σου, ἀνάκλινον αὐτὸν εἰς κόλπους Ἀβραὰμ καὶ ψώμισον αὐτὸν ἀπὸ τοῦ ξύλου τῆς ζωῆς, ὅπως καὶ Αὐτὸς ἀκούσῃ τῆς εὐλογημένης φωνῆς τῆς λεγούσης· Δεῦτε, οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου, καὶ χάρισαι αὐτῷ, ἃ ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν, καὶ εἴ τι αὐτῷ πεπλημμέληται ἢ παρεώραται, ὡς ἀνθρώπῳ, σάρκα φορέσαντι, Σύ, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, παριδεῖν καταξίωσον· ὑμῶν γάρ ἐστι τὸ εὔξασθαι, παρὰ σοῦ δὲ τὸ ἔλεος διὰ τοῦ μονογενοῦς σου Υἱοῦ, Κυρίου δὲ ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ ἁγίου σου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Ἑτέρα εὐχὴ εἰς ἱερομονάχους· Μνήσθητι, Κύριε, πάντων τῶν προαναπαυσαμένων πατέρων ἡμῶν ὀρθοδόξων δούλων σου καὶ τοῦ ἀδελφοῦ ἡμῶν τοῦδε, ἱερομονάχου καὶ συλλειτουργοῦ ἡμῶν, καὶ συγχώρησον αὐτοῦ τὰ πλημμελήματα, καὶ εἴ τι ἥμαρτεν ἑκουσίως ἢ ἀκουσίως, καὶ ἀξίωσον αὐτὸν ἐν ταῖς τῶν δικαίων σου σκηναῖς, καὶ ἡμᾶς πάντας ἀξίωσον εὐχαριστεῖν σοι ἡμέραν ἐξ ἡμέρας τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν. Σὺ γὰρ εἶ ἡ ζωὴ καὶ ἡ ἀνάστασις... Καὶ εὐθὺς λέγομεν τὰ παρόντα στιχηρὰ εἰς ἦχον πλ. α'. Ἀνάπαυσον, Σωτὴρ ἡμῶν, μετὰ δικαίων τὸν δοῦλόν σου... Δόξα, Καὶ πάντα τὰ ἐν ἀγνοίᾳ καὶ γνώσει... Καὶ νῦν, θεοτοκίον· Ἐκ Παρθένου ἀνατείλας τῷ κόσμῳ, Χριστὲ ὁ Θεός... Καὶ οὕτως λέγομεν τὸν Ν'. ψαλμόν. Μετὰ δὲ τὸν Ν'. ψαλμόν, ψάλλομεν τὰ τροπάρια ταῦτα εἰς ἦχον πλ. α'. χῦμα· Τὴν πολυτάραχον θάλασσαν τοῦ βίου διαδραμών... Δόξα, Ἀνάπαυσον, Κύριε, τὴν ψυχὴν τοῦ δούλου σου, ὡς εὔσπλαγχνος... Καὶ νῦν, θεοτοκίον· Σὲ δυσωποῦμεν, ὡς Θεοῦ Μητέρα εὐλογημένη... Καὶ μετὰ τὸ θεοτοκίον, ψάλλομεν προσόμοια, ἦχος πλ. α'. Πρὸς τὸ Ὅσιε πάτερ. Ὅταν καθίσῃς ἐπὶ θρόνου κρῖναι πᾶσαν πνοήν... Ἡ ψυχὴ αὐτοῦ ἐν ἀγαθοῖς. Ὁ κυριεύων καὶ νεκρῶν καὶ ζώντων Κύριος καὶ πάντων ἀφθαρσία καὶ ἀπολύτρωσις... Ἐν γῇ πραέων, ἔνθα ἦχος ἐξακούεται τῶν ἑορταζόντων... Καὶ εὐθὺς ἀντίφωνον πρῶτον, ἦχος πλ. α'. Πρὸς Κύριον ἐν τῷ θλίβεσθαί με... Ἀλληλούια. Κύριε, ῥῦσαι τὴν ψυχήν μου ἀπὸ χειλέων... Ἀλληλούια. Τί δοθείη σοι καὶ τί προστεθείη σοι... Ἀλληλούια. Τὰ βέλη τοῦ δυνατοῦ ἠκονημένα... Ἀλληλούια. Οἴμοι ὅτι ἡ παροικία μου ἐμακρύνθη, κατεσκήνωσα... Ἀλληλούια. Πολλὰ παρῴκησεν ἡ ψυχή μου... Ἀλληλούια. Ὅταν ἐλάλουν αὐτοῖς, ἐπολέμουν με...

Ἀλληλούια. Καὶ εὐθὺς στιχηρὰ προσόμοια, ἦχος πλ. α'. Ἔνθα εὐφραινομένων ἐστὶν ἡ κατοικία, ἔνθα ἦχος τερπνότητος... Ὡς ὄναρ τὰ τοῦ βίου εἰδὼς καὶ ἀσθενέστερα σκιᾶς ὁ ἱκέτης σου ἐμφρόνως αὐτῶν ὑπέστη... Λόγοις σου τοῖς σεπτοῖς πειθαρχῶν ὁ σὸς ἱκέτης τὰ ἐν κόσμῳ κατέλιπε... Δόξα καὶ νῦν, θεοτοκίον, ὁ αὐτός· Λαῖλαψ ἁμαρτιῶν χαλεπῶν ἐν τῷ πελάγει με τοῦ βίου κατέλαβεν... Καὶ ἀρχόμεθα τοὺς ἀναβαθμούς, ἀντίφωνον α'. Ἐν τῷ θλίβεσθαί... κ. τ. α. Goar. p. 439. Προκείμενον τοῦ ἀποστόλου· Τοῦ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα... Στίχος· Τίς ἀναβήσεται εἰς τὸ ὄρος Κυρίου. Πρὸς Κορινθίους πρώτης ἐπιστολῆς· Ἀδελφοί, Χριστὸς ἐγήγερται ἐκ νεκρῶν... Τέλος· ἵνα ᾖ ὁ Θεὸς τὰ πάντα ἐν πᾶσιν. Ἀλληλουάριον, Οὗτος λήψεται εὐλογίαν παρὰ Κυρίου. Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ἰωάννην· Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους· τοῦτο ἔστι τὸ θέλημα.. Τέλος· Καὶ ἐγὼ ἀναστήσω αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. Καὶ εὐθὺς μνημονεύει ὁ ἱερεὺς ἢ ὁ διάκονος οὕτως· Ἐλέησον ἡμᾶς... Εὐχὴ εἰς μοναχούς. Τοῦ Κυρίου δεηθῶμεν. Κύριε, Κύριε, ἡ τῶν θλιβομένων παραμυθία... Goar. p. 453. ἐν κόλποις Ἀβραάμ, ἀνάπαυσον. Ἱκετεύομέν σε, Υἱὲ καὶ Λόγε τοῦ ζῶντος καὶ ἀοράτου Πατρός, πολυέλεε Κύριε Ἰησοῦ Χριστέ, ἡμεῖς οἱ τῇ προστάξει σου καταξιωθέντες ἱερουργεῖν σοι καὶ πρεσβεύειν ὑπὲρ τῶν πταιόντων σοι, ζώντων καὶ τεθνεότων, καὶ προσέταξας ἡμῖν, λέγων τῷ παναχράντῳ σου στόματι· ὅσα ἂν δήσηται ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τοῖς οὐρανοῖς, καὶ ὅσα ἂν λύσηται ἐπὶ τῆς γῆς, ἔσται λελυμένα ἐν τοῖς οὐρανοῖς, διὰ τοῦτο, θαῤῥοῦντες εἰς τὸ πολὺ ἔλεός σου, προσάγομέν σοι μετὰ παρακλήσεως τὴν δέησιν ταύτην ὑπὲρ τῆς ψυχῆς τοῦ κεκοιμημένου δούλου σου ὅδε. Αὐτὸς ἄνες, ἄφες, συγχώρησον τὰ ἑκούσια καὶ τὰ ἀκούσια πταίσματα, δεόμεθά σου, ἀπόλυσον αὐτὸν τῶν αἰωνίων δεσμῶν καὶ τῆς φυλακῆς, καὶ κατάταξον αὐτὸν εἰς τὸν φωτεινόν σου χορόν, ἔνθα οἱ ἐκλεκτοί σου δοῦλοι ἐπαναπαύονται, καὶ ὅπου ἐπισκοπεῖ τὸ τοῦ προσώπου σου ἄγαλμα αὐτοὺς ἐν γῇ πραέων, ἔνθα ἦχος ἐξακούεται τῶν ἑορταζόντων, ὅπου ἐκλάμπει, Χριστέ, τὸ φῶς τοῦ προσώπου σου ἐν ταῖς σκηναῖς τῶν ἀγαπώντων σε, εἰς τόπον χλόης, οὗ ἀπέδρα λύπη καὶ στεναγμός, οἰκτίρμων, ὅπου ὁσίων καὶ ἐκλεκτῶν χοροστασίαι ὑμνοῦσί σε τὸν Θεόν, (κατά)ταξον τὸν δοῦλόν σου τὸν πιστόν, ὃν προσελάβου, τὴν ἀπολύτρωσιν αὐτοῦ καὶ ὀφλημάτων διδούς, φιλάνθρωπε, ὡς μόνος ἀναμάρτητος, ἐλεήμων καὶ ἀνεξίκακος. Ὅτι σὲ αἰσθανόμεθα ὑπεράγαθον λυτρωτὴν τῶν αἰωνίων δεσμῶν τῶν ψυχῶν ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν... Εὐχὴ ἑτέρα εἰς ἱερομόναχον· Οὐκ ἔστι προσωποληψία παρὰ σοῦ, Κύριε, μίαν γὰρ εἴσοδον ποιήσας, ὥσπερ καὶ ἔξοδον, ὅθεν τὸ κοινὸν χρέος προφφάσας(;) τοῦ δούλου σου ὅδε, ἱερομονάχου

ἀδελφοῦ ἡμῶν καὶ συλλειτουργοῦ, καὶ συνμοναστοῦ, ἀνάπαυσον αὐτὸν εἰς τὴν βασιλείαν σου, καὶ ὥσπερ ἐν τῇ ἐκκλησίᾳ σου λειτουργεῖν αὐτὸν ἀνέδεξας, οὕτω καὶ ἐν τῷ οὐρανίῳ σου θυσιαστηρίῳ καταξίωσον αὐτὸν λειτουργεῖν σοι ἄπαυστα, ἐπὶ ἀνθρώπῳ πνευματικὴν καὶ ἱερατικὴν ἀξίαν ἐτίμησας καὶ ἐπὶ ἀγγέλων καὶ ἀρχαγγέλων τῇ σῇ ἀγαθότητι καταξίωσον· τὴν γὰρ ζωὴν αὐτοῦ εὐλογήσας καὶ τὴν ἔξοδον δικαίωσον, τὸ πνεῦμα αὐτοῦ ἀνάπαυσον μετὰ πάντων τῶν εὐαρεστησάντων σοι, ὧν καὶ ἡμᾶς καὶ σῇ εὐσπλαγχνίᾳ μετόχους ἀνάδειξον. Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ... Καὶ εὐθὺς λέγομεν κάθισμα, ἦχος β'. Σήμερον χωρίζομαι ἀπὸ τῆς συγγενείας μου... Καὶ μετὰ τὸ κάθισμα, ψάλλομεν στιχηρὰ τοῦ Δαμασκηνοῦ ταῦτα, ὧν ἡ ἀκροστιχίς· Πέντε, ἦχος α'. Ποία τοῦ βίου τρυφὴ διαμένει λύπης ἀμέτοχος... Ἔργῳ, Σωτήρ μου, δεικνύς, ὅτι σὺ εἶ πάντων ἀνάστασις... Νέος Ἀδὰμ γεγονὼς τοῦ Θεοῦ, ἐπουράνιε ἔσωσάς με... Τί ὑψαυχεῖτε, βροτοί, καὶ ἐν βίῳ τί μάτην ταράττεσθε... Ἔθου, Σωτήρ, λειτουργοὺς ἐκλεκτοὺς ἐν τῇ ἐκκλησίᾳ σου μιμουμένους... Δόξα καὶ νῦν, Ἁμαρτωλῶν τὰς δεήσεις προσδεχομένη καὶ θλιβομένη στεναγμόν... Τὰ ὅλα στιχηρὰ τῆς Ὀκτωήχου ἔχουν τὴν τοιαύτην ἀκροστιχίδα· Σούς, Χριστέ, δούλους γράψον ἐν ζώντων βίβλῳ. Ἕτερα στιχηρὰ προσόμοια τοῦ κυροῦ Θεοφάνους, ἦχος πρῶτος· Πανεύφημοι μάρτυρες... Σοῦ, Σῶτερ, δεόμεθα τῆς σῆς γλυκείας μεθέξεως τὸν μεταστάντα ἀνάπαυσον... Οὐδεὶς ἀναμάρτητος, οὐδεὶς τῶν ἀνθρώπων γέγονας... Ὑπὲρ τὰ ὁρώμενα τὰ σά, Σῶτερ, ἐπαγγέλματα, ἃ ὀφθαλμὸς οὐ τεθέαται καὶ οὖς οὐκ ἤκουσεν... Δόξα, Σταυρῷ σου γηθόμενος, σταυρῷ πεποιθὼς ὁ δοῦλός σου... Καὶ νῦν, Χριστὸν ἐκδυσώπησον τὸν σὸν τόκον, Μητροπάρθενε, τὴν τῶν πταισμάτων συγχώρησιν... Καὶ μετὰ τὰ προσόμοια, ψάλλομεν στιχηρά, τροπάριον, ἦχος πλ. α'. Ἡ ἀοίδιμος φωνὴ τοῦ θείου Δαβὶδ σήμερον πληροῦται... Δόξα, Σύ ἔπλασάς με καὶ ἔθηκας ἐπ' ἐμὲ τὴν χεῖρά σου... Καὶ νῦν, Ἡ κεχαριτωμένη μεσίτευσον ταῖς δεήσεσι... Εἶτα, λέγει ἀντίφωνον β'. ἦχος πλ. α'. Ἀλληλούια β'. Ἦρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη... Ἀλληλούια, Ἀλληλούια. Ἡ βοήθειά μου παρὰ Κυρίου... Ἀλληλούια, Ἀλληλούια. Εἶτα ψάλλομεν τροπάριον, ἦχος β'. Τὰ τοῦ βίου τερπνὰ τῷ πόθῳ σου, Κύριε, ἐγκαταλιπόντα θερμῶς... Δόξα, Τὸν ὑπακούσαντα τῆς ἐντολῆς σου, Χριστέ, καὶ ἄραντα τὸν σταυρόν σου... Καὶ νῦν, Τὴν πᾶσαν ἐλπίδα μου εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ... Εἶτα λέγομεν τὸ β'. ἀντίφωνον, ἦχος β'. Ἐν τῷ οὐρανῷ τὰ ὄμματά μου ἐκπέμπω κ. τ. α. Εἶτα τὸ προκείμενον τοῦ ἀποστόλου, ἦχος πλ. β'. Μακάρισον, ὃν ἐξελέξω... Στίχος· Καὶ τὸ μνημόσυνον αὐτοῦ. Πρὸς Ῥωμαίους ἐπιστολῆς· Ἀδελφοί, εἰ γὰρ ἐχθροὶ ὄντες κατηλλάγημεν τῷ Θεῷ

διὰ τοῦ θανάτου τοῦ Υἱοῦ αὐτοῦ... Τέλος· Οὕτω καὶ ἡ χάρις βασιλεύσει διὰ δικαιοσύνης εἰς ζωὴν αἰώνιον διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀλληλουάριον, ἦχος πλ. β΄. Μακάριος, ὁ συνιών... Εὐαγγέλιον κατὰ Ἰωάννην· Εἶπεν ὁ Κύριος· οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανόν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς... Τέλος· ἵνα κρίνῃ τὸν κόσμον, ἀλλ' ἵνα σωθῇ ὁ κόσμος δι' αὐτοῦ. Καὶ εὐθὺς μνημονεύει ὁ ἱερεύς· Ἐλέησον ἡμᾶς, ὁ Θεὸς κ. τ. λ. Εὐχὴ εἰς μοναχούς. Τοῦ Κυρίου δεηθῶμεν. Δέσποτα Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ Πατὴρ τῶν οἰκτιρμῶν καὶ τοῦ ἐλέους, ὁ πάντα φέρων ἀναδυσάμενος τῷ ῥήματι τῆς δυνάμεως, οὗ τῷ προστάγματι τὰ πάντα ὑπείκει δουλεύοντα, ὁ τῇ μὲν θελήσει τὴν δύναμιν, τῇ δὲ δυνάμει τὴν θεοπρεπῆ καὶ παντουργὸν καὶ ἀκάματον ἐνέργειαν ἐφάμιλλον ἔχων, ὁ διὰ τῶν σῶν μαθητῶν καὶ ἀποστόλων τὴν τοῦ δεσμεῖν τε καὶ λύειν ἐξουσίαν καὶ ἡμῖν δεδωκὼς τοῖς ἀναξίοις, ὁ εἰπών· ὅσα ἂν λύσητε ἐπὶ τῆς γῆς, ἔσται λελυμένα ἐν τῷ οὐρανῷ, καὶ ὅσα ἂν δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τῷ οὐρανῷ, καὶ τὸν πιστὸν ἐξ ἡμῶν μεταστάντα δοῦλόν σου τῶν ἑκουσίων τε καὶ ἀκουσίων ἀπαλλάξας ἁμαρτημάτων πάντων, τῶν ἐπικειμένων λῦσον δεσμῶν διὰ τῶν ἀναξίων ἡμῶν· μνήσθητι τῆς φυσικῆς (αὐτοῦ) χρηστότητος καὶ τῶν οἰκτιρμῶν σου δεόμεθα καὶ τῆς ἀρρήτου καὶ ὑπερφυοῦς συγκαταβάσεως, ἣν ὑπὲρ λόγον μόνος εἰργάσω διὰ τὴν σωτηρίαν ἡμῶν, μνήσθητι τῆς ἀγαθῆς τούτου προθέσεως καὶ τῆς πρὸς ἀρετὴν οἰκειώσεως, οἶδας ὁ πάντα εἰδὼς τὸ τῆς φύσεως καὶ τῆς διανοίας ἡμῶν εὐόλισθόν τε καὶ ἀπερίτρεπτον, καὶ ὅτι οὐδεὶς καθαρὸς ἐνώπιόν σου· Σὺ γὰρ μόνος ἁγιασμοῦ πηγή, καὶ αὐτὸς κάθαρσις· καθαρὸς γὰρ μόνος πέλεις καὶ ἀναμάρτητος. Σὺ οὖν, ἀγαθὲ καὶ φιλάνθρωπε, τὰ ἐν γνώσει καὶ ἀγνοίᾳ συγχωρήσας ἁμαρτήματα καὶ πάντα τὰ δεσμὰ καὶ προσκόμματα, καὶ πᾶσαν ἕξιν οὐκ ἀγαθὴν καὶ ἀΐδιον καὶ δυσχερῆ καὶ ἀνόητον λύσας, σὺν ἁγίοις ἀνδράσι τοῦτον τάξον ἐν τόπῳ φωτεινῷ, ὅπου ἀπέδρα ὀδύνη, λύπη καὶ στεναγμός, ὅπου ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου, εὐφραίνει τοὺς ἀπ' αἰῶνος ἁγίους σου πρεσβείαις τῆς παναγίας καὶ παναμώμου Μητρός σου, τῶν θεοειδῶν ἀγγέλων καὶ θείων σου μαθητῶν καὶ ἀποστόλων, καὶ πάντων τῶν ἁγίων. Ὅτι Σὺ εἶ ἡ ἀνάστασις, ἡ ζωή, ἡ ἀνάπαυσις τοῦ ἐν μακαρίᾳ τῇ μνήμῃ γενομένου ἀειμνήστου δούλου σου, Χριστὲ ὁ Θεὸς ἡμῶν.. Ἑτέρα εὐχὴ εἰς ἱερομονάχους. Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐκ Παρθένου τεχθεὶς καὶ σάρκα φορέσας, καὶ ἄνθρωπος γενόμενος τέλειος Θεὸς καὶ τέλειος ἄνθρωπος, ὁ δι' ἐμὲ κατ' ἐμὲ γεγονὼς καὶ σταυρὸν καὶ θάνατον τῇ σαρκὶ ὑπομείνας, ἀνάπαυσον τὴν ψυχὴν τοῦ δούλου σου ὁ δεῖνα, ἱερομονάχου ἀδελφοῦ ἡμῶν καὶ συλλειτουργοῦ, καὶ τάξον αὐτὴν ἐν τῷ

φωτὶ καὶ τῇ χώρᾳ τῶν ζώντων. Ὅτι σὺ εἶ ἀνάστασις, ἡ ζωή... Τροπάριον νεκρώσιμον, ἦχος β'. Ἐν πίστει καὶ ἀγάπῃ, καὶ ἐλπίδι, καὶ πραότητι, καὶ ἁγνοίᾳ, καὶ ἐν τῷ ἱερατικῷ ἀξιώματι... Καὶ εὐθὺς λέγομεν ταῦτα τὰ ἰδιόμελα τοῦ κυροῦ Ἰωάννου τοῦ Δαμασκηνοῦ, ὧν ἡ ἀκροστιχίς· Ὀδυρμός, ἦχος β'. Οἴμοι οἷον ἀγῶνα ἔχει ἡ ψυχή, χωριζομένη ἐκ τοῦ σώματος... Δεῦτε, ἴδωμεν πάντες θαῦμα ὑπὲρ νοῦν... Ὕλην πλούτου τί μάτην θέλγεσθε, βροτοί... Ῥύει μὲν πάντων τῶν ὄντων ἡ φύσις καὶ ὡς χόος ὑπὸ ἀνέμου ἀφανίζεται... Μύροις πάλαι τὴν τέφραν ἔχριον, οὐδαμῶς τῆς ὥρας ταύτης ἐμνημόνευον... Οἴμοι ὥσπερ οὐκ ὢν ἐπὶ τῆς γῆς ποτε ἐταραττόμην, ὁ θανὼν ἐκβοᾷ... Στόμα ἄλαλον ἔχων, πνεύματι βοῶ· μνείαν μου πάντοτε ποιεῖτε, γνωστοί... Δόξα καὶ νῦν, θεοτοκίον· Τὴν πᾶσαν ἐλπίδα μου εἰς σὲ ἀνατίθημι... Ἕτερα στιχηρὰ προσόμοια τοῦ κυροῦ Θεοφάνους, ἦχος β'. Πρὸς τὸ Ὅτε ἐκ τοῦ ξύλου. Ῥύμην τοῦ θανάτου καὶ φθορὰν σου τῷ ζωηφόρῳ θανάτῳ καθεῖλες, Δέσποτα... Ἵνα τοὺς ἀνθρώπους κοινωνοὺς θείας βασιλείας ἐργάσῃ... Σῶσαι τὸ σὸν πλάσμα βουληθείς, τῆς οἰκονομίας τὸ ὄντως βαθὺ μυστήριον χαίρων ἐξετέλεσας, ὡς ὑπεράγαθος... Τρόμῳ τῷ φρικτῷ καὶ φοβερῷ βήματι τῷ σῷ παρεστῶτες οἱ ἀπ' αἰῶνος νεκροί... Εὔας προμήτορος, ἁγνή, σὺ τὴν ὀφειλὴν συλλαβοῦσα Θεὸν ἀπέτισας... Εἶτα ψάλλομεν στιχηρὰ προσόμοια, ἦχος πλ. β'. Πρὸς τὸ Ἡ ἀπεγνωσμένη. Ἀπηγορευμένος τοῖς ἀδελφοῖς μου καὶ κεχωρισμένος τῶν προσφιλῶν μου... Βεβορβορωμένος ταῖς ἁμαρτίαις καὶ γεγυμνωμένος τῶν κατορθωμάτων κραυγάζω τῷ πνεύματι... Γένος καὶ πατρίδα νῦν καταλείψας, μόνος ἐπορεύθην πρὸς ξένην τρίβον... Δόξα καὶ νῦν, θεοτοκίον· Μεταβολὴ τῶν θλιβομένων, ἀπαλλαγὴ τῶν ἀσθενούντων ὑπάρχουσα, Θεοτόκε πανύμνητε... Εἶτα λέγομεν ἀντίφωνον γ'. ἦχος πλ. α'. Εὐφράνθην ἐπὶ τοῖς εἰρηκόσι μοι εἰς οἶκον Κυρίου... Ἀλληλούια, ἀλληλούια, ἀλληλούια. Ἑστῶτες ἦσαν οἱ πόδες ἡμῶν ἐν ταῖς αὐλαῖς σου... Ἀλληλούια γ'. Καὶ λέγομεν στιχηρά, ἦχος πλ. β'. Πνευματικοί μου ἀδελφοὶ καὶ συνασκηταί, μή μου ἐπιλάθεσθε, ὅταν ὑμνεῖτε τὸν Κύριον... Δόξα, Ἐπειδὴ πάντες πρὸς τὴν αὐτὴν ἐπειγόμεθα μονὴν τὸν αὐτὸν καὶ ὑποδυόμεθα λίθον... Καὶ νῦν, θεοτοκίον· Τὸ ὄμμα τῆς καρδίας μου ἐκπέμπω πρὸς σέ, Δέσποινα... Καὶ εὐθὺς λέγομεν ἀντίφωνον, ἦχος γ'. Τὴν αἰχμαλωσίαν Σιὼν σὺ ἐξείλου ἐκ Βαβυλῶνος... κ. τ. α. Προκείμενον τοῦ ἀποστόλου· Ὅτι ἐρρύσατο τὴν ψυχήν μου, Στίχος· Τοὺς ὀφθαλμούς μου ἀπὸ δακρύων. Πρὸς Κορινθίους πρώτης ἐπιστολῆς· Ἀδελφοί, εἰ Χριστὸς κηρύσσεται, ὅτι ἐκ νεκρῶν ἐγήγερται· πῶς λέγουσι τινὲς ἐν ὑμῖν... Τέλος· ἐπειδὴ γὰρ διὰ ἀνθρώπου ὁ θάνατος καὶ διὰ ἀνθρώπου ἀνάστασις νεκρῶν. Ἀλληλουάριον, Εὐαγγέλιον κατὰ Ἰωάννην· Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐλη-

λυθότας πρὸς αὐτὸν Ἰουδαίους· ὁ Πατήρ μου ἕως ἄρτι ἐργάζεται... Τέλος· καὶ εἰς κρίσιν οὐκ ἔρχεται, ἀλλὰ μεταβέβηκεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν. Καὶ εὐθὺς μνημονεύει ὁ ἱερεὺς ἢ ὁ διάκονος· Ἐλέησον ἡμᾶς... κ. τ. α. Εὐχὴ εἰς μοναχούς. Τοῦ Κυρίου δεηθῶμεν. Δέσποτα Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, μακρόθυμε καὶ πολυέλεε, ὁ οἴκησιν ἔχων τὸν οὐρανὸν καὶ πάντα διέπων τὰ τῆς γῆς, Σὺ καὶ τὴν ἐργασίαν ἐπίστασαι τοῦ τελευτήσαντος ἀδελφοῦ ἡμῶν, ἣν ἐν τῷ αἰῶνι τούτῳ εἰργάσατο, ἀμεῖψαι οὖν αὐτῷ δεόμεθα, μὴ κατὰ τὰς ἐπιγείους αὐτοῦ καὶ προσκαίρους πράξεις, ἀλλὰ κατὰ τὴν σὴν ἀμνησίκακον ἀγαθότητα, δώρησαι αὐτῷ ἄνεσιν· οὐδεὶς γὰρ ὤφθη ἀναμάρτητος, εἰ μὴ σὺ μόνος, Χριστὲ ὁ Θεὸς ἡμῶν, μεγαλύνομεν καὶ δοξάζομεν τὸ κράτος τῆς δυνάμεώς σου, Κύριε, ὅτι μεγάλα καὶ ὑπερθαύμαστα ποιήσας οὐρανὸν καὶ γῆν, θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς ὡς οὐδὲν οὐκ ἐπελάβου ἀγγέλων, ἀλλὰ τῇ πολλῇ καὶ ὑπεραμετρήτῳ σου εὐσπλαγχνίᾳ καὶ φιλανθρωπίᾳ ἐπελάβου τῆς ἡμετέρας φύσεως τῆς φθαρτῆς, σκολίκων ἑρπούσης, καὶ διὰ τὸ σῶσαι ἡμᾶς ἔπαθες ὑπὲρ ἡμῶν· τίς Δεσπότης ἀνεύθυνος ὑπὲρ δούλου αἰκίζεται ὡς σύ, Δέσποτα; μεγαλύνομεν τὸ τῆς εὐσπλαγχνίας σου πέλαγος τὸ πολύ, ὑπεράγαθε Δέσποτα, ὅτι διὰ τὴν ἡμετέραν σωτηρίαν ἑκὼν ὑβρίσθης, ἑκὼν ἐραπίσθης, ἑκὼν ἐσταυρώθης, ἐλογχεύθης τὴν πλευράν, καὶ τὸ αἷμα τὸ ἄχραντον ὑπὲρ ἡμῶν ἐξέχεας· τίς αἴσθησιν ἔχων καὶ βλέπων ταῦτα τὰ ἄμετρά σου πρὸς ἡμᾶς σπλάγχνα οὐχ ὑπερθαυμάσεται τὸ κράτος τῆς εὐσπλαγχνίας σου, οὐ τοσοῦτον θαυμάζομεν τὸ μέγα ὑπερθαύμαστόν σου κράτος τῷ ποιήσαντι τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς, ὡς εὐδοκήσαντα γενέσθαι σε ἄνθρωπον καὶ παθόντα ὑπὲρ ἡμῶν, διὰ τοῦτο θαῤῥήσαντες ἡμεῖς οἱ ἀχρεῖοι δοῦλοί σου, οἱ ταχθέντες ὑπὸ τῆς ὑπεραγάθου σου εὐσπλαγχνίας πρεσβεύειν ὑπὲρ ζώντων καὶ τῶν κατεχομένων ἐν ᾅδου δεσμοῖς, ἱκετεύομέν σε, ἐπάκουσον ἡμῶν δεομένων σου, πολυέλεε Κύριε, καὶ πρόσδεξαι τὴν δέησιν ταύτην ὑπὲρ τῆς ψυχῆς τοῦ κεχοιμημένου δούλου σου ὁ δεῖνα τοῦ ἐξ ἡμῶν μεταστάντος καὶ ἄνες τῶν δεσμῶν καὶ ἀπόλυσον τὸν δοῦλόν σου τῆς μάστιγος ταύτης, καὶ ἀνάγαγε αὐτὸν ἐκ σκότους καὶ τῆς φυλακῆς καὶ κατάταξον αὐτὸν μετὰ τῶν ἐκλεκτῶν σου. Ὅτι σὺ εἶ ἡ ἀνάστασις, ἡ ζωὴ καὶ ἡ ἀνάπαυσις... Εὐχὴ ἑτέρα εἰς ἱερομονάχους. Τοῦ Κυρίου δεηθῶμεν. Εὔσπλαγχνε, μακρόθυμε, πολυέλεε, ἐλεήμων Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ πάντων τὰ κρύφια ἐπιστάμενος καὶ παρορῶν ἡμῶν τὰ πλημμελήματα, ὁ εἰπών· αἰτεῖτε καὶ δοθήσεται ὑμῖν. Αὐτός, Κύριε ὁ Θεὸς ἡμῶν, συγχώρησον τὰ πλημμελήματα ἡμῶν τε καὶ τοῦ ἀδελφοῦ ἡμῶν τοῦδε ἱερομονάχου καὶ συλλειτουργοῦ, καὶ τάξον αὐτὸν ἐν τόπῳ φωτεινῷ, ἐν τόπῳ χλοερῷ, ἐν τόπῳ ἀνέσεως καὶ ἀναπαυ-

σεως, ὅπου τῶν δικαίων τὰ πνεύματα καὶ μαρτύρων χωρεῖαι εὐφραίνονται. Ὅτι σὺ εἶ πάντων τῶν κεκοιμημένων ἀνάπαυσις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου Πατρί... Μετὰ τὴν ἐκφώνησιν, λέγομεν κάθισμα, ἦχος πλ. β'. Ἐν κόλποις Ἀβραὰμ καὶ χώρᾳ τῶν ἐκλεκτῶν σου... Δόξα καὶ νῦν, Θεοτόκε Παρθένε, ἱκέτευε τὸν Υἱόν σου τὸν ἑκουσίως προσπαγέντα ἐν τῷ σταυρῷ... Εἶτα λέγει τὰ στιχηρὰ ἢ ὡς τὰ ἰδιόμελα τοῦ κυροῦ Ἰωάννου τοῦ Δαμασκηνοῦ ταῦτα, ὧν ἡ ἀκροστιχίς· Παρακαλῶ, ἦχος γ'. Πάντα ματαιότης τὰ ἀνθρώπινα, ὅσα οὐχ ὑπάρχει μετὰ θάνατον, οὐ παραμένει ὁ πλοῦτος... Ἄνθρωποι, τί μάτην ταραττόμεθα, ὁ δρόμος βραχύς ἐστιν, ὃν τρέχομεν, καπνὸς ὑπάρχει ὁ βίος... Ῥευστὸς ὤν, ἄνθρωπε, τί μάτην ταράττεσαι, τί ὑψαυχεῖς ὁ χαμερπὴς καὶ βροτός; τί οὐ φροντίζει τοῦ τέλους... Ἄνθους ἐσμὲν ἄνθρωποι ἰσοσθενεῖς εὐμάραντοι· ἕτοιμοι γενώμεθα, καύσων θανάτου μαραίνει... Καθ' ὃν τρόπον ναῦς ἐπὶ ὑδάτων πολλῶν πορείαν ποιοῦσα οὐκ ἰχνεύεται, οὕτως ἀνθρώπων ὁ βίος, οὕτως βροτῶν ἡ ἀξία... Ἀνύπαρκτοι, ὡς ὄναρ ἐσμέν, ὦ ἄνθρωποι, φάσμα μὴ κρατούμενον ὑπάρχομεν, δοκοῦντες εἶναι οὐκ ἐσμέν... Ληΐζεται ἅπαντας ὁ θάνατος· οὐδεὶς γὰρ τὰς παγίδας αὐτοῦ διαφεύγει, πάντας τοὺς ἐπὶ γῆς μαραίνει... Ὅπως ἀπατώμεθα οἱ ἄθλιοι· οἱ νέοι τὸ γῆρας ἀναμένουσιν, οἱ γηραιοὶ ἀπιστοῦσι τὴν τοῦ θανάτου δρεπάνην... Δόξα καὶ νῦν, Ἐν γυναιξὶν ἁγία Θεοτόκε Μῆτερ ἀνύμφευτε... Ἕτερα στιχηρὰ προσόμοια τοῦ κυροῦ Θεοφάνους, ἦχος γ'. Τῷ τύπῳ τοῦ σταυροῦ σου, φιλάνθρωπε, ὁ θάνατος νενέκρωται καὶ ὁ ᾅδης ἐσκύλευται... Δοξάζω τὸν σταυρόν σου τὸν τίμιον, δι' οὗ ζωὴ δεδώρηται καὶ τρυφῆς ἡ ἀπόλαυσις τοῖς ἐν πίστει καὶ πόθῳ σε ὑμνοῦσι, μόνε πολυέλεε... Ὁ μόνος ἐλεήμων καὶ εὔσπλαγχνος, ὁ ἔχων ἀκατάληπτον ἀγαθότητος πέλαγος... Δόξα, Ὑπνώσας ἐν τῷ τάφῳ, ὡς ἄνθρωπος, δυνάμει ἀηττήτῳ σου, ὡς Θεὸς ἐξανέστησας... Δόξα καὶ νῦν, Λαμπάδα νοητήν σε βαστάζουσαν τὸ φέγγος τῆς θεότητος ὡμίλησαν παχύτητι... Εἶτα ψάλλομεν στιχηρὰ ἰδιόμελα τοῦ αὐτοῦ κυροῦ Ἰωάννου τοῦ Δαμασκηνοῦ· Ἰδοὺ κεῖμαι, ἀγαπητοί μου ἀδελφοί, ἐν μέσῳ πάντων σιγὸς καὶ ἄφωνος... Δόξα, τὸ αὐτό, Καὶ νῦν, θεοτοκίον· Λιμένα σε σωτηρίας ἔχομεν, Θεοτόκε Παρθένε, οἱ ἐν τῷ πελάγει τοῦ βίου χειμαζόμενοι... Εἶτα ψάλλομεν τὸ ἀντίφωνον τοῦ δ'. ἤχου· Ἐκ νεότητός μου πολλὰ πολεμεῖ με πάθη... κ. τ. α. Εἶτα λέγομεν τὸ προκείμενον τοῦ ἀποστόλου, ἦχος πλ. β'. Ἡ ψυχὴ αὐτοῦ ἐν ἀγαθοῖς... Πρὸς σέ, Κύριε, κεκράξομαι... Πρὸς Κορινθίους πρώτης ἐπιστολῆς· Ἀδελφοί, τί ποιήσουσιν οἱ βαπτιζόμενοι ὑπὲρ τῶν νεκρῶν... Τέλος· εἰς ψυχὴν ζῶσαν ὁ ἔσχατος Ἀδὰμ εἰς πνεῦμα ζωοποιοῦν. Ἀλληλουάριον, Μακαρία ἡ ὁδός, ἣν πορεύεις. Εὐαγγέλιον κατὰ Ἰωάννην· Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· ἐὰν μὴ ὁ κόκκος

τοῦ σίτου πεσὼν εἰς τὴν γῆν ἀποθάνῃ, αὐτὸς μόνος μένει... Τέλος· Καὶ πᾶς ὁ ζῶν καὶ πιστεύων εἰς ἐμὲ οὐ μὴ ἀποθάνει εἰς τὸν αἰῶνα, ἀλλὰ ἕξει τὸ φῶς τῆς ζωῆς. Καὶ εὐθὺς μνημονεύει ὁ ἱερεὺς ἢ ὁ διάκονος· Ἐλέησον ἡμᾶς, ὁ Θεός... κ. τ. α. Καὶ λέγει τὴν εὐχὴν ταύτην εἰς μοναχούς. Τοῦ Κυρίου δεηθῶμεν. Ὁ Θεὸς ὁ μόνος φοβερὸς καὶ ἔνδοξος, ὁ ζωῆς καὶ θανάτου ἔχων τὴν ἐξουσίαν, ὁ ἐπιστάμενος, ὁ δοὺς πνευμάτων καὶ ψυχῶν τόπους, φωτὸς ὅρια, καὶ μέτρα οὐρανοῦ, ἔργων ποσότητα καὶ πίστεως ὁλκήν. Αὐτὸς ἀνάπαυσον καὶ τὴν ψυχὴν τοῦ δούλου σου ὁ δεῖνα ἐν ταῖς οὐρανίαις σου μοναῖς, ὅπου ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου, καὶ δώρησαι αὐτῷ ἄνεσιν εἰς τὸ παραστῆναι μετὰ δικαιοσύνης τῷ φοβερῷ σου βήματι μετὰ πάντων τῶν ἁγίων σου. ὁ Θεός, ὁ ἅγιος, ὁ δίκαιος καὶ φιλάνθρωπος, καὶ ὑπεράγαθος, ὁ συγχωρήσας διὰ Νάθαν τὸν προφήτην Δαβὶδ καί, πολυεύσπλαγχνε, δι' ἡμῶν τῶν εὐτελῶν δούλων σου, οὓς ἐδικαίωσας τῇ φιλανθρώπῳ σου φύσει μεσιτεύειν, τοὺς διὰ τῶν ἐγκλημάτων παροργίζοντάς σε, πρόσδεξαι ἡμῶν τῇ μεσιτείᾳ, ὑπεράγαθε Κύριε, καὶ ἀνάπαυσον τὴν ψυχὴν τοῦ κεκοιμημένου δούλου σου ὁ δεῖνα ἐν τόπῳ φωτεινῷ, ἐν τόπῳ χλοερῷ, ἐν τόπῳ ἀναψύξεως, ὁποῦ ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου, εὐφραίνει τοὺς ἀπ' αἰῶνος ἁγίους σου. Ὅτι σὺ εἶ ἡ ἀνάστασις, ἡ ζωὴ καὶ ἡ ἀνάπαυσις... Ἑτέρα εὐχὴ εἰς ἱερομονάχους. Μνήσθητι, Κύριε, τοῦ ἐπ' ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου κεκοιμημένου ἀδελφοῦ ἡμῶν ἱερομονάχου καὶ συλλειτουργοῦ, καὶ συγχώρησον αὐτοῦ πάντα τὰ πλημμελήματα, καὶ κατασκήνωσον αὐτόν, ὅπου ἀπέδρα ὀδύνη, λύπη καὶ στεναγμός, ἔνθα ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου, εὐφραίνει πάντας τοὺς ἀπ' αἰῶνος ἁγίους σου, χάρισαι αὐτῷ τὴν βασιλείαν σου τὴν οὐράνιον καὶ τὴν μέθεξιν τῶν ἀφράστων σου αἰωνίων σου ἀγαθῶν, καὶ μακαρίας ζωῆς τὴν ἀπόλαυσιν. Ὅτι σὺ εἶ ζωὴ καὶ ἡ ἀνάπαυσις... Εἶτα τροπάριον, ἦχος πλ. δ'. Ἀδελφοί μου ἀγαπητοί, μή μου ἐπιλάθεσθε, ὅταν ὑμνεῖτε τὸν Κύριον... Καὶ εὐθὺς τὰ ἰδιόμελα τοῦ κυροῦ Ἰωάννου τοῦ Δαμασκηνοῦ, ὧν ἡ ἀκροστιχίς· Πενθῶ, ἦχος δ'. Ποῦ ἔστιν ἡ τοῦ κόσμου προσπάθεια... Ἐπῆλθεν ὁ θάνατος, ὡς ἅρπαξ, ἐπῆλθεν ὁ φθορεύς... Νῦν ἄπνουν σε βλέποντες, θρηνοῦμεν... Θρῆνον ἐπ' ἐμοὶ μὴ ποιήσατε, ἄνθρωποι, θρῆνον γὰρ ἐπὶ νεκρὸν τελεῖσθαι οὐ γέγραπται... Ὡς ἔχομεν νῦν καιρὸν μετανοίας, ὡς ἔχομεν ἡμέραν πανηγύρεως... Δόξα καὶ νῦν, θεοτοκίον· Ἡ μόνη ἁγνὴ καὶ ἄχραντος... Ἕτερα στιχηρὰ προσόμοια τοῦ κυροῦ Θεοφάνους, πρὸς τὸ Ἔδωκας σημείωσιν. Ὄντως φοβερώτατον τὸ τοῦ θανάτου μυστήριον, κ. τ. λ. Goar. p. 441. Δόξα, Γένος τὸ ἀνθρώπινον πρὸς ἀφθαρσίαν ἀνόλεθρον ἐκ φθορᾶς ἀνακέκληται... Καὶ νῦν, Ῥήσεσιν ἑπόμενοι τῶν θεηγόρων... Καὶ εὐθὺς λέ-

γομεν τὸ παρὸν κοντάκιον εἰς ἦχον πλ. β'. Ὡς τῆς ζωῆς τῶν ἀνθρώπων καὶ τοῦ θανάτου ἐξουσιάζων... Καὶ ἐλθὼν ὁ ἀναγνώστης, ἵσταται ἐπάνω τοῦ λειψάνου, λέγων τοὺς οἴκους μετ' εὐλαβείας πρὸς ἀκρόασιν τῶν ἑστώτων ἀδελφῶν, ὧν ἡ ἀκροστιχίς· Ἀναστασίου τοῦ ταπεινοῦ αἶνος· Αὐτὸς μόνος ὑπάρχεις ἀθάνατος... Ἀλληλούια. Νουνεχῶς δυσωπῶ ἐπακούσατε... Ἀλληλούια и т. д. Goar. pag. 456—459. Послѣ Ἄρα πόσοι ἐξαίφνης слѣдують стихиры: Εἶδον ἐγὼ καὶ νήπιον θνήσκοντα καὶ ζωὴν τὴν ἐμὴν ἐταλάνησα... Ἀλληλούια. Νεανίδων χορὸς ὑπακούσατε καὶ μηκέτι καλῶς καλλωπίζεσθε, οὐκ ἀκούετε, πῶς μνημονεύομεν... Ἀλληλούια. Ὅταν ἄρχοντα ἴδωμεν κείμενον, τότε μέγα μυστήριον βλέπομεν... Ἀλληλούια. Συγκαιόμεθα μόνον ἀκούοντες... Ἀλληλούια. Εἶτα λέγομεν καὶ ἕτερον κοντάκιον εἰς ἦχον πλ. δ'. Τὸν μεταστάντα ἀφ' ἡμῶν ἐκ τῶν προσκαίρων... Ἀλληλούια. Καὶ εὐθὺς λέγομεν ἑτέρους οἴκους, ὧν ἡ ἀκροστιχίς· Ἰλαρίωνος τὰ ὅλα· Ἰδοὺ δὴ θεωρῶ τὸν ἐν βήματι, τῷ Χριστῷ λειτουργῶν, ὥσπερ ἄγγελος, νεκρὸν ὕπτιον ἤδη καὶ ἄφωνον... Ἀλληλούια. Λειτουργοὶ τοῦ Χριστοῦ μου, ἀκούσατε καὶ σὺν πόνῳ καρδίας θρηνήσατε... Ἀλληλούια. Ἄρα πάντες καὶ θῦται καὶ ἄρχοντες, βασιλεῖς καὶ δυνάσται πορεύονται... Ἀλληλούια. Ῥητορείαν οἱ ῥήτορες παύσατε, καὶ φιλόσοφοι πάντες σιγήσατε, φοβερὸν τοῦ θανάτου μυστήριον... Ἀλληλούια. Ἱερεῖς καὶ ὁ κλῆρος θρηνήσατε καὶ σὺν δάκρυσι τούτῳ πενθήσατε... Ἀλληλούια. Ὢ φρικτοῦ μυστηρίου, διάκονε, πῶς τοὺς πόδας σου ἄρτι ἐξήπλωσας... Ἀλληλούια. Νοεροῖς ὀφθαλμοῖς κατοπρίζεσαι τῆς Τριάδος τὴν δόξαν ὁ θεσπίσας... Ἀλληλούια. Οὐχ ὁρᾶτε, ὦ φίλοι, τοὺς θνήσκοντας, πῶς τιμήν, χρυσόν, πλοῦτον κατέλιπον... Ἀλληλούια. Σπίλους τούτου, Χριστέ μου, ἀφάνισον, ὡς Χριστὸς ἐλεήμων καὶ εὔσπλαγχνος... Ἀλληλούια. Τὸν ὡραῖον ὁρώμενος ἅπαντες πρὸς τὸν τάφον νυνὶ ἀπαγόμενον... Ἀλληλούια. Ἄρα λοιπὸν τὰ κάλλη τοῦ σώματος καὶ στολὰς χρυσοπάστοις κατέλιπεν... Ἀλληλούια. Οἱ σοφοὶ καὶ οἱ ῥήτορες τρέμουσι τοῦ θανάτου τὸ μέγα μυστήριον... Ἀλληλούια. Λειτουργοὶ τοῦ Χριστοῦ μου, ἀκούσατε καὶ ἡμεῖς τῷ θανάτῳ φοβήθητε... Ἀλληλούια. Ἀνυμνοῦμεν Παρθένε τὸν τόκον σου... Ἀλληλούια. Εἶθ' οὕτως ψάλλομεν τὰ τροπάρια ταῦτα μετὰ τῶν στίχων αὐτῶν, εἰς ἦχον β'. λέγοντες εἰς καθ' ἓν καὶ τὸ Ἡ ψυχὴ αὐτοῦ ἐν ἀγαθοῖς. Πάλαι μὲν ὁ Ἀδὰμ γευσάμενος... Goar. pag. 454—455. Εἰ βούλει, εἰπὲ καὶ ἕτερα τροπάρια, ἅπερ λέγονται εἰς τοὺς κοσμικοὺς μακαρισμούς, καὶ ἀντὶ τῶν στίχων τῶν μακαρισμῶν, λέγει τούσδε στίχους εἰς ἦχον πλ. β'. Μακάριος, ὃν ἐξελέξω. Καὶ εὐθὺς τὰ τροπάρια ταῦτα. Πρὸς τὸ Οἱ ὅσιοί σου παῖδες ἐν τῇ καμήνῳ. Λῃστὴν τοῦ παραδείσου, Χριστέ, πολίτην ἐπὶ σταυ-

ροῦ σοι βοήσαντα... Στίχος· Μακάριος ὃν... Ὁ ζωῆς κυριεύων καὶ τοῦ θανάτου ἐν ταῖς αὐλαῖς σου ἀνάπαυσον κ. τ. α... Εἶτα λέγομεν τὸν κβ΄ ψαλμὸν εἰς ἦχον, Κύριος ποιμαίνει με. Къ каждому стиху припѣвъ: Ἀλληλούια β΄. Καὶ εὐθὺς ἀρχόμεθα τὸ πρῶτον ἀντίφωνον τοῦ πλ. α΄. Ἐν τῷ θλίβεσθαί με Δαβιτικῶς κ. τ. α. Προκείμενον τοῦ ἀποστόλου, ἦχος πλ. δ΄. Πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι... Στίχος· Ἀλαλάξατε τῷ Κυρίῳ... Πρὸς Ῥωμαίους ἐπιστολῆς Παύλου· Ἀδελφοί, ὅσοι ἐβαπτίσθημεν εἰς Χριστὸν Ἰησοῦν... Τέλος· καὶ ἡμεῖς λογίζεσθε ἑαυτοὺς νεκροὺς μὲν εἶναι τῇ ἁμαρτίᾳ, ζῶντας δὲ τῷ Θεῷ ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. Ἀλληλουάριον, ἦχος πλ. β΄. Μακάριοι οὓς ἐξελέξω. Εὐαγγέλιον κατὰ Ἰωάννην· Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους· Ἐργάζεσθε μὴ τὴν βρῶσιν τὴν ἀπολλυμένην... Τέλος· καὶ ζωὴν διδοὺς τῷ κόσμῳ. Καὶ εὐθὺς μνημονεύει ὁ ἱερεύς, ἢ ὁ διάκονος· Ἐλέησον ἡμᾶς... Καὶ τὴν εὐχὴν ταύτην εἰς μοναχούς· Εὐχαριστοῦμέν σοι, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὅτι δίκαιος ὢν καὶ τοὺς δικαίους ἀγαπῶν, τοὺς δὲ ἁμαρτωλοὺς ἐλεῶν· οὐκ ἦλθες γὰρ καλέσαι δικαίους, τοὺς μὴ χρείαν μετανοίας ἔχοντας, ἀλλ' ὡς φιλάνθρωπος, ἦλθες καλέσαι ἁμαρτωλοὺς εἰς μετάνοιαν καὶ τοὺς πρὸ τελευτῆς διὰ μετανοίας πρὸς σὲ ἐρχομένους ἀγκαλίζει καὶ δέχεται. Εὐχαριστοῦμέν σοι, ὑπεράγαθε, ὅτι τοὺς ἀνετοίμως ἁρπαγέντας καὶ ἀμετανοήτους καὶ ἐν τῷ ᾅδη κατεχομένους, δι' ἐντεύξεως τῶν δούλων σου, ἀνύεις τῶν δεσμῶν καὶ λυτροῦσαι τοῦ σκότους, καὶ ἀνάγεις τῆς φυλακῆς, διὸ καὶ ἡμεῖς οἱ εὐτελεῖς δοῦλοί σου ἱκετεύομέν σε, εὐδιάλλακτε Κύριε, ἐπάκουσον ἡμῶν δεομένων σου, καὶ ὡς τὴν λαμπάδα ταύτην προσάγομεν, πρόσδεξαι, ὑπεράγαθε, τῇ συνήθει σου φιλανθρωπίᾳ καὶ ἀνάπαυσον τὴν ψυχὴν τοῦ δούλου σου, τοῦδε, καὶ ἄνες τῶν δεσμῶν, καὶ λύτρωσαι τοῦ σκότους, καὶ ἀνάγαγε τῆς φυλακῆς, καὶ κατάταξον αὐτόν, ὅπου οἱ δίκαιοί σου αὐλίζονται, καὶ ὅπου ἡ ἐπισκοπὴ τοῦ προσώπου σου εὐφραίνει πάντας τοὺς ἀπ' αἰῶνος ἁγίους σου. Ὅτι σὲ τὸν θεάνθρωπον Σωτῆρα καὶ λυτρωτὴν τῶν ψυχῶν ἡμῶν ὑμνοῦμεν καὶ δοξάζομεν σὺν τῷ ἀνάρχῳ σου Πατρί... Εἰ δὲ ἱερεὺς ἐστὶν ἢ ὡς ἱερομόναχος, ἔασον τὴν πρώτην, καὶ λέγε ταύτην· Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν τῇ σοφίᾳ σου πλαστουργήσας τὸν ἄνθρωπον καὶ πάλιν αὐτὸν εἰς γῆν ἀποστρέφειν νομοθετήσας διὰ τὴν ἁμαρτίαν, ὁ κατάγων εἰς ᾅδου καὶ ἀνάγων, ὁ ἀποκτενῶν καὶ πάλιν ζωοποιῶν, πρόσδεξαι τὴν ψυχὴν τοῦ δούλου σου, τοῦ ἀδελφοῦ ἡμῶν καὶ συλλειτουργοῦ ὁ δεῖνα, καὶ ἀνάπαυσον αὐτὸν ἐν κόλποις Ἀβραάμ, ἀνθ' ὧν ἐκοπίασεν, ἄρας τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθήσας σοι, ὡς ἐνετείλω καὶ ὥσπερ τῆς ἐπὶ γῆς ἐκκλησίας σου κατέστησας αὐτὸν λειτουργόν, οὕτω καὶ τοῦ ἐπουρανίου σου θυσιαστηρίου

ἀνάδειξον, Κύριε, ἀμείψασθαι αὐτὸν τοῖς πλουσίοις σου οἰκτιρμοῖς, καὶ εἴ τι, ὡς ἄνθρωπος ἥμαρτεν· σοὶ γὰρ μόνῳ τῷ ἀναμαρτήτῳ πρόσεστι, συγχώρησον, ὡς ἀγαθὸς καὶ ἀναμάρτητος Κύριος, καὶ ἀνάπαυσον αὐτὸν ἐν ταῖς μοναῖς τῶν ἁγίων σου, ἔνθα ἦχος καθαρὸς ἑορταζόντων. Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ.. Καὶ εὐθὺς λέγομεν τὸ παρὸν κάθισμα εἰς ἦχον πλ. α'. Γινώσκει ὁ Θεὸς ἡμῶν, ὅτι ἐν ἁμαρτίαις ἐγενόμεθα, διό σε ἱκετεύομεν... Εἶτα λέγομεν ἕτερα ἰδιόμελα τοῦ αὐτοῦ κυροῦ Ἰωάννου, ὧν ἡ ἀκροστιχίς· Οἶκτος, ἦχος πλ. α'. Οὐκ ἔστιν τῷ βίῳ τερπνὸν οὐδέν, ὃ οὐ παρελεύσεται, οὐ πλοῦτος, οὐ τυραννίς, οὐ νεότητος ἄνθος... Ἴασω τὴν συντριβή μου, Σῶτερ σαυτὸν κενώσας ὁ ὕψιστος· τῆς σῆς γὰρ ἐκπεπτωκὼς ἐντολῆς συνετρίβην.. Καθεῖλας τὴν τοῦ θανάτου ὀφρὺν τῷ σῷ πάθει, ἀναμάρτητε, γευσάμενος γὰρ τῆς ἀναμαρτήτου σου σαρκός Τὸ θεῖον καὶ ἀκατάληπτον φῶς, Χριστὲ πάντων καὶ ἀνάστασις... Ὁ μόνος τὰ τῶν ἀνθρώπων εἰδώς, Χριστέ, ἄδηλα καὶ κρύφια τὰς καρδίας ὁ ἐρευνῶν... Σὺ εἶπας, Χριστέ, ὁ πιστεύων εἰς ἐμέ, θάνατον οὐκ ὄψεται, καὶ ὡς ἐγὼ φῶς ἐκ φωτός, οὕτος λάμψουσι σὺν ἐμοὶ οἱ ζητοῦντές με... Ἕτερα ἰδιόμελα τοῦ αὐτοῦ ἄνευ τῆς ἀκροστιχίδος, ἦχος ὁ αὐτός· Ἐμνήσθην τοῦ προφήτου βοῶντος· ἐγώ εἰμι γῆ, σποδὸς καὶ πάλιν κατενόησα ἐν τοῖς μνήμασι... Στίχος· Ἑστῶτες ἦσαν... Σὺ εἶπας· ὁ πιστεύων εἰς σέ, Χριστέ, θάνατον οὐκ ὄψεται, ἀλλ' ὡς ἐγὼ ἐκ φωτὸς ἐν φωτὶ φῶς ὑπάρχω...Δόξα καὶ νῦν, Σὲ δυσωποῦμεν, ὡς Θεοῦ Μητέρα εὐλογημένη... Καὶ εὐθὺς λέγομεν τὰ προσόμοια τοῦ κυροῦ Θεοφάνους, ἦχος πλ. α'. Χαίροις ἀσκητικῶν. Αἴγλη τοῦ σοῦ προσώπου, Χριστέ, τὸν μεταστάντα, ὡς οἰκτίρμων, κατάταξον, σκηνώσας ἐν τόπῳ χλόης ἐπὶ ὑδάτων τῆς σῆς... Ψάλλειν παναρμονίῳ φωνῇ δοξολογοῦντα τὸ σὸν κράτος, εὐδοκήσας, οἰκτίρμων, τὸν μεταστάντα ἐκ τῶν προσκαίρων πρὸς σέ... Δόξα, Ὅπου τῶν προφητῶν ὁ χορὸς τῶν ἀποστόλων καὶ μαρτύρων τὰ τάγματα καὶ πάντων τῶν ἀπ' αἰῶνος δικαιωθέντων τῷ σῷ σωτηρίῳ πάθει καὶ τῷ αἵματι... Καὶ νῦν, θεοτοκίον· Νόμῳ τῆς ἁμαρτίας ἡμᾶς δεδουλωμένους ἠλευθέρωσας, Δέσποινα, ἐν μήτρᾳ... Καὶ εὐθὺς ψάλλομεν στιχηρὰ προσόμοια, ἦχος πλ. β'. Πρὸς τὸ Ἡ ἀπεγνωσμένη. Φοβερὸν τὸ τέλος τὸ τοῦ θανάτου καὶ φρικτὴ ἡ κρίσις ἡ τοῦ Δεσπότου· τὸ πῦρ γὰρ τὸ ἄσβεστον εὐτρέπισται ἐκεῖσε... Πάντες οἱ ἐν βίῳ προεστηκότες, δεῦτε ἐν τοῖς τάφοις ἐξεστηκότες ἐγκύψατε, ἴδετε τοῦ κόσμου τὴν ἀπάτην, ποῦ νῦν τὸ κάλλος καὶ ἡ δόξα τοῦ πλούτου... Νῦν ἐπὶ τὸν τάφον ὁ ἐπὶ θρόνον νῦν ὁ ἐν πορφύρᾳ φθορὰν ὑπέδη· οὐκ ἔστι ἐν θρόνῳ γάρ, ἀλλ' ἐν μνήματι κεῖται... Πάντας τοὺς ἐνθέως μετατεθέντας ἐπὶ αἰωνίου ζωῆς ἐπ' ἐλπίδι

καὶ βίον ἀλλάξαντας... Δόξα, ἦχος πλ. β'. Δεῦτε καὶ θεάσασθε ἅπαντες ξένον καὶ φρικτὸν θέαμα τοῖς πᾶσι γνωριζόμενον, τὴν εἰκόνα τὴν νῦν ὁρωμένην... Καὶ νῦν, θεοτοκίον· Πρεσβείαις τῆς τεκούσης σε... Εἶτα λέγομεν ἀντίφωνον β'. εἰς ἦχον πλ. β'. Τοῦ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς... Ἀλληλούια, Ἀλληλούια. Весь псаломъ съ припѣвомъ къ каждому стиху 2-жды Аллилуія. Καὶ οὕτω τοὺς ἀναβαθμοὺς τοῦ πλ. β'. ἤχου· Ἐν τῷ οὐρανῷ τοὺς ὀφθαλμούς μου αἴρω... Δὶς κ. τ. λ. Εἶτα λέγομεν τὸ προκείμενον τοῦ ἀποστόλου, ἦχος πλ. β'. Ἡ ψυχὴ αὐτοῦ ἐν ἀγαθοῖς. Πρὸς Θεσσαλονικεῖς πρώτης ἐπιστολῆς... Goar. p. 430. Εὐαγγέλιον κατὰ Ἰωάννην· Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους· ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς... Τέλος· καὶ ἐγὼ ἀναστήσω αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. Καὶ εὐθὺς μνημονεύει ὁ ἱερεὺς ἢ ὁ διάκονος οὕτως· Ἐλέησον ἡμᾶς, ὁ Θεός... Καὶ λέγει τὴν εὐχὴν εἰς μοναχούς. Τοῦ Κυρίου δεηθῶμεν. Ὁ ἀνεκδιήγητον εὐσπλαγχνίαν πλουτῶν Θεός, ὁ ἀμέτρητον ἔχων ἀγαθότητα, ὁ διὰ συγκατάβασιν ἄρρητον κλίνας τοὺς οὐρανοὺς καὶ καταβεβηκὼς ἐπὶ τῆς γῆς, καὶ ἐνανθρωπήσας διὰ τὴν κατάκριτον φύσιν τοῦ γένους ἡμῶν, ὁ σταυρὸν καὶ θάνατον ὑπομείνας καὶ τὴν τοῦ κόσμου ἁμαρτίαν ἀράμενος, καὶ τὰς ἀσθενείας βαστάσας ἡμῶν, ὁ τὴν τοῦ λῃστοῦ μετάνοιαν προσδεξάμενος, ὁ τὸν ἄσωτον υἱὸν ἀγκαλισάμενος ἐπιστρέφοντα, ὁ τὸν Μανασσῆν ἀνομήσαντα καὶ μεταμελησάμενον σεσωκώς, ὁ τὴν πόρνην δακρύσασαν συγχωρήσεως ἀξιώσας καὶ τοὺς ἀμέτρως πταίσαντας καὶ ἐξ ὅλης ἐπιστρέφοντας καρδίας τῶν ἁγίων σου συντάξας χοροῖς, οὕτω καὶ σὲ τὸν κατὰ πνεῦμα ἀδελφὸν τόνδε ἐφ' οἷς, ὡς ἄνθρωπος σάρκα φορῶν ἐπλημμέλησας, εὐμενῶς προσδέξαιτο καὶ λύσιν σοι τῶν ἐν τῷ βίῳ τούτῳ ἡμαρτημένων ἐκ νηπίας ἡλικίας καὶ μέχρι τελευταίας ἀναπνοῆς σου χαρίσαιτο (καὶ) καταξιῶσαι καὶ τῆς ἀϊδίου αὐτοῦ βασιλείας εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Εὐχὴ ἑτέρα εἰς ἱερομονάχους· Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς ἡμῶν, ὅτι σου μόνου ἐστὶ τὸ ζῆν ἀθάνατον καὶ ἡ δόξα ἀκατάληπτος, καὶ ἡ φιλανθρωπία ἄφατος, καὶ ἡ βασιλεία ἀδιάδοχος, καὶ οὐκ ἔστι προσωποληψία παρὰ σοί· πᾶσι γὰρ ἀνθρώποις κοινὸν τὸν θάνατον ἔταξας, τῶν ὅρων τῆς ζωῆς πληρωθέντων, διὸ ἱκέτευε, Δέσποτα Κύριε, τὸν δοῦλόν σου ὁ δεῖνα ἀδελφὸν ἡμῶν καὶ συλλειτουργὸν γενόμενον, τὴν εἰς σὲ πίστιν καὶ ὁμολογίαν ὀρθὴν ἐσχηκότα καὶ ἀδιάληπτον καὶ ἐπ' ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου κοιμηθέντων, ἐν κόλποις Ἀβραὰμ ἀνάπαυσον, καὶ ὥσπερ τῆς ἐπὶ γῆς ἐκκλησίας σου κατέστησας αὐτὸν λειτουργόν, οὕτω καὶ τοῦ ἐπουρανίου σου θυσιαστηρίου ἀνάδειξον, Κύριε· πνευματικῇ γὰρ ἀξίᾳ ἐπ' ἀνθρώπων ἐκόσμησας, ἐπὶ ἀγγέλων τῆς σῆς δόξης, ἀναμάρτητε, καταξίωσον. Αὐτὸς ἐπὶ γῆς τὴν ζωὴν

ἡμῶν ἐδόξασας καὶ τῇ μοναδικῇ πολιτείᾳ κατεκόσμησας, Αὐτὸς καὶ τὴν ἔξοδον αὐτοῦ ἐν τῇ τῶν ἁγίων σου εἰσόδῳ δικαίωσον, τὸ πνεῦμα αὐτοῦ μετὰ πάντων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων συναριθμῶν. Ὅτι σὺ εἶ ἡ ἀνάστασις, ἡ ζωὴ καὶ ἡ ἀνάπαυσις τοῦ κεκοιμημένου δούλου σου τοῦδε, Χριστέ... Καὶ εὐθὺς λέγομεν τροπάρια, ἦχος πλ. β'. Αἰφνίδιος ἐπέστη ἐπ' ἐμὲ ὁ θάνατος καὶ ἐχώρησέ με τῶν ἰδίων μου σήμερον... Δόξα, Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον... Καὶ νῦν, Τῆς εὐσπλαγχνίας τὴν πύλην. Καὶ οὕτως ψάλλομεν τὰ ἰδιόμελα τοῦ κυροῦ Ἰωάννου τοῦ Δαμασκηνοῦ, ὧν ἡ ἀκροστιχίς· Τετρασύλλαβος τοῦ ἀλφαβήτου ἦχος πλ β'. Ἀρχή μοι καὶ ὑπόστασις τὸ πλαστουργόν σου γέγονε πρόσταγμα... Ἐτίμησας εἰκόνι σου τὸ τῶν χειρῶν σου, Σῶτερ, πλαστούργημα... Ἵνα μου τὸ ἀξίωμα τοῖς τῶν λοιπῶν ζώων διακρίνοιτο... Νόμον μοι, ὥσπερ φύλακα ἀρτιγεννεῖ παιδί σου παρέδωκας... Ῥήματί σου τὸν δείλαιον παρακοήν μου, Σῶτερ, διήλεγξας... Φορέσας με τὸν ἄνθρωπον, ὡς συμπαθὴς Θεὸς καὶ φιλάνθρωπος, χωρισθέντα δεινῶς δὲ τῆς ποίμνης σου... Ἕτερα τοῦ αὐτοῦ, ὧν ἡ ἀκροστιχίς· Ἄλγος. Ἄλγος τῶν Ἀδὰμ ἐχρημάτισεν ἡ τοῦ ξύλου ἀπόγευσις πάλαι ἐν Ἐδέμ, ὅτι ὄφις ἰὸν ἐξηρεύξατο... Λόγος τοῦ Θεοῦ ἐνυπόστατος νηπιᾶσαι εὐδόκησαι, σάρκα προσλαβὼν καὶ ψυχὴν νοερὰν αὐτεξούσιον... Γένος τῶν ἀνθρώπων βοήσωμεν, ὀρθοδόξως λατρεύοντες μίαν ἀληθὴν τρισυπόστατον φύσιν θεότητος... Ὄντως ματαιότης τὰ σύμπαντα· καὶ γὰρ μάτην ταράττεται πᾶς γηγενὴς θησαυρίζων πυρὸς ὑπεκκαύματα... Δόξα καὶ νῦν, θεοτοκίον· Σὺ εἶ πηγὴ τῆς ζωῆς ἡμῶν καὶ ἀνάστασις, Κύριε, φῶς τε τῶν πιστῶν... Ἕτερα στιχηρὰ προσόμοια τοῦ κυροῦ Θεοφάνους, ἦχος ὁ αὐτός· Ὅλην ἀποθέμενοι. Ἔχων ἀκατάληπτον τὴν εἰς ἡμᾶς εὐσπλαγχνίαν καὶ πηγὴν ἀκένωτον... Νέκρωσιν ὑπέμεινας ζωοποιῶν ἑκουσίως καὶ ζωὴν ἐπήγασας καὶ τρυφὴν ἀΐδιον πιστοῖς δέδωκας... Ζώντων κυριεύοντα θεαρχικῇ ἐξουσίᾳ καὶ νεκρῶν δεσπόζοντά σε, Χριστέ, γινώσκοντες ἱκετεύομεν... Καὶ νῦν, Ὤφθης ἐνδιαίτημα θεοπρεπές, Παναγία, καὶ Θεὸν ἐχώρησας καὶ ἁγνὴ διέμεινας μετὰ γέννησιν... Καὶ εὐθὺς ψάλλομεν καὶ ἕτερα προσόμοια, ἦχος ὁ αὐτός, Ἡ ἀπεγνωσμένη. Θεοποιηθέντες τῇ μεταστάσει τῷ ζωοποιῷ σου νῦν μυστηρίῳ πρὸς σὲ μεταβέβηκεν ὁ θεῖος λειτουργός σου... Ξένον τὸ μυστήριον τοῦ θανάτου· ἐπεισέρχεται γὰρ πᾶσιν ἐν ἀωρίᾳ, ἡ φύσις λυμένεται.. Πεπολιτευμένος ἐν εὐσεβείᾳ καὶ κεκοσμημένος ὁ ἱερεύς σου, ὁ θύτης τῶν θείων μυστηρίων... Δόξα καὶ νῦν, θεοτοκίον· Θεὸν ἐκ σοῦ σαρκωθέντα ἔγνωμεν, Θεοτόκε Παρθένε... Καὶ εὐθὺς ψάλλομεν ἀντίφωνον γ'. ἦχος, Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου, Κύριε τῶν δυνάμεων... Ἀλληλούια, Ἀλληλούια. Весь псаломъ съ припѣвомъ: Ἀλληλούια 2-жды. Καὶ εὐθὺς τὸ α'. ἀντίφωνον τοῦ βα-

ρέως ἤχου· Τὴν αἰχμαλωσίαν Σιών... κ. τ. λ. Προκείμενον τοῦ ἀποστόλου· Ἡ ψυχὴ αὐτοῦ ἐν ἀγαθοῖς... Πρὸς Κορινθίους β'. ἐπιστολῆς Παύλου· Ἀδελφοί, οὐ θέλομεν ὑμᾶς ἀγνοεῖν... Τέλος· διὰ πολλῶν εὐχαριστηθῇ ὑπὲρ ἡμῶν. Καὶ ψάλλομεν τὸ Ἀλληλούια. Εὐαγγέλιον κατὰ Ἰωάννην· Εἶπεν ὁ Κύριος πρὸς τοὺς πεπιστευκότας αὐτῷ Ἰουδαίους· ὁ τρώγων μου τὴν σάρκα... Τέλος· Καὶ ἐγὼ ἀναστήσω αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. Καὶ μνημονεύει ὁ ἱερεὺς ἢ ὁ διάκονος· Ἐλέησον ἡμᾶς, ὁ Θεός... κ. τ. λ. Καὶ λέγει τὴν εὐχὴν ταύτην εἰς μοναχούς· Ὁ προαιώνιος Θεός, ἡ τοῦ ἐλέους πηγή, τὸ τῆς ἀγαθότητος πέλαγος, ἡ τῆς εὐσπλαγχνίας ἀνεξιχνίαστος ἄβυσσος, ὁ διὰ τὴν πολλήν σου φιλανθρωπίαν καὶ τὴν πρὸς ἡμᾶς σου ἄμετρον ἀγάπην μέχρι καὶ δούλου μορφῆς ἑαυτὸν κενώσας, καὶ πάσης πνευματικῆς φωτοχυσίας πληρώσας τὴν ἡμετέραν φύσιν, ἐξαίρετον δὲ δωρεὰν ἡμῖν χαρισάμενος, τὴν τῶν ἁμαρτημάτων διὰ μετανοίας συγχώρησιν ἐπὶ γῆς διὰ τῶν μαθητῶν καὶ ἀποστόλων, εἰπὼν αὐτοῖς· ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας ἀφίενται αὐτοῖς· ἄν τινων κρατῆτε, κεκράτηνται, καὶ δι' αὐτῶν τοῖς ἐς ὕστερον ποιμέσι καὶ διδασκάλοις τὴν τοιαύτην δηλαδὴ ἐξουσίαν παρασχών, ὁ ταύτην τοίνυν τὴν χάριν ὑπὸ πολλῆς ἀγαθότητος ἀλληλοπαρόχως καὶ μέχρις ἡμῶν τῶν ταπεινῶν καὶ εὐτελῶν διαβιβάσας. Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, συγχώρησον τὸν κεκοιμημένον δοῦλόν σου τόνδε, καὶ ἄφες αὐτῷ πάντα τὰ ἑκούσια καὶ ἀκούσια αὐτοῦ πταίσματα, τὰ ἐν γνώσει καὶ ἀγνοίᾳ, τὰ ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ, τὰ πρόδηλα, τὰ λανθάνοντα, ὅσα πνευματικοῖς πατράσιν ἐξήγγειλε καὶ τὴν κατὰ δύναμιν μετάνοιαν ἐν αὐτοῖς ἐπεδείξατο, καὶ ὅσα κατὰ λήθην ἢ καὶ αἰσχύνην ἀπέκρυψε καὶ ἀνεξαγόρευτα ἴσως μετείασε, καὶ ταῦτα συγχώρησον, ὁ ἀμνησίκακος και ἐλεήμων Θεός, καὶ σύνταξον αὐτὸν τοῖς ἐκ δεξιῶν σου προβάτοις ἐν τῇ φοβερᾷ καὶ δικαίᾳ σου κρίσει τῆς ἐξετάσεως καὶ τῆς ἀνταποδώσεώς σου τῆς δικαίας, πρεσβείαις τῆς πανυπεράγνου σου Μητρὸς τῶν θεοιδῶν ἀγγέλων καὶ ἐπουρανίων σου δυνάμεων, καὶ πάντων τῶν ἁγίων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων. Ὅτι σὺ εἶ ἡ ἀνάστασις καὶ ἡ ζωὴ καὶ ἡ ἀνάπαυσις τοῦ εν μακαρίᾳ τῇ μνήμῃ γενομένου ἀειμνήστου δούλου σου, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν... Ἑτέρα εὐχὴ εἰς ἱερομονάχους· Ὁ Θεὸς ἡμῶν, ὁ δημιουργὸς καὶ εὐεργέτης ἁπάσης τῆς κτίσεως, ὁ κατασκευάσας τὸν ἄνθρωπον ἐκ σώματος αἰσθητοῦ τε καὶ χοϊκοῦ καὶ νοερᾶς καὶ ἀθανάτου ψυχῆς, ὁ τιμήσας αὐτὸν αὐτεξουσιότητι καὶ τῇ κατ' εἰκόνα καθομοιώσει ἐπὶ τῆς γῆς καὶ ἀξιοπρεπῆ νομοθετήσας αὐτῷ τὴν διαγωγήν, καὶ ἀνομήσαντι μὲν θάνατον ἐπάγων τὸ ἐπιτίμιον πρὸς σωφρονισμὸν αὐτοῦ, διὰ δὲ τὴν πολλήν σου φιλανθρωπίαν οἰκονομήσας αὐτῷ ζωὴν ἀκατάλυτον διὰ θανάτου καὶ ἀναστάσεως, βιώσαντι αὐτῷ κατὰ τὰς

θείας σου ἐντολὰς καὶ ἐκ πλημμελιῶν ἐπιστρέψαντι καὶ αὐτὴν τὴν τῆς βασιλείας ἀπόλαυσιν χαρισάμενος, διὰ ἔλεος ἄφατον. Αὐτὸς καὶ τὸν δοῦλόν σου τόνδε ἱερέα καὶ μοναστὴν τοῦ σοῦ ἐλέους ἀξίωσον, καὶ εἴ τινας ποτὲ φωνὰς ἱκετηρίους ἀφῆκε σοι, ταύτας δὴ προσδεξάμενος, ἀνάπαυσον αὐτοῦ τὴν ψυχήν, κατατάξας ἐν οὐρανοῖς, ἔνθα τὸ φῶς τοῦ προσώπου σου, ἔνθα ἡ ἄρρητος δόξα, ἡ ὄντως εὐφροσύνη καὶ ἀψευδὴς ἀγαλλίασις, ἐν δὲ τῇ παλιγγενεσίᾳ καὶ τὸ αὐτοῦ σῶμα τῷ πνεύματι συναγαγὼν καὶ ἀφθαρτήσας, καθὼς ὥρισας τὴν μετουσίαν τὴν ἡτοιμασμένην τοῖς δικαίοις, ὅρισον τῷ ἱκέτῃ σου τῷδε ὁ Χριστὸς Δεσπότης καὶ συμπαθὴς πάντα τοῦ δούλου σου τὰ πταίσματα καὶ τὰς ἁμαρτίας αὐτοῦ πάσας ἐξαφανίσας τῷ ἀπείρῳ πελάγει τῆς εὐσπλαγχνίας σου. Σὺ γὰρ εἶ καὶ ἡ ἀνάστασις καὶ ἡ ἀνάπαυσις, καὶ ἡ ζωή, καὶ τρυφὴ τοῦ δούλου σου, Κύριε, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν... Εἶτα λέγομεν τὸ παρὸν τροπάριον, ἦχος βαρύς· Ἐν χώρᾳ ζώντων, Κύριε, καὶ ἐν σκηναῖς τῶν δικαίων σου ἀνάπαυσον τὸν δοῦλόν σου... Δόξα, Ψυχήν, ἣν προσελάβου, Σωτὴρ τοῦ κόσμου... Καὶ νῦν, θεοτοκίον· Τὸ χαῖρε, σοὶ κραυγάζομεν σὺν τῷ ἀγγέλῳ, θεόνυμφε... Εἶτα ταῦτα τὰ ἰδιόμελα τοῦ κυροῦ Ἰωάννου τοῦ Δαμασκηνοῦ, ὧν ἡ ἀκροστιχίς· Κλαυθμός, ἦχος βαρύς· Κατ' εἰκόνα σὴν καὶ ὁμοίωσιν πλαστουργήσας κατ' ἀρχάς... Λύει ἅπασαν τὴν φύσιν ἡμῶν, μεταδοθεὶς ἐκ τοῦ Ἀδὰμ ὁ θάνατος... Ἀναβλέψωμεν καὶ κατίδωμεν τοὺς ἀστέρας τοῦ οὐρανοῦ... Ὕπνος ἔστω καὶ οὐ θάνατος τὸ τελούμενον νεκροῖς μυστήριον... Θέσθω ἕκαστος βίον εὔχρηστον ἐν τῇ καρδίᾳ ἑαυτοῦ ποιήσασθαι... Μὴ θρηνήσωμεν, ὃν ὁ Κύριος ἐξ ἡμῶν μετέστησεν... Ὁ Θεὸς ἡμῶν, ὁ τὸν ἄνθρωπον ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι παραγαγών... Δόξα καὶ νῦν, θεοτοκίον· Σέ, Θεοτόκε, τεῖχος ἄρρηκτον καὶ ἐλπίδα... Ἕτερα στιχηρὰ προσόμοια τοῦ κυροῦ Θεοφάνους, ἦχος ὁ αὐτός, πρὸς τὸ Καταφρονήσαντες πάντες. Νενεκρωμένος ὡράθης ἐπὶ σταυροῦ, μόνε ἀθάνατε... Τῷ ἀκηράτῳ σου κάλλει καὶ γλυκασμῷ... Ὡς ἀδαπάνητον ἔχων τῶν δωρεῶν τὴν μεγαλοπρέπειαν... Νόμου τὸ πλήρωμα τίκτεις τὸν λυτρωτὴν σάρκα γενόμενον... Καὶ εὐθὺς ψάλλομεν στιχηρὰ προσόμοια, ἦχος πλ. δ'. Ὁ ἐν Ἐδὲμ παραδείσῳ. Δεῦτε πρὸ τέλους, πάντες ἀδελφοί, τὸν χοῦν ἡμῶν βλέποντες... Τί ἀπατᾶται ἄνθρωπος αὐχῶν... Ὁ τῇ χειρί σου πλάσας τὸν Ἀδάμ... Χριστὸς ἀνέστη, λύσας τῶν δεσμῶν Ἀδὰμ τὸν πρωτόπλαστον... Δόξα καὶ νῦν, Ὁρῶντές με ἄφωνον καὶ ἄπνουν... Καὶ νῦν, θεοτοκίον· Πρεσβείαις τῆς τεκούσης σε, Χριστέ... Εἶτα λέγομεν τὸ α'. ἀντίφωνον τοῦ πλ. δ'. ἤχου. Ἐκ νεότητός μου ὁ ἐχθρός με πειράζει... δίς κ. τ. λ. Καὶ εὐθὺς λέγομεν τὸ προκείμενον τοῦ ἀποστόλου εἰς ἦχον(?) Ψάλλατε τῷ Θεῷ ἡμῶν... Στίχος· Πάντα τὰ ἔθνη κροτήσατε. Πρὸς Κοριν-

θίους πρώτης ἐπιστολῆς· Ἀδελφοί, γνωρίζω ὑμῖν τὸ εὐαγγέλιον... Τέλος· οὕτω κηρύσσομεν καὶ οὕτω ἐπιστεύσατε. Ἀλληλουάριον, ἦχος γ'. Ἐπὶ σοί, Κύριε, ἤλπισα... Γενοῦ μοι εἰς Θεὸν ὑπερασπιστήν. Εὐαγγέλιον κατὰ Ἰωάννην· Τῷ καιρῷ ἐκείνῳ, ἦν τις ἀσθενῶν Λάζαρος ἀπὸ Βηθανίας... Τέλος· Καὶ θεασάμενοι, ἃ ἐποίησεν ὁ Ἰησοῦς, ἐπίστευσαν εἰς αὐτόν. Καὶ εὐθὺς μνημονεύει ὁ ἱερεὺς ἢ ὁ διάκονος, λέγων· Ἐλέησον ἡμᾶς κ. τ. λ. Λέγει τὴν εὐχὴν ταύτην εἰς μοναχούς· Βασιλεῦ ἅγιε, εὔσπλαγχνε, ὑπεράγαθε, πολυέλεε Κύριε ὁ Θεὸς ἡμῶν, τὸ πνεῦμα τῆς ἀληθείας, ὁ μὴ θέλων τὸν θάνατον τοῦ ἁμαρτωλοῦ ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν, παρακλήθητι ἐπὶ τὴν δέησιν ἡμῶν τῶν ἁμαρτωλῶν ὑπὲρ τοῦ δούλου σου τοῦδε, καὶ συγχώρησον αὐτῷ, καὶ ἀπόλυσον τῆς μάστιγος, καὶ ἄνες τῶν ἀνιαρῶν καὶ ἀνάγαγε τοῦ σκότους, καὶ ἔκβαλε τῆς φυλακῆς· καὶ γὰρ ἐπηγγείλω, Δέσποτα φιλάνθρωπε, εὐδιάλλακτε Κύριε, ὅτι ὅσα ἂν αἰτήσητε τὸν Πατέρα ἐν τῷ ὀνόματί μου, δώσει ὑμῖν, οὕτω καὶ ἡμεῖς αἰτοῦμεν τὸ ὑπεράπειρον ἔλεος τῆς σῆς ἀγαθότητος, καὶ ἱκετεύομεν τὴν ἄρρητόν σου φιλανθρωπίαν, ὅτι Θεὸς ὤν, ἀπαθὴς ἄνθρωπος ἐγένου καὶ ἐμαστίχθης, καὶ σταυρὸν καὶ θάνατον ὑπὲρ ἡμῶν ὑπέμεινας, καὶ τὸ τίμιόν σου αἷμα ὑπὲρ ἡμῶν ἐξέχεας, ἵνα πάντας σώσῃς ἡμᾶς, ταύτην δὲ τὴν πολλήν σου καὶ ὑπεράγαθον ἀγαθότητα ἐχέγγυον ἔχοντες, δεόμεθά σου, προσφέροντες ταύτην τὴν ὁλοκαύτωσιν ὑπὲρ ἀφέσεως καὶ συγχωρήσεως τῶν ἁμαρτιῶν τῆς ψυχῆς τοῦ κεκοιμημένου δούλου σου τοῦδε, πρόσδεξαι αὐτὸν τῇ συνήθει σου φιλανθρωπίᾳ, καὶ ἀνάπαυσον αὐτὸν ἐν σκηναῖς τῶν δικαίων σου, καὶ ὅπου τὸ φῶς τοῦ προσώπου σου καταλάμπει τοῖς ἀπ' αἰῶνος τὰ δικαιώματά σου ἀπ' ἀρχῆς μέχρι τέλους φυλάξουσι, πρεσβείαις καὶ ἱκεσίαις τῆς ἀρρυπάρως συλλαβούσης καὶ τεκούσης σε καθ' ὑπόστασιν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, προστασίαις τῶν τιμίων ἐπουρανίων δυνάμεων ἀσωμάτων, τοῦ τιμίου ἐνδόξου προφήτου Προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων, τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων μαρτύρων, τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν, καὶ πάντων σου τῶν ἁγίων, οὓς αἰσθανόμεθα πρὸς σὲ πολλὴν παρρησίαν ἔχοντας, ὡς πολλὰ κοπιάσαντας καὶ χάριν τοῦ πρεσβεύειν ὑπὲρ ἡμῶν παρὰ σοῦ κομισαμένους συμπρεσβευτὰς προσλαβόμενοι ταύτην τὴν ἱκετηρίαν ὑπὲρ ἀνέσεως τῆς ψυχῆς τοῦ κεκοιμημένου δούλου σου τοῦδε προσάγομεν, καὶ εἰ διὰ τὰ πολλὰ ἡμῶν ἁμαρτήματα παραβλέπεις τὴν δέησιν ἡμῶν, εἰς τοὺς κόλπους τῶν ἁγίων μαθητῶν σου καὶ τῶν ἁγίων σου μαρτύρων ἐπίβλεψον, καὶ δὸς συγγνώμην τῇ θεϊκῇ σου δυνάμει, καὶ ἐλευθέρωσον αὐτὸν τῆς ζοφώδους καὶ σκοτεινοτάτης κολάσεως καὶ τῶν πικρῶν τυράννων καὶ κολαστῶν δαιμόνων. Ὅτι σὲ τὸν Σω-

τῆρα καὶ λυτρωτήν, τὸν δι' ἡμᾶς σταυρωθέντα ἐλευθερωτὴν τῆς ἀφεγγοῦς καὶ πικρᾶς κολάσεως γινώσκομεν, θεάνθρωπε Κύριε, καὶ δόξαν σοι ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι... Ἑτέρα εὐχὴ εἰς ἱερομονάχους· Ὁ ὢν καὶ προὼν καὶ διαμένων εἰς τοὺς αἰῶνας, Κύριε, ὁ ὑπὸ πάσης νοητῆς οὐσίας δοξαζόμενος, ὁ εὐδοκήσας παρὰ τῆς ἀνθρωπίνης εὐτελείας εὐχὰς καὶ θυμιάματα προσφέρεσθαί σοι τῷ παναγίῳ ὀνόματι. Μνήσθητι, ὁ Θεὸς ἡμῶν, τοῦ ἀναπαυσομένου ἀδελφοῦ ἡμῶν τοῦδε καὶ συλλειτουργοῦ καὶ λύτρωσαι αὐτὸν τῆς δυσώδους ἁμαρτίας διὰ τῆς σῆς ἀγαθότητος, καὶ ἐλέους καὶ φιλανθρωπίας ἐν ἡμέρᾳ κρίσεως καταξίωσον. Ὅτι σὺ εἶ ἡ ἀνάστασις καὶ ἡ ζωὴ καὶ ἡ ἀνάπαυσις τοῦ κεκοιμημένου δούλου σου, Χριστὲ ὁ Θεός.. Εἶτα λέγομεν τὸ παρὸν τροπάριον εἰς ἦχον δ'. πρὸς τὸ Ταχὺ προκαταλαβέτωσαν. Ψυχήν, ἣν μετέστησας ἐκ τῶν προσκαίρων... Δόξα, τὸ αὐτό, Καὶ νῦν, θεοτοκίον ὅμοιον· Ταχὺ δέξαι, Δέσποινα, τὰς ἱκεσίας ἡμῶν... Εἶτα ψάλλομεν στιχηρὰ ἰδιόμελα τοῦ κυροῦ Ἰωάννου τοῦ Δαμασκηνοῦ, ὧν ἡ ἀκροστιχίς· Θρηνῶ, ἦχος πλ. δ'. Θρηνῶ καὶ ὀδύρομαι, ὅταν ἐννοήσω τὸν θάνατον... Ῥευστοί, πῶς γεγόναμεν, ἄφθαρτον εἰκόνα φορέσαντες... Ἰῷ τοῦ ὄφεως καὶ συμβουλῇ τῆς θεώσεως πτερνισθέντες... Νεότητα σφριγῶσαν φείδεται οὐδόλως ὁ θάνατος.. Ὢ ποῖον ποτήριον μένει τοῖς βροτοῖς ἀπαραίτητον... Δόξα καὶ νῦν, Ἁγνὴ Παρθένε τοῦ Λόγου... Ἕτερα στιχηρὰ κατὰ ἀλφάβητον τοῦ αὐτοῦ κυροῦ Ἰωάννου τοῦ Δαμασκηνοῦ, ὧν ἡ ἀκροστιχίς· Τετρασύλλαβος, ἦχος πλ. δ'. Ἀμέτρητος ὑπάρχει τοῖς ἀσώτως βιοῦσιν ἡ κόλασις... Ἐβρόντησεν ἡ σάλπιγξ, ὡς ἐξ ὕπνου νεκροὶ ἀναστήσονται... Ἰδοὺ καὶ τὰ στοιχεῖα οὐρανὸς καὶ γῆ ἀλλαγήσονται... Νενέκρωται ὁ Ἅδης τοῦ Χριστοῦ ἀναστάντος, θαρσεῖτε, νεκροί... Ῥυσάμενος, Λόγε, τῶν παθῶν τῷ τιμίῳ παθήματι... Δόξα καὶ νῦν, θεοτοκίον· Φανεὶς ἐκ τῆς Παρθένου παρθενίαν, Σωτήρ μου, ἐδόξασας... Ἕτερα στιχηρὰ προσόμοια τοῦ κυροῦ Θεοφάνους, ἦχος ὁ αὐτός, Ὢ τοῦ παραδόξου. Βασιλικῶς μοι ὑπέγραψας ἐλευθερίαν βαφαῖς ἐρυθραῖς... Ἱεραρχήσας, ὡς ἄνθρωπος, σφαγιασθεὶς σαυτόν, προσφορὰν προσενήνοχας τῷ Πατρὶ καὶ Πνεύματι... Βάθει σοφίας ἀρρήτου σου ὁροθετεῖς τὴν ζωήν... Λόγος ὑπάρχων ἀοράτως ὁμοφυὴς τῷ Πατρὶ καὶ τῷ Πνεύματι σύνθρονος... Καὶ νῦν, θεοτοκίον· Ὡς συλλαβοῦσα τὸν ἄναρχον Λόγον Θεοῦ καὶ Πατρός... Εἶτα λέγομεν τὸ προκείμενον τοῦ ἀποστόλου εἰς ἦχον βαρύν· Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος... Στίχος· Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ... Πρὸς Ἑβραίους ἐπιστολῆς· Ἀδελφοί, μνημονεύετε τῶν ἡγουμένων ὑμῶν... Τέλος· τοιαύταις γὰρ θυσίαις εὐαρεστεῖται ὁ Θεός. Ἀλληλουάριον, Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται... Στίχος· Μακάριος ἀνὴρ ὁ

φοβούμενος... Εὐαγγέλιον κατὰ Ἰωάννην· Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· οὕτως ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον... Τέλος· ὅτι ἐν Θεῷ ἐστὶν εἰργασμένα. Εἶτα μνημονεύει ὁ ἱερεὺς ἢ ὁ διάκονος, ὡς σύνηθες· Ἐλέησον ἡμᾶς... κ. τ. α. Καὶ λέγομεν τὴν εὐχὴν ταύτην εἰς μοναχούς. Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν. Καὶ ὁ ἱερεὺς τὴν εὐχήν· Μνήσθητι, Κύριε ὁ Θεὸς ἡμῶν, τοῦ ἐν πίστει καὶ ἐλπίδι ζωῆς αἰωνίου. Goar. p. 437. Ὅτι σὺ εἶ ἡ ἀνάστασις, ἡ ζωὴ καὶ ἡ ἀνάπαυσις τοῦ ἐν μακαρίᾳ τῇ μνήμῃ γενομένου ἀειμνήστου δούλου σου τοῦδε, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν... Εὐχὴ ἑτέρα εἰς ἱερομονάχους· Ὁ μέγας ἀρχιερεὺς καὶ δίκαιος κριτής, Κύριε Ἰησοῦ Χριστέ. См. выше стр. 480—481. Ὅτι σὺ εἶ ἡ ἀνάστασις, ἡ ζωή... (что выше). Καὶ μετὰ τὴν ἐκφώνησιν, ψάλλουσιν οἱ ἱερεῖς τὸ κοντάκιον· Μετὰ τῶν ἁγίων ἀνάπαυσον ... Καὶ ἐλθὼν ὁ ἀναγνώστης ἵσταται ἐπάνω τοῦ λειψάνου, λέγων τοὺς οἴκους μετ' εὐλαβείας πρὸς ἀκρόασιν τῶν ἑστώτων ἀδελφῶν, ὧν ἡ ἀκροστιχίς· Τοῦ ταπεινοῦ Ῥωμανοῦ ψαλμός· Τοῖς τοῦ βίου τερπνοῖς ἐνητένιζον λογισμῷ θεωρῶν τὰ γενόμενα καὶ σκοπήσας αὐτῶν τὰ ἐπώδυνα... Ἀλληλούια. Οὐδὲ ἕνα βροτὸν εὗρον ἄλυπον· ὁ γὰρ κόσμος ἑκάστοτε τρέπεται... Ἀλληλούια. Ὑψαυχεῖ κατὰ πένητος πλούσιος κατεσθίων αὐτοῦ πᾶσαν ὕπαρξιν· κοπιᾷ γεωργὸς καὶ ὁ κτήτωρ τρυγᾷ... Ἀλληλούια. Τοὺς ἀγάμους ἐλπίδες συγκόπτουσι τοὺς ἐν γάμῳ φροντίδες συντήκουσι... Ἀλληλούια. Ἁλμυρὰ τῆς θαλάττης τὰ κύματα γλυκερὰ τῇ κοιλίᾳ τὰ βρώματα... Ἀλληλούια. Πειρατὰς καὶ χειμῶνας καὶ κλύδωνας περαιοῦνται οἱ χρήματα στέργοντες... Ἀλληλούια. Ἵνα δὲ συνελὼν εἴπω, ἅπαντα τὰ ἐν κόσμῳ σὺν κόσμῳ παρέρχονται· ὅταν γὰρ πάντα βίον κερδήσωμεν... Ἀλληλούια. Νῦν εἰσὶν ἐν ἡμῖν οἱ βοῶντες συχνῶς, κἂν μὴ τῷ στόματι, ἀλλὰ τῷ πνεύματι... Ἀλληλούια. Ὅμως μέντοι οὐ πάντες ἐχώρησαν, ὃ προσέταξε πᾶσιν ὁ Κύριος... Ἀλληλούια. Ὑπεκκαίω ὑμῶν τὴν προαίρεσιν πρὸς τὸ ψάλλειν καὶ τέρπειν τὸν Κύριον... Ἀλληλούια. Ῥύπον βίου καλῶς ἀπεφύγετε καὶ πηγῇ καθαρᾷ προσεφύγετε τῶν ἀσάρκων τὸν βίον ζηλώσαντες... Ἀλληλούια. Ὧν τὸν βίον καλῶς ἀπεφύγετε, τούτων νῦν καὶ τὴν μνήμην μισήσατε... Ἀλληλούια. Μὴ ἀλλήλων ἁπλῶς κατεπαίρεσθε· τί γὰρ ἔχεις φύσιν... Ἀλληλούια. Ἀλλ' ἐρεῖ τις· ἐγὼ περισσότερον, ὡς εἰδὼς τὰς γραφάς, ἔχω καύχημα, τί οὖν ὁ ἁλιεὺς Πέτρος ἔμαθεν.. Ἀλληλούια. Νευρωθῶμεν τῇ πίστει σφιγγόμενοι οἱ τὰ σώματα ἀποταξάμενοι· οἱ μισοῦντες ἡμᾶς οὐ καθεύδουσιν... Ἀλληλούια. Ὁ εἰπών· ἐγώ εἰμι ἄμπελος καὶ ὑμεῖς μου ὑπάρχεται κλίματα... Ἀλληλούια. Ὑπεισῆλθε πολλάκις τὸν κάμνοντα ἀδελφὸν καὶ φησί· τί εἰς μάτην μοχθεῖς, ἰδοὺ ἄλλος μὴ κάμνων πρωτεύει σου... Ἀλληλούια. Ψυχικῶς τὸν κανόνα ποθήσατε, ὃν καλῶς καὶ φρονί-

μως τηρήσατε μετ' ἀλλήλων μὴ ἀμφιβάλλετε... Ἀλληλούια. Ἂν ὁ νοῦς σου ποτὲ σκανδαλίζει σε ἐρεθίζων καὶ σὲ πρὸς τὴν ἔξοδον καὶ φησί· τί ἐνταῦθα ἐγκέκλεισαι... Ἀλληλούια. Λέγει πάλιν πρὸς σὲ καὶ πῶς δύνασαι τὸν κανόνα τελεῖν τοῦ μονάζοντος... Ἀλληλούια. Μετὰ τῶν ἐργατῶν, ὧν ἐκάλεσεν ἔνδον τοῦ ἀμπελῶνος ὁ Κύριος τοῦ καμεῖν... Ἀλληλούια. Ὁ καιρὸς τῆς ζωῆς ἡμῶν ἔφθασεν· ὁ γὰρ Κύριος τάχιον ἔρχεται... Ἀλληλούια. (Εἰς ἡγούμενον)· Σὺ οὖν, Δέσποτα, ὡς παντοδύναμος, τὴν ζωὴν ἡμῶν πάντων κυβέρνησον... Ἀλληλούια. Παναγία Παρθένε ἀνύμφευτε, ἡ τεκοῦσα τὸ φῶς τὸ ἀπρόσιτον... Καὶ μετὰ τοὺς οἴκους εὐθὺς οἱ μακαρισμοὶ εἰς ἦχον· Ἐν τῇ βασιλείᾳ σου... κ. τ. λ. Μνήσθητι, εὔσπλαγχνε, καὶ ἡμῶν, καθὼς ἐμνημόνευσας τοῦ λῃστοῦ... Goar. p. 445. Δόξα, Ἄναρχον Πατέρα καὶ τὸν Υἱὸν σύναρχον, Πνεῦμα ἐκπορευτόν... Καὶ νῦν, θεοτοκίον· Πάντες μακαρίζομέν σε, ἁγνή... Εἶτα λέγομεν τὸ προκείμενον ἀποστόλου εἰς ἦχον α'. Τὸ στόμα μου λαλήσει σοφίαν... Στίχος· Ἀκούσατε ταῦτα πάντα... Πρὸς Ἑβραίους ἐπιστολῆς Παύλου· Ἀδελφοί, τοιοῦτος ἡμῖν ἔπρεπεν ἀρχιερεύς... Τέλος· καὶ τῆς σκηνῆς τῆς ἀληθινῆς, ἣν ἔπηξεν ὁ Κύριος, καὶ οὐκ ἄνθρωπος. Ἀλληλουάριον, ἦχος β'. Στόμα δικαίου ἀποστάζει... Στίχος· Ὁ νόμος τοῦ Θεοῦ αὐτοῦ ἐν καρδίᾳ. Εὐαγγέλιον κατὰ Ἰωάννην· Εἶπεν ὁ Κύριος πρὸς τοὺς πεπιστευκότας πρὸς αὐτὸν Ἰουδαίους· Ἀμήν, Ἀμὴν λέγω ὑμῖν· ὁ τὸν λόγον μου ἀκούων... Τέλος· ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με Πατρός. Καὶ εὐθὺς μνημονεύει ὁ ἱερεὺς ἢ ὁ διάκονος, λέγων οὕτως· Ἐλέησον ἡμᾶς... Εἶτα λέγει καὶ τὴν εὐχὴν ταύτην εἰς μοναχούς. Τοῦ Κυρίου δεηθῶμεν. Ἅγιε Κύριε, ὁ ἐν ἁγίοις ἀναπαυόμενος καὶ ὀλιγοψύχοις διδοὺς παραμυθίαν, ὁ ἀνελλιπὴς θησαυρὸς τῶν ἐλπιζόντων ἐπὶ σέ, ὁ ζωοποιῶν τοὺς νεκροὺς καὶ καλῶν τα μὴ ὄντα, ὡς ὄντα, ὁ τῶν προσκαίρων ἡμᾶς ἀπαλλάξας καὶ τῶν ἀθανάτων ποιήσας τυχεῖν. Αὐτὸς καὶ νῦν, Δέσποτα, ἀνάπαυσον τὴν ψυχὴν τοῦ δούλου σου τοῦδε μοναχοῦ, καὶ δώρησαι αὐτῷ τὴν ἐν κόλποις Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ τῶν ἠγαπημένων σου ἀνάπαυσιν, φυλάττων αὐτὸν εἰς τὴν μέλλουσαν σὴν δόξαν ἀποκαλύπτεσθαι, καὶ καταξίωσον αὐτὸν καταντῆσαι εἰς τοὺς αἰωνίους λιμένας, οὓς ἡτοίμασας τοῖς ἀγαπῶσί σε. Σὺ γὰρ εἶ ἡ ἀνάστασις, ἡ ζωὴ καὶ ἡ ἀνάπαυσις... Εὐχὴ ἑτέρα εἰς ἱερομονάχους· Ὁ ἀτελεύτητος Θεός, ὁ ἐν ἔργοις ἀγαθοῖς δημιουργήσας τὸν ἄνθρωπον καὶ πρὸς τὴν ἐντεῦθεν διαγωγὴν καὶ τὴν ἐκεῖθεν ἀμοιβὴν χαρισάμενος τὸν μεθ' ἡμῶν συνοικήσαντα ἱερέα καὶ ἐξ ἡμῶν ἐκδημήσαντα, λήθην ποιούμενος καὶ ἡμῶν τὸν βίον ἐν γαλήνῃ ἐξάγαγε. Σὺ γὰρ εἶ ἡ ἀνάπαυσις τοῦ κεκοιμημένου δούλου σου τοῦδε ἱερέως καὶ ἀδελφοῦ ἡμῶν, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν...

Ἰστέον, ὅτι εἰ μὲν ἱερατικῆς γέγονε τάξεως ὁ κεκοιμημένος, ἡ θεία καὶ ἱερὰ μυσταγωγία τελεῖται. Ἀρξαμένης τῆς ἱερουργίας, αἴρουσι τὸ λείψανον ἐκ τοῦ μέσου καὶ εἰσφέρουσιν ἐν τῷ νάρθηκι, καὶ ὅταν εἴπῃ ὁ ἱερεύς· Ὅσοι κατηχούμενοι, προέλθετε, τότε πάλιν ἐπαίρουσιν αὐτὸν ἐκ τοῦ νάρθηκος καὶ φέρουσιν ἐν τῷ μέσῳ τοῦ ναοῦ ἕως οὗ πληρωθῇ ἡ θεία μυσταγωγία. Μετὰ δὲ τὴν ὀπισθάμβωνον εὐχήν, γίνεται ὁ ἀσπασμὸς καὶ τὰ λοιπά. Εἶτα γίνεται ὁ ἀσπασμός, καὶ (τούτου) γενομένου, ψάλλομεν τὰ τροπάρια ταῦτα εἰς ἦχον β'. Πρὸς τὸ Ὅτε ἐκ τοῦ ξύλου... Δεῦτε τελευταῖον ἀσπασμὸν δῶμεν, ἀδελφοί, τῷ θανέντι... Δεῦτε τελευταῖον ἀσπασμὸν δῶμεν, ἀδελφοὶ καὶ πατέρες, τὸν χθὲς ἡμῖν ἱλαρῶς συναγελαζόμενον... Δεῦτε, ἀδελφοὶ πνευματικοί, ἴδωμεν τὸ πέρας τοῦ βίου... Δεῦτε τῷ τῆς λήθης, ἀδελφοί, καὶ τῆς ἀμελείας θανάτῳ, ὅσοι ἐκπνεύσωμεν... Δεῦτε ἐν τῷ τάφῳ, ἀδελφοί, βλέψωμεν τὴν τέφραν... Δεῦτε τελευταῖον ἀσπασμὸν δῶμεν, ἀδελφοί, τῷ θανέντι, εὐχαριστοῦντες Χριστῷ... Ποῖος χωρισμός, ὦ ἀδελφοί, ποῖος κοπετός... Τρέμω τὸ κριτήριον, Χριστέ, καὶ τὴν ἐν τῷ βήματι γύμνωσιν τῶν πταισμάτων μου... Πᾶσα τῶν ματαίων ἡ ἐλπὶς καὶ τῶν ἐπιγείων ἡ δόξα καὶ πλάνη σβέννυται... Ὁ μὴ τὸν σταυρὸν ἀναλαβὼν σοι ἀνεπιστρόφῳ καρδίᾳ κατηκολούθησε, Κύριε... Μέγας ὁ κλαυθμὸς καὶ ὀδυρμός, μέγας στεναγμὸς καὶ ὀδύνη ὁ χωρισμὸς τῆς ψυχῆς ᾄδης... Σχῆμα μοναστῶν ἀναλαβών, μάκαρ, ἀδιστάκτῳ καρδίᾳ κατηκολούθησας τῷ τὴν ἀπολύτρωσιν βροτοῖς παρέχοντι... Δεῦτε τελευταῖον ἀσπασμὸν δῶμεν, ἀδελφοὶ καὶ πατέρες, τὸν πρὸ μικροῦ μεθ' ἡμῶν... Ἔχων τὴν ἐλπίδα εἰς Θεόν, τὸν μονήρη βίον ἐπόθησας, κόσμον κατέλιπες... Ξένος γεγονὼς τῶν συγγενῶν καὶ τῶν ἐν τῷ βίῳ φροντίδων... Πάντες δυσωποῦμέν σε, Χριστέ, νῦν ἐν κατανύξει βοῶντες... Δεῦτε τελευταῖον ἀσπασμὸν δῶμεν, ἱερεῖς, τῷ θανέντι τὸν πρὸ μικροῦ μεθ' ἡμῶν καὶ συλλειτουργὸν ἡμῶν ἄπνουν ὁρῶντες νεκρόν... Δεῦτε, ἱερέων, ὁ χορός, δῶμεν ἀσπασμὸν μετὰ θρήνων, ὀλολυζόμενοι πόθῳ ἀσπαζόμενοι τὴν τούτου χεῖρα νυνί... Ἤδη ἐν τῷ βήματι ἑστώς, τῶν πλημμελημάτων τὴν λύσιν καὶ ἁμαρτημάτων ζητῶν, Κύριον ἐκραύγαζες... Δεῦτε, οἱ ἀπόγονοι Ἀδάμ, ἴδωμεν εἰς γῆν βεβλημένον τὸν ἱερέα Θεοῦ... Θρήνῳ, ἱερέων ὁ χορός, καὶ σὺν πόνῳ καρδίας καταδακρύσωμεν... Πάντες οἱ ὁρῶντες τὸν νεκρόν, πόθῳ νῦν ἀσπάσασθε, φίλοι ἀγαπητοὶ καὶ γνωστοί... Μόνος κραταιὸς καὶ δυνατός, μόνος φοβερὸς ἐν ἰσχύϊ ὑπάρχων, Κύριε... Εἰς ἡγούμενον· Ποίμνης ἐπιστάτης γεγονώς, Πάτερ, λογικὴν ἐπὶ χλόην ταύτην ἀσκήσεως... τριαδικόν· Μίαν ὑποστάσεσι τρισσεύοντα θεότητα πίστει παντουργικῇ σε, Τριὰς θεία, τῇ προστάξει σου τὸν μεταστάντα πιστῶς... θεοτοκίον· Σῶζε τοὺς ἐλπίζοντας εἰς σέ, Μήτηρ τοῦ ἀδύτου ἡλίου... Δόξα, ἦχος πλ. β'. Ἀδελφοί

*

л. 267. Апостолы и евангелія надъ мертвыми. Конца въ рукописи не достаетъ.

**LXXII.** № 972 Εὐχολόγιον, ркп. Синайск. библ. въ 16 долю листа, 430 листовъ, писана четкимъ почеркомъ XV вѣка. Начальныхъ листовъ нѣтъ.

л. 1. „Διάταξις τῆς θείας λειτουργίας" начинается съ конца проскомидіи. Изложеніе, за весьма незначительными особенностями, сходно съ ркп. Ватоп. библ. № 133. *Н. Красносельцевъ.* „Матеріалы для исторіи чинопослѣдованія литургіи св. I. Златоустаго", в. I, стр. 36—78.

л. 10 Параклисисъ въ честь Богоматери.

л. 18. Апостольскія и евангельскія чтенія на годъ.

л. 157 об. 11 утреннихъ евангельскихъ чтеній.

л. 169 об. Εὐχαὶ τοῦ λυχνικοῦ. Goar. p. 28—29.

л. 173 об. Εὐχαὶ τοῦ ὄρθρου. Goar. p. 39—42, но опущена девятая молитва.

л. 179 об. Εὐχὴ εἰς θεμέλιον ναοῦ.

л. 180. Εὐχὴ εἰς ὕδωρ μιανθέν.

л. 180 об. Εὐχὴ εἰς εὐλόγησιν οἴνου.

л. 181. Εὐχὴ ἐπὶ ἀποδημούντων.

л. 181 об. Εὐχὴ ἐπὶ ἐξομολογουμένων.

л. 182. Εὐχὴ ἐπὶ παντὸς εἴδους μιανθέντος.

л. 183. Ἀκολουθία τοῦ βαπτίσματος.

Εὐχὴ εἰς τὸ κατασφραγίσαι παιδίον, λαμβάνον ὄνομα τῇ ὀγδόῃ ἡμέρᾳ τῆς αὐτοῦ γεννήσεως. См. выше стр. 491.

Τῇ δὲ τεσσαρακοστῇ ἡμέρᾳ πάλιν προσάγεται τῷ ναῷ ἐπὶ τῷ ἐκκλησιασθῆναι... См. Прилож. стр. 7—8, но безъ замѣчанія: „εὐχή, ἣν ποιεῖ ὁ ἱερεύς, μέλλων εἰσάξαι τὴν λεχὼ εἰς τὴν ἐκκλησίαν, вмѣсто котораго въ концѣ чина имѣемъ слѣдующую прибавку: Καὶ μετὰ τὸ Ἀμὴν σφραγίζει τὸ μέτωπον αὐτοῦ καὶ τὸ στόμα καὶ τὸ στῆθος, λέγει· Τὸ δὲ παιδίον ηὔξανε καὶ ἐκραταιοῦτο Πνεύματι, καὶ οὕτως ὁ ἀνάδοχος λαμβάνει αὐτὸ καὶ ἐξέρχεται.

л. 186. Ἀκολουθία εἰς τὸ ποιῆσαι κατηχούμενον, ἤγουν βάπτισμα.

Λύει ὁ ἱερεὺς τὴν ζώνην τοῦ μέλλοντος φωτισθῆναι... См. Прилож. 20—21. Отрицанія изложены, какъ въ ркп. М. Син. библ. № 279. Прилож. стр. 11, но безъ раздѣленій и безъ прибавленія: Συντάσσομαι τῷ Χριστῷ καὶ βαπτίζομαι. Послѣ ектеньи прибавлено: εἶτα τὰς εὐχάς.

Τάξις ἑτέρα τῶν εὐχῶν τοῦ ἁγίου βαπτίσματος, ἃς ποιεῖ ὁ πατριάρχης προηγησαμένων τῶν εἰρημένων, μάλιστα δὲ τῷ μεγάλῳ σαββάτῳ ἑσπέρας. Goar. p. 292—293. Слич. Прил. стр. 13—15. Въ концѣ разница: Καὶ χρίει αὐτὸν τῷ μύρῳ σταυροειδῶς ἐν τῷ μετώπῳ, ἐν τῷ στήθει, εἰς τὰς ῥίνας, καὶ τὰ ὦτα, τὴν κοιλίαν, τοὺς νεφρούς, λέγων· Σφραγὶς δωρεᾶς Πνεύματος ἁγίου. Ἀμήν. Καὶ εὐθὺς οἱ ψάλται· Ὅσοι εἰς Χριστόν... Εὐλογητὸς ὁ Θεός, ὁ φωτίζων καὶ ἁγιάζων... Καὶ μεταδίδωσιν αὐτῷ τῶν ἁγίων μυστηρίων καὶ ἀπολύει. Καὶ εὐθὺς ἀπέρχεται ἐν τῷ οἴκῳ αὐτοῦ, ψαλλόντων τῶν παρεπομένων· Ὅσοι εἰς Χριστόν... Καὶ μεθ' ἡμέρας ἑπτὰ πάλιν φέρουσιν αὐτὸν ἐν τῇ ἐκκλησίᾳ εἰς τὸ ἀπολοῦσαι. Ἐν δὲ τῷ πατριαρχείῳ παρὰ τοῦ πατριάρχου, ὡς προείρηται, τῷ μεγάλῳ σαββάτῳ γίνεται ἡ βάπτισις. Μετὰ τὴν εὐχὴν τοῦ μύρου, ἀποδύεται τὴν στολὴν τῶν βαπτισμάτων καὶ βάλλει τῆς λειτουργίας, καὶ ἐξέρχεται ἐν τῷ ἀδύτῳ τοῦ βαπτιστηρίου, καὶ τοῦ ψάλτου λέγοντος· Ὅσοι εἰς Χριστόν... χρίει τοὺς βαπτισθέντας τῷ ἁγίῳ μύρῳ, ποιῶν σταυροῦ τύπον ἐπὶ τοῦ μετώπου καὶ τῶν ὀφθαλμῶν, καὶ τῶν μυκτήρων, καὶ τοῦ στόματος, καὶ τῶν δύο ὤτων, καὶ τοῦ στήθους, καὶ τῆς κοιλίας, καὶ τῶν νεφρῶν, λέγει· Σφραγὶς δωρεᾶς Πνεύματος ἁγίου. Καὶ μετὰ τοῦτο συμψάλλων τοῖς λοιποῖς τὸ Μακάριοι ὧν ἀφέθησαν... εἰσέρχεται μετὰ τοῦ νεοφωτίστου εἰς τὴν εἴσοδον καὶ τελειοῖ ἀκολουθίαν τῆς θείας λειτουργίας.

л. 21. Εὐχὴ εἰς τὸ ἀπολοῦσαι τὸν νεοφώτιστον τῇ ὀγδόῃ ἡμέρᾳ. См. выше стр. 492—493.

л. 201 об. Εὐχὴ εἰς τὸ κουρεῦσαι παιδίον. Тамъ же.

л. 203. Чтенія апостольскія и евангельскія въ честь общихъ святыхъ.

л. 207. Ἀκολουθία τῆς γονυκλισίας. Goar. p. 597—601.

л. 218. Ἀκολουθία τοῦ μεγάλου ἁγιασμοῦ.

л. 226 об. Ἀκολουθία τοῦ μικροῦ ἁγιασμοῦ. См. выше стр. 285.

л. 233 об. (Λειτουργία) τῶν προηγιασμένων.

л. 242. Ἡ θεία λειτουργία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου.

л. 264. Ἡ θεία λειτουργία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου.

л. 247 об. Ἀκολουθία τοῦ ἁγίου ἐλαίου.

Συναχθέντων ἑπτὰ πρεσβυτέρων ἐν ἐκκλησίᾳ ἢ ἐν οἴκῳ, προτίθεται ἐν τῷ μέσω τετράπους καὶ ἐπάνω αὐτοῦ σκεῦος τι ἔχον σῖτον καὶ κανδήλαν μετὰ οἴνου καὶ ἐλαίου, ἐν ἑτέρῳ ἀγγείῳ καὶ μολιβίδας ζ'. καὶ εὐλογοῦντος τοῦ ἱερέως, ψάλλεται ψαλμὸς ρμβ'. Κύριε, εἰσάκουσον, εἶτα τὸ Θεὸς Κύριος, τροπάριον, ἦχος πλ. β'. Ἐλέησον ἡμᾶς, Κύριε... Δόξα, Κύριε, ἐλέησον ἡμᾶς, Καὶ νῦν, Τῆς εὐσπλαγχνίας, ὁ Ν'. κανών, οὗ ἡ ἀκροστιχίς αὐτή· Εὐχὴ ἐλαίου ψαλμὸς ἐξ Ἀρσενίου. Goar. p. 332, στιχηρά, ἦχος δ'. Ἔδωκας τὴν χάριν σου... p. 334—335. Εἶτα προσέρχεται ὁ μέλλων ποιῆσαι τὸ ἅγιον ἔλαιον καὶ ποιεῖ κατὰ ἀνατολὴν μετανοίας γ'. καὶ εἰς τοὺς ἱερεῖς ἑτέρας, λέγει· Εὐλογήσατε, δέσποται ἅγιοι, συγχωρήσατέ μοι τῷ ἁμαρτωλῷ, εἴ τι ἥμαρτον ἐν λόγῳ, ἐν ἔργῳ, ἐν γνώσει, καὶ εὔξασθε ὑπὲρ ἐμοῦ. Γενομένης δὲ τῆς συγχωρήσεως, σταθεὶς ὁ πρῶτος ἔμπροσθεν τοῦ τετραποδίου, λέγει· Ἐν εἰρήνῃ. Goar. p. 335 καὶ τὴν εὐχήν· Κύριε, ὁ ἐν τῷ ἐλέει καὶ τοῖς οἰκτιρμοῖς... Ibid. Ὁμοίως λέγουσι ταῦτα καὶ ποιοῦσι καὶ οἱ λοιποί, εἶτα θεοτοκία κατ' ἦχον· Μητέρα σε Θεοῦ... Εὐσπλαγχνίας ὑπάρχουσα... Ἕκαστος, ὅπου σώζεται.. Τῇ Θεοτόκῳ ἐκτενῶς... Τὴν ταχεῖαν σου σκέπην καὶ τὴν βοήθειαν... Πολλὰ τὰ πλήθη τῶν ἐμῶν, Θεοτόκε, πταισμάτων... Ὡς ἔχουσα τὸ συμπαθὲς εἰς τὴν ἀσθένειαν ἡμῶν... Ἡ νοητὴ πύλη τῆς ζωῆς ἡμῶν... Εἶτα λέγει ὁ πρῶτος· Πρόσχωμεν. Прокимны, апостолы, евангелія и молитвы тѣже, что въ ркп. № 473. Дмитріевскій. Прилож. 123—134, прим. Послѣ послѣдней молитвы: „Εὔσπλαγχνε πολυέλεε"... εἶτα ἀλείφεται ὑπὸ τῶν ἱερέων, λεγόντων καὶ τὴν εὐχὴν ταύτην χαμηλᾷ τῇ φωνῇ· Πάτερ ἅγιε ἰατρέ... καὶ ἀσπάζεται ὁ ἀδελφὸς τὸ ἅγιον εὐαγγέλιον. Ψαλλομένου δὲ τοῦ τροπαρίου τούτου· Τῶν σῶν δωρεῶν καὶ τοῦ ἑτέρου· Πηγὴ ἰαμάτων... συναλείφονται παρ' ἀλλήλων οἱ ἱερεῖς, καὶ ἀλείφουσι καὶ τοὺς παρεστῶτας πάρεξ τοῦ, δι' ὃν τὸ εὐχέλαιον γέγονεν, εἶτα λέγει ὁ πρῶτος· Ἐλέησον ἡμᾶς... Ἔτι δεόμεθα κατὰ τὸ μέγα ἔλεός σου... Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ὑγείας... Ὅτι ἐλεήμων... Καὶ ποιεῖ ἀπόλυσιν, τροπάριον ἦχος δ'. Πηγὴν ἰα-

μάτων ἔχοντες... Πάτερ ἅγιε, ἰατρὲ ψυχῶν... Goar. p. 338. Именъ святыхъ въ молитвѣ нѣтъ.

л. 308. Ἀκολουθία εἰς ἀρχάριον ῥασοφοροῦντα. См. выше стр. 276.

л. 309. Ἀκολουθία εἰς κουρὰν μανδυώτου. См. выше стр. 276—278, но въ концѣ имѣетъ отличіе. Послѣ одѣянія, читается молитва: Κύριε, Κύριε, ἡ δύναμις τῆς σωτηρίας ἡμῶν.. Goar. p. 379 καὶ ἀσπάζεται τὸ εὐαγγέλιον καὶ ἅπαντας ἀδελφοὺς καί, εἰ μέν ἐστι λειτουργία, Δόξα, καὶ λέγει κοντάκιον τῆς ἡμέρας καὶ καθεξῆς τὰ ἕτερα, καὶ εἰ ἔστι καὶ ὁ ἀδελφὸς ἄξιος, μεταλαμβάνει τῶν θείων μυστηρίων καὶ εἰσοδεύει εἰς τὰ ἅγια, εἰ δὲ οὐκ ἔστι λειτουργία, γίνεται ἐκτενὴ καὶ ἀπόλυσις. Εἶτα ἀδελφός τις κουρεύει αὐτόν, ψάλλων τὸν Ἄμωμον. Сн. выше стр. 416.

л. 316. Ἀκολουθία τοῦ μεγάλου καὶ ἀγγελικοῦ σχήματος. См. выше стр. 278, но послѣ евангелія, какъ выше стр. 259.

л. 342 об. Ἀκολουθία εἰς τὸ ἀποκουκουλίσαι. См. выше стр. 388. Σημειωτέον εἰς κανονικάς· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὴν παρθενίαν οὕτως ἀγαπήσας... Goar. p. 382.

л. 344. Ἀκολουθία τοῦ ἐξοδιαστικοῦ. См. выше стр. 282, но въ концѣ, послѣ евангелія, имѣетъ нѣсколько иныхъ стихиръ.

л. 369. Ἀκολουθία εἰς μνημόσυνα νεκρῶν. Чинъ панихиды съ канономъ: Θανάτῳ τὸν θάνατον τοῦ Χριστοῦ.

л. 375. Апостольскія и евангельскія чтенія.

л. 407 об. Ἀκολουθία τῆς ἀνομβρίας (неокончено).

л. 408. Молитвы надъ сосудомъ съ виномъ и др.

л. 409. Εὐχὴ ἐπὶ τρυγητοῦ ἀμπέλου.

л. 409 об. Εὐχὴ ἐπὶ ψυχοῤῥαγοῦντα.

л. 410. Εὐχὴ ἐπὶ εὐλογίαν οἴκου.

л. 410 об. Εὐχὴ ἐπὶ μετανοούντων.

л. 411. Εὐχὴ ἐπὶ πυρεττόντων.

л. 411. Εὐχὴ ἐπὶ λογισμῶν αἰσχρῶν.

л. 412. Εὐχή, λεγομένη ἐν κολύβοις ἁγίων μνήμης.

л. 412 об. Εὐχὴ ἐπὶ πλεόντων.

— Εὐχὴ εἰς τὸ κατασκευάσαι πλοῖον.

л. 413. Εὐχὴ εἰς ἄγραν ἰχθύων.

л. 413 об. Εὐχὴ εἰς τὸ φυτεῦσαι.

л. 414. Εὐχὴ ἐπὶ σεισμοῦ.

л. 415. Εὐχὴ ἐπὶ μεταλαμβάνοντας, λεγομένη πρὸ τῆς ἁγίας μεταλήψεως.

л. 417. Εὐχὴ ἐπὶ πᾶν εἶδος ἀῤῥωστίας.

— Εὐχὴ ἐπὶ βρώμασι σκανδαλισθέντων.

л. 417 об. Εὐχὴ ἐπὶ ὀρύξει φρέατος καὶ βρύσεως.

л. 418. Εὐχὴ ἐπὶ ἀνομβρίας. 3 молитвы.

л. 420. Εὐχὴ ἐπὶ μιαροφαγήσαντας.

л. 420 об. Εὐχὴ εἰς ἀδελφοποίησιν.

л. 421. Εὐχὴ ἐπὶ τῶν μετανοούντων καὶ εἰς ἐξαφορισμὸν τοῦ Μεγάλου Βασιλείου.

Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ Υἱὸς τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου... Goar. p. 536.

л. 422. Εὐχὴ ἐπὶ τῶν ἀλόγως ὑπό τινων ἀφοριζομένων, ἢ λόγῳ δεσμευόντων.

л. 423. Εὐχὴ ἐπὶ τῶν προπετῶς ὀμνυόντων.

— Εὐχὴ ἐπὶ σπόρου ἀρχῆς.

л. 423 об. Εὐχὴ ἐπὶ θέρους.

л. 424. Εὐχὴ εἰς ἅλωνα.

— Εὐχὴ ἐπὶ τοῖς ἀπὸ ἔχθρας εἰρηνεύουσιν.

л. 425. Ἀκολουθία εἰς ψυχοῤῥαγοῦσαν καὶ κρινομένην ψυχὴν καὶ δεῖ λίαν ἐξελθεῖν ἐκ τοῦ σώματος. Goar. p. 585—587.

л. 428. Εὐχὴ εἰς τεκνοποίησιν.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ διὰ τοῦ ἠγαπημένου Παιδός σου, Κυρίου δὲ ἡμῶν Ἰησοῦ Χριστοῦ... p. 561.

л. 429. Апостолъ и евангеліе на канунѣ Рождества Христова.

**LXXIII.** № 988. Εὐχολόγιον σὺν Θεῷ ἁγίῳ, περιέχον τὴν ἅπασαν ἀκολουθίαν τοῦ ὅλου ἐνιαυτοῦ. Ркп. той же библ. въ 4 долю, 261 листъ, писана четкимъ почеркомъ XV в.

л. 1. Εὐχαὶ τοῦ λυχνικοῦ, ἃς λέγει μυστικῶς ὁ ἱερεύς.

Молитвъ девять и десятая на главопреклоненіе. На пятомъ мѣстѣ стоитъ молитва: Εὐλογητὸς εἶ, Κύριε ὁ Θεὸς παντοκράτωρ, ὁ ἐπιστάμενος τὸν νοῦν τῶν ἀνθρώπων, на шестомъ и седьмомъ, по Гоару, пятая и шестая, на восьмомъ—Εὐχὴ τῆς εἰσόδου и на девятомъ—Εὐχὴ μετὰ τὴν εἴσοδον· Ὁ Θεὸς ὁ μέγας καὶ ὕψιστος, ὁ μόνος ἔχων ἀθανασίαν. Goar. p. 29.

л. 6. Εὐχαὶ τοῦ ὄρθρου. Goar. p. 39—42.

л. 12 об. Εὐχαὶ τοῦ μεγάλου ἑσπερινοῦ· Σῶσον, ὁ Θεός, τὸν λαόν σου... κ. τ. λ. Goar. p. 32—34.

л. 15 об. Εὐχή, λεγομένη εἰς μνήμην ἁγίων, εἰς τὴν Παναγίαν· Σοὶ τῷ ἀληθινῷ καὶ φιλανθρώπῳ Θεῷ ἡμεῖς, οἱ ἁμαρτωλοὶ καὶ ἀνάξιοι δοῦλοί σου... Goar. p. 569.

л. 6. Εὐχή, ἣν (λέγει) ὁ ἱερεὺς ἐπὶ τὸν μέλλοντα μεταλαβεῖν τῶν ἁγίων μυστηρίων.

Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, Υἱὲ καὶ Λόγε τοῦ Θεοῦ τοῦ ζῶντος, ποιμὴν ὑπάρχων καὶ ἀμνός... Goar. p. 536.

л. 18 об. Εὐχὴ ἑτέρα· Ἔκλινε τὸν αὐχένα ὁ σὸς δοῦλος ὁ δεῖνα, ὁ ἀπεκδεχόμενος τὰ παρὰ σοῦ πλούσια ἐλέη... См. выше стр. 496.

л. 19. Εὐχὴ ἐπὶ ἐξομολογουμένων.

л. 19 об. Εὐχὴ ἐπὶ αἰσχρῶν λογισμῶν.

л. 20. Εὐχὴ ἐξ ἐπιτιμίων λυομένων.

л. 20 об. Εὐχὴ εἰς θεμέλιον ναοῦ.

л. 21. Εὐχή, λεγομένη ἐπὶ σπορᾶς.

л. 21 об. Εὐχὴ ἐπὶ θέρους.

л. 22. Εὐχὴ ἐπὶ ἅλωνα.

Ὁ Θεὸς τῶν ὅλων ποιητὴς καὶ πάντων δημιουργός.... См. выше стр. 525 καὶ ἐλαίου αὐτοῦ πληθυνθήσεταί σου τοῦ μεταδίδειν ὀρφανοῖς καὶ πτωχοῖς προθύμως καὶ χήραις καὶ πένησιν. Ὅτι εὐλόγηται καὶ δεδόξασται.

л. 22 об. Εὐχὴ ἑτέρα εἰς ἅλωνα

Ἡ πηγὴ τῶν ἀγαθῶν, Δέσποτα παμβασιλεῦ καὶ εὐεργέτα τῶν σῶν ποιημάτων... Goar. p. 523.

л. 23. Εὐχὴ εἰς θεμέλιον οἴκου.

л. 23 об. Εὐχὴ εἰς εὐλογίαν οἴκου.

л. 24. Εὐχὴ εἰς τὸ μετὰ (εἰσιέναι) οἶκον.

— Εὐχὴ εἰς τὸ φυτεῦσαι ἀμπελῶνα.

л. 25. Εὐχὴ εἰς μετάληψιν σταφυλῆς.

— Εὐχὴ εἰς εὐλογίαν οἴνου νέου.

л. 25 об. Εὐχὴ εἰς ὕδωρ μιανθέν.

— Εὐχὴ εἰς φρέαρ.

л. 26 об. Εὐχὴ εἰς φρέαρ μιανθέν.

л. 27 об. Εὐχὴ ἐπὶ μιαροφαγησάντων.

л. 28. Εὐχὴ εἰς τὸ ἐμπεσεῖν εἶδος ἀκάθαρτον.

л. 28 об. Τάξις γινομένη, εἰ συμβῇ μιαρὸν προσφάτως πεσεῖν εἰς ἀγγεῖον οἴνου ἢ ἐλαίου.

л. 29 об. Εὐχὴ ἑτέρα.

л. 30. Εὐχὴ ἀπὸ ἀνομβρίας.

*

л. 30 об. Εὐχὴ εἰς σεισμόν.

л. 31 об. Εὐχὴ εἰς λιτὴν διὰ φόβον.

— Εὐχὴ ἐπὶ πλοίου, μέλλοντος πλεῖν.

л. 32. Εὐχὴ ἑτέρα ἐπὶ πλεόντων.

л. 32 об. Εὐχὴ ἐπὶ δικτύων.

л. 33 об. Εὐχὴ ἐπὶ τῶν ἀλόγως ὑπό τινος ἀφοριζομένων ἢ λόγῳ ἑαυτῷ δεσμευόντων.

л. 34 об. Εὐχὴ ἐπὶ μελισσιῶν τοῦ ὁσίου πατρὸς ἡμῶν Ζωσιμᾶ.

л. 35. Εὐχή, ὅταν ἐπαίρῃ ὁ ἄνθρωπος ἀπὸ τῶν τῇδε· γράφει δὲ ταύτην ὁ πνευματικὸς αὐτοῦ πατὴρ εἰς χαρτὶ καὶ βάλλει εἰς τὴν χεῖρα τοῦ τεθνηκότος διὰ τὸν φόβον τῶν τελωνίων τοῦ ἀέρος καὶ τοῦ σκότους τοῦ αἰῶνος τούτου.

Ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ συγχωρήσει σε, πνευματικόν μου τέκνον. См. ркп. Ватоп. библ. № 134 л. 359.

л. 35 об. Ἀκολουθία εἰς κάμινον. Ποιεῖ ἁγιασμόν, μετὰ δὲ τὴν συμπλήρωσιν τοῦ ἁγιασμοῦ, λέγει ὁ ἱερεὺς τὰς εὐχὰς ταύτας. Goar. p. 570—571.

л. 37. Εὐχὴ ἐπὶ τῶν προπετῶς ὀμνυόντων.

л. 37 об. Εὐχὴ ἐπὶ τῶν ἐν βρώμασι σκανδαλισθέντων.

л. 38. Εὐχὴ ἐπὶ ποιμνίων.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τῷ κορυφαίῳ τῶν ἀποστόλων Πέτρῳ διὰ τῆς κατενεχθείσης πρὸς αὐτὸν ὀθόνης ὑποδείξας, μηδὲν ἡγεῖσθαι κοινὸν ἢ ἀκάθαρτον, καὶ διὰ τοῦ σκεύους τῆς ἐκλογῆς Παύλου ἀναγγείλας ἡμῖν πάντα εἶναι τοῖς καθαροῖς καθαρά· ἁγιάζονται γάρ φησι διὰ λόγου Θεοῦ καὶ ἐντεύξεως. Αὐτὸς ἁγίασον τοὺς δούλους σου τούτους, καὶ εἴ τις μολυσμὸς συνέβη γενέσθαι αὐτοῖς, ἀποκάθαρον αὐτοὺς τῷ ἐλέει σου διὰ τῆς χάριτος τοῦ παναγίου σου Πνεύματος, ἵνα μετὰ καθαροῦ συνειδότος μετασχόντες τῶν ζωοποιῶν καὶ φρικτῶν μυστηρίων τοῦ μονογενοῦς σου Υἱοῦ, Κυρίου δὲ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, δοξάζωσι διὰ παντὸς τὸ πανάγιον ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος νῦν καὶ ἀεί.

Εὐχὴ ἑτέρα· Δέσποτα Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ καταδεξάμενος ὑλικῶς ἑνωθῆναι ἀναμαρτήτως καὶ ἀρρυπάρως τῇ ἡμετέρᾳ φύσει τῇ μεμολυσμένῃ καὶ ἀκαθάρτῳ, τῇ ῥερυπωμένῃ καὶ ἁμαρτωλῷ, καὶ ἁγιάσας καὶ καθαρίσας αὐτὴν τῇ σῇ ἑνώσει διὰ λουτροῦ παλιγγενεσίας καὶ τῇ ἐκχύσει τοῦ παναχράντου καὶ παναγίου καὶ ζωοποιοῦ σου αἵματος. Αὐτὸς ἁγίασον καὶ τοὺς δούλους σου τούτους καὶ τὰ σκεύη αὐτῶν διὰ τῆς χάριτος τοῦ παναγίου σου Πνεύματος, εὐλόγησον τὰ ἔργα τῶν

χειρῶν αὐτῶν καὶ πλήθυνον αὐτά, τὴν ποίμνην αὐτοῦ διαφύλαξον ἀπὸ πάσης ἐπιβουλῆς καὶ ἐπηρείας τοῦ διαβόλου, ἵνα πληθυνομένης ἀόκνως μετὰ πάσης σπουδῆς τε καὶ ἱλαρότητος, τὴν πρὸς τοὺς ἀδελφοὺς ἡμῶν πένητας συμπάθειαν ἐπιδείκνυνται, ἐξ ὧν αὐτοῖς ἐπιχορηγεῖς, ἵνα οὕτως ἀγαθοεργοῦντες καὶ τῶν μελλόντων ἐπιτύχωσιν ἀγαθῶν, δοξάζοντες τὸ πανάγιον ὄνομά σου τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεί.

Εὐχὴ ἑτέρα· Τῆς Παρθένου τεκούσης τοῦ Κυρίου γεννηθέντος πᾶσα φύσις λέλυται· ὁ γὰρ τῶν ὅλων Θεὸς τὰς ὀδύνας ἔλυσε τῶν πεπεδημένων, καὶ νίκην ἔχων, ἀνέστη ἐκ νεκρῶν, τὸν Ἀδὰμ ἀνέστησε καὶ τὸν κόσμον ἀνέπλασε, καὶ πᾶν κακὸν ἐκατήργησε, καὶ πᾶς ἄνθρωπος καὶ φθορὰν ἐδίωξεν ἀπὸ τῆς ποίμνης, καὶ βουκόλια τοῦ δούλου τοῦ Θεοῦ ὁ δεῖνα, καὶ ζωὴν ἐδωρήσατο διὰ δυνάμεως τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ, ταῖς πρεσβείαις τῶν ἁγίων καὶ ὁσίων καὶ ἀσκητῶν καὶ πάντων τῶν δικαίων, τῶν ἁγίων μεγάλων μαρτύρων Γεωργίου, Θεοδώρου, Δημητρίου, Ταρασίου, Μερκουρίου, τῶν ἁγίων τιη'. θεοφόρων πατέρων τῶν ἐν Νικαίᾳ, τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν ἀρχιεράρχου καὶ θαυματουργοῦ Νικολάου, τῶν ἁγίων τεσσαράκοντα μαρτύρων, τῶν ἐν Σεβαστείᾳ τῇ λίμνῃ μαρτυρησάντων, τοῦ ἁγίου ἀρχιστρατήγου, τοῦ ἐν ταῖς Χώναις, τῆς ὑπεραγίας Θεοτόκου τῆς ἀλοητίσσης. Ἐξορκίζω πᾶσαν νόσον ἀπὸ τῆς ποίμνης τοῦ δούλου τοῦ Θεοῦ ὁ δεῖνα, ὁρκίζω σας εἰς τὸν ὑψηλὸν θρόνον τοῦ Θεοῦ τὸν ἀσάλευτον, ὁρκίζω σας εἰς τὸ σημεῖον τοῦ Υἱοῦ αὐτοῦ καὶ εἰς τὴν ἄχραντον αὐτοῦ κορυφήν, ἣν ἥψατο ὁ Ἰωάννης ἐν Ἰορδάνῃ ποταμῷ, ὁρκίζω σας εἰς τοὺς δ'. εὐαγγελιστάς, ὁρκίζω σας εἰς τοὺς τιμίους Ἀσωμάτους, ὁρκίζω σας πᾶσαν νόσον καὶ φθορὰν καὶ πάθος, τὸν Θεὸν τῶν ἀγγέλων, τὸν Θεὸν τοῦ οὐρανοῦ, τὸν Θεὸν τῶν ἀστέρων, τὸν Θεὸν τοῦ ἡλίου, τὸν Θεὸν τῆς σελήνης, τὸν Θεόν, τὸν ῥυσάμενον Θέκλαν ἐκ πυρὸς καὶ τοὺς γ'. παῖδας ἐκ τῆς καμίνου, ἀνάλυσον, Κύριε, τὰ κτήνη ταῦτα ἀπὸ παντὸς πειρασμοῦ, καὶ ἀπόστρεψον πᾶν κακὸν εἰς τὰ ὀπίσω, ὡς ἀπέστρεψας τὸν θυμόν σου ἀπὸ τὴν Νινευῒ πόλιν, ἀπόστρεψον, Κύριε, τὰς φρένας, τὰς μελλούσας ἔρχεσθαι εἰς τὰ ποίμνια τοῦ δούλου τοῦ Θεοῦ ὁ δεῖνα, ἢ μαγίας πέψις, ἢ θηρίων ἢ ἄλλων οἱαδήποτε νόσος ἢ περιεργίας, ὡς τὰ Σόδομα καὶ τὰ Γόμορρα, καὶ πᾶν φύλλον τῶν δένδρων ἐπὶ τῷ ὀνόματι τοῦ Πατρὸς τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας...

Εὐχὴ ἑτέρα· Κύριε ὁ Θεὸς ἡμῶν ὁ παντοκράτωρ, ὁ ἀληθινὸς ἀμνός. Goar. p. 589.

л. 41. Εὐχή, λεγομένη εἰς χώραν, εἰς ἀμπέλιον, εἰς κῆπον· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν ἀρχῇ τῆς δημιουργίας σου ποιήσας. Goar. p. 554.

Εὐχὴ ἑτέρα· Ἐπὶ τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν см. выше стр. 119—120, прим. Εὐχὴ ἑτέρα· Δέσποτα παντοκράτωρ ὁ Θεὸς ἡμῶν, ὁ ἐν τῷ κήπῳ σταυρωθείς, πέραν τοῦ Χειμάῤῥου τῶν Κέδρων παρεδόθης ἑαυτὸν τοῖς ἀνόμοις εἰς θάνατον, καὶ ἐν αὐτῷ καταπαγεὶς ἡ ζωὴ τῶν ἁπάντων. Αὐτὸς νῦν, ὁ Κύριος ὁ Θεὸς ἡμῶν, ἐπίβλεψον ἐξ ἁγίου κατοικητηρίου σου καὶ ἐπίσκεψαι τὸν τόπον τοῦτον, καὶ τὴν χώραν ταύτην, καὶ ἐπὶ πᾶν δέδρον καὶ φυτόν, καὶ λάχανον, καὶ ἀπέλασον ἀπ' αὐτοῦ πάντα τὰ κακὰ θηρία καὶ ἑρπετὰ καὶ μυσαρά, τὰ ἀδικοῦντα καὶ βλάπτοντα τὴν ἄμπελον ταύτην καὶ τὴν χώραν καὶ πᾶν φυτόν, καὶ φυγάδευσον ἀπ' αὐτὴν μακρόθεν καὶ ἀπάγων αὐτὰ εἰς τὰ ἄγρια ὄρη καὶ εἰς τὰ ἄκαρπα ξύλα, ἐκεῖ ἔδωκεν ὁ Θεὸς τὴν καθημερινὴν τροφήν, ἐκεῖ ἔλαβον ἐξουσίαν παρὰ τοῦ Σωτῆρος Χριστοῦ κατοικεῖν ἐν αὐτοῖς τοῖς ἀγρίοις καὶ ἀβάτοις τόποις καὶ οὐχὶ ἐνταῦθα. Εἰσὶ τὰ ὀνόματα τῶν θηρίων ταῦτα· ἀκρίς, κάμπια, σκωληκοκάμπια, ψύος, ψύλλος, πρασίκουρος τὸ κακὸν θηρίον, σκώληξ, ψάμικας, μελίρα, μακρόποα, φυλίτης, φυλλῖτις, καυλοκόπος, ἐπίμαλις, σκάνθαρις, καρτερίς, ἀλοκύρις, λίς, παγκανάς, ῥουζάλ, ὀφίξ καὶ τὸ λεγόμενος κοχλύος καὶ τὸ ἐρχόμενον εἰς τὴν ἄμπελον καὶ ξηραίνων καὶ μιαίνων τὸν καρπὸν αὐτῆς, ἀσπάλακας, μύρμηξ, μαρουδία, κουβαρίδης, χρυσόπτερος, λύος, φθεῖρες, καμπανός, ἐπισαλίζων, σκάρες, κνίπες, κώνωπες, ἐρυσίβη, βροῦχος, συαβρός [1]). Ταῦτα καὶ ἄλλα, ὅσα εἰσὶ τὰ βλάπτοντα, καὶ ἀδικοῦντα τὸν κῆπον, ἢ τὴν χώραν ἢ ἄμπελον ταύτην τῶν πονηρῶν καὶ κακούργων θηρίων καὶ ἑρπετῶν καὶ μυσαρῶν ἐξορκίζομεν, ἐξορκίζομεν ἀπορκίζομεν ὑμᾶς κατὰ τοῦ φρικτοῦ καὶ ἐνδόξου ὀνόματος Κυρίου τοῦ Θεοῦ παντοκράτορος Ἀδαΐ, Ἐλωΐ, Σαβαὼθ κατὰ τῆς δυνάμεως αὐτοῦ τῆς φοβερᾶς αὐτῇ τῇ ὥρᾳ ἐξελθεῖν ὑμᾶς καὶ τῆς χώρας ταύτης καὶ πάσης τῆς περιοχῆς καὶ τῆς διακρίσεως τούτων καὶ τῆς ἀμπέλου καὶ τῆς διακρατήσεως αὐτῶν, καὶ μὴ ἐγκαταλείφθητε ἢ ἀποκρυβήθητε ἐν οἵῳ τόπῳ, ἀλλὰ καὶ μακρὰν πόῤῥω φυγαδεύθητε αὐτῇ τῇ ὥρᾳ, ἡμῶν λεγόντων τῶν ἁμαρτωλῶν, ὅπου ἀναγινώσκεται αὕτη ἡ παροῦσα εὐχὴ οὕτω (εἰς το) ὄνομα Κυρίου φυγαδεύθητε, ἵνα μὴ ἐξαποστείλῃ τὸν ἄγγελον αὐτοῦ, τὸν ἐξάρχοντα ὑμῶν καὶ δώσει καὶ μαστιγώσει καὶ κολάσει ἀτελεύτητα, παραδώσει ὑμᾶς, ὅτι αὐτῷ πρέπει δόξα εἰς τοὺς αἰῶνας...

л. 45 об. Εὐχὴ ἐπὶ ἀσθενοῦντας.

Δέσποτα παντοκράτωρ, ἰατρὲ ψυχῶν καὶ σωμάτων, ὁ ταπεινῶν καὶ ἀνυψῶν, ὁ παιδεύων καὶ πάλιν ἰώμενος τὸν ἀδελφὸν ἡμῶν... См. выше стр. 197. Εὐχὴ ἑτέρα· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὰ χρόνια πάθη λόγῳ θεραπεύσας... См. выше стр. 56. Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ παι-

[1]) Правописаніе вредоносныхъ насѣкомыхъ тоже, что въ рукописи.

δεύων καὶ μὴ θανατῶν... Прилож. стр. 127 Εὐχὴ ἑτέρα· Κύριε ὁ Θεὸς ἡμῶν, γενοῦ ἰατρὸς τοῦ δούλου σου ὁ δεῖνα, ἰάτρευσον αὐτὸν πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν· Σὺ γὰρ ἰώμενος τὰς νόσους ἡμῶν... Κύριε Ἰησοῦ Χριστέ, ἰατρὲ ψυχῶν καὶ σωμάτων, ὁ πᾶσαν νόσον ἰώμενος, ὁ παιδεύων ἡμᾶς καὶ ταῖς ἰάσεσι πάλιν διαναπαύων... Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τῆς ἰάσεως Δοτήρ, ὁ ἐν τῷ ῥήματί σου φέρων τὴν ἰαματικὴν δύναμιν, ὁ ἐπιτιμήσας τὸν πυρετὸν τοῦ κατακειμένου διὰ Πέτρου τοῦ θεράποντος... Ὁ Θεὸς ὁ δυνατὸς καὶ ἐλεήμων, ὁ πάντα οἰκονομῶν... Прилож. 132, прим. 3. Πάτερ ἅγιε, ἰατρὲ ψυχῶν καὶ σωμάτων p. 338.

л. 49 об. Εὐχὴ ἐπὶ χριστιανῶν μαγαρισάντων ὑπὸ ἔθνους.

л. 50 об. Τῇ κυριακῇ τῆς ἁγίας Πεντηκοστῆς. Goar. p. 597—603, но съ опущеніемъ молитвы: Ὁ Θεὸς ὁ μέγας καὶ ὕψιστος, ὁ μόνος ἔχων ἀθανασίαν... и съ отпустомъ въ концѣ: Ὁ ἐν εἴδει πυρίνων γλωσσῶν καταπέμψας Πνεῦμα τὸ ἅγιον ἐπὶ τοὺς ἁγίους αὐτοῦ μαθητὰς καὶ ἀποστόλους Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν...

л. 64. Εὐχή, λεγομένη εἰς γυναῖκα λεχώ.

Ὁ ἱερεὺς ποιεῖ εὐλογητόν, ἱσταμένου ἔσω τοῦ οἴκου, τὸ Τρισάγιον, τὸ Παναγία Τριάς, τὸ Πάτερ ἡμῶν, Ὅτι σοῦ ἐστίν, τροπάριον [1]), ἦχος πλ. β΄. Ἐλέησον ἡμᾶς... Δόξα, Κύριε, ἐλέησον ἡμᾶς... Καὶ νῦν, Τῆς εὐσπλαγχνίας τὴν πύλην... καὶ ἡ εὐχή· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ πλάστης καὶ δημιουργὸς τῶν ἁπάντων Прилож. стр. 1. Εὐχὴ ἑτέρα. Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τῷ Ἀδὰμ καὶ τῇ Εὔᾳ συγχωρήσας τῇ παραβάσει αὐτῶν καὶ γεννηθεὶς ἐκ τῆς ἀχράντου Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, καὶ γινώσκων τὸ ἀσθενὲς τῆς ἀνθρωπίνης φύσεως, συγχώρησον καὶ τὴν δούλην σου, ἡ δεῖνα, τὴν γεννήσασαν [2]) παῖδα ἐκ τῶν σῶν ἀφράστων οἰκτιρμῶν καὶ τοὺς κατοικοῦντας ἐν τῷ οἴκῳ, ἐν ᾧ ἐγεννήθη τὸ παιδίον, διαφύλαξον, ὅτι μόνος ἔχεις ἐξουσίαν ἀφιέναι ἁμαρτίας πρεσβείαις τῆς πανυπερευλογημένης Δεσποίνης ἡμῶν Θεοτόκου καὶ

[1]) Ркп. Синайск. библ. XVI в. № 978 Ἡ γέννησίς σου, Χριστὲ ὁ Θεὸς ἡμῶν, ἀνέτειλε τῷ κόσμῳ τὸ φῶς... Εἰ βούλει, εἰπὲ καὶ τοῦ ἁγίου Ἐλευθερίου τὸ Δόξα, Καὶ τρόπων μέτοχος καὶ θρόνων διάδοχος τῶν ἀποστόλων γενόμενος.. Καὶ νῦν, Ἡ γέννησίς σου, Θεοτόκε, καὶ εὐθὺς αἱ εὐχαί. [2]) τὴν τέξασαν σήμερον· Σὺ γὰρ εἶπας, Κύριε· αὐξάνεσθε καὶ πληθύνεσθε καὶ πληρώσατε τὴν γῆν καὶ κατακυριεύσατε αὐτήν, διὰ τοῦτο καὶ ἡμεῖς οἱ ἁμαρτωλοὶ καὶ ἀνάξιοι δοῦλοί σου, θαρροῦντες εἰς τὸ τῆς φιλανθρωπίας σου ἀνεξιχνίαστον πέλαγος καὶ εἰς τὸ ἅγιον ὄνομα τῆς μεγάλης σου βασιλείας, ἐπίβλεψον ἐξ οὐρανοῦ, Κύριε, καὶ ἴδε τὴν ἀσθένειαν ἡμῶν τῶν καταδίκων καὶ συγχώρησον τὴν δούλην σου... ἡ δεῖνα τὴν γεννήσασαν παῖδα... См. выше стр. 491—492.

πάντων τῶν ἁγίων. Ὅτι σὸν τὸ κράτος καὶ σοῦ ἐστὶν ἡ βασιλεία... Сн. выше стр. 492. Εὐχὴ ἑτέρα[1]) εἰς τὰς τυχούσας γυναῖκας τῆς λεχώ· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὰ ἐν τῇ ὀθόνῃ εἰπὼν τῷ Πέτρῳ τῷ ἀποστόλῳ... Прилож. стр. 6; Εὐχολόγ. Goar. p. 263—264. Сн. выше стр. 455.

Τῆς λεχὼ εὐχή· Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ γεννηθεὶς ἐν σπηλαίῳ ὑπὸ τῆς παναχράντου Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, καὶ ἐτέχθης ἐν φάτνῃ, ὥσπερ νήπιος καὶ βρέφος, καὶ ἐφάνης ἐν τῷ κόσμῳ, ὡς ἄνθρωπος διὰ τὸ μέγα σου ἔλεος. Αὐτὸς καὶ τὴν παροῦσαν δούλην σου ἡ δεῖνα τὴν γεννήσασαν παῖδα ἐκ τῆς σῆς ἀφάτου φιλανθρωπίας, εὐλόγησον καὶ διαφύλαξον αὐτὴν μετὰ τοῦ παιδίου αὐτῆς ἀπὸ πάσης τυραννίδος, ἀπὸ πάσης ζάλης, ἀπὸ πάσης φαρμακίας, καὶ εἴ τι ἁμάρτημα ἐπράχθη ἐν αὐτῇ, συγχώρησον, Κύριε, καὶ τὰς τυχούσας ἀδελφὰς ἡμῶν ἐν ὥρᾳ τῆς γεννήσεως αὐτῆς, συγχώρησον, Κύριε, καὶ καθάρισον αὐτὰς ἀπὸ πάσης ἀκαθαρσίας, καὶ ἀξίωσον αὐταῖς εἰσελθεῖν εἰς τὴν ἁγίαν σου ἐκκλησίαν. Ὅτι σὺ ὑπάρχεις συμπαθὴς καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν.

л. 67. Εὐχὴ εἰς ἀπόβλησιν γυναικὸς καὶ μὴ ζῶν τὸ παιδίον. Πάτερ ἐπουράνιε καὶ Κύριε τοῦ ἐλέους, ὁ κατ' ἀρχὰς τὸν ἄνθρωπον πλάσας διὰ τῶν σῶν ἀχράντων χειρῶν, ὡς αὐτὸς ἐπίστασαι, καὶ οἰκονομήσας, ὡς οἶδας, καὶ ὡς ἠβουλήθης γεγενῆσθαι ἄνθρωπον ἐξ ἀμφοτέρων ἀνωτέρων ἄρρενος καὶ θήλεως, καὶ τοὺς μὲν εὐδοκεῖς καὶ γεννῶνται ζῶντες καὶ εἰς φῶς ἄγονται, τοὺς δέ, δι' οἷς οἶδας κρίμασι, παραχωρεῖς καὶ τελευτῶσιν ἐντὸς τῆς μήτρας τῆς μητρὸς αὐτῶν καὶ οὐκ ἀξιοῦνται κἂν τοῦ φωτὸς εἰδεῖν, οὗπερ ἡμεῖς οἱ ἐν τῷ κόσμῳ οἰκοῦντες ζῶμεν καὶ ἀπολαμβάνομεν, ἀλλ' ἐξέρχονται νήπια βιαίως, ἐστερημένα τῆς ζωῆς αὐτῶν. Αὐτός, Δέσποτα παντοκράτωρ, ὁ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ πᾶσαν φύσιν τῶν ὄντων λογικήν τε καὶ ἄλογον, διὰ τοῦ λόγου σου δημιουργήσας, πάντα ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι παραγαγὼν τῷ σῷ θελήματι, καὶ διὰ τῆς σῆς φιλανθρωπίας διασώσας τὴν δούλην σου ἡ δεῖνα τὴν ἀποβαλομένην τὸ παρὸν καὶ μὴ ζῶν νήπιον, εἴ τε ἐξ ἀμελείας, εἴ τε ἀπὸ θυμοῦ, εἴ τε ἀπὸ κόπου, εἴ τε ἀπὸ πικρίας καὶ ἔσω πλήξεως, εἴ τε ἐξ αἴφνης, εἴ τε ἀπὸ δρόμου, εἴ τε ἀπὸ κρημνήσεως, εἴ τε ἀπὸ ἄλλης τινὸς συμπτώσεως ἢ αἰτίας, ἧς οὐκ ἐπιστάμεθα καὶ οὐκ εἴασας περιθῆναι καὶ αὐτῇ τὴν ζωὴν αὐτῆς. Αὐτὸς παντεπίσκοπε βασιλεῦ, δὸς αὐτῇ συγγνώμην καὶ καθάρισον αὐτὴν ἀπὸ πάσης ἁμαρτίας καὶ ἀπὸ παντὸς ῥύπου, ἀπόπλυνον αὐτὴν καὶ τῆς ἐγγινομένης ἐν αὐτῇ κηλῖδος, ὅπως διαβῆναι καὶ διαβάσῃ ἀνεπηρεάστως τὸν ἀποτεταγμένον αὐτῆς καιρὸν τῆς

---

[1]) Ркп. Синайск. библ. № 978 этой молитвы нѣтъ.

ἀποκλήσεως αὐτῆς καὶ ἀκατακρίτως φθάσαι τὸν νενομισμένον τεσσαρακονθήμερον ὅρον, καὶ τότε προσέρχεται τῇ ἁγίᾳ σου ἐκκλησίᾳ· ἐπίβλεψον τοίνυν ἐπὶ τὴν δούλην σου ταύτην, ἐξεζήτησον, ἐξερεύνησον καὶ ἀπέλασον ἀπ' αὐτῆς πάντα τὰ ἐνεργήματα τοῦ διαβόλου, καὶ καθάρισον τὰ ἔργα τῶν χειρῶν σου καὶ τῇ ὀξείᾳ σου χαρισάμενος αὐτῇ ἐνεργείᾳ, καὶ δὸς αὐτῇ νίκην κατὰ τῶν ἀκαθάρτων αὐτῆς πνευμάτων, ὅπως τοῦ παρὰ σοῦ ἐλέους τυγχάνουσα καταξιωθῇ καὶ τῶν ἐπουρανίων σου μυστηρίων καὶ δόξαν σοι ἀναπέμψῃ τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι.

л. 68. Εὐχὴ τῆς μαίας.

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ μὴ βουλόμενος τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν... См. выше стр. 455, прим. Εὐχὴ τῆς μαίας· Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τῷ ἐνυποστάτῳ σου λόγῳ... Goar. p. 263 ζωογονοῦσα. Αὐτὸς Κύριε, εὐλόγησον τὴν δούλην σου ἡ δεῖνα καὶ πρόσδεξαι αὐτῆς τὴν μετάνοιαν καὶ ἀξίωσον αὐτὴν εἰσελθεῖν διὰ τοῦ τιμίου πρεσβυτερίου καὶ τῆς εἰσόδου τοῦ θείου ναοῦ. Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν... Εὐχὴ τῆς μαίας· Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ δοὺς τὴν χάριν καὶ εὐλογῶν, ὁ φυλάσσων νήπια ὑπὸ τῶν αὐτὰ δεχόντων, καθὼς εὐλόγησας διὰ Μωϋσέως μαίαν τὴν Σαλόμην, Αὐτὸς εὐλόγησον καὶ τὴν δούλην σου ἡ δεῖνα, διότι Σύ, Κύριε, κατέδειξας αὐτὴν τὴν μαίαν διὰ των ὑπὸ σοῦ γενομένων νηπίων, καὶ καταξίωσον τὴν δούλην σου ταύτην εἰσελθεῖν δια τοῦ τιμίου πρεσβυτερίου, μεθ' οὗ σοι δόξα, κράτος πρέπει τιμὴ καὶ προσκύνησις τῷ Πατρὶ καὶ τῷ Υἱῷ.

л. 69 об. Εὐχὴ ἑτέρα τῶν η'. ἡμερῶν.

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἀληθινὸς ἄρτος τῆς ζωῆς ἡμῶν... См. выше стр. 396.

л. 70. Ἀκολουθία τοῦ βαπτίσματος. Εὐχὴ εἰς τὸ κατασφραγίσαι παιδίον, λαμβάνον ὄνομα τῇ ὀγδόῃ ἡμέρᾳ τῆς ἑαυτοῦ γεννήσεως. См. выше стр. 491.

л. 71. Τῇ δὲ τεσσαρακοστῇ ἡμέρᾳ... Прилож. стр. 7—9 съ опущеніемъ замѣчанія: Εὐχή, ἣν ποιεῖ ὁ ἱερεὺς μέλλων εἰσάξαι τὴν λεχὼ εἰς τὴν ἐκκλησίαν и съ прибавкою въ концѣ: Καὶ μετὰ τὸ Ἀμὴν σφραγίζει τὸ μέτωπον αὐτοῦ καὶ τὸ στόμα καὶ τὸ στῆθος, λέγων· Τὸ δὲ παιδίον ηὔξανε καὶ ἐκραταιοῦτο Πνεύματι. Καὶ οὕτως ὁ ἀνάδοχος λαμβάνει αὐτὸν καὶ ἐξέρχεται, καὶ πιάσας ὁ ἱερεὺς τὸ παιδίον, λέγων· Τὰ ῥήματά μου ἐνώτισαι, Κύριε... ἕως τὸ Εἰσελεύσομαι εἰς τὸν οἶκόν σου, προσκυνήσω... Καὶ ποιῶν σταυροὺς τρεῖς ἔν τε τῇ ἄνω φλιᾷ τῆς πύλης τοῦ ναοῦ καὶ ἐλθόντος ἔμπροσθεν τῶν ἁγίων θυρῶν, τίθησι τὸ παι-

δίον ἔμπροσθεν τῆς εἰκόνος τῆς Θεοτόκου ἔσωθεν τοῦ ναοῦ, λέγει τροπάριον· Χαῖρε, κεχαριτωμένη Θεοτόκε Παρθένε... καὶ λαβὼν ἔλαιον ἐκ τῆς δεσποτικῆς κανδήλας, χρίει τὸν νήπιον καὶ λαμβάνει ἡ μαῖα τὸ παιδίον, καὶ ὁ ἱερεὺς ἀπόλυσιν ποιεῖ. Сн. выше стр. 575.

л. 74. Ἀκολουθία εἰς τὸ ποιῆσαι κατηχούμενον, ἤγουν βαπτίσαι.

Λύει ὁ ἱερεὺς τὴν ζώνην Прилож. стр. 20. Ἀποδυομένου καὶ ἀπολυομένου τοῦ βαπτιζομένου, εἰ μέγας ἐστί, στρέφει αὐτὸν πρὸς δυσμάς, ἄνω τὰς χεῖρας ἔχοντα, καὶ λέγει ἐκ τρίτου· Ἀποτάσσομαι τῷ σατανᾷ. См. выше стр. 456—458 и прим. до погруженія въ водѣ. Ἐν δὲ τῷ ἀλείφεσθαι τούτους, ὁ πατριάρχης βάλλει τὸ λέντιον καὶ τὰ μανίκια καὶ μετὰ τοῦτο βαπτίζει, λέγων· Βαπτίζεται ὁ δοῦλος τοῦ Θεοῦ ὁ δεῖνα εἰς τὸ ὄνομα τοῦ Πατρός. Ἀμήν... Καὶ μετὰ τὸ γενέσθαι τὴν βάπτισιν, νίπτεται καὶ ἐκβάλλει τὸ λέντιον καὶ τὰ μανίκια, καὶ τοῦ ἀρχιδιακόνου λέγοντος· Πρόσχωμεν, καὶ ἄρχονται οἱ ψάλται· Μακάριοι, ὧν ἀφέθησαν... Καὶ λέγει τοῦτο γ'. καὶ δοξάζει ὁ ἱερεύς· Εὐλογητὸς ὁ Θεός, ὁ φωτίζων... Καὶ εὐθὺς ἐνδύει τὸν χιτῶνα καὶ τὴν ζώνην καὶ τὰ σταυρώματα καὶ λαμβάνει αὐτὸν ἡ μαῖα καὶ σπαργανώνει καὶ λαμβάνει αὐτὸν ὁ ἱερεὺς καὶ κρεμνᾷ εἰς τὸν τράχηλον τοῦ ἀναδόχου, καὶ μετὰ τοῦτο εὔχεται ὁ ἱερεύς· Τοῦ Κυρίου δεηθῶμεν. Εὐλογητὸς εἶ Κύριε ὁ Θεὸς παντοκράτωρ ἡ πηγὴ τῶν ἀγαθῶν. Goar. p. 290. Καὶ λαβὼν θυμιατόν, ψάλλει· Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε... γυρίζοντες τῆς κολυμβήθρας γ'. Εἶθ' οὕτως χρίει τὸν βαπτισθέντα τῷ ἁγίῳ μύρῳ, σταυροῦ ποιῶν τύπον ἐπὶ τοῦ μετώπου καὶ τῶν ὀφθαλμῶν, καὶ τῶν μυκτήρων, καὶ τοῦ στόματος, καὶ τῶν δύο ὤτων, λέγων· Σφραγὶς δωρεᾶς Πνεύματος ἁγίου. Ἀμήν. Εἶτα ἀποκουρεύει αὐτόν, λέγει· Κείρεται ὁ δοῦλος τοῦ Θεοῦ ὁ δεῖνα τὴν κόμην τῆς κεφαλῆς αὐτοῦ εἰς τὸ ὄνομα... κείρει δὲ (αὐ)τὸν σταυροειδῶς.

л. 88 об. Εὐχὴ εἰς τὸ ἀποκουρεῦσαι παιδίον. Прилож. стр. 16.

л. 90. Εὐχὴ τοῦ μύρου.

Ὁ λύτρωσιν ἁμαρτιῶν διὰ τοῦ ἁγίου βαπτίσματος. Goar. p. 303. Καὶ λαβὼν σπόγγον καινόν, ἀποσπογγίζει τὸ μέτωπον αὐτοῦ καὶ τὰ λοιπά, λέγων· Εὐλογητὸς ὁ Θεός, ὁ φωτίζων πάντα ἄνθρωπον... Τοῦ Κυρίου δεηθῶμεν. Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ διὰ τῆς κολυμβήθρας. Goar. p. 304. Εἰρήνη πᾶσι. Τὰς κεφαλάς. Οἱ ἐνδυσάμενοί σε τὸν Χριστὸν καὶ Θεὸν ἡμῶν... Ibid. καὶ γίνεται ἀπόλυσις.

л. 91 об. Εὐχή, λεγομένη μετὰ τεσσαράκοντα ἡμέρας.

Προσάγεται ἐν τῷ ναῷ ἡ μήτηρ μετὰ τοῦ παιδίου αὐτῆς, ἤτοι λελουμένη καὶ κεκαθαρμένη, ποιεῖ ὁ ἱερεὺς εὐλογητόν, τὸ Τρισάγιον, τὸ Παναγία Τριάς, τὸ Πάτερ ἡμῶν, Ὅτι σοῦ ἐστίν, τὸ ἀπολυτικόντακον τῆς ἡμέρας καὶ ἡ εὐχή,

Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, σὲ δεόμεθα καὶ σὲ παρακαλοῦμεν καὶ ἱκετεύομεν, Αὐτὸς οὖν ὁ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Goar. p. 267. Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ παραγενόμενος ἐπὶ σωτηρίαν τοῦ γένους τῶν ἀνθρώπων. Goar. p. 267, съ незначительными сокращеніями. Ὅτι ἡγίασται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου τοῦ Πατρός.. Καὶ λαβὼν ὁ ἱερεὺς τὸ παιδίον, λέγει· Χαῖρε κεχαριτωμένη... Καὶ λαβὼν ἔλαιον ἐκ τῆς κανδήλας τῆς Θεοτόκου, ἀλείφει αὐτοῦ τὸ μέτωπον καὶ λέγει· Χρίεται ὁ δοῦλος τοῦ Θεοῦ ὁ δεῖνα... ἔλαιον ἀγαλλιάσεως, εἰς τὸ ὄνομα τοῦ Πατρός... νῦν καὶ ἀεί... καὶ ἀπόλυσις μετ' εἰρήνης.

л. 93. Ἀκολουθία εἰς μνῆστρα, ἀρχὴ τοῦ ἀρραβῶνος. См. выше стр. 459—461. Недостающее здѣсь восполняется такъ: Εἰ δὲ βούλονται ἐνταῦθα στεφανωθῆναι, εἰσέρχονται εἰς τὸ μέσον τοῦ ναοῦ, ὁ δὲ ἱερεύς, εἰσελθὼν ἐν τῷ ἁγίῳ βήματι, ἀποτίθησι δύο στέφανα ἐν τῇ ἁγίᾳ τραπέζῃ καὶ ποτήριον καινόν, μεστὸν οἴνου· εἰσερχομένων δὲ αὐτῶν τῶν νεονύμφων ἐν τῇ ἐκκλησίᾳ, ψάλλουσιν οἱ κληρικοὶ ψαλμόν· Μακάριοι πάντες οἱ φοβούμενοι τὸν Κύριον... καὶ εὐθὺς ἄρχεται οὕτως· Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῆς εἰρήνης... Ὑπὲρ τοῦ ἁγίου οἴκου... Ὑπὲρ πάσης ἐπισκοπῆς... Ὑπὲρ τῶν νῦν συναπτομένων πρὸς γάμου κοινωνίαν... Ὑπὲρ τοῦ εὐλογηθῆναι τὸν γάμον τοῦτον... Ὑπὲρ τοῦ δούλου τοῦ Θεοῦ ὁ δεῖνα καὶ τῆς δεῖνα καὶ τῆς ἐν Χριστῷ συζεύξεως αὐτῶν... Ὅπως Κύριος ὁ Θεὸς χαρίσει αὐτοῖς τίμιον τὸν γάμον... Ὑπὲρ τοῦ παρασχεθῆναι αὐτοῖς σωφροσύνην... Ὑπὲρ τοῦ ῥυσθῆναι и т. д. что выше стр 461—466, съ самыми незначительными особенностями, указанными въ примѣчаніяхъ.

л. 108. Ἀκολουθία τοῦ μεγάλου ἁγιασμοῦ τῶν Φώτων.

л. 119. Ἀκολουθία τοῦ μικροῦ ἁγιασμοῦ.

Тропари до „Слава“ тѣже, что у Гоара p. 358—359. Δόξα, Τὸν Πατέρα καὶ Υἱὸν δοξολογοῦμεν... Καὶ νῦν, θεοτοκίον· Θεοτόκε, ἡ τεκοῦσα τὸν Σωτῆρα... Молитва: Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ μονογενὴς Υἱός, ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρός, ὁ ἀληθινὸς Θεός. Goar. p. 368. Εὐχὴ ἑτέρα, ἣν λέγει εἰς ἐπήκοον· Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ μέγας τῇ βουλῇ καὶ θαυμαστὸς τοῖς ἔργοις, ὁ πάσης νοουμένης καὶ φαινομένης κτίσεως δημιουργός... p. 361. При погруженіи креста, поютъ: Τῶν σῶν δωρεῶν...

л. 129. Κανών, ψαλλόμενος εἰς ψυχορραγοῦντας. Goar. p. 585—587. Одна первая молитва.

л. 136. Κανὼν παρακλητικός, ψαλλόμενος εἰς τὴν ὑπεραγίαν Θεοτόκον.

л. 144. Ἀκολουθία τοῦ ἁγίου ἐλαίου, ἁγιαζομένου ὑπὸ ἑπτὰ ἱερέων.

Συναχθέντες δὲ οἱ ἑπτὰ πρεσβύτεροι ἐν ἐκκλησίᾳ ἢ ἐν οἴκῳ, προτίθεται ἐν τῷ μέσῳ τετράπους... См. выше стр. 445. Послѣ псалма 142, ψάλλομεν τὸ Θεὸς Κύριος εἰς ἦχον πλ. β'. μετὰ τῶν στίχων αὐτοῦ. Εἰ δὲ ἐστὶ μεγάλη μ'. χωρὶς σαββάτου καὶ κυριακῆς, ψάλλομεν τὸ Ἀλληλούια μετὰ καὶ τῶν στίχων αὐτοῦ, ἤγουν τόν, Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς... Στίχος· Ἐλέησόν με, Κύριε... καὶ εὐθὺς ἀρχόμεθα τὰ παρόντα τροπάρια εἰς ἦχον πλ. β'. Ἐλέησον ἡμᾶς... Κύριε, ἐλέησον... Καὶ νῦν, Τῆς εὐσπλαγχνίας τὴν πύλην... Εἶτα ὁ πεντηκοστὸς ψαλμὸς καὶ εὐθὺς ὁ κανὼν τῆς Θεοτόκου [1]). Ὠδὴ α'. ἦχος πλ. δ'. ὁ εἱρμός· Ὑγρὰν διοδεύσας... Πολλοῖς συνεχόμενος πειρασμοῖς πρὸς σὲ καταφεύγω... Παθῶν με ταράττουσι προσβολαί.. Σωτῆρα τεκοῦσάν σε καὶ Θεὸν δυσωπῶ, Παρθένε, λυτρωθῆναι... Ἕτερος κανών, οὗ ἡ ἀκροστιχίς· Εὐχῆς ἐλαίου ψαλμὸς ἐξ Ἀρσενίου... Goar. p. 332. Εἶτα ψάλλομεν στιχηρὰ προσόμοια τῆς Θεοτόκου εἰς ἦχον πλ. β'. Ἡ ἀπεγνωσμένη. Οὐρανῶν ὑπάρχουσα πλατυτέρα, χερουβὶμ καὶ θρόνων ἐνδοξοτέρα... Ὕμνους τῶν χειλέων μου μὴ παρίδῃς... Οἱ πεπωρωμένοι τῇ διανοίᾳ καὶ πεφορτισμένοι ταῖς ἁμαρτίαις Ἡ ἀπελπισμένων ἐλπὶς βεβαία καὶ ἁμαρτανόντων ἡ σωτηρία... Δόξα, Θρήνησον, ψυχή μου, πρὸ τῆς ἐξόδου, πρόσπεσον τῷ κτίστῃ ἐν μετανοίᾳ... Καὶ νῦν, Τῇ συμπαθεστάτῃ σου προμηθείᾳ καὶ τῇ πανευσπλάγχνῳ κηδεμονίᾳ... Εἶθ' οὕτως προσέρχεται ὁ μέλλων ποιῆσαι τὸ ἅγιον ἔλαιον μέσον τῶν ἱερέων καὶ ποιήσας κατὰ ἀνατολὰς μετανοίας τρεῖς καὶ μίαν πρὸς τοὺς ἱερεῖς, λέγων· Εὐλογήσατε, συγχωρήσατε... Καὶ λέγουσι πάντες. Ὁ Θεὸς συγχωρήσει σοι καὶ ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι, καὶ εὐθὺς βάλλοντες ἔλαιον ἐν τῇ κανδήλῃ, εἶτα λέγει ὁ πρῶτος ἱερεύς· Τοῦ Κυρίου δεηθῶμεν. Καὶ λέγει τὴν εὐχὴν ταύτην ἐπάνω τῆς κανδήλας· Ἄναρχε, ἀδιάδοχε, ἅγιε ἁγίων. Goar. p. 337. Εἶτα γίνεται συναπτὴ μεγάλη παρὰ τοῦ διακόνου, ἢ τοῦ πρώτου τῶν ἱερέων· Ἐν εἰρήνῃ и т. д. Прилож. 120, прим. Καὶ εὐθὺς λέγεται ἡ παροῦσα εὐχὴ ἐπάνω τῆς κανδήλης, τῆς ἐχούσης τὸ ἔλαιον, παρ' ἑνὸς ἑκάστου τῶν ἱερέων. Ὁ πρῶτος· Τοῦ Κυρίου δεηθῶμεν. Μυστικῶς· Κύριε, ὁ ἐν ἐλέει καὶ τοῖς οἰκτιρμοῖς σου... p. 305. Ταύτης δὲ λεγομένης, λέγουσιν οἱ λοιποὶ τὸν Ν'. ψαλμόν, εἶθ' οὕτως λέγει ὁ πρῶτος αὐτῶν· Πρόσχωμεν. Εἰρήνη πᾶσι.

---

[1]) Ркп. Синайск. библ. XVI в. № 989. Этого перваго канона нѣтъ, а имѣется одинъ лишь канонъ Арсенія.

Σοφία, ὁ ἀναγνώστης ψαλμὸς τῷ Δαβίδ. Ὁ ἱερεύς· Πρόσχωμεν. Ὁ ἀναγνώστης τὸ προκείμενον, ἦχος α'. Γένοιτο, Κύριε, τὸ ἔλεός σου, апостолъ, евангеліе[1]) и ектенья. Прилож. стр. 123. Εὐδιάλλακτε Κύριε, ὁ μόνος ἐλεήμων καὶ φιλάνθρωπος[2])... Тамъ же стр. 124. Εἶτα λέγομεν τροπάριον εἰς ἦχον πλ. δ'. Κύριε, ὅπλον κατὰ τοῦ διαβόλου... Ὁ δὲ ἱερεύς, ἅψας τὴν κανδήλαν καὶ σταυρώσας τὸ ἅγιον ἔλαιον ἐκ τρίτου, λέγει· Εἰσάκουσόν μου, Κύριε. Εἰσάκουσόν μου, Δέσποτα. Εἰσάκουσόν μου, Ἅγιε. Καὶ λαβὼν ἅγιον ἔλαιον, ἀλείφει τὸν ἀσθενῆ, ἐπιλέγων καὶ τὴν εὐχήν· Πάτερ ἅγιε, ἰατρὲ ψυχῶν καὶ σωμάτων... Καὶ εὐθὺς ἄρχεται ὁ δεύτερος ἱερεὺς прокименъ[3]), апостолъ, евангеліе и ектенья Прилож. стр. 124. Δέσποτα;Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ἅγιε βασιλεῦ[4])... Тамъ же стр. 127. Εἶτα ἀνάψας καὶ αὐτὸς τὴν τῆς κανδήλας θρυαλλίδα, λέγει· Εἰσάκουσόν μου, Κύριε. Εἰσάκουσόν μου, Δέσποτα. Εἰσάκουσόν μου, Ἅγιε. Σταυρώσας τοίνυν τὸ ἅγιον ἔλαιον πρῶτος ὁ ἱερεὺς ἐκ τρίτου, καὶ εὐθὺς ἀλείφει τὸ ἅγιον ἔλαιον καὶ αὐτὸς τὸν προλαβόντα ἱερέα, λέγων καὶ τὴν εὐχὴν τὸ Πάτερ ἅγιε[5]).. οἱ λοιποὶ λέγουσι τὸ τροπάριον· Κύριε, ὅπλον κατὰ τοῦ διαβόλου. Εἶτα ἄρχεται ὁ τρίτος ἱερεὺς прокименъ[6]), апостолъ, евангеліе и ектенья. Прилож. стр. 126, прим. 6. Ἡ εὐχή·[7]) Ἀγαθὲ καὶ φιλάνθρωπε, εὔσπλαγχνε καὶ πολυέλεε... Тамъ же стр. 128, καὶ εὐθὺς ἅπτει καὶ αὐτὸς и помазаніе, какъ выше. Четвертый прокименъ[8]), апостолъ[9]), евангеліе[10]) и ектенья. Прилож. стр. 128. Κύριε[11]) ὁ Θεὸς ἡμῶν, ὁ παιδεύων καὶ πάλιν ἰώμενος, ὁ ἐγεί-

---

[1]) Ркп. Синайск. библ. XVI в. № 989 евангеліе, что у Гоара p. 337 [2]) Вмѣсто этой молитвы стоитъ: Ὁ Θεὸς ὁ μέγας καὶ θαυμαστός, ὁ φυλάσσων τὴν διαθήκην σου... Goar. p. 337 διὰ τοῦ ἁγιάσματος τοῦ μέλλοντος ἐπαλείφεσθαι. Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν καὶ σοὶ τὴν δόξαν... Εὐχὴ ἑτέρα· Γένοιτο, Κύριε, τὸ ἔλαιον τοῦτο... Goar. p. 338 [3]) прокименъ, что у Гоара. p. 338 [4]) молитва: Δέσποτα μακρόθυμε, εὐδιάλλακτε Κύριε, ὁ μόνος ἐλεήμων... Прилож. стр 124, Goar. p. 339. Εὐχὴ ἑτέρα· Δέσποτα, ἀγαθὲ καὶ φιλάνθρωπε, εὔσπλαγχνε καὶ πολυέλεε Κύριε... Прилож. стр. 128. [5]) Объ этой молитвѣ не упоминается [6]) Κυρίος φωτισμός μου Goar. p. 340 [7]) Δέσποτα Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ἅγιε βασιλεῦ τῆς δόξης... Прилож. стр. 127, Goar. p. 340. Конецъ этой молитвы изложенъ съ нѣкоторыми особенностями. Τοῦ Κυρίου δεηθῶμεν. ὁ Θεὸς ὁ μέγας καὶ ὕψιστος, ὁ ὑπὸ πάσης κτίσεως προσκυνούμενος Goar. p. 339. Прилож. стр. 112 [8]) Ἐγὼ εἶπα· Κύριε, ἐλέησον [9]) Goar. p. 342 [10]) Ibid. 343 [11]) Молитвы: Δέσποτα Κύριε Ἰησοῦ Χριστέ, μονογενὲς Λόγε τοῦ Πατρός, ὁ πάντα δεσμὸν τῶν ἁμαρτιῶν ἡμῶν... Τοῦ Κυρίου δεηθῶμεν. Ὁ Θεὸς ὁ

ρων ἀπὸ γῆς πτωχὸν καὶ ἀπὸ κοπρίας ἀνυψῶν πένητα. Goar. p. 342. Помазаніе, какъ выше. Пятый прокименъ[1]), апостолъ, евангеліе[2]) и ектенья, что въ Прилож. стр. 129. Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς ἡμῶν[3])... Goar. p. 343. Помазаніе, что выше. Εἶτα ἄρχεται ὁ ς΄. ἱερεὺς προκείμενον·[4]) Ἐν τῷ ἐπικαλεῖσθαι... Πρὸς Κολοσσαεῖς· Ἀδελφοί, ἐνδύσασθε, ὡς ἐκλεκτοὶ τοῦ Θεοῦ... евангеліе и ектенья. Прилож. стр. 131. Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ἰατρὲ ψυχῶν καὶ σωμάτων, ὁ τὰ χρόνια πάθη θεραπεύσας[5]) Goar. p. 345. Помазаніе, какъ выше. Προκείμενον[6])· Κύριε, μὴ τῷ θυμῷ σου... Στίχος· Ἐλέησόν με, Κύριε... Ὁ ἀπόστολος πρὸς Τιμόθεον β΄. ἐπιστολῆς· Τέκνον Τιμόθεε, ἐνδυναμοῦ ἐν τῇ χάριτι τῇ ἐν Χριστῷ Ἰησοῦ... Τέλος· τῆς ἐν Χριστῷ Ἰησοῦ μετὰ δόξης αἰωνίου. Ὁ ἱερεύς· Εἰρήνη σοι, Σοφία, ὁ ἀναγνώστης· Ἀλληλούια, ψαλμὸς τῷ Δαβίδ, ὁ ἱερεύς· Πρόσχωμεν, Ἀλληλουάριον, ἦχος πλ. δ΄. Ἐπάκουσον ἡμῶν, ὁ Θεός... Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ματθαῖον· Εἶπεν ὁ Κύριος· ἐὰν ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν... Τέλος· ἐκεῖ ἔσται καὶ ἡ καρδία ὑμῶν, εἶτα τὸ Ἐλέησον ἡμᾶς κ. τ. λ. Τοῦ Κυρίου δεηθῶμεν. Καὶ ἡ εὐχή[7])· Ὁ πλούσιος ἐν ἐλέει καὶ πολὺς

---

μέγας, ὁ πολὺς ἐν ἐλέει καὶ πλούσιος ἐν ἀγαθότητι Прилож. стр. 130, прим. 3 καὶ ἀνάψας τὴν τῆς κανδήλας θρυαλλίδα, ἀλείφει τὸν ἀσθενῆ, λέγει καὶ τὴν εὐχήν· Πάτερ ἅγιε, ἰατρὲ ψυχῶν...

[1]) Ркп. Синайск. библ. XVI в. № 989 προκείμενον· Σύ, Κύριε, φυλάξαις... Σῶσόν με, Κύριε.. Πρὸς Ἐφεσίους· Ἀδελφοί, ὁ Θεὸς πλούσιος ὢν ἐν ἐλέει... Τέλος· ἵνα ἐν αὐτοῖς περιπατήσωμεν. Ἀλληλουάριον, ἦχος πλ. δ΄. Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι [2]) Goar. 342 [3]) молитвы: Κύριε ὁ Θεὸς ἡμῶν, ὁ παιδεύων καὶ πάλιν ἰώμενος Goar. p. 342 Εὐχὴ ἑτέρα· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καθήμενος ἐπὶ τῶν χερουβὶμ Прилож. стр. 114 съ пропускомъ имени. [4]) Ἐπάκουσαί σου Κύριος ἐν ἡμέρᾳ.. Στίχος· Ἐξαποστεῖλαί σοι βοήθειαν... Πρὸς Θεσσαλονικεῖς ἐπιστολῆς. Goar. p. 344 Εὐαγγέλιον κατὰ Μάρκον· Τῷ καιρῷ ἐκείνῳ, προσκαλεσάμενος ὁ Ἰησοῦς τοὺς δώδεκα μαθητὰς αὐτοῦ... Τέλος· ἤλειφον ἐλαίῳ πολλοὺς ἀῤῥώστους καὶ ἐθεραπεύοντο. [5]) Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς ἡμῶν Goar. p. 343. Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ δυνατὸς καὶ ἐλεήμων Прилож. стр. 132, прим. [6]) Προκείμενον, ἦχος πλ. δ΄. Μὴ ἀποστρέψῃς τὸ πρόσωπον... Ἡ σωτηρία σου, ὁ Θεός... πρὸς Γαλάτας Goar. p. 343. Εὐαγγέλιον κατὰ Ματθαῖον Goar. p. 341. Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ἰατρὲ ψυχῶν καὶ σωμάτων Goar. p. 345. [7]) Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καταξιώσας εἰσελθεῖν ἐπὶ τὸν οἶκον τοῦ Ζακχαίου καὶ εἰπών· σήμερον σωτηρία τῷ οἴκῳ τούτῳ ἐγένετο... Καὶ ποιεῖ καὶ αὐτός, ὡς καὶ οἱ λοιποὶ ἱερεῖς, εἶτα λέγομεν τροπάριον, θεοτοκίον· Τὰς αἰτήσεις τῶν πιστῶν... Εἶτα τίθουσι τὸ εὐαγγέλιον ἐπάνω.

ἐν ἀγαθότητι, Κύριε... Прилож. стр. 130, прим. 3. Εἶτα ἀνάψας τὴν τῆς κανδήλας θρυαλλίδα καὶ εὐλογήσας τὸ ἅγιον ἔλαιον ἐκ τρίτου, λέγων· Εἰσάκουσόν μου, Κύριε. Εἰσάκουσόν μου, Δέσποτα. Εἰσάκουσόν μου, Ἅγιε. Οἱ δὲ λοιποὶ λέγουσι τὸ τροπάριον· Κύριε, ὅπλον κατὰ τοῦ διαβόλου, ἐν ᾗ λέγομεν καὶ ἕτερον τροπάριον, θεοτοκίον εἰς ἦχον α΄. Τὰς αἰτήσεις τῶν πιστῶν... Καὶ εὐθὺς καὶ ἀλείφει καὶ αὐτὸς ἅγιον ἔλαιον τὸν ποιοῦντα ἐκ τῆς εὐλογηθείσης κανδήλας, τῆς ἐχούσης τὸ ἅγιον ἔλαιον, λέγων καὶ τὴν εὐχήν· Πάτερ ἅγιε... Λέγεται δὲ ἡ παροῦσα εὐχή, ὕστερον κοινά(ῶς) παρὰ πάντων τῶν ἱερέων, εἶτα ψάλλομεν στιχηρὰ προσόμοια, ἦχος δ΄. Ἔδωκας τὴν χάριν σου... Βλέψον, ἀκατάληπτε... Χρίσει τοῦ ἐλαίου σου... Goar. p. 334—335. Δόξα, ἦχος δ΄. Πηγὴ ἰαμάτων... Καὶ νῦν, θεοτοκίον· Νεῦσον παρακλήσεσι... Εἶτα τίθουσι τὸ ἅγιον εὐαγγέλιον ἐπάνω τῆς κεφαλῆς τοῦ προσελθόντος, κρατοῦντες αὐτὸν οἱ ἱερεῖς ταῖς δεξιαῖς χερσίν, ὁ δὲ πρῶτος ἱερεύς, σταθεὶς κατὰ ἀνατολάς, λέγει τὴν εὐχὴν ταύτην ἐπάνω τῆς κεφαλῆς αὐτοῦ. Τοῦ Κυρίου δεηθῶμεν. Εὔσπλαγχνε, πολυέλεε Κύριε ὁ Θεὸς ἡμῶν, ὁ μὴ βουλόμενος τὸν θάνατον τοῦ ἁμαρτωλοῦ [1])... Прилож. стр. 133. Καὶ εὐθὺς λέγουσιν οἱ πάντες οἱ ἱερεῖς· Εἰσάκουσόν μου Κύριε. Εἰσάκουσόν μου, Δέσποτα. Εἰσάκουσόν μου, Ἅγιε. Τρισσεύοντες αὐτό, εἶτα τίθησιν ὁ προεστὼς τὴν χεῖρα αὐτοῦ ἐπάνω τῆς κεφαλῆς τοῦ κάμνοντος καὶ λέγει εἰς ἐπήκοον πάντων· Βλέπε, ἀδελφέ, τὸ ὑπόλοιπον τῆς ζωῆς σου Прилож. стр. 135, прим. μεθ' ἣν γίνεται ἐκτενὴ παρὰ τοῦ πρώτου τῶν ἱερέων· Ἐλέησον ἡμᾶς... Ἔτι δεόμεθα ὑπὲρ ἐλέους... Ὑπὲρ τοῦ συγχωρηθῆναι... Κύριε ἐλέησον μ΄. καὶ ἡ εὐχή· Ἐπάκουσον ἡμῶν [2])... καὶ γίνεται ἀπόλυσις. Сн. выше стр. 320—323.

л. 186 об. Τάξις καὶ ἀκολουθία ἐπὶ τελευτήσαντος κοσμικοῦ.

Ἐλθὼν ὁ ἱερεύς, οὗ ἦν κείμενος ὁ τεθνηκώς, μετὰ θυμιατοῦ, ποιεῖ εὐλογητὸν ἐπάνω τοῦ λειψάνου, καὶ ἀρχόμεθα τοῦ Τρισαγίου, τὸ Παναγία Τριάς, τὸ Πάτερ ἡμῶν, Ὅτι σοῦ ἐστίν... μεθ' ἣν τροπάριον, ἦχος πλ. α΄. Ἀνάπαυσον, Σωτὴρ ἡμῶν... Δόξα, τὸ αὐτό, Καὶ νῦν, θεοτοκίον· Ὁ ἐκ Παρθένου ἀνατείλας... καὶ εὐθὺς ἐκτενή· Ἐλέησον ἡμᾶς... Ὁ Θεὸς

---

[1]) Ркп. Синайск. библ. XVI в. № 989 Καὶ ἀσπάζεται τὸ ἅγιον εὐαγγέλιον καὶ εὐθὺς λέγει τὴν εὐχήν· Πάτερ ἅγιε, ἰατρὲ ψυχῶν καὶ σωμάτων... Δόξα, ἦχος δ΄. Πηγὴ ἰαμάτων... Καὶ νῦν, θεοτοκίον· Νεῦσον παρακλήσεσιν ἢ Ἐκ παντοίων... Εἶτα τίθησιν ὁ προεστὼς τὴν χεῖρα αὐτοῦ ἐπάνω τῆς κεφαλῆς τοῦ κάμν ντος καὶ λέγει· Βλέπε, ἀδελφέ... [2]) Καὶ μετὰ τὸ Ἀμὴν Εἰρήνη πᾶσι. Τὰς κεφαλάς. Δέσποτα πολυέλεε Κύριε... καὶ γίνεται ἀπόλυσις οὕτως· Χριστὸς ὁ ἀληθινός... (поминается апостолъ Іаковъ).

τῶν πνευμάτων καὶ πάσης σαρκός... Εἶθ' οὕτως αἴρεται τὸ λείψανον καὶ τίθεται ἐν κλίνῃ, ψαλλόντων ἡμῶν τὸ Τρισάγιον μετὰ μέλους. Τίθεται δὲ τὸ λείψανον ἐν τῇ γῇ δὶς ἕως ἂν ἀπέλθῃ ἐν τῷ κοιμητηρίῳ ἢ τῷ νάρθηκι, καὶ λέγει ἐπ' αὐτῷ ὁ ἱερεύς· Ἐλέησον ἡμᾶς... καὶ τὰ λοιπὰ σὺν τῇ εὐχῇ, καθὼς προεγράφη. Μετὰ δὲ τὸ ἀποκομισθῆναι τὸ λείψανον, συναχθέντων ἐν τῇ ἐκκλησίᾳ ἢ ἐν τῷ νάρθηκι, καὶ εὐλογοῦντος τοῦ ἱερέως, ἄρχεται ὁ ψάλτης εἰς ἦχον β΄. Ἄμωμοι ἐν ὁδῷ Вся 17 каѳизма, раздѣленная на три статьи ектеньями. Послѣ третьей статьи, непосредственно тропари εἰς ἦχον πλ. α΄. καὶ τὸ Εὐλογητὸς εἶ, Κύριε... Τῶν ἁγίων ὁ χορός... κ. τ. λ. εἶτα λέγομεν τὸν Ν΄. μεθ' ὃν τὰ νεκρώσιμα στιχηρὰ τοῦ Δαμασκηνοῦ, τροπάριον, ἦχος α΄. Ποία τοῦ βίου τρυφή... Ἔργῳ Σωτήρ... Δόξα καὶ νῦν, Ἁμαρτωλῶν τὰς δεήσεις. См. чины монашескаго погребенія, но безъ прибавленія третьей стихиры. Ἕτερα στιχηρὰ προσόμοια τοῦ κῦρ Θεοφάνους, ὧν ἡ ἀκροστιχίς κατ' ἦχον Σούς, Χριστέ, δούλους γράψον ἐν ζώντων βιβλίῳ· Σοῦ, Σῶτερ, δεόμεθα τῆς σῆς γλυκείας κ. τ. λ. Goar. p. 439 и т. д. Стихиры на всѣ 8 гласовъ. Εἶτα μνημονεύει ὁ ἱερεύς, ὡς προεγράφη. Μετὰ δὲ τὴν ἐκφώνησιν, λέγομεν τὸ κοντάκιον, ἦχος πλ. δ΄. Μετὰ τῶν ἁγίων ἀνάπαυσον... Αὐτὸς μόνος ὑπάρχεις ἀθάνατος... Παναγία Παρθένε ἀνύμφευτε, ἡ τεκοῦσα... καὶ αὖθις τὸ κοντάκιον· Μετὰ τῶν ἁγίων ἀνάπαυσον. Οἱ μακαρισμοί, ἦχος πλ. β΄. Λῃστὴν τοῦ παραδείσου, Χριστέ, πολίτην... Ἀθάνατος ὑπάρχων μόνε οἰκτιρμὸς τὸν μεταστάντα ἀνάπαυσον... Ἐν χώρᾳ τῶν ζώντων μετὰ δικαίων... Ἐλέησον τὸ πλάσμα σου, ἐλεήμων... Δόξα, Ἀνάρχῳ καὶ γεννήσει... Και νῦν, Πῶς ἐκ μαζῶν σου... Conf. Goar. p. 430. Προκείμενον· Ἡ ψυχὴ αὐτοῦ... Ὁ ἀπόστολος πρὸς Κορινθίους· Ἀδελφοί, Χριστὸς ἐγήγερται ἐκ νεκρῶν.... Τέλος· ἵνα ᾖ ὁ Θεὸς τὰ πάντα ἐν πᾶσιν. Ἀλληλουάριον, Μακάριος, ὃν ἐξελέξω... Εὐαγγέλιον κατὰ Ἰωάννην· Εἶπεν ὁ Κύριος πρὸς τοὺς πεπιστευκότας πρὸς αὐτὸν Ἰουδαίους· ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς... Τέλος· ἀλλὰ ἀναστήσω αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. Εἶτα λέγει ὁ ἱερεύς· Ἐλέησον ἡμᾶς... καὶ μνημονεύει, ὡς ἔθος. Μετὰ δὲ τὴν εὐχὴν καὶ τὴν ἐκφώνησιν, γίνεται ὁ ἀσπασμός, ἐν ᾧ καὶ ψάλλομεν στιχηρὰ νεκρώσιμα, ἦχος β΄. Δεῦτε τελευταῖον ἀσπασμόν... Δεῦτε ἐν τῷ τάφῳ... Πάντα τὰ τοῦ σώματος νῦν δὲ ὄργανα ἀργὰ θεωροῦνται... Ποῖος χωρισμός, ὦ ἀδελφοί, ποῖος κοπετός, ποῖος θρῆνος... Ὄντως ματαιότης καὶ φθορὰ πάντα τὰ τοῦ κόσμου... Ὅταν ἐκ τοῦ σώματος ψυχή... Ἄρτι τῶν ματαίων ἡ ἐλπὶς καὶ τῶν ἐπιγείων ἡ δόξα... Ἄρτι ἡ τοῦ βίου πονηρὰ λύεται πανήγυρις πᾶσα... Μέγας ὁ κλαυθμὸς καὶ ὀδυρμός... Οἷα ἡ ζωὴ ἡμῶν ἐστὶν ἄνθος καὶ ἀτμίς τε καὶ δρόσος... Δεῦτε, οἱ

ἀπόγονοι Ἀδάμ, εἰς γῆν κεκλημένον... Πάντες οἱ ὁρῶντές με νεκρόν... Σῶζε τοὺς ἐλπίζοντας εἰς σέ, Μήτηρ τοῦ ἀδύτου ἡλίου... Ὁρῶντές με ἄφωνον καὶ ἄπνουν... Καὶ νῦν, Θεὸν ἐκ σοῦ σαρκωθέντα... Καὶ εὐθὺς Τρισάγιον, τὸ Παναγία Τριάς, τὸ Πάτερ ἡμῶν, Ὅτι σοῦ ἐστίν, εἶτα τὰ παρόντα τροπάρια, ἦχος δ'. Μετὰ πνευμάτων δικαίων и д. д. εἶτα ὁμοῦ ὅλοι οἱ ἱερεῖς λέγουν· Ἐλέησον ἡμᾶς, καὶ μνημονεύει, καθὼς προεγράφη. Μετὰ τὴν εὐχὴν καὶ τὴν ἐκφώνησιν, γίνεται ἀπόλυσις οὕτως· Ὁ ἀναστὰς ἐκ νεκρῶν Χριστὸς ὁ ἀληθινός... Εἶτα λέγουσι πάντες οἱ ἱερεῖς, εὐλογοῦντες ἅμα καὶ τὸ λείψανον· Αἰωνία σου ἡ μνήμη, ἀξιομακάριστε ὁ δεῖνα, ἐκ γ'. Καὶ εὐθὺς λέγουσι πάντες οἱ ἀδελφοί· Ὁ Θεὸς μακαρίσοι καὶ ἀναπαύσοι αὐτόν. Εἶθ' οὕτως ἄραντες τὴν κλίνην, ἀπέρχονται ἐν τῷ τάφῳ ἢ τῷ κοιμητηρίῳ, ψαλλόντων ἡμῶν τὸ Ἅγιος ὁ Θεός, ἐκ γ'. ἡσύχως καὶ τὸ Ἀνάπαυσον, Σωτὴρ ἡμῶν, Δόξα, τὸ αὐτό, Καὶ νῦν, Ὁ ἐκ Παρθένου ἀνατείλας. Φθάσαντες ἐν τῷ τάφῳ ἢ τῷ κοιμητηρίῳ, ἄραντες τὸ λείψανον, θάπτουσιν αὐτό, ψάλλουσι καὶ τροπάριον, ἦχος πλ. δ'. Γῆ χανοῦσα... καὶ οὕτως σφαλίζεται ὁ τάφος, ψαλλόντων ἡμῶν τροπάριον, ἦχος γ'. Τῷ τύπῳ τοῦ σταυροῦ σου, φιλάνθρωπε.. Στίχος· Τοῦ Κυρίου ἡ γῆ... πάλιν τὸ αὐτό, Δόξα καὶ νῦν, Θεοτόκε, ἡ προστασία πάντων τῶν δεομένων... Ἕτερα στιχηρὰ νεκρώσιμα, ἦχος δ'. Μετὰ πνευμάτων δικαίων. Στίχος· Εἰσαγαγὼν καταφύτευσον.. Εἰς τὴν κατάπαυσίν σου... Στίχος· Κύριος ποιμαίνει... Σὺ εἶ, ὁ Θεός, ὁ καταβὰς εἰς ᾅδου... Δόξα καὶ νῦν, Ἡ μόνη ἁγνή... Εἰς τὸν πηλὸν τροπάριον, ἦχος πλ. β'. πρὸς τὸ Βοηθὸς καὶ σκεπαστής. Τὸν πηλὸν ὁ κεραμεὺς ζωοπλαστήσας... Λέγεται τοῦτο πολλάκις, εἶτα τοὺς παρόντας εἱρμοὺς τοῦ πλ. β'. Βοηθὸς καὶ σκεπαστής... ᾠδὴ γ'. Στερέωσον, Κύριε, ἐπὶ τὴν πέτραν... и т. д. всѣ девять пѣсней καὶ εὐθὺς τὸ Τρισάγιον, τὸ Παναγία Τριάς, τὸ Πάτερ ἡμῶν, ὁ ἱερεὺς Ὅτι σοῦ... καὶ εὐθὺς τροπάριον νεκρώσιμον, ἦχος β'. Μνήσθητι, Κύριε, ὡς ἀγαθός... Δόξα, Μῆτερ ἁγία, ἡ τοῦ ἀφράστου... Εἶτα γίνεται ἐκτενὴ παρὰ τοῦ ἱερέως· Ἐλέησον ἡμᾶς... καὶ μνημονεύει ὁ ἱερεύς, καθὼς προεγράφη. Μετὰ δὲ τὴν εὐχὴν καὶ τὴν ἐκφώνησιν, γίνεται ἀπόλυσις, ὡς προεγράφη. Εἶθ' οὕτως εἰσερχόμεθα ἐν τῇ ἐκκλησίᾳ, καὶ ποιεῖ ὁ ἱερεὺς τὴν συνήθη ἐκτενὴν ἐντὸς τοῦ βήματος, ἔμπροσθεν τῆς ἁγίας τραπέζης· Ἐλέησον ἡμᾶς... Ἔτι δεόμεθα ὑπὲρ τοῦ διαφυλαχθῆναι... Τὸ Κύριε ἐλέησον μ'. καὶ ἡ εὐχή· Ἐπάκουσον ἡμῶν, ὁ Θεός... καὶ γίνεται ἀπόλυσις· Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν... Εἶθ' οὕτως, στραφεὶς ὁ ἱερεὺς κατὰ ἀνατολάς, ἐπεύχεται μετὰ τοῦ λαοῦ, ποιοῦντες καὶ μετανοίας ιβ'. ὑπὸ τοῦ κοιμηθέντος ἀδελφοῦ ἡμῶν, ὅσοι ὑπάρχουσιν ἐν τῇ ἐκκλησίᾳ· ἐν ἑκάστῃ δὲ μετανοίᾳ λέγουσιν· Ἡ ψυχὴ αὐτοῦ ἐν ἀγαθοῖς αὐλισθήσεται. Στραφεὶς δὲ ὁ ἱερεὺς

ἀπὸ ἀνατολὰς πρὸς δυσμάς, λέγει μεγαλοφώνως· Αἰωνία σου ἡ μνήμη, ἀξιομακάριστε ὁ δεῖνα καὶ ἀείμνηστε ἀδελφὲ ἡμῶν. Εἶτα λέγουσιν ὁμοῦ πάντες οἱ ἀδελφοί· Ὁ Θεὸς μακαρίσοι καὶ ἀναπαύσοι αὐτούς, ἔνθα οἱ δίκαιοι ἀναπαύονται καὶ ἡμᾶς ἐλεήσοι, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος. Εἶτα ἀπέρχονται ἐν τῷ οἴκῳ, ἔνθα ἀπέψυξεν ὁ μεταστὰς ἀδελφός, ψάλλονται τροπάρια νεκρώσιμα, ἦχος δ'. Μετὰ πνευμάτων δικαίων... καὶ τὰ ἕτερα, καὶ μνημονεύομεν, ὡς προεγράφη, ποιοῦντες καὶ ἀπόλυσιν, ὡς ἔθος.

л. 224. Ἀφορκισμὸς τοῦ Μεγάλου Βασιλείου εἰς πάσχοντας ὑπὸ πνευμάτων ἀκαθάρτων. Goar. p. 578.

**LXXIV**. № 984 Εὐχολόγιον, рукопись той же библ. въ 4 долю листа, 234 листа, писана разгонистымъ почеркомъ XV вѣка. Имѣется на выходномъ листѣ слѣдующая приписка: 1687 Ἐτοῦτο τὸ εὐχολόγιον ὑπάρχει κἀμοῦ Ἀνανίου, τλήμονος ἱερομονάχου τοῦ Λιβισιανοῦ καὶ τὸ ἀφιέρωσα εἰς τοὺς ἁγίους μ'. τοὺς ἐν τῷ Σιναίῳ ἁγίῳ ὄρει καὶ ὁ ξενώσας αὐτὸ ἐκ τῆς μονῆς τῶν ἁγίων μ'. ἔξει, ὡς ἐθνικὸς καὶ ὁ τελώνης καὶ ὁ προδότης Ἰούδας.

л. 1. Ἀρχὴ τοῦ εὐχολογίου καὶ τοῦ ἑσπερινοῦ.

Во время предначинательнаго псалма положено читать первыя три вечернія молитвы Goar. p. 28. Молитва входа на своемъ мѣстѣ. На сугубой ектеньѣ положено читать молитву прилежнаго моленія, а на ектеньѣ просительной—молитву на главопреклоненіе.

л. 5. Чинъ утрени.

Начинается Трисвятымъ и тропарями: Σῶσον, Κύριε, τὸν λαόν... Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ... Προστασία φοβερά... Во время шестопсалмія три молитвы. Goar. p. 39—40. Далѣе чинъ обычный безъ молитвъ.

л. 9 об. Τῶν ἁγίων Θεοφανίων ὁ ἁγιασμός, μετὰ τὴν θείαν λειτουργίαν.

л. 19 об. Ἀκολουθία τῆς μνήστρας.

Μετὰ τὴν θείαν λειτουργίαν, τοῦ ἱερέως ἑστῶτος ἐν τῷ ἱερατείῳ, παρίστανται οἱ μέλλοντες μνηστευθῆναι πρὸ τῶν ἁγίων θυρῶν, ὁ ἀνὴρ ἐκ δεξιῶν, ἡ δὲ γυνὴ ἐξ ἀριστερῶν· (ἀ)πόκεινται δὲ ἐν τῷ δεξιῷ μέρει τῆς ἁγίας τραπέζης δακτυλίδια β'. χρυσὸν καὶ ἀργυρόν, ἀπονέμονται πρὸς τὰ δεξιά, τὸ δὲ χρυσὸν πρὸς τὰ ἀριστερὰ οἱ συγγενεῖς ἀλλήλων, καὶ σφραγίσας ἐκ γ'. τὰς κεφαλὰς τῶν νεονύμφων ὁ ἱερεύς, λέγοντος τοῦ διακόνου· Εὐλόγησον, δέσποτα. Ὁ ἱερεύς, λέγοντος τοῦ διακόνου· Εὐλόγησον, δέσποτα, ὁ ἱερεύς· Εὐλογημένη ἡ βασιλεία... Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς

ἄνωθεν... Ὑπὲρ τῆς εἰρήνης... Ὑπὲρ τοῦ ἁγίου οἴκου.. Ὑπὲρ τοῦ δούλου τοῦ Θεοῦ ὁ δεῖνα καὶ τῆς δούλης... Ὑπὲρ τοῦ παρασχεθῆναι αὐτοῖς... Ὅπως Κύριος ὁ Θεὸς ἡμῶν χαρίσηται αὐτοῖς... Ὑπὲρ τοῦ ῥυσθῆναι... Τῆς παναγίας.. Καὶ τούτου λεγομένου, εὔχεται ὁ ἱερεὺς τὴν εὐχὴν ταύτην. Τοῦ Κυρίου δεηθῶμεν. Ὁ Θεὸς ὁ αἰώνιος, ὁ τὰ διῃρημένα... Εἰρήνη πᾶσι. Τὰς κεφαλάς. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὴν ἐξ ἐθνῶν μνηστευσάμενος.. Goar. p. 311. Καὶ μετὰ τὸ Ἀμὴν ἐπιδίδωσι τῷ ἀνδρὶ τὸ χρυσοῦν δακτυλίδιον, τὸ δὲ ἀργυροῦν τῇ γυναικί, ποιῶν ἐν σχήματι σταυροῦ ἐν τῇ χειρὶ αὐτοῦ, λέγων· Εἰς τὸ ὄνομα τοῦ Πατρὸς (καὶ τοῦ Υἱοῦ) καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεί... καὶ ἀλλάσσουσιν αὐτὰ ἐκ τρίτου, ὁμοίως καὶ τὰ κηρία καὶ οὕτως ὁ ἀνὴρ τὴν γυναῖκα, καὶ ποιεῖ ὁ ἱερεὺς ἀπόλυσιν.

Ἐὰν δὲ βούλωνται στεφανωθῆναι, λαμβάνει ὁ ἱερεὺς τὰ στέφανα καὶ τίθουσιν αὐτὰ ἐν τῇ ἁγίᾳ τραπέζῃ, καὶ ἄρχεται φορεμένος λέγειν οὕτως· Εὐλογημένη ἡ βασιλεία... καὶ ἄρχονται οἱ ψάλται τὸν παρόντα ψαλμόν, ψάλλουν μετὰ μέλους· Μακάριοι πάντες οἱ φοβούμενοι τὸν Κύριον... Εἶτα λέγει ὁ ἱερεὺς τὰ εἰρηνικά· Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῆς εἰρήνης... Ὑπὲρ τοῦ ἁγίου οἴκου... Ὑπὲρ τοῦ δούλου τοῦ Θεοῦ ὁ δεῖνα καὶ τῆς δούλης τοῦ Θεοῦ ἡ δεῖνα, τῶν νῦν συναπτομένων.. Ὑπὲρ τοῦ εὐλογηθῆναι τὸν γάμον... Ὑπὲρ τοῦ παρασχεθῆναι αὐτοῖς σωφροσύνην... Ὑπὲρ τοῦ εὐφρανθῆναι αὐτούς... Ὑπὲρ τοῦ ῥυσθῆναι... Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας... Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν, τὸ Τρισάγιον, εἶτα ὁ ἀπόστολος, προκείμενον, ἦχος δ'. Δόξῃ καὶ τιμῇ ἐστεφάνωσας... Πάντα ὑπέταξας... Πρὸς Ἐφεσίους ἐπιστολῆς Παύλου· Ἀδελφοί, ὡς τέκνα φωτὸς περιπατεῖτε .. Τέλος· καὶ προσωποληψία οὐκ ἔστι παρὰ τῷ Θεῷ. Εἶτα τὸ ἀλληλουάριον, Ἡ γυνή σου (ὡς) ἡ ἄμπελος... Οἱ υἱοί σου, ὡς νεόφυτα. Ἐκ τοῦ κατὰ Ἰωάννην. Goar. p. 318. Εἴπωμεν πάντες... Κύριε παντοκράτωρ... Ἐλέησον ἡμᾶς... Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, εἰρήνης... Ἔτι δεόμεθα ὑπὲρ τοῦ περιεστῶτος... Ὅτι ἐλεήμων... Ὁ Θεὸς ὁ αἰώνιος, ὁ πλάσας τὸν ἄνθρωπον ἐκ τῆς πλευρᾶς αὐτοῦ, ἀνοικοδομήσας γυναῖκα καὶ συζεύξας αὐτὸν βοηθὸν (здѣсь пропускъ) τοῦ ποθεῖν ἑαυτοὺς ἄλυπον καὶ ἀσκανδάλιστον τὸν βίον τῆς συζυγίας αὐτῶν διατελεῖν εὐδόκησον· ἐπὶ σοὶ γὰρ κεκλίκασιν τὰς ἑαυτῶν κεφαλάς, σοῦ δέονται καὶ σὲ παρακαλοῦσι· σὺ γὰρ εἶ ὁ πηλῷ πλάσας τὸν ἄνθρωπον μόνον ἐπὶ τῆς γῆς, ποίησον βοηθὸν κατ' αὐτοῦ... См. выше стр. 568. Εἰρήνη πᾶσι. Τὰς κεφαλάς... Κύριε ὁ Θεός, ὁ ἐν τῇ σωτηριώδει οἰκονομίᾳ... Goar. p. 318 καὶ καταξίωσον αὐτοὺς ἐν γήραϊ πίονι καταντῆσαι, παράσχου δὲ αὐτοῖς τὴν χάριν καὶ τὴν εὐλογίαν, ἣν ἔδωκας τῷ θεράποντί σου Ἰακὼβ καὶ τῷ δούλῳ Ἰωσὴφ καὶ τῇ δούλῃ σου Ἀσυνέθ, καὶ ἔστωσαν οἱ ὀφθαλμοί σου ἀτενίζοντες εἰς αὐτούς, καὶ τὰ ὦτά σου

ἀκούειν τῆς δεήσεως αὐτῶν, εὔφρανον αὐτοὺς ἐν ὁράσει υἱῶν αὐτῶν καὶ θυγατέρων· σὺ γὰρ εἶπας, Δέσποτα, τίμιον ἀναδείξας τὸν γάμον καὶ τὴν κοίτην ἀμίαντον αὐτῶν διατέλεσον καὶ διατήρησον, ἀκηλίδωτον τὸν βίον αὐτῶν σὺν τῇ βιώσει διαμεῖναι εὐδόκησον, διαφύλαξον αὐτοὺς ἐν πίστει, ἐν ὁμονοίᾳ, ἐν ἀγάπῃ, ἐν εἰρήνῃ, ἐν ἁγιασμῷ μετὰ φόβου σου, ἵνα φοβῶνταί σε πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτῶν καὶ ἐργαζόμενοι τὰς ἐντολάς σου καταξιωθῶσι τῆς ἐπουρανίου βασιλείας. Ὅτι σὺ εἶ ὁ Θεὸς τοῦ ἐλεεῖν καὶ σώζειν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν... Ἀντιλαβοῦ, σῶσον... Τὴν ἡμέραν πᾶσαν... Ἄγγελον εἰρήνης... и т. д. Καὶ καταξίωσον ἡμᾶς, Δέσποτα... Ὁ λαὸς τὸ Πάτερ ἡμῶν. Ὁ ἱερεύς· Ὅτι σοῦ ἐστίν... Εἰρήνη πᾶσι. Τὰς κεφαλάς. Ὕψιστε παντέφορε, ὁ τῷ λόγῳ τοῦ προστάγματός σου τὰ πάντα συστησάμενος, ἔπιδε ἐφ' ἡμᾶς ἐξ ἁγίου σου ὑψώματος καὶ ἐπὶ τοὺς δούλους σου τούτους, ὅτι σῇ χάριτι ἐστεφάνωσας αὐτούς, καὶ θεὶς ἐπὶ τὰς κεφαλὰς αὐτῶν στέφανον γαμικόν, χάρισαι οὖν αὐτοῖς καὶ μακρότητα ἡμερῶν. Εἶτα λέγομεν· Πρόσχωμεν. Τὰ προηγιασμένα ἅγια. Μεταδίδει αὐτοῖς μετὰ ἑτέρου ἀγγείου οἶνον ἀνὰ γ'. ἑνὶ ἑκάστῳ καὶ ῥαίνει ἀπὸ τοῦ οἴνου ἄνω ἐπὶ τὰς κεφαλὰς αὐτῶν, ψάλλοντες οἱ ψάλται· Ποτήριον σωτηρίου... Εἶτα συνθλάττει ὁ ἱερεὺς τὸ ἀγγεῖον τοῦ οἴνου, καὶ ἀναλαμβάνει τὰ κηρία καὶ δίδει αὐτὰ προπορεύεσθαι ἔμπροσθεν τῶν νεονύμφων καὶ σφραγίζων αὐτοὺς ἐκ γ'. λέγων· Ἀδελφοί, χαίρετε ἐν Κυρίῳ πάντοτε... См. выше стр. 465.

Εὐχὴ εἰς τὴν ἔπαρσιν τῶν στεφάνων.

Τοῦ Κυρίου δεηθῶμεν. Ὁ Θεὸς ὁ Θεὸς ἡμῶν, ὁ παραγενόμενος ἐν Κανᾷ τῆς Γαλιλαίας. Goar. p. 520 καὶ ἀναλαμβάνων τοὺς στεφάνους ὁ ἱερεὺς ἀπὸ τὰς κεφαλὰς αὐτῶν, καὶ δίδει αὐτοὺς τῷ ἀναδόχῳ, καὶ γίνεται ἀπόλυσις.

л. 29 об. Ἀκολουθία τοῦ μικροῦ ἁγιασμοῦ.

Обычное начало и тропари: Ἡ τὸ χαῖρε δι' ἀγγέλου... 4 стихъ Γηγενῶν σε τοῦ βροτείου παντὸς γένους... 12 Λῦσον πάντας τῶν δεσμῶν τῶν ἐγκλημάτων... 16 Ὄμβρισόν μοι τοῦ ἐλέους σου, Παρθένε, θείαν δρόσον... 17 Προστασία τῶν ἀνθρώπων σὺ ὑπάρχεις, Παναγία, ἐλπὶς καὶ βοήθεια... 21 Ὕμνον πάντες ἐκβοῶμέν σοι τὸ λυτροχαριστήριον, Παρθένε... 22 Φῶς τεκοῦσα, παναγία Θεοτόκε, φώτισόν με τὰ ὄμματα δέομαι... 23 Χαῖρε μόνη, ἡ τὸ χαῖρε δι' ἀγγέλου δεξαμένη... 24 Ψυχικῶν μου μολυσμάτων καὶ ῥυτίδων, Θεοτόκε, ἀπόπλυνον δέομαι... Ὦ Παρθένε, ἡ τεκοῦσα τὸν Σωτῆρα... Προστασίαις τῶν τιμίων ἀσωμάτων ἀρχαγγέλων, ἀγγέλων σου, Κύριε... Ταῖς πρεσβείαις προφητῶν καὶ ἀποστόλων καὶ μαρτύρων καὶ πάντων τῶν ἁγίων σου... Ὥσπερ πάλαι τοὺς

δεσμώτας ἐλύτρωσας ἐκ θανάτου, οὕτως ἡμᾶς λύτρωσαι πειρατηρίων τοῦ βίου, Νικόλαε... Ἀναργύρων ἡ δυὰς ἱερωτάτη τοὺς ἐν νόσοις ἰάσασθαι, ἅγιοι Κοσμᾶ καὶ Δαμιανέ, δεόμεθα πάντοτε. Σὺν ἁγίοις ἱεράρχαις καὶ ὁσίοις καὶ δικαίοις καὶ ἱερομάρτυσι, Χριστέ, πρεσβείαις σῶσον ψυχὰς ἡμῶν. Τὸν Πατέρα καὶ Υἱὸν ἐξομολογοῦμεν... Ὡς τὸν κτίστην τῶν ἁπάντων συλλαβοῦσα ἐν γαστρί σου, Παρθένε, καὶ τέξασα, Αὐτὸν δυσώπει σῶσαι τὰς ψυχὰς ἡμῶν. Νῦν ἐπέστη ὁ καιρός... Καὶ νῦν, Παναγία Θεοτόκε τῶν χειρῶν ἡμῶν... апостолъ, евангелie и ектенья: Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῆς εἰρήνης... Ὑπὲρ τοῦ ἁγίου οἴκου... Ὑπὲρ τοῦ ἁγιασθῆναι τὸ ὕδωρ... Ὑπὲρ τοῦ καταπεμφθῆναι αὐτῷ τὴν χάριν... Ὑπὲρ τοῦ δωρηθῆναι αὐτῷ δύναμιν ἰαματικήν... Ὑπὲρ τοῦ γενέσθαι αὐτῷ εἰς ἴασιν ψυχῆς καὶ σώματος... Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς... Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας... Εἶτα τὴν εὐχήν. Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ μέγας τῇ βουλῇ. Goar. p. 361. Окончанie обычное.

л. 38. Τάξις εἰς τὸ ποιῆσαι κατηχούμενον.

Εἰσέρχεται ἐν τῷ ναῷ καὶ ἐπιτίθησι τὴν χεῖρα ὁ ἱερεὺς ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, καὶ λέγει τὴν εὐχὴν ταύτην ἅπαξ. Τοῦ Κυρίου δεηθῶμεν. Ἐπὶ τῷ ὀνόματί σου, Κύριε ὁ Θεὸς τῶν δυνάμεων... κ. τ. λ. Goar. p. 275—276. Τάξις (εἰς) τὸ ἀποτάξαι παιδίον. Προσφέρει αὐτὸ ὁ ἀνάδοχος ἐν τῇ ἐκκλησίᾳ, καὶ ἐμφυσᾷ ὁ ἱερεὺς τρίτον καὶ σφραγίζει τὸ μέτωπον αὐτοῦ καὶ τὸ στόμα, καὶ τὸ στῆθος, εἶτα λέγει· Ἐξέλασον ἀπ' αὐτοῦ πᾶν πονηρόν... p. 277.

Ἀποτάσσομαι τῷ σατανᾷ; Ἀποτάσσομαι.
Καὶ πᾶσι τοῖς ἔργοις αὐτοῦ; Ἀποτάσσομαι.
Καὶ πάσῃ τῇ λατρείᾳ αὐτοῦ; Ἀποτάσσομαι.
Καὶ πάσῃ τῇ πομπῇ αὐτοῦ; Ἀποτάσσομαι.

Καὶ ἀποκρίνεται ὁ κατηχούμενος πρὸς ἕκαστον τοῦτον ἢ ὁ ἀνάδοχος αὐτοῦ· Ἀποτάσσομαι. Εἶτα πάλιν ὁ ἱερεύς· Ἀπετάξω τῷ σατανᾷ; Καὶ ἀποκρίνεται ὁ κατηχούμενος· Ἀπεταξάμην. Καὶ ὅτε εἴπῃ τρίτον, ὁ ἱερεύς· Καὶ ἐμφύσησον αὐτῷ. Καὶ μετὰ τὸ ἐμφυσῆσαι, ἵσταται αὐτὸν κατὰ ἀνατολὰς κάτω τὰς χεῖρας ἔχοντα καὶ λέγων γʹ. Καὶ συντάσσῃ τῷ Χριστῷ; Συντάσσομαι τῷ Χριστῷ καὶ Πιστεύω εἰς ἕνα Θεὸν μέχρι τέλους. Πρῶτος ὁ ἱερεὺς μέχρι τέλους. Ἐρωτᾷ ὁ ἱερεὺς τὸν βαπτιζόμενον πάλιν γʹ. Συνετάξω τῷ Χριστῷ; Καὶ ἀποκρίνεται· Συνεταξάμην. Καὶ (ὅτε) εἴπῃ τρίτον, λέγει ὁ ἱερεύς· Καὶ προσκύνησον αὐτόν. Καὶ μετὰ ταῦτα εὐχὴν ὁ ἱερεύς· Τοῦ Κυρίου δεηθῶμεν. Δέσποτα Κύριε ὁ Θεός, προσκάλεσαι τὸν δοῦλόν σου... Goar. p. 278. Ὑπὲρ τοῦ ἁγιασθῆναι τὸ ὕδωρ τοῦτο... Ὑπὲρ τοῦ καταπεμφθῆναι αὐτῷ τὴν χάριν τῆς ἀπολυτρώσεως... Ὑπὲρ τοῦ ἁγιασθῆναι αὐτῷ βαπτιζομένους... Ὑπὲρ

τοῦ πᾶσαν ἐν αὐτῷ τοῦ ψυχοκτόνου πολεμίου τὴν δύναμιν βυθισθῆναι... Ὑπὲρ τοῦ τέκνα φωτὸς ἀναφανῆναι τοὺς ἐν αὐτῷ βαπτιζομένους τοῦ... Ὑπὲρ τοῦ σκεύη γενέσθαι αὐτοὺς ἡγιασμένα πρὸς ὑποδοχὴν τοῦ θείου μυστηρίου... Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς καὶ ἀνάγκης... Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας... Εἰρήνη πᾶσι. Τὰς κεφαλάς... Καὶ ἐπεύχεται ὁ ἱερεύς· Τοῦ Κυρίου δεηθῶμεν. Ὁ εὔσπλαγχνος καὶ ἐλεήμων Θεός. Goar. p. 288. Εἶτα ἀνιστάμενος ἐκφωνεῖ τὴν εὐχὴν ταύτην· Μέγας εἶ, Κύριε, καὶ θαυμαστὰ τὰ ἔργα σου. Ibid. Ἡ εὐχὴ εἰς τοὺς πρὸς ὥραν βαπτιζομένους καὶ ἐμφυσᾷ εἰς τὸ ὕδωρ τρίτον, καὶ σφραγίζει τρίτον· Συντριβήτωσαν ὑπὸ τὴν σημείωσιν τοῦ σταυροῦ σου. Goar. p. 289. Εἶτα χύνει τὴν κανδήλαν. Καὶ μετὰ τὸ Ἀμήν, Εἰρήνη πᾶσι. Τὰς κεφαλάς. Καὶ κλίνει τὴν κεφαλὴν ἡμῶν, ὁ ἱερεὺς εἰς τὸ ἀγγεῖον τοῦ ἐλαίου καὶ ἐμφυσᾷ τρίτον, καὶ σφραγίζει τρίτον, καὶ λέγει· τοῦ Κυρίου δεηθῶμεν. Δέσποτα Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν, ὁ τοῖς ἐν τῇ κιβωτῷ τοῦ Νῶε. Goar. p. 289. Καὶ μετὰ τὸ Ἀμήν, τοῦ διακόνου λέγοντος· Πρόσχωμεν, λαμβάνει ὁ ἱερεὺς τὸ τρυβλίον τοῦ ἐλαίου καὶ ποιεῖ ἐξ αὐτοῦ εἰς τὸ ὕδωρ σταυροὺς γ'. ψάλλων τὸ Ἀλληλούια σὺν τῷ ὄχλῳ, ἀποτίθεται τὸ τρυβλίον ἐκφωνεῖ· Εὐλογητὸς ὁ Θεός, ὁ φωτίζων καὶ ἁγιάζων... Καὶ χρίεται ὁ βαπτιζόμενος ὑπὸ τοῦ ἱερέως τῷ ἁγίῳ ἐλαίῳ, ποιεῖ σταυροὺς ἐπὶ τοῦ μετώπου καὶ τοῦ στήθους καὶ τῶν μεταφρένων, λέγει ὁ ἱερεύς· Χρίεται ὁ δοῦλος τοῦ Θεοῦ ὁ δεῖνα ἔλαιον ἀγαλλιάσεως, εἰς τὸ ὄνομα... Καὶ χρίεται αὐτοῦ ὅλον τὸ σῶμα ὑπὸ τοῦ ἀναδόχου ἐκ τοῦ ἁγίου ἐλαίου... Καὶ μετὰ τοῦτο βαπτίζεται ὑπὸ τοῦ ἱερέως, κρατῶν αὐτοῦ ταῖς χερσὶ καὶ ὁρῶν αὐτοῦ τὸ πρόσωπον, λέγων οὕτως· Βαπτίζεται ὁ δοῦλος τοῦ Θεοῦ εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος.. ὑπὲρ κεφαλῆς. Καὶ μετὰ τὸ βαπτισθῆναι, ψάλλει ὁ ἱερεὺς σὺν τῷ ὄχλῳ τὸ Μακάριοι, ὧν ἀφέθησαν... ἐκ γ'. Καὶ ἀμφυέννεται ὁ βαπτισθεὶς παρὰ τοῦ ἀναδόχου καὶ ἐπεύχεται ὁ ἱερεύς· Τοῦ Κυρίου δεηθῶμεν. Εὐλογητὸς εἶ, Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ἡ πηγὴ τῶν ἀγαθῶν. Goar. p. 290. Καὶ μετὰ τὴν εὐχὴν ποιεῖ ὁ ἱερεὺς εἴσοδον καὶ κύκλῳ τοῦ ἄμβωνος μετὰ τοῦ βαπτιζομένου, ἀναδόχου, ψάλλων· Ὅσοι εἰς Χριστόν... κυκλῶν τοῦ ἄμβωνος ἐκ γ'. καὶ βαλὼν αὐτόν, εἶτα χρίει αὐτῷ τὸ μύρον, πρὸς τὸν βαπτισθέντα ποιῶν τύπον σταυροῦ ἐπὶ τοῦ μετώπου καὶ τοῖς ὀφθαλμοῖς, καὶ τῶν μυκτήρων, καὶ τοῦ στόματος, καὶ τῶν δύο ὤτων, χειρῶν, ποδῶν, λέγει οὕτως ἐπὶ τοῦ μετώπου· Σφραγὶς δωρεᾶς Πνεύματος ἁγίου. Ἀμήν· Ἐπὶ τῶν ὀφθαλμῶν· Εἰς φωτισμὸν γνώσεως. Ἀμήν. Ἐπὶ τῶν μυκτήρων· Εἰς ὀσμὴν εὐωδίας. Ἀμήν. Ἐπὶ τοῦ στόματος· Εἰς λόγον ἀληθείας. Ἀμήν. Καὶ (ἐπὶ) τῶν δύω ὤτων· Εἰς ἀκοὴν

πίστεως. Ἀμήν. Ἐπὶ τῶν χειρῶν· Εἰς ζυγὸν δικαιοσύνης. Ἐπὶ τῆς καρδίας· Εἰς στηριγμὸν καρδίας. Καὶ τῶν δύο ποδῶν· Εἰς ὁδὸν δικαιωμάτων. Ἀμήν. Καὶ εἰσέρχεται ὁ ἱερεὺς μετὰ τῶν νεοφωτίστων, καὶ γίνεται ἡ ἀκολουθία τῆς θείας λειτουργίας, καὶ λαμβάνει τὰς τεταγμένας λειτουργίας καὶ κοινωνίας.

л. 50 об. Εἰσέρχεται μετὰ τοῦ ἀναδόχου εἰς τὸ ἀπολοῦσαι, εὐλογεῖ ὁ ἱερεὺς συνήθως, εἶτα λέγει τὴν εὐχήν· Ὁ λύτρωσιν ἁμαρτιῶν διὰ τοῦ ἁγίου σου βαπτίσματος... Goar. p. 303. Καὶ λαβὼν ἀγγεῖον μετὰ οἴνου, ἀπονίπτει τὸν νεοφώτιστον μετὰ τῶν αὐτῶν ἀμφίων, λέγων· Ἐκκλησιάσθης, ἐβαπτίσθης, ἀπελούσθης, εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. Καὶ πάλιν ὁ ἱερεὺς ἐπεύχεται τῆς εὐχῆς· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καθαρίσας ἡμᾶς τοὺς δούλους σου. Goar. p. 305. Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τῇ εἰκόνι σου τιμήσας τὸν ἄνθρωπον. Goar. p. 506. Εἶτα κείρει τὴν κόμην τῆς κεφαλῆς σταυροειδῶς, λέγει· Κείρεται τὴν κόμην τῆς κεφαλῆς εἰς τὸ ὄνομα τοῦ Πατρός... Σὲ ἱκετεύομεν, Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐκ τοῦ πληρώματος τῆς κολυμβήθρας. Goar. p. 306. Καὶ ἀπόλυσις.

л. 52 об. Εὐχὴ τοῦ σφραγίσαι τὸ παιδίον, τῇ ὀγδόῃ ἡμέρᾳ λαμβάνον ὄνομα.

Εἰσέρχεται ὁ ἱερεὺς μετὰ ἐπιτραχηλίου καὶ ποιεῖ εὐλογητόν, Τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν, Ὅτι σοῦ ἐστίν, εἶτα ἀπολυτίκιον τῆς ἡμέρας, εἶτα σφραγίζει εἰς τὴν κανδήλαν καὶ ἐμφυσᾷ αὐτῷ· Κύριε, σοῦ δεόμεθα καὶ σὲ ἱκετεύομεν, σημειωθήτω τὸ φῶς τοῦ προσώπου σου. Goar. p. 264.

л. 53 об. Εὐχὴ μετὰ τὸ μ'.

Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ πᾶσαν φύσιν λογικὴν καὶ νοερὰν δημιουργήσας τῷ λόγῳ σου... Goar. p. 267.

л. 54. Τάξις μετὰ τὸ τεσσαρακοστὸν εἰς τὸ ἐκκλησιάσαι παιδίον.

Προσφέρει αὐτὸ ὁ ἀνάδοχος, καὶ ὁ ἱερεὺς μετὰ ἐπιτραχηλίου ποιεῖ εὐλογητόν, Τρισάγιον, ἀπολυτίκιον. Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν τεσσαράκοντα ἡμέραις εἰς τὸ ἱερὸν ἀνελθών... Прилож. стр. 19. Χαῖρε, κεχαριτωμένη Θεοτόκε Παρθένε... καὶ τὸ κοντάκιον· Ὁ μήτραν παρθενικήν... Ἐκ τοῦ κατὰ Ἰωάννην· Ἐν ἀρχῇ ἦν ὁ λόγος καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεόν... Τέλος· ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο.

л. 56. Εὐχὴ εἰς λεχῶνα.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ Πλάστης καὶ Δημιουργὸς τῶν ἁπάντων, ὁ πλάσας τὸν ἄνθρωπον... Прилож. стр. 1. Εὐχὴ ἑτέρα· Κύριε ὁ Θεὸς

ἡμῶν, ὁ τῷ Ἀδὰμ καὶ τῇ Εὔᾳ συγχωρήσας καὶ καλέσας τῇ παραβάσει αὐτῶν. См. выше стр. 491.

л. 57 об. Εὐχὴ εἰς γυναῖκα, ὅταν ἀποβάλλεται. Goar. p. 371. Λέγεται ἐκ γ'.

л. 58 об. Апостольскія и евангельскія чтенія недѣли и на разные случаи.

л. 74. Одиннадцать утреннихъ евангелій.

л. 87. Ἡ θεία λειτουργία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου.

л. 107. Εὐχὴ εἰς τὸ ἆραι καὶ λῦσαι στέφανα τῇ ὀγδόῃ ἡμέρᾳ.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ παραγενόμενος ἐν Κανᾷ τῆς Γαλιλαίας Goar. p. 320.

л. 108. Εὐχὴ ἐπὶ σαλευομένης τραπέζης.

Κύριε ὁ Θεός, ὁ ἐπ' ὀνόματι τοῦ κορυφαίου τῶν ἀποστόλων ὁμοφρόνως πέτραν τὴν ἐκκλησίαν προσαγορεύσας, αὐτὸς Δέσποτα τῶν ἁπάντων...

л. 108 об. Εὐχή, λεγομένη ἐπὶ ἀνομβρίας. Ектенья и первая молитва. Goar. p. 613.

л. 111. Εὐχὴ (ἐπὶ τοῦ) προσφέροντος σῖτον, οἶνον, ἔλαιον.

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὰ σὰ ἐκ τῶν σῶν προσφέρειν σοι κατὰ πρόθεσιν. Goar. p. 522.

— Εὐχὴ ἐπὶ θεμελίου ἐκκλησίας.

л. 111 об. Εὐχή, ἐὰν λειτουργηθῇ ἐκκλησία ὑπὸ αἱρετικοῦ.

л. 112. Εὐχὴ εἰς ἅγιον ἔλαιον. Goar. p. 335.

л. 112 об. Εὐχὴ ἐπὶ θεμελίου οἴκου.

— Εὐχὴ ἐπὶ φυτεύματος ἀμπελίου.

л. 113. Εὐχὴ ἐπὶ πάσας ὀπώρας.

л. 113 об. Εὐχὴ εἰς οἶνον νέον.

л. 114. Εὐχὴ εἰς τελευτήσαντα ἱερέα. Goar. p. 452.

л. 115. Εὐχὴ εἰς διάκονον κοιμηθέντα.

Ὁ οἴκησιν ἔχων τὸν οὐρανὸν καὶ πάντα περιέπων τὰ ἐπὶ τῆς γῆς. См. выше стр. 293, прим.

л. 116. Ἡ θεία λειτουργία τοῦ Μεγάλου Βασιλείου.

л. 140. Ἡ θεία λειτουργία τῶν προηγιασμένων.

л. 152. Чтенія апостольскія и евангельскія на постъ и Пятидесятницу.

л. 210 об. Κατήχησις, λεγομένη παρὰ τοῦ ἱερέως, ὅταν μέλλωμεν ἡμεῖς οἱ χριστιανοὶ μεταλαμβάνειν τῶν θείων καὶ ἀχράντων μυστηρίων.

'Αδελφοί μου ἀγαπητοὶ καὶ παμπόθητοι, οἱ συναθροισθέντες εἰς τὴν ἁγίαν τοῦ Θεοῦ ἐκκλησίαν πρὸς τὸ λατρεῦσαι Θεῷ ζῶντι ἐν ὁσιότητι καὶ δικαιοσύνῃ, καὶ τῶν ἀχράντων καὶ ἀθανάτων μυστηρίων μετασχεῖν, ἀκωλύτως ἀκούσατε· ἐγὼ ὁ ταπεινὸς καὶ πάντων τῶν ἱερέων ἐλαχιστότερος τὰς πράξεις ὑμῶν οὐ γινώσκω, τὰ ἐπιτηδεύματα ἀγνοῶ, καὶ διὰ τοῦτο τὸν τοῦ Θεοῦ φόβον βαλλόμενος, παραγγέλλω ἑνὶ ἑκάστῳ ὑμῶν, ἄνδρας τε καὶ γυναῖκας, μικρούς τε καὶ μεγάλους· μηδεὶς οὖν ὑμῶν ἔνοχος ἁμαρτίας ὑπάρχων καὶ τῆς ἰδίας κατηγορούμενος πρὸ τοῦ μετανοῆσαι, ἐξομολογήσασθαι τολμήσῃ καταφρονητικῶς προσελθεῖν καὶ ἅψασθαι τὸ θεῖον πῦρ· ὁ γὰρ Θεὸς ἡμῶν πῦρ καταναλίσκον ἐστί, καὶ τοὺς μὲν πιστοὺς μετὰ φόβου προσερχομένους, ὡς Θεὸς καὶ κριτὴς καὶ βασιλεὺς πάντων ἡμῶν, φλογίζει καὶ κατακαίει τὰς καρδίας ἡμῶν, τὰς δὲ ψυχὰς φωτίζει, τῶν δὲ ἀπίστων καὶ μετ' ἀναισχυντίας προσδεχομένων φλογίζει καὶ κατακαίει τὰς ψυχὰς καὶ τὰ σώματα, διὰ τοῦτο πολλοὶ ἀσθενεῖς καὶ ἄῤῥωστοι, καὶ κοιμῶνται ἱκανοί, τοῦτ' ἔστιν ἀποθνήσκονται πολλοὶ διὰ τὸ ἀναξίως μεταλαμβάνειν· μηδεὶς οὖν ὁ ὀμνύων, μηδεὶς ψεύστης, ἢ μοιχός, ἢ πόρνος, ἢ μαντεύμασι καταφεύγων, ἢ κατὰ τοῦ πλησίον ἔχων, ἢ ποιῶν τὰ λεγόμενα φυλακτά, ἅτινά εἰσιν δεσμωτήρια τῶν ψυχῶν αὐτῶν, ἢ καὶ τὰ ὅμοια πράττοντες, οὐδ' ὅλως καταφρονητικῶς τολμήσῃ προσελθεῖν καὶ προσάψασθαι τῶν τοῦ Χρυστοῦ μυστηρίων· ὁ γὰρ ἀναξίως μεταλαμβάνων τὸ Σῶμα καὶ Αἷμα τοῦ Χριστοῦ κρῖμα ἑαυτὸν ἐσθίει καὶ πίνει, ὁ λόγος τολμότερός ἐστιν ὑπὲρ πᾶσαν μάχαιραν δίστομον. Βλέπετε οὖν, ἀδελφοί μου, μηδεὶς τῶν προελθόντων ἁμαρτημάτων ἢ πράξεως ὑπάρχων, πρὸ τοῦ μετανοῆσαι καὶ ἐξομολογήσασθαι τολμήσῃ προελθεῖν καὶ ἅψασθαι τοῖς θείοις μυστηρίοις, διὸ πάλιν λέγειν οὐ παύομαι, οὐδὲ κατακρίνω ὑμᾶς, μὴ γένοιτο, ἀλλὰ παραινῶ καὶ μετὰ τὴν παραίνεσιν ταύτην ἀθῶός εἰμι ἀπὸ τοῦ αἵματος ὑμῶν, ὑμεῖς ὄψεσθε, μηδεὶς ἀναξίως μεταλαμβάνει τοῦ Δεσποτικοῦ Σώματος καὶ Αἵματος· φοβερὸν γὰρ τὸ ἐμπεσεῖν, ἀδελφοί, εἰς χεῖρας Θεοῦ ζῶντος, διότι εἶπεν· οὐκ ἔστιν, ὃς ἐξελεῖται ἐκ τῶν χειρῶν μου, ὅτι αὐτῷ πρέπει τιμὴ καὶ κράτος καὶ προσκύνησις τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί.

л. 212. Εὐχὴ εἰς τὰ βαΐα.

Δέσποτα Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ Πατὴρ τοῦ Κυρίου ἡμῶν 'Ιησοῦ Χριστοῦ, ὁ κτίστης καὶ δημιουργὸς τῶν ἁπάντων, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν, ὁ φιλάνθρωπος Πατήρ, ὁ τῶν χερουβὶμ Κύριος καὶ τῶν Σεραφὶμ ἡνίοχος...

л. 213 об. Σπούδασον, ὦ ἱερεῦ, σεαυτὸν παραστῆναι ἐργάτην ἀνεπαίσχυντον, ὀρθοτομοῦντα τὸν λόγον τῆς ἀληθείας....

л. 214 об. Εὐχὴ εἰς σταφυλάς.

л. 215. Κανὼν εἰς τὴν ὑπεραγίαν Θεοτόκον.

Ἦχος πλ. δ'. Ὑγρὰν διοδεύσας.. Πολλοῖς συνεχόμενος πειρασμοῖς, πρὸς σὲ καταφεύγω... Παθῶν με ταράττουσι προσβολαὶ πολλῆς ἀθυμίας...

л. 219. Ἀκολουθία τῆς ὑπεραγίας Θεοτόκου τῆς ἀκαθίστου.

**LXXV**. № 986 Εὐχολόγιον, **рукопись той же библ. въ 4 долю листа, 162 листа, писана четкою скорописью XV в. рукою священника Георгія, какъ это видно изъ слѣдующей приписки:** Μέμνησον τοῦ γράψαντος τοῦ Θεοῦ θύτου. Γεώργιος, ἁμαρτωλὸς ἱερεὺς ὁ Γαλανός.

Ἀρχὴ σὺν Θεῷ ἁγίῳ τοῦ Διακονικοῦ. Αὕτη ἡ τάξις γίνεται ἐν τῇ σεβασμίᾳ λαύρᾳ ἐν τῷ ἁγίῳ ὄρει τοῦ Ἄθω· ἐκεῖθεν [1]) γάρ ἐστι τὸ παρὸν Διακονικόν.

Μέλλων ὁ ἱερεὺς λειτουργῆσαι ὀφείλει ἐγκρατεύεσθαι μικρὸν ἀφ' ἑσπέρας βρωμάτων καὶ πομάτων, ἔχειν τε εἰρήνην μετὰ πάντων, καὶ μὴ ἔχειν κατά τινος ἔχθραν τὸ σύνολον, ἵνα μὴ φυγαδεύσῃ τὸν Παράκλητον. Μετὰ δὲ τὸ ψάλλειν τὰς ὥρας, μέλλων εἰσιέναι ὁ ἱερεὺς εἰς τὸ θυσιαστήριον, λέγει τὴν εὐχὴν ταύτην μυστικῶς ἔμπροσθεν τῶν εἰκόνων, ποιῶν ἑκάστῃ εἰκόνι προσκυνήσεις γ'. Εὐχή· Κύριε, ἐξαπόστειλον τὴν χεῖρά σου ἐξ ὕψους κατοικητηρίου σου... Goar. p. 48. Μετὰ δὲ τὴν εὐχὴν καὶ τὰς ἐπὶ τῶν ἁγίων εἰκόνων προσκυνήσεις καὶ ἀσπασμούς, εἰσέρχεται εἰς τὸ ἅγιον θυσιαστήριον, καὶ λαβὼν τὸ στιχάριον ἀνὰ χεῖρας, ποιεῖ μετανοίας γ'. ἔμπροσθεν τῆς ἁγίας τραπέζης σὺν ἅμα τῷ διακόνῳ, λέγοντες μυστικῶς καὶ τὸ Ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ, καὶ ἀσπάζεται ὁ ἱερεὺς τὸ ἅγιον εὐαγγέλιον, ὁ δὲ διάκονος τὸ ἄκρον τῆς ἁγίας τραπέζης, εἶθ' οὕτως λέγει ὁ διάκονος· Εὐλόγησον, δέσποτα, τὸ στιχάριον. Ὁ δὲ ἱερεὺς εὐλογεῖ τὸ στιχάριον, λέγει· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων [2]). Ἀμήν. Ἀσπασάμενος [3]) δὲ τὸν ἐν τῷ στιχαρίῳ σταυρόν, ἐνδύεται αὐτό, λέγων ἠρέμα καθ' ἑαυτὸν ἕκαστος· Ἀγαλλιάσεται ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ... p. 48 πάντοτε νῦν καὶ ἀεί [4]). Εἶτα λαβὼν τὸ ἐπιτραχήλιον καὶ εὐλογήσας, ἀσπάζεται [5]) τὸν ἐν αὐτῷ σταυρόν, λέγει· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, ὁ ἐκ-

---

[1]) **Ркп. XVI в. Александр. (въ Каирѣ) библ. № σκδ — 1070 нѣтъ прибавки:** ἐκεῖθεν **и т. д.** [2]) **прибавлено:** ὁ διάκονος· Ἀμήν. [3]) Ἀσπασάμενοι δὲ τοὺς ἐν τοῖς στιχαρίοις αὐτῶν σταυρούς, ἐνδύονται αὐτά, λέγοντες [4]) Ὁ διάκονος· Ἀμήν [5]) ἀσπάζεται αὐτό, ἤγουν τὸν ἐν αὐτῷ σταυρόν, λέγων.

χέων τὴν χάριν αὐτοῦ... p. 48. Περιθεὶς δὲ τῷ ἑαυτοῦ τραχήλῳ, λέγει· Καὶ δήσαντες τὸν Ἰησοῦν, ἀπήγαγον καὶ παρέδωκαν αὐτὸν Ποντίῳ Πιλάτῳ τῷ ἡγεμόνι. Λαβὼν δὲ καὶ τὴν ζώνην καὶ εὐλογήσας αὐτὴν κατὰ τὸ μεσαίτατον, ἀσπάζεται αὐτήν, καὶ περιζωσάμενος, λέγει· Εὐλογητὸς ὁ Θεός, ὁ περιζωννύων με δύναμιν, καὶ ἔθετο ἄμωμον τὴν ὁδόν μου, καταρτιζόμενος τοὺς πόδας μου, ὡσεὶ ἐλάφου, καὶ ἐπὶ τὰ ὑψηλὰ ἱστῶν με, πάντοτε νῦν καί... Εἰς τὸ δεξιὸν ἐπιμάνικον λέγει· Ἡ δεξιά σου, Κύριε... πάντοτε νῦν καὶ ἀεί... Εἰς τὸ ἀριστερὸν ἐπιμάνικον λέγει· Αἱ χεῖρές σου ἐποίησαν... πάντοτε νῦν... Εἶθ' οὕτως λαβὼν τὸ φελώνιον, καὶ εὐλογήσας τὸν τούτου σταυρόν, ἀσπάζεται αὐτόν, λέγων· Οἱ ἱερεῖς ἐνδύσονται... p. 49. Περιβαλλόμενος δὲ τοῦτο, ὡς ἔνι δεδιπλωμένον, ἀπέρχεται εἰς τὴν πρόθεσιν, τοῦ δὲ διακόνου προθέντος τὰ ἱερὰ κατὰ τὴν τάξιν αὐτῶν, ἤγουν τὸν μὲν δίσκον ἐν τῇ ἀριστερᾷ χειρί, τὸ δὲ ποτήριον ἐν τῇ δεξιᾷ. Εἶτα λαμβάνει ὁ ἱερεὺς τὴν προσφορὰν καὶ τίθησιν αὐτὴν ἔμπροσθεν αὐτοῦ ἐπάνω τῶν καλυμμάτων δεδιπλωμένων, κειμένων δηλονότι, καὶ ποιήσας γ'. προσκυνήματα, λέγει μυστικῶς· Ἐξηγόρασας ἡμᾶς... p. 49. καὶ τὸ [1]) Ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ γ'. εἶτα ἀσπάζεται πρῶτον τὴν ἁγίαν λόγχην, ὡς ἐπάνω τῆς προσφορᾶς κειμένην δηλονότι, εἶθ' οὕτως τὴν προσφορὰν καὶ λέγει· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε νῦν καί. Εἶτα λαβὼν ἐν μὲν τῇ ἀριστερᾷ χειρὶ τὴν προσφοράν, ἐν δὲ τῇ δεξιᾷ τὴν ἁγίαν λόγχην, ποιεῖ τύπον σταυροῦ ἐν τῇ προσφορᾷ μετὰ τῆς ἁγίας λόγχης, λέγων ἐκ γ'. Εἰς ἀνάμνησιν τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Εἶτα πήγνυσιν αὐτὴν ἐν τῷ τῆς δεξιᾶς χειρὸς αὐτοῦ μέρει ὄρθιον ἐπ' εὐθείας, λέγων· Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη [2]). Ἐν δὲ τῇ ἑτέρᾳ ἀνατομῇ τῆς ἀριστερᾶς χειρὸς λέγει· Καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ [3]). Ἐν δὲ τῇ ἄνωθεν ἀνατομῇ λέγει· Ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη. Ἐν δὲ τῇ κάτωθεν ἀνατομῇ λέγει· Τὴν δὲ γενεὰν αὐτοῦ τίς διηγήσεται... Πήξας δὲ τὴν ἁγίαν λόγχην ἐκ πλαγίου τῆς προσφορᾶς καὶ περικόψας τὸν ἄρτον, λέγει· Ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ, πάντοτε νῦν καί [4])... Ἐπιθεὶς δὲ τὸν ἄρτον ὕπτιον ἐν τῷ ἱερῷ δίσκῳ, θύει αὐτὸν σταυροειδῶς, λέγων· Θύεται ὁ ἀμνὸς τοῦ Θεοῦ... p. 49. Εἶτα στρέψας αὐτὸν ἐπὶ πρόσωπον, νύττει αὐτὸν τῇ δεξιᾷ χειρὶ μετὰ τῆς λόγχης, λέγων· Εἷς τῶν στρατιωτῶν λόγχῃ τὴν πλευρὰν αὐτοῦ ἔνυξεν. Εἶτα λαβὼν ὁ διάκονος οἶνον καὶ ὕδωρ, ἐν μὲν τῇ δεξιᾷ χειρὶ τὸν οἶνον, ἐν τῇ

---

[1]) ἢ τὸ [2]) прибавлено: Χριστὸς ὁ βασιλεὺς [3]) ἐν κρίσει [4]) ὁ διάκονος· Ἀμήν.

ἀριστερᾷ δὲ τὸ ὕδωρ, λέγει· Εὐλόγησον, δέσποτα, τὴν ἕνωσιν. Εὐλογήσας δὲ αὐτὰ ὁ ἱερεύς, λέγων· Ἕνωσις Πνεύματος ἁγίου. Ὁ διάκονος· Ἀμήν. Ποιήσας δὲ ὁ διάκονος τὴν ἕνωσιν ἐν τῷ ἁγίῳ ποτηρίῳ, λέγει· Καὶ εὐθέως ἐξῆλθεν αἷμα καὶ ὕδωρ, καὶ ὁ ἑωρακὼς μεμαρτύρηκε, καὶ ἀληθινή ἐστιν ἡ μαρτυρία αὐτοῦ. Ὁ ἱερεύς· Πάντοτε νῦν καί... Ὁ διάκονος· Ἀμήν. Προσφορὰ β'. Εἶτα λαμβάνει ὁ ἱερεὺς προσφορὰν β'. λέγει· Εἰς τιμὴν καὶ μνήμην τῆς ὑπερευλογημένης... p. 56. Ἐκβαλὼν δὲ τὴν μεσαιτάτην μερίδα, τίθησιν αὐτὴν ἐν τῷ δεξιῷ μέρει τοῦ ἄρτου, ἤγουν εἰς τὸ μέρος τῆς ἀριστερᾶς αὐτοῦ χειρός. Προσφορὰ γ'. Εἶτα λαμβάνει τὴν γ'. προσφορὰν καὶ ἐπεύχεται οὕτως· Δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων δυνάμεων Ἀσωμάτων, τοῦ τιμίου ἐνδόξου προφήτου προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων τῶν ιβ'. καὶ τῶν ο'. τῶν ἐν ἁγίοις πατέρων ἡμῶν καὶ οἰκουμενικῶν διδασκάλων Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου, Ἰωάννου τοῦ Χρυσοστόμου, Ἀθανασίου τοῦ Μεγάλου, Κυρίλλου Ἀλεξανδρείας, Νικολάου τοῦ ἐν Μύροις, Γρηγορίου Νύσσης, Γρηγορίου τοῦ θαυματουργοῦ, Γρηγορίου τῆς μεγάλης Ἀρμενίας, Γρηγορίου Ἀκραγαντίνων καὶ πάντων τῶν ἁγίων ἱεραρχῶν. Τῶν ἁγίων μεγάλων μαρτύρων Θεοδώρου, Γεωργίου, Δημητρίου, Προκοπίου, Νέστορος, τοῦ ἁγίου πρωτομάρτυρος καὶ ἀρχιδιακόνου Στεφάνου, καὶ πάντων τῶν ἁγίων μαρτύρων. Τῶν ὁσίων θεοφόρων πατέρων ἡμῶν Ἀντωνίου, Ἀρσενίου, Εὐθυμίου, Σάββα, Ὀνουφρίου, Μακαρίου τοῦ Μεγάλου καὶ Παχωμίου, Ἐφραὶμ τοῦ Σύρου, Ἰωάννου τοῦ τῆς Κλίμακος, Ἀθανασίου τοῦ ἐν τῷ Ἄθῳ καὶ πάντων τῶν ὁσίων. Τῶν ἁγίων ἐνδόξων καὶ θαυματουργῶν ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ, Κύρου καὶ Ἰωάννου, Παντελεήμονος καὶ Ἑρμολάου. Τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης. Τοῦ ἁγίου τῆς ἡμέρας τοῦδε, οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων τῶν ἁγίων, ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς, ὁ Θεός. Καὶ αἴρει[1]) μερίδα μίαν καὶ τίθησιν αὐτὴν εἰς τὸ κάτωθεν μέρος τοῦ ἄρτου, καὶ καθεξῆς ἁπάσας στοιχηδόν, ἤγουν τὰς μερίδας. Προσφορὰ δ'. Εἶτα λαβὼν τὴν τετάρτην προσφοράν, λέγει· Μνήσθητι, Κύριε, τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων βασιλέων ἡμῶν, παντὸς τοῦ παλατίου καὶ τοῦ στρατοπέδου αὐτῶν. Μνήσθητι, Κύριε, τοῦ πατρὸς καὶ ἀρχιεπισκόπου ἡμῶν τοῦδε. Μνήσθητι, Κύριε, τοῦ πατρὸς ἡμῶν, τοῦ καθηγουμένου δηλονότι, καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος, καὶ πάν-

[1]) Ἐξ αὐτῆς.

των τῶν ἀδελφῶν ἡμῶν πρεσβυτέρων, διακόνων, ὑποδιακόνων, ἀναγνωστῶν, καὶ πάντων, οὓς προσεκαλέσω εἰς τὴν σὴν διακονίαν, διὰ τῆς σῆς εὐσπλαγχνίας, φιλάνθρωπε Δέσποτα. Καὶ αἴρει μερίδα μίαν καὶ τίθησιν αὐτὴν κάτωθεν τοῦ ἄρτου, ὡς δεδήλωται. Προσφορὰ ε'. Ἐν δὲ τῇ ε'. προσφορᾷ μνημονεύει, οὓς θέλει, ζῶντας. Προσφορὰ ς'. Εἶτα λαβὼν τὴν ς'. προσφοράν, λέγει· Μνήσθητι, Κύριε, τῶν ἀειμνήστων καὶ μακαρίων κτητόρων τῆς ἁγίας μονῆς ταύτης, καὶ πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε κειμένων καὶ ἁπανταχοῦ ὀρθοδόξων. Καὶ μνημονεύει, οὓς θέλει, κεκοιμημένους κατ' ὄνομα. Εἶτα λέγει· Μνήσθητι, Κύριε, πάντων τῶν ἐπ' ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου, καὶ τῇ σῇ κοινωνίᾳ κεκοιμημένων πατέρων καὶ ἀδελφῶν ἡμῶν ὀρθοδόξων. Καὶ αἴρει μερίδα. Προσφορὰ ζ'. Εἶτα λαβὼν ἑτέραν προσφοράν, λέγει· Μνήσθητι, Κύριε, τῆς ἐμῆς ἀναξιότητος, καὶ συγχώρησόν μοι πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον. Καὶ αἴρει μερίδα, ὡς πολλάκις δεδήλωται. Εἶτα δίδωσι τὴν λόγχην τῷ διακόνῳ. Λαβὼν δὲ καὶ αὐτὸς μίαν προσφοράν, μνημονεύει ἑαυτόν, καὶ οὓς θέλει, καὶ αἴρει μερίδα μίαν, καὶ αὐτὸς καὶ τίθησιν αὐτὴν ἐν τῷ δίσκῳ, ἔνθα δηλονότι ἐτίθη καὶ ὁ ἱερεύς. Εἶτα λαβὼν ὁ διάκονος τὸν θυμιατὸν καὶ θυμίαμα, προσάγει τῷ ἱερεῖ καὶ λέγει· Εὐλόγησον, δέσποτα, τὸ θυμίαμα. Εὐλογήσας δὲ τοῦτο ὁ ἱερεύς, λέγει τὴν εὐχὴν ταύτην· Θυμίαμά σοι προσφέρομεν... p. 50. Εἶτα λαβὼν ὁ ἱερεὺς τὸν ἀστερίσκον, ἐξαπλοῖ αὐτὸν ἐπάνω τοῦ θυμιάματος, καὶ θυμιάσας αὐτὸν καὶ ἀσπασάμενος, ἵστησιν αὐτὸν ἐπάνω τοῦ ἄρτου, λέγων· Τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν. Ἰδοὺ ὁ ἀστὴρ ἐλθὼν ἔστη ἐπάνω, οὗ ἦν τὸ παιδίον κείμενον, πάντοτε νῦν καί... Ὁ διάκονος τὸ Ἀμήν. Εἶτα λαβὼν τὸ κάλυμμα τοῦ δίσκου, καὶ θυμιάσας αὐτό, λέγει· τοῦ Κυρίου δεηθῶμεν. Ὁ διάκονος τὸ Κύριε ἐλέησον. Εἶθ' οὕτως ἁπλοῖ αὐτὸ ὄρθιον ἐπάνω τοῦ δίσκου πρὸς ἀνατολάς, περικαλύψας δὲ τὸν δίσκον καὶ συστείλας πάντοθεν τὸ κάλυμμα, λέγει τὸν ψαλμὸν ὅλον, ἤγουν Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο... Εἶτα λαβὼν τὸ ἕτερον κάλυμμα καί, θυμιάσας αὐτό, λέγει· Τοῦ Κυρίου δεηθῶμεν. Ὁ διάκονος τὸ Κύριε ἐλέησον. Καὶ περικαλύψας τὸ ἅγιον ποτήριον, λέγει· Ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετή σου, Χριστέ... p. 51. Ὁ διάκονος τὸ Ἀμήν. Ἰστέον, ὅτι τὸ κάλυμμα τοῦ δίσκου, τίθεται ὄρθιον πρὸς ἀνατολάς, ὡς δεδήλωται, τὸ δὲ τοῦ ἁγίου ποτηρίου ἐγκαρσίως, ἵνα ποιῶσιν ὡς δῆθεν τύπον σταυροῦ. Λαβὼν δὲ τὸν ἀέρα καί, θυμιάσας αὐτόν, λέγει· Τοῦ Κυρίου δεηθῶμεν. Ὁ διάκονος τὸ Κύριε ἐλέησον. Εἶτα λέγει ὁ διάκονος· Σκέπασον,

δέσποτα, τὰ ἅγια. Ὁ δὲ ἱερεὺς σκεπάζει ἀμφότερα τὰ ἅγια δῶρα, λέγει· Σκέπασον ἡμᾶς ἐν τῇ σκέπῃ τῶν... Ibid. Εἶτα λέγει ὁ ἱερεύς· Ἐπὶ τῇ προθέσει ταύτῃ τῶν τιμίων δώρων, τοῦ Κυρίου δεηθῶμεν. Ὁ διάκονος τὸ Κύριε ἐλέησον. Καὶ εὐθὺς χαλᾷ τὸ φενώλιον ὁ ἱερεὺς κάτω καὶ ἄρχεται τὴν εὐχὴν τῆς προθέσεως [1]).

л. 12. Ἡ θεία [2]) λειτουργία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου.

Εὐχὴ τῆς προθέσεως· Ὁ Θεὸς ὁ Θεὸς ἡμῶν, ὁ τὸν οὐράνιον ἄρτον... Goar. p. 51. Μετὰ δὲ τὴν εὐχήν, ποιεῖ ἀπόλυσιν ὁ ἱερεὺς οὕτως· Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, πρεσβείαις τῆς παναχράντου αὐτοῦ Μητρός, τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου, ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου, καὶ πάντων τῶν ἁγίων, ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος. Εἶτα θυμιᾷ ἐκ γ'. τὴν πρόθεσιν καὶ λέγει καθ' ἕκαστον προσκύνημα· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, ὁ οὕτως εὐδοκήσας δόξα σοι. Καὶ τὸ Ἐν τάφῳ σωματικῶς... Καὶ μετὰ τὸ τέλος τοῦ τροπαρίου, λαβὼν ὁ διάκονος τὸν θυμιατόν, θυμιᾷ τὸ ἱερατεῖον ὅλον, λέγων καθ' ἑαυτὸν καὶ τὸν Ν'. ἀρχομένου ἀπ' ἔμπροσθεν τῆς ἁγίας τραπέζης δηλονότι, εἶτα διὰ τοῦ νοτίου μέρους, καὶ κυκλοῖ πᾶσαν τὴν ἁγίαν τράπεζαν, εἶθ' οὕτως ἐξέρχεται διὰ τοῦ βορείου μέρους, καὶ θυμιᾷ τὸν ναὸν [3]) ὅλον, εἶτα ὑποστρέψας, εἰσέρχεται διὰ τοῦ νοτίου μέρους εἰς τὸ ἅγιον βῆμα, καὶ θυμιάσας τὸ θυσιαστήριον ὅλον καὶ τὴν πρόθεσιν καὶ τὸν ἱερέα, ἀποτίθεται τὸν θυμιατὸν εἰς τὸν τόπον αὐτοῦ. Τοῦ δὲ ἱερέως ἱσταμένου ἔμπροσθεν τῆς ἁγίας τραπέζης, ἔρχεται ὁ διάκονος, καὶ ὑποκλίνας αὐτοῦ τὴν κεφαλήν, κρατῶν καὶ τὸ ὠράριον αὐτοῦ τοῖς τρισὶ δακτύλοις τῆς δεξιᾶς αὐτοῦ χειρός, λέγει τῷ ἱερεῖ· Καιρὸς τοῦ ποιῆσαι τῷ Κυρίῳ, δέσποτα, εὐλόγησον. Ὁ ἱερεύς· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεί. Ὁ διάκονος· Ἀμήν. Πάλιν ὁ διάκονος [4])· Εὖξαι ὑπὲρ ἐμοῦ, δέσποτα. Ὁ ἱερεύς· Κατευθύναι Κύριος τὰ διαβήματά σου. Τῶν δὲ ψαλλόντων τὰς ὥρας, φθασάντων εἰς τὸ τῆς ϛ'. τέλος, καὶ λεγόντων τὸ Κύριε ἐλέησον, ἀνοίγει ὁ κανδηλάπτης τὰς θύρας, καὶ εἰσελθόντων, λέγει ὁ ἱερεύς· Ὁ Θεός, οἰκτειρῆσαι ἡμᾶς. Ὁ καθηγούμενος τὸ Δόξα σοι ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι. Ὁ λαός· Δόξα καὶ νῦν... Καὶ ποιεῖ ὁ ἱερεὺς ἀπόλυσιν τῶν ὡρῶν. Εἶθ' οὕτως ἐξέρχεται ὁ διάκονος διὰ τοῦ βορείου μέρους, καὶ ἐλθὼν ἵσταται ἔμπροσθεν τῶν ἁγίων θυρῶν,

---

[1]) Ὁ Θεὸς ὁ Θεὸς ἡμῶν, ὁ τὸν οὐράνιον ἄρτον [2]) Этого заглавія нѣтъ. [3]) λαὸν [4]) Μνήσθητί μου, δέσποτα ἅγιε, τοῦ ἁμαρτωλοῦ. Ὁ ἱερεύς· Μνησθείη σου Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ πάντοτε νῦν. Ὁ διάκονος· Ἀμήν. Ὁ διάκονος· Εὖξαι ὑπὲρ ἐμοῦ, δέσποτα.

ποιῶν προσκυνήματα γ'. λέγων καθ' ἑαυτὸν τὸ Δόξα ἐν ὑψίστοις Θεῷ... δίς, καὶ τὸ Κύριε, τὰ χείλη μου ἀνοίξεις... ἅπαξ, ὥσπερ ἄρα ποιεῖ καὶ ὁ ἱερεύς. Μετὰ δὲ τὸ εἰπεῖν τὸν ἱερέα ἔμπροσθεν τῆς ἁγίας τραπέζης ταῦτα, διαίρει τὸ βιλόθυρον ὁ διάκονος, καὶ ὑποκλίνας τὴν κεφαλὴν λέγει· Εὐλόγησον, δέσποτα. Ὁ ἱερεύς· Εὐλογημένη ἡ βασιλεία.. Ὁ διάκονος· Ἐν εἰρήνῃ κ. τ. λ. Ἐκφώνησις· Ὅτι πρέπει σοι πᾶσα δόξα... Ὁ λαὸς ψάλλει τὰ ἀντίφωνα, ἢ τυπικά. Τούτων δὲ ψαλλομένων, λέγει ὁ ἱερεὺς τὴν εὐχὴν ταύτην. Εὐχὴ ἀντιφώνου α'. Κύριε ὁ Θεὸς ἡμῶν, οὗ τὸ κράτος... p. 52. Εὐχὴ ἀντιφώνου β'. Κύριε ὁ Θεὸς ἡμῶν, σῶσον τὸν λαόν σου... p. 53. Ὁ διάκονος· Ἔτι καὶ ἔτι κ. τ. λ. Ὁ ἱερεὺς ἐκφώνησις· Ὅτι σὸν τὸ κράτος. Εὐχὴ ἀντιφώνου γ'. Ὁ τὰς κοινὰς ταύτας καὶ συμφώνους... p. 53. Ὁ διάκονος· Ἔτι καὶ ἔτι κ. τ. λ. Ὁ ἱερεὺς ἐκφώνησις· Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος... Εἶθ' οὕτως τὸ Δεῦτε ἀγαλλιασώμεθα... ἢ τοὺς μακαρισμούς, μεθ' οὓς ἡ εἴσοδος τοῦ[1]) εὐαγγελίου. Ἰστέον, ὅτι ἐν τῇ εἰσόδῳ, προπορεύεται ὁ διάκονος τοῦ ἱερέως, βαστάζων τὸ ἅγιον εὐαγγέλιον, ὁ δὲ ἱερεὺς ἀκολουθεῖ ὄπισθεν, κεχαλασμένου τοῦ φελωνίου αὐτοῦ, ἐλθόντες δὲ εἰς τὸν ὀμφαλόν, τὸν ἔμπροσθεν τῶν βασιλικῶν πυλῶν τοῦ ναοῦ· ὁ μὲν ἱερεὺς ἵσταται εἰς τὸ μέσον καί, ὑποκλίνας τὴν αὐτοῦ κεφαλήν, λέγει τὴν εὐχὴν τῆς εἰσόδου, ὁ δὲ διάκονος ἵσταται εἰς τὸ δεξιὸν μέρος τοῦ ἱερέως, κρατῶν τὸ ἅγιον εὐαγγέλιον. Μετὰ δὲ τὸ τελειῶσαι τὸν ἱερέα τὴν εὐχὴν τῆς εἰσόδου, λέγει ὁ διάκονος μυστικῶς τὸ Ἀμήν, εἶτα λέγει ἠρέμα τῷ ἱερεῖ· Εὐλόγησον, δέσποτα, τὴν ἁγίαν εἴσοδον. Ὁ δὲ χαράττει σταυρὸν πρὸς ἀνατολὰς τῇ δεξιᾷ χειρί, λέγων ἠρέμα καὶ αὐτός· Εὐλογημένη ἡ εἴσοδος τῶν ἁγίων σου, Κύριε. Εἶτα ἐλθὼν ὁ διάκονος εἰς τὸ μέσον, ὑψοῖ τὸ ἅγιον εὐαγγέλιον σταυροειδῶς, λέγων μεγάλῃ τῇ φωνῇ· Σοφία, ὀρθοί. Ἀσπασαμένου δὲ τοῦ προεστῶτος καὶ τοῦ ἱερέως τὸ ἅγιον εὐαγγέλιον, εἰσοδεύουσιν, ἡμῶν δὲ ψαλλόντων τὸ Δεῦτε προσκυνήσωμεν. Εὐχὴ τῆς εἰσόδου· Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καταστήσας ἐν οὐρανοῖς... p. 54. Μυστικῶς εἰπὲ τὴν ἐκφώνησιν ταύτην· Ὅτι πρέπει σοι πᾶσα δόξα... Ψαλλόντων δὲ τῶν ἀδελφῶν τὸ τροπάριον τοῦ κατὰ τὴν ἡμέραν ἁγίου καὶ τὸ κοντάκιον, καὶ θεοτοκίον προσόμοιον τοῦ κοντακίου, λέγει ὁ διάκονος τῷ ἱερεῖ· Εὐλόγησον, δέσποτα, τὸν καιρὸν τοῦ Τρισαγίου. Ὁ δὲ[2]) εὐλογεῖ πρὸς ἀνατολάς, λέγων· Εὐλογημένος εἶ, ὁ ἐν ἁγίοις ἀναπαυόμενος καὶ ἐν Τριάδι ἁγίᾳ προσκυνούμενος πάντοτε, νῦν καὶ ἀεί... Ὁ δὲ διάκονος, κρατῶν τὸ ὠράριον αὐτοῦ τοῖς τρισὶ δακτύλοις τῆς δεξιᾶς χειρός, ἐπιστραφεὶς πρὸς τὸν λαόν, λέγει· Καὶ εἰς τοὺς αἰῶνας τῶν

---

[1]) ἁγίου [2]) ἱερεύς

αἰώνων. Εἰ δ' οὐκ ἔστι διάκονος, λέγεται παρὰ τοῦ ἱερέως, εὐλογοῦντος ἅμα καὶ τὸν λαόν, καὶ εὐθὺς ἄρχεται[1]) ὁ λαὸς τοῦ Τρισαγίου. Ψαλλομένου δὲ τούτου, λέγει ὁ ἱερεὺς τὴν εὐχὴν τοῦ Τρισαγίου. Εὐχὴ τοῦ Τρισάγιου ὕμνου· Ὁ Θεὸς ὁ ἅγιος, ὁ ἐν ἁγίοις ἀναπαυόμενος... p. 55 μυστικῶς· Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν... Μετὰ δὲ τὸ τελειῶσαι τὴν εὐχὴν καὶ τὴν ταύτης ἐκφώνησιν μυστικῶς, ποιεῖ προσκυνήσεις γ'. ἐνώπιον τῆς ἁγίας τραπέζης, συνάμα τῷ διακόνῳ, λέγοντες καθ' ἑαυτοὺς καὶ τὸν Τρισάγιον. Εἶτα ὁ διάκονος λέγει· Πρόσχωμεν. Ὁ ἱερεύς· Εἰρήνη πᾶσιν. Ὁ ἀναγνώστης τὸ προκείμενον τοῦ ἀποστόλου, ὁ διάκονος· Σοφία. Ὁ ἀναγνώστης τὴν ἐπιγραφὴν τῆς ἐπιστολῆς[2]). Ὁ διάκονος· Πρόσχωμεν. Μετὰ δὲ τὸ τελειῶσαι τὸν ἀπόστολον[3]), ὁ ἱερεύς· Εἰρήνη σοι. Ὁ διάκονος· Σοφία[4]). Ἀλληλούϊα, ψαλμὸς τῷ Δαβίδ. Ὁ διάκονος· Πρόσχωμεν. Ψαλλομένου δὲ τοῦ Ἀλληλούϊα, λέγει ὁ ἱερεὺς τὴν εὐχὴν ταύτην[5]). Εὐχή, λεγομένη πρὸ τοῦ ἁγίου εὐαγγελίου· Ἔλλαμψον ἐν ταῖς καρδίαις ἡμῶν. p. 41. Ἀμήν. Μετὰ δὲ τὴν εὐχήν, θυμιᾷ ὁ διάκονος τὸ ἅγιον εὐαγγέλιον, κείμενον ἐπὶ τῆς ἁγίας τραπέζης, εἶθ' οὕτως τὸ θυσιαστήριον ἅπαν, εἶτα λέγει τῷ ἱερεῖ· Εὐλόγησον, δέσποτα, τὸν εὐαγγελιστὴν τόνδε. Ὁ δὲ ἱερεύς, εὐλογῶν τὸν διάκονον, λέγει· Ὁ Θεὸς διὰ πρεσβειῶν τοῦ ἁγίου ἐνδόξου καὶ πανευφήμου.. Μετὰ δὲ τοῦτο λαμβάνει τὸν κέραμον ὁ ἱερεύς, ἤγουν τὸ βλατίον, ὅπερ σκεπάζομεν τὸ ἅγιον εὐαγγέλιον σὺν τῇ ἁγίᾳ τραπέζῃ, καὶ ἁπλοῖ αὐτὸ ἐπὶ τὸ στῆθος τοῦ διακόνου, εἶτα ἐπιδίδωσιν αὐτῷ τὸ εὐαγγέλιον· κρατῶν δὲ αὐτὸ ὁ διάκονος ἐπὶ τὸ στῆθος, ὡς σύνηθες, σὺν τῷ βλατίῳ, ἐξέρχεται διὰ τῶν ἁγίων θυρῶν, προπορευομένων αὐτῶν δύο μανουαλίων. Ὅταν δὲ φθάσῃ εἰς τὸν ὀμφαλόν, σταθεὶς στρέφεται πρὸς ἀνατολάς, καὶ αἱ δύο λαμπάδες ἔνθεν καὶ ἔνθεν. Συμπλέξαντες δὲ τὰς χεῖρας αὐτῶν οἱ ἀναγνῶσται, ἕκαστος εἰς τὸν τοῦ ἑτέρου ὦμον, ἁπλοῖ ὁ διάκονος τὸ βλατίον ἐπάνω τῶν χειρῶν αὐτῶν καὶ τίθησι τὸ ἅγιον εὐαγγέλιον. Ὁ δὲ ἱερεύς, σταθεὶς ἔμπροσθεν τῆς ἁγίας τραπέζης, ἐὰν οὐκ ἔχει τόπον ὄπισθεν, λέγει μεγάλῃ φωνῇ· Σοφία, ὀρθοὶ ἀκούσωμεν τοῦ ἁγίου εὐαγγελίου... Ὁ διάκονος· Ἐκ τοῦ κατὰ τόνδε ἁγίου εὐαγγελίου τὸ ἀνάγνωσμα. Ὁ ἱερεύς· Πρόσχωμεν. Ποιησάμενος δὲ ὁ διάκονος τὴν ἀνάγνωσιν τοῦ ἁγίου εὐαγγελίου, ἀποφέρει αὐτὸ καὶ δίδωσι τῷ ἱερεῖ. Ὁ δὲ εὐλογήσας αὐτόν, λαμβάνει τὸ ἅγιον εὐαγγέλιον ἐκ τῶν χειρῶν αὐτοῦ, ὁ δὲ διάκονος, σταθεὶς εἰς τὸ μέσον, ἄρχεται οὕτως· Εἴπωμεν πάντες... Κύριε παντοκράτωρ...

---

[1]) Нѣтъ словъ: καὶ εὐθὺς ἄρχεται ὁ λαὸς τοῦ Τρισαγίου [2]) τοῦ ἀποστόλου [3]) λέγει [4]) ὁ ἀναγνώστης [5]) μυστικῶς

Ἐλέησον ἡμᾶς, ὁ Θεός... Ὁ ἱερεὺς λέγει τὴν εὐχὴν τῆς ἐκτενοῦς ἱκεσίας· Κύριε ὁ Θεὸς ἡμῶν, τὴν ἐκτενῆ... Ὁ διάκονος· Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων βασιλέων ἡμῶν κράτους, νίκης, διαμονῆς, εἰρήνης, ὑγείας, σωτηρίας αὐτῶν, καὶ τοῦ Κύριον τὸν Θεὸν ἡμῶν ἐπὶ πλεῖον συνεργῆσαι κατευοδῶσαι αὐτοὺς ἐν πᾶσι, καὶ ὑποτάξαι ὑπὸ τοὺς πόδας αὐτῶν πάντα ἐχθρὸν καὶ πολέμιον. Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων βασιλέων ἡμῶν τῶνδε [1]... Ἔτι δεόμεθα ὑπὲρ τοῦ ἀρχιεπισκόπου τοῦδε... Ἔτι δεόμεθα ὑπὲρ ἀφέσεως καὶ συγχωρήσεως τῶν ἁμαρτιῶν τοῦ δούλου τοῦ Θεοῦ [2]) καὶ πατρὸς ἡμῶν τοῦδε, καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος, καὶ ὑπὲρ πάντων τῶν διακονούντων καὶ διακονησάντων ἐν τῇ ἁγίᾳ μονῇ ταύτῃ. Ἔτι δεόμεθα ὑπὲρ τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν τῷ ἁγίῳ καὶ πανσέπτῳ ναῷ τούτῳ, ἀγρυπνούντων, κοπιώντων... Ἔτι δεόμεθα ὑπὲρ ἀναπαύσεως τῶν ψυχῶν τῶν ἀειμνήστων καὶ μακαρίων κτητόρων τῆς ἁγίας μονῆς ταύτης, καὶ πάντων τῶν προκαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε κειμένων καὶ ἁπανταχοῦ ὀρθοδόξων. Ὅτι [3]) ἐλεήμων καὶ φιλάνθρωπος... Εὔξασθε οἱ κατηχούμενοι... κ. τ. λ. До херувимской пѣсни порядокъ обычный. Εὐχή, ἣν ποιεῖ ὁ ἱερεύς, τοῦ χερουβικοῦ ὕμνου ᾀδομένου [4])· Οὐδεὶς ἄξιος τῶν συνδεδεμένων p. 58. Ἰστέον [5]), ὅτι τοῦ χερουβικοῦ ᾀδομένου, ποιεῖ ὁ ἱερεὺς σὺν τῷ διακόνῳ προσκυνήσεις γ'. ἔμπροσθεν τῆς ἁγίας τραπέζης, λέγοντες μυστικῶς καὶ τὸν χερουβικὸν ὕμνον, εἶθ' οὕτως ἄρχεται θυμιᾶν ὁ διάκονος κύκλῳ τὴν ἁγίαν τράπεζαν, λέγοντες καθ' ἑαυτὸν ἕκαστος τὸν Ν'. Ὅταν δὲ φθάσωσιν οἱ ψάλται· Καὶ τῇ ζωοποιῷ Τριάδι, ἀπέρχονται εἰς τὴν πρόθεσιν, καὶ θυμιᾷ ταύτην ὁ διάκονος ἐκ γ'. Φθασάντων δὲ τῶν ψαλτῶν· Πᾶσαν τὴν βιωτικήν, λαμβάνει ὁ ἱερεὺς τὸν ἀέρα, καὶ τίθησιν αὐτὸν ἐπάνω τῆς κεφαλῆς τοῦ διακόνου, πρότερον δηλαδὴ εἰπόντος τοῦ διακόνου τὸ Ἔπαρον, δέσποτα. Ὁ δὲ ἱερεύς, λαβὼν τὸν ἀέρα ταῖς ἀμφοτέραις χερσί, λέγει· Ἐπάρατε τὰς

---

[1]) На полѣ рукою писца замѣчено: οἷον τῶν βασιλέων τῆς ἡμέρας οἴμοι καὶ ποῦ οἱ φιλόχριστοι ἡμῶν βασιλεῖς. [2]) На полѣ замѣчено: τοῦ καθηγουμένου τῆς μονῆς, ὁ δὲ λαϊκὸς ἱερεὺς τὸν πνευματικὸν αὐτοῦ μνημονεύει [3]) ὁ ἱερεὺς ἐκφωνεῖ· Ὅτι ἐλεήμων [4]) Εἰ οὐκ ἔχεις ψάλτην, μέλλοντα ἀργῶς ψάλλαι τὸ χερουβικόν, εἰπὲ πρῶτον τὴν εὐχήν, εἶτα τὴν ἐκφώνησιν. [5]) На полѣ замѣчено: χρὴ δὲ γινώσκειν τοῦτο, ὅτι τοῖς, ὡς ἔθος, ἀσθενέσι, κειμένοις ἐν μέσῳ τοῦ ναοῦ, εἰσοδευομένων τῶν ἁγίων, οὐ ψαύει τούτοις ὁ ἱερεὺς τῷ ποδὶ πώποτε, ὥς τινες εἰώθασι ποιεῖν· λίαν γάρ ἐστιν ἐπιβλαβές, ἀλλὰ μόνον ἐπεύχεται ὑπὲρ τούτων καὶ γυρίζων εἰσοδεύει.

χεῖρας ὑμῶν εἰς τὰ ἅγια, καὶ εὐλογεῖτε τὸν Κύριον, πάντοτε νῦν καί... Σκεπάσας τοίνυν τὴν κεφαλὴν τοῦ διακόνου, ὡς εἴπομεν, τῷ ἀέρι, καὶ ἀπὸ τοῦ μετώπου ἕως τῶν νώτων κρεμαμένου τοῦ ἀέρος, τίθησιν ἐπάνω τῆς κεφαλῆς αὐτοῦ τὸν ἱερὸν δίσκον, λέγει τὸ Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς. Τοῦ δὲ διακόνου ἀμφοτέραις χερσὶ κρατοῦντος τὸν ἅγιον δίσκον, κρεμᾶ ὁ ἱερεὺς τὸν θυμιατὸν εἰς τὸν μικρὸν δάκτυλον ). Προπορευομένου τοίνυν τοῦ διακόνου, ὁ ἱερεὺς ἕπεται τούτῳ, τὸ ἅγιον ποτήριον ταῖς ἀμφοτέραις χερσὶ βαστάζων. Ποιουμένων δὲ τὴν εἴσοδον, κράζει μεγαλοφώνως ἐκ γ΄. ὁ διάκονος· Πάντων ὑμῶν μνησθείη Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ πάντοτε νῦν καὶ ἀεί.. Ἰστέον [2]), ὅτι, ὅταν φθάσῃ ὁ διάκονος πλησίον τοῦ καθηγουμένου τῆς μονῆς, λέγει· Μνησθείη Κύριος ὁ Θεὸς τῆς ἱερωσύνης σου ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε νῦν καὶ ἀεί... Εἰ δ' οὐκ ἔστι διάκονος, ἐκφωνεῖται τοῦτο παρὰ τοῦ ἱερέως. Φθάσαντες [3]) δὲ ἔμπροσθεν τῶν ἁγίων θυρῶν, ἵσταται ὁ διάκονος μικρὸν καὶ λέγει ἠρέμα· [4]) Ἄρατε [5]) πύλας, οἱ ἄρχοντες ὑμῶν, καὶ ἐπάρθητε πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ Βασιλεὺς τῆς δόξης. Ἀνταποκριθεὶς δὲ ὁ ἱερεὺς λέγει· Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, καὶ τὸ Ὁ εὐσχήμων Ἰωσὴφ ἕως τοῦ κηδεύσας ἀπέθετο, καὶ τὸ Ὡς ζωηφόρος [6]), ὡς παραδείσου... καὶ τὸ Τὸ τοῦ ὑψίστου ἡγιασμένον. Ἀποθέμενος τοίνυν ὁ ἱερεὺς τὸ ἅγιον ποτήριον ἐπὶ τῆς ἁγίας τραπέζης, καὶ λαμβάνει καὶ τὸν ἅγιον δίσκον ἀπὸ τῆς κεφαλῆς τοῦ διακόνου καὶ τίθησιν αὐτὸν ἐκ δεξιῶν τοῦ ἁγίου ποτηρίου, ἤγουν τὸ βόρειον μέρος, εἶτα λαμβάνει [7]) ὁ ἱερεὺς τὰ ἐπὶ τῶν ἁγίων καλύμματα, διπλοῖ καὶ τίθησιν αὐτὰ ἔμπροσθεν αὐτοῦ, ἐχόμενα τῶν ἁγίων, ἤγουν πλησίον, καὶ λαβὼν τὸν ἀέρα, θυμιᾷ αὐτὸν καὶ σκεπάζει τὰ ἅγια μετ' αὐτοῦ, καί, θυμιάσας αὐτά [8]), λέγει· Καρδίαν συντετριμμένην καὶ τετα-

---

[1]) Τῆς ἀριστερᾶς αὐτοῦ χειρός [2]) этого всего замѣчанія до словъ: εἰ δ' οὐκ ἔστι διάκονος нѣтъ въ александрійской рукописи [3]) φθασάντων [4]) Τὸ Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, καὶ τὸ Ὁ εὐσχήμων Ἰωσὴφ ἕως τοῦ κηδεύσας ἀπέθετο. [5]) По поводу этого стиха замѣчено: Ἰστέον δέ, ὅτι τὸ Ἄρατε πύλαι, οἱ ἄρχοντες, οὐ λέγεται ἐνταῦθα, ὡς ὁ μακαριώτατος γράφει κῦρ Ἰωάσαφ, ἀλλὰ μόνον τὸ Θεὸς Κύριος καὶ τὸ Ὁ εὐσχήμων... [6]) Этотъ и слѣдующій тропари совершенно отсутствуютъ. [7]) λαβὼν ὁ ἱερεὺς τὰ ἐπὶ τῶν ἁγίων καλύμματα [8]) ἐκ τρίτου λέγει· Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιὼν ἕως τοῦ τέλους· καὶ γὰρ ἕως τοῦ· Καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην, λέγεται πρὸ τῆς εἰσόδου ὁ ψαλμὸς εἰς τὴν πρόθεσιν.

πεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. Λέγεται δὲ πρὸ τῆς εἰσόδου ὁ ψαλμὸς εἰς τὴν πρόθεσιν. Μετὰ δὲ τὸ θυμιᾶσαι τὰ ἅγια, κλίνας τὴν κεφαλήν, λέγει τῷ διακόνῳ· Εὖξαι ὑπὲρ ἐμοῦ, διάκονε. Ὁ δὲ ὑποκλίνας τὴν κεφαλήν, λέγει· Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σέ, καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι. Ὁ ἱερεύς· Αὐτὸ τὸ Πνεῦμα τὸ ἅγιον συλλειτουργήσει ὑμῖν καὶ ἡμῖν πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν. Εὐλογηθεὶς δὲ παρὰ τοῦ ἱερέως ὁ διάκονος καὶ ἐξελθὼν εἰς τὸν συνήθη τόπον αὐτοῦ, ἄρχεται οὕτως· Πληρώσωμεν τὴν δέησιν ἡμῶν τῷ Κυρίῳ... κ. τ. λ. Ὁ ἱερεὺς ἐκφώνως· Διὰ τῶν οἰκτιρμῶν τοῦ μονογενοῦς σου... Εἰρήνη πᾶσι. Ἀγαπήσωμεν... Ποιήσας δὲ ὁ ἱερεὺς γ΄. προσκυνήματα, ἀσπάζεται τὰ ἅγια, ὡς κεκαλυμμένα, πρῶτον μὲν ἐπάνω τοῦ ἁγίου δίσκου, εἶτα ἐπάνω τοῦ ἁγίου ποτηρίου, εἶθ' οὕτως τὸν ἐν τῷ ἀέρι σταυρόν, ἀσπαζόμενος δὲ αὐτὰ λέγει· Ἀγαπήσω σε, Κύριε, ἡ ἰσχύς μου, Κύριος στερέωμά μου καὶ καταφυγή μου καὶ ῥύστης μου. Ὅταν οὖν προσκυνεῖ ὁ ἱερεύς, συμπροσκυνεῖ καὶ ὁ διάκονος ἔξωθεν, ὅταν δὲ ἀσπάζεται ἐκεῖνος τὰ ἅγια, ἀσπάζεται καὶ αὐτὸς τὸν ἐν τῷ ὠραρίῳ αὐτοῦ σταυρόν, καί, ὅταν ἴδῃ αὐτὸν κρατοῦντα τὸν ἀέρα, ἐκφωνεῖ· Τὰς θύρας, τὰς θύρας, ἐν σοφίᾳ πρόσχωμεν. Ὁ ἱερεύς, κρατῶν τὸν ἀέρα ἐπάνω τῶν ἁγίων, ὑψοῖ αὐτὸν μικρὸν καὶ ὡσανεὶ ἀνάγει καὶ κατάγει αὐτόν, ἕως οὗ τελειωθῇ τὸ ἅγιον σύμβολον. Τούτου δὲ τελεσθέντος, ἐκφωνεῖ ὁ διάκονος· Στῶμεν καλῶς... Ὁ δὲ ἱερεὺς διπλοῖ τὸν ἀέρα, ἐπιλέγων μυστικῶς καὶ τὸ Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς, καὶ ἀσπασάμενος αὐτόν, ἐπιτίθησιν ἐπάνω τοῦ καλύμματος τοῦ δίσκου, ὡς ἀποτελέσαι τὰ δύο τύπον σταυροῦ, καὶ εὐθὺς ἐκφωνεῖ· Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ... Ἄνω σχῶμεν τὰς καρδίας. Εὐχαριστήσωμεν τῷ Κυρίῳ. Εἰσελθὼν δὲ ὁ διάκονος καὶ λαβὼν ῥιπίδιον ἢ κάλυμμα, ἀποσοβεῖ τὰς μυίας ἐκ τῶν ἁγίων. Ὁ δὲ ἱερεύς, κλίνας τὴν κεφαλήν, ἐπεύχεται· Ἄξιον καὶ δίκαιον σὲ ὑμνεῖν... p. 60. Ἐκφώνησις· Τὸν ἐπινίκιον ὕμνον... Τούτου δὲ λεγομένου παρὰ τοῦ ἱερέως, ὁ διάκονος αἴρει τὸν ἀστερίσκον καί, κρούσας [1]) αὐτὸν ὄρθιον ἠρέμας ἐν τῷ ἁγίῳ δίσκῳ, ἀποσπογγίζει αὐτὸν τοῖς δακτύλοις, ἢ ἐν τῷ ἀντιμινσίῳ, καὶ ἀσπασάμενος αὐτόν, ἀποτίθησιν ἐπάνω τοῦ ἀέρος, βλέπων τὰ ἄκρα αὐτοῦ πρὸς ἀνατολάς. Ὁ ἱερεὺς κλίνας ἐπεύχεται· Μετὰ τούτων καὶ ἡμεῖς τῶν μακαρίων δυνάμεων... p. 61 Λάβετε, φάγετε... Μυστικῶς· Ὁμοίως καὶ τὸ ποτήριον μετὰ τὸ δειπνῆσαι, λέγων. Ἐκφώνως· Πίετε... Ὁ ἱερεὺς κλινόμενος ἐπεύχεται·

---

[1]) Нѣтъ словъ: καὶ κρούσας αὐτὸν ὄρθιον ἠρέμας ἐν τῷ ἁγίῳ δίσκῳ, но имѣется замѣчаніе совершенно противоположнаго характера: Οὐ κρούομεν ἐν τῷ δίσκῳ, ὡς ὁ μακαριώτατος ἐκεῖνος γράφει κὺρ Ἰωάσαφ.

Μεμνημένοι τοίνυν. p. 61. Ἐκφώνησις· Τὰ σὰ ἐκ τῶν σῶν... Λεγομένης δὲ τῆς ἐκφωνήσεως ταύτης, ὡσανεὶ ἐπιδείκνυσιν ὁ ἱερεὺς τὰ ἅγια τῇ δεξιᾷ χειρί. Ὁ ἱερεὺς κλίνων ἐπεύχεται· Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην... p. 62. Καὶ ἀνιστάμενος ὁ ἱερεύς, σφραγίζει τρίτον τὰ ἅγια δῶρα, λέγων· Καὶ ποίησον τὸν μὲν ἄρτον... Ὁ διάκονος· Ἀμήν. Ὁ ἱερεύς· Τὸ δὲ ἐν τῷ ποτηρίῳ... Ὁ διάκονος· Ἀμήν. Ὁ ἱερεύς· Μεταβαλὼν τῷ Πνεύματί σου τῷ ἁγίῳ. Ὁ διάκονος· Ἀμήν, τρίς. Ὁ ἱερεὺς[1]) τὴν εὐχήν· Ὥστε γενέσθαι τοῖς μεταλαμβάνουσιν... p. 62. Ἐκφώνησις· Ἐξαιρέτως... Ἐνταῦθα λέγει ὁ ἱερεὺς μυστικῶς τὸ Θεοτόκε Παρθένε... καὶ τὸ Ἄξιόν ἐστιν, ὡς ἀληθῶς... ποιῶν καὶ προσκυνήματα γ΄. ὁ δὲ διάκονος τὰ δίπτυχα τῶν κεκοιμημένων. Ὁ δὲ ἱερεὺς κλίνας ἐπεύχεται· Τοῦ ἁγίου Ἰωάννου προφήτου Προδρόμου... p. 63. Ἐκφώνησις· Ἐν πρώτοις μνήσθητι, Κύριε, πάσης ἐπισκοπῆς ὀρθοδόξων, οἷς χάρισαι... (Ἐὰν[2]) ἐστὶ μοναστήριον, λέγεται τῆς μονῆς, ἐν ᾗ παροικοῦμεν). Ὁ διάκονος τὰ δίπτυχα τῶν ζώντων, ὁ δὲ ἱερεὺς κλίνων ἐπεύχεται· Μνήσθητι, Κύριε τῆς πόλεως, ἐν ᾗ παροικοῦμεν.. p. 63 (Ἐνταῦθα μνημονεύει, οὓς θέλει, ζῶντας). Ὁ ἱερεύς· Καὶ δὸς ἡμῖν ἐν ἑνί... Ἐκφώνησις· Καὶ ἔσται τὰ ἐλέη... Ὁ διάκονος[3])· Πάντων τῶν ἁγίων μνημονεύσαντες... κ. τ. λ. Ὁ ἱερεὺς ἐκφωνεῖ· Καὶ καταξίωσον ἡμᾶς, Δέσποτα... Ὁ λαὸς τὸ Πάτερ ἡμῶν... Ὁ ἱερεὺς ἐκφωνεῖ· Ὅτι σοῦ ἐστίν... Εἰρήνη πᾶσι. Τὰς κεφαλὰς ὑμῶν... Ὁ ἱερεὺς κλίνων ἐπεύχεται· Εὐχαριστοῦμέν σε, βασιλεῦ ἀόρατε... p. 65. Ἐκφώνησις· Χάριτι καὶ οἰκτιρμοῖς... Ὁ ἱερεὺς κλίνας, ἐπεύχεται· Πρόσχες, Κύριε Ἰησοῦ Χριστέ... Ibid. Ἐκφώνως· Πρόσχωμεν. Ὁ διάκονος· (sic) Τὰ ἅγια τοῖς ἁγίοις. Εἰσελθὼν δὲ ὁ διάκονος προσφέρει τὸ ζέον τῷ ἱερεῖ, ὁ δὲ ἱερεύς, μελίσας τὸν ἅγιον ἄρτον, λέγει· Μελίζεται καί... p. 65. Σταυροειδῶς δὲ κειμένων τῶν μερίδων, σφραγίζει αὐτάς, εἶτα αἴρει τὴν ἄνω μερίδα καὶ ἐμβάλλει αὐτὴν εἰς τὸ ἅγιον ποτήριον, τοῦ δὲ διακόνου εἰπόντος αὐτῷ· Πλήρωσον, δέσποτα, τὸ ἅγιον ποτήριον. Χαράξας δὲ ὁ ἱερεὺς πρῶτον μετὰ τῆς μερίδος τύπον σταυροῦ, λέγει· Πλήρωμα Πνεύματος ἁγίου. Ὁ διάκονος· Ἀμήν. Εἶτα προσενεγκὼν ὁ διάκονος τὸ ζέον, λέγει τῷ ἱερεῖ· Εὐλόγησον, δέσποτα, τὸ ζέον. Ὁ δὲ σφραγισάμενος αὐτό, λέγει· Εὐλογημένη ἡ ζέσις τοῦ παναγίου Πνεύματος, πάντοτε νῦν... Ἐμβάλλων δὲ τὸ ζέον ὕδωρ, ὁ διάκονος εἰς τὸ ἅγιον ποτήριον ἐγχέει σταυροειδῶς, ἕως ἂν θερμανθῇ ἡ ἀριστερὰ χεὶρ αὐτοῦ, ἡ τοῦτο κρατοῦσα, λέγων· Ζέσις πίστεως πλήρης Πνεύματος ἁγίου. Ἀμήν,

[1]) Ὁ ἱερεὺς κλινόμενος ἐπεύχεται [2]) нѣтъ этого замѣчанія [3]) ἄρχεται τῶν ἔμπροσθεν γεγραμμένων αἰτήσεων

καὶ τὸ Λουτρὸν τὸ θεῖον τῆς παλιγγενεσίας, λόγῳ κεραννὺς συντεθειμένῃ φύσει, ὀμβροβλυτεῖς μοι ῥεῖθρον ἐξ ἀκηράτου σου, νενυγμένης σου πλευρᾶς, ὦ Θεοῦ Λόγε, ἐπισφραγίζων τῇ ζέσει τοῦ Πνεύματος... Εἶτα λαβὼν τὴν κάτωθεν μερίδα, τέμνει εἰς δύο, καὶ τὸ μὲν ἓν μέρος ἐπιδίδωσι τῷ διακόνῳ, λέγων οὕτως· Τὸ τίμιον καὶ ἅγιον, καὶ ἄχραντον, καὶ ζωοποιὸν Σῶμα τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ μεταδίδοται τῷ δούλῳ αὐτοῦ (τῷδε) ἱεροδιακόνῳ εἰς ἄφεσιν ἁμαρτιῶν αὐτοῦ, καὶ εἰς ζωὴν αἰώνιον· τὸ δὲ ἕτερον μέρος κατέχει αὐτὸς ἐν τῇ δεξιᾷ αὐτοῦ παλάμῃ, λέγων καὶ αὐτὸς ὁμοίως· Τὸ τίμιον καί... Εἶτα κύψαντες ἀμφότεροι, λέγουσι μυστικῶς· Τοῦ δείπνου σου τοῦ μυστικοῦ σήμερον... καὶ τὸ Τὰς ἀνομίας μου πάριδε, Κύριε, ὁ ἐκ Παρθένου τεχθεὶς καὶ τὴν καρδίαν μου κάθαρον, ναὸν αὐτὴν ποιῶν τοῦ ἁγίου σου Πνεύματος, μή με ἐξουδενώσῃς ἀπὸ τοῦ σοῦ προσώπου, ὁ ἀμέτρητον ἔχων τὸ μέγα ἔλεος· καὶ τὸ Πιστεύω, Κύριε, καὶ ὁμολογῶ... ὧν πρῶτός εἰμι ἐγώ. Καὶ εὐθὺς ἐσθίουσι τὸν ἅγιον ἄρτον. Λαβὼν δὲ ὁ ἱερεὺς καὶ τὸ ἅγιον ποτήριον, κοινωνεῖ, λέγων· Μεταλαμβάνει ὁ δοῦλος τοῦ Θεοῦ (ὅδε) ἱερεὺς τὸ τίμιον, καὶ ἅγιον, καὶ ἄχραντον, καὶ ζωοποιὸν Αἷμα τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ εἰς ζωὴν αἰώνιον. Καὶ μεταλαμβάνει τρὶς ἐξ αὐτοῦ. Μεταδίδωσιν ὁμοίως καὶ τῷ διακόνῳ, μεταλαβόντες δὲ γʹ. ἐξ αὐτοῦ ἕκαστος, σπογγίζει τῷ καλύμματι τὰ ἴδια χείλη, ὁμοίως καὶ τοῦ ἁγίου ποτηρίου, καὶ ἀσπασάμενος αὐτό, ἀποτίθεται ἐν τῇ ἁγίᾳ τραπέζῃ, εἶθ' οὕτως ποιοῦσιν ἀσπασμόν, λέγοντος τοῦ ἱερέως· Ὁ Θεὸς ἐν μέσῳ ἡμῶν. Ὁ διάκονος· Καὶ ἐστὶ καὶ ἔσται. Εἶτα τῶν ἁγίων λειψάνων συναχθέντων ὑπὸ τοῦ διακόνου διὰ τῆς λεγομένης μούσης μετὰ φόβου καὶ πάσης προσοχῆς καὶ ἐμβληθέντων τῷ ἁγίῳ ποτηρίῳ, ὁμοίως καὶ τῆς λαβίδος ἐμβληθείσης, εἴπερ εἰσί τινες μέλλοντες κοινωνῆσαι, σκεπάζεται τὸ ἅγιον ποτήριον τῷ ἰδίῳ καλύμματι, στραφέντες δὲ πρὸς τὸν λαόν, κρατῶν ὁ διάκονος τὸ ἅγιον ποτήριον ταῖς ἀμφοτέραις χερσί, λέγει μέσῃ φωνῇ· Μετὰ φόβου Θεοῦ καὶ πίστεως, καὶ ἀγάπης προσέλθετε. Καὶ εἰ μὲν εἰσί τινες βουλόμενοι κοινωνῆσαι, λαμβάνει ὁ ἱερεὺς τὸ ἅγιον ποτήριον ἐκ τῶν χειρῶν τοῦ διακόνου καὶ κοινωνεῖ αὐτούς, εἰ δ' οὐκ εἰσίν, ὑποστρέφει αὐτὸ ὁ διάκονος εἰς τὴν ἁγίαν τράπεζαν, ὁ δὲ ἱερεύς, εὐλογήσας τὸν λαόν, λέγει μέσῃ φωνῇ· Σῶσον, ὁ Θεός, τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου. Καὶ στραφεὶς λέγει τὴν εὐχήν. Εὐχή, λεγομένη μετὰ τὴν ἁγίαν μετάληψιν· Εὐχαριστοῦμέν σοι, Δέσποτα φιλάνθρωπε, εὐεργέτα... p. 67. Μετὰ δὲ τὴν εὐχήν, θυμιᾷ ὁ διάκονος τὰ ἅγια ἐκ γʹ. λέγων· Ὑψώθητι ἐπὶ τοὺς οὐρανούς, ὁ Θεός, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου. Καὶ λαβὼν ὁ ἱερεὺς τὸν ἱερὸν δίσκον μετὰ τῶν δύο

καλυμμάτων καὶ τοῦ ἀστερίσκου, τίθησιν ἐπάνω τῆς κεφαλῆς τοῦ διακόνου, τὸν δὲ θυμιατὸν κρεμᾷ εἰς τὸν μικρὸν δάκτυλον τῆς ἀριστερᾶς αὐτοῦ χειρός, αὐτὸς δὲ λαβὼν τὸ ἅγιον ποτήριον ταῖς δύο χερσί, λέγει ἠρέμας· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, εἶθ' οὕτως ἐκφωνεῖ· Πάντοτε νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Καὶ στραφέντες πρὸς τὸν λαόν, ἐπιδείξαντες αὐτοῖς τὰ ἅγια, προσφέρουσιν εἰς τὴν πρόθεσιν, καὶ ὁ διάκονος διὰ τοῦ βορείου μέρους ἐξελθών, λέγει μεγαλοφώνως· Ὀρθοὶ μεταλαβόντες... Ἀντιλαβοῦ.. Τὴν ἡμέραν πᾶσαν τελείαν... Τούτων δὲ λεγομέων, διπλοῖ ὁ ἱερεὺς τὸ εἰλητὸν καί, ἀσπασάμενος τὸ ἅγιον εὐαγγέλιον, τίθησιν ἐπάνω αὐτοῦ καὶ ἐκφωνεῖ· Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν [1]).. Ἐν εἰρήνῃ προέλθωμεν. Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν. Εὐχὴ ὀπισθάμβωνος ἐκφωνουμένη· Ὁ εὐλογῶν τοὺς εὐλογοῦντάς σε, Κύριε... p. 68. Καὶ προσκυνήσας ἀσπάζεται τὰς ἁγίας εἰκόνας, καὶ εἰσελθὼν εἰς τὴν πρόθεσιν, λέγει τὴν εὐχὴν ταύτην. Εὐχὴ λεγομένη ἐν τῷ σκευοφυλακίῳ· Τὸ πλήρωμα τοῦ νόμου... Ibid. Ἐξελθὼν δὲ ὁ ἱερεὺς διανέμει τὸν κατακλαστόν, ὁ δὲ διάκονος τελειοῖ τὰ ἅγια καὶ ἀποπλύνει τὸ ἅγιον ποτήριον δὶς μὲν μετὰ οἴνου, ἅπαξ δὲ μεθ' ὕδατος, εἶτα ἐκμάσσει τῷ σπόγγῳ ἀκριβῶς πᾶσαν τὴν τούτου ὑγρότητα, ὥστε μὴ ἀπολειφθῆναι ἐν αὐτῷ τὴν τυχοῦσαν νοτίδα, καὶ συστείλας τὰ ἱερά, ἀπονίπτει τὰς ἑαυτοῦ χεῖρας καὶ τὰ χείλη, λέγων καθ' ἑαυτὸν τὸ Νῦν ἀπολύεις τὸν δοῦλόν σου, τὸ Τρισάγιον, τὸ Παναγία Τριάς, τὸ Πάτερ ἡμῶν, Ὅτι σοῦ ἐστίν, τὸ τροπάριον τῆς μονῆς, ἢ τῆς ἡμέρας, ἢ τοῦ θείου Χρυσοστόμου, Δόξα, τὰ κοντάκια αὐτοῦ, Καὶ νῦν, θεοτοκίον ὅμοιον, τὸ Κύριε ἐλέησον μ'. Τὴν τιμιωτέραν, καὶ γίνεται παρὰ τοῦ ἱερέως ἀπόλυσις μυστικῶς· ἔξω γὰρ οὐ γίνεται ἀπόλυσις τελεία, ἀλλὰ μετὰ τὸ τέλος τοῦ ψαλμοῦ, ἐπευλογῶν ὁ ἱερεὺς τὸν λαόν, λέγει· Εὐλογία Κυρίου ἐφ' ἡμᾶς... Ὁ λαός· Δόξα καὶ νῦν, ὁ δὲ ἱερεὺς τὸν στίχον· Διὰ πρεσβειῶν τῆς παναχράντου σου Μητρός, καὶ πάντων τῶν ἁγίων, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐλέησον ἡμᾶς. Ἡμεῖς δὲ μακαρίζομεν [2]) τοὺς κτήτορας τῆς μονῆς, εἶθ' οὕτως ἐξερχόμεθα τοῦ ναοῦ.

л. 51. Ἀποστολοευαγγέλια τῆς ὅλης ἑβδομάδος.

л. 54. Ἡ θεία λειτουργία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου.

л. 76. Ἡ θεία λειτουργία τῶν προηγιασμένων, ποίημα Γερμανοῦ, τοῦ ἁγιωτάτου πατριάρχου Κωνσταντινουπόλεως.

---

[1]) Ἰστέον, ὅτι τὸ κάλυμμα τοῦ δίσκου τίθεται ἔνδον τοῦ δίσκου καὶ ὁ ἀστερίσκος διὰ δὲ τοῦ ἀέρος σκεπάζονται ἀμφότερα, ἐφαπλουμένου αὐτοῖς. [2]) πολυχρονοῦμεν τοὺς βασιλεῖς συνήθως.

Начинается возгласомъ: „Благословенно царство". Во время предначинательнаго псалма, читаются три первыя молитвы. Ἀρξαμένης δὲ τῆς στιχολογίας, ἀπέρχεται ὁ ἱερεὺς ἐν τῇ ἁγίᾳ προθέσει καὶ λαβὼν τὸν προηγιασμένον ἄρτον μετ' εὐλαβείας πολλῆς, τίθησιν ἐν τῷ ἱερῷ δίσκῳ, βαλὼν καὶ εἰς τὸ ἅγιον ποτήριον οἶνον συνήθως καὶ ὕδωρ, θυμιάσας αὐτὰ καὶ περικαλύψας, ἀπέρχεται, οὐ μέντοι λέγει τί τῶν συνήθων ἐν τῇ προθέσει ἢ εὐχὴν προθέσεως, κἂν ἔν τισιν εὕρηται προθέσεως εὐχή, ἀλλ' ἢ μόνον Δι' εὐχῶν τῶν ἁγίων πατέρων... προηγιασμένη γάρ ἐστι καὶ τελειωμένη αὐτὴ ἡ θυσία. Μετὰ δὲ τὴν στιχολογίαν καὶ τὴν ἐκφώνησιν, ψάλλομεν τὸ Κύριε ἐκέκραξα εἰς τὸν ἦχον τοῦ ἰδιομέλου τοῦ Τριῳδίου, ἱστῶντες στιχηρὰ ι'. καὶ θυμιᾷ, ὡς ἔθος, καὶ ψάλλομεν τὸ ἰδιόμελον δὶς τοῦ Τριῳδίου καὶ τὸ μαρτυρικὸν ἅπαξ, τὰ γ'. προσόμοια τοῦ Τριῳδίου πρὸς μίαν, καὶ τοῦ Μηναίου γ'. δευτεροῦντες τὸ πρῶτον, Δόξα καὶ νῦν, θεοτοκίον ὅμοιον πρὸς τὸν ἦχον τῶν προσομοίων τοῦ Μηναίου, εἴσοδος μετὰ θυμιατοῦ καὶ δύο λαμπάδων, προπορευομένου τοῦ κηρομανουαλίου. Εὐχὴ τῆς εἰσόδου· Ἑσπέρας καὶ πρωὶ καὶ μεσημβρίας. Ὁ διάκονος· Σοφία, ὀρθοί, τὸ Φῶς ἱλαρόν. Ὁ διάκονος· Πρόσχωμεν. Ὁ ἱερεύς· Εἰρήνη πᾶσιν. Ὁ διάκονος· Σοφία, ὁ ἀναγνώστης τὸ προκείμενον τῆς προφητείας, καὶ γίνεται ἀνάγνωσις τῆς Γενέσεως, καὶ μετὰ ταῦτα τὸ β'. προκείμενον τῆς Παροιμίας. Μετὰ τοῦτο ἀνίσταται ὁ ἱερεύς, ἐκφωνοῦντος τοῦ διακόνου· Κελεύσατε. Λαβὼν ὁ ἱερεὺς ἐν τῇ δεξιᾷ αὐτοῦ χειρὶ θυμιατὸν καὶ μανουάλιον μετὰ κηροῦ ἔσωθεν τοῦ βήματος, ἵσταται κατενώπιον τῆς ἁγίας τραπέζης καί, σφραγίζων σταυροειδῶς, λέγει· Σοφία, ὀρθοί. Φῶς Χριστοῦ φαίνει πᾶσι. Καὶ ἀναγινώσκεται ἡ παροιμία, εἶτα λέγει ὁ ἱερεύς· Εἰρήνη πᾶσιν. Ὁ διάκονος· Σοφία. Ὁ ψάλτης τὸ Κατευθυνθήτω. Далѣе чинъ обычный.

л. 87. Εὐαγγέλια ἀναστάσιμα τὰ ἕνδεκα.

л. 98 чистый.

л. 99. Ἀποστολοευαγγέλια εἰς διαφόρους ἁγίους.

л. 127. Τῇ κυριακῇ τῆς ἁγίας Πεντηκοστῆς.

л. 140 об. Εὐχὴ ἐπὶ ἅλωνα. 2 молитвы.

л. 141. Εὐχὴ εἰς ποίμνην κτηνῶν.

— Εὐχὴ ἑτέρα ἐπὶ ποιμνίου. 3 молитвы.

л. 143. Ἀκολουθία τοῦ μικροῦ ἁγιασμοῦ.

л. 151 об. Κανών, ψαλλόμενος εἰς τὴν ὑπεραγίαν Θεοτόκον.

Πολλοῖς συνεχόμενος πειρασμοῖς πρὸς σὲ καταφεύγω, σωτηρίαν ἐπιζητῶν... Παθῶν με ταράττουσι προσβολαὶ πολλῆς ἀθυμίας...

л. 155 об. Κοντάκια τῆς ἑβδομάδος.

л. 158. Другою новѣйшею рукою: Εὐχὴ τῆς μεταλήψεως·

Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, Υἱὲ καὶ Λόγε τοῦ Θεοῦ τοῦ ζῶντος, ποιμὴν ὑπάρχων... Goar. p. 536.

л. 160 об. Εὐχὴ, λεγομένη παρὰ τοῦ ἱερέως ἐπὶ τὴν κεφαλὴν τοῦ μέλλοντος μεταλαβεῖν τῆς ἁγίας κοινωνίας.

Ἔκλινε τὸν αὐχένα ὁ σὸς δοῦλος ἀπεκδεχόμενος τὰ παρὰ σοῦ πλούσια ἐλέη... См. выше стр. 496.

**LXXVI.** № 1006 Εὐχολόγιον, рукопись той же библ. въ 4 долю листа, 48 листовъ, на бомбицинѣ (по Гардгаузену на бумагѣ) писана четкою скорописью XV в.

л. 1. Τάξις γινομένη ἐπὶ χειροτονίᾳ ἀναγνώστου καὶ ψάλτου. Goar. pag. 194.

л. 1 об. Ἀκολουθία ἐπὶ χειροτονίᾳ ὑποδιακόνου.

Φορέσαντος τοῦ ἀρχιερέως καὶ πρὸ τῶν μεγάλων πυλῶν ἱσταμένου, προσάγεται ὁ χειροτονησάμενος, φορῶν φενώλιον, καὶ ἀποδύσαντες τοῦτον οἱ διάκονοι, περιτίθενται αὐτῷ στιχάριον καὶ ζωννύουσιν, εἶτα σφραγίζων τρὶς τὴν αὐτοῦ κεφαλὴν καὶ ἐπιτιθεὶς αὐτοῦ τὴν χεῖρα, εὔχεται οὕτως· ὀφείλει δὲ κρατεῖν καὶ χερνιβόξεστον. Εὐχή· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ διὰ τοῦ ἑνὸς καὶ τοῦ αὐτοῦ ἁγίου Πνεύματος... Goar. p. 204.

л. 2 об. Ἀκολουθία ἐπὶ χειροτονίᾳ διακόνου. Goar. p. 210.

л. 5. Τάξις γινομένη ἐπὶ χειροτονίᾳ πρεσβυτέρων. Goar p. 244. На полѣ прибавлено: при облаченіи рукополагаемаго, произносить слѣдующую формулу: *καὶ λέγει ὁ ἀρχιερεύς·* Εὐλογητὸς Κύριος, *ἰδοὺ* γέγονεν ὁ δοῦλος τοῦ Θεοῦ ὁ δεῖνα ἱερεύς. Ὁ λαός· Ἄξιος.

л. 7 об. Τάξις γινομένη ἐπὶ χειροτονίᾳ ἐπισκόπου. Goar. p. 249—251.

л. 10. Τάξις γινομένη ἐπὶ καθιερώσει ναοῦ καὶ ἱδρύσει ἐν αὐτῷ ἁγίας τραπέζης. Goar. p. 655—664.

л. 26. Τάξις γινομένη ἐπὶ σαλευθείσης ἁγίας τραπέζης. Goar. p. 492. Въ концѣ прибавлены стихиры, апостолъ и евангеліе. Goar.p.663.

л. 30. Τάξις γινομένη ἐπὶ τῶν ἀντιμινσίων.p. 518—519.

Послѣ Ἀλληλούια и стиховъ: Ὡς ἀγαπητά... Τὰ θυσιαστήριά σου *καὶ λέγει ὁ ἀρχιερεύς·* Ἰδοὺ ἡγίασται καὶ τετελείωται, καὶ γέγονε θυσιαστήριον, ἅγια ἁγίων, ἐν ὀνόματι τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος.

л. 31 об. Εὐχὴ τοῦ ἁγίου δίσκου.

Κύριε ὁ Θεὸς ἡμῶν, κατάπεμψον ἐπὶ τὸν δίσκον τοῦτον. Goar. p. 672. Εἶτα ῥαίνει μέγα μύρον ἀπ' ἔσω, καὶ λέγει μεγαλοφώνως· Εἰς τὸ

ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεί... Λέγει δὲ καὶ τὴν εὐχὴν ταύτην. Τοῦ Κυρίου δεηθῶμεν. Ἰδοὺ ἡγίασται καὶ τετελείωται ὁ ἅγιος δίσκος, δι' οὗ τὸ Σῶμα τοῦ Χριστοῦ προσφέρομεν ἐν αὐτῷ καὶ διαδίδοται τοῖς πιστοῖς εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον, πάντοτε νῦν καὶ ἀεί...

л. 32. Εὐχὴ ἑτέρα τοῦ ποτηρίου.

Ἐπίταξον, Κύριε, ἐπὶ τὸ ποτήριον τοῦτο, ἐκ τῶν ἀπεριγράπτων σου κόλπων. Goar. p. 672. Καὶ βάλλει μέσον τοῦ ἁγίου ποτηρίου μέγα μύρον καὶ εἰς τὸν ἅγιον δίσκον· Ἰδοὺ ἡγίασται καὶ τετελείωται τὸ ποτήριον τοῦ ἁγίου σου θυσιαστηρίου τῇ ἐνεργείᾳ τοῦ Πατρὸς καὶ τῇ ἐπιφοιτήσει τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεί... Εἶτα λέγει καὶ ταύτην τὴν εὐχήν. Τοῦ Κυρίου δεηθῶμεν. Δέσποτα Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ τὸ ποτήριον τῆς καινῆς σου διαθήκης ἁγιάσας. Goar. p. 671.

33. Συστατικὸν εἰς ἱερέα.

Παῦλος ὁ μέγας ἀπόστολος, τὸ στόμα τοῦ Κυρίου, συστατικαῖς τισιν ἐπιστολαῖς ἐφοδιάζων τοὺς ἑαυτοῦ μαθητάς, ἐφ' οἷς ἐν πόλεσι τὸ κήρυγμα τοῦ εὐαγγελίου κατεβιβάζετο ἀσφαλῶς ἐξαπέστελλεν, ὡς ἂν ἐντεῦθεν βέβαιον καὶ ἀληθὲς ἔχοντες εὐπαράδεκτοι εἶεν, ὅπου ἂν γένοιντο, καὶ μὴ ἀπρόσδεκτοι καὶ ὑπονοίας μεστοὶ τῷ ἀμαρτύρῳ τῆς ἐκείνων ἐπιστολῆς, τούτῳ τοίνυν τῷ μακαρίῳ ἀποστόλῳ καὶ ἡ ταπεινότης (ἡ μετριότης) ἡμῶν πειθομένη, ἅμα δὴ καὶ μιμουμένη τὸν παρόντα ὁ δεῖνα ὑπὸ τοῦ πνευματικοῦ αὐτοῦ πατρὸς μαρτυρηθεὶς ἄξιον τῆς ἱερωσύνης τῇ τοῦ Χριστοῦ χάριτι ἐχειροτόνησα αὐτὸν διάκονον· ὀφείλει οὖν δέχεσθαι ὁ τοιοῦτος, ὅπου ἂν καταλάβοι ἀκωλύτως καὶ ἐκτελεῖν τὰ τῆς ἱεροπραξίας, διὰ τοῦτο ἐγένετο καὶ τὸ παρὸν συστατικὸν γράμμα τῆς ἡμῶν ταπεινότητος (μετριότητος) καὶ ἀσφαλῶς ἐπεδόθη αὐτῷ μηνὶ τῷ δεῖνι.

л. 33 об. Ἔνταλμα εἰς πνευματικόν.

Τὸ τῆς πνευματικῆς ἀναδοχῆς λειτούργημα ἀποστολικὸν τῷ ὄντι τυγχάνει ἀξίωμα καὶ μάλιστα τοῖς (ἐν) τῷ βίῳ νενεκρωμένοις καὶ ἀρίστην πολιτείαν ἐκ τῶν ἔργων ἐπιδεδειγμένοις τούτους καὶ γέρα καὶ τιμὰς ἐπαπολαύειν, χρὴ τοίνυν καὶ ὁ παρὼν τιμιώτατος ἱερομόναχος ὁ δεῖνα, (ὃς) ἐκατέλαβε πρός με, ἵνα λάβῃ τὴν πνευματικὴν διαγωγὴν καὶ διὰ τὸ εὑρεῖν αὐτὸν βίου καθαροῦ, ἐπέδωκα πρὸς αὐτὸν τὴν πνευματικὴν διαγωγὴν τοῦ ἔχειν ἐπ' ἄδειαν ἀποκείραιν μοναχοὺς καὶ μοναστρίας ἀχριματίστως καὶ ἀναδέχεσθαι τοὺς λογισμοὺς τῶν προσερχομένων πρὸς αὐτόν, καὶ ὡς ἄριστος ἰατρὸς κατὰ τὰς πληγὰς καὶ τὰ ἔμπλαστρα ἐπιτίθησιν· ὀφείλει δὲ καὶ αὐτὸς πορεύεσθαι ἐν πάσῃ εὐλαβείᾳ καὶ φόβῳ Θεοῦ, νηστείαις σχολάζειν καὶ ἀγρυπνίαις καὶ ἐλεημοσύναις τὸ κατὰ δύναμιν, καὶ ὅσα οὐ δύ-

*

ναται αὐτὸς διορθῶσαι τὰ τῶν βαρέων ἁμαρτημάτων ἁμαρτήματα, ἀναφέρειν ταῦτα πρὸς τὸν ἀρχιερέα τοῦ τόπου. Διὰ τοῦτο ἐγένετο καὶ τὸ παρὸν ἐνταλτήριον γράμμα τῆς ἡμῶν ταπεινότητος (μετριότητος), καὶ ἐπεδόθη αὐτῷ μηνὶ τῷ δεῖνι.

л. 34. об. Εὐχὴ εἰς πρωτοπαπᾶν.

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὴν ἱερωσύνην χαρισάμενος τῷ γένει ἡμῶν. Goar. p. 238.

— Εὐχὴ ἐπὶ ἀρχιδιακόνων.

Δέσποτα Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ ἐν τῇ καινῇ σου διαθήκῃ ἐκλεξάμενος σεαυτῷ ἐγκρίτους διακόνους τοῦ προΐστασθαι τῶν χηρῶν καὶ τῶν ἐξ ὑπογείου πεπιστευκότων ἐπὶ σοὶ καὶ τῶν στεφάνων ἀξιῶν, Αὐτὸς καὶ τὸν δοῦλόν σου ὁ δεῖνα ἄνδρα πλήρη χάριτος καὶ ἀληθείας καὶ εὐταξίας (ἐπὶ) τὴν σὴν ἐκκλησίαν διατήρησον· εἰρήνης γὰρ σὺ εἶ, ὁ Θεὸς ἡμῶν. Ναί, Δέσποτα, Σὺ τοῦτον τὸν ἀδελφὸν ἡμῶν, τὸν λαχόντα πρωτεύειν τῶν ὑπ' αὐτῶν διακόνων, ἐνέργησον εὐαρέστως διαπρέπειν, καταξίωσον εὐχαῖς καθαραῖς ἀναπέμπειν σοι, ἀξίωσον αὐτὸν εὐχαῖς καὶ ἱκεσίαις τῆς ὑπερευλογημένης Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τοῦ ἁγίου ἐνδόξου πανευφήμου ἀποστόλου καὶ ἱεράρχου Ἰακώβου τοῦ ἀδελφοθέου καὶ πάντων τῶν ἁγίων. Ἀμήν.

л. 35 об. Εὐχὴ εἰς χωρεπίσκοπον.

Σὲ ἱκετεύομεν, Κύριε ὁ Θεὸς τῆς σωτηρίας ἡμῶν, ὁ ἐκ τοῦ πληρώματος τῆς κολυμβήθρας τῆς σῆς ἀγαθότητος, εὐλόγησον τῇ ἀγαθότητί σου καὶ ἁγίασον τὸν δοῦλόν σου (τόνδε) διὰ χειρὸς ἐμοῦ τοῦ ἁμαρτωλοῦ ἀπὸ ἱερέα εἰς χωρεπίσκοπον τῆς ἁγίας τοῦ Θεοῦ ἐκκλησίας (τῆσδε), ἐπιφοιτῶν αὐτὸν τὸ Πνεῦμά σου τὸ ἅγιον, καὶ ἐπὶ τῇ ἀπαρχῇ τοῦ κείρασθαι αὐτοῦ τὴν κόμην, δὸς αὐτῷ προκόψαι ἐν ἡλικίᾳ καὶ πολιᾷ γήρους, ὅπως ἴδῃ τὰ ἀγαθὰ Ἱερουσαλὴμ πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ, καὶ εὐαρεστήσῃ σοι, οἷς προητοίμασας, ἵνα ἐν αὐτοῖς περιπατήσῃ. Ὅτι σὸν τὸ κράτος... Ἐκφώνως· Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ εὐλογήσας τοὺς ἁγίους πατέρας ἡμῶν Ἀβραάμ, Ἰσαὰκ καὶ Ἰακὼβ καὶ κληρονόμους αὐτοὺς τῆς σῆς βασιλείας ἀναδείξας, Αὐτὸς καὶ νῦν εὐλόγησον τὸν δοῦλόν σου (τόνδε) εἰς χωρεπίσκοπον καὶ τὰ ἔργα τῶν χειρῶν ἡμῶν ἁγίασον, τὴν δὲ ζωὴν ἡμῶν ἀκατάκριτον διαφύλαξον πρεσβείαις τῆς ὑπερευλογημένης Δεσποίνης ἡμῶν Θεοτόκου καὶ πάντων τῶν ἁγίων σου. Ὅτι πρέπει σοι πᾶσα δόξα, εἰς τοὺς αἰῶνας. Ἀμήν. Εἶτα δίδει αὐτῷ τὸ ἐπιγόνατον καὶ λέγει· Περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου, δυνατέ. Καὶ πάλιν λέγει πρὸς αὐτόν· Εὐλογητὸς Κύριος. Ἰδοὺ γέγονας χω-

ρεπίσκοπος τῆς πόλεως ἡμῶν (τῆσδε), εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεί.

л. 36. Εὐχὴ εἰς μέγαν οἰκονόμον.

Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ πάντα σοφῶς οἰκονομῶν, καὶ τῇ κατὰ σάρκα σου οἰκονομίᾳ. Goar. p. 232.

л. 37. Εἰς προχείρισιν πατριάρχου εἰς πατριάρχην.

Ἀφ' ἑσπέρας ἐνθρονίζεται μετὰ δύο ἀρχιερέων, εἶτα μνημονεύουν τόν, ὡς πατριάρχην, κἀκεῖνος πολυχρονίζει τοὺς βασιλεῖς, καὶ τὸ πρωῒ λειτουργεῖ μὲ τοὺς τρεῖς ἀρχιερεῖς, ἢ δύο, εἰ δὲ μὲ ἕνα, οὐδὲν γίνεται. Ἐὰν δὲ γένῃ εἶναι καθῃρημένος καὶ ὁ χειροτονούμενος καὶ ὁ χειροτονήσας, ὁ πρῶτος δὲ ἀρχιερεὺς λέγει τὰς εὐχὰς ταύτας. Τοῦ Κυρίου δεηθῶμεν. Δέσποτα παντοκράτωρ Θεὲ καὶ Κύριε τοῦ ἐλέους, ὁ Πατὴρ τῶν οἰκτιρμῶν καὶ Θεὸς πάσης παρακλήσεως. Ркп. XVI в. Синайск. библ. № 974. Εὐχὴ β'. Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς τῶν δυνάμεων, ὁ θέμενος ἡμᾶς εἰς τὸν κλῆρον τῆς διακονίας ταύτης, ὁ ἐπιστάμενος τὸν νοῦν τῶν ἀνθρώπων καὶ ἐτάζων καρδίας καὶ νεφρούς, ἐπάκουσον ἡμῶν διὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, καὶ καθάρισον ἡμᾶς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, καὶ χάρισαι ἡμῖν ἐπιτελεῖν ἁγιωσύνην ἐν φόβῳ σου, περίελε ἀφ' ἡμῶν, ὡς νεφέλην τὰς ἀνομίας, καὶ ὡς γνόφον τὰς ἀδικίας, πλήρωσον ἡμᾶς τῆς δυνάμεώς σου καὶ τῆς χάριτος τοῦ μονογενοῦς σου Υἱοῦ, καὶ τῆς ἐνεργείας τοῦ ἁγίου σου Πνεύματος, ἱκάνωσον ἡμᾶς διακόνους γενέσθαι τῆς καινῆς σου διαθήκης, ἵνα δυνηθῶμεν ἀξίους τοῦ ὀνόματός σου παραστῆναι λειτουργοὺς καὶ ἱερεῖς τῶν σῶν μυστηρίων, καὶ μὴ ἐάσῃς ἡμᾶς, Δέσποτα, κοινωνοὺς γενέσθαι ἀλλοτρίων ἁμαρτημάτων, ἀλλὰ καὶ τὰ ἡμέτερα ἐξάλειψον καὶ δὸς ἡμῖν μηδὲν ποιεῖν κατὰ πρόσληψιν, ἢ ἄκριτον πρόσκλησιν, ἀλλ' ἐκλέγεσθαι τοὺς ἀξίους καὶ προσάγειν τῷ ἁγίῳ σου θυσιαστηρίῳ, ὅτι χρηστὸς εἶ καὶ πολυέλεος πᾶσι τοῖς ἐπικαλουμένοις σε ἐν ἀληθείᾳ καὶ σοὶ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις σὺν τῷ ἀνάρχῳ... Ὁ πρωτόθρονος ἐπίσκοπος λέγει· Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῆς εἰρήνης... Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου... Ὑπὲρ σωτηρίας ἀντιλήψεως τοῦ ἁγιωτάτου πατρὸς ἡμῶν (δεῖνος) τοῦ νῦν ἐνθρονιαζομένου πατριάρχου (δεῖνος) πόλεως... Τοῦ Κυρίου δεηθῶμεν. Δέσποτα Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ τοῦ μονογενοῦς σου Παιδὸς Ἰησοῦ Χριστοῦ. Ркп. Синайск. библ. № 974. Τοῦ Κυρίου δεηθῶμεν. Δέσποτα Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν τοῦ Ἀβραάμ, Ἰσαὰκ καὶ Ἰακώβ, ὁ προχειρισάμενος Μωϋσῆν δημαγωγόν, καὶ δι' αὐτοῦ ποιμάνας τὸν Ἰσραήλ, ὁ τὴν καθολικήν σου ἐκκλησίαν συστησάμενος τῷ Αἵματι τοῦ Χριστοῦ σου, ὁ ἀναδείξας ἐν αὐτῷ ἱερεῖς καὶ διδασκάλους, δι'

ὧν ἐπληθύνθη καθ' ὅλης τῆς οἰκουμένης ἡ ἐπίγνωσις τῆς ἀληθείας, ὁ ἐν ἑκάστῃ γενεᾷ ἀναδείξας ἐκλεκτοὺς καὶ ποιμένας, πρῶτον Πέτρον χειροτονήσας καὶ πατριαρχικὸν αὐτῷ σύμβολον ἐπιδούς, καὶ στήριγμα ἐκκλησίας καλέσας αὐτόν. Αὐτὸς καὶ νῦν, Δέσποτα, ἔπιδε ἐπὶ τὸν σὸν θεράποντα (τόνδε) καὶ ἔκλεξαι αὐτὸν τῇ ἐπουρανίῳ σου χάριτι εἰς ποιμένα καὶ πατέρα καὶ καθηγητὴν τῆς ἐκκλησίας τῆς ἁγίας σου, πρόεδρον αὐτὸν καὶ ἀρχηγὸν προχείρισαι τοῦ ἁγίου σου θυσιαστηρίου, συνεπισκόπησον ἐν πάσαις βουλαῖς καὶ πράξεσι καὶ τόποις, ἐγχείρισον δὲ αὐτῷ τὴν ἀποστολικὴν ἀξίαν, ἐπίδος αὐτῷ τῆς ἐκκλησίας σου τῆς ἁγίας, φώτισον αὐτὸν τῇ σῇ θεότητι, καὶ προσάγαγε αὐτὸν ἐκλογὴν χειροτονίας ἁγίᾳ κρίσει, δικαίᾳ βεβαιώσει, τελείᾳ ψήφῳ καὶ παναγίᾳ, γενοῦ αὐτῷ στόμα καὶ γλῶσσα, καρδία, διάνοια, λόγος, πρᾶξις καὶ πᾶν, ὅτι προνοούμενον ἀγαθόν, ἐπίνευσον, εὐδόκησον, εἰς τὸ γενέσθαι αὐτὸν τέλειον ἀρχιερέα, μιμητὴν τοῦ ἀρχιποιμένος Χριστοῦ, τιθέντα τὴν ψυχὴν αὐτοῦ ὑπὲρ τῶν προβάτων, ἐνέργησον αὐτὸν χαρίσματα ἰαμάτων, στήριξον τῷ Πνεύματί σου τὸ ἡγεμονικόν, ὥστε σκοπεῖν τὸ ποίμνιόν σου ἐν ὁσιότητι καρδίας ὀρθοτομοῦντα τὸν λόγον τῆς ἀληθείας, ἐπίφανον αὐτὸν φῶς τῶν ἐν σκότει, παιδευτὴν ἀφρόνων, διδασκάλων καὶ νηπίων, ἔνδυσον αὐτὸν δύναμιν ἐξ ὕψους εἰς τὸ ποιεῖν σημεῖα καὶ τέρατα ἐν τῷ λαῷ, ἐφ' ὅτε αὐτὸν προσφέρειν τὰς ἀναιμάκτους θυσίας τε καὶ λατρείας, προσκομίζειν σοι τὸ φρικτὸν καὶ ἅγιόν σου Σῶμα, καὶ ἅγιον ἔλαιον χρίειν εἰς ἅγια θυσιαστήρια, ἀλείφειν ἐλαίῳ κεφαλὴν ἀσθενῶν καὶ ἁμαρτωλῶν, ἐγκαινίζειν καὶ καταφυτεύειν ἐκκλησίας ἁγίων μαρτύρων καὶ δικαίων καὶ κατατίθεσθαι λείψανα αὐτῶν καὶ θεμελιοῦν ἁγίων ναοὺς καὶ ἀνοικοδομεῖν, ἐπιτιθέναι τὰς χεῖρας καὶ ἐκλέγεσθαι πρὸς τὸ λειτουργεῖν τοὺς ἀξίους καὶ τιμίους τῷ ἁγίῳ θυσιαστηρίῳ, ἐξ αἱρετικῆς ἀπάτης προσκαλεῖσθαι προσηλύτους, προσδέχεσθαι καὶ συγχωρεῖν ἁμαρτάνουσι, καὶ λύειν μετανοοῦντας, ἵνα καταρτίζηται ἐν πᾶσι τὰς ἐμπιστευθείσας αὐτῷ ψυχὰς παρὰ τῆς σῆς μεγαλωσύνης, διὰ τῆς ἡμῶν ταπεινώσεως, καὶ παραστῆναι ἀπροσκόπτως τῷ θείῳ σου βήματι, προσφέρειν σοι ἐν παῤῥησίᾳ τὰ λογικά σου πρόβατα ἐκ τῶν κόπων καὶ πόνων αὐτοῦ τῆς ἐκκλησίας σου συναχθέντα· οὕτως γὰρ τὸν μισθὸν ἀπολήψεται τῶν πιστῶν καὶ φρονίμων οἰκονόμων παρὰ τῆς φιλανθρωπίας σου, ἐν τῇ ἡμέρᾳ τῆς παρουσίας τοῦ Χριστοῦ σου, μεθ' οὗ εὐλογητὸς εἶ καὶ δεδοξασμένος σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεί... Εἶτα λαμβάνει ὁ ἀρχιεπίσκοπος διὰ χειρὸς τὸ ὠμόφορον ἀπὸ τοῦ ἁγίου θυσιαστηρίου καί, σφραγίσας, ἐνδύει αὐτόν· Στολίζεται ἡ ἁγία τοῦ Θεοῦ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλη-

σία τὸν τιμιώτατον (τόνδε) τῆς ἀρχιερωσύνης ἀξίωμα. Εἶτα τὸν ἀπόστολον ζήτει κυριακῇ τρίτῃ τῶν νηστειῶν· Ἀδελφοί, ἔχοντες ἀρχιερέα... Εὐαγγέλιον κατὰ Ἰωάννην. Ζήτει Σεπτεμβρίῳ β'. Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου... Καὶ μετὰ τὸ εὐαγγέλιον, λέγει τὴν εὐχὴν ταύτην. Τοῦ Κυρίου δεηθῶμεν. Δέσποτα Κύριε ὁ Θεὸς τῶν δυνάμεων, ὁ τὴν καθολικὴν ἐκκλησίαν. Ркп. Синайск. библ. № 974. Εἶτα ἐκφωνεῖ ὁ πρῶτος ἀρχιερεὺς ἐκφώνως· Ἡ θεία χάρις διὰ τῆς ἡμῶν ταπεινότητος ὑπεραναβιβάζει σε τὸν ἱερώτατον μητροπολίτην ἢ θεοφιλέστατον ἐπίσκοπον (τόνδε) εἰς πατριάρχην (τῆσδε) τῆς πόλεως. Εἶτα πολυχρονεῖ αὐτὸς ὁ πατριάρχης τοὺς βασιλεῖς, οἱ δὲ ἀρχιερεῖς τὸν πατριάρχην, καὶ γίνεται τελεία ἀπόλυσις.

л. 42 об. Πρόλογος ὑποψηφίου.

Δέσποταί μου ἅγιοι, τοῦ σοφοῦ λέγοντος· φοβερὸς λόγος καρδίαν ἀνδρὸς ταράττει, ἰδιώτου μᾶλλον καὶ ἀμαθοῦς, τί οὐκ ἂν δράσειε, ἀλλ' ἐπειδὴ τῇ πίστει καὶ ἐλπίδι, καὶ αὐτὸς τῶν ἁλιέων καὶ ἀγραμμάτων εἰμὶ μαθητής, οὓς τὸ πανάγιον Πνεῦμα παιδευτὰς ἀνέδειξε, καὶ τὴν οἰκουμένην δι' αὐτῶν ἐσαγήνευσεν, ἐν τούτοις θαρρῶν ἀσμένως καθυπεῖκα τῇ θείᾳ ψήφῳ τοῦ παναγιωτάτου μου δεσπότου πατρὸς καὶ πατριάρχου Ἱεροσολύμων, καὶ τῆς θείας καὶ ἱερᾶς συνόδου, καὶ προσκυνῶ καὶ ἀσπάζομαι, καὶ ὑποδέχομαι μετ' εὐλαβείας τὸν λόγον τὸν θεῖον καὶ τὴν τοιαύτην ἀποστολὴν μεμνημένος τοῦ ἀνοίξαντος θαυμαστῶς τὰ ὦτα τοῦ κωφοῦ καὶ ἀλάλου, καὶ ἀκούοντος παραδόξως καὶ λέγοντος, καὶ αὖθις ἀσπάζομαι τῇ ὑμῶν ἱερᾷ ἐπιδημίᾳ καὶ παρουσίᾳ καὶ τῷ μόνῳ Θεῷ δόξαν καὶ εὐχαριστίαν καὶ χάριτα ἀναπέμπω καὶ προσκυνῶ. Ὁ δεῖνα ἱερομόναχος ἐλέῳ Θεοῦ ὑποψήφιος μητροπόλεως ἢ ἐπισκοπῆς. Πιστεύω εἰς ἕνα Θεὸν Πατέρα παντοκράτορα... Πρὸς τούτοις ἀποδέχομαι τὰς ἁγίας καὶ οἰκουμενικὰς ἑπτὰ συνόδους, αἵτινες ἐπὶ φυλακῇ τῶν ὀρθῶν δογμάτων συνηθροίσθησαν, καθομολογῶν τοὺς ὑπ' αὐτῶν διωρισμένους στέργειν καὶ φυλάττειν κανόνας καὶ τὰς ἁγίας διατάξεις, ὅσαι τοῖς ἱεροῖς ἡμῶν πατράσι κατὰ διαφόρους καιροὺς καὶ χρόνους διετυπώθησαν, πάντας, οὓς ἀποδέχονται, συναποδεχόμενος, καί, οὓς ἀποστρέφονται, συναποστρεφόμενος, ἔτι καὶ τὴν ἐκκλησιαστικὴν εἰρήνην ὁμολογῶ διαφυλάττειν, καὶ κατ' οὐδένα τρόπον ἐναντία φρονεῖν αὐταῖς διὰ βίου παντός, κατὰ πάντα ἑπόμενος καὶ ὑποτασσόμενος τῷ παναγιωτάτῳ μου δεσπότῃ τῶν Ἱεροσολύμων πατριάρχῃ, προσεπαγγελλόμενός τε ἐν φόβῳ Θεοῦ καὶ θεοφιλεῖ γνώμῃ τὴν ἐγχειρισθεῖσάν μοι ποίμνην ἰθύνειν μετὰ φόβου Θεοῦ, πάσης ὑπολήψεως πονηρᾶς, καθαρὸν ἐμαυτὸν συντηρῶν, ὁπόση

μοι περίεστι δύναμις. Ἔτι ἀσφαλίζομαι μηδέποτε τῶν δογματισθέντων [1]) παρὰ τοῦ γεγονότος Νικαίας Εὐστρατίου, καὶ ἀποκληθέντων ἀντιποιήσασθαι, ὡς ἀλλοτρίων ὄντων τῆς ὀρθῆς πίστεως καὶ παρὰ τῆς ἐκκλησίας ἀποπεμφθέντων· ἀναθεματίζω δὲ καὶ τὰ δογματισθέντα καὶ λαληθέντα παρὰ Μιχαὴλ τοῦ γενομένου πρωτεκδίκου, καὶ μαΐστορος τῶν ῥητόρων τοῦ Βασιλάκη Νικηφόρου καὶ Σωτηρίου, τοῦ ὑποψηφίου Θεουπόλεως μεγάλης Ἀντιοχείας, τοῦ ἐπονομαζομένου Παντευγένου, περὶ τῶν προσαγωγῆς καὶ θυσίας τοῦ τιμίου Σώματος καὶ Αἵματος τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἔτι δὲ καὶ τῆς καθ' ἑκάστην παρὰ τῶν ἱερουργῶν τελουμένης, ὡς ὑποδοκιμασθέντα καὶ ἀποβληθέντα παρὰ τῆς ἁγίας τοῦ Χριστοῦ ἐκκλησίας. Ἔτι ἀσπάζομαι καὶ ὁμολογῶ τὰ περὶ τῆς ἐν τοῖς ἁγίοις εὐαγγελίοις Δεσποτικῆς φωνῆς, τῆς ὁ Πατήρ μου μείζων μου ἐστί, παρὰ τῶν ἁγίων πατέρων παραδοθέντα καὶ διατρανωθέντα, ὑπὸ τοῦ εὐσεβοῦς τόμου, τοῦ ἐκτεθέντος παρὰ τοῦ τρισμάκαρος βασιλέως κῦρ Μανουὴλ τοῦ Κομνηνοῦ, ἤγουν ὅτι τὴν φωνὴν ταύτην εἴρηκεν ὁ Κύριος καὶ Θεὸς ἡμῶν Ἰησοῦς Χριστός, καὶ κατὰ τὴν ἐν αὐτῷ κτιστὴν καὶ περιγραπτὴν φύσιν, καθ' ἣν πέπονθεν, μὴ λαμβανομένην γυμνὴν καὶ κεχωρισμένην τῆς θεότητος κατὰ τὴν ψιλὴν ἐπίνοιαν διαίρεσιν, μήτε πρὸς τὸ κοινὸν τῆς φύσεως ἀναγωμένην, ἀλλὰ καὶ τοῦ κατὰ τὰ μέτρα τῆς κενώσεως, μόνον εἰρηκέναι λέγοντας ταύτην τὴν φωνὴν καὶ τῇ κενώσει, μόνην προσαρμόζοντας, τουτ' ἔστι διὰ μόνην τὴν κέλευσιν, ἤγουν διὰ τὸ λαβεῖν σάρκα, καὶ οὐ κατὰ τὴν σάρκα, ἣν προσελάβετο καθυποβάλλω τῷ ἀναθέματι, δέχομαι καὶ τὰς περὶ τούτου ἑρμηνείας τῶν ἁγίων, πρὸς τούτοις στέργω καὶ ἀποδέχομαι καὶ τὰς κατὰ τὴν Κωνσταντινούπολιν συγκροτηθείσας ἱερὰς συνόδους ἔν τε τῷ περιωνύμῳ ναῷ τῆς ἁγίας τοῦ Θεοῦ λόγου Σοφίας καὶ ἐν τῷ θεοφρουρήτῳ παλατίῳ κατὰ τοῦ Καλαβροῦ Βαρλαάμ, καὶ τοῦ μετ' ἐκεῖνον τὰ ἐκείνου φρονοῦντος, καὶ δόλῳ σπεύδοντος ἐπεκδικεῖν Ἀκινδύνου καὶ τῶν ὁμοφρόνων αὐτοῖς, οἳ τὴν κοινὴν καὶ θείαν χάριν τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, καὶ τὸ φῶς τοῦ μέλλοντος αἰῶνος, καθὼς καὶ οἱ δίκαιοι ἐκλάμψουσιν, ὡς ὁ ἥλιος ὡς καὶ ὁ Χριστὸς ἐπέδειξεν ἐπ' ὄρους λάμψας, καὶ

---

[1]) Ркп. Свято-гроб. библ. 1665 г. опускаетъ дальнѣйшія подробности и заключаетъ такъ: παρὰ τῶν ἁγίων ἡμῶν πατέρων ἢ ἄλλως ὁπωσδήπως φρονεῖν. Πρὸς τούτοις πᾶσιν ὁμολογῶ καὶ ἃ κέκτηται προνόμια οὑτοσὶ θρόνος τῶν Ἱεροσολύμων φυλάττειν ἀπαρεγχείρητα καὶ ἀσάλευτα ἐν πάσῃ μου τῇ ζωῇ τῇ τοῦ Θεοῦ ἐνισχυόμενος δυνάμει, ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας...

ἁπλῶς πᾶσαν δύναμιν καὶ ἐνέργειαν τῆς τρισυποστάτου θεότητος, καὶ πᾶν τὸ ὁπωσοῦν διαφέρον τῆς θείας φύσεως κτιστὸν εἶναι δογματίζουσι καὶ κατατέμνουσι, καὶ οὗτοι δυσσεβῶς ἄκτιστα καὶ κτιστὰ τὴν μίαν θεότητα καὶ τοὺς εὐσεβῶς ἄκτιστον τὸ θειότατον ἐκεῖνο φῶς καὶ πᾶσαν δύναμιν καὶ ἐνέργειαν πρεσβεύοντας θείαν, ὡς μηδενὸς ὄντος προσφάτου τῶν τῷ Θεῷ προσόντων φυσικῶς, διθεΐτας φρενοβλαβῶς ὀνομάζουσι καὶ πολυθέους, ὡς καὶ οἱ Ἰουδαῖοι, Σαβελλιανοί τε καὶ Ἀρειανοὶ ὀνομάζουσιν ἡμᾶς, ἀλλ' ἡμεῖς τούτους τε κἀκείνους, ὡς ὄντας ἀθέους καὶ πολυθέους ἀποβαλλόμεθα καὶ τοῦ πληρώματος τῶν εὐσεβούντων, εἰ μὴ μεταμεληθεῖεν ὡς καὶ ἡ ἁγία τοῦ Χριστοῦ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία διὰ τῶν προβάντων τῶν ἱερῶν τόμων, τελέως ἐκκόπτομεν, πιστεύοντες εἰς μίαν θεότητα τρισυπόστατον καὶ παντοδύναμον, οὐδαμῶς τοῦ ἑνιαίου καὶ τῆς ἁπλότητος διὰ τὰς δυνάμεις ἢ τὰς ὑποστάσεις· ἔτι ἀσφαλίζομαι, ὅτι οὐ δέδωκα τι οἱονοῦν χάριν τοῦ ψηφισθῆναί με εἰς τὴν τοιαύτην ποίμνην, ἀλλ' οὐδὲ ὑπεσχέθην τι παρασχεῖν ἕνεκα τούτου πρός τινα, ἀλλὰ ἀσπάζομαι καὶ τὰς περὶ τούτου ἀποστολικὰς καὶ πατρικὰς παραδόσεις, ἀλλὰ δὴ καὶ τὴν ἀκρίβειαν τῆς νεαρᾶς παρὰ τοῦ τρισμακαρίστου καὶ ἀοιδίμου ἡμῶν βασιλέως κῦρ Ἀνδρονίκου τοῦ Παλαιολόγου, ἐπὶ τῇ τοιαύτῃ ἱερᾷ πράξει τὴν στερχθεῖσαν καὶ βεβαιωθεῖσαν παρὰ τῆς ἁγίας τοῦ Θεοῦ ἐκκλησίας, καὶ ὑπισχνοῦμαι φυλάττειν ταύτην ἀπαρεγχείρητον. Πρὸς τούτοις ὁμολογῶ καὶ ἃ κέκτηται προνόμια ὁ πατριαρχικὸς θρόνος φυλάττειν ἀπαρεγχείρητα ἐν πάσῃ τῇ ζωῇ μου ἐν τῇ ἐμπιστευθείσῃ μοι ποίμνῃ, τῷ δὲ Θεῷ ἡμῶν πρέπει, δόξα, κράτος, τιμὴ καὶ προσκύνησις νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

л. 47. Ἑρμηνεία περὶ πατριάρχου.

Ἀλλάσσει ὁ πατριάρχης τὴν ἀρχιερατικὴν στολὴν καὶ ἐξερχόμενος κάθεται ἐπὶ τῆς ἀναβάθρας ἐπὶ τῶν ὡραίων πυλῶν, παρισταμένων τῶν διακόνων, καὶ ἔρχονται οἱ εὑρισκόμενοι ἀρχιερεῖς, φοροῦνται φελώνια, καὶ ὄπισθεν πάντων ἐξέρχεται ὁ ὑποψήφιος, φερόμενος ὑπὸ τοῦ εὐταξίας καὶ τοῦ λογοθέτου, καὶ στέκεται ἐπὶ τοῦ ποταμοῦ, ἐν ᾧ ἔστιν ὁ ἀετὸς ἀντικρὺ τοῦ πατριάρχου, καὶ ἀναγινώσκει τὴν ὁμολογίαν τοῦ. Μετὰ ταῦτα εὐγάνει τὸ φόρεμα τῆς κεφαλῆς πρὸς τὸν πατριάρχην· Κελεύσατε. Καὶ ἐγερθεὶς ὁ πατριάρχης λέγει οὕτως· Ἡ χάρις τοῦ παναγίου Πνεύματος διὰ τῆς ἡμῶν μετριότητος προχειρίζεταί σε μητροπολίτην τῆς ἁγιωτάτης μητροπόλεως ὁ δεῖνας. Καὶ καθεσθεὶς ὁ πατριάρχης, ψάλλοντες τὸ Εἰς πολλὰ ἔτη, δέσποτα. Καὶ ἔρχεται ὁ χειροτονούμενος, κρατῶν ὁ σκευοφύλαξ, πρὸς τὸν πατριάρχην καὶ ποιεῖ μετάνοιαν καὶ ἀσπάζεται τὸ γόνατον καὶ τὴν χεῖρα τοῦ πατριάρχου, καὶ εἰς τὸν πώγωνα, καὶ καθ' ἑξῆς τοὺς ἀρχιε-

ρεῖς, καὶ πάλιν γυριζόντων εἰς τὸν ἀετόν, καὶ λέγει ὁ σκευοφύλαξ τὸ Κελεύσατε. Καὶ ἐγερθεὶς ὁ πατριάρχης· Ἡ χάρις τοῦ παναγίου Πνεύματος ἔστω μετὰ σοῦ. Καὶ εἰσέρχεται ὁ χειροτονούμενος ἐν τῷ βήματι καὶ ἀλλάσσει τὴν ἀρχιερατικὴν στολήν, βαλὼν μόνον τὸ ὑπογονάτιον. Καὶ μετὰ τὸ εἰπεῖν τὸ Ἅγιος ὁ Θεός, ἔρχονται δύο διάκονοι καὶ ἐπαίρουσι τὸν χειροτονούμενον, καὶ ἐξέρχονται ἀπὸ τὸ ἀριστερὸν μέρος τοῦ βήματος, καὶ φέρουσιν αὐτὸν ἐγγὺς τοῦ βήματος ἐπὶ τῶν πυλῶν τοῦ ἄμβωνος, καὶ πρὸ τοῦ εἰσελθεῖν αὐτὸν ἐγγὺς τοῦ βήματος, ἐξέρχονται δύο ἱερεῖς καὶ λαμβάνουσιν αὐτὸν καὶ ἀναφέρουσιν ἐντὸς τοῦ βήματος, εἶτα ἔρχονται δύο ἀρχιερεῖς καί, λαβόντες αὐτὸν ἀνὰ χεῖρας, προσπορεύονται ἔμπροσθεν αὐτῶν τρεῖς διάκονοι, καὶ ὁ ὕστερος κρατῶν μετὰ μανδηλίου κοντάκιον, κατέχοντες καὶ ἐν ταῖς χερσὶ κηρούς, ὅσοι παρατύχωσι, καὶ τὴν ἁγίαν τράπεζαν κυκλοῦντες, ψάλλουσιν· Ἅγιοι μάρτυρες, οἱ καλῶς ἀθλήσαντες. Καὶ μετὰ τὸ εἰπεῖν τρίς, φέρουσιν αὐτὸν ἔμπροσθεν τῆς ἁγίας τραπέζης, καὶ ἀνίσταται καὶ ἀσπάζεται τὴν ἁγίαν τράπεζαν καὶ τὴν χεῖρα τοῦ πατριάρχου, καὶ τίθησι τὴν κεφαλὴν αὐτοῦ ἐπὶ τῆς τραπέζης, καὶ ἐπιθεὶς ἐπὶ τὴν κεφαλὴν τὴν χεῖρα ὁ πατριάρχης, λέγει ὁ διάκονος· Πρόσχωμεν, καὶ ὁ πατριάρχης[1]· Ψήφῳ καὶ δοκιμασίᾳ τῶν θεοφιλεστάτων μητροπολιτῶν προχειρίζομεν τὸν δεῖνα εὐλαβέστατον ἱερομόναχον τῆς ἁγιωτάτης μητροπόλεως ὁ δεῖνα. Ἡ θεία χάρις, ἡ πάντοτε τὰ ἀσθενῆ θεραπεύουσα... Καὶ ἀνοίξας τὸ ἅγιον εὐαγγέλιον, ἐπιτίθησιν ἐπάνω τῆς κεφαλῆς τοῦ χειροτονουμένου, καὶ φέροντες κοντάκιον, ἀναγινώσκει εὐχήν. Μετὰ ταῦτα ὁ πρώτιστος τῶν ἀρχιερέων λέγει τὰ εἰρηνικά, καὶ πάλιν ὁ πατριάρχης τὴν εὐχήν. Ἔπειτα ἐπαίρουσι τὸ εὐαγγέλιον καὶ φέροντες ὠμόφορον περιτίθησι τούτῳ ὁ πατριάρχης καὶ λέγει· Ἄξιος. Καὶ οἱ περιστῶτες ψάλλοντες τὸ Ἄξιος, ἐκ τρίτου, ἔπειτα ἀσπάζεται ὁ χειροτονούμενος τὴν ἁγίαν τράπεζαν καὶ τὴν χεῖρα τοῦ πατριάρχου, καὶ τὴν παρειὰν καὶ καθεξῆς τοὺς ἀρχιερεῖς, καὶ οὕτως ἐστὶν ἡ χειροτονία.

**LXXVII.** I. № 103 Εὐχολόγιον рукопись библ. лавры Аѳан. Аѳонскаго въ четвертую долю листа, 484 листа, писана четкою скорописью первой половины XV в.

л. 1. Нѣсколько молитвъ на различные случаи.

л. 9. Столпъ евангельскихъ чтеній на утрени въ воскресные дни и замѣчаніе устава о томъ же.

---

[1]) На этомъ чинѣ поставленія въ патріарха обрывается въ ркп. Св. Свят.-гроб. библ. 1665 г.

л. 11. Εὐχή, ἣν λέγει ὁ ἱερεὺς συγχωρητικήν.

л. 15. Ἡ θεία λειτουργία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου τοῦ Μεγάλου.

л. 35. Ἡ θεία λειτουργία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου.

л. 48. Ἡ θεία λειτουργία τῶν προηγιασμένων.

л. 56 об. Ἀποστολοευαγγέλια τῆς ἑβδομάδος ἐν κυριακῇ и на цѣлый годъ.

л. 106 об. Εὐχαὶ διάφοροι, παρὰ τοῦ ἱερέως λεγόμεναι.

л. 123. Εὐχαὶ τοῦ λυχνικοῦ 7 съ молитвою на главопреклоненіе. Послѣ 5 молитвы входа слѣдуетъ: εὐχὴ μετὰ τὴν εἴσοδον· Ὁ Θεὸς ὁ μέγας ὁ ὕψιστος. p. 29.

л. 125 об. Εὐχαὶ ἑωθιναί. 11 молитвъ съ главопреклонною.

л. 130 об. Ἀκολουθία τοῦ μικροῦ ἁγιασμοῦ.

л. 137. Ἀκολουθία τοῦ μεγάλου ἁγιασμοῦ τῶν Φώτων.

л. 145. Ἀκολουθία τῆς γονυκλισίας.

л. 155. Ἀκολουθία εἰς ἀρχάριον ῥασοφοροῦντα. См. выше стр. 276.

л. 156. Ἀκολουθία εἰς κουρὰν μανδυώτου. См. выше стр. 577.

л. 163. Ἀκολουθία τοῦ μεγάλου καὶ ἀγγελικοῦ σχήματος. См. выше стр. 577.

л. 187 об. Ἀκολουθία εἰς τὸ ἀποκουκουλίσαι. См. выше стр. 388.

л. 189. Ἀκολουθία εἰς ψυχὴν κρινομένην.

л. 192 об. Ἀκολουθία τοῦ ἐξοδιαστικοῦ. См. выше стр. 282—285.

л. 211 об. Ἀκολουθία εἰς μνημόσυνα νεκρῶν. См. выше стр. 577.

л. 215 об. Εὐαγγέλια ἀναστάσιμα ἑωθινὰ τὰ ἕνδεκα.

л. 224 об. Ἀκολουθία ἱκετήριος εἰς τὴν ὑπεραγίαν Θεοτόκον.

л. 231. Молитвы на различные случаи.

л. 242. Ἀκολουθία βαπτίσματος. См. выше стр. 574—575.

л. 244 об. Ἀκολουθία εἰς τὸ ποιῆσαι κατηχούμενον см. выше стр. 575, но безъ упоминанія о патріаршемъ чинѣ крещенія въ великую субботу.

л. 254. Εὐχὴ εἰς τὸ ἀπολοῦσαι νεοφώτιστον τῇ η΄. ἡμέρᾳ. См. выше стр. 492—493.

л. 254 об. Εὐχὴ εἰς τὸ κουρεῦσαι παιδίον. Дмитріевскій. Прилож. стр. 24—25.

л. 255 об. Ἀκολουθία τοῦ ἁγίου ἐλαίου. См. выше стр. 576.

л. 281. Μεθοδίου, ἁγιωτάτου πατριάρχου, διάταξις περὶ τῶν διαφόρῳ τρόπῳ καὶ ἡλικίᾳ ἐπιστρεφόντων. Goar. p. 689.

л. 283. Εὐχὴ πρὸς χριστιανοὺς ὑπαχθέντας ἐθνικῇ πλάνῃ, ἐπιστρέψαντας δὲ καὶ τῇ ἐκκλησίᾳ προσδραμόντας. p. 690.

л. 284. Εὐχὴ ἐπὶ ἀποστατήσαντος παιδὸς καὶ μαγαρίσαντος καὶ μετανοοῦντος. p. 691.

л. 286. Εὐχὴ εἰς τὸ ποιῆσαι ἐθνικὸν κατηχούμενον. p. 283.

л. 286 об. Непорочны великой субботы на утрени

л. 291. Ἀκολουθία τῆς ἁγίας Θεοτόκου τῆς ἀκαθίστου[1]).

л. 315. Ἀποστολοευαγγέλια τῶν δεσποτικῶν ἑορτῶν.

л. 401. 12 евангелій страстей Господнихъ.

л. 440. Ἀκολουθία τῶν ἐγκαινίων.

л. 452. Τάξις γινομένη ἐπὶ καθιερώσει ναοῦ καὶ ἱδρύσει τῆς ἐν αὐτῷ ἁγίας τραπέζης. См. выше стр. 295.

л. 473. Τάξις γινομένη ἐπὶ σαλευθείσης ἁγίας τραπέζης. Goar. p. 490—491.

л. 476 об. Εὐχὴ τοῦ ἁγίου Ταρασίου, πατριάρχου Κωνσταντινουπόλεως, ἐπὶ λύσεως ναοῦ, ὑπὸ αἱρετικῶν μιανθέντος, λεγομένη ἔξω τοῦ πυλῶνος τῆς ἐκκλησίας. p. 494.

л. 477. Εὐχὴ ἑτέρα λεγομένη, ἔμπροσθεν τῆς ἁγίας τραπέζης. См. выше стр. 296.

л. 478 об. Чтеніе изъ апостола на Срѣтеніе и въ недѣлю святыхъ и евангеліе на туже недѣлю.

л. 481. Κανὼν παρακλητικὸς εἰς τὴν ὑπεραγίαν Θεοτόκον ἐκ προσώπου ἀνθρώπου ψυχοῤῥαγοῦντος καὶ μὴ δυναμένου λαλῆσαι.

**LXXVIII**. № 31 Εὐχολόγιον, рукопись той же библ. въ 16 долю листа, 257 листовъ, писана разными почерками второй половины XV в.

л. 1. Τοῦ ἁγίου καὶ σοφωτάτου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως νέας Ῥώμης καὶ οἰκουμενικοῦ πατριάρχου κυροῦ Φιλοθέου διάταξις σαφὴς τῆς θείας καὶ ἱερᾶς λειτουργίας, ἐν ᾗ καὶ τὰ διακονικά. См. ркп. XVI в. Пантелеим.-русск. на Аѳонѣ библ. N XXVIII л. 52 об.

л. 28 об. Εἴδησις τῆς θείας λειτουργίας τῶν προηγιασμένων. См. выше стр. 394.

л. 28. Ἀρχὴ τοῦ μικροῦ ἑσπερινοῦ. Уставъ службы.

---

[1]) Статьи съ акаѳиста по чинъ обновленія церкви писаны другою рукою и имѣютъ дату: „ἔτους ,ςϡκθ'=1421". Писецъ называетъ себя Мелетіемъ.

л. 29. Ἀρχὴ τοῦ μεγάλου ἑσπερινοῦ (καὶ τοῦ ὄρθρου). Тоже.

л. 40. Τὰς δὲ κυριακάς, ἐν αἷς οὐδὲν γίνεται οὕτως· τῷ σαββάτῳ ἑσπέρας μετὰ τὸ ψαλθῆναι τὴν θ'...

л. 42. Περὶ τοῦ ἀποδείπνου.

л. 43 об. Περὶ τοῦ μεσονυκτίου τῶν κυριακῶν.

л. 45. Τῇ κυριακῇ ἑσπέρας.

л. 53 об. Ἡ παράκλησις.

л. 61 об. Мѣсяцеловъ.

л. 69. Ἡ θεία λειτουργία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου.

л. 84. Толкованіе на литургію безъ начала и конца. Первыя слова: Τῆς ἁγίας τελετῆς τῶν ἱερῶν μυστηρίων ἔργον μὲν ἡ τῶν δώρων εἰς τὸ θεῖον Σῶμα καὶ Αἷμα μεταβολή, τέλος δὲ τοὺς πιστοὺς ἁγιασθῆναι δι' αὐτῶν...

л. 122. Γρηγορίου Νύσσης· Οὐ δεῖ ἐξετάζειν, ὅσα κέκρυπται τῶν νοημάτων ἢ τὸ ζητεῖν τίς ἡ οὐσία τοῦ Θεοῦ... Это начало статьи только въ 5 строкъ, а далѣе слѣдуетъ толкованіе на литургію: Τὸ σύνθρονον ἐστὶ τύπος τοῦ Δεσποτικοῦ θρόνου, ἐν ᾧ νικήσας τὸν κόσμον μετὰ σαρκὸς ἀνελήφθη καὶ ἐκάθισε· σύνθρονον γὰρ λέγεται καὶ οὐ θρόνος διὰ τὸ συγκαθέζεσθαι τὸν Υἱὸν μετὰ τοῦ Πατρὸς и т. д. Толкованіе неокончено.

л. 132. Γερασίμου, ἐλέῳ Θεοῦ ἀρχιεπισκόπου Ἀδριανουπόλεως. Грамматa 1443 года на поставленіе нѣкоего Іоакима, іеромонаха монастыря Іоанна Предтечи, ἐπονομαζομένης Πέτρας, во епископа Ἀγαθοπόλεως καὶ πάσης Ζωΰδρου.

л. 133. Πρόσταγμα βασιλικὸν εἰς μετάθεσιν. Грамматa 1445, утверждающая упомянутаго Іоакима митрополитомъ Валахіи.

л. 134. Ὅπως προβιβάζεται ἐπίσκοπος εἰς μητροπολίτην.

Εἰ μὲν ἡ ἐκκλησία αὐτοῦ τιμᾶται εἰς μητρόπολιν ἐξ ἐπισκοπῆς, ἢ ὁ βασιλεὺς ποιεῖ τοῦτο διὰ προστάγματος, ἢ ὁ πατριάρχης καὶ ἡ σύνοδος διὰ γράμματος καὶ γνώμῃ καὶ τοῦ βασιλέως, λέγει οὖν τὸ γράμμα τὸ πατριαρχικὸν οὕτως· Ἡ μετριότης ἡμῶν, εὐδοκίᾳ τοῦ κρατίστου μου καὶ ἁγίου αὐτοκράτορος καὶ γνώμῃ τῆς περὶ αὐτὴν ἱερᾶς καὶ μεγάλης συνόδου τῶν πανιερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων τοῦ δεῖνος καὶ τοῦ δεῖνος, τιμᾷ διὰ τοῦ παρόντος γράμματος τὴν ἁγιωτάτην ἐπισκοπὴν τήνδε τῷ τῆς μητροπόλεως ὀνόματι καὶ τῇ προεδρίᾳ καὶ τὸν θεοφιλέστατον ἐπίσκοπον αὐτῆς μητροπολίτην ἀπὸ τοῦ νῦν παρακελεύεται καὶ εἶναι καὶ

ὀνομάζεσθαι, ὥστε τοῖς λοιποῖς ὑπερτίμοις αὐτὸν συναριθμεῖσθαι καὶ τόπον καὶ τιμὴν ἔχειν μητροπολίτου ἔν τε στάσεσι καὶ καθέδραις καὶ ταῖς λοιπαῖς συνοδικαῖς καὶ ἐκκλησιαστικαῖς συνελεύσεσι, καὶ πᾶσι τοῖς τῶν μητροπολιτῶν δικαίοις καὶ προνομίοις· τούτου γὰρ χάριν ἀπολέλυται αὐτῷ δὴ τῷ ἱερωτάτῳ μητροπολίτῃ τῷ δεῖνι καὶ ὑπερτίμῳ ἐν ἁγίῳ Πνεύματι ἀγαπητῷ ἀδελφῷ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργῷ καὶ τὸ παρὸν αὐτῆς γράμμα δι' ἀσφάλειαν. Εἰ μὲν θέλει ὁ πατριάρχης ἢ ὁ βασιλεὺς δοῦναι αὐτῷ καὶ τόπον ἐκκλησίας τινός, προστίθεται καὶ τούτῳ ἐν τῷ γράμματι, ὅτι ἐδόθη δὲ αὐτῷ καὶ ὁ τόπος τοῦ δεῖνος μητροπολίτου, ὃν καὶ ὀφείλει κατέχειν ἢ αὐτὸς μόνος ἐφ' ὅρῳ τῆς ζωῆς αὐτοῦ, ἢ αὐτὸς καὶ οἱ μετ' αὐτὸν μητροπολῖται τῆς ἐκκλησίας ταύτης. Εἶτα τοῦ πατριάρχου προκαθημένου, ὅταν αὐτὸς διακρίνει, καὶ συνεδριαζόντων αὐτῷ καὶ τῶν ἀρχιερέων, προσάγεται ὁ προβιβασθεὶς μητροπολίτης μετὰ τοῦ ἀρχιερατικοῦ μανδύου παρὰ τοῦ εὐταξίας, καὶ στὰς ἀντικρὺ τοῦ πατριάρχου, ἀναγινώσκει τὴν ὁμολογίαν αὐτοῦ εἰς ἐπήκοον πάντων, ὥσπερ γίνεται καὶ ἐν τῇ χειροτονίᾳ· εἰ γὰρ καὶ ἐγένετο τοῦτο, ὅτε ἐχειροτόνησεν ἐπίσκοπος, ἀλλὰ τῷ μητροπολίτῃ αὐτοῦ ὑπεσχέθη ὑποτάσσεσθαι. Νῦν ἔχει δὲ καὶ ἡ ὁμολογία προσταγὴν καὶ ὑπογραφήν· ὁ ταπεινὸς μητροπολίτης τῆσδε ὁ δεῖνα οἰκίᾳ χειρὶ προέταξα ἢ ὑπέγραψα. Καὶ τῆς ὁμολογίας πληρωθείσης, προσκυνεῖ τὸν πατριάρχην καί, πάλιν ἐγγυτέρω γενόμενος, προσκυνεῖ, καὶ αὖθις, ὅταν γένηται πλησίον αὐτοῦ, καὶ οὕτως ἀσπάζεται τὸ γόνυ τοῦ πατριάρχου, τὴν χεῖρα καὶ τὴν παρειάν, τὰ δεξιὰ πάντα, εἶτα ἀσπάζεται καὶ τοὺς ἀρχιερεῖς πάντας ἑκατέρωθεν, καί, πάλιν στὰς ἀντικρύ, προσκυνεῖ τὸν πατριάρχην, καὶ οὕτως ὑπανιστάμενος αὐτῷ τῶν ἀρχιερέων, κάθηται καὶ αὐτὸς ἐν τῷ θρόνῳ τῷ ἀρχιερατικῷ μετὰ τῶν λοιπῶν μητροπολιτῶν· εἰ μὲν ἔχει τόπον, εἰς τὸν τόπον αὐτοῦ, εἰ δὲ οὐκ ἔχει, κάτωθεν τῶν ἄλλων πάντων.

л. 135. Ὅπως μετατίθεται ἐπίσκοπος εἰς μητροπολίτην.

Ἔτι δὲ μετάθεσίς ἐστιν ἐπισκόπου εἰς μητρόπολιν προτροπῇ τοῦ πατριάρχου· γίνονται ψῆφοι παρὰ τῶν ἀρχιερέων εἰς τὴν ἐκκλησίαν ταύτην, καὶ τιθέασι πρῶτον ἐν ταῖς ψήφοις τὸ τοῦ ἐπισκόπου ὄνομα, εἶτα τῶν λοιπῶν δύο καί, προευτρεπισθέντος τοῦ ἐπισκόπου, γίνεται πρὸς αὐτὸν μήνυμα παρὰ τοῦ πατριάρχου, καθὼς καὶ ἐν τοῖς λοιποῖς ὑποψηφίοις, αὐτοῦ τοῦ ἐπισκόπου βαλόντος ἐπιτραχήλιον καὶ φενώλιον, καὶ ὠμοφόριον, καὶ ὑπηρετήσαντος καὶ ἀπολογουμένου πρὸς τὸ μήνυμα, καὶ μετὰ ταῦτα, τῆς συνόδου συναθροισθείσης, προκαθημένου τοῦ πατριάρχου, προσάγεται ὁ μετατεθεὶς καὶ ἀναγινώσκεται τὴν ὁμολογίαν αὐτοῦ, καὶ ποιεῖ καὶ τὸν ἀσπασμὸν κατὰ τὸν προγραφέντα τύπον, καὶ κάθηται ἐν τῷ τόπῳ τῶν

μητροπολιτῶν, ὕστερον δὲ λαμβάνει παρὰ τοῦ πατριάρχου τὴν συνοδικὴν πρᾶξιν καὶ τὰ λοιπὰ τῆς μεταθέσεως γράμματα

— Ὅπως μετατίθεται μητροπολίτης εἰς ὑψηλοτέραν μητρόπολιν.

Εἰ δὲ μητροπολίτης μετατίθεται εἰς ὑψηλοτέραν μητρόπολιν, γίνονται καὶ ἐπὶ αὐτῷ ψῆφοι προτροπῇ τοῦ πατριάρχου καὶ μήνυμα, καθὼς προεγράφη, αὐτοῦ τοῦ μετατιθεμένου ὑπηρετοῦντος, ὡς εἴρηται, μετὰ ἐπιτραχηλίου καὶ φενωλίου καὶ ὠμοφορίου, καὶ ἀπολογουμένου πρὸς τὸ μήνυμα, καὶ προκαθημένου τοῦ πατριάρχου, καὶ συνεδριαζόντων τῶν ἀρχιερέων, προσάγεται ὁ μετατεθεὶς καὶ ποιεῖ τὸν ἀσπασμὸν ἄνευ τῆς ὁμολογίας, καὶ οὕτω κάθηται εἰς τὸν τόπον τῆς ἐκκλησίας, εἰς ἣν μετετέθη, καὶ μετὰ ταῦτα λαμβάνει συνοδικὰ γράμματα μεταθέσεως παρὰ τοῦ πατριάρχου.

— Ὅπως δίδοται μητροπολίτῃ κατ᾽ ἐπίδοσιν μητρόπολις. Граммата на митрополiю съ перечисленiемъ обязанностей и правъ митрополита.

— Ὅπως δίδοται μητροπολίτῃ ὑψηλότερος τόπος, ἐν ᾧ πρῶτον ἔλαχεν ἐκκλησίᾳ. Подобная граммата.

Ὁ δὲ πατριάρχης γίνεται οὕτως ἢ ἱερομόναχός ἐστιν ἢ μητροπολίτης, προτροπῇ τοῦ βασιλέως γίνονται ψῆφοι, καὶ ἀπέρχονται τὰ ὀνόματα πρὸς τὸν βασιλέα μετὰ τοῦ ὑπομνηματογράφοντος, καὶ οἷον ὄνομα ἐκλέξεται ὁ βασιλεύς, γίνεται μήνυμα, δύο ἀρχόντων τοῦ βασιλέως καὶ τῶν ἐκκλησιαστικῶν πάντων. Ἵσταται δὲ ὁ μέγας χαρτοφύλαξ μετὰ τῶν δύο μεγιστάνων ἔμπροσθεν τοῦ μέλλοντος πατριάρχου, φορεμένου αὐτοῦ ἐπιτραχήλιον μετὰ φαινωλίου, λεγόντων· Ὁ αὐθέντης ἡμῶν, ὁ αὐτοκράτωρ καὶ ἅγιος βασιλεύς, προσκαλεῖται τὴν μεγάλην ἁγιωσύνην σου εἰς τὸν πατριαρχικὸν θρόνον Κωνσταντινουπόλεως. Εἶτα ἀπολογεῖται αὐτός· Εὐχαριστῶ τῷ ἁγίῳ αὐτοκράτορι βασιλεῖ, καὶ ὑποκύπτω τῷ θείῳ καὶ προσκυνητῷ αὐτοῦ ὁρισμῷ· καὶ εἰ μέν ἐστι λόγιος, λέγει καὶ πλείονα· ἀπάρτι δὲ οὐκ ἔχει ἄδειαν ἱερουργεῖσαι, ἕως οὗ μηνυθῇ παρὰ τοῦ βασιλέως, ὅτε οὖν ὁρίσει ὁ βασιλεύς, ἀπέρχονται πάντες οἱ τῆς συγκλήτου μετὰ πάντων τῶν ἐκκλησιαστικῶν, καὶ φέρουσιν εἰς βασιλέα καὶ φορένει ἐκτὸς μανδύου μετὰ ποταμῶν, εἶτ᾽ αὖθις εἰσάγουσι πρὸς βασιλέα. Ὁ δὲ βασιλεὺς ἀνίσταται, κρατῶν τὸ δεκανίκιον καὶ λέγει· Ἡ ἁγία Τριάς, ἡ δωρησαμένη μοι τὸ κράτος τῆς βασιλείας προχειρίζεται τὴν ἁγιωσύνην σου πατριάρχην Κωνσταντινουπόλεως. Εἶτα λαμβάνει τὸ δεκανίκιον παρὰ τοῦ βασιλέως, ἀσπάζεται δὲ τὴν χεῖρα αὐτοῦ ὁ βασιλεὺς καὶ οἱ λοιποί. Εἶτ᾽ αὖθις ἐξέρχεται καὶ ἀπέρχεται ἐν τῇ ἁγίᾳ Σοφίᾳ μετ᾽ ἁπάντων τῶν συγκλητικῶν καὶ τῶν ἐκκλησιαστικῶν, ἐπικαθεζόμενος ἐπὶ ἵππῳ βασιλικῷ καὶ λευκῷ· καὶ εἰ μέν ἐστιν ὥρα τῆς λειτουργίας, λειτουργοῦσι καὶ

χειροτονοῦσιν αὐτόν, εἴπερ ἔστιν ἱερομόναχος, εἰ δὲ μητροπολίτης ἐστιν, λειτουργεῖ μόνον μετὰ πάντων τῶν ἀρχιερέων καὶ ἐκκλησιαστικῶν, ἐπεὶ μία ἐστὶ μητροπολίτου, ἐπισκόπου καὶ πατριάρχου ἡ χειροτονία.

Дата ,ς⁹ξε'.=1457.

л. 138 об. Γράμμα περιεκτικόν, ὃ ποιοῦσιν οἱ ἀρχιερεῖς εἰς αἰχμαλώτους καὶ μάλιστα εἰς τοὺς αἰχμαλωτισθέντας ἀπὸ τῆς ἀθλίας Κωνσταντινουπόλεως τοῦ Μολδοβλαχίας Ἰωακεὶμ σύνθεσις.

л. 142. Εἰς γυναῖκα λεχώ. 2 молитвы.

л. 143. Εἰς τὰς παρατυχούσας γυναῖκας.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὰ ἐν τῇ ὀθόνι δειχθέντα Πέτρῳ τῷ ἀποστόλῳ.

— Τάξις εἰς τὸ κατασφραγίσαι παιδίον, λαμβάνον ὄνομα τῇ η'. ἡμέρᾳ τῆς γεννήσεως αὐτοῦ.

л. 144. Чинъ воцерковленія.

л. 146. Τάξις καὶ ἀκολουθία εἰς τὸ ποιῆσαι κατηχούμενον.

Здѣсь замѣчено объ огласительныхъ молитвахъ: Ταύτας ε'. εὐχὰς ποιεῖ ὁ ἱερεὺς τοῖς φωτιζομένοις ὀκτάκις ἢ δεκάκις, ἢ τὸ ἔλαττον τρισσεύει αὐτάς, καὶ μετὰ τὸ Ἀμήν, εἰ μέγας ἐστί, στρέφει αὐτὸν πρὸς ἀνατολάς... (л. 150 об.)

л. 158 об. Ἀκολουθία εἰς τὸ ἀπολοῦσαι παιδίον τῇ η'. ἡμέρᾳ.

л. 159 об. Τάξις, γινομένη ἐπὶ τοῖς ἀπὸ Μανιχαίων ἐπιστρέφουσι πρὸς τὴν καθαρὰν καὶ τὴν ἀληθῆ πίστιν ἡμῶν τῶν χριστιανῶν. Goar. p. 700.

л. 160 об. Μεθοδίου, τοῦ ἁγιωτάτου πατριάρχου, διάταξις περὶ τῶν διαφόρῳ τρόπῳ καὶ ἡλικίᾳ ἐπιστρεφόντων См. выше стр. 292.

л. 164 об. Πῶς δέχεσθαι ἐξ Ἑβραίων τὸν τῇ τῶν χριστιανῶν πίστει προσερχόμενον. Goar. p. 282.

л. 168. Ἀπόταξις τῶν αἱρετικῶν Ἀρμενίων καὶ Ἰακωβιτῶν, οἳ οὐ βαπτίζονται, ἀλλὰ μυροῦνται.

л. 171 об. Τάξις γινομένη εἰς τὸ ποιῆσαι ἐθνικὸν κατηχούμενον.

л. 176. Τάξις γινομένη ἐπὶ μνήστρας.

Хронологія: Ἐγράφη τὸ παρὸν ἐν ἔτει ,ς⁹ξε'=1457.

л. 181. Ἀκολουθία τοῦ ἁγιασμοῦ τῶν ἁγίων Θεοφανίων. Новой руки XV в.

л. 187. Ἀκολουθία τῆς γονυκλισίας. Goar. p. 597—602.

л. 194. Τάξις γινομένη ἐπὶ καθιερώσει ναοῦ καὶ ἱδρύσει τῆς ἐν αὐτῷ ἁγίας τραπέζης. Goar. p. 655—664. Слич. XVI в. Ватопед. библ. ркп. № 134.

л. 206. Ἑτέρα εὐχὴ εἰς τὴν κατάθεσιν τῶν λειψάνων. См. выше стр. 295.

л. 206 об 'Ετέρα εὐχή, λεγομένη ἔμπροσθεν τῆς ἁγίας τραπέζης. См. выше стр. 296.

л. 207. Τάξις γινομένη ἐπὶ σαλευθεῖσαν ἁγίαν τράπεζαν Goar. p. 490—491.

л. 209. Εὐχὴ τοῦ ἁγιωτάτου Ταρασίου, πατριάρχου Κωνσταντινουπόλεως, ἐπὶ λύσεως ναοῦ ὑπὸ αἱρέσεως μιανθέντος, λεγομένη ἔξω τοῦ πυλῶνος τῆς ἐκκλησίας. Goar. p. 494.

л. 209. Εὐχὴ ἑτέρα, λεγομένη ἔμπροσθεν τῆς ἁγίας τραπέζης. См. выше стр. 296.

л. 210. Εὐχὴ ἐπὶ ἀνοίξει ναοῦ, βεβηλωθέντος ὑπὸ ἐθνικῶν ἢ ὑπὸ αἱρετικῶν καθυβρισθέντος. См. тамъ же.

л. 210 об. Εὐχὴ ἱκετήριος εἰς τὴν ὑπεραγίαν Δέσποιναν Θεοτόκον. См. выше стр. 297.

л. 211. Τάξις γινομένη ἐπὶ χειροτονίᾳ ἀναγνώστου. Goar. pag. 194—195.

л. 212. Τάξις γινομένη ἐπὶ χειροτονίᾳ ὑποδιακόνου. См. выше стр. 297.

л. 213. Τάξις γινομένη ἐπὶ χειροτονίᾳ διακόνου. См. выше стр. 298.

л. 215 об. Τάξις γινομένη ἐπὶ χειροτονίᾳ πρεσβυτέρου. См. тамъ же.

л. 218. Τάξις γινομένη ἐπὶ χειροτονίᾳ ἐπισκόπου. См. выше стр. 298—299.

л. 222. Διάταξις τῆς τοῦ πατριάρχου λειτουργίας, πῶς γίνεται ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ. См. выше стр. 301—319.

л. 233 об. Τάξις γινομένη ἐν τῇ ἐκπλύσει τῆς ἁγίας τραπέζης τῇ μεγάλῃ πέμπτῃ. Goar. p. 497—499.

л. 235 об. 'Εν δὲ τοῖς μοναστηρίοις τελεῖται ἡ ἀκολουθία τοῦ νιπτῆρος. Goar. p. 594.

л. 237 об. Περὶ δὲ τῆς ἁγίας τραπέζης, ἧς τὰ ἄμφια παλαιωθέντα διεφθάρησαν. Goar. p. 501.

л. 238. Εὐχὴ πρὸ τῆς θείας μυσταγωγίας. См. выше стр. 170—171.

л. 239. Εἰς τὴν Θεοτόκον. См. выше стр. 319.

— Τάξις γινομένη ἐπὶ χειροτονίᾳ σταυροφόρου. См. тамъ же.

л. 240. Τοῦ μακαριωτάτου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως νέας 'Ρώμης καὶ οἰκουμενικοῦ πατριάρχου κυροῦ Φιλοθέου διάταξις τῆς θείας λειτουργίας, ἐν ᾗ καὶ τὰ διακονικά. *Н. Красносельцевъ.* „Матеріалы для исторіи чина литург." вып. I, стр. 36—78.

л. 253. 'Ετέρα εἴδησις συντομωτέρα τῆς θείας λειτουργίας τοῦ Χρυσοστόμου. Чинъ проскомидіи только съ небольшими отличіями въ текстѣ противъ полнаго чина.

**LXXIX.** Λ № 105. Εὐχολόγιον, σὺν Θεῷ ἁγίῳ ἔχον τῆς ἐκκλησιαστικῆς ἀκολουθίας καὶ τὴν τάξιν, рки. той же библ. въ 4 долю листа, 354 листа, писана скорописью XV в.

л. 1. Εὐχαὶ τοῦ λυχνικοῦ. 11 молитвъ.

л. 5. Εὐχαὶ ἑωθιναὶ 12 съ главопреклонною.

л. 10. Ἡ θεία λειτουργία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου, ἀρχιεπισκόπου Κωνσταντινουπόλεως Χρυσοστόμου.

л. 23 об. Ἡ θεία λειτουργία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου τοῦ Μεγάλου.

л. 42. Ἡ θεία λειτουργία τῶν προηγιασμένων.

л. 51 об. Ἀκολουθία τοῦ ἁγιασμοῦ τῶν ἁγίων Θεοφανίων.

л. 64. Ἀκολουθία τοῦ μικροῦ ἁγιασμοῦ.

л. 70 об. Τῇ κυριακῇ τῆς ἁγίας Πεντηκοστῆς.

л. 81. Ἀκολουθία λεγομένη εἰς γυναῖκα λεχώ.

Ποιεῖ ὁ ἱερεὺς Εὐλογητόν, τὸ Τρισάγιον, τὸ Παναγία Τριάς, τὸ Πάτερ ἡμῶν, Ὅτι σοῦ ἐστίν, τὰ ἀπολυτίκια τῆς ἡμέρας, καὶ τὸ κοντάκιον εἰ ἐστὶ Θεὸς Κύριος, εἰ δὲ ἐστιν Ἀλληλούια, λέγει· Ἐλέησον ἡμᾶς, Κύριε ἐλέησον, Τῆς εὐσπλαγχνίας, εἰ δὲ βούλεις, λέγε ἕτερα· Ἡ γέννησίς σου, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ τὸ Ἡ γέννησίς σου, Θεοτόκε, χαρὰν ἐμήνυσε. Εὐχὴ τῆς μαίας. Τοῦ Κυρίου δεηθῶμεν. Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τῷ ἐνυποστάτῳ σου λόγῳ τὰ πάντα ἐκ μὴ ὄντων παραγαγὼν... Goar. p. 263. Εὐχὴ εἰς τὰς τυχούσας γυναῖκας. Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὰ ἐν τῇ ὀθόνῃ εἰπὼν τῷ Πέτρῳ τῷ ἀποστόλῳ τῷ p. 263—264, Прилож. стр. 6. Εὐχὴ εἰς τὴν λεχώ. Τοῦ Κυρίου δεηθῶμεν. Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ πάντα ἐν σοφίᾳ τῷ λόγῳ σου δημιουργήσας... См. выше стр. 395—396. Θεὸς ὁ Σωτὴρ ἡμῶν, ὁ τὸν ἄνθρωπον πλάσας ἰδίαις χερσὶ καὶ ἐκ τῆς πλευρᾶς αὐτοῦ γυναῖκα συναρμώσας. Дмитріевскій. Прилож. стр. 4—5.

л. 83. Εὐχαὶ εἰς ἀποβαλοῦσαν.

Εὐλογητός, Τρισάγιον κ. τ. λ. Τοῦ Κυρίου δεηθῶμεν. Κύριε Σαβαὼθ ὁ Θεὸς τοῦ Ἰσραήλ, ὁ ἰώμενος πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν... Прилож. стр. 1. Ἑτέρα εὐχή. Τοῦ Κυρίου δεηθῶμεν. Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ πᾶσαν φύσιν λογικὴν τῷ λόγῳ σου δημιουργήσας... См. выше стр. 396.

л. 83 об. Ἑτέρα ἀκολουθία εἰς τὸ σφραγίσαι παιδίον, λαμβάνον ὄνομα τῇ ὀγδόῃ ἡμέρᾳ τῆς αὐτοῦ γεννήσεως.

84 об. Ἑτέρα ἀκολουθία εἰς τὸ σαραντίσαι παιδίον μετὰ τῆς μητρός.

Кромѣ Χαῖρε κεχαριτωμένη, положено: Τῇ πρεσβείᾳ, Κύριε, πάντων τῶν ἁγίων καὶ τῆς Θεοτόκου... Отпустъ: Ὁ ἐν ἀγκάλαις τοῦ δικαίου Συμεὼν βασταχθῆναι καταδεξάμενος. .

л. 87 об. Τάξις γινομένη ἐπὶ τῷ ἁγίῳ βαπτίσματι.

О хожденіи кругомъ купели говорится: Θυμιᾷ ὁ ἱερεὺς τὴν κολυμβήθραν, περιερχόμενος αὐτὴν γύρωθεν μετὰ τοῦ ἀναδόχου, κατεχομένου ὑπ' αὐτοῦ καὶ τοῦ νεοφωτίστου βρέφους.

л. 99. Εὐχὴ εἰς τὸ ἀπολῦσαι τὸν νεοφώτιστον τῇ η'. ἡμέρᾳ.

л. 100. Εὐχὴ εἰς τὸ ἀποκουρεῦσαι παιδίον.

л. 101 об. Ἀκολουθία ἐπὶ μνῆστρα βασιλέων καὶ πάντων ἀνθρώπων, ἤγουν εἰς ἀῤῥαβῶνα.

Чинъ сходенъ по изложенію съ чиномъ въ ркп. № 968 Синайск. библ. (см. выше стр. 401—402), но имѣетъ и нѣкоторыя особенности. Въ началѣ чина обрученія, ὁ δὲ ἱερεὺς ἐρωτᾷ αὐτούς, λέγων τῷ ἀνδρί· Θέλεις αὐτὴν εὐλογητικὴν ἔχειν καὶ παρθενικήν σου γυναῖκα, καθὼς ὁρίζει ἡ ἁγία τοῦ Θεοῦ ἐκκλησία; Ὁμοίως ἐρωτᾷ καὶ τὴν νύμφην. Предъ ектеньею καὶ λέγει (ὁ ἱερεύς)· Γύρισε ὄπισθεν. Ектенья изложена въ такомъ порядкѣ: Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῆς εἰρήνης.. Ὑπὲρ τοῦ ἁγίου οἴκου... Ὑπὲρ τοῦ εὐλογηθῆναι τὰ μνῆστρα.. Ὑπὲρ τῶν νῦν μνηστευομένων... Ὅπως Κύριος χαρίσηται... Ὑπὲρ τοῦ δούλου τούτου... Ὅπως Κύριος ὁ Θεὸς ἡμῶν ἄσπιλον καὶ ἀμόλυντον τὴν συζυγίαν... Ὑπὲρ τοῦ ῥυσθῆναι... Ἀντιλαβοῦ... Τῆς παναγίας... Ὅτι πρέπει σοι. Молитвы тѣже, но нѣтъ возгласовъ: „Миръ вамъ" и „Главы ваша" въ концѣ и молитва: Σωτὴρ ἀγαθὲ καὶ φιλάνθρωπε... стоитъ въ чинѣ послѣднею съ замѣчаніемъ: „λέγεται ἡ εὐχὴ αὕτη ἐκ γ'. καὶ ἀπόλυσις".

л. 104 об. Εἰ δὲ βούλονται στεφανωθῆναι, εἰσέρχονται ἐν τῷ ναῷ τοῦ Θεοῦ καὶ ἵστανται οἱ νεόνυμφοι ἔξω τῶν πυλῶν, καὶ ἐξελθὼν ὁ ἱερεὺς μετὰ φελωνίου αὐτοῦ καὶ μετὰ θυμιατοῦ καὶ λαμπάδων, καὶ κρατῶν αὐτοὺς ἀπ' ἀλλήλων ταῖς χερσίν, εἰσάγει αὐτοὺς ἐν τῷ μέσῳ τοῦ ναοῦ, ψάλλων καὶ τὸν παρόντα ψαλμὸν εἰς ἦχον β'. Μακάριοι πάντες οἱ φοβούμενοι... Καὶ εἰσελθόντες πρὸ τοῦ θυσιαστηρίου, ἀπολύουσιν ἀλλήλων τὰς χεῖρας καὶ ἵστανται πρὸ τῶν ἁγίων θυρῶν· ἀπόκεινται δὲ ἐν τῇ ἁγίᾳ τραπέζῃ στέφανα δύο καὶ ποτήριον μετ' οἴνου καὶ ἄρτου, κλάσματα ἓξ μικρὰ πάνυ, εἰ οὐκ εἰσιν ἄξιοι κοινωνῆσαι τῶν ἀχράντων μυστηρίων, εἰ δὲ εἰσὶν ἄξιοι, οὐ χρὴ ποιῆσαι κοινὸν ποτήριον, καὶ εὐλογοῦντος τοῦ ἱερέως, ἄρχεται· Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῆς εἰρήνης... Ὑπὲρ τοῦ ἁγίου οἴκου... Ὑπὲρ τοῦ ἀρχιεπισκόπου... Ὑπὲρ τῶν εὐσεβε-

*

στάτων... Ὑπὲρ τοῦ συμπολεμῆσαι... Ὑπὲρ τῶν δούλων τοῦ Θεοῦ τοῦδε καὶ τῆσδε τῶν ἐπισυναπτομένων ἀλλήλοις πρὸς γάμου κοινωνίαν... Ὑπὲρ τοῦ εὐλογηθῆναι τὸν γάμον αὐτῶν... Ὑπὲρ τοῦ παρασχεθῆναι αὐτοῖς σωφροσύνην... Ὑπὲρ τοῦ εὐφρανθῆναι αὐτοὺς ἐν ὁράσει υἱῶν... Ὑπὲρ τοῦ διαφυλαχθῆναι αὐτοῖς τὸν στέφανον αὐτῶν.. Ὅπως Κύριος ὁ Θεὸς ἡμῶν χαρίσηται αὐτοῖς τίμιον τὸν γάμον... Ὑπὲρ τοῦ δωρηθῆναι αὐτοῖς πάντα τὰ πρὸς σωτηρίαν... Ὑπὲρ τοῦ ῥυσθῆναι... Ἀντιλαβοῦ... Τῆς παναγίας... Ὅτι πρέπει... Τοῦ Κυρίου δεηθῶμεν. Ὁ Θεὸς ὁ ἅγιος, ὁ πλάσας τὸν ἄνθρωπον καὶ ἐκ τῆς πλευρᾶς αὐτοῦ ἀνοικοδομήσας. Goar. p. 317. Τοῦ Κυρίου δεηθῶμεν. Ὁ Θεὸς ὁ ἄχραντος, ὁ πάσης κτίσεως δημιουργός, ὁ τὴν πλευρὰν τοῦ πρωτοπλάστου Ἀδάμ... Сн. выше стр. 29. Goar. p. 315. Τοῦ Κυρίου δεηθῶμεν. Δέσποτα, Δέσποτα τῶν ἁπάντων, ὁ λαβὼν χοῦν ἀπὸ τῆς γῆς καὶ πλάσας ἔργον τίμιον τὸν ἄνθρωπον καὶ εἰπών... См. выше стр. 183. Τοῦ Κυρίου δεηθῶμεν. Εὐλογητὸς εἶ, Δέσποτα παντοκράτωρ, ὁ τῆς ζωῆς χορηγὸς καὶ τῶν αἰωνίων ἀγαθῶν δοτήρ... См. выше стр. 461. Καὶ κρατήσας αὐτῶν τὰς δεξιὰς χεῖρας, παραδίδει τὴν γυναῖκα τῷ ἀνδρί, λέγων· Παράλαβε ὁ δεῖνα τὴν γυναῖκά σου, ὁ τῶν ἁπάντων Θεὸς χειρὶ παραδίδωσιν, ἢ ἕτερον· Παράλαβε Μαριὰμ τὴν γυναῖκά σου, ὁ τῶν ἁπάντων Θεὸς παραδίδωσιν. Τοῦ Κυρίου δεηθῶμεν. Δεξιὰ ἄχραντε τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, ὁ πλάσας τὸν ἄνθρωπον κατ' εἰκόνα σὴν καὶ ὁμοίωσιν... См. выше стр. 567. Καὶ εἰσελθὼν ὁ ἱερεὺς ἐν τῷ ἁγίῳ βήματι, ἐπεύχεται μυστικῶς ἐπάνω τῶν στεφάνων, λέγων· Εἰρήνη πᾶσι. Τὰς κεφαλὰς ἡμῶν.. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ εὐλογήσας τὰ στέφανα τῶν ἁγίων σου ἀποστόλων, μαρτύρων καὶ προφητῶν.. См. выше стр. 403, 183. Καὶ κρατήσας ὁ ἱερεὺς τὰ στέφανα, ἐξέρχεται ἐκ τοῦ ἁγίου βήματος, πιάσας δὲ τὸ ἕν, χαράττει σταυρὸν ἐν τῇ κορυφῇ καὶ τῷ μετώπῳ τοῦ ἀνδρός, λέγων· Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, δόξῃ καὶ τιμῇ στεφάνωσον. Сн. выше стр. 403 πάντοτε νῦν καὶ ἀεί... ἐκ γ'. Καὶ μετὰ τὸ εἰπεῖν τὴν εὐχήν, τίθησι τὸν στέφανον ἐπὶ τὴν κεφαλὴν τοῦ νεονύμφου, λέγων· Ἔθηκας ἐπὶ τὴν κεφαλὴν αὐτοῦ στέφανον... Τὰ αὐτὰ καὶ ἐπὶ τὴν νεονύμφην ὁμοίως, εἶτα Τοῦ Κυρίου δεηθῶμεν. Δοξάζομέν σε, Δέσποτα παντοκράτωρ, ἐπὶ τῇ μεγαλειότητι, δοξάζομέν σε, Κύριε ὁ Θεὸς ἡμῶν, ἐπὶ τῇ ἀνεξιχνιάστῳ αἰνέσει σου... Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν τῇ σωτηριώδει σου οἰκονομίᾳ καταξιώσας. Goar. p. 318. Καὶ εἰ μὲν ἐστὶ λειτουργία, λέγει Τρισάγιον, προκείμενον τοῦ ἀποστόλου, ἦχος δ'. Δόξῃ καὶ τιμῇ ἐστεφάνωσας... Στίχος· Ἔθηκας ἐπὶ τὰς κεφαλάς... Πρὸς Ἐφεσίους ἐπιστολῆς· Ἀδελφοί, εὐχαριστοῦντες πάντοτε ὑπὲρ πάντων.. Τέλος· ἐν παιδείᾳ καὶ νου-

θεσίᾳ Κυρίου. Ἀλληλουάριον, ἦχος δ΄. Ἡ γυνή σου, ὡς ἄμπελος... Στίχος· Ὁ υἱοί σου, ὡς νεόφυτα.. Εὐαγγέλιον Goar. p. 318. Εἴπωμεν πάντες... Κύριε παντοκράτωρ... Ἐλέησον ἡμᾶς... Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβεστάτων.. Ἔτι δεόμεθα ὑπὲρ τοῦ ἀρχιεπισκόπου... Ἔτι δεόμεθα ὑπὲρ ἐλέους ζωῆς... Ὅτι ἐλεήμων... Ἐπικαλούμεθά σε, Κύριε Θεὲ παντοκράτωρ, σὲ ἐπικαλούμεθα τὸν μόνον ἀγαθὸν καὶ φιλάνθρωπον... См. выше стр. 464, 403. Καὶ εἰ μὲν ἐστὶν ἐν τῇ λειτουργίᾳ, καὶ εἰσὶν οἱ νεόνυμφοι ἄξιοι κοινωνῆσαι, λέγει ὁ ἱερεὺς ἀπολυτίκιον καὶ τὸ κοντάκιον τῆς ἡμέρας, εἶτα λέγει πάλιν ὁ ἱερεὺς ἢ ὁ διάκονος· Καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Καὶ ὁ λαὸς τὸ Τρισάγιον καὶ καθεξῆς ἡ θεία λειτουργία, καὶ οἱ νεόνυμφοι κοινωνοῦσιν, ὅταν ὁ ἱερεὺς ἢ ὁ διάκονος εἴπῃ· Μετὰ φόβου Θεοῦ. Καὶ μετὰ τὴν ὀπισθάμβωνον εὐχήν, λέγει ὁ ἱερεὺς καὶ τὰς ἄλλας εὐχὰς τῆς εὐλογήσεως ἕως τέλους, καὶ τὸ Εἴη τὸ ὄνομα Κυρίου καὶ τὰ ἑξῆς, εἰ δὲ οὐκ ἐστι λειτουργία, ἀλλ' οὐδ' ἄξιοι κοινωνῆσαι, λέγει ὁ ἱερεὺς ἢ ὁ διάκονος· Πληρώσωμεν τὴν δέησιν... Ἀντιλαβοῦ Goar. p. 318—319. Послѣ молитвы: Ὁ Θεός, ὁ πάντα ποιῶν τῇ ἰσχύϊ σου... p. 319 καὶ λαμβάνει ὁ ἱερεὺς τὸ κοινὸν ποτήριον καὶ ἔρχεται εἰς τοὺς νεονύμφους καὶ μεταλαμβάνει αὐτούς, ψάλλων· Γεύσασθε καὶ ἴδετε, καὶ δίδει καθ' ἑνὸς μερίδας μικρὰς γ΄. εἶτα ποτίζει αὐτοὺς γ΄. ψάλλοντες· Ποτήριον σωτηρίου... Ὁ δὲ ἱερεύς, ὅταν ποτίζει τοὺς νεονύμφους ἐκ γ΄. καθ' ἕνα, λέγει· Ἐξ ἀμπέλου πολυκάρπου καὶ πηγῆς ἀθανάτου πίῃς, ζῇς, νεόνυμφε· ἡ ἁγία Τριὰς εὐλογήσει σε. Καὶ εἰς τὸ τέλος λέγει· Ζήσατε, οἱ νεόνυμφοι, ἡ ἁγία Τριὰς ἀχωρίστους διαφυλάξει ἡμᾶς πάντοτε νῦν καὶ ἀεί... Τοῦ Κυρίου δεηθῶμεν. Ὁ Θεὸς ὁ αἰώνιος, ὁ τὸν οὐρανὸν τοῖς ἄστροις κατακοσμήσας... Καὶ ποιήσας τὰ στέφανα ὁ σύντεκνος ἢ ἄλλος τις, ὁ δὲ ἱερεὺς πιάνει μετὰ τῆς εὐωνύμου χειρὸς τοὺς νεονύμφους, μετὰ δὲ τῆς δεξιᾶς τὸν θυμιατόν, γυρίζει γύρους γ΄. λέγων εἰς ἦχον βαρὺν ἐκ γ΄. Ἅγιοι μάρτυρες καὶ τὸ Δόξα σοι, Χριστὲ ὁ Θεός. Καὶ ἵστησιν αὐτοὺς κατὰ τάξιν, καὶ εἴπερ ἐστὶ μέλι καὶ κάρυα εὐπρεπισμένα, γεύει αὐτοὺς λεπτομερῶς ἐκ γ΄. καὶ ψάλλοντες εἰς ἦχον πλ. δ΄. Ἐπὶ σοὶ χαίρει, κεχαριτωμένη, πᾶσα ἡ κτίσις... Εἶτα λέγει τὴν εὐχὴν ταύτην ἐκ γ΄. Τοῦ Κυρίου δεηθῶμεν. Ἀδελφοί, χαίρετε ἐν Κυρίῳ πάντοτε. См. выше стр. 184. Τοῦ Κυρίου δεηθῶμεν. Ὁ Θεός, ὁ τοῦ παντὸς κόσμου δημιουργός, ὁ τῆς φύσεως Δεσπότης καὶ τοῦ γάμου νομοθέτης... Τοῦ Κυρίου δεηθῶμεν. Σὲ ἱκετεύομεν, ὁ Θεὸς ἡμῶν, ἐπίβλεψον ἐπὶ τοὺς δούλους σου τούτους... См. выше стр. 405. Καὶ εἰ ἔχουσι πατέρα ἢ μητέρα, εὔχονται οὕτως· Δώῃ σας, ὁ Θεός, τέκνα ἡμῶν, ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ καὶ ἀπὸ τῆς πιότητος τῆς γῆς, καὶ ἴδετε

τέκνα τῶν τέκνων ἐν πολλοῖς ἀγαθοῖς, καὶ τῷ Κυρίῳ δουλεύσητε. Ἀμήν. Καὶ ἀσπάζονται αὐτοὺς καὶ τοὺς στεφάνους.

л. 119 об. Εὐχὴ εἰς τὴν ἔπαρσιν τῶν στεφάνων. См. выше стр. 442. Послѣ 2 хъ молитвъ: αἴρει τὰ στέφανα, λέγων· Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς, καὶ ποιεῖ ἀπόλυσιν. Καὶ λαβὼν τὰ στέφανα καὶ τὰ κηρία, φυλάττει αὐτὰ ἐν τῷ ἁγίῳ βήματι.

л. 120. Εὐχὴ ἑτέρα εἰς δίγαμον. См. выше стр. 443.

л. 121. Ἀρχὴ τοῦ μεγάλου ἑσπερινοῦ.

л. 126. Ἀκολουθία τοῦ ἁγίου ἐλαίου, γινομένου ὑπὸ ἑπτὰ ἱερέων.

л. 152. Εἰς τὸ ποιῆσαι παράκλησιν τῆς ὑπεραγίας Θεοτόκου.

л. 157. Κανὼν ψαλλόμενος εἰς ψυχοῤῥαγοῦντας.

л. 162 об. Λύσις καὶ συγχώρησις εἰς ἐπιτίμιον ἀφορισμοῦ, γινομένου δι' αἰτίας καὶ πράξεις ἀθέσμους παρά τινων ἀνθρώπων ἀφρόνων.

л. 166 об. Εὐχαὶ ἤτοι ἐξορκισμοὶ τοῦ Μεγάλου Βασιλείου πρὸς τὸν πάσχοντα ὑπὸ δαιμόνων καὶ πρὸς ἑκάστην ἀσθένειαν.

л. 171 об. Τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου εἰς τὸ αὐτό.

л. 176. Ἀποστολοευαγγέλια τῆς ἑβδομάδος.

л. 186 об. Ἑωθινὰ ἀναστάσιμα ια'.

л. 195. Молитвы на различные случаи.

л. 232 об. Τάξις βαπτίσματος εἰς νήπιον, κατεπειγόμενον ὑπὸ τοῦ θανάτου.

л. 241. Εὐχὴ ἐπὶ ἐξομολογουμένων.

Ἀναγινώσκει αὐτὴν ἐπάνω τοῦ ἐξομολογουμένου ὁ πνευματικὸς αὐτοῦ πατήρ, ὡς πρὸ τοῦ ἐξομολογουμένου· Κύριε, εὐλόγησον. Εὔξου καὶ συγχώρησόν μοι, πάτερ καὶ πνευματικὲ δέσποτα, εἴ τι ἥμαρτον ἐν ὅλῳ μου τῷ ταλαιπώρῳ βίῳ καὶ ἐν πάσῃ τῇ ἀθλίᾳ καὶ αἰσχρᾷ καὶ ματαίᾳ μου ζωῇ... Εὐχή, λεγομένη ὑπὸ ἱερέως ἐπὶ τὸν μέλλοντα μεταλαβεῖν τῶν ἀχράντων μυστηρίων, συγχωρῶν αὐτοῦ πάντα τὰ ἁμαρτήματα. Τοῦ Κυρίου δεηθῶμεν. Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, Υἱὲ καὶ Λόγε Θεοῦ τοῦ ζῶντος. Goar. p. 536.

л. 243. Ἑτέρα ἀκολουθία εἰς ἐξομολογουμένους.

Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τῷ Πέτρῳ καὶ τῇ πόρνῃ διὰ δακρύων... Goar. p. 537. Τοῦ Κυρίου δεηθῶμεν. Ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, ὁ διὰ τοῦ προφήτου σου Νάθαν. Goar. p. 536. Καὶ μετὰ τοῦτο κρατεῖ ὁ ἱερεὺς τῆς χειρὸς αὐτοῦ καὶ προσφέρει αὐτὸν ἐνώπιον τοῦ θυσιαστηρίου, καὶ ἀποσκεπάζει τὴν κεφαλὴν αὐτοῦ, ἐὰν ἔνι καὶ ὁ τὸ διάδημα φορῶν, ἐὰν ἐστὶν ἀνήρ, ἡ δὲ γυνή, οὔ, ἐὰν ἐστὶν ἀββᾶς, ἐπάνω τῆς κεφαλῆς αὐτοῦ βάλλει τὸ ἑαυτοῦ κουκούλιον καὶ ῥίπτει αὐτὸν ἔμπρο-

σθεν τοῦ θυσιαστηρίου, καὶ λέγει αὐτῷ ὁ ἱερεύς· Οὐκ εἰμὶ ἄξιος ἐγὼ δέξασθαι τὴν σὴν ἐξομολόγησιν, ἀλλὰ δέξεταί σε ὁ Θεὸς ὁ παντοδύναμος καὶ ῥύσεταί σε ἐκ πασῶν σου τῶν ἁμαρτιῶν πρὸ πάντων ἐνεστώτων καὶ μελλόντων, φωτίσει τὴν καρδίαν σου ἐξ ἁγίου Πνεύματος, διδάξει σε πάντοτε μεριμνῆσαι τὰ ἀρεστὰ αὐτοῦ, χαρίσεταί σοι ταπείνωσιν ἀληθινήν, μακροθυμίαν καὶ ἀγάπην, ὑπομονὴν καὶ πραότητα, καὶ διάκρισιν ἐν πᾶσιν, οἷς ἔπραττες, καὶ ἐμβάλει ἐν τῇ καρδίᾳ σου φόβον καὶ τὴν φιλανθρωπίαν αὐτοῦ, ῥύσεταί σε ἐκ πάντων τῶν ἐπιτηδευμάτων τοῦ ἐχθροῦ καὶ ποιήσεις ἀεὶ ἐμμένειν ἐν ἀγαθοῖς πράξεσι, καὶ κατευοδώσει σε εἰς τὴν ζωὴν τὴν αἰώνιον. Καὶ εὐθὺς λέγει τὸν Ν', εἶτα λέγει ὁ ἱερεύς· Ἰδού, τέκνον, χάριτι Θεοῦ προσέδραμες **ркп. XVI в. Костом.-аеон. библ. №** 60 καὶ λέγει οὕτω· Σήμερον χαρὰ γίνεται ἐν οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι, καὶ εὐθέως ἄρχεται ἐξαγορεύειν, καὶ λέγει ὁ ἱερεύς· Λέγε, ἀδελφέ, ἀνερυθριάστως τὰς σὰς πράξεις· πάντες γάρ, ὡς ἄνθρωποι φθαρτοί, ἐνοχλήθημεν ὑπὸ τοῦ ἐχθροῦ, πολλὰ καὶ ἡμαρτήσαμεν καὶ ἁμαρτάνομεν, ἀλλὰ (ἐπὶ) τοὺς οἰκτιρμοὺς τοῦ Θεοῦ θαῤῥοῦμεν, οὐ μὴ νικήσει τὸ πλῆθος τῶν ἡμετέρων κακῶν, ἐὰν διὰ μετανοίας εἰλικρινοῦς αὐτῷ προσιῶμεν. Καὶ εὐθέως ἐρωτᾷ αὐτὸν ὁ ἱερεύς· Πόσους, κύριε, ἀδελφέ, ἢ τέκνον, ἢ ἀδελφή, ἢ κυρία χρόνους ἐν πρώτοις ἐφθάρη ἡ παρθενία σου... Ταῦτα ἐν πρώτοις χρὴ τὰς ἐξομολογήσεις ἀναδεχόμενον καὶ εἰς πόσας ὁμοῦ περιέπεσεν· ὁ ἀριθμὸς γὰρ ὑπὸ πάντων ζητεῖται καὶ αἱ διαφοραὶ τῶν προσώπων· εἰσὶ γὰρ διάφοροι δοῦλοι, πόρναι, χῆραι, ὕπανδροι, μονάστριαι, καὶ ἱερωμέναι, διακόνισσαι καὶ πρεσβύτεραι, καὶ ὅταν ταῦτα ἐρωτήσῃ, ἐρωτᾷ αὐτὸν περὶ ἀρσενοκοιτίας... Ἐρωτᾷ αὐτὸν καὶ εἰ ἔπεσεν εἰς μαλακίαν... Ταύτης γὰρ εἰσὶν αἱ διαφοραί, ἄλλος μὲν εἰς δύο ἀδελφὰς περιέπεσεν ἐκ πατρὸς ἢ ἐκ μητρός, ἢ καὶ ἀμφότεροι... Φθάνουσι δέ τινες ἕως ἑαυτῶν τῶν ἰδίων γυναικῶν τῆς ἀῤῥενομανίας ἐκτελεῖν ἔργον παρανομίας παρὰ φύσιν, καὶ μετὰ ταῦτα ἐρωτᾷ αὐτὸν καὶ περὶ κλεψιμαίων καὶ φόνων καὶ ἀρνήσεως λογαρίων. Ἐρωτᾷ αὐτὸν περὶ πάντων, καὶ ὅταν ταῦτα καλῶς αὐτὸν ἐρευνήσῃ καὶ εἴπῃ ὁ ἐξομολογούμενος, ἤ τινα ἐξ αὐτῶν, ἢ ἕν, ἢ δύο, ἢ τὰ ἥμισυ, ἐνδέχεσαι αὐτὸν καὶ εἰς ὅλα εὑρίσκεσθαι. Τότε ῥίπτει αὐτὸν τὸν ἐξομολογούμενον πάλιν ἔμπροσθεν τοῦ θυσιαστηρίου καὶ ἐπιμένων αὐτὸν ἐπεύχεται ὁ ἱερεύς· Κύριε Ἰησοῦ Χριστέ, ὁ συγχωρήσας διὰ Νάθαν τοῦ Δαβὶδ τὴν ἐξομολόγησιν. Goar. p. 538. Καὶ μετὰ τὸ ἐγεῖραι αὐτὸν ἀπὸ τῆς εὐχῆς, ἐρωτᾷ αὐτόν· Θέλεις προσκλαῦσαι καὶ μετανοῆσαι, ὑπὲρ ὧν ἔπραξας, ἵνα μᾶλλον εἰς αὐτὰ μηκέτι ἐπιστραφῇς, καὶ εἰ φυλάξεις ἀπὸ τοῦ νῦν καὶ τοῖς ὁδοῖς Κυρίου πορεύσῃ, οὐ μόνον συγχωρηθείσῃ ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. Ἀμήν. Καὶ εὐθὺς ἄρχεται τῆς εὐ-

χῆς ταύτης. Τοῦ Κυρίου δεηθῶμεν. Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καλῶν δικαίους εἰς τὸ ἁγιᾶσαι καὶ ἁμαρτωλὸν εἰς τὸ δικαιῶσαι... Εὐχὴ ἑτέρα. Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐλεήμων καὶ οἰκτίρμων, ὁ μακρόθυμος καὶ πολυέλεος, ὁ κλίνας οὐρανοὺς καὶ καταβὰς ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων. См. ркп. XV в. Аѳон.-Діонис. библ. № 489. Εὐχὴ ἑτέρα· Ἱλάσθητι, Κύριε, ἱλάσθητι τοῖς ἔργοις τῶν χειρῶν σου πάντα τὰ ψυχικὰ παραπτώματα τὰ ἑκούσιά τε καὶ ἀκούσια τὰ ἐν παραβάσει, τὰ ἐκ ῥαθυμίας...

л. 248. Περὶ τῶν ἑορτῶν τοῦ χρόνου ὅλου.

л. 250. Εὐχή, ἣν λέγει ὁ ἱερεὺς ἐπὶ μέλλοντα μεταλαβεῖν.

л. 252. Ἀκολουθία τῆς ἁγίας μεταλήψεως.

л. 278. Ἀκολουθία τοῦ ἐξοδιαστικοῦ τῶν μοναχῶν.

л. 307. Ἀκολουθία εἰς ἀρχάριον ῥασοφοροῦντα.

л. 308. Ἀκολουθία τοῦ μικροῦ σχήματος.

л. 324 об. Ἀκολουθία τοῦ μεγάλου καὶ ἀγγελικοῦ σχήματος.

л. 353. Εὐχὴ εἰς τὸ ἀποκουκουλίσαι.

л. 354. Εὐχὴ τοῦ Μεγάλου Βασιλείου ἐπὶ τὸν ἀφορισμῷ δεσμευθέντα.

**LXXX.** № 489 Εὐχολόγιον, ркп. Аѳоно-Діонисіатской библ. въ 4 *долю листа*, 432 *листа*, писана почеркомъ XV вѣка, но къ этому времени можетъ быть относимъ основной текстъ рукописи, а множество прибавочныхъ листовъ писаны иными почерками и позднѣйшаго времени.

л. 1. Рукою иною, но XV в. написанъ чинъ обновленія храма. Начала нѣтъ.

л. 5. Ἑτέρα εὐχή, ἐὰν συμβῇ τεθνᾶναι ἄνθρωπον ἔνδον τοῦ ναοῦ ἢ ἐκχέει αἷμα ἑκουσίως ἢ ἀκουσίως.

Ἐλεήμων καὶ οἰκτίρμων ὁ Θεός, εὐχαριστοῦμεν τὴν σὴν ἀγαθότητα, πανάγαθε βασιλεῦ, εὐδόκησον διὰ τῆς ἐμῆς ἀναξιότητος... Καὶ εὐθὺς ὁ ἀρχιερεὺς μυρώνει τὴν ἁγίαν τράπεζαν καὶ ὅλον τὸ θυσιαστήριον, εἶτα γίνεται ὁ ἁγιασμός.

л. 7. Εὐχὴ εἰς ἀπειλὴν σεισμοῦ.

Ὁ Θεὸς ὁ μέγας καὶ φοβερός, καὶ θαυμαστός, ὑπερένδοξός τε καὶ ἀληθινός. Goar. p. 623.

л. 7 об. Εὐχὴ ἑτέρα εἰς ἀπειλὴν σεισμοῦ.

Βασιλεῦ ἅγιε, φιλάνθρωπε Δέσποτα, μακρόθυμε Κύριε, ὁ πάσης αἰσθητῆς... Goar. p. 624.

л. 10. Περὶ τῶν βαθμῶν τοῦ γάμου.

л. 17. Αἱ ἐναντίαι ἡμέραι τοῦ ὅλου ἐνιαυτοῦ, ἃς ἐφανέρωσεν ὁ Θεός. Статья неокончена.

л. 18. Рукою XVII в. Τάξις γινομένη ἐπὶ θεμελίῳ ἐκκλησίας.

л. 19. Περὶ σταυροπηγίου.

л. 22. Отсюда начинается настоящій текстъ рукописи: Εὐχή, ἣν λέγει ὁ ἀρχιερεὺς ἐπὶ ἱστορηθεῖσαν καινὴν εἰκόνα.

л. 25 об. Εὐχαὶ ἑωθιναί. 12 молитвъ.

л. 30 об. Κανὼν παρακλητικὸς εἰς τὴν ὑπεραγίαν Θεοτόκον.

л. 35. Ἀκολουθία τοῦ ἁγίου ἐλαίου.

л. 66 об. Εὐχαὶ λεγόμεναι ἐπὶ ἀῤῥώστους. Молитвы Василія Великаго, Григорія Богослова, св. Епифанія и Іоанна Златоуста. Молитвы апокрифическаго содержанія.

л. 79. Ἀκολουθία εἰς λεχώ.

л. 81. Εὐχή, ἣν λαμβάνει ἡ λεχὼ τῇ η'. ἡμέρᾳ.

Ποιεῖ ὁ ἱερεὺς εὐλογητόν, τὸ Τρισάγιον, Παναγία Τριάς, Ὅτι σοῦ, τὸ ἀπολυτίκιον καὶ κοντάκιον τῆς ἡμέρας, Τοῦ Κυρίου δεηθῶμεν. Δέσ

ποτα Κύριε, ὁ ἀληθινὸς ἄρτος τῆς ζωῆς ἡμῶν, ὁ καθαρίσας καὶ ἀναγεννήσας ἡμᾶς... p. 264. Εἰ δὲ ζῇ τὸ βρέφος, καὶ ἐρχομένου αὐτοῦ ἐκκλησιασθῆναι, τοῦτ' ἐστὶ τοῦ λαμβάνειν ὄνομα τῇ η'. ἡμέρᾳ, οὐ ποιεῖ ἀπόλυσιν, ἀλλὰ λέγει καὶ τὰς παρούσας εὐχὰς ταύτας. Начало обычное, священникъ благословляетъ чело и грудь младенца, дуетъ трижды и читаетъ молитвы: Κύριε ὁ Θεὸς ἡμῶν, σοῦ δεόμεθα καὶ σὲ ἱκετεύομεν... p. 264. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ πᾶσαν τὴν λογικὴν φύσιν δημιουργήσας τῷ λόγῳ σου... См. выше стр. 396. Καὶ λαμβάνει ὁ ἱερεὺς τὸ παιδίον καὶ ἵσταται ἐν τῇ μεγάλῃ πύλῃ τῆς ἐκκλησίας κατὰ ἀνατολήν, κρατῶν αὐτὸν εἰς τὰς χεῖρας αὐτοῦ, καὶ λέγει τὸν ψαλμόν· Τὰ ῥήματά μου... ἕως τὸ Εἰσελεύσομαι εἰς τὸν οἶκόν σου, προσκυνήσω πρὸς ναὸν ἅγιόν σου, ἐπιλέγων γ'. πρῶτον εἰς τὴν θύραν, δεύτερον ἐν τῷ μέσῳ τῆς ἐκκλησίας, τρίτον ἔμπροσθεν τῶν ἁγίων εἰκόνων, εἶτα λέγει ἀπολυτίκιον, ἦχος δ'. Χαῖρε, κεχαριτωμένη... εἶτα λέγει τὸ Νῦν ἀπολύεις ἕως· ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου. Εἶτα λαμβάνει ἔλαιον ἐκ τῆς κανδήλας τοῦ Δεσπότου, σφραγίζων αὐτὸ ἐν τῷ μετώπῳ σταυροειδῶς, λέγων· Χρίεται ὁ δοῦλος τοῦ Θεοῦ ὁ δεῖνα ἔλαιον ἀγαλλιάσεως, εἰς τὸ ὄνομα τοῦ Πατρός...Καὶ ἀποδίδει ὁ ἱερεὺς τὸ παιδίον τῆς μαίας, εἶτα λέγει τὴν εὐχὴν ταύτην· Τοῦ Κυρίου δεηθῶμεν. Εὐλογητὸς εἶ, Κύριε ὁ Θεὸς ἡμῶν, ὁ φυλάσσων τὰ νήπια. Goar. p. 265 καὶ ποιεῖ ἀπόλυσιν.

л. 86. Τάξις γινομένη εἰς τὸ σαραντῆσαι τῇ λεχῷ.

Ὁ ἱερεὺς ποιεῖ εὐλογητόν, τὸ Τρισάγιον κ. τ. λ. τὸ ἀπολυτίκιον τῆς ἡμέρας καὶ τὸ Χαῖρε, κεχαριτωμένη, εἶτα λέγει τὴν εὐχὴν τοῦ βρέφους πρῶτον, ἐὰν ζῇ· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν τεσσαράκοντα ἡμέραις τοῦ νόμου εἰς τὸ ἱερόν... Дмитріевскій. Прилож. стр. 19. Εὐχὴ τῆς λεχῶ. Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ παραγενόμενος ἐπὶ σωτηρίαν τοῦ γένους τῶν ἀνθρώπων... p. 267. Καὶ ποιεῖ ἀπόλυσιν οὕτως· Ὁ ἐν ἀγκάλαις τοῦ δικαίου Συμεὼν βασταχθεὶς Χριστὸς ὁ ἀληθινός...

л. 87. Ἀκολουθία εἰς τὸ ποιῆσαι κατηχούμενον.

О крещаемомъ замѣчено, что онъ, послѣ отрицанія, ἱστᾷ πάλιν κατὰ ἀνατολάς, κάτω τὰς χεῖρας ἔχοντα δεδεμένας μετὰ φόβου καὶ χαρᾶς. Облачается новокрещаемый ἱμάτιον λευκὸν καὶ καθαρόν, λέγων· Ἐνδύεται ὁ δοῦλος τοῦ Θεοῦ ὁ δεῖνα χιτῶνα ἀγαλλιάσεως... Εἶτα σταυρώματα λέγει· Σταυρὸν χαράξας Μωϋσῆς.., ἔπειτα τὴν ζώνην, λέγων· Περιζώννυται ὁ δοῦλος τοῦ Θεοῦ ὁ δεῖνα λῶρον παρὰ τὴν ὀσφὺν τῆς διανοίας αὐτοῦ... По мνропомазаніи, καὶ λαβὼν τὸ θυμιατήριον, περικυκλοῦσι τὴν ἁγίαν κολυμβήθραν ἐκ γ'. θυμιῶν σταυροειδῶς καὶ ψάλλων· Ὅσοι εἰς Χριστόν, послѣ чего непосредственно слѣдуетъ εὐχὴ εἰς τὸ

ἀπολοῦσαι τὸν φωτισθέντα τῇ η'. ἡμέρᾳ... Ποιεῖ δὲ τὴν κουρὰν οὕτως· ἀρχὴν ποιεῖν ἀπὸ τῆς κορυφῆς τὸ μέτωπον, δεξιὰ καὶ ἀριστερά, ὄπισθεν καὶ ἔμπροσθεν, καὶ δίδωσιν αὐτὰς τῷ ἀναδόχῳ.

л. 102 об. Τάξις βαπτίσματος εἰς νήπιον, κατεπειγόμενον ὑπὸ θανάτου. См. выше стр. 400.

л. 105. Молитвы на различные случаи.

л. 123. Ἀκολουθία τῆς ἁγίας Ν'. ἤγουν τῆς γονυκλισίας.

л. 136 об. Ἀκολουθία εἰς μνήστρας, ἤγουν εἰς ἀῤῥαβῶνας δακτυλιδίου.

Начало обычное до Отче нашъ, тропарь и кондакъ дня, ектенья и молитва: Κύριε ὁ Θεὸς ἡμῶν, ἐπίβλεψον ἐπὶ τοὺς δούλους σου τούτους τὸν δεῖνα καὶ τὴν δεῖνα καὶ στήριξον τὸν ἀῤῥαβῶνα... Ὁ Θεὸς ὁ αἰώνιος ὁ τὰ διῃρημένα... Goar. p. 311 καὶ ἀλλάσσουν τὰ δακτυλίδια τρίτον καὶ τὰ κηρία, εἶτα λέγει· Δέσποτα φιλάνθρωπε, ὁ ἐν τῇ προφητικῇ φωνῇ ἐνισχύσας ἡμᾶς, ὅτι παρὰ σοὶ ἁρμόζεται ἀνδρὶ γυνή... См. выше стр. 460. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὴν ἐξ ἐθνῶν προμνηστευσάμενος... p. 311. Σωτὴρ ἀγαθὲ καὶ φιλάνθρωπε, τὸν ἀῤῥαβῶνα τοῦτον ἰσχυρὸν καὶ βέβαιον διατήρησον, ἵνα γένηται τὸ συνάλλαγμα τοῦτο εἰς πολυχρόνιον καὶ εὐημέριον ζωὴν πάντοτε νῦν...

л. 139 об. Ἀκολουθία τοῦ στεφανώματος.

Послѣ псалма и ектеньи, Ὁ Θεὸς ὁ ἅγιος, ὁ πλάσας τὸν ἄνθρωπον καὶ ἐκ τῆς πλευρᾶς αὐτοῦ ἀνοικοδομήσας γυναῖκα... p. 317 Ὁ Θεὸς ὁ ἅγιος καὶ πάσης κτίσεως δημιουργός... p. 315. Δέσποτα φιλάνθρωπε Κύριε, ὁ ἐν τῇ προφητικῇ φωνῇ ἐνισχύσας ἡμᾶς, ὅτι παρὰ σοὶ ἁρμόζεται ἀνδρὶ γυνή... Священникъ беретъ вѣнцы со св. трапезы и, выходя, говоритъ: „Славою и честію вѣнчай его“ 3-жды, а полагая вѣнцы— „Положилъ еси на главѣ его вѣнецъ отъ камене честна“. Тоже и надъ невѣстою. Δοξάζομέν σε, Δέσποτα παντοκράτωρ, ἐπὶ τῇ σῇ μεγαλειότητι, δοξάζομέν σε, Κύριε ὁ Θεὸς ἡμῶν, ἐπὶ τῇ ἀνεξιχνιάστῳ αἰνέσει σου... Δός, νεόνυμφε, τὸ πλήρωμα καὶ λάβε τὴν νύμφην. Καὶ παραδίδει αὐτῶν τὰς χεῖρας τὰς δεξιάς, λέγων· Παράλαβε, Μαριάμ, τὴν γυναῖκά σου. Εἶτα λέγει· Δεξιὰ ἄχραντε τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, ἡ πλάσασα τὸν Ἀδὰμ κατ' εἰκόνα σὴν καὶ ὁμοίωσιν... См. выше стр. 567. Προκείμενον· Δόξῃ καὶ τιμῇ ἐστεφάνωσας... Στίχος· Κύριε ὁ Θεὸς ἡμῶν, ὡς θαυμαστόν... Πρὸς Ἐφεσίους· Ἀδελφοί, ἐπὶ τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ... Евангеліе, что нынѣ, ектенья, Ἐπικαλούμεθά σε, Κύριε Θεὲ παντοκράτωρ, σὲ ἐπικαλοῦμαι τὸν μόνον ἀγαθὸν καὶ φιλάνθρωπον, τὸν στερεωτὴν καὶ ἀρχηγὸν τῆς σωτη-

ρίας ἡμῶν... См. выше стр. 464. Отче нашъ, Вонмемъ, „Святая святымъ“, „Единъ святъ“ „Приступите“, „Вкусите и видите“, Ὁ Θεός, ὁ πάντα ποιήσας τῇ ἰσχύϊ σου... p. 319 καὶ δίδει αὐτοῖς τὸ κοινὸν ποτήριον, λέγων· Ἐξ ἀμπέλου πολυκάρπου καὶ πηγῆς ἀθανάτου πίης, ζῆς, νεόνυμφε. Ἡ ἁγία Τριὰς εὐλογήσει σε. Καὶ ποτίζει αὐτὸν ἐκ γ'. Тоже говорится и невѣстѣ. Ὁ Θεὸς ὁ αἰώνιος, ὁ τὸν οὐρανὸν τοῖς ἄστροις κατακοσμήσας καὶ τὴν γῆν ποικίλα ἄνθη στεφανώσας... См. ркп. XVI в. Каирск. патр. библ. № 224—1070. Καὶ πιάνουν οἱ στεφανοκράτοροι τὰ στέφανα, λαβὼν ὁ ἱερεὺς τὸ θυμιατὸν γυρίζει γύρους τρεῖς, λέγει· Δόξα σοι, Χριστὲ ὁ Θεός... Ἅγιοι μάρτυρες... Ὁ τοῦ παντὸς κόσμου δημιουργὸς Θεός, ὁ τῆς φύσεως Δεσπότης εὐεργέτης καὶ τοῦ γάμου νομοθέτης... Καὶ εὐθὺς ἀπέρχονται εἰς τὸν παστόν, προπορευομένων δύο λαμπάδων καὶ θυμιατῶν, καὶ ψάλλουσι θεοτοκίον τοῦ Δαμασκηνοῦ· Τὴν παγκόσμιον δόξαν. Εὐχὴ εἰς τὴν ἔπαρσιν τῶν στεφάνων· Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ παραγενόμενος ἐν Κανᾷ τῆς Γαλιλαίας... См. ркп. XVI в. Каирск. библ. № 224—1070. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ θάλαμον εὐτρεπίσας κατὰ νόμου καὶ στέφανα ἀφθαρσίας ἐπάθλῳ παρθενείας τούτους κατακοσμῶν... Сн. выше стр. 184. Εἰς τὸ λῦσαι τὰ στέφανα· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ παραγενόμενος ἐν Κανᾷ τῆς Γαλιλαίας... p. 320. Καὶ ποιεῖ ἀπόλυσιν.

л. 155. Τάξις γινομένη εἰς τὸ ὕδωρ τῶν ἁγίων Θεοφανίων.

л. 164 об. 11 утреннихъ воскресныхъ евангелій.

л. 176. Евангельскія и апостольскія чтенія.

**ХС.** № 691 Εὐχολόγιον, ркп. той же библ. въ 4 долю листа, 178 листовъ, писана разными почерками XV—XVI в. На крышкахъ рукописи имѣются замѣтки 1535, 1536, 1590 и 1591 годовъ. Начала и конца рукописи нѣтъ.

л. 1. Конецъ канона въ чинѣ елеосвященія и послѣдованіе до конца.

л. 27. Чинъ великаго водоосвященія XVI в. безъ начала и безъ конца, который приписанъ позднѣйшею рукою.

л. 34 об. Ἀκολουθία μικροῦ ἁγιασμοῦ XVI—XVII в.

л. 42. Молитвы на различные случаи.

л. 45. Чинъ малой схимы безъ начала XV в.

л. 46. Ἑτέρα ἀκολουθία τοῦ ἁγίου καὶ σχήματος μικροῦ.

Имѣются вопросы: Ἀνέλαβες τὴν ἀγγελικὴν πολιτείαν; Ἀπόκρισις· Ναί, τίμιε πάτερ. Ἐρώτησις· Ἀνέλαβες τὴν στολὴν τῶν ἁγίων

ἀποστόλων; Καὶ ἐκτείνας ὁ νεοφώτιστος τὰς χεῖρας εἰς τὸν οὐρανόν, λέγει· Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι γ'. Ὁ ἱερεὺς εὔχεται· Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία, ἀληθῶς δόξα σοι, ἀθάνατε βασιλεῦ... См. выше стр. 562—563. При врученіи свѣчи, говорится: „Тако да просвѣтится", а когда поется „Пріиде поклонимся" на литургіи, братія подходятъ и говорятъ: Εὐλόγησον, πάτερ. Πῶς καλεῖται τὸ ὄνομά σου; Ἀποκρίνεται· τόδε μοναχός. Οἱ ἀδελφοί· Σωθῆς, τόδε μοναχέ.

л. 60. Ἀκολουθία τοῦ μεγάλου καὶ ἀγγελικοῦ σχήματος.

л. 89. Имена монашескія мужчинъ.

л. 91. Ἀπολογία Ἰωάννου τοῦ Νηστευτοῦ, δι' ἣν αἰτίαν συγκαταβατηκοτέρα τῶν ἄλλων ἁμαρτημάτων πᾶν δοκεῖ.

**XCI.** № 455 (ρις'.) Εὐχολόγιον, рукопись Александрійской (въ Каирѣ) патріаршей библ. въ 16 долю листа, 225 листовъ, писана на бумагѣ скорописью 1501 года, какъ это видно изъ слѣдующей приписки къ рукописи въ концѣ: Τέλος εἴληφε σὺν Θεῷ τὸ παρὸν εὐχολόγιον τοῦ πνευματικοῦ κὺρ Ἰωάσαφ ἐκ τὰς (τῶν) Ἀθήνας (ῶν) ἔτους ‚ζθ'. ἰνδικτ. δ'. μηνὶ Μαρτίῳ δ'. Μιχαήλ, ἁμαρτωλὸς κακομόναχος καὶ κακογράφος. ϛεπὸ κι.

л. 1. об. Лунникъ.

л. 2. Περὶ τοῦ πῶς χρὴ δέχεσθαι τοὺς ἀναθεματίζοντας τὴν ἰδίαν καὶ πᾶσαν αἵρεσιν καὶ μύρῳ θείῳ χριομένους μόνον μὴ βαπτιζομένους. См. выше стр. 422—425.

л. 7. Τυπικὸν τῆς ἐκκλησιαστικῆς ἀκολουθίας τοῖς ἐν Ἱεροσολύμοις ἁγίας λαύρας τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Σάββα. Αὕτη δὲ ἡ ἀκολουθία γίνεται καὶ ἐν ταῖς λοιπαῖς τῶν ἐν Ἱεροσολύμοις ἁγίων μονῶν.

л. 13. Ἀρχὴ σὺν Θεῷ ἁγίῳ τοῦ Εὐχολογίου. Εὐχαὶ τοῦ λυχνικοῦ. См. выше стр. 425.

л. 17 об. Εὐχαὶ ἑωθιναὶ τοῦ ὄρθρου. Тамъ же.

л. 23. Εἰρηνικὰ τοῦ ἑσπερινοῦ.

л. 25. Τάξις καὶ ἀκολουθία ἐπὶ τελευτήσαντα μοναχόν. Тамъ же.

л. 59 об. Εὐχὴ τοῦ Μεγάλου Βασιλείου συγχωρητική, λεγομένη ὑπὸ ἀρχιερέως ἢ ἱερέως ἐπὶ τὸν μέλλοντα μεταλαβεῖν τοῦ τιμίου Δεσποτικοῦ Σώματος καὶ Αἵματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, συγχωρῶν αὐτοὺς πάντα τὰ ἁμαρτήματα. Тамъ же стр. 427.

л. 72 об. Εὐχὴ ἀφέσιμος πατρὸς πνευματικοῦ. Тамъ же.

л. 73. Εὐχὴ ἐπὶ ἀποδημούντων.

— Εὐχὴ ἐπὶ μετανοούντων.

л. 73 об. Εὐχὴ ἐπὶ ἐξομολογουμένων.

л. 74. Συγχωρητικὸν πνευματικοῦ πατρὸς πρὸς τὸν ἐξομολογούμενον.

л. 75. Εὐχὴ ἐπὶ δίσκον καινόν. Goar. p. 672.

л. 75 об. Εὐχὴ εἰς ποτήριον καινόν. p. 672.

— Εὐχὴ εἰς ποτήριον καινούργιον. p. 671.

л. 76. Εὐχὴ εἰς τὸ εὐλογῆσαι σταφυλὴν ἐν τῇ ς'. Αὐγούστου.

л. 77. Σχηματολόγιον σὺν Θεῷ ἁγίῳ, ἔχον ἀκολουθίας ῥασοφόρου, μικροσχήμου καὶ μεγαλοσχήμου. Ἀκολουθία εἰς τὸ ἐνδύσασθαι ῥάσα. См. выше стр. 426—428.

л. 79. Ἀκολουθία εἰς κουρὰν μανδυώτου. См. выше стр. 428—429.

л. 84. Ἀκολουθία τοῦ μεγάλου καὶ ἀγγελικοῦ σχήματος. См. выше стр. 429.

л. 106. Ἑπτὰ δὲ ἡμέρας προσκαρτερεῖ ὁ νεοφώτιστος ἐν τῷ νάρθηκι τῆς ἐκκλησίας, σχολάζων ἀπὸ παντὸς ἔργου πάρεξ ἀναγνώσεως. Μετὰ δὲ τὴν ἑβδόμην ἡμέραν ἀποκουκουλίζεται καὶ φροντίζει τῆς οἰκείας ψυχῆς αὐτοῦ τὴν στενὴν καὶ τεθλιμμένην ὁδὸν ὁδεύων, βοηθοῦντος τοῦ Θεοῦ. Τῇ δὲ ἑβδόμῃ ἡμέρᾳ εἰσέρχεται ὁ τὸ σχῆμα λαβὼν εἰς τὴν εἴσοδον τῆς λειτουργίας, καὶ μετὰ τὴν τελείωσιν τοῦ ἁγίου εὐαγγελίου, ποιοῦντος τὴν συναπτὴν τοῦ διακόνου, προστίθησιν ὑπὲρ αὐτοῦ δέησιν· Ἔτι δεόμεθα ὑπὲρ ἀφέσεως τῶν ἁμαρτιῶν τοῦ ἀδελφοῦ ἡμῶν τοῦδε καὶ τῆς ἐν Χριστῷ τελείας ὑπομονῆς καὶ σωτηρίας αὐτοῦ, εἴπωμεν. Πολυέλεε Θεὲ καὶ Κύριε, δωρησάμενος. Goar. p. 419. Εἰρήνη πᾶσι. Τὰς κεφαλάς... Τὸν τῇ πυρίνῃ κεφαλῇ. Ibid. καὶ ἀποκουκουλίζει αὐτόν.

л. 107. Ἀκολουθία ἑτέρα τοῦ μεγάλου σχήματος, ὡς ἐν συντόμῳ γινομένη ἐν περιστάσει ἀδελφοῦ. См. ркп. XVI в. Синайск. библ. № 985, но есть и нѣкоторыя особенности. Начинается чинъ: Τρισάγιον, τὸ Κύριε ἐλέησον ιβ'. Δεῦτε προσκυνήσωμεν, ὁ Ν'. καὶ εὐθὺς ἀντίφωνον α'. κ. τ. λ., но стихи къ антифонамъ переставлены. Μετὰ δὲ τὴν ἀπόκαρσιν τοῦ ἀδελφοῦ, λέγει ὁ ἱερεὺς τὴν εὐχὴν ταύτην· Κύριε ὁ Θεὸς ἡμῶν, εἰσάγαγε τὸν δοῦλόν σου... Goar. p. 412. Εἶτα γίνεται ὁ ἀσπασμός, ψάλλοντες καὶ τὸ παρὸν στιχηρόν, ἦχος α'. Ἐπιγνῶμεν, ἀδελφοί... Δόξα, Χαῖρε, Θεοτόκε Παρθένε... Κύριε, Κύριε, ἐπίβλεψον γ'. Ἡ λαμπὰς ἡ ἄσβεστος... Καὶ γίνεται συναπτὴ ὑπὲρ αὐτοῦ· Ὑπὲρ τοῦ ἀδελφοῦ ἡμῶν τοῦδε καὶ τῆς... Εἶτα τὰς εὐχὰς τοῦ ἀποκουκουλίσματος. Ζήτει ταῦτα ὅλα ὁμοῦ ὄπισθεν.

л. 112. Κανών, ψαλλόμενος ἐπὶ παννυχίδα νεκρώσιμον, φέρων ἀκροστιχίδα τήνδε· Θνήσκουσι πιστοῖς ὄγδοον πλέκω μέλος. Θανάτῳ θάνατον

τοῦ Χριστοῦ καὶ πάθεσι πάθος μιμησάμενοι... Νεότητος πταίσματα παρορῶν καὶ τὰς ἁμαρτίας ὑπερβαίνων, Χριστὲ Σωτήρ... См. выше стр. 393.

л. 116. Ἀκολουθία τοῦ μικροῦ ἁγιασμοῦ.

л. 123. об. Ἀκολουθία τοῦ ἁγίου ἐλαίου. См. выше стр. 432—434.

л. 149 об. Τάξις γινομένη, εἰ συμβῇ μιαρὸν ἢ ἕτερόν τι ἀκάθαρτον προσφάτως ἐμπεσεῖν ἐν ὑπολῃνίῳ οἴνου, ἢ ἐλαίου, ἢ ἄλλου τινὸς εἴδους.

л. 150 об. Εὐχὴ εἰς φρέαρ μιανθέν.

л. 151 об. Εὐχὴ ἐπὶ τῶν ἐν βρώμασι σκανδαλισθέντων.

л. 152. Εὐχὴ ἐπὶ μιαροφαγησάντων.

л. 152 об. Εὐχὴ ἐπὶ παντὸς εἴδους μιανθέντος.

л. 153 об. Εὐχὴ ἐπὶ σκεύους μιανθέντος.

л. 154. Εὐχὴ ἐπὶ μαγαρίσαντα εἰς ἔθνος.

л. 155. Εὐχὴ εἰς τὸ εὐλογῆσαι οἶνον.

л. 155 об. Εὐχὴ εἰς τὸ εὐλογῆσαι κόλυβα.

л. 156 об. Εὐχὴ εἰς προχείρησιν ἐκκλησιάρχου ἢ οἰκονόμου, ἢ κελαρίτου. См. ркп. XVI в. № 979 Синайск. библ.

л. 157 об. Εὐχὴ εἰς σταφυλὴν καινήν.

л. 158. Εὐχὴ εἰς τὸ εὐλογῆσαι σταφυλὰς καὶ παντοίους καρπούς· Εὐλόγησον, Κύριε, τοὺς καρποὺς τούτους τοὺς νέους, οὓς διὰ τῆς τοῦ ἀέρος εὐκρασίας καὶ τῶν σταγόνων τῆς βροχῆς... См. выше стр. 47.

л. 158 об. Εὐχὴ ἐπὶ τρυγητοῦ σταφυλῆς καὶ ἐλαίας.

Ὁ προσκυνητὸς Θεὸς καὶ Σωτὴρ τῶν ἀπάντων, ὁ τὴν τῆς ἀμπέλου φυτείαν τῷ δικαίῳ σου Νῶε ὑποδείξας... См. выше стр. 72.

л. 159. Εὐχὴ εἰς τὸ ῥασοφορεῖν τὸν μοναχόν.

Τρισάγιον. Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ διὰ τὸ πολὺ ἔλεός σου ῥυσάμενος τὸν δοῦλόν σου τόνδε... Goar. p. 378.

л. 159 об. Εὐχὴ ἐπὶ μονάσαντος, εἶτα πάλιν κοσμίσαντος, ἔπειτα αὖθις ἐπιστρέφοντα καὶ μετανοοῦντα. См. выше стр. 429—431.

л. 163. Ἀκολουθία τῶν ἁγίων Θεοφανίων. См. выше стр. 434.

л. 172. Τῇ κυριακῇ τῆς ἁγίας Πεντηκοστῆς. Goar. p. 597—603.

л. 181. Εὐχὴ εἰς τὸ κατασφραγίσαι παιδίον, λαμβάνον ὄνομα τῇ η'. ἡμέρᾳ.

Κύριε ὁ Θεὸς ἡμῶν, σοῦ δεόμεθα καὶ σὲ ἱκετεύομεν. Goar. p. 264.

л. 181 об. Εὐχὴ εἰς τὸ μ'. παιδίον.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν τεσσαράκοντα ἡμέραις τοῦ νόμου εἰς τὸ ἱερὸν εἰσελθών, βασταζόμενος ὑπὸ Μαρίας τῆς Μητρός σου... Прилож. стр. 19.

— Εὐχὴ εἰς τὸ μ΄. γυναῖκα.

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ παραγενόμενος ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων, ἔπιδε ἐπὶ τὴν δούλην σου ταύτην... См. выше стр. 53.

л. 182. Εὐχὴ εἰς τὸ ποιῆσαι κατηχούμενον См. выше стр. 432. Стихи, при облаченіи въ одежды, находятся въ самомъ текстѣ.

л. 193 об. Εὐχὴ εἰς τὸ ἀπολοῦσαι παιδίον. Goar. p. 303.

л. 194. Εὐχὴ εἰς τὸ ἀποκουρεῦσαι παιδίον.

Σὲ ἱκετεύομεν, Κύριε ὁ Θεὸς τῆς σωτηρίας ἡμῶν, ὁ ἐκ τοῦ πληρώματος τῆς σῆς ἀγαθότητος εὐλογήσας τὸ παρὸν νήπιον p. 306.

— Εὐαγγέλια ἑωθινὰ τὰ ἕνδεκα.

л. 204. Ἀποστολοευαγγέλια τῆς ἑβδομάδος.

л. 213 об. Εὐχὴ εἰς ἀνοιξίαν ἐκκλησίας, ὑπὸ αἱρετικῶν βεβηλωθείσης, Νικηφόρου πατριάρχου.

л. 216. Δώδεκα μὲν εἰσὶ τὰ ἄρθρα τῆς πίστεως· καὶ τὰ μὲν δύο ἐστὶ περιληπτικὰ πάντων τῶν περὶ Θεοῦ δογμάτων, ἕτερον δὲ περὶ τῶν ἔργων αὐτοῦ, καὶ ἓξ περὶ τῆς ἐνσάρκου οἰκονομίας, καὶ τρία περὶ τῆς μελλούσης καταστάσεως, ἅπερ ποσούμενα πληροῖ τὸν δώδεκα τὸν ἀριθμόν.

л. 217. Замѣчанія богословскаго характера.

л. 217 об. Εὐχὴ ἀφέσιμος πατρὸς πνευματικοῦ.

Ὁ Κύριος καὶ Θεὸς ἡμῶν Ἰησοῦς Χριστός, ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, ἐνετείλατο τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις εἰπών· ὃ ἐὰν δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένον ἐν τοῖς οὐρανοῖς...

— Εὐχὴ λεγομένη εἰς λοχοῦσαν.

Δέσποτα ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ Πατὴρ τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ πᾶσαν φύσιν λογικήν τε καὶ ἄλογον διὰ σοῦ δημιουργήσας... Goar. p. 367. Сн. выше стр. 396.

л. 218 об. Νικολάου, τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου, στίχοι περὶ διαίτης εἰς τὸν πρῶτον τοῦ ἁγίου ὄρους κῦρ Ἰωαννίκιον.

л. 222 об. Συνοδικαὶ λύσεις καὶ προτροπαὶ περὶ μεγαλοσχήμων τοῦ λειτουργεῖν.

л. 224 об. Столбъ евангельскихъ чтеній на цѣлый годъ.

**XCII.** № 974 Εὐχολόγιον, рукопись Синайск. библ. въ 4 долю листа, 431 листъ, писана разными почерками XVI в. Первая часть или чинъ священническаго погребенія имѣетъ слѣдующую опредѣленную дату 1510 года: Θεοῦ τὸ δῶρον καὶ Στεφάνου τε τοῦ Καλοκύρι, νοταρίου τε πόνος ἐν τῷ χωρίῳ Καμάρι εἰς ͵αφι΄. μηνὸς Σεπτεμβρίου ιθ΄. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

л. 1. Τάξις γινομένη εἰς τελευτὴν ἱερέως [1]).

Λύουσιν αὐτὸν καὶ τίθουσιν αὐτὸν λινὸν σάβανον [2]), ὃ ἑρμηνεύεται διακονίκην (sic) καὶ ἐνδύουσιν αὐτὸν στιχάριον καὶ ἐπιτραχήλιον, καὶ ὑπομανίκια, καὶ τὸ φελώνιον, καὶ ἔρχονται οἱ ἱερεῖς ἐν τῇ ἐκκλησίᾳ, καὶ φορένει ὁ πρῶτος φελώνιον καὶ ἄρχεται εὐλογητὸν μετὰ θυμιατοῦ, καὶ συναχθέντων τῶν ἑτέρων ἱερέων, λέγει· Τρισάγιον, Παναγία Τριάς, τὸ Πάτερ ἡμῶν, Ὅτι σοῦ ἐστίν, καὶ τὸν ἐξάψαλμον, καὶ τὸ Ὁ κατοικῶν ἐν βοηθείᾳ, καὶ τὸν Ν'. καὶ ἔρχονται, ὅπου ἐστὶν τὸ λείψανον, καὶ λέγει τὸ Ἀλληλούια, ἦχος πλ. δ'. καὶ τὸ ἀπολυτίκιον τοῦτον· Ὁ βυθοῖς σοφίας φιλανθρώπως πάντα οἰκονομῶν... Δόξα, τὸ αὐτό, Καὶ νῦν, θεοτοκίον· Σὲ καὶ τεῖχος καὶ λιμένα ἔχομεν... Καὶ ὁ ἱερεὺς λέγει· Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ... Ἔτι δεόμεθα ὑπὲρ ἀναπαύσεως τῆς ψυχῆς τοῦ κεκοιμημένου... Ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτῷ... Τὰ ἐλέη τοῦ Θεοῦ καὶ τὴν βασιλείαν τῶν οὐρανῶν... Τοῦ Κυρίου δεηθῶμεν. Ὁ Θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκός. Goar. p. 424. Καὶ οἱ ἱερεῖς σηκόνουν τὴν κλίνην, καὶ ψάλλουν τὸ Τρισάγιον μετὰ μέλους, καὶ φέρουσι τὸ λείψανον εἰς τὸ θυσιαστήριον, ἔχουν τὰς πύλας κεκλεισμένας, καὶ γυρίζουν αὐτὸν γ'. ἐν τῇ ἐκκλησίᾳ, ψάλλουν τὸ τροπάριον τοῦτο, ἦχος γ'. Ἡ ἐκκλησία βοᾷ, ζητοῦσα τὸν ἱερέα καὶ τὸ θυσιαστήριον ζητεῖ τὸν ποιμένα. Εἶτα ἀνοίγουν τὰς πύλας, καὶ λέγει ὁ προεστώς· Ἀνοίξατέ μοι πύλας δικαιοσύνης, ἵνα εἰσέλθω ἐν αὐτῇ, ἐξομολογήσομαι τῷ Κυρίῳ. Καὶ τίθουν αὐτὸν ἔμπροσθεν τῶν ἁγίων καὶ διανέμουν τὰ κηρία, καὶ ἅπτουν τὰς λαμπάδας, καὶ ψάλλουν τὸ τροπάριον τοῦτο, ἦχος πλ. β'. Χαῖρε, ναὲ τοῦ Θεοῦ... См. выше стр. 528. Στίχος· Εἰσέλθοι τὸ ἀξίωμά μου. Καὶ πάλιν τὸ αὐτό, καὶ ὁ ἱερεύς· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, καὶ οἱ ψάλται· Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με. Μακάριοι οἱ ἄμωμοι ἐν ὁδῷ (17 каѳизма). Послѣ первой ектеньи, Δόξα καὶ νῦν, Ἀλληλούια γ'. δόξα σοι, ὁ Θεός. Καὶ ἄρχεται ὁ πρῶτος ἱερεὺς προκείμενον τοῦ ἀποστόλου· Μακαρία ἡ ὁδός... Στίχος· Ἐξέλιπον ἀπὸ τῆς συγγενείας... Ὁ ἀπόστολος πρὸς Ἑβραίους· Ἀδελφοί, ἔχοντες ἀρχιερέα μέγα διαλελυθότα τοὺς οὐρανούς... Τέλος· σὺ εἶ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ. Ἀλληλούια. Στίχος· Μνήσθητι τῆς συναγωγῆς σου. Εὐαγγέλιον κατὰ Μάρκον· Εἶπεν ὁ Κύριος· ὅστις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτόν... Τέλος· ἕως ἂν ἴδωσι τὴν βασιλείαν τοῦ

---

[1]) Чинъ этотъ во многомъ сходенъ съ чиномъ, напечатаннымъ выше стр. 527—557. [2]) Въ рукописи 1522 г. № 615 Свят.-гроб. библ прибавляется: καὶ λαζάρωμα τοῦτ' ἔστιν διακονίκην μακρὸν καὶ δένει τοὺς πόδας αὐτοῦ καὶ ἐνδύουσι τὸ στιχάριον κ. τ. λ.

Θεοῦ ἐληλυθεῖαν ἐν δυνάμει. Καὶ εὐθὺς λέγει τὴν αἴτησιν ὁ ἱερεύς, ἤγουν τὰ εἰρηνικά, ἢ ὁ διάκονος· Ἔτι καὶ ἔτι и т. д. καὶ εὐχή. Τοῦ Κυρίου δεηθῶμεν. Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς ἡμῶν, ὅτι σοῦ μόνου τὸ ζῆν, ἀθάνατε. Goar. p. 452. Καὶ εὐθὺς ἄρχεται ὁ β'. χορός· Ἐλέησόν με, Κύριε... Αἱ χεῖρές σου ἐποίησάν με... (вторая статья). Εἰς τοὺς μοναχοὺς λέγει· Τὴν πολυτάραχον. Послѣ 2-й статьи, Δόξα καὶ νῦν, Ἀλληλούια. Ὁ ἱερεὺς τὸ προκείμενον τοῦ ἀποστόλου· Εὐφρανθήσεται ἐπὶ Κύριον. Στίχος· Μακάριοι, ὧν ἀφέθησαν. Πρὸς Κορινθίους· Ἀδελφοί, ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς χοϊκός... Τέλος· τῷ διδόντι ἡμῖν τὸ νῖκος διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἀλληλουάριον, ἦχος πλ. β'. Μακάριοι, οὓς ἐξελέξω. Εὐαγγέλιον· Ἐκ τοῦ κατὰ Ἰωάννην· Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους· τοῦτο ἐστὶ τὸ θέλημα τοῦ πέμψαντός με... Τέλος· καὶ ἐγὼ ἀναστήσω αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. Καὶ ὁ ἱερεὺς λέγει τὰ εἰρηνικά· Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ... καὶ ἡ εὐχή. Τοῦ Κυρίου δεηθῶμεν. Οὐκ ἔστι προσωποληψία παρὰ σοῦ, Κύριε, μίαν εἴσοδον ποιήσας, ὥσπερ καὶ ἔξοδον, ὅθεν τὸ κοινὸν (χρέος) φθάσαντα τὸν δοῦλον τοῦ Θεοῦ ὁ δεῖνα, ἱερέα καὶ ἀδελφὸν ἡμῶν, ἀνάπαυσον, ὡς καὶ τὴν ἐκκλησίαν σου λειτουργὸν ἀνέδειξας, οὕτως καὶ ἐν τῷ θυσιαστηρίῳ σου τῷ ἐπουρανίῳ κατάταξον, Κύριε ὁ Θεός, αὐτὸν ἐπὶ ἀγγέλων τὴν σὴν ἀγαθότητα καὶ δόξαν, τὴν ζωὴν αὐτοῦ ἐδόξασας καὶ ηὐλόγησας τὴν ἔξοδον αὐτοῦ, δικαίωσον τὸ πνεῦμα αὐτοῦ μετὰ πάντων τῶν εὐαρεστησάντων, καὶ ἡμᾶς μετόχους ἀνάδειξον. Χάριτι καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ... Сн. выше стр. 535. Εἶτα ἄρχεται ἡ γ'. στάσις, ἦχος γ'. Ἐπίβλεψον ἐπ' ἐμέ... Καὶ εὐθὺς (т. е. послѣ 3 статьи) ψάλλουν μετὰ μέλους· Ζήσεται ἡ ψυχή μου καὶ αἰνέσει, Σωτήρ... Λέγει τὰ εὐλογητάρια μετὰ στίχων· Εὐλογητὸς εἶ, Κύριε. Τῶν ἁγίων ὁ χορός... κ. τ. λ. Ἀλληλούια, δόξα σοι ὁ Θεὸς γ'. καὶ εὐθὺς λέγομεν τὸ προκείμενον τοῦ ἀποστόλου, ἦχος πλ. α'. Μακάριοι οἱ κατοικοῦντες... Στίχος· Ὡς ἀγαπητὰ τὰ σκηνώματα... Πρὸς Κορινθίους· Ἀδελφοί, οὐ πᾶσα σάρξ ἡ αὐτὴ σάρξ... Τέλος· ὁ ἔσχατος Ἀδὰμ εἰς πνεῦμα ζωοποιοῦν. Ἀλληλουάριον, ἦχος πλ. β'. Ἀναστήσονται οἱ... Εὐαγγέλιον κατὰ Λουκᾶν· Τῇ μιᾷ τῶν σαββάτων, ὄρθρου βαθέως, ἦλθον ἐπὶ τὸ μνημεῖον... Τέλος· καὶ ἀπῆλθεν πρὸς ἑαυτὸν θαυμάζων τὸ γεγονός. Καὶ εὐθὺς πάλιν τὰ εἰρηνικὰ ὁ ἱερεύς, ἢ ὁ διάκονος· Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ... καὶ τὴν εὐχήν. Τοῦ Κυρίου δεηθῶμεν. Ὁ μέγας ἀρχιερεύς, ὁ δίκαιος κριτὴς τὸν μεθ' ἡμῶν δουλεύσαντα καὶ ἐκ τοῦ κόσμου ἐκδημήσαντα ἱερέα, φιλάνθρωπε... См. выше стр. 533, но въ изложеніи есть незначительныя особенности. Сн. выше стр. 57, 480. Конецъ: ἵνα εὐαρεστοῦμέν σοι θεράπευσιν τῆς ἡτοιμασμένης τῶν

οὐρανίων διαγωγῆς. Ὅτι σὺ εἶ ἡ ἀνάστασις, ἡ ζωή. Εἶτα λέγομεν τὰ νεκρώσιμα τροπάρια, ἦχος α'. Ποία τοῦ βίου τρυφὴ διαμένει λύπης ἀμέτοχος... Ἔργῳ, Σωτήρ μου, δεικνύς, ὅτι Σὺ εἶ πάντων ἀνάστασις... Νέος Ἀδὰμ γεγονὼς τοῦ Θεοῦ, Υἱὲ ἐπουράνιε... Ἔθου, Σωτήρ, ἐκλεκτοὺς λειτουργούς... Ἁμαρτωλῶν τὰς δεήσεις προσδεχομένη καὶ θλιβομένων στεναγμόν... Ἕτερα στιχηρὰ νεκρώσιμα, ἦχος β'. Οἴμοι οἷον ἀγῶνα ἔχει ἡ ψυχή, χωριζομένη ἐκ τοῦ σώματος... Ὡς ἄνθος μαραίνεται καὶ ὡς ὄναρ παρέρχεται... Δεῦτε ἴδωμεν πάντες θαῦμα ὑπὲρ νοῦν... Τὴν πᾶσαν ἐλπίδα μου εἰς σὲ ἀνατίθημι... Ἕτερα στιχηρά, ἦχος γ'. Πάντα ματαιότης τὰ ἀνθρώπινα, ὅσα οὐχ ὑπάρχει μετὰ θάνατον... Ἄνθρωποι, τί μάτην ταραττόμεθα... θεοτοκίον· Ἐν γυναιξίν, ἁγία Θεοτόκε, Μῆτερ ἀνύμφευτε... Ἕτερα στιχηρά, ἦχος δ'. Ποῦ ἐστιν ἡ τοῦ κόσμου προσπάθεια... Μετὰ πνευμάτων δικαίων τετελειωμένων... θεοτοκίον· Ἡ μόνη ἁγνὴ καὶ ἄχραντος Παρθένος... Ἕτερα στιχηρὰ νεκρώσιμα, ἦχος πλ. α'. Οὐκ ἔστι τῶν ἐν τῷ βίῳ τερπνῶν οὐδέν, ὃ οὐ παρελεύσεται... Ἐμνήσθην τοῦ προφήτου βοῶντος· ἐγώ εἰμι γῆ καὶ σποδός... θεοτοκίον· Σὲ δυσωποῦμεν, ὡς Θεοῦ Μητέρα εὐλογημένη... Ἕτερα στιχηρά, ἦχος πλ. β'. Ἀρχή μοι καὶ ὑπόστασις τὸ πλαστουργόν σου γέγονε πρόσταγμα βοηθέν... Ὁρατῆς με ζῶον σὺ πῆξαι φύσεως, γῆθεν μου δὲ τὸ σῶμα διέπλασας... Ἐτίμησας εἰκόνι σου τὸ σῶν χειρῶν, Σῶτερ, πλαστούργημα... θεοτοκίον, Δόξα καὶ νῦν, τὸ αὐτό, Θεὸν ἐκ σοῦ σαρκωθέντα ἔγνωμεν, Θεοτόκε... Ἕτερα στιχηρά, ἦχος βαρύς· Κατ' εἰκόνα σὴν καὶ ὁμοίωσιν πλαστουργήσας κατ' ἀρχὰς τὸν ἄνθρωπον... Ἀνάπαυσον, Σωτὴρ ἡμῶν, ζωοδότα... θεοτοκίον· Εἰρήνευσον πρεσβείαις σου τῆς Θεοτόκου... Ἕτερα στιχηρά, ἦχος πλ. δ'. Ὁ θάνατός σου, Κύριε, ἀθανασίας γέγονε πρόξενος... Θρηνῶ καὶ ὀδύρομαι, ὅταν ἐννοήσω τὸν θάνατον... θεοτοκίον· Ἁγνὴ Παρθένε τοῦ Λόγου Conf. Goar. p. 461—463. Τὸ προκείμενον τοῦ ἀποστόλου, ἦχος πλ. β'. Ἡ ψυχὴ αὐτοῦ ἐν ἀγαθοῖς... Στίχος· Πρὸς σέ, Κύριε, ἐκέκραξα... Πρὸς Κορινθίους· Ἀδελφοί, εἰ Χριστὸς κηρύσσεται, ὅτι ἐκ νεκρῶν ἐγήγερται, πῶς λέγουσι τινὲς ἐν ὑμῖν... Τέλος· καὶ διὰ ἀνθρώπου ἀνάστασις νεκρῶν. Ἀλληλουάριον, Ἀναστήτω ὁ Θεὸς καὶ διασκορπισθήτωσαν... Εὐαγγέλιον· Ἐκ τοῦ κατὰ Λουκᾶν (Ἰωάννην;)· Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους· Ὁ Πατήρ μου ἕως ἄρτι ἐργάζεται. Goar. p. 452. Καὶ λέγει ὁ ἱερεὺς ἢ ὁ διάκονος· Ἔτι καὶ ἔτι κ.τ.λ. καὶ ἡ εὐχή. Τοῦ Κυρίου δεηθῶμεν. Κύριε Ἰησοῦ Χριστέ, Υἱὲ τοῦ Θεοῦ, ὁ ἐκ Παρθένου τεχθεὶς καὶ σάρκα φορέσας, καὶ ἄνθρωπος γενόμενος ὁ διπλοῦς τῇ φύσει, ἀλλ' οὐ τῇ ὑποστάσει, ὁ τέλειος Θεὸς καὶ τέλειος ἄνθρωπος... См. выше стр. 537. Εἶτα ἀρχόμεθα τῶν καταβασιῶν κατ' ἦχον, στιχηρὰ προσ-

ὅμοια, οὗ ἡ ἀκροστιχίς ἐστιν αὕτη· Τούς, Χριστέ, δούλους γράψον ἐν ζῶντι μέλλοντι, ἦχος α΄. Πανεύφημοι μάρτυρες. Σοῦ, Σῶτερ, δεόμεθα τῆς σῆς γλυκείας μεθέξεως... Ὑπὲρ τὰ ὁρώμενα τὰ σά, Σῶτερ, ἀπαγγέλματα... θεοτοκίον· Χριστὸν ἐκδυσώπησον τὸν σὸν τόκον, Μητροπάρθενε... Ῥώμην τοῦ θανάτου καὶ φθορὰν σου... Ἵνα τοὺς ἀνθρώπους κοινωνούς... Σῶσαι τὸ σὸν πλάσμα βουληθεὶς τῆς οἰκονομίας σου... Εὔας τῆς προμήτορος, ἁγνή, σὺ τὴν ὀφειλὴν συλλαβοῦσα Θεὸν ἀπήντησας... Goar. p. 440. Εἶτα προκείμενον τοῦ ἀποστόλου· Εὐφρανθήτω ἐπὶ Κύριον... Στίχος· Μακάριοι, ὧν ἀφέθησαν. Πρὸς Θεσσαλονικεῖς· Ἀδελφοί, οὐ θέλων ὑμᾶς ἀγνοεῖν περὶ τῶν κεκοιμημένων... Τέλος· καὶ οὕτως πάντοτε σὺν Κυρίῳ ἐσόμεθα. Ἀλληλουάριον, Μακάριοι, οὓς ἐξελέξω. Εὐαγγέλιον κατὰ Ἰωάννην· Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους· Ἀμήν, ἀμήν, λέγω ὑμῖν... Τέλος· ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με Πατρός. Καὶ εὐθὺς ἄρχεται ὁ ἱερεὺς πάλιν· Ἔτι καὶ ἔτι... κ. τ. λ. καὶ εὐχήν. Τοῦ Κυρίου δεηθῶμεν. Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τῇ σῇ σοφίᾳ κατακοσμήσας καὶ κατασκευάσας τὸν ἄνθρωπον καὶ εἰκόνι τῇ σῇ, ὁ Θεός, τιμήσας αὐτὸν καὶ θέμενος ἐν αὐτῷ πνεῦμα ζωῆς αἰωνίου, καταντήσαντες ἑαυτόν, ὑπάγειν, τὸ μὲν ἐκ γῆς εἰς γῆν ἀναλύσας, τὴν δὲ ψυχὴν αὐτοῦ προσκαλεσάμενος. Αὐτὸς καὶ νῦν, Δέσποτα, πρόσδεξαι τὴν ψυχὴν τοῦ δούλου σου ὁ δεῖνα πρεσβυτέρου καὶ ἀδελφοῦ ἡμῶν ἐν τόπῳ ἀναψύξεως καὶ εἴ τι ἥμαρτεν ἐν λόγῳ ἢ κατὰ διάνοιαν, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος Θεός, συγχώρησον τὰ παραπτώματα αὐτοῦ. Σὺ γὰρ ὑπάρχεις ἐλεήμων καὶ φιλάνθρωπος καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς... Сн. ркп. 1522 г. № 615 Свят.-гроб. библ. Ἕτερα στιχηρὰ προσόμοια, ἦχος γ΄. Δοξάζω τὸν σταυρόν σου τὸν τίμιον, δι᾽ οὗ ζωῆς δεδώρηται... Ὁ μόνος ἐλεήμων καὶ εὔσπλαγχνος, ὁ ἔχων ἀκατάληπτον ἀγαθότητος πέλαγος... Ὑπνώσας ἐν τάφῳ, ὡς ἄνθρωπος δυνάμει... Λαμπάδα νοητήν σε βαστάζουσαν τὸ φέγγος τῆς θεότητος... Ἕτερα στιχηρὰ προσόμοια, ἦχος δ΄. Ἔδωκας σημείωσιν. Ὄντως φοβερώτατον τὸ τοῦ θανάτου μυστήριον... Ὕπνος ἀναδέδεικται τῶν πιστευόντων ὁ θάνατος... Σὺ δικαιοσύνη τε καὶ ἁγιασμὸς ἡμῖν γέγονας.... Ῥήσεσιν ἑπόμενοι τῶν θεηγόρων πανάμωμε... Goar. p. 441—442. Τὸ προκείμενον τοῦ ἀποστόλου· Εὐφρανθήσεται... Στίχος· Μακάριοι, ὧν ἀφέθησαν... Πρὸς Ἑβραίους ἐπιστολῆς· Ἀδελφοί, ὁ φρονῶν τὴν ἡμέραν Κυρίῳ φρονεῖ... Τέλος· ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ Ἀλληλουάριον, Ὁ Θεὸς ἡμῶν καταφυγή... Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ματθαῖον· Τῷ καιρῷ ἐκείνῳ, ἐλθὼν ὁ Ἰησοῦς εἰς τὰ μέρη Καισαρίας τῆς Φιλίππου... Τέλος·

καὶ ὃ ἐὰν λύσῃς ἐπὶ τῆς γῆς, ἔσται λελυμένον ἐν τοῖς οὐρανοῖς. Καὶ λέγει ὁ ἱερεὺς τὰ εἰρηνικά· Ἔτι καὶ ἔτι... κ.τ.λ. Τοῦ Κυρίου δεηθῶμεν. Μνήσθητι, Κύριε, πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, καὶ τοῦ ἀδελφοῦ ἡμῶν ὁ δεῖνα ἱερέως καὶ συλλειτουργοῦ ἡμῶν, καὶ συγχώρησον αὐτοῦ τὰς ἁμαρτίας, εἴ τι ἥμαρτεν ἑκουσίως ἢ ἀκουσίως, καὶ ἡμᾶς καταξίωσον, Κύριε, ἡμέραν καθ' ἡμέραν εὐχαριστεῖν τῇ σῇ ἀγαθότητι καὶ μεγαλωσύνῃ διὰ μετανοίας πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν. Ὅτι σὺ εἶ ἡ ἀνάστασις, ἡ ζωὴ καὶ ἡ ἀνάπαυσις τοῦ κεκοιμημένου δούλου σου ὁ δεῖνα, ἱερέως καὶ ἀδελφοῦ καὶ συλλειτουργοῦ, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν... См. выше стр. 534. Ἕτερα στιχηρὰ προσόμοια, ἦχος πλ. α'. Χαίροις ἀσκητικῶν. Αἴγλῃ τοῦ σοῦ προσώπου, Χριστέ... Ψάλλειν παναρμονίῳ φωνῇ δοξολογοῦντα τὸ σὸν κράτος εὐδόκησον.. Ὅπου τῶν προφητῶν ὁ χορός, τῶν ἀποστόλων καὶ μαρτύρων τὰ τάγματα... Νόμῳ τῆς ἁμαρτίας ἡμᾶς δεδουλωμένους ἠλευθέρωσας, Δέσποινα... Ἕτερα στιχηρὰ προσόμοια, ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι. Ἔχων ἀκατάληπτον τὴν εἰς ἡμᾶς εὐσπλαγχνίαν... Νέκρωσιν ὑπέμεινας ζωοποιὸν ἑκουσίως... Ζώντων κυριεύοντα θεαρχικῇ ἐξουσίᾳ... Ὤφθης ἐνδιαίτημα θεοπρεπές, Παναγία... p. 442—443. Τὸ προκείμενον τοῦ ἀποστόλου· Ἐπίστρεψον, ψυχή μου... Στίχος· ἐγὼ εἶπα· ἐν τῷ ὕψει... Πρὸς Ἑβραίους· Ἀδελφοί, τοιοῦτος ἡμῖν ἔπρεπεν ἀρχιερεύς... Τέλος· ἣν ἔπηξεν ὁ Κύριος καὶ οὐκ ἄνθρωπος. Ἀλληλούια, Μακάριοι, οὓς ἐξελέξω. Εὐαγγέλιον κατὰ Λουκᾶν· Τῷ καιρῷ ἐκείνῳ, ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ... Τέλος· ἰδοὺ γὰρ ὁ μισθὸς ὑμῶν πολὺς ἐν τῷ οὐρανῷ. Καὶ ὁ ἱερεὺς πάλιν ἢ ὁ διάκονος ταῦτα τὰ εἰρηνικὰ χύμα· Ἔτι καὶ ἔτι κ. τ. λ. Τοῦ Κυρίου δεηθῶμεν. Ὁ ἀτελεύτητος Θεός, ὁ ἐν ἔργοις ἀγαθοῖς δημιουργήσας τὸν ἄνθρωπον. См. выше стр. 552. Ἕτερα στιχηρά, ἦχος βαρύς· Καταφρονήσαντες. Νενεκρωμένος ὡράθης ἐπὶ σταυροῦ, ἀθάνατε... Τῷ ἀκηράτῳ σου κάλλει καὶ γλυκασμῷ τῆς σῆς ὡραιότητος... Ὡς ἀδαπάνητον ἔχων τῶν δωρεῶν τὴν μεγαλοπρέπειαν... Νόμου τὸ πλήρωμα τίκτεις... Ἕτερα στιχηρά, ἦχος πλ. δ'. Ὢ τοῦ παραδόξου. Βασιλικῶς μοι ὑπέγραψας... Ἱεραρχήσας, ὡς ἄνθρωπος... Βάθει σοφίας ἀρρήτου σου... Ὡς συλλαβοῦσα τὸν ἄναρχον Λόγον Θεοῦ... p. 443—444. Προκείμενον τοῦ ἀποστόλου· Ἰδοὺ δὴ εὐλογεῖτε. Στίχος· Οἱ ἑστῶτες ἐν οἴκῳ Κυρίου. Πρὸς Ἐφεσίους· Ἀδελφοί, ὁ σπείρων φειδομένως, φειδομένως καὶ θερίσει... Τέλος· εἴ τις κατεργάζεται δι' ἡμῶν εὐχαριστίαν τῷ Θεῷ. Ἀλληλουάριον, Αἱ ἡμέραι μου, ὡσεὶ σκιά. Εὐαγγέλιον ἐκ τοῦ κατὰ Μάρκον· Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· βλέπετε ὑμεῖς ἑαυτούς· παραδώσουσι γὰρ ὑμᾶς εἰς συνέδρια... Τέλος· Ὁ δὲ ὑπομείνας εἰς τέλος οὗτος σωθή-

σεται. Καὶ ὁ ἱερεὺς τὰ εἰρηνικά· Ἔτι καὶ ἔτι... καὶ εὐχή. Τοῦ Κυρίου δεηθῶμεν. Κύριε, Κύριε, τῶν θλιβομένων παραμυθία καὶ τῶν πενθούντων παράκλησις. Goar. p. 453. Καὶ μετὰ ταῦτα λέγεται τὸ κοντάκιον γ'. Μετὰ τῶν ἁγίων ἀνάπαυσον, Χριστέ... Καὶ εὐθύς, εἰ βούλῃ, ψάλλουν ἰδιόμελα νεκρώσιμα, καὶ οἱ ἀναγνῶσται λέγουν οἴκους μετὰ μέλους Ἀναστασίου τοῦ ταπεινοῦ· Αὐτὸς μόνος ὑπάρχεις ἀθάνατος... κ. τ. α. Goar. p. 457—459, но съ прибавкою нѣкоторыхъ тропарей: Ὅταν ἴδωμεν ἄρχοντα θνήσκοντα, τότε μέγα μυστήριον βλέψομεν... Στρατιὰς γὰρ εἰδών, ὅλως ἔφριξε, καὶ ὡς ἦλθεν ἡ ὥρα, ἐβόησεν... и въ самомъ концѣ: Ἡ τοὺς μεταστάντας ἐξ ἡμῶν ἐκ τῶν προσκαίρων κατασκηνώσας, ἀγαθέ... Къ каждому тропарю припѣвъ: Ἀλληλούια. Καὶ εὐθὺς τὸ προκείμενον τοῦ ἀποστόλου, ἦχος πλ. β'. Ὁ πατήρ μου καὶ ἡ μήτηρ μου... Στίχος· Κύριος φωτισμός μου... Πρὸς Κορινθίους· Ἀδελφοί, Χριστὸς ἐκ νεκρῶν ἐγήγερται... Τέλος· ἵνα ᾖ ὁ Θεὸς τὰ πάντα ἐν πᾶσιν. Ἀλληλούια, ἦχος δ'. Μακάριος, ὁ συνιῶν ἐπὶ πτωχὸν καὶ πένητα... Εὐαγγέλιον κατὰ Ἰωάννην· Εἶπεν ὁ Κύριος πρὸς τοὺς πεπιστευκότας πρὸς αὐτὸν Ἰουδαίους· ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς... Τέλος· μὴ ἀπολέσω ἐξ αὐτοῦ, ἀλλὰ ἀναστήσω αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. Καὶ εὐθὺς ὁ ἱερεὺς μνημονεύει· Ἔτι καὶ ἔτι.. Τοῦ Κυρίου δεηθῶμεν. Δέσποτα Κύριε ὁ Θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκός... См. выше стр. 531. Конецъ: ἡμᾶς δὲ τοὺς συνελθόντας εἰς τὴν τοῦ δούλου σου κηδείαν καὶ τιμὴν περικράτυνον καὶ ἵλεως γενοῦ ἡμῖν ἐν ταῖς ἀνομίαις ἡμῶν. Ὅτι σὺ εἶ ἡ ἄφεσις τῶν πταισμάτων ἡμῶν καὶ ἀνάπαυσις τοῦ κεκοιμημένου δούλου σου ὁ δεῖνα ἱερέως... Καὶ εὐθὺς λέγομεν τοὺς μακαρισμούς· Πάλαι μὲν ὁ Ἀδάμ... Χοῦν λαβὼν ἀπὸ τῆς γῆς... Δεῦρο, ψυχή μου, πρὸ τοῦ τέλους βόησον... Ὅταν ψυχὴ καὶ σῶμα χωρίζεται... Ὁ μεταστὰς καὶ ἐν τάφῳ κείμενος... Τί με θρηνεῖτε δεινῶς, ὦ ἄνθρωποι... Τῇ ἀναστάσει πάντες ἀναστήσονται καὶ μὴ ἀποστήσωμεν... Ὁ πάνσοφος Παῦλος προηγόρευσε σαφῶς τὴν ἀνάστασιν πᾶσιν ἐκδιδάσκων... Δόξα, Σὺν Πατρὶ τὸν Υἱὸν δοξάσωμεν καὶ τὸ Πνεῦμα τὸ ἅγιον... Καὶ νῦν, θεοτοκίον τοῦτο· Ὑπερφυῶς ἐν γαστρί σου, Δέσποινα, ἀσπόρως συνέλαβες ἐκ Πνεύματος ἁγίου... Conf. Goar. p. 454—455. Τὸ προκείμενον τοῦ ἀποστόλου, ἦχος πλ β'. Κύριε, ἐξέγειρον τὴν δυναστείαν σου. Στίχος· Ἐπὶ σοί, Κύριε, ἤλπισα... Πρὸς Ῥωμαίους· Ἀδελφοί, ὅσοι ἐβαπτίσθημεν εἰς Χριστὸν Ἰησοῦν... Τέλος· καθὼς ἠθέλησε καὶ ἑκάστῳ τῶν σπερμάτων τὸ ἴδιον σῶμα. Ἀλληλουάριον, ἦχος δ'. Ἀνάστα, Κύριε, βοήθησον ἡμῖν. Εὐαγγέλιον κατὰ Ἰωάννην· Τῷ καιρῷ ἐκείνῳ, ἦν τις ἀσθενῶν Λάζαρος ἀπὸ Βηθανίας... Τέλος· οἱ ἐλθόντες πρὸς τὴν Μαρίαν καὶ θεασάμενοι, ἃ ἐποίησεν ὁ Ἰησοῦς, ἐπίστευσαν εἰς αὐτόν. Καὶ ὁ ἱερεὺς

τὴν αἴτησιν· Ἔτι καὶ ἔτι κ. τ. λ. καὶ ἡ εὐχή. Τοῦ Κυρίου δεηθῶμεν. Ἐγὼ εἶπα· ἐν τῷ ὕψει τῶν ἡμερῶν μου πορεύσομαι, ἐν πύλῃ ᾅδου καταλήψομαι τὰ ἐπίλοιπα τῆς ζωῆς μου. См. выше стр. 556. Текстъ молитвы и въ данной рукописи также мало вразумителенъ. Конецъ молитвы читается такъ: ἀλλ' ἡμεῖς οἱ ζῶντες εὐλογοῦμέν σε, Κύριε, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ... Καὶ εὐθὺς γίνεται ὁ ἀσπασμὸς δύο, δύο, ψάλλοντες στιχηρὰ προσόμοια, ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου. Δεῦτε τελευταῖον ἀσπασμὸν δῶμεν, ἀδελφοί... Ποῖος χωρισμός, ὦ ἀδελφοί... Πάντα τὰ τοῦ σώματος νυνὶ ὄργανα ἀργὰ θεωροῦνται... Πᾶσα τῶν ματαίων ἡ ἐλπὶς καὶ τῶν ἐπιγείων ἡ δόξα καὶ πλάνη σβέννυται... Σήμερον ἡ τοῦ βίου πονηρὰ λύεται πανήγυρις... Μέγας ὁ κλαυθμὸς καὶ ὀδυρμός, μέγας κοπετὸς καὶ ὀδύνη... Βλέποντες τὸν προκείμενον νεκρόν... Ὅταν ἐκ τοῦ σώματος ψυχὴ μέλλει μετὰ βίας ἁρπᾶσαι... Ὅτε ἐπὶ βήματος τοῦ σοῦ μέλλομεν παρίστασθαι... Ὄντως ματαιότης καὶ φθορὰ πάντα τὰ τοῦ κόμου ἡδέα καὶ τὰ παράδοξα πάντες... θεοτοκίον· Σῶζε τοὺς ἐλπίζοντας εἰς σέ, Μήτηρ τοῦ ἀδύτου ἡλίου... Δόξα, ἦχος πλ. β'. ψάλλοντες δίχορον, εἰ βούλει· Ὁρῶντές με ἄφωνον καὶ ἄπνουν... Καὶ νῦν, θεοτοκίον· Μεταβολὴ τῶν θλιβομένων, ἀπαλλαγὴ τῶν ἀσθενούντων... τὸ Τρισάγιον, Παναγία Τριάς, τὸ Πάτερ ἡμῶν, Ὅτι σοῦ ἐστίν, τροπάριον, ἦχος β'. Μνήσθητι, Κύριε... καὶ Μῆτερ ἁγία.. Εἶτα μνημονεύει καὶ μετὰ τὸ τέλος τῆς εὐχῆς, οὐ γίνεται ἀπόλυσις, ἀλλ' εὐθὺς αἴρεται τὸ λείψανον ἐν τῷ τάφῳ, καὶ ψάλλομεν τὸν Ν'. ψαλμόν, καὶ φθάσαντες εἰς τὴν ταφὴν μετὰ τοῦ θυμιατοῦ, λέγει· Αὕτη ἡ κατάπαυσίς σου εἰς αἰῶνα αἰῶνος... Καὶ ἀρχίζει θάπτειν αὐτόν, ψάλλομεν τροπάρια, ἦχος πλ. β'. Γῆ χανοῦσα ὑπόδεξαι... Καὶ λέγει καὶ στίχον· Ἐξέλιπον ἀπὸ τῆς συγγενείας μου... Καὶ εὐθὺς κηδεύουν τὸ λείψανον, καὶ ψάλλουν καὶ θάπτουν αὐτοὶ μόνοι, ἤγουν οἱ ἱερεῖς, λέγει· Θέτε μοι λίθον καὶ πορεύεσθε εἰς εἰρήνην, ἔρχεται ὁ Χριστὸς καὶ ἀνοίγει μοι θύραν παραδείσου· ἄγγελοι γὰρ φωτὸς παρίστανται τῷ βασιλεῖ τῶν αἰώνων. Καὶ βάνουν τὰς πλάκας καὶ σκεπάζουν αὐτόν, καὶ ὁ προεστὼς ἱερεὺς τὸν πηλὸν σταυροειδῶς ἐπάνω τὰς πλάκας τοῦ τάφου, καὶ οἱ ψάλται ψάλλουν τροπάριον· Τὸν πηλὸν ὁ κεραμεὺς ζωοπλαστήσας, ἀνέθηκάς μοι σάρκα καὶ ὀστᾶ... Λέγεται ἐκ γ'. ἔπειτα τοὺς εἱρμοὺς τοῦ μεγάλου κανόνος· Βοηθὸς καὶ σκεπαστής... κ. τ. α. Δόξα, Ὑπερούσιε Τριάς, ἡ ἐν μονάδι προσκυνουμένη... Καὶ νῦν, Θεοτόκε, ἡ ἐλπὶς καὶ προστασία τῶν σὲ ὑμνούντων.. Εἶθ' οὕτως μετὰ τὸ ἐνταφιάσαι αὐτόν, Τρισάγιον, τὸ Παναγία Τριάς, τὸ Πάτερ ἡμῶν, Ὅτι σοῦ ἐστίν, καὶ τὰ τροπάρια ταῦτα· Μετὰ πνευμάτων δικαίων κ.τ.α. Καὶ μετὰ ταῦτα ψάλλουν τροπάρια ἰδιό-

μελα, Δόξα, ἦχος πλ. β'. Σώζεσθε, σύνθρονοι τοῦ ἱεροῦ καὶ ἁγίων κλῆρος· ἐμὲ γὰρ σήμερον χωρίζει ὁ Κύριος... Καὶ νῦν, θεοτοκίον ὅμοιον· Πρεσβείαις τῆς τεκούσης σε, Χριστέ... Καὶ ὁ ἱερεὺς λέγει μετὰ κλαυθμοῦ· Ἐλέησον ἡμᾶς κ. τ. λ. καὶ τὴν εὐχήν, εἰ βούλει· Ὁ Θεὸς τῶν πνευμάτων καὶ ἀπόλυσις· Ὑπεράγιε Θεοτόκε, ἐλέησον, καὶ ὁ λαός· Τὴν τιμιωτέραν, καὶ Δόξα σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπίς... Δόξα καὶ νῦν, Κύριε εὐλόγησον, καὶ ἡ ἀπόλυσις· Ὁ ἀναστὰς ἐκ νεκρῶν Χριστός... καὶ λέγουν οἱ ἀδελφοί· Αἰωνία σου ἡ μνήμη, ἀξιομακάριστε ὁ δεῖνα γ'. Καὶ ἡμᾶς ἐλεῆσαι καὶ σῶσαι... καὶ ἐλεήμων ὁ Θεός, καὶ ὁ λαός· Ὁ Θεὸς μακαρίσοι καὶ ἀναπαύσοι (σε), ἔνθα οἱ δίκαιοι ἀναπαύονται.

л. 101. **Чинъ богоявленскаго водоосвященія.**

Μετὰ δὲ τὴν ὀπισθάμβωνον εὐχήν, ἐξερχόμεθα πάντες ἐν τῷ λουτῆρι, προπορευομένου τοῦ ἱερέως [1]), ὡς σύνηθες, καὶ ψάλλομεν τροπάρια εἰς ἦχον πλάγιον δ'. Φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων... Τοῦτο δὲ τρισσεύσαντες, ψάλλομεν ἕτερα τροπάρια γ'. ἀπὸ τῶν ιβ'. ἦχος πλ. δ'. Σήμερον τῶν ὑδάτων ἁγιάζεται ἡ φύσις... Ὡς ἄνθρωπος ἐν ποταμῷ ἦλθες, Χριστὲ βασιλεῦ... Δόξα καὶ νῦν, Πρὸς τὴν φωνὴν τοῦ βοῶντος ἐν τῇ ἐρήμῳ.. Καὶ εὐθὺς λέγονται τὰ ἀναγνώσματα [2]). Δόξα καὶ νῦν, Δεῦτε, ἅπαντες πιστοί, τὴν Ἰουδαίαν ἀφέντες, διέλθωμεν τὴν ἔρημον τοῦ Ἰορδάνου καὶ θεασώμεθα σήμερον ἐκεῖ τὸν δι' ἡμᾶς ἐπιφανέντα σαρκί, τὸ βάπτισμα αἰτοῦντα ἐν τοῖς ῥείθροις Ἰορδάνου, τὸν Βαπτιστὴν παραιτούμενον, καὶ βοῶντα τῷ φόβῳ· οὐ τολμῶ χειροθετῆσαι τῷ πηλίνῃ παλάμῃ τὸ πῦρ, ὁ Ἰορδάνης καὶ ἡ θάλασσα ἔφυγον, Σωτήρ, καὶ ἀπεστράφησαν, κἀγὼ πῶς ἐπιθήσω ἐπὶ τὴν κορυφήν σου χεῖρα, ἣν τρέμει τὰ σεραφίμ, ἀνεχώρησεν ὁ Ἰορδάνης, ὡς ἐδέξατο τὴν Ἠλιοῦ δι' Ἐλισσαίου μηλωτήν, πῶς μὴ δύῃ εἰς χάος καὶ βάθος, βλέπων γυμνόν σε ἐν τοῖς ῥείθροις, πῶς δὲ μὴ φλέξῃ με ὅλος ἐκ σοῦ πυρούμενος· τί βραδύνεις, Βαπτιστά, τοῦ βαπτίσαι τὸν Κύριόν μου; ὁ Ἰορδάνης βοᾷ πρὸς Ἰωάννην· τί τῶν πολλῶν κωλύεις τὴν κάθαρσιν; Πᾶσαν τὴν κτίσιν ἡγίασεν, ἄφες ἁγιάσαι κἀμέ, καὶ τῶν ὑδάτων τὴν φύσιν, ὅτι εἰς τοῦτο ἐπεφάνη. Προφητείας

---

[1]) **Ркп. Александр. XIV в. библ. № 149—104** ἀρχιερέως μετὰ τοῦ θυμιατοῦ καὶ λαμπάδων, ψάλλομεν τροπάριον, ἦχος πλ. δ'. Φωνὴ Κυρίου... Σήμερον ἡ κτίσις φωτίζεται... εἶτα ὁ διάκονος· Πρόσχωμεν. Ὁ ἱερεύς· Εἰρήνη πᾶσιν. Ὁ διάκονος· Σοφία. Ὁ ψάλτης τὸ προκείμενον, ἦχος γ'. Κύριος φωτισμός μου.. Στίχος· Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου. Προφητεία Ἠσαΐου. [2]) **Слова:** καὶ εὐθὺς λέγονται τὰ ἀναγνώσματα **стоятъ въ данной рукописи, кажется, не на своемъ мѣстѣ.**

Ἠσαΐου τὸ ἀνάγνωσμα· Τάδε λέγει Κύριος Σαβαώθ, ἀντλήσατε ὕδωρ μετ' εὐφροσύνης... Τέλος· Ὁ ἅγιος τοῦ Ἰσραήλ, λέγει Κύριος παντοκράτωρ. Προφητείας Ἠσαΐου· Τάδε λέγει Κύριος Σαβαώθ· λούσασθε καὶ καθαροὶ γίνεσθε... Τέλος· Τὸ γὰρ στόμα Κυρίου ἐλάλησε ταῦτα. Ὁ ἀπόστολος πρὸς Κορινθίους α'. ἐπιστολῆς. Goar. p. 367. Ἀλληλούϊα, ἦχος πλ. δ'. Στίχος· Ἴδοσάν [1]) σε ὕδατα, ὁ Θεός, ἴδοσάν σε... Εὐαγγέλιον· Ἐκ τοῦ κατὰ Λουκᾶν. p. 367. Ὁ διάκονος· Εἴπωμεν πάντες.. Κύριε παντοκράτωρ ὁ Θεὸς τῶν... Ὁ μὴ βουλόμενος τὸν θάνατον ἡμῶν τῶν ἁμαρτωλῶν, ἀλλ' ἀναμένων τὴν εἰς σὲ ἐπιστροφήν, ζωήν τε καὶ μετάνοιαν... Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου [2])... Ὑπὲρ τοῦ πατρὸς καὶ ἀρχιεπισκόπου... Ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων βασιλέων... Ὑπὲρ τοῦ συμπολεμῆσαι καὶ ὑποτάξαι... Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ ἐν Βηθλεὲμ γεννηθεὶς καὶ ἐν φάτνῃ ἀνακλιθείς, δεόμεθά σου ἐπάκουσον καὶ ἐλέησον. Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ πηγάζων ἡμῖν φωτισμὸν καὶ ἁγιασμόν, δεόμεθά σου ἐπάκουσον καὶ ἐλέησον. Ὁ ἐν Ἰορδάνῃ βαπτισθῆναι παραγενόμενος, πληρῶσαι πᾶσαν δικαιοσύνην βουλόμενος, δεόμεθά σου ἐπάκουσον καὶ ἐλέησον [3]). Conf. Goar. p. 376. Ὑπὲρ τοῦ εὐλογηθῆναι ἡμᾶς ἐν πάσῃ εὐλογίᾳ πνευματικῇ δεόμεθά σου ἐπάκουσον καὶ ἐλέησον. Ὑπὲρ τοῦ εὐλο-

---

[1]) Ἐνέγκατε τῷ Κυρίῳ υἱοὶ Θεοῦ. Στίχος· Φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων. [2]) Этого прошенія и слѣдующихъ четырехъ нѣтъ [3]) Ὁ δι' ὕδατος καὶ Πνεύματος ἀνακαινίσας τὴν παλαιωθεῖσαν φύσιν ὑπὸ τῆς ἁμαρτίας δεόμεθά σου Ὁ διαρρήξας πέτραν ἐν ἐρήμῳ καὶ διψῶντι τῷ λαῷ σου κορέσας δεόμεθα... Ὁ δι' ὕδατος καὶ Πνεύματος ἀπαλλάξας τὸν Ἰσραὴλ ἐκ τῆς πλάνης τοῦ Βαὰλ δεόμεθα... Ὁ τὸ πικρὸν ὕδωρ ἐπὶ Μωϋσέως γλυκάνας καὶ διψῶντι τῷ λαῷ σου ἰασάμενος δεόμεθα... Ὁ τὰ ἀτεκνοῦντα καὶ πονηρὰ ὕδατα διὰ Ἐλισσαίου ἅλατι θεραπεύσας, δεόμεθα... Ὁ τὰ Ἰορδάνια ῥεῖθρα ἁγιάσας καὶ τὰς κεφαλὰς τῶν δρακόντων συντρίψας δεόμεθα... Ἅγιε, ἀόρατε καὶ ἀκατάληπτε, ὁ μὴ βουλόμενος τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ἀλλ' ἐκδεχόμενος τὴν ἐπιστροφὴν καὶ τὴν μετάνοιαν εἴπωμεν πάντες.. Ὁ τὴν γύμνωσιν τοῦ Ἀδὰμ καλύψας διὰ τῆς ἐπιδημίας τοῦ ἁγίου Πνεύματος δεόμεθά σου.. Ὁ τὴν φύσιν τῶν ὑδάτων ἁγιάσας καὶ τὰς ψυχὰς τῶν ἀνθρώπων φωτίσας, δεόμεθά σου. Ὁ πῦρ ἐν Ἰορδάνῃ καὶ Πνεῦμα ἅγιόν σου κεράσας καὶ πικρᾶς ἡμῶν ἁμαρτίας ἀπελάσας, δεόμεθά σου. Ὁ τὴν ἄχραντόν σου κορυφὴν ὑποκλίνας τῷ δούλῳ σου, ἵνα ἡμᾶς τῆς τυραννίδος ἀπαλλάξας δουλείας, δεόμεθά σου. Ὁ τέκνα φωτὸς διὰ τοῦ βαπτίσματος ἀναδείξας τοὺς ποτὲ ἐν καταδίκῃ ἁμαρτίας ὄντας δεόμεθά σου Ὁ διὰ Ἠσαΐου τοῦ προφήτου σου κηρύξας· ἀντλήσατε ὕδωρ ἐκ τῶν πηγῶν τοῦ σωτηρίου, δεόμεθά σου. Ὁ ὑπὸ Ἰωάννου ἐν Ἰορδάνῃ βαπτισθῆναι εὐδοκήσας, δεόμεθά σου. Σὺ ἐκραταίωσας ἐν τῇ δυνάμει σου τὴν θάλασσαν, Σὺ ἔθλασας τὰς κεφαλὰς τῶν δρακόντων

γηθῆναι τὰ ὕδατα ταῦτα τῇ δυνάμει καὶ ἐνεργείᾳ καὶ ἐπιφανείᾳ τοῦ ἁγίου Πνεύματος τοῦ Κυρίου δεηθῶμεν. Ὑπὲρ τοῦ δωρηθῆναι αὐτοῖς τὴν χάριν τῆς ἀπολυτρώσεως τὴν εὐλογίαν τοῦ Ἰορδάνου, δεόμεθά σου ἐπάκουσον καὶ ἐλέησον. Ὑπὲρ τοῦ καταφοιτῆσαι ἐν αὐτοῖς τοῖς ὕδασι τὴν καθαρτικὴν τῆς ὑπερουσίου Τριάδος τὴν δύναμιν, δεόμεθά σου ἐπάκουσον καὶ ἐλέησον. Conf. p. 368. Ὑπὲρ τοῦ πᾶσαν ἐν αὐτοῖς τοῦ ψυχοκτόνου πολεμίου τὴν δύναμιν βυθισθῆναι, δεόμεθά σου ἐπάκουσον καὶ ἐλέησον... Ὑπὲρ τοῦ ἀναδειχθῆναι τοὺς ἐν αὐτῷ βαπτιζομένους, ὡς τοὺς φωστῆρας τοῦ οὐρανοῦ, μὴ ἔχοντας σπῖλον ἢ ῥυτίδα, δεόμεθά σου ἐπάκουσον.. Ὑπὲρ τῶν εὐτρεπιζομένων εἰς τὸ ἅγιον βάπτισμα καὶ τῆς παρὰ τοῦ Θεοῦ σκέπης, καὶ βοηθείας αὐτῶν, δεόμεθά σου ἐπάκουσον καὶ ἐλέησον. Ὑπὲρ εὐκρασίας ἀέρων... Ὑπὲρ πλεόντων ὁδοιπορούντων... Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς... Καὶ ὑπὲρ πάντων τῶν χρηζόντων τῆς παρὰ τοῦ Θεοῦ βοηθείας καὶ ἀντιλήψεως δεηθῶμεν. Καὶ ὑπὲρ τοῦ περιεστῶλος λαοῦ, καὶ ἀπεκδεχομένου τὸ παρὰ σοῦ μέγα καὶ πλούσιον ἔλεος, δεόμεθά σου ἐπάκουσον καὶ ἐλέησον. Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου ἐπάκουσον ἡμῶν. Ὁ λαός· Κύριε ἐλέησον. Καὶ ὁ ἱερεὺς εὔχεται· Κύριε Ἰησοῦ Χριστέ, ὁ μονογενὴς Υἱός, ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρός. Goar. p. 368. Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη ἐν ἀνθρώποις εὐδοκία[1]). Ὁ ἱερεὺς λέγει· Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. Πληρωθήτω τὸ στόμα μου αἰνέσεως, ὅπως ὑμνήσω τὴν δόξαν σου ὅλην τὴν ἡμέραν τὴν μεγαλοπρέπειάν σου. Τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος,

---

ἐπὶ τοῦ ὕδατος δεόμεθά σου Φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων, ὁ Θεὸς τῆς δόξης, ἐβρόντησε, Κύριος ἐπὶ ὑδάτων πολλῶν, δεόμεθά σου. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ διὰ τοῦ προφήτου Ἠλιοὺ τοῦ Θεσβίτου δεόμεθά σου. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ διὰ τοῦ Προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου κηρύξας βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν, δεόμεθά σου. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὴν τρισυπόστατον τῆς μιᾶς θεότητος ἐν Ἰορδάνῃ φανερώσας, δεόμεθά σου. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ διὰ τοῦ προφήτου πάλιν εἰπών· Ἴδοσάν σε ὕδατα καὶ ἐφοβήθησαν δεόμεθά σου. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν Βηθλεὲμ γεννηθείς.. Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου καὶ ἑνώσεως πασῶν τῶν ἁγίων τοῦ Θεοῦ ὀρθοδόξων ἐκκλησιῶν δεόμεθά σου. Ὑπὲρ σωτηρίας καὶ ἀντιλήψεως τῶν ἁγίων πατέρων ἡμῶν τοῦδε τοῦ πατριάρχου καὶ τοῦδε τοῦ ἀρχιεπισκόπου, παντὸς τοῦ κλήρου καὶ τοῦ φιλοχρίστου λαοῦ, δεόμεθα.. Ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων. . Ὑπὲρ τοῦ ῥυσθῆναι... Σῶσον, ὁ Θεός, τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου.. (Поминаются Предтеча и евангелистъ Маркъ).

[1]) Этотъ и послѣдущіе два стиха произносятся по *три* раза.

νῦν καὶ ἀεί... Ὁ ἱερεὺς εὔχεται μεγάλῃ φωνῇ· Εὐλογητὸς εἶ, Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν, ὁ εὐλογῶν καὶ ἁγιάζων τὰ σύμπαντα. Δοξάζομέν σε, Δέσποτα Θεὲ Πάτερ Παντοκράτωρ, ἄναρχε, προαιώνιε, μόνε βασιλεῦ· δοξάζομέν σε τὸν κτίστην καὶ δημιουργὸν τῶν ἁπάντων· δοξάζομέν σε καὶ σέ, Υἱὲ μονογενές, τὸν σύνθρονον καὶ ὁμοούσιον τοῦ ἀνάρχου σου Πατρός, καὶ τοῦ ζωοποιοῦ σου Πνεύματος· δοξάζομέν σε τὸν ἐπὶ τῶν χερουβὶμ ἐποχούμενον καὶ ὑπὸ τῶν σεραφὶμ ἀνυμνούμενον· δοξάζομέν σε τὸν ὑπὸ τῶν ἀγγέλων δοξαζόμενον· δοξάζομέν σε τὸν ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι παραγαγόντα τὰ σύμπαντα· Σὺ γὰρ ἐν ἀρχῇ ἐποίησας τὰ σύμπαντα καὶ προσέταξας, καὶ ἐγένετο τῷ σῷ θελήματι τὰ ὁρατὰ καὶ τὰ ἀόρατα· ὢν γὰρ φῶς ἀληθινὸν καὶ ἐν φωτὶ ἀναπαυόμενος, Σὺ τὴν τετραπέρατον κτίσιν ἐφώτισας καὶ ἐπλήρωσας, τὸν οὐρανὸν καὶ τὴν γῆν, ὡς ἕνα οἶκον ἐθεμελίωσας, τὸ σκότος ὑποχωρεῖν ἐκέλευσας, καὶ τὸ φῶς ἐκλάμπειν ἀνελλειπῶς ἐποίησας, καὶ τὸν μὲν ὑπέρλαμπρον ἥλιον ἐκ πυρὸς διακοσμήσας, πυριφλόγοις αὐγαῖς κυκλοῦν τὸν πόλον τοῦ οὐρανοῦ, πρὸς τὸ τῆς ἡμέρας στάδιον κατέστησας, σελήνην δὲ καὶ τὰς τῶν ἄστρων χορείας πρὸς διαύγασμα τῆς νυκτὸς ἐκαλλώπισας, ἔτι δὲ καὶ τὴν τῶν ὑδάτων παμπληθῆ φύσιν εἰς μίαν συναγωγὴν συναθροίσας, ἡ ξηρὰ ἀπεκαλύφθη, ἑρπετῶν καὶ πετεινῶν καὶ ἰχθύων γένη ἐποίησας· καὶ τὰ μὲν ἐν αὐτοῖς τοῖς ὕδασιν, ὡς ἐν κόλπῳ μητρὸς γαλουχούμενα νήχονται, τὰ δὲ κατὰ τοῦ στερεώματος τοῦ οὐρανοῦ πετώμενα νεφελώδει τρόπῳ τὸν ἀέρα κοσμοῦσιν, ὡσαύτως καὶ ἡ γῆ κατὰ μίμησιν τῆς ἑαυτῆς συντρόφου παντοδαπῶν ἑρπετῶν τετραπόδων καὶ θηρίων γένη ἐξήγαγε, στεφανωθεῖσα τῇ τῶν ποικίλων ἀνθέων εὐκοσμίᾳ, καὶ τῇ τερπνότητι καὶ ὡραιότητι τῷ κάλλει τερπνῶν καὶ ἡδυπνόων δένδρων ἀμετρήτῳ εὐκαρπίᾳ, πρός γε τούτοις ἅπασι καὶ τοῖς ἀπειροπλασίοις σου δημιουργήμασιν ἔπλασας τὸν ἄνθρωπον κατ' εἰκόνα σὴν καὶ ὁμοίωσιν, καὶ τοῦ κόσμου κοσμῶν συνεκόσμησας αὐτόν, καὶ χερσὶν ἀχράντοις κατασκευασάμενος σοφῶς, ἔταξας αὐτὸν ἄρχειν καὶ δεσπόζειν πάντων τῶν ὑπὸ σοῦ πεποιημένων ἀγαθῶν, καὶ συνετίσας βλέπειν καὶ προνοεῖσθαι[1]) τῆς οἰκείας σωτηρίας, ὁ βροχῆς στήμονα ἀπεργασάμενος, καὶ ὡς ἔριον χιόνα τινάσσων, καὶ μεθύσκων τὸ πρόσωπον τῆς γῆς, διὰ τὴν σωτηρίαν τῶν βροτῶν καὶ πετεινῶν καὶ τετραπόδων· Σὺ γὰρ ὁ ποιητὴς τῶν ἁπάντων καὶ μέλει σοι περὶ πάντων. Ὅθεν τῶν ἀνωτάτων στοιχείων τὴν κτίσιν ἀθροίσαντες ἔγνωμεν, πῶς τὸ πάλαι σου ποίημα φρίττει σε, Δέσποτα· ἀδιάστατον γὰρ τὴν τούτων δημιουργίαν σκοπήσαν-

[1]) προσκ.νεῖσθαι

τες, τὸ πολυσέβαστόν σου ἐκπληττόμεθα ὄνομα· ἐπειδὴ γὰρ προσήκει πάσῃ τῇ κτίσει τὸν αἶνόν σοι προσάγειν, τούτου χάριν ἐπὶ τὰ δεύτερα τῶν ἀνωτάτων στοιχείων διαμένομεν[1]) κλήματα, ἅτινα ὑποποδίου σου τιμῆς ἠξιώθησαν· ὁρῶντες γὰρ τῆς γῆς τὴν κτίσιν ἀκίνητον, νοοῦμέν σου τοῦ κρατοῦντος τὴν φύσιν ἀσύνοπτον, ἐφάμιλλον δὲ καὶ τὸ τῆς θαλάσσης τεκμήριον, πῶς διηνεκῶς αἰνεῖ τὸν ποιήσαντα· καὶ γὰρ ὠρυομένη τοῖς κύμασι τῇ χέρσῳ προσμάχεται, πάσης τῆς οἰκουμένης σπεύδουσα κατακλύσαι τὰ πέρατα, καὶ τῇ ψάμμῳ κρουομένη δαμάζεται, καὶ τὸν ὅρον σου φοβουμένη, ἀνθέλκει τὰ κύματα, ἀλλὰ ὑπὸ πηγῶν ἀεννάων πλημμηροῦσα, δόξαν ἀναπέμπει τῷ κράτει σου, Δέσποτα, ποταμῶν δὲ βαθυγαίων ἀκατάσχετα ῥεύματα τῇ σῇ νεύσει καὶ δυνάμει τὴν γῆν ἅπασαν διαθέουσι καταρδεύοντα. Αὐτὸς οὖν, Δέσποτα πανάγιε, ἄχραντε, ἄναρχε, ἀόρατε, ἀκατάληπτε, ἀπαράλλακτε, ἀνυπέρβλητε, ἀμέτρητε, ἀνεξίκακε Κύριε, ὁ μόνος ἔχων ἀθανασίαν, φῶς καὶ εἰκὼν τοῦ Πατρὸς ὑπάρχων ἀπρόσιτος, σαρκωθεὶς ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας, τῆς ἁγίας ἐνδόξου Θεοτόκου καὶ ἀειπαρθένου ἐνανθρωπήσας ἅγιον βρέφος ἐδείχθης τὸ ἡμέτερον εὐτελὲς διορθούμενος τεχθείς· Σὲ γὰρ ἐμήνυσεν, ὁ ἐν τῇ ἀνατολῇ προκύψας ἀστήρ, ὅθεν ποιμένες καὶ μάγοι θεασάμενοι, τὴν τοῦ φωστῆρος φαιδρὰν καὶ ὑπέρλαμπρον ἔλλαμψιν ἐξίσταντο· Καὶ οἱ μὲν οὖν ποιμένες τὸ Δόξα ἐν ὑψίστοις μετ' ἀγγέλων συνέψαλλον, οἱ δὲ μάγοι τῶν ἀφ' ἡλίου ἀνατολῶν μακροδρομήσαντες, καὶ ὑπὸ τούτου ὁδηγούμενοι, ὡς βασιλεῖ ἐν πίστει δῶρά σοι προσέφερον, ἐδέσμευον σπαργάνοις, καὶ ἔλυες τὰς τῶν ἁμαρτημάτων σειρὰς καὶ πάσας τὰς τοῦ ἐχθροῦ δυνάμεις κατέβαλες, καὶ τὸν ἅπαντα κόσμον χαρᾶς ἐνέπλησας θεογνωσίας τῶν παραδόξων τῆς αὐξήσεώς σου μυστηρίων θαυμάτων τε καὶ ἰαμάτων. Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ... Сн. выше стр. 7—8. Τοῦ Κυρίου δεηθῶμεν. Ὁ ἱερεὺς μεγάλῃ τῇ φωνῇ· Τριὰς ἄκτιστε, ὁμοούσιε, ἄναρχε, ἀόρατε, ἀκατάληπτε, ἀτελεύτητε, δημιουργὲ τῶν λογικῶν οὐσιῶν, καὶ τῶν νοερῶν φύσεων. Goar. p. 369... καὶ νῦν, ὑπεράγαθε Δέσποτα, συγχώρησόν μοι ἀκατακρίτως βοᾷν σοι καὶ λέγειν· Δόξα σοι, Χριστὲ ὁ Θεὸς ἡμῶν, κατέλαβες τὰ Ἰορδάνου νάματα, καὶ Ἰωάννης βλέπων, ἐβόα λέγων· τίνι τῇ γῇ πρὸς τὸ ὕδωρ ἔφθασε, τί ὁ Δεσπότης πρὸς τὸν δοῦλον ἐλήλυθε, τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται, ὑπὸ τοῦ κτίσαντος τὸ κτίσμα καινουργεῖται. Ἐγὼ μὲν τὸ τῆς μετανοίας κηρύττω βάπτισμα, Αὐτὸς δὲ τὸ τῆς φιλανθρωπίας βάπτισμα παρέχει, ἀλλ' ἤκουσε, τὸ ἄφες ἄρτι, καὶ ἐξέτεινε τὴν χεῖρα ἐπὶ σέ, Χρισ-

---

[1]) διαβαίνομεν.

τέ, τὸν ἔχοντα τὸ μέγα ἔλεος· γυμνουμένου γὰρ τοῦ ἀχράντου σώματος ὑπὸ Ἰωάννου, περιβάλλεται ὕδατα τοῦ Ἰορδάνου, ἐβόησε τὰ χερουβὶμ ἀκαταπαύστῳ μιᾷ φωνῇ λέγοντα· ἅγιος, ἅγιος, ἅγιος, ὁ ἐλθὼν καὶ βαπτισθεὶς ἐν Ἰορδάνῃ ποταμῷ καὶ φωτίσας πᾶν γένος ἀνθρώπων. Κύριε ὁ Θεὸς ἡμῶν, τῇ ἐπιφοιτήσει τοῦ ἁγίου σου Πνεύματος, δὸς ἡμῖν χάριν εἰς τὴν διακονίαν ταύτην, ἵνα, ἐν σοὶ τὸ κράτος ἔχοντες, ἐπιτάσσωμεν τοῖς πονηροῖς πνεύμασι. Καὶ νῦν δεόμεθά σου, Κύριε, ἐξάλειψον τὰ παραπτώματα ἡμῶν καὶ παράστηθί μοι ἐν τῇ ὥρᾳ τῆς προσευχῆς ταύτης, ἵνα ἀκατακρίτως τολμῶ βοᾶν καὶ λέγειν· Εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἰσραήλ, ὅτι ἐπεσκέψατο καὶ ἐποίησε λύτρωσιν τῷ λαῷ αὐτοῦ· ἰδοὺ γὰρ ὁ τῆς ἑορτῆς ἐπέστη ἡμῖν καιρός, καὶ ἄγγελοι μετ' ἀνθρώπων ἑορτάζουσι καὶ χορὸς ἁγίων πλησιάζει ἡμῖν. Σήμερον ἡ χάρις τοῦ ἁγίου Πνεύματος, ἁγιάζουσα τὰ ὕδατα, οὕτως ἐπιφαίνεται. Σήμερον ὁ οὐρανὸς ἀγλαϊζόμενος δρόσον τῇ γῇ ἐπομβρίζει. Σήμερον ὁ ἥλιος ἄδυτος ἐπιφαίνεται, καὶ ὁ κόσμος τῷ φωτὶ καταυγάζεται. Σήμερον ἡ σελήνη λαμπραῖς ἀκτῖσι τῷ κόσμῳ συλλαμπρύνεται. Σήμερον οἱ φωτοειδεῖς ἀστέρες τῇ φαιδρότητι τὴν οἰκουμένην καλλωπίζουσι. Σήμερον αἱ νεφέλαι ὑετοὺς δικαιοσύνης οὐρανόθεν τὴν ἀνθρωπότητα δροσίζουσι. Σήμερον ὁ Κτίστης ὑπὸ τοῦ ἰδίου κτίσματος βουλήσει χειροθετεῖται. Σήμερον τὰ συστήματα τῶν ὑδάτων τὰ νῶτα ὑποστρώννοῦσι (sic) τοῖς ἴχνεσί σου, Δέσποτα. Σήμερον ὁ ἀόρατος ὁρᾶσαι, ἵνα ἡμῖν ἐμφανίσῃς σεαυτόν. Σήμερον ὁ δοῦλος φόβῳ παρίσταται καὶ Δεσπότης ἔρχεται. Σήμερον ὁ ἀκλινὴς τῷ ἰδίῳ δούλῳ αὐχένα κλίνεις τὸν σεαυτοῦ, ἵνα ἡμᾶς ἐκ τῆς δουλείας ἐλευθερώσῃς. Σήμερον ὁ ἄναρχος τῷ οἰκέτῃ αὐχένα κλίνεις, ἵνα τὸν καθ' ἡμῶν βυθίσῃς δράκοντα. Σήμερον ὁ κλίνων ὄρη πρὸς δουλείαν καὶ ποταμοὺς ποιῶν θαλάσσας, ὡς ἀμνὸς τῷ Προδρόμῳ παρίστασαι. Σήμερον παρίστασαι ἑκουσίως τῷ οἰκέτῃ τὸν κόσμον φωτίσαι, ᾧ τινι μέλλουσι τὰ σύμπαντα παρίστασθαι. Σήμερον ὁ Δεσπότης πρὸς τὸ βάπτισμα ἔρχεται, ἵνα ἀναβιβάσῃ εἰς ὕψος τὸν ἄνθρωπον. Σήμερον ὁ προφήτης πόθῳ προσέρχεταί σοι τῷ Δημιουργῷ, ἀλλὰ τρέμων παρίσταται, ὁρῶν Θεοῦ συγκατάβασιν. Σήμερον τῆς συγκαταβάσεως ἡ ἄβυσσος ἐν κολυμβήθρᾳ καταδύεται, καὶ ὁ τῶν ὅλων δημιουργὸς ἐν ὕδασι βαπτίζεται. Σήμερον ἐκ σκότους ἀπηλλάγημεν καὶ τῷ φωτὶ τῆς θεογνωσίας καταυγαζόμεθα. Σήμερον ἡμῖν ὁ Δεσπότης διὰ τῆς παλιγγενεσίας τῆς εἰκόνος ἀναμορφοῖ τὸ ἀρχέτυπον. Σήμερον μυροπνεύστοις ῥείθροις πᾶσα ἡ κτίσις ἀρδεύεται. Σήμερον τὰ τῶν ἀνθρώπων πταίσματα ἐν ῥείθροις Ἰορδάνου ἀπαλείφονται. Σήμερον τὰ ἁλμυρὰ ὕδατα τῆς θαλάσσης εἰς γλυκέα μεταβλίσκονται τῇ ἐπιφανείᾳ τοῦ ἰδίου Δεσπότου. Σήμερον ὁ παράδεισος ἠνέῳκται τοῖς ἀνθρώποις, καὶ δικαίοις συναυλίζον-

ται. Σήμερον τὸ δυσσεβέστατον εἴδωλον δραπετεύεται, καὶ τῶν ἀνθρώπων τὸ γένος παῤῥησιάζεται. Σήμερον τοῦ πάλαι θρήνου ἀπηλλάγημεν, καὶ ὡς νέος Ἰσραὴλ διεσώθημεν. Σήμερον τὰ πάλαι ῥάκη τῆς ἁμαρτίας ἀποθέμενοι, τῆς ἀφθαρσίας χιτῶνας ἐνδυσώμεθα. Σήμερον ὁ Δεσπότης ὑπὸ τοῦ δούλου βαπτίζεται. Σήμερον αἱ πηγαὶ τῶν ὑδάτων ἡγιάσθησαν, Χριστοῦ ἐπιφανέντος ἐν δόξῃ ἐν Ἰορδάνῃ ποταμῷ. Σήμερον ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω. Σήμερον τὰ Ἰορδάνου νάματα τοῖς ἀνθρώποις ἀναφέρεται. Σήμερον ἡ θάλασσα, ἰδοῦσα τὸν ἑαυτῆς Δεσπότην, ἔφυγε. Σήμερον τὰ ἄνω τοῖς κάτω προσομιλοῦσι, καὶ τὰ κάτω τοῖς ἄνω συνεορτάζουσι. Σήμερον φαιδρὰ καὶ μεγαλόφωτος ἡ τῶν ὀρθοδόξων πανήγυρις. Σήμερον ἡ ἀχλὺς τοῦ κόσμου καθαίρεται τῇ ἐπιφανείᾳ τοῦ ἁγίου Πνεύματος. Σήμερον βασιλείας ὠνησώμεθα· τῆς γὰρ τοῦ Κυρίου βασιλείας τέλος οὐκ ἔστιν. Σήμερον ὁ Λυτρωτὴς ἐν Ἰορδάνῃ παραγέγονεν, ἵνα ἁγιάσῃ τὰ σύμπαντα. Σήμερον ὁ Πρόδρομος ἀθανάτου κορυφῆς ἥψατο. Σήμερον ὁ Ἰορδάνης πνέει μύρον εὐωδίας. Σήμερον τὰ ὄρη ἐσκίρτησαν, ὡσεὶ κριοί, καὶ οἱ βουνοί, ὡς ἀρνία προβάτων. Σήμερον τὸ Πνεῦμα τὸ ἅγιον ἐν εἴδει περιστερᾶς ἐξ οὐρανοῦ ἐπὶ τοῦ ὕδατος κατέρχεται. Σήμερον πᾶσα ἡ κτίσις κραυγάζει λέγουσα. Conf. Goar. p. 369—370. Καὶ ὁ ἱερεὺς εὔχεται γεγωνοτέρᾳ φωνῇ· Μέγας εἶ. Κύριε, καὶ θαυμαστὰ τὰ ἔργα σου... ἐκ γ'. Σὺ γὰρ βουλήσει... κ. τ. λ. Ὁ ἱερεύς· Εἰρήνη πᾶσιν. Ὁ διάκονος· Τὰς κεφαλάς. Ὁ ἱερεὺς τὴν εὐχὴν ταύτην· Κλῖνον, Κύριε, τὸ οὖς σου [1]).. Goar. p. 370—371. Καὶ εὐθὺς βαπτίζει τὸν σταυρὸν [2]) καὶ ἄρχεται [3]) τὸ Ἀλληλούϊα. Ἴδοσάν σε ὕδατα, ὁ Θεός, ἴδοσάν σε ὕδατα καὶ ἐφοβήθησαν [4]). Δόξα καὶ νῦν. Ὁ ἱερεὺς τροπάριον· Αἱ πηγαὶ τῶν ὑδάτων

---

[1]) Κλῖνον, Κύριε, τὸ οὖς σου εἰς τὴν δέησιν ἡμῶν καὶ ἐπάκουσον ἡμῶν τῶν σῶν οἰκετῶν. ὁ ἐν Ἰορδάνῃ βαπτισθῆναι καταδεξάμενος καὶ ἁγιάσας τὰ ὕδατα, εὐλόγησον πάντας ἡμᾶς, Δέσποτα ἀγαθέ, πᾶσιν εὐλογίαν πνευματικὴν τοὺς διὰ τῆς κλίσεως τοὺς ἑαυτῶν αὐχένας σημαίνοντάς σοι τὸ τῆς δουλείας πρόσχημα καὶ μετόχους ἡμᾶς ἀπέργασαι τῆς χάριτος τοῦ ἁγίου σου Πνεύματος, καὶ ἀξίους ἀνάδειξον τοῦ ἁγιασμοῦ σου διὰ τῆς τοῦ ὕδατος ἀφῆς τε καὶ μεταλήψεως καὶ γενέσθω ἡμῖν, Κύριε, τὸ ὕδωρ τοῦτο εἰς ἄφεσιν παραπτωμάτων, εἰς ἱλασμὸν πλημμελημάτων ἑκουσίων τε καὶ ἀκουσίων, εἰς βεβαίωσιν υἱοθεσίας. εἰς στηριγμὸν τῆς ὀρθοδόξου πίστεως, εἰς καταρτισμὸν ἀμέμπτου πολιτείας, εἰς φυλακτήριον ψυχῆς, σώματος καὶ πνεύματος. Σὺ γὰρ εἶ ὁ ἁγιασμὸς ἡμῶν, Σωτὴρ καὶ φύλαξ Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν. [2]) **О погруженіи креста не говорится въ данномъ мѣстѣ.** [3]) Ὁ ἀρχιερεὺς ψάλλει· Ἀλληλούϊα. ἦχος πλ. δ'. [4]) Ὁ λαός· Ἀλληλούϊα Ὁ ἀρχιερεύς· Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι. Ὁ λαός· Ἀλληλούϊα. Ὁ ἀρχιερεύς· Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰ-

των ἡγιάσθησαν, Χριστοῦ φανέντος, Χριστοῦ βαπτισθέντος ἐν δόξῃ σήμερον ἐν τῷ Ἰορδάνῃ. Φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων, ὁ Θεὸς τῆς δόξης ἐβρόντησε, Κύριος ἐπὶ ὑδάτων πολλῶν. Πάλιν λέγει (τὸ αὐτό). Δόξα καὶ νῦν. Μέγας σταυρὸς ἐφάνη ἐν τῇ κολυμβήθρᾳ, καταβαίνουσι δοῦλοι τῆς ἁμαρτίας, καὶ ἀναβαίνουσι τέκνα τῆς ἀφθαρσίας, δεύτερον φῶς λαβόντες καὶ τὸν μαργαρίτην Χριστὸν ἐνδυσάμενοι. Λεγομένης γ'. καὶ βαπτίζει τὸν σταυρὸν ὁ ἱερεύς. Τροπάριον, ἦχος α'. Ἐν Ἰορδάνῃ βαπτιζομένου σου, Κύριε... Καὶ εὐθὺς ὁ ἱερεὺς τὴν εὐχὴν ταύτην[1]· Εὐλογητὸς ὁ Θεός, ὁ εὐλογῶν καὶ ἁγιάζων πάντας ἡμᾶς διὰ τῆς μεταλήψεως τῶν ἁγίων καὶ ἀχράντων καὶ ζωοποιῶν αὐτοῖς μυστηρίων νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας. Ἀμήν.

л. 113 об. Εὐχὴ εἰς τὸ λῦσαι τὸ βάπτισμα τῇ η'. ἡμέρᾳ.

Ὁ Θεὸς ὁ Θεὸς ἡμῶν, ὁ τῆς εἰρήνης χορηγὸς καὶ τῆς εὐλογίας δοτήρ, ἀγαθὲ Πατὴρ ἀγαθοῦ Υἱοῦ γεννήτορος, ὁ εὐλογήσας καὶ ἁγιάσας καὶ τὰ σώματα ἐν τῷ φωτὶ τοῦ προσώπου σου, ὁ καταξιώσας ἡμᾶς καὶ ἁγιάσαι τὰ ὕδατα ταῦτα, καὶ φωτισθέντας τοῦ νοεροῦ καὶ ἀνεκδιηγήτου φωτός, φώτισον ἡμᾶς φῶς γνώσεως, καὶ εὐλογήσας καὶ ἁγιάσας καὶ ἀνακαινίσας ἐν τῇ χάριτι τοῦ Χριστοῦ σου, καὶ ἀναγεννήσας διὰ τοῦ βαπτίσματος ἐν τῇ δυνάμει τοῦ ἁγίου σου καὶ ζωοποιοῦ Πνεύματος, καθαρίσας ἡμᾶς ἀπὸ πάσης κηλίδος ψυχικῆς τε καὶ σωματικῆς, ὦ ἅγιε Δέσποτα Κύριε, φύλαξον ἡμᾶς ἐν τῇ εὐλογίᾳ σου καὶ τῇ κλήσει τῶν ἁγίων σου, καὶ ἀξίους ἀνάδειξον τῆς αἰωνίου ζωῆς καὶ ἐπουρανίου βασιλείας τοῦ Χριστοῦ ἡμῶν Ἰησοῦ, μεθ' οὗ σοι δόξα πρέπει, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν... Ὁ διάκονος· Τὰς κεφαλάς. Ὁ ἱερεὺς λέγει τὴν εὐχήν· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ κλίνας οὐρανοὺς καὶ καταβὰς ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων. Goar. p. 604.

---

ῶνας. Ὁ λαός· Ἀλληλούια. Εἶτα λέγει ὁ ἀρχιερεὺς τροπάριον, ἦχος πλ. δ'. Αἱ πηγαὶ τῶν ὑδάτων... Ὁ λαός· Αἱ πηγαὶ τῶν ὑδάτων.. Ὁ ἀρχιερεὺς στίχος· Φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων... Ὁ λαος· Αἱ πηγαὶ τῶν ὑδάτων. Ὁ ἀρχιερεύς· Δόξα Πατρὶ καὶ νῦν.. Ὁ λαός· Αἱ πηγαὶ τῶν ὑδάτων. Εἶτα ὁ ἀρχιερεύς· Μέγας σταυρὸς ἐφάνη ἐν τῇ κολυμβήθρᾳ. Ὁ λαὸς λέγει· Μέγας σταυρὸς ἐφάνη... Καὶ πάλιν ὁ ἀρχιερεύς· Μέγας σταυρὸς ἐφάνη... Ὁ λαός· Μέγας σταυρός. Καὶ πάλιν ὁ ἀρχιερεύς· Μέγας σταυρὸς ἐφάνη.. Ὁ λαός· Μέγας σταυρὸς ἐφάνη. Λέγει ὁ ἀρχιερεὺς γ'. καὶ ἀποκρίνεται ὁ λαὸς γ'. καὶ εὐθέως ὁ ἀρχιερεὺς βαπτίζει τὸν σταυρὸν, καὶ ἄρχεται μόνος, ψάλλων τροπάριον, ἦχος α'. Ἐν Ἰορδάνῃ βαπτιζομένου.

[1]) Этой молитвы нѣтъ.

Л. 114 об. Τάξις γινομένη (εἰς) τὸν ἁγιασμὸν τῶν ὑδάτων τοῦ Νείλου, ἐν ᾗ τελεῖται τῇ κυριακῇ τῶν ἁγίων θεοφόρων πατέρων τιη΄. πρὸ τῆς ἁγίας Πεντηκοστῆς.

Μετὰ τῆς[1]) λειτουργίας ὁ διάκονος εἰπών· Ὀρθοὶ μεταλαβόντες.., ἐκφωνεῖ· Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν, Χριστὲ ὁ Θεός... Καὶ μετὰ τὴν ἐκφώνησιν[2]) τῆς εὐχῆς τῆς ὀπισθάμβωνος, εἶτα ψάλλει ὁ λαὸς[3]) σὺν τῷ κλήρῳ τροπάριον στιχηρόν, ἦχος β΄. ἰδιόμελον· Ἐτέχθης, ὡς Αὐτὸς ἠθέλησας, ἐφάνης, ὡς Αὐτὸς ἠβουλήθης, ἔπαθες σαρκί, ὁ Θεὸς ἡμῶν, ἐκ νεκρῶν ἀνέστης, πατήσας τὸν θάνατον, ἀνελήφθης ἐν δόξῃ, ὁ τὰ σύμπαντα πληρῶν, καὶ ἀπέστειλας ἡμῖν Πνεῦμα θεῖον τοῦ ἀνυμνεῖν καὶ δοξάζειν σου τὴν θεότητα[4]). Ὁ διάκονος λέγει τὴν[5]) συναπτήν· Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῆς εἰρήνης... Ὑπὲρ τοῦ ἁγίου οἴκου... Ὑπὲρ τοῦ πατρὸς καὶ πατριάρχου... Ὑπὲρ τῶν εὐσεβεστάτων... Ὑπὲρ τοῦ συμπολεμῆσαι... Ὑπὲρ τῆς πόλεως... Ὑπὲρ εὐκρασίας.... Ὑπὲρ πλεόντων... Ὑπὲρ τοῦ ῥυσθῆναι... Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας ἀχράντου... Ὁ ἱερεὺς[6]) ἐκφώνως· Ὅτι πρέπει σοι πᾶσα δόξα. Καὶ γίνεται ἡ φήμησις παρὰ τοῦ δομεστίκου, καὶ ἀποκρίνονται πάντες· Ἅγιε τοῦ Θεοῦ, πανάριστε ἀρχιερεῦ ἀρχιερέων, ὁ δεῖνα ὁ πατριάρχης, πάπα πόλεως Ἀλεξανδρείας γέγονας τοῦ θρόνου, μεγάλως ἠξιώθης, διάδοχε Μάρκου, τοῦ πρώτου πατριάρχου, εἰς πολλά σου καὶ καλὰ τὰ ἔτη· ἤλθομεν ποιῆσαι καλὸν καιρὸν καὶ ἐνιαυτὸν εἶναι τοῦ θεσπεσίου[7]) καὶ ἀρχιερέα ἡμῶν προέδραμεν, καὶ συμπαρόντων ἡμῶν ταγμάτων, τιμίων ποιμένων ἀγελαρχῶν, καὶ τοῦ ἁγίου πατρὸς ἡμῶν (ὁ δεῖνα) ἀρχιεπισκόπου τῆς ἡμετέρας πόλεως Αἰγύπτου, πρεσβυτέρων τε καὶ διακόνων καὶ λευϊτῶν ἡμέραν ἁγιωσύνην, εἰρήνην τε τοῦ κόσμου, καὶ καινῆς τῆς ἐκκλησίας ταύτης· ἄνω τῇ προνοίᾳ καὶ τῇ προστάξει τοῦ Θεοῦ, Νεῖλε. Εἶτα λέγει ὁ αὐτὸς πάλιν γ΄. Καὶ ἀποκρίνεται τὸ αὐτὸ ὁ λαὸς ἕως τρίτου. Εἶτα λέγει στίχον α΄. Ὁ ποταμὸς τοῦ Θεοῦ ἐπληρώθη ὑδάτων, ἡτοίμασας τὴν τροφὴν αὐτῶν, ὅτι οὕτως ἡ ἑτοιμασία, τοὺς αὔλακας αὐτῆς μέθυσον, πλήθυνον τὰ γεννήματα αὐτῆς, ἐν ταῖς σταγόσιν αὐτῆς εὐφρανθήσεται ἀνατέλλουσα. Καὶ[8]) πάλιν· Ἄνω τῇ προνοίᾳ καὶ τῇ προστάξει τοῦ Θεοῦ, Νεῖλε. Στίχος β΄. Εὐλόγησον τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου, Κύριε, καὶ τὰ

[1]) Ркп. Александр. библ. XIV в. № 149—104 τῆς θείας λειτουργίας, τοῦ διακόνου εἰπόντος [2]) λέγει [3]) ἰδιόμελον ἦχος β΄. [4]) Δόξα καὶ νῦν, ἦχος πλ. β΄. Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος τοῦ ἀνοψῶσαι τὴν πεσοῦσαν εἰκόνα τοῦ Ἀδὰμ καὶ ἀπέστειλε Πνεῦμα παράκλητον τοῦ ἁγιάσαι τὰς ψυχὰς ἡμῶν [5]) μεγάλην [6]) ὁ ἀρχιερεὺς ἐκφωνεῖ [7]) Это мѣсто рукописи неудобовразумительное. [8]) Καὶ ἀποκρίνεται ὁ λαός.

πεδία σου πλησθήσονται πιότητος. Ὁ λαός·[1]) Ἄνω τῇ προνοίᾳ καὶ τῇ προστάξει τοῦ Θεοῦ, Νεῖλε. Στίχος γ'. Πιανθήσεται τὰ ὡραῖα τῆς ἐρήμου, καὶ ἀγαλλίασιν οἱ βουνοὶ περιζώσονται, ἐνεδύσαντο οἱ κριοὶ τῶν προβάτων, καὶ αἱ κοιλάδες πληθυνοῦσι σῖτον· κεκράξονται καὶ γὰρ ὑμνήσουσιν. Ὁ λαός[2])· Ἄνω τῇ προνοίᾳ καὶ τῇ προστάξει τοῦ Θεοῦ, Νεῖλε. Ὁ διάκονος·[3]) Δόξα καὶ νῦν. Ὁ λαός·[4]) Ἄνω τῇ προνοίᾳ καὶ τῇ προστάξει τοῦ Θεοῦ, Νεῖλε. Ὁ διάκονος[5])· Ἄνω, Νεῖλε. Ὁ λαὸς[6]) λέγει· Ἄνω, Νεῖλε. Ὁ διάκονος[7])· Ἄνω, Νεῖλε. Ὁ λαός[8])· Ἄνω, ἄνω, Νεῖλε. Ὁ διάκονος· Ἄνω, ἄνω, Νεῖλε[9]). Ὁ λαός· Ἄνω, ἄνω, ἄνω, Νεῖλε. Καὶ ἀποκρίνονται τὸ αὐτὸ ὁμοίως ὁ λαὸς γ'. καὶ γίνεται εἴσοδος. Καὶ ἐξέρχεται ὁ ἀρχιερεὺς σὺν τῷ κλήρῳ τὸν τίμιον σταυρὸν καὶ κηρίον μετὰ ριπιδίων καὶ θυμιατῶν καὶ τοῦ ἁγίου Εὐαγγελίου, καὶ ἔρχονται ἕως τῆς λεκάνης τῶν νερῶν καὶ ψάλλομεν τὸ στιχηρόν[10]), ἦχος πλ. δ'. Δεῦτε, λαοί, τὴν τρισυπόστατον θεότητα προσκυνήσωμεν. Goar. p. 604. Εἶτα λέγουσι[11]) τὰ παιδία ταῦτα[12])· Ἅγιε τοῦ Θεοῦ πανάριστε[13]). Ὁ διάκονος[14]) λέγει συναπτὴν μικράν· Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ... Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας. Ἐκφώνως·[15]) Ὅτι πρέπει σοι πᾶσα δόξα. Εἶτα λέγει ἀντίφωνον, ἦχος πλ. δ'.[16]) Στίχος α'. Μακάριος ἀνήρ. Ἀντιλαβοῦ μου, Κύριε. Μακάριος ἀνήρ, ὃς οὐκ ἐπορεύθη... Ἀντιλαβοῦ μου, Κύριε. Καὶ ἐν ὁδῷ ἁμαρτωλῶν οὐκ ἔστη... Ἀντιλαβοῦ μου, Κύριε. Ἀλλ' ἢ ἐν τῷ νόμῳ Κυρίου τὸ θέλημα αὐτοῦ... Ἀντιλαβοῦ μου, Κύριε. Καὶ ἔσται, ὡς τὸ ξύλον... Ἀντιλαβοῦ μου, Κύριε. Ὁ τὸν καρπὸν αὐτοῦ δώσει ἐν καιρῷ αὐτοῦ.. Ἀντιλαβοῦ μου, Κύριε... Ὅτι γινώσκει Κύριος ὁδὸν δικαίων... Ἀντιλαβοῦ μου, Κύριε. Δόξα καὶ νῦν... Ἀντιλαβοῦ μου, Κύριε. Ἔτι[17]) καὶ ἔτι... Ἀντιλαβοῦ.. Τῆς παναγίας. Ἐκφώνως[18])· Ὅτι σὸν τὸ κράτος... Ἀντίφωνον β'. ἦχος β'. ψαλμὸς κη'. Ταῖς πρεσβείαις τῆς Θεοτόκου[19]). Ἐνέγκατε τῷ Κυρίῳ υἱοὶ Θεοῦ... Ταῖς πρεσβείαις... Ἐνέγκατε τῷ Κυρίῳ υἱοὺς κριῶν... Ταῖς πρεσβείαις... Προσκυνήσατε[20]) τῷ Κυρίῳ ἐν αὐλῇ ἁγίᾳ αὐτοῦ. Ταῖς πρεσβείαις.. Φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων... Ταῖς πρεσβείαις.. Φωνὴ Κυρίου ἐν ἰσχύϊ... Ταῖς πρεσβείαις... Κύριος ἰσχὺν τῷ λαῷ αὐτοῦ δώσει... Ταῖς πρεσβείαις... Δόξα καὶ νῦν. Ταῖς πρεσ-

1) Καὶ ἀποκρίνεται ὁ λαός. 2) тоже 3) λέγει 4) καὶ ἀποκρίνεται ὁ λαὸς 5) λέγει 6) καὶ ἀποκρίνεται ὁ λαός. 7) λέγει 8) καὶ ἀποκρίνεται ὁ λαός. 9) Нѣтъ двукратнаго и троекратнаго возглашеній: ἄνω и отвѣтовъ на нихъ, а прямо слѣдуетъ: Εἶτα γίνεται εἴσοδος 10) ἰδιόμελον, ἦχος πλ. δ'. 11) λέγει 12) Прибавлено: Ἔφη 13) Тоже: ἀρχιερεῦ 14) Εἶτα λέγει ὁ ἀρχιδιάκονος 15) ὁ ἱερεὺς 16) ψαλμὸς α'. 17) ὁ διάκονος τὴν μικρὰν συναπτήν· Ἔτι καὶ ἔτι 18) ἐκφώνησις 19) нѣтъ припѣва 20) этого стиха нѣтъ.

βείαις... Ὁ διάκονος[1]· Ἔτι καὶ ἔτι... Ἀντιλαβοῦ... Τῆς παναγίας... Ἐκφώνως· Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος... Ψαλμὸς ξδ΄. Ἀντίφωνον γ΄. ἦχος γ΄. Σοὶ πρέπει ὕμνος, ὁ Θεός, ἐν Σιών. Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα. Σοὶ πρέπει ὕμνος, ὁ Θεός, ἐν Σιών, καὶ σοὶ ἀποδοθήσεται εὐχὴ ἐν Ἱερουσαλήμ. Ἀλληλούϊα γ΄. Πλησθησόμεθα ἐν τοῖς ἀγαθοῖς τοῦ οἴκου σου... Ἀλληλούϊα γ΄. Ἐπάκουσον ἡμῶν, ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν... Ἀλληλούϊα γ΄. Ἐξόδους πρωΐας καὶ ἑσπέρας τέρψεις.. Ἀλληλούϊα γ΄. Οὕτως ἡ ἑτοιμασία ὁ ποταμὸς τοῦ Θεοῦ ἐπληρώθη ὑδάτων... Ἀλληλούια γ΄. Τὰς αὔλακας αὐτῆς μέθυσον... Ἀλληλούϊα γ΄. Εὐλογήσεις τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου... Ἀλληλούϊα γ΄. Ἐνεδύσαντο οἱ κριοὶ τῶν προβάτων... Ἀλληλούϊα γ΄. Δόξα καὶ νῦν. Ἀλληλούϊα γ΄. Ὁ διάκονος λέγει[2]· Ἔτι καὶ ἔτι.. Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας ἀχράντου... Ὁ ἱερεὺς ἐκφώνησις· Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, καὶ σοί... Ὁ λαός·[3]) Ὅσοι εἰς Χριστόν... Ὁ ἀρχιερεὺς[4]) τὴν εὐχὴν ταύτην· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὰ πάντα συστησάμενος τῇ ἀκαταλήπτῳ σου σοφίᾳ, ἅγιε ἁγίων ὁ Θεὸς ἡμῶν, ὁ μόνος ἅγιος καὶ ἐν ἁγίοις ἀναπαυόμενος, ἅγιος ὑπάρχεις, ὁ τὴν ἀνυπέρβλητον δόξαν ἑαυτῷ κεκτημένος, ἅγιος ὁ Θεός, ὁ τὰ πάντα λόγῳ συστησάμενος, ἅγιος ὁ Θεός, ὃν τὰ τετράμορφα ζῶα ἀκαταπαύστῳ φωνῇ δοξάζουσιν, ἅγιος ὁ Θεός, ὁ ὑπὸ πλήθους ἁγίων ἀγγέλων καὶ ἀρχαγγέλων ἀορασίᾳ τρεμόντων προσκυνούμενος, ἅγιος ὁ Θεός, ὁ τοῖς πολυόμμασι[5]) χερουβὶμ τῇ ἀσιγήτῳ φωνῇ τῷ ἀκοιμήτῳ ὄμματι ἐπιβλέπων καὶ ὑποκλίνων τὸ οὖς σου, ἅγιος ὁ Θεός, ὁ τοῖς ἑξαπτερύγοις σεραφὶμ ἐποχούμενος, καὶ ἐπικροτούντων τὰς ἑαυτῶν πτέρυγας καὶ τὸν ἐπινίκιον ὕμνον λεγόντων· ἅγιος, ἅγιος, ἅγιος Κύριος Σαβαώθ, προσδεχόμενος· ἅγιος γὰρ εἶ, ὁ Θεὸς ἡμῶν, ὃν ἀρχαὶ καὶ ἐξουσίαι ἐν οὐρανῷ προσκυνοῦμέν σοι[6]), καὶ ἐπὶ γῆς ἄνθρωποι ἀνυμνοῦσι καὶ σέβουσιν. Αὐτός, φιλάνθρωπε Δέσποτα, πρόσδεξαι καὶ ἐκ στόματος ἡμῶν τῶν ἁμαρτωλῶν τὸν τρισάγιον ὕμνον προσφερόμενον παρ' ἡμῶν καὶ παρὰ παντὸς τοῦ λαοῦ σου, καὶ κατάπεμψον ἐφ' ἡμᾶς πλούσια τὰ ἐλέη σου, πρεσβείαις τῆς ἁγίας Θεοτόκου καὶ πάντων τῶν ἁγίων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων. Ὁ διάκονος[7])· Πρόσχωμεν. Ὁ ἱερεύς· Εἰρήνη πᾶσιν. Ὁ διάκονος· Σοφία. Πρόσχωμεν[8]). Ἦχος β΄. Ὁ ποταμὸς τοῦ Θεοῦ ἐπληρώθη ὑδάτων, ἡτοίμασας τὴν τροφὴν αὐτῶν, ὅτι οὕτως ἡ ἑτοιμασία. Στίχος· Εὐλογήσεις τὸν στέφανον[9]) τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου. Λέγει ἀνάγνωσμα α΄.[10]) Γε-

---

[1]) Λέγει [2]) нѣтъ—λέγει [3]) λέγει [4]) тоже [5]) τὰ πολυόμματα [6]) προσκυνοῦσι [7]) λέγει [8]) Καὶ λέγει ὁ ἀναγνώστης· προκείμενον ἦχος β'. [9]) нѣтъ [10]) Εἶτα λέγει ἀναγνώσματα γ'. τὸ α'. Γενέσεως.

(92 внѣшн.

νέσεως τὸ ἀνάγνωσμα· Αὕτη ἡ βίβλος γενέσεως οὐρανοῦ τε καὶ γῆς, ὅτε ἐγένετο... Τέλος· ἐν τῷ παραδείσῳ τῆς τρυφῆς ἐργάζεσθαι αὐτὸν καὶ φυλάσσειν. Βασιλειῶν γ'. τὸ ἀνάγνωσμα· Εἶπον οἱ ἄνδρες τῆς πόλεως Ἱεριχὼ πρὸς Ἐλισσαιέ, ἰδοὺ ἡ κατοίκησις... Τέλος· Κατὰ τὸ ῥῆμα, ὃ ἐλάλησεν Ἐλισσαιέ. Τῆς ἐξόδου τὸ ἀνάγνωσμα· Ἐξῆρε Μωσῆς τοὺς υἱοὺς Ἰσραὴλ ἀπὸ θαλάσσης ἐρυθρᾶς.. Τέλος· Εἰς τὴν ἔρημον Σίν, ὅ ἐστιν ἀνὰ μέσον Αἰλεὶμ καὶ ἀνὰ μέσον Σινᾶ. Ὁ ἀπόστολος πρὸς Κορινθίους· Ἀδελφοί, ὁ σπείρων φειδομένως, φειδομένως καὶ θερίσει. Τέλος· κατεργάζεται δι' ἡμῶν εὐχαριστίαν τῷ Θεῷ. Ἀλληλούϊα[1]), ἦχος δ'. Σοὶ πρέπει ὕμνος, ὁ Θεός, ἐν Σιὼν[2])... Πλησθησόμεθα ἐν τοῖς ἀγαθοῖς τοῦ οἴκου σου... Στίχος γ'. Εὐλόγησον τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου... Ὁ διάκονος· Σοφία ὀρθοὶ ἀκούσωμεν... Ὁ ἱερεύς· Εἰρήνη πᾶσιν. Ὁ λαός· Καὶ τῷ πνεύματί σου[3]). Ἐκ τοῦ κατὰ Ματθαῖον· Τῷ καιρῷ ἐκείνῳ, εἶδεν ὁ Ἰησοῦς πολὺν ὄχλον, καὶ εὐσπλαγχνίσθη ἐπ' αὐτὸν καὶ ἐθεράπευσε τοὺς ἀῤῥώστους αὐτῶν... Τέλος· Καὶ προάγειν αὐτὸν εἰς τὸ πέραν, ἕως οὗ ἀπολύσει τοὺς ὄχλους. Ὁ διάκονος[4]) λέγει· Πάντες ἐκτενῶς δεόμεθά σου εἴπωμεν, πάντες ἐξ ὅλης τῆς ψυχῆς καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν εἴπωμεν. Κύριε Παντοκράτωρ, ἐπουράνιε βασιλεῦ, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, δεόμεθά σου ἐπάκουσον καὶ ἐλέησον. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ κλίνας οὐρανούς, καὶ κατελθὼν ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων δεόμεθά σου... Ὁ δαψιλῶς ἐν ταῖς δωρεαῖς καὶ ἀναβλύζων ἡμῖν ἀεὶ τοῖς θείοις σου χαρίσμασι, δεόμεθά σου[5])... Ὁ βλαστάνων καὶ αὐξάνων καὶ πάντα τρέφων, καὶ διηνεκῶς θάλπων ἡμᾶς τοὺς ἀναξίους σου δούλους δεόμεθά σου... Ὁ συναγαγὼν τὰ ὕδατα εἰς συναγωγὴν μίαν καὶ μετεωρίσας τὰ ὕδατα ὑπεράνω τῶν οὐρανῶν δεόμεθά σου... Ὁ μετρήσας τῇ χειρί σου τὸ ὕδωρ καὶ τὸν οὐρανὸν σπιθαμῇ, καὶ πᾶσαν τὴν γῆν δρακί, ὁ στήσας τὰ ὄρη σταθμῷ καὶ τὰς νάπας ζυγῷ, δεόμεθά σου. Ὁ παράδεισον φυτεύσας ἐν Ἐδὲμ κατ' ἀνατολάς, καὶ τετράῤῥυτον πηγὴν ἐν αὐτῷ πηγάσας, δεόμεθά σου... Ὁ διαῤῥήξας πηγὰς καὶ χειμάῤῥους, καὶ ὑποσιακίζων, ὡς βούλεται, τὸ ὕδωρ, δεόμεθά σου ἐπάκουσον καὶ ἐλέησον. Ὁ ἀφάτῳ φιλανθρωπίᾳ σου πάντα πρὸς τὰ ἡμέτερα κατασκευάσας καὶ ποιῶν πάντα ὑπὲρ ἐκ περισσοῦ τῆς αἰτήσεως ἡμῶν, δεόμεθά σου... Αὐτός, πλουσιόδωρε καὶ ἐλεήμων Θεέ, ἐπίσκεψαι τὴν γῆν τῆς Αἰγύπτου καὶ μέθυσον αὐτὴν ταῖς καλαῖς ἀναβάσεσι τοῦ Νείλου ποταμοῦ, δεόμεθά σου. Εὔφρανον καὶ ἀνακαίνισον τὸ πρόσωπον τῆς γῆς τῆς ἀμέτρου πλημμυρίας τοῦ Νείλου ποταμοῦ, δεόμεθά... Τὰς αὔλακας αὐτῆς μέθυσον, πλή-

[1]) Ἀλληλουάριον [2]) Στίχος β'. [3]) **нѣтъ** [4]) ὁ ἀρχιδιάκονος [5]) δεηθῶμεν.

θυνον τὰ γεννήματα τῆς Αἰγυπτιακῆς χώρας καὶ τοῖς ὁρμήμασι τοῦ Νείλου, δεόμεθά σου ἐπάκουσον... Εὐλόγησον τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου, καὶ τὰ πεδία τῆς Αἰγύπτου πληθυνάτωσαν (πιότητος), αἱ κοιλάδες αὐτῆς τοῦ σίτου, δεόμεθά σου... Πιανθητάτωσαν[1]) τὰ ὡραῖα τῆς χώρας Αἰγύπτου, καὶ περιζωσάτωσαν οἱ βουνοὶ αὐτῆς ἐν ἀγαλλιάσει τὴν εὐλογίαν σου, δεόμεθά σου... Ὁ γενόμενος ἀρχιερεὺς τῆς ὁμολογίας ἡμῶν, καὶ ἀρχιερωσύνης κατὰ τὴν τάξιν Μελχισεδέκ, διὰ τοῦ παναγίου σου Πνεύματος τελειώσας, Αὐτὸς καὶ νῦν, Δέσποτα, τοὺς καταξιωθέντας τῆς ἀποστολικῆς ἐκκλησίας καθέδρας τοῦ ἁγίου πατρὸς ἡμῶν τοῦδε τοῦ πατριάρχου, τοὺς εὐαγοῦς καὶ θείους ἐπισκόπους, καὶ παντὸς ἱερατικοῦ τάγματος, τούτους ἡμῖν δώρησαι καὶ ταῖς ἁγίαις σου ἐκκλησίαις σώους, ὁσίους, ἐντίμους, ὑγιεῖς, μακροημερεύοντας ἐν εἰρήνῃ πολλοὺς ἐτῶν περιόδους, δεόμεθά σου... Ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοστέπτων ἡμῶν ἀνάκτων, παντὸς τοῦ παλατίου καὶ τοῦ στρατοπέδου αὐτῶν, καὶ τῆς οὐρανόθεν βοηθείας, σκέπης, νίκης, αὐτῶν δεόμεθά σου ἐπάκουσον καὶ ἐλέησον. Ὑπὲρ τοῦ διαφυλαχθῆναι[2]) τῆς ἁγίας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν πόλεως καὶ τῆς βασιλευούσης πόλεως καὶ τῆς πόλεως ἡμῶν ταύτης, πάσης πόλεως καὶ χώρας, καὶ τῶν ἐν πίστει καὶ εὐλαβείᾳ Χριστοῦ οἰκούντων ἐν αὐταῖς, ἀπὸ λοιμοῦ, λιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρός, μαχαίρας, ἐπιδρομῆς ἀλλοφύλων καὶ ἐμφυλίου πολέμου, εὐκραεῖς τε καὶ ἐπωφελεῖς δωρηθῆναι τοὺς ἀέρας, καὶ εὐλογηθῆναι τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς τοῦ Κυρίου χρηστότητος. Ὑπὲρ τῆς ἀπολυτρώσεως τῶν ψυχῶν ἡμῶν καὶ ὑπὲρ τοῦ συντριβῆναι τὸν σατανᾶν ἐν τάχει ὑπὸ τοὺς πόδας ἡμῶν, καὶ ὑπὲρ τοῦ ἵλεων, εὐμενῆ καὶ εὐδιάλλακτον γενέσθαι τὸν ἀγαθὸν[3]) καὶ φιλάνθρωπον Θεὸν ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν, καὶ ἐλεῆσαι ἡμᾶς καὶ ἀποστρέψαι πᾶσαν ὀργήν, κινουμένην καθ' ἡμῶν, δεόμεθά σου ἐπάκουσον καὶ ἐλέησον. Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου τε καὶ ἀνάγκης, πικροῦ θανάτου τῶν ἀνομιῶν ἡμῶν δεόμεθά σου... Καὶ ὑπὲρ τοῦ περιεστῶτος πιστοῦ λαοῦ καὶ ἀπεκδεχομένου τὸ παρὰ σοῦ, Κύριε, μέγα καὶ πλούσιον ἔλεος, ἱκετεύομέν σε, πολυέλεε, σπλαγχνίσθητι καὶ ἐλέησον. Σῶσον, ὁ Θεός, τὸν χριστώνυμον λαόν σου καὶ εὐλόγησον τὴν ἐκ Πατρὸς κληρονομίαν σου, ἐπίσκεψαι τὸν κόσμον σου ἐν ἐλέει καὶ οἰκτιρμοῖς, ὕψωσον κέρας χριστιανῶν, καὶ ἀνάγαγε ἡμῖν τὰ ποτάμια ὕδατα ἐπὶ τὸ μέτρον αὐτῶν κατὰ τὴν σὴν χρηστότητα, καὶ τὴν εὐθυνίαν βράβευσον διὰ τοὺς πτωχοὺς τοῦ λαοῦ σου, καὶ πλήρωσον χαρᾶς καὶ εὐφροσύνης τὰς καρδίας ἡμῶν τῇ πρεσβείᾳ τῆς πανάγνου Δεσποίνης ἡμῶν Θεοτόκου

---

[1]) Πιανθήσονται [2]) прибавлено καὶ ῥυσθῆναι [3]) нѣтъ.

καὶ ἀειπαρθένου Μαρίας, καὶ τοῦ προδρόμου Ἰωάννου, τῶν θείων καὶ πανευφήμων ἀποστόλων, καὶ τοῦ ἁγίου καὶ μακαρίου πατρὸς ἡμῶν Μάρκου, τοῦ ἀποστόλου καὶ εὐαγγελιστοῦ, καὶ πάντων τῶν ἁγίων σου ἱκετεύομέν σε, πολυέλεε Κύριε, ἐπάκουσον ἡμῶν καὶ ἐλέησον. Εἶτα ἄρχεται ὁ ἀρχιερεὺς τὴν εὐχὴν ταύτην εἰς ἐπήκοον πάντων, λέγων οὕτως· Ἐν ὀνόματι τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη ἐν ἀνθρώποις εὐδοκία. γ'. Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. γ'. Πληρωθήτω τὸ στόμα μου αἰνέσεώς σου, ὅπως ὑμνήσω τὴν δόξαν σου, ὅλην τὴν ἡμέραν τὴν μεγαλοπρέπειάν σου. γ'. Εὐχὴ τῶν ἁγιασμῶν τοῦ Νείλου· Δέσποτα ὑπεράγαθε, Κύριε παντοκράτωρ, ὁ Θεὸς πάσης παρακλήσεως, ὁ στερεώσας τὸν οὐρανὸν ἐν συνέσει, καὶ τοῦτον τῇ χορείᾳ τῶν ἄστρων στεφανώσας, ὁ τὴν γῆν θεμελιώσας ἐπὶ τῶν ὑδάτων, καὶ ταύτην ζωγραφήσας τοῖς ἄνθεσιν, ὁ παράδεισον φυτεύσας ἐν Ἐδέμ, θέμενος ἐν αὐτῷ τὸ ξύλον τῆς ζωῆς, ὁ τὴν θάλασσαν ἐξαπλώσας, καὶ ἀσθενείᾳ ψάμμῳ χαληνώσας, ὁ τὴν τετράῤῥυτον πηγὴν ἀναβλύζειν κελεύσας καὶ ταύτην εἰς τέσσαρας ἀρχὰς ποταμῶν καταμετρήσας, καὶ ὀνόμασιν ἰδίοις γνωριμοποιήσας τὴν οἰκουμένην, καὶ ἑκάστῳ πορείαν ἑτοιμάσας τὴν τοῖς οἰκείοις τόποις πρέπουσαν, τὸν μὲν Φεισὼν τὴν εὐειλατικὴν τοῦ βοῤῥᾶ χώραν κατακοσμήσας, Τίγριν τε καὶ Εὐφράτην τὴν μέσον γῆν πορεύεσθαι κελεύσας, τὸν δὲ Νεῖλον ἐξαίρετον κίνησιν ἐπιῤῥέειν προστάξας, τὰ καυστικότερα τοῦ νότου καὶ Αἰθιοπικὰ μέρη ποτίζειν, πελαγίζειν δὲ τὴν Αἴγυπτον καὶ ἀρδεύειν εἰς τελεσφορίαν καρπῶν, καὶ σιτοφορίας αὔξησιν, εἰς σωτηρίαν τῶν ἐνοικούντων προθυμούμενος, τούτου τοίνυν τῆς ἀναβάσεως ἀρχομένης, τὴν ἀπαρχὴν προσφέρομέν σοι γεραίροντες, δεόμεθα καὶ παρακαλοῦμέν σε, εὔσπλαγχνε, οἰκτίρμον, εἰρηνικὴν αὐτοῦ τὴν ἀνάβασιν γενέσθαι ἐπὶ τὸ μέτρον τὸ οἰκεῖον τεινομένην τῇ σῇ χάριτι. Ἀμήν. Παράσχου, ἀγαθέ, τὴν εὐλογίαν σου τῇ γῇ διὰ τῶν τοῦ Νείλου ποταμοῦ ὑδάτων [1]). Αὔξησον τοὺς καρποὺς τῆς γῆς διὰ τὴν χρείαν τοῦ λαοῦ σου, τελείως τὴν εὐκτηρίαν κατακόσμησον. Ἀμήν. Παρὰ σοῦ γὰρ πηγὴ ζωῆς καὶ ἀβύσσου εὐλογιῶν καὶ πᾶσα δόσις ἀγαθή. Ἀμήν. Διὸ δεόμεθά σου, δημιουργὲ τοῦ παντός, εὐλόγησον τὰ τοῦ Νείλου ποταμοῦ ὕδατα διὰ τῶν προκειμένων ὑδάτων. Ἀμήν. Τὰ τοῦ Νείλου ποταμοῦ ῥεῖθρα αὔξησον πρὸς καρπογονίαν τῆς γῆς [2]) Ὡς γὰρ τῷ Νείλῳ ποταμῷ παριστάμενοι τὸ προκείμενον ὕδωρ τύπον ἔχοντες, καθικετεύομεν καὶ παρακαλοῦμεν τὴν σὴν ἀγα-

---

[1]) Ἀμὴν [2]) тоже.

θότητα, Κύριε ὁ Θεὸς ἡμῶν, τὴν εὐλογίαν σου, κατάπεμψον τοῖς τοῦ Νείλου ποταμοῦ ὕδασιν. Ἀμήν. Ὡς γὰρ τὸ ἐξ αὐτοῦ πινόμενον ὕδωρ ζωτικὴν δύναμιν ἐμποιεῖ τοῖς σώμασιν, οὕτως καὶ ταῖς λαγόσι τῆς γῆς καταποθούμενον αὔξησιν καρπῶν ἐμποιεῖ, θρεπτικῶς τὰ ἐκ τῆς γῆς φυόμενα τελεσφοροῦν. Ἀμήν. Ὅθεν δυσωποῦμέν σε, πολοικτίρμον καὶ φιλεύσπλαγχνε καὶ φιλόψυχε Κύριε, ἀναβιβάσαι τὰ τοῦ Νείλου ποταμοῦ ὕδατα ἐπὶ τὸ μέτρον αὐτῶν [1]). Πληρωθήτω, Δέσποτα, ὁ ποταμὸς τοῦ Θεοῦ Νεῖλος ὑδάτων. Ἀμήν. Ἑτοίμασον τῷ λαῷ σου τροφὴν δι' αὐτῶν, ὅτι οὗτός ἐστιν ἡ ἑτοιμασία σου. Ἀμήν. Ἐπίσκεψαι τὴν γῆν διὰ τῶν τοῦ ποταμοῦ ὑδάτων, καὶ μέθυσον αὐτήν, πλήθυνόν ἄμετρα ὕδατα καὶ πλούτισον αὐτήν [2]). Τὰς αὔλακας αὐτῆς μέθυσον, πλήθυνον τὰ γεννήματα αὐτῆς [3]). Εὐφρανθήτω ἡ γῆ καὶ ἀνατέλλουσα καρποὺς ἀγαθοὺς καὶ βρίθους ἀμφύτους καὶ ὡραϊζομένους τοῖς ἄνθεσιν διὰ τῶν τοῦ Νείλου ποταμοῦ ναμάτων [4]). Εὐλόγησον τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου καὶ τὰ πεδία τῆς γῆς πλησθήσονται πιότητος [5]). Πιανθήσονται τὰ ὅρια τῆς γῆς Αἰγύπτου διὰ τῶν ποταμίων ὑδάτων [6]), καὶ ἀγαλλίασιν αἱ ἄρουραι περιζώσονται, καὶ αἱ κοιλάδες αὐτῆς πληθυνέτωσαν σῖτον διὰ τὴν χρείαν τοῦ λαοῦ σου [7]). Εὐλόγησον δὲ καὶ ἡμᾶς, Κύριε ὁ Θεὸς ἡμῶν, καὶ καρποὺς ἀγαθούς, καὶ σοὶ εὐαρέστους ποιῆσαι ἀξίωσον, καὶ πνευματικῶς καρποφορῆσαι [8]) ἓν τριάκοντα [9]) καὶ ἓν ἑξήκοντα [10]), καὶ ἓν ἑκατόν [11]), ἐξιλασκόμενος τὰς ἁμαρτίας ἡμῶν [12]). Ὅτι εὐλόγηταί σου τὸ ὄνομα, δεδόξασταί σου ἡ βασιλεία, ὑπερύμνητέ σου τὸ κράτος ἐν οὐρανῷ καὶ ἐπὶ γῆς τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεί.. Ὁ διάκονος [13])· Τὰς κεφαλὰς ἡμῶν. Ὁ ἱερεὺς [14]) τὴν εὐχήν· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ πάντα συστησάμενος τῇ ἀκαταλήπτῳ σου σοφίᾳ, ἔπιδε ἐπὶ τὴν ποίμνην σου, ἣν ἐκτήσω τῷ τιμίῳ σου αἵματι, καὶ λύτρωσαι αὐτὴν ἀπὸ πάσης ἀπειλῆς, πορίζων αὐτὴν ἐσθλοπαρόχως τοῖς θείοις σου οἰκτιρμοῖς, καὶ τὰ τοῦ Νείλου ποταμοῦ νάματα ἀνάγαγε ἐπὶ τὸ ἴδιον μέτρον αὐτῶν, εὔφρανον καὶ ἀνακαίνισον τὸ τῆς γῆς πρόσωπον, ὅπως ἐν εὐθηνείᾳ διάγωμεν, δοξάζοντες τὸ πανένδοξόν σου ὄνομα σὺν τῷ ἀθανάτῳ σου Πατρί, καὶ τῷ ὁμοθρόνῳ σου Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας. Ὁ διάκονος [15])· Ἔτι τοῦ Κυρίου δεηθῶμεν. Ὁ ἱερεὺς τὴν εὐχήν· Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν ὁ παντοκράτωρ, ὁ τὸν ἅγιόν σου Μάρκον ἀναδείξας μιμητὴν τοῦ μονογενοῦς σου Υἱοῦ, Κυρίου δὲ καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ τὴν τοῦ Παρακλήτου σου Πνεύ-

[1]) Ἀμὴν [2]) тоже [3]) тоже [4]) тоже [5]) тоже [6]) тоже [7]) тоже [8]) тоже [9]) тоже [10]) тоже [11]) тоже [12]) тоже [13]) λέγει [14]) ὁ ἀρχιερεύς [15]) λέγει.

ματος δύναμιν εἰς αὐτὸν ἐπιφοιτήσας, καὶ θεοκήρυκα καὶ εὐαγγελιστὴν αὐτὸν τῇ οἰκουμένῃ χαρισάμενος, ἀπελάσαντα τὴν ἀχλὺν τῆς εἰδωλομανίας καὶ φωτίσαντα τὰ πέρατα ταῖς θείαις καὶ ἀκηράτοις μαρμαρυγαῖς τῆς σῆς ἀληθοῦς θεογνωσίας. Αὐτὸς οὖν, Δέσποτα, (τὸν) τὴν δι' αὐτοῦ κηρυχθεῖσαν ἡμῖν ὀρθόδοξον πίστιν φυλάξαντα, συμμετόχους καὶ κληρονόμους αὐτοῦ ἀνάδειξον ἡμᾶς τὴν τῶν οὐρανῶν βασιλείαν. Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ καὶ δεδοξασμένος σὺν τῷ ἀνάρχῳ σου Πατρὶ ἅμα τῷ παναγίῳ καὶ ζωοποιῷ σου Πνεύματι νῦν καὶ ἀεί.. Καὶ εὐθὺς λαμβάνει ὁ ἀρχιερεὺς τὸ τίμιον ξύλον τοῦ ζωοποιοῦ σταυροῦ μετὰ χεῖρας καὶ εὐλογεῖ τὰ ὕδατα, λέγων[1]· Εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. Εἶτα ῥαντίζει ὁ λαὸς ἅπας ἐκ τῶν ἁγιασθέντων ὑδάτων, ψάλλοντες· Εὐλογήσω τὸν Κύριον... Καὶ τότε γίνεται ἡ ἀπόλυσις τῆς θείας λειτουργίας. Ὁ ἱερεὺς λέγει ἐκφώνως· Ἀλληλούϊα, ἦχος δ'. Φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων, ὁ Θεὸς τῆς δόξης ἐβρόντησεν, Κύριος ἐπὶ ὑδάτων πολλῶν. γ'.[2]) Ὁ ποταμὸς τοῦ Θεοῦ ἐπληρώθη ὑδάτων, ἡτοίμασας τὴν[3])... Τὰς αὔλακας αὐτῆς μέθυσον, πλήθυνον τὰ γεννήματα αὐτῆς[4]). Εὐλόγησον τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου, καὶ τὰ πεδία σου πλησθήσονται πιότητος. Δόξα καὶ νῦν. Ἀμήν[5]).

л. 127 об. Τοῦτο δεῖ εἰδέναι, ὅτι τὰς καταλύσεις τῆς νηστείας ἐν ταῖς τῶν ἁγίων μνήμαις ἐν τοῖς κοινοβίοις παρατηροῦνται καὶ καταλύουσιν, αἱ δὲ λαῦραι καὶ πάντες οἱ καθ' αὐτῶν ζῶντες φυλάττειν καὶ νηστεύειν ὀφείλουσι, καὶ εἰς μόνας τὰς Δεσποτικὰς ἑορτὰς καταλύειν, ἴσως δὲ εἰ βούλονται τὴν Ν'. καὶ τὸ δωδεκαήμερον εἰς ἔλαιον καὶ οἶνον μόνον. Статья о постахъ съ перечисленіемъ самыхъ дней, въ которые бываетъ разрѣшеніе.

л. 131. Τάξις γινομένη ἐπὶ χειροτονίᾳ κ η ρ ο φ ό ρ ο υ καὶ β α σ τ α γ ά ρ η.

Προσαγόμενος ὁ τοιοῦτος τῷ ἀρχιερεῖ κλίνει τὴν κεφαλήν, καὶ σφραγίσας αὐτὸν τρίς, ὁ ἀρχιερεὺς εὔχεται οὕτως· Ὁ πᾶσαν κτίσιν τῇ αἴγλῃ λαμπρύνας τῶν θαυμασίων σου, Κύριε, ὁ καὶ πρὶν γενέσθαι τὰς τῶν ἀνθρώπων γνώμας εἰδώς, καὶ μετὰ τὸ γενέσθαι, τὰς προθέσεις ἑκάστου παραμετρῶν καὶ τοὺς ὑπηρετεῖσθαί σοι βουλομένους ἐνισχύων. Αὐτὸς καὶ

[1]) Καὶ λέγει· Ἀλληλούια Ὁ ἱερεὺς ἐκφωνεῖ· Φωνὴ Κυρίου и т. д., а возгласы: Εἰς τὸ ὄνομα и др. стоятъ послѣ [2]) Στίχος [3]) прибавлено: τὴν τροφὴν αὐτῶν. Στίχος [4]) Στίχος [5]) Καὶ βάλλει ὁ ἀρχιερεὺς τὸ τίμιον ξύλον τοῦ ζωοποιοῦ σταυροῦ εἰς τὰ ὕδατα, λέγων· Εἰς τὸ ὄνομα τοῦ Πατρὸς и т. д.

τὸν δοῦλόν σου (τόνδε) βαστάζειν καὶ φέρειν τὴν ἁγίαν εἰκόνα αἱρετισάμενον, προτρέχειν λαμπαδηφόρον τῶν ἁγίων μυστηρίων... Ἐκφώνως· Ὅτι ἡγίασται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου τοῦ Πατρός. Conf. Goar. p. 198. Εἶτα ἐνδύει αὐτὸν τὴν τετυπωμένην στολὴν καὶ ἐπευχόμενος ἀπολύει.

л. 131 об. Τάξις γινομένη ἐπὶ χειροτονίᾳ ἀ ν α γ ν ώ σ τ ο υ καὶ ψ ά λ τ ο υ. Goar. p. 194.

л. 132 об. Τάξις γινομένη ἐπὶ χειροτονίᾳ ὑ π ο δ ι α κ ό ν ο υ. Goar. p. 203.

л. 133. Τάξις γινομένη ἐπὶ χειροτονίᾳ διακόνου, ὀφείλοντος εἶναι χρόνων κε′. τελείων. Goar. p. 210.

л. 135 об. Τάξις γινομένη ἐπὶ χειροτονίᾳ πρεσβυτέρου, ὀφείλοντος εἶναι χρόνων λ′. τελείων. Goar. p. 244. При врученіи части св. Даровъ, архіерей говоритъ: Λάβε ταύτην τὴν παρακαταθήκην... Goar. p. 243, а рукополагаемый читаетъ потомъ 50 псаломъ.

л. 138. Τάξις γινομένη ἐπὶ χειροτονίᾳ ἐπισκόπου καὶ μητροπολίτου [1]).

Ἡ χάρις τοῦ παναγίου Πνεύματος διὰ τῆς ἐμῆς μετριότητος προχειρίζεται μητροπολίτην τῆς θεοσώστου πόλεως (τῆσδε) [2]). Βασιλεῦ οὐράνιε παράκλητε... [3]) Εὐλόγησον, δέσποτα, τοὺς ψάλτας. Κελεύσατε. Εἰς πολλὰ ἔτη, δέσποτα γ′. [4]) Κύριε εὐλόγησον. Εὐλόγησον, δέσποτα, τοὺς ἀναγνώστας. Κελεύσατε. Εὐλόγησον, δέσποτα, τοὺς ὑποδιακόνους. Κελεύσατε. Εὐλόγησον, δέσποτα, τοὺς διακόνους. Κελεύσατε. Εὐλόγησον, δέσποτα, τοὺς ἱερεῖς. Κελεύσατε. Εὐλόγησον, δέσποτα, τοὺς πρωτοπαπάδας. Κελεύσατε. Εὐλόγησον, δέσποτα, τὸν ὑποψήφιον. Κελεύσατε. Αὕτη ἡ πίστις τῶν ὀρθοδόξων εἰς τὴν ἁγίαν Τριάδα [5])· Πιστεύω τοιγαροῦν εἰς Πατέρα Υἱὸν καὶ ἅγιον Πνεῦμα, τὴν παναγίαν καὶ ζωαρχικὴν Τριάδα καὶ

[1]) Ркп. Синайск. библ. XVI в. № 993 Ἀρχομένης τῆς θείας λειτουργίας, ἵσταται ὁ μέλλων χειροτονεῖσθαι ἐπίσκοπος ἢ μητροπολίτης ἐν τῷ ναῷ πρὸς τὰ ὄπισθεν. Μετὰ δὲ τὴν μικρὰν εἴσοδον, προσφέρουσιν αὐτὸν δύο ἀρχιερεῖς ἕως τὸ μέσον τοῦ ναοῦ, ἐν ᾧ ἐστὶν ἀετὸς ἐγκεχαραγμένος, εἶτα ἐκφωνεῖ ὁ μέγας χαρτοφύλαξ, λέγων· Προσφέρομεν τὸν εὐλαβέστατον ἱερέα ἐπίσκοπον ὁ δεῖνα ἔμπροσθεν τῶν πανιερωτάτων ἀρχιερέων, τοῦ παναγιωτάτου πατριάρχου, ἵνα λάβῃ τὴν χάριν τῆς ἀρχιερωσύνης τῆς θεοσώστου πόλεως τῆσδε, καὶ ὁμολογοῦμεν αὐτὸν ἄξιον. Καὶ ἀποκρίνεται ὁ ἀρχιερεύς· Ἡ χάρις τοῦ [2]) ψάλλομεν [3]) Εἶτα ὁ διάκονος· Κελεύσατε. Εὐλόγησον, δέσποτα, τοὺς ψάλτας. Καὶ ὁ ἀρχιερεὺς εὐλογῶν, οἱ ψάλται· Εἰς πολλὰ ἔτη, δέσποτα γ′. [4]) Ὁ διάκονος [5]) Καὶ ὁ μέλλων λαμβάνειν τὴν ἀρχιερωσύνην ἵσταται ἐπάνω τοῦ ἀετοῦ, πατῶν αὐτόν, λέγων τὴν ὁμολογίαν αὐτοῦ, ἥτις ἐστὶν αὕτη, μεγαλοφώνως.

μονάδα, καθὼς βεβάπτισμαι καὶ τετελείωμαι, καὶ ἀναγεγέννημαι, Θεὸν τὸν Πατέρα ὁμολογῶ, Θεὸν τὸν Υἱόν, Θεὸν τὸ Πνεῦμα τὸ ἅγιον, ἓν τὰ τρία τῇ θεότητι, ὡς καὶ ἔμπαλιν, τρία τὸ ἐν ταῖς ὑποστάσεσιν· εἷς γὰρ Θεὸς ἡ Τριὰς διὰ τὸ ὁμοούσιον, εἰ καὶ διῄρηται διὰ τὸ ἑτεροϋπόστατον, αὖθίς τε ὁμολογῶ τὸν ἕνα τῆς Τριάδος, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, διὰ φιλανθρωπίαν ἄμετρον ἐν σαρκὶ ἐληλυθέναι ἐπὶ σωτηρίᾳ τοῦ καθ' ἡμᾶς γένους, δῆλόν ἐστιν, ἐκ τῆς ἁγίας καὶ παναμώμου Θεοτόκου] τὴν σάρκα ἀνειληφότα, δίχα σπορᾶς ἀνθρωπίνης, καὶ ἐκ γαστρὸς αὐτῆς κατὰ τὸ θεῖον λόγιον νόμῳ φύσεως γεγεννημένον, διπλοῦν ὄντα τὸν αὐτόν, ὅλον τέλειον τῇ θεότητι, καθ' οὗ τέτραπτο τοῦτο, ὅπερ καθ' ὑπόστασιν, ὡς ἐν δύο φύσεσι γνωριζόμενον, οὕτω θελήσεσι καὶ ἐνεργείαις, ἐν αἷς ἔδρασε καταλλήλως τά τε θεῖα καὶ ἀνθρώπινα, πρὸς τούτοις ἀποτρέπομαι πᾶσαν αἱρετικῆς κοινωνίας πλάνην, ἑπόμενος ταῖς ἁγίαις καὶ οἰκουμενικαῖς, καθὼς ἄνωθεν εἶπον, ἑπτὰ συνόδοις, προσκυνῶν καὶ ἀπεκδεχόμενος τὰς ἱερὰς καὶ σεπτὰς εἰκόνας τοῦ τε Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τῆς Θεοτόκου, ἀποστόλων, προφητῶν καὶ μαρτύρων, καὶ πάντων ὁσίων καὶ δικαίων, οὐ μὴν ἁπλῶς, ἀλλὰ καὶ τὰς ἀχράντους αὐτῶν πρεσβείας ἐξαιτοῦμαι, ἱλεοποιουμένας τὸ θεῖον, προσπτύσσομαι καὶ πίστει, καὶ πόθῳ, καὶ φόβῳ, τὰ πανάγια αὐτῶν λείψανα, ὡς χάριτος θείας ἀνάπλεα, προσέτι καὶ πᾶσαν βίβλον θεόπνευστον παλαιᾶς τε καὶ καινῆς διαθήκης ἀποδέχομαι, ἔτι μὴν καὶ πάντων τῶν θεσπεσίων πατέρων, διδασκάλων τε καὶ ἀσκητῶν τοὺς βίους καὶ τὰ συγγράμματα, συνομολογῶ δὲ πρὸς τούτοις, καὶ τὸ μοναδικὸν σχῆμα, ὑψηλόν τε εἶναι ἐπηρμένον καὶ ἀγγελικὸν καὶ καθαρτικόν τε πάσης ἀκαθαρσίας, διὰ τελείας ἐπιβιώσεως, καὶ εἰς τὴν ταύτην ὁμολογίαν, τοῦ Θεοῦ βοηθοῦντος, ζήσω καὶ ἀποθάνω. Ἀμήν [1]). Ὀρθόδοξος, ὀρθόδοξος, ὀρθόδοξος [2]). Ἡ χάρις τοῦ παναγίου Πνεύματος εἴη μετὰ σοῦ. Πάντα χορηγεῖ τὸ Πνεῦμα τὸ ἅγιον, βρύει προφητείας, ἱερέας τελειεῖ, ἀγραμμάτους σοφίαν ἐδίδαξεν ἁλιεῖς [3]). Προσφέρομεν τὸν εὐλαβέστατον ἀδελφὸν ἡμῶν (ὁ δεῖνα) τὸν πρεσβύτερον εἰς ἐπίσκοπον τῆς πόλεως, εἴπωμεν ὑπὲρ αὐτοῦ. Καὶ ἀποκρίνεται ἅπας ὁ λαὸς τὸ Κύριε ἐλέησον γ'. [4]) Ἡ θεία χάρις, ἡ πάντοτε τὰ ἀσθενῆ θεραπεύουσα... [5]) Καὶ λέγει πᾶς ὁ λαὸς τὸ Παράσχου, Κύριε γ'. [6]) Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ νομοθετήσας ἡμᾶς διὰ τοῦ πανευφήμου σου ἀποστόλου Παύλου, βαθμῶν καὶ

---

[1]) Καὶ ἀποκρίνονται [2]) Ὁ ἀρχιερεὺς [3]) Εἶτα λέγουν οἱ προσφέροντες αὐτὸν ἐπίσκοποι [4]) ὁ ἀρχιερεὺς [5]) При посвященіи μητροπολιτῶν· Ψήφῳ καὶ δοκιμασίᾳ τῶν θεοφιλεστάτων ἐπισκόπων καὶ τῶν ὁσιωτάτων πρεσβυτέρων. [6]) Ркп. Синайск. библ. № 993 Εὐχὴ παρὰ τοῦ ἀρχιερέως.

ταγμάτων τάξιν. Goar. p. 250. Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῆς εἰρήνης... Ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν... Ὑπὲρ τοῦ (δεῖνα) τοῦ νυνὶ προχειριζομένου ἐπισκόπου καὶ τῆς σωτηρίας αὐτοῦ τοῦ... Ὅπως ὁ φιλάνθρωπος Θεὸς ἄσπιλον καὶ ἀμώμητον αὐτῷ τὴν ἀρχιερωσύνην χαρίσηται τοῦ Κυρίου δεηθῶμεν... Ὑπὲρ τῶν εὐσεβεστάτων... Ὑπὲρ τῆς πόλεως ἡμῶν... Ὑπὲρ τοῦ ῥυσθῆναι. Ἀντιλαβοῦ... Τῆς παναγίας ἀχράντου... Κύριε ὁ Θεὸς ἡμῶν, ὁ διὰ τὸ μὴ δύνασθαι τὴν ἀνθρώπου φύσιν, τὴν τῆς θεότητος ὑπενεγκεῖν οὐσίαν. Goar. p. 251. Ἐκφώνησις· Στολίζει σε ἡ ἁγία τοῦ Θεοῦ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία, τὸ τιμιώτατον τῆς ἀρχιερωσύνης ἀξίωμα. Καὶ λέγουσιν· Ἄξιος γʹ. Σοφία ὀρθοὶ ἀκούσωμεν τοῦ ἁγίου εὐαγγελίου... Εἰρήνη πᾶσιν. Ἐπληρώθη ἡ χειροτονία τοῦ ἐπισκόπου, ἢ τοῦ μητροπολίτου.

л. 141 об. Πῶς δεῖ ὁ ἀρχιερεὺς αὐτὸν ἐνθρονιάζεσθαι.

Προσφέρει ὁ μέλλων ἐνθρονιάζεσθαι τὰ θεῖα μυστήρια, παρόντων δύο ἢ καὶ τριῶν ἐπισκόπων ἐπαρχιωτῶν ἐνθρονιασθέντων, καὶ ὅταν μεταλαμβάνονται οἱ ἱερεῖς, μεταλαμβάνουσι καὶ οἱ παρόντες ἐπίσκοποι τὸν μέλλοντα ἐνθρονιάζεσθαι, καὶ καθέζουσιν αὐτὸν ἐπὶ τοῦ ἐνθρονίου τὸν ἐνθρονιασθέντα, τῶν δύο ἐπισκόπων ἑστώτων ἔνθεν καὶ ἔνθεν, καὶ λέγει πρῶτον ὁ εἰς τὰ δεξιά, εἶτα ὁ ἐξ ἀριστερῶν, οὕτως τοῦ λαοῦ ἔξω τοῦ ἱερατείου ἑστηκότος ἡσύχως, ἡμέρᾳ κυριακῇ ἢ μεγάλῃ ἑορτῇ· Ἡ θεία χάρις, ἡ πάντοτε τὰ ἀσθενῆ θεραπεύουσα καὶ τὰ ἐλλείποντα ἀναπληροῦσα, ἐνθρονιάζει (ὁ δεῖνα) τὸν ἀδελφὸν ἡμῶν (ὁ δεῖνα), τὸν ἁγιώτατον καὶ ἐνάρετον ἐπίσκοπον, ἐν ὀνόματι τοῦ Πατρός. Καὶ ἀποκρίνεται ὁ λαός· Ἀμήν. Καὶ τοῦ Υἱοῦ. Ἀμήν. Καὶ τοῦ ἁγίου Πνεύματος. Ἀμήν Καθίζων καὶ ἀνιστῶν τρίτον, ὡς ἐν τῷ βαπτίσματι. Καὶ ἀποκρίνονται πάντες ἐκ γʹ. Ἄξιος, ἄξιος, ἄξιος. Εἶτα ποιεῖ ὁ ἐπίσκοπος εὐχήν, τοῦ διακόνου (λέγοντος) τὰ εἰρηνικὰ ταῦτα· Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς εἰρήνης... Ὑπὲρ σωτηρίας καὶ ἀντιλήψεως τοῦ ἁγίου πατρὸς ἡμῶν (δεῖνος) πατριάρχου εἴπωμεν. Τῆς παναγίας... Εἶτα ῥητέον ὑψιφώνως ταύτην· Καὶ ὑπὲρ σωτηρίας καὶ ἀντιλήψεως τοῦ ὁσίου πατρὸς ἡμῶν (δεῖνος), τοῦ νῦν ἐνθρονιαζομένου ἐπισκόπου, εἴπωμεν πάντες ἐκτενῶς. Κύριε ἐλέησον γʹ. Εἶτα ὁ ἀρχιεπίσκοπος ὁ χειροτονῶν λέγει οὕτως· Δέσποτα παντοκράτωρ καὶ Κύριε τῶν ὅλων, Πατὴρ τῶν οἰκτιρμῶν, καὶ Θεὸς πάσης παρακλήσεως, Σὺ διαφύλαξον ποιμένα μετὰ ποίμνης· Σὺ γὰρ εἶ πρόφασις, Σὺ ἡ δύναμις, ἡμεῖς τὸ βοηθούμενον, Σὺ ὁ βοηθός, ὁ ἰατρός, ὁ Σωτήρ, ἡ προσδοκία, καὶ ἡ ζωή, καὶ ἡ ἀνάστασις, καὶ συνελὼν εἴπω, Σὺ ἡμῖν πάντα τὰ πρὸς αἰώνιον ὕπαρξιν, σωτηρίας συνήρμωσας, πάντα δύνασαι, ῥῦσαι, φύλαξον, σκέπασον, φρούρησον· Σὺ γὰρ εἶ ὁ ἄρχων ἀρχόντων, καὶ Κύριος κυρίων, καὶ Δεσπότης δεσπο-

τῶν, καὶ βασιλεὺς βασιλέων, Σὺ δὸς ἐξουσίαν τῷ προκαθεζομένῳ καὶ χάριν λύειν, ἃ δεῖ λύειν, καὶ δεσμεῖν, ἃ δεῖ δεσμεῖν, Σὺ σόφισον, ὡς δι' ὀργάνου (ἁγιασμοῦ) δι' αὐτοῦ τὴν ἐκκλησίαν τοῦ Χριστοῦ σου, ὡς καλὴν νύμφην διαφύλαξον, ὅτι παντοδύναμος καὶ παντοκράτωρ Θεὸς ὑπάρχεις, καὶ σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα τοῦ Πατρὸς καὶ τοῦ μονογενοῦς σου Υἱοῦ, καὶ τοῦ παναγίου καὶ ἀγαθοῦ καὶ ζωοποιοῦ σου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Εἶτα ἱστάμενος ὁ ἀρχιδιάκονος μετὰ καὶ ἄλλου κληρικοῦ ἐπὶ ἀναβαθμῶν εὐφημίζει, τοῦ λαοῦ ἀποκρινομένου· (Τοῦδε) τοῦ ἁγιωτάτου πατριάρχου πολλὰ τὰ ἔτη. (Τοῦδε) τοῦ ἁγιωτάτου μητροπολίτου πολλὰ τὰ ἔτη. (Τοῦδε) τοῦ θεοψηφίστου ἐπισκόπου πολλὰ τὰ ἔτη. Τῆς παρούσης ἁγίας συνόδου πολλὰ τὰ ἔτη. Τοῦ θεοφιλοῦς κλήρου πολλὰ τὰ ἔτη. Τῶν θεοστέπτων ἡμῶν ἀνάκτων πολλὰ τὰ ἔτη. Τοῦ εὐκλεεστάτου ἄρχοντος πολλὰ τὰ ἔτη. Τοῦ φιλοχρίστου λαοῦ πολλὰ τὰ ἔτη. Αὔξη (sic) ἡ πίστις τῶν χριστιανῶν. Αὔξη ἡ πίστις τῶν ὀρθοδόξων. Ὀρθοδόξων (τῆσδε) τῆς πόλεως πολλὰ τὰ ἔτη. Ἀπολαύσεις τοῦ θρόνου σου, ὁσιώτατε πάτερ. Ῥάβδον δυνάμεως ἐξαποστελεῖ σοι Κύριος ἐκ Σιών, καὶ κατακυρίευε ἐν μέσῳ τῶν ἐχθρῶν σου, μετὰ σοῦ ἡ ἀρχὴ ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου, ἐν ταῖς λαμπρότησι τῶν ἁγίων σου, ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε, ὤμοσε Κύριος καὶ οὐ μεταμεληθήσεται, σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ, εἰρήνη καὶ ὁμόνοια καὶ μέγα ἔλεος. Ἐπληρώθη ἡ τάξις τοῦ ἐνθρονιασμοῦ.

л. 143 об. Κατάστασις γινομένη ἐπὶ χειροτονίᾳ ἀρχιεπισκόπου ἢ πατριάρχου.

Κύριε εὐλόγησον. Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τοῦ ἁγίου οἴκου... Ἔτι ὑπὲρ σωτηρίας καὶ ἀντιλήψεως τοῦ ἀδελφοῦ ἡμῶν (τοῦδε), τοῦ νῦν προχειριζομένου πατριάρχου τοῦ... Ὅπως ὁ φιλάνθρωπος Θεὸς ἄσπιλον καὶ ἀμώμητον χαρίσηται αὐτῷ τὴν χάριν τῆς ἀρχιερωσύνης, ἐκτενῶς δεηθῶμεν. Ὑπὲρ τοῦ ῥυσθῆναι... Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας ἀχράντου... Τότε λέγει ὁ μέγας ἀρχιεπίσκοπος τὴν εὐχὴν ταύτην· Κηδεμὼν καὶ προστάτα τῆς ἐκκλησίας τοῦ Χριστοῦ σου, Δέσποτα παντοκράτωρ, ὁ καθ' εἷς τῶν ἱερέων, προσιόντας σοι διὰ πίστεως, καὶ προσάγοντας ἐν ἑαυτοῖς τοὺς ἑπομένους λαούς, τοὺς ἐν τῇ σῇ χάριτι ποιμένας, ἐπίπνευσον τὴν ἀρχιερατικὴν χάριν τῷ δούλῳ σου (τῷδε) ἐν ὁμοιώματι τῶν ἁγίων σου ἀποστόλων, τῶν διαγγειλάντων τὴν δόξαν τοῦ Χριστοῦ σου, ὧν διαδόχους καὶ τοὺς νῦν ποιμένας, οὓς ἐγείρεις εἰς εὐεργεσίαν πάσης τῆς ἐκκλησίας, εἰς ἀληθινὴν πρεσβείαν τοὺς λόγους σου, καὶ δεκτὴν προσαγωγὴν τοῦ λαοῦ σου, καλλωπίζων κάλλει τῶν ἁγίων σου,

πρὸς τὸ παραστῆναι τῷ Χριστῷ σου ἐν παῤῥησίᾳ, μεθ' οὗ σοι πρέπει δόξα ἅμα τῷ ἀγαθῷ καὶ παναγίῳ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Εἶτα λέγει ὁ δεύτερος ἐπίσκοπος καὶ ἑτέραν εὐχήν· Ἔτι τοῦ Κυρίου δεηθῶμεν. Ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ δεδώρηται τοῖς ἁγίοις αὐτοῦ ἀποστόλοις, οἳ καθίδρυσαν τὴν ἐκκλησίαν σου κατὰ τόπους εἰς ἔπαινον ἀδιάλειπτον τοῦ ὀνόματός σου, καὶ δὸς τῷ δούλῳ σου δεῖνα ποιμαίνειν ποίμνην σου ἁγίαν, λειτουργεῖν σοι ἡμέρας καὶ νυκτὸς ἀδιαλείπτως, προσφέρειν τὰ δῶρα τῆς ἁγίας σου ἐκκλησίας, ἀφιέναι ἁμαρτίας κατὰ τὴν ἐντολήν σου, εὐχαριστεῖν καὶ εὐαρεστεῖν σοι ἐν πραότητι καὶ καθαρᾷ καρδίᾳ. Ὅτι εὐλόγηταί σου τὸ ὄνομα τὸ δεδοξασμένον ἐν οὐρανῷ καὶ ἐπὶ γῆς τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος νῦν καὶ ἀεὶ καὶ εἰς τούς... Εἶτα λέγει ὁ τρίτος ἐπίσκοπος καὶ τὴν εὐχὴν ταύτην. Ἔτι τοῦ Κυρίου δεηθῶμεν. Ὁ τὴν ἀρχιερατικὴν δωρεὰν δεδωκὼς ἐν Ἰσραὴλ διὰ σωματικῶν λειτουργιῶν, καὶ τὴν πνευματικὴν ἐν ἡμῖν ἀρχιερωσύνην καταστησάμενος, ἐπάκουσον ἡμῶν, Δέσποτα ὁ Θεὸς τῶν ταπεινῶν δούλων σου, καὶ κατάστησον τὸν δοῦλόν σου τοῦτον ποιμένα καὶ πιστὸν λειτουργόν, καὶ φύλακα τῆς ἀμωμήτου πίστεως εἰς καταρτισμὸν τῆς ἁγίας σου ἐκκλησίας, εἰς προσαγωγὴν τῶν ἀλλοτρίων, καὶ τήρησιν τῶν ἰδίων, πρὸς τὸ δέξασθαι τὴν χάριν τοῦ Χριστοῦ σου, καὶ αὐξάνεσθαι τὴν ἐκκλησίαν σου ταῖς ἐνεργείαις τοῦ ἁγίου σου Πνεύματος, καὶ παραστῆναι ἔνδοξον αὐτῷ τῷ Χριστῷ σου, μεθ' οὗ σοι πρέπει δόξα, τιμὴ καὶ μεγαλοπρέπεια, ἅμα τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Καὶ τὴν εὐχὴν ταύτην ἰδίως εἰς τὸν χειροτονούμενον πατριάρχην λέγουσιν αὐτὴν οἱ ἀρχιερεῖς ὅλοι καθ' ἑνὸς ἅπαξ. Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ἐλέησον. Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν ὁ παντοκράτωρ, ὁ διὰ τοῦ μονογενοῦς σου Παιδὸς Ἰησοῦ Χριστοῦ δεόμεθα καὶ παρακαλοῦμέν σε, ἀνάδειξον τὸν δοῦλόν σου (τόνδε) ποιμένα τῶν ποιμένων σου καὶ ἀρχιερέα τοῦ λαοῦ σου καὶ τοῦ θυσιαστηρίου σου, μετασκεύασον αὐτόν, Δέσποτα, εἰς ἄνδρα τέλειον, ἕτερον ἐκ (sic) τὸν ἕτερον, δὸς αὐτῷ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ, χάρισαι αὐτῷ πνεῦμα σοφίας, πνεῦμα συνέσεως, πνεῦμα υἱοθεσίας, δὸς αὐτῷ τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν, ἃς παρέδωκας τῷ κορυφαίῳ Πέτρῳ καὶ προκρίτῳ σου, ὑπόταξον αὐτῷ ἀρχιερεῖς, τοὺς ἄρχοντας καὶ τοὺς δήμους, ἵνα ἀμέμπτως λειτουργήσῃ σε, καὶ ὑπηρετῇ τῷ ἁγίῳ σου θυσιαστηρίῳ, καὶ ποιμάνῃ πάντα τὸν λαόν σου ἐν ὁσιότητι καὶ εὐθύτητι, καὶ δικαιοσύνῃ, καὶ ἀληθείᾳ διὰ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ καὶ δεδοξασμένος σὺν τῷ παναγίῳ καὶ ἀγα-

θῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας... Εἶτα ἐπαίρεται ἀπ' αὐτοῦ τὸ εὐαγγέλιον, καὶ λαβὼν ὁ πρῶτος ἀρχιεπίσκοπος σάκκον τὸν πολύσταυρον ἀπὸ τοῦ ἁγίου θυσιαστηρίου, καὶ σφραγίσας σταυροειδῶς, ἐνδύει αὐτόν, λέγων· Ἐνδύεται ὁ δοῦλος τοῦ Θεοῦ (ὅδε) τὸν τίμιον σάκκον εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος... Καὶ λέγει πᾶς ὁ λαός· Ἄξιος, ἄξιος, ἄξιος. Ὁμοίως καὶ τὸ κριτάτον, ἐνδύει αὐτόν, λέγων· Ἐνδύεται ὁ δοῦλος τοῦ Θεοῦ τὸ τίμιον κριτάτον, εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. Καὶ λέγει πᾶς ὁ λαός· Ἄξιος, ἄξιος, ἄξιος. Ὁμοίως, λαβὼν καὶ τὸ ὠμοφόριον ἀπὸ τὴν ἁγίαν τράπεζαν καὶ σφραγίσας, ἐνδύει αὐτόν, λέγων· Στολίζει σε, ἀδελφὲ ἡμῶν (ὁ δεῖνα), ἡ ἁγία τοῦ Θεοῦ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία τὸ τιμιώτατον ὠμοφόριον, ἀλουργίδα, τῆς πατριαρχικῆς ἐπὶ θρόνου τῆς μεγάλης πόλεως Ἀλεξανδρείας ἀξίωμα, εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου... Καὶ ἀποκρίνεται πάλιν πᾶς ὁ λαός· Ἄξιος γ'. Καὶ προσεγγίζει τὸν χειροτονούμενον καὶ ἀσπάζεται τὴν ἁγίαν τράπεζαν, καὶ λαβὼν τὸ ἅγιον εὐαγγέλιον, ἀναβαίνει εἰς τὸν ἄμβωνα καὶ ἀναγινώσκει εὐαγγέλιον· Ἐκ τοῦ κατὰ Ἰωάννην· Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους· Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας εἰς τὴν αὐλὴν τῶν προβάτων... Τέλος· Καὶ γενήσεται μία ποίμνη εἷς ποιμήν. Πολυχρόνιον ποιήσει ὁ Θεὸς τὸν δεσπότην ἡμῶν (τοῦδε) τοῦ θεοτιμίτου ἐπὶ θρόνου τῆς μεγαλοπόλεως Ἀλεξανδρείας, πολλὰ τὰ ἔτη. Καὶ λέγει πᾶς ὁ λαός· Ἀμήν. Γένοιτο, γένοιτο. Ἀπὸ δόξης εἰς δόξαν πορευόμενοι, σὲ ὑμνοῦμεν τὸν Σωτῆρα τῶν ψυχῶν ἡμῶν. Ἔτι τοῦ Κυρίου δεηθῶμεν. Ὁ λαός· Κύριε ἐλέησον. Τὰς κεφαλὰς ἡμῶν... Δέσποτα Κύριε ὁ Θεὸς τῶν δυνάμεων, ὁ τὴν καθολικὴν σου ἐκκλησίαν τῷ τιμίῳ αἵματι τοῦ μονογενοῦς σου Υἱοῦ συστησάμενος, καὶ πᾶσαν τάξιν ἱερωσύνης καταστησάμενος, ὁ διὰ τὴν ὑπερβάλλουσαν ἀγαθότητά σου θέμενος ἡμᾶς τοὺς ἀναξίους δούλους σου εἰς τὸν κλῆρον τῆς διακονίας ταύτης, καὶ τὰς σωτηρίους ἡμῶν προσδεχόμενος προσφοράς, καὶ χαρισάμενος ἡμῖν ὁδηγοὺς πρὸς τὴν σὴν εὐαρέστησιν, δι' ὧν ἐπληθύνθη καὶ ἐδοξάσθη κατὰ πάσης τῆς οἰκουμένης ἡ γνῶσις τοῦ ὀνόματος τοῦ Χριστοῦ σου· ὁ Θεός, ὁ καθ' ἑκάστην γενεὰν καὶ γενεὰν γνωρίζων τοὺς ἐκλεκτούς σου, καὶ ἕκαστον πρὸς τὴν οἰκείαν διακονίαν προσκαλεσάμενος, ὡς ἐνίσχυσας τοὺς ἁγίους σου προφήτας καὶ ἀποστόλους, ὡς ἔχρισας τοὺς βασιλεῖς, ὡς ἡγίασας τοὺς ἀρχιερεῖς, οὕτως καὶ νῦν, Δέσποτα, καὶ ἐπὶ τὸν δοῦλόν σου (τόνδε) ἐπένεγκε τὴν μεγάλην χάριν σου καὶ ἀγαθήν, ἐπισκηνησάτω ἐπ' αὐτὸν ἡ δύναμις τοῦ παναγίου σου Πνεύματος, στήριξον αὐτὸν τῷ Πνεύματί σου τῷ ἡγεμονικῷ, Αὐτὸς αὐτῷ τὸ τῆς μεγάλης ἀρ-

*

χιερωσύνης καὶ τάξιν τὴν πατριαρχικὴν δῶρον κατάπεμψον, ὡς τῷ κορυφαίῳ τῶν ἀποστόλων Πέτρῳ τὰς κλεῖς τῶν οὐρανῶν αὐτῷ καταπιστεύων, ἀξίωσον αὐτὸν μιμητὴν γενέσθαι τοῦ ἀληθινοῦ ποιμένος, τιθοῦντα (sic) τὴν ψυχὴν αὐτοῦ ὑπὲρ τῶν προβάτων, ποίησον αὐτὸν γενέσθαι ὁδηγὸν τυφλῶν, φῶς τῶν ἐν σκότει, παιδευτὴν ἀφρόνων, φωστῆρα ἐν κόσμῳ, ἵνα, καταρτήσας τὰς ἐμπιστευθείσας αὐτῷ ψυχὰς πρὸς πίστιν ὀρθόδοξον, καὶ ἐπίγνωσιν ἀληθῆ τῆς σῆς θεότητος, παραστῇ τῷ βήματι τοῦ Χριστοῦ σου, ἐκδεχόμενος τὸν μέγαν μισθόν, ὃν ἡτοίμασας τοῖς ἀγαπῶσί σε ἐναθλήσασι τῷ κηρύγματι τοῦ εὐαγγελίου. Ναί, ὁ Θεός, πλήρωσον αὐτὸν εἰς τὴν τιμιωτάτην ταύτην τάξιν τῆς δυνάμεώς σου καὶ τῆς χάριτος τοῦ μονογενοῦς σου Υἱοῦ, καὶ τῆς ἐνεργείας τοῦ παναγίου σου Πνεύματος, ἐλθέτω ἐπ' αὐτὸν ἡ δύναμις τοῦ εὐαγγελίου, χαρίσματα προφητείας, ἐνεργήματα δυνάμεως, διὰ τοῦ Πνεύματος τοῦ ἁγίου ἐπιτελείτω, εἰς δόξαν καὶ ἔπαινον τῆς ἁγίας δόξης σου τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Εἶτα λέγει ὁ πρωτοεπίσκοπος· Εὐλογητὸς Κύριος, ἰδοὺ γέγονας τέλειος ἀρχιερεὺς καὶ πατριάρχης. Καὶ λέγει ὁ κλῆρος· Ἄξιος γ΄. Ὁμοίως καὶ πάντες οἱ ἀρχιερεῖς λέγουσι τὴν εὐλογίαν ταύτην εἷς καθ' εἷς ἅπαξ καὶ ἀσπάζουσιν αὐτόν. Τότε λαμβάνουσιν οἱ ἀρχιερεῖς τὸν θυμιατόν, καὶ ἔρχονται ὅλοι εἰς τὸν πατριάρχην θέσει(ν) τὸ θυμίαμα, καὶ λαμβάνει ὁ πατριάρχης τὸν τίμιον σταυρόν, καὶ γίνεται εἴσοδος, καὶ ὅλοι οἱ κληρικοὶ ψάλλουσιν ἔμπροσθεν αὐτοῦ τὸ ἰδιόμελον τοῦτο, ἦχος α΄. Πάντα χορηγεῖ τὸ Πνεῦμα τὸ ἅγιον, βρύει προφητείας, ἱερέας τελειοῖ, ἀγραμμάτους σοφίαν ἐδίδαξεν, ἁλιεῖς θεολόγους ἀνέδειξεν, ὅλον συγκροτεῖ τὸν θεσμὸν τῆς ἐκκλησίας, ὁμοούσιε καὶ ὁμόθρονε τῷ Πατρὶ καὶ τῷ Υἱῷ Παράκλητε δόξα σοι. Ἐν ὀνόματι Κυρίου εὐλογεῖτε, ἅγιοι. Εὐλόγησον, δέσποτα. Εἰς ἀρχιερέα λέγει· Ὁ ὢν εὐλογητὸς Θεὸς ἡμῶν πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ λαὸς τὸ Ἀμήν. Στερεώσει ὁ Θεὸς τοὺς βασιλεῖς ἡμῶν. Εἶτα εὐλογεῖ ὁ πατριάρχης καὶ ἀπολύει. Ἐπληρώθη ἡ χειροτονία τοῦ πατριάρχου.

л. 139 об. **Чинъ возведенія на патріаршій престолъ александрійскаго патріарха.**

Ἀπὸ δόξης εἰς δόξαν πορευόμενοι, Σὲ ὑμνοῦμεν τὸν Σωτῆρα τῶν ψυχῶν ἡμῶν. Πρόσχωμεν. Ἡ θεία χάρις, ἡ τὰ ἀσθενῆ θεραπεύουσα, καὶ τὰ ἐλλείποντα ἀναπληροῦσα, καὶ πρόνοιαν ἀεὶ ποιουμένη τῶν ἁγίων αὐτῆς ὀρθοδόξων ἐκκλησιῶν, ἐνθρονιάζει ἐν θρόνῳ τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ Μάρκου τῆς μεγαλοπόλεως Ἀλεξανδρείας τὸν πατέρα ἡμῶν (τὸν δεῖνα), τὸν ἁγιώτατον καὶ ἐνάρετον πατριάρχην, ἐν ὀνόματι τοῦ Πατρός. Ἀμήν. Καὶ τοῦ

Υἱοῦ. Ἀμήν. Καὶ τοῦ ἁγίου Πνεύματος. Ἀμήν. Ὁ λαός· Ἄξιος γ΄. Κρατοῦντες αὐτὸν τρεῖς μητροπολῖται, καθίζων καὶ ἀνιστῶν (sic) τὸν πατριάρχην τρίτον, ὡς ἐν τῷ ἁγίῳ βαπτίσματι, καὶ ἀποκρίνεται πᾶς ὁ λαὸς ἐκ τρίτου, λέγοντες πρότερον οἱ ἀρχιερεῖς· Εἰς τὸ ὄνομα τοῦ Πατρός. Ἀμήν. Καὶ τοῦ Υἱοῦ. Ἀμήν. Καὶ τοῦ ἁγίου Πνεύματος. Ἀμήν. Ἄξιος γ΄. Καὶ λέγει εἷς ἀπ' αὐτῶν τῶν ἀρχιερέων τὴν ἐκτενὴν ταύτην· Ἐν εἰρήνῃ. Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ σωτηρίας... Ὑπὲρ τοῦ ἁγίου οἴκου... Ἔτι ὑπὲρ σωτηρίας καὶ ἀντιλήψεως τοῦ ἁγιωτάτου πατρὸς ἡμῶν (τοῦδε), τοῦ νῦν ἐνθρονιαζομένου πατριάρχου, εἴπωμεν πάντες ἐκτενῶς. Ἔτι δεόμεθα ὑπὲρ τῆς παρούσης ἁγίας συνόδου, εἴπωμεν πάντες ἐκτενῶς... Ὑπὲρ τοῦ ῥυσθῆναι... Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας... Δέσποτα παντοκράτωρ καὶ Κύριε τῶν ὅλων... Σὺ γὰρ εἶ ἡ πρόφασις πᾶσα ἀγαθή, Σὺ ἡ δύναμις τῶν ἀδυνάτων, Σὺ ὁ βοηθὸς τῶν ἀβοηθήτων, Σὺ ὁ ἰατρὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων, Σὺ ὁ Σωτήρ... Σὺ δὸς ἐξουσίαν τῷ προκαθεζομένῳ ἐν θρόνῳ ἀποστολικῷ τούτῳ καὶ χάριν λύειν, ἃ δεῖ λύειν... Снес. выше стр. 694—695. (Τοῦδε) τοῦ ἁγιωτάτου καὶ παναγιωτάτου, πολλὰ τὰ ἔτη. Καὶ ὁ πᾶς ὁ κλῆρος λέγων· Πολλὰ τὰ ἔτη σου, δέσποτα, τρίς. Καὶ ὁ ἀρχιδιάκονος λέγει· Σοφία ὀρθοί, ἀκούσωμεν τοῦ ἁγίου εὐαγγελίου. Καὶ λέγει ὁ πατριάρχης· Εἰρήνη πᾶσι. Καὶ λέγει ὁ πατριάρχης· Ἐκ τοῦ κατὰ Μάρκον ἁγίου εὐαγγελίου... Καὶ λέγει ὁ λαός· Δόξα σοι, Κύριε, δόξα σοι. Καὶ οἱ ἀρχιερεῖς καὶ οἱ ἱερεῖς, καὶ οἱ διάκονοι λέγουσι· Πρόσχωμεν τῇ ἁγίᾳ ἀναγνώσει. Καὶ ὁ πατριάρχης ἀναγινώσκει τὸ εὐαγγέλιον· Ἀρχὴ τοῦ εὐαγγελίου Ἰησοῦ Χριστοῦ Υἱοῦ τοῦ Θεοῦ... Τέλος· Αὐτὸς δὲ βαπτίσει ὑμᾶς ἐν Πνεύματι ἁγίῳ. Πολυχρόνιον ποιήσει ὁ Θεὸς τὸν δεσπότην καὶ ἀρχιερέα ἡμῶν (τόνδε), τὸν πατριάρχην τὸν θεοτίμητον ἐπὶ θρόνου τῆς μεγαλοπόλεως Ἀλεξανδρείας, πολλὰ τὰ ἔτη. Καὶ ἀποκρίνεται πᾶς ὁ λαός· Ἀμήν. Γένοιτο. Πολλὰ τὰ ἔτη. Πολυχρόνιον ποιήσει ὁ Θεὸς τοὺς θεοφόρους πατέρας ἡμῶν καὶ ἀρχιεπισκόπους ὀρθοδόξους, (ὁ δεῖνος) τοῦ μητροπολίτου, καὶ (ὁ δεῖνος) τοῦ μητροπολίτου, καὶ (ὁ δεῖνος) μητροπολίτου ἐπὶ τοὺς θρόνους αὐτῶν, πολλὰ τὰ ἔτη. Καὶ ἀποκρίνεται ὁ λαός· Ἀμήν. Γένοιτο, γένοιτο. Πολλὰ τὰ ἔτη. Καὶ λέγει πάλιν· Πολυχρόνιον ποιήσει ὁ Θεὸς τῶν θεοστέπτων καὶ πιστοτάτων ἡμῶν ἀνάκτων (ὁ δεῖνος καὶ ὁ δεῖνος) ἐπὶ τῶν θρόνων τῆς βασιλείας αὐτῶν, πολλὰ τὰ ἔτη. Καὶ λέγει (ὁ λαός·) Ἀμήν. Γένοιτο, γένοιτο. Καὶ λέγει πάλιν· Πολυχρόνιον ποιήσει ὁ Θεὸς τῆς παρούσης ἁγίας συνόδου, παντὸς τοῦ κλήρου καὶ τοῦ φιλοχρίστου λαοῦ, πολλὰ τὰ ἔτη. Καὶ ὁ λαός· Ἀμήν. Γένοιτο, γένοιτο. Πολλὰ τὰ ἔτη. Καὶ πάλιν λέγει μεγάλῃ φωνῇ· Αὔξῃ ἡ πίστις τῶν χριστιανῶν. Αὔξῃ ἡ πίστις τῶν ὀρθοδόξων. Αὔξῃ ἡ πίστις τῶν χριστιανῶν. Ἀπολαύσεις τοῦ θρόνου σου,

ἁγιώτατε πάτερ, πολλὰ τὰ ἔτη. Καὶ ὁ λαός· Ἀμήν. Γένοιτο, γένοιτο. Πολλὰ τὰ ἔτη, πολλὰ τὰ ἔτη, πολλὰ τὰ ἔτη σου, δέσποτα. Εἶτα ἐκφωνεῖ ὁ πρωτοψάλτης μεγάλῃ τῇ φωνῇ· Δύναμις. Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

л. 153. Τάξις γινομένη ἐπὶ καθιερώσει ναοῦ καὶ ἱδρύσει τῆς ἐν αὐτῷ ἁγίας τραπέζης. См. выше стр. 379. Прокименъ предъ апостоломъ: Ἅγιος ὁ ναός σου, θαυμαστὸς ἐν δικαιοσύνῃ. Στίχος· Σοὶ πρέπει ὕμνος... Ὁ ἀπόστολος πρὸς Ἑβραίους Ἀδελφοί, ἔχομεν θυσιαστήριον, ἐξ οὗ φαγεῖν οὐκ ἔχουσιν ἐξουσίαν... Τέλος· τοιαύταις γὰρ θυσίαις εὐαρεστεῖται ὁ Θεός. Ἀλληλουάριον, ἦχος δ'. Πλησθησόμεθα ἐν τοῖς ἀγαθοῖς. Τῷ οἴκῳ σου πρέπει ἁγίασμα, Κύριε.

л. 173. [Τάξις ἐγκαινίων ἁγίας τραπέζης, βεβηλωθείσης ὑπὸ ἀλλοφύλων)[1]. Εὐλογητὸς ὁ Θεός, ψαλμὸς πς'. Οἱ θεμέλιοι αὐτοῦ ἐν τοῖς ὄρεσι τοῖς ἁγίοις. Εὐχή· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ναὸν ἅγιον οἰκοδομηθῆναι κελεύσας παρὰ Δαβὶδ καὶ Σολομῶντος, τῶν δούλων σου, καὶ ἁγιάσας αὐτὸν καὶ προσδεξάμενος ἐν αὐτῷ λειτουργίας εἰς ἀπολύτρωσιν πλημμελημάτων τοῦ λαοῦ σοῦ, Σοὶ κατὰ τοιοῦτον παρακαλοῦμεν τὸν οἶκον τοῦτον, εἰς δόξαν γενόμενον τῆς σῆς μεγαλειότητος, δὸς ναὸν ἅγιόν σου καλεῖσθαι καὶ τὴν τοῦ ἁγίου σου Πνεύματος δέξασθαι χάριν, ὥστε ἐν αὐτῷ τὰ σὰ χαρίσματα πηγάζειν καὶ τὰς εὐεργεσίας τὰς παρὰ σοῦ χάριτι τοῦ Χριστοῦ σου, μεθ' οὗ σοὶ πρέπει δόξα σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας... Ὁ διάκονος λέγει· Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῆς εἰρήνης... Ὑπὲρ τοῦ νῦν ἐγκαινιζομένου οἴκου τούτου ἁγιασθῆναι τῇ ἐπικλήσει καὶ ἐνεργείᾳ τοῦ ἁγίου Πνεύματος τοῦ... Ὑπὲρ τοῦ στηριχθῆναι τὸν οἶκον τοῦτον καὶ διαφυλαχθῆναι τοὺς μετὰ πίστεως καὶ εὐλαβείας καὶ φόβου Θεοῦ εἰσιόνταν ἐν αὐτῷ τοῦ... Ὑπὲρ τῶν ἀρχιερέων ἡμῶν ὁ δεῖνος τοῦ πατριάρχου, ὁ δεῖνος ἀρχιεπισκόπου τοῦ... Ὑπὲρ τῶν εὐσεβεστάτων... Ὑπὲρ τῆς πόλεως ἡμῶν... Ὑπὲρ εὐκρασίας ἀέρων... Ὑπὲρ πλεόντων, ὁδοιπορούντων... Ὑπὲρ τοῦ ῥυσθῆναι... Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας... (упоминается имя святого храма). Εἶτα ἐκφωνεῖ ὁ ἀρχιερεύς, λέγων· Εὐλογητὸς ὁ Θεός, ὁ στηρίζων καὶ ἁγιάζων τὸν ναὸν τοῦτον εἰς τὸ ὄνομα τοῦ ἁγίου τοῦδε τοῦ ναοῦ ἕως τῆς συντελείας τοῦ αἰῶνος τούτου. Ὁ κλῆρος· Ἀμήν. Ῥαντιεῖς με ὑσσώπῳ... Καὶ μετὰ τοῦτο κλινόμενος ὁ ἀρχιερεὺς καὶ εὔχεται μυστικῶς· Ὁ κτίσας καὶ διακοσμήσας τὰ σύμπαντα Θεὸς

---

[1]) Заглавіе беремъ изъ рукописи XIV в. патріаршей александрійской (въ Каирѣ) библ. № 149—104.

καὶ εἰς ἀνάκλησιν καὶ βεβαίωσιν ταῦτα τοῖς υἱοῖς τῶν ἀνθρώπων δωρησάμενος, ὁ καὶ τὸν τόπον τοῦτον τὸν ἅγιον εἰς δόξαν τοῦ ὀνόματός σου καὶ εἰς ὄνομα τοῦ ἁγίου ἐγείρας καὶ ἐγκαινίσαι ποιήσας, χάρισαι, Δέσποτα, ἐν αὐτῷ τελεῖσθαι διὰ τῆς ἐπικλήσεώς σου σημεῖα καὶ τέρατα ἔνδοξα καὶ πνευματικά, συνάξεις καὶ ἀγρυπνίας εἰς τιμὴν καὶ ἔπαινον τοῦ Χριστοῦ σου, μεθ' οὗ σοι πρέπει δόξα σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Ὁ ἀρχιερεὺς ψάλλει· Ἀλληλούια, ἦχος βαρύς, γ'. Στίχος α'. Ὁ Κύριος ἐβασίλευσεν. Ὁ κλῆρος· Ἀλληλούια, εἰς ἅπαξ. Στίχος β'. Ἐνεδύσατο Κύριος. Ὁ κλῆρος· Ἀλληλούια τρίς. Στίχος γ'. Τῷ οἴκῳ σου πρέπει. Ὁ λαός· Ἀλληλούια γ'. Δόξα καὶ νῦν. Ἀλληλούια γ'. Ἀλληλούια, Ἀλληλούια, Ἀλληλούια. Ὁ ἱερεὺς λέγων· Ἐνδύεται ἡ ἁγία τράπεζα αὕτη ἔνδυμα τῆς ἁγιότητος, ἐν ὀνόματι τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος νῦν καὶ ἀεί... Εἰρήνη πᾶσι. Τὰς κεφαλάς. Ὁ ἀρχιερεὺς κλινόμενος ἐπεύχεται. Εὐχή· Δέσποτα Κύριε, ὁ διὰ τῶν ἁγίων σου ἀποστόλων φωταγωγήσας καὶ ὁδηγήσας εἰς τὴν ἁγίαν ταύτην σωτήριον οἰκονομίαν τῶν ἁγίων σου θυσιαστηρίων, λυτήριον παντὸς νοσήματος, ἀρραβῶνα ζωῆς... Goar p. 520. Ὅτι Θεὸς εἰρήνης, ἐλέους καὶ σωτηρίας ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Καὶ τελειοῦται ἡ ἁγία λειτουργία, καὶ ἀσπάζεται τὸ ἱερατεῖον ὅλον, τὴν ἁγίαν τράπεζαν, καὶ ψάλλουσι τὸ ἀπολυτίκιον, τὸ κοντάκιον τοῦ ἁγίου τοῦ ναοῦ καὶ ἀπολύουσιν.

л. 175 об. Ἀκολουθία ναοῦ καὶ ἐκκλησίας μιανθέντων ὑπὸ ἐθνῶν καὶ αἱρετικῶν.

Λέγει ὁ ἱερεύς· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, καὶ ψάλλομεν Τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν, καὶ λέγομεν τὰ τροπάρια ταῦτα· Ὁ Θεὸς τῶν πατέρων ἡμῶν, ὁ ποιῶν ἀεὶ μεθ' ἡμῶν... Δόξα, Ὡς ἐν μέσῳ τῶν μαθητῶν σου παρεγένου, Σωτήρ... Καὶ νῦν, Τῇ πρεσβείᾳ, Κύριε, πάντων τῶν ἁγίων καὶ τῆς Θεοτόκου τὴν σὴν εἰρήνην διδούς... Εἶτα βάλλει ἁγιασμὸν καὶ λέγει· Εἰρήνη πᾶσι. Τὰς κεφαλάς... Ὁ ἱερεὺς τὴν εὐχήν· Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ εἰπὼν διὰ στόματος τοῦ προφήτου Δαβίδ· ὁ Θεός, ἤλθωσαν ἔθνη εἰς τὴν κληρονομίαν σου, ἐμίαναν τὸν ναὸν τὸν ἅγιόν σου, ἐπίβλεψον ἐφ' ἡμᾶς τοὺς δούλους σου καὶ ἴδε τὴν ταπείνωσιν ἡμῶν, ἐκ τῶν ἐθνῶν ἐπίστρεψον ἡμᾶς, ὁ Θεός, καὶ ἐπισυνάγαγε ἡμᾶς ἐκ τῶν ἐθνῶν τε καὶ ἐχθρῶν, καὶ ἐπάκουσον τῆς φωνῆς τῶν οἰκετῶν σου, καὶ κατάπεμψον τὸ ἅγιόν σου Πνεῦμα ἐφ' ἡμᾶς καὶ ἐπὶ τὸν ἅγιον οἶκον τοῦτον, καὶ καθάρισον αὐτὸν ἐκ πάσης βλάβης καὶ ἀκαθαρσίας τῶν αἱρετικῶν καὶ ἀθέων ἐθνῶν, καὶ

ἀγαρηνῶν λαῶν, καὶ ἔστωσαν οἱ ὀφθαλμοί σου ἀτενίζοντες ἐν αὐτῷ. Ὅτι σὺ εἶ ἡ κάθαρσις ἡμῶν καὶ ἐλπὶς τῶν ψυχῶν ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν νῦν καὶ ἀεί...

л. 176. Εὐχὴ ἑτέρα εἰς ναόν, βεβηλωθέντα ὑπὸ ἀθέων ἐθνῶν.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὸν ναὸν τοῦτον ἀναδείξας κατοικητήριον τῆς σῆς ἁγίας δόξης. Goar. p. 495.

л. 177. Εὐχὴ ἐπὶ τῷ εὐλογῆσαι θυσιαστήριον, μιανθὲν ὑπὸ αἱρετικῶν.

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, δυσωποῦμέν σε τὸν ἵλεων καὶ εὐμενῆ ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν, εἴ τις ἐξ αἱρετικῆς ἐγχειρίσεως ἐπιτριβῇ μώμησις... См. выше стр. 296. Конецъ: διὰ τῶν πρεσβειῶν τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου καὶ πάντων τῶν ἁγίων σου. Ἀμήν.

— Ἀκολουθία ἐπὶ σαλευθείσῃ τραπέζῃ.

Θεὸς τὰ πάντα ἐν πᾶσιν. Εὐαγγέλιον· Ἐκ τοῦ κατὰ Ἰωάννην· Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους· τοῦτό ἐστι τὸ θέλημα τοῦ πέμψαντός με Πατρός. Τέλος· καὶ ἐγὼ ἀναστήσω αὐτὸν τῇ ἐσχάτῃ ἡμέρᾳ. Ἐλέησον ἡμᾶς κ. τ. λ. καὶ εὐχή· Ὁ Θεὸς τῶν πνευμάτων... Εἶτα τρίτος ἱερεὺς στιχηρὰ προσόμοια, ἦχος γ'. Τῷ τύπῳ σου. Δοξάζω τὸν σταυρόν σου τὸν τίμιον... Ὁ μόνος ἐλεήμων καὶ εὔσπλαγχνος, ὁ ἔχων ἀκατάληπτον ἀγαθότητος πέλαγος... Ὑπνώσας ἐν τῷ τάφῳ, ὡς ἄνθρωπος... Δόξα, νεκρώσιμιον· Πάντα ματαιότης τὰ ἀνθρώπινα... θεοτοκίον· Ἐν γυναιξὶν ἁγία Θεοτόκε Μήτηρ ἀνύμφευτε... Καὶ εὐθὺς προκείμενον, ἦχος πλ. β'. Ἡ ψυχὴ αὐτοῦ... Στίχος· Πρὸς σὲ Κύριε ἦρα τὴν ψυχήν. Πρὸς Θεσσαλονικεῖς· Ἀδελφοί, οὐ θέλω ὑμᾶς ἀγνοεῖν. Τέλος· καὶ οὕτω πάντοτε σὺν Κυρίῳ ἐσόμεθα. Εἰρήνη σοί. Σοφία. Ψαλμὸς τῷ Δαβίδ. Ἀλληλούια. Μακάριος, ὃν ἐξελέξω. Εὐαγγέλιον· Ἐκ τοῦ κατα Λουκᾶν· Εἶπεν ὁ Κύριος πρὸς τοὺς πεπιστευκότας πρὸς αὐτὸν Ἰουδαίους· Ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς... Τέλος· ἀλλὰ ἀναστήσω αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ... Ἐλέησον ἡμᾶς κ. τ. α. Ὁ Θεὸς τῶν πνευμάτων... Ὁ δ'. ἱερεὺς στιχηρὰ προσόμοια, ἦχος δ' Ὄντως φοβερώτατον τὸ τούτου θανάτου μυστήριον... Ὕπνος ἀναδέδεικται τῶν πιστευόντων ὁ θάνατος... Σὺ δικαιοσύνη τε καὶ ἁγιασμὸς ἡμῶν γέγονας καὶ ψυχῶν ἀπολύτρωσις... Δόξα, νεκρώσιμον· Μετὰ πνευμάτων δικαίων τετελειωμένων τὴν ψυχὴν... Ἡ μόνη ἁγνὴ καὶ ἄχραντος Παρθένος... Προκείμενον, ἦχος πλ. β'. Ἡ ψυχὴ αὐτοῦ. Στίχος· Πρὸς σὲ Κύριε ἦρα τὴν ψυχήν... Πρὸς Κορινθίους· Ἀδελφοί, οὐ πᾶσα σὰρξ ἡ αὐτὴ σάρξ. Τέλος· ὁ ἔσχατος Ἀδὰμ εἰς πνεῦμα ζωοποιοῦν. Εὐαγγέλιον κατὰ Ἰωάννην· Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους· ὁ τρώγων μου τὴν σάρκα... Τέλος· ὅτι σὺ εἶ Χριστὸς Υἱὸς τοῦ Θεοῦ. Ἐλέησον ἡμᾶς... κ. τ. λ. Ὁ Θεὸς τῶν πνευμάτων... Καὶ ἄρχεται ὁ ε'. ἱερεὺς στιχηρὰ προσόμοια, ἦχος πλ. α'. Χαίροις ἀσκητικῶν. Αἴγλη τοῦ σοῦ προσώπου, Χριστέ, τὸν μεταστάντα... Ψάλλειν παναρμονίῳ φωνῇ δοξολογοῦντα τὸ σὸν κράτος εὐδόκησον, οἰκτίρμον, τοὺς μεταστάντας... Νόμῳ τῆς ἁμαρτίας ἡμᾶς δεδουλωμένους ἠλευθέρωσας, Δέσποινα... Δόξα καὶ νῦν, νεκρώσιμον· Ἐμνήσθην τοῦ προφήτου βοῶντος... Ἐγώ εἰμι γῆ καὶ σποδός... Θεοτοκίον· Δυσωποῦμεν, ὡς Θεοῦ Μητέρα εὐλογημένη, πρέσβευε σωθῆναι τὰς ψυχὰς ἡμῶν. Προκείμενον, ἦχος πλ. β'. Ἡ ψυχὴ αὐτοῦ... Στίχος· Πρὸς σέ, Κύριε, ἦρα τὴν ψυχήν. Πρὸς Ῥωμαίους· Ἀδελφοί, ὁ φρονῶν τὴν ἡμέραν, Κυρίῳ φρονεῖ... Τέλος· ἵνα νεκρῶν καὶ ζώντων κυριεύσῃ. Ἀλληλούια, ἦχος πλ. β'. Μακάριος, ὃν ἐξελέξω. Εὐαγγέλιον· Ἐκ τοῦ κατὰ Ἰωάννην· Εἶπεν ὁ Κύριος πρὸς τοὺς πεπιστευκότας πρὸς αὐτὸν Ἰουδαίους· ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου. Τέλος· ὅτι οὔπω

ἥκει ἡ ὥρα αὐτοῦ. Ἐλέησον ἡμᾶς κ. τ. α. Θεὸς τῶν πνευμάτων... Καὶ ἄρχεται ὁ ἕκτος ἱερεὺς στιχηρὰ προσόμοια, ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι. Ἔχων ἀκατάληπτον τὴν εἰς ἡμᾶς εὐσπλαγχνίαν, καὶ πηγὴν ἀκένωτον θεϊκῆς χρηστότητος, πολυέλεε... Νέκρωσιν ὑπέμεινας ζωοποιὸν ἑκουσίως καὶ ζωὴν ἐπήγασας... Ὤφθης ἐνδιαίτημα, θεοπρεπὲς Παναγία, καὶ Θεὸν ἐχώρησας... Δόξα, Ἀρχή μοι καὶ ὑπόστασις τῷ πλαστουργῷ σου γέγονε πρόσταγμα... θεοτοκίον· Θεὸν ἐκ σοῦ σαρκωθέντα ἔγνωμεν, Θεοτόκε Παρθένε... Προκείμενον, ἦχος πλ. β'. Ἡ ψυχὴ αὐτοῦ... Στίχος· Πρὸς σὲ Κύριε, ἦρα τὴν ψυχήν... Πρὸς Ῥωμαίους· Ἀδελφοί, οὕτω καὶ ὑμεῖς λογίζεσθε ἑαυτοὺς νεκροὺς μὲν εἶναι τῇ ἁμαρτίᾳ... Τέλος· εἰς ὃν παρεδόθητε τύπον διδαχῆς. Ἀλληλουάριον, Μακάριος, ὃν ἐξελέξω... Εὐαγγέλιον· Ἐκ τοῦ κατὰ Ἰωάννην· Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους· Ἀμήν, ἀμήν, λέγω ὑμῖν, ὅτι ὁ τὸν λόγον μου ἀκούων. Τέλος· τὸ θέλημα τοῦ πέμψαντός με Πατρός. Ἐλέησον ἡμᾶς κ. τ. α. Ὁ Θεὸς τῶν πνευμάτων... Καὶ ἄρχεται ὁ ζ'. ὁ ἱερεὺς στιχηρὰ προσόμοια, ἦχος πλ. δ'. Ὢ τοῦ παραδόξου θαύματος. Βασιλικῶς μοι ἐπέγραψας ἐλευθερίαν βαφαῖς... Ἱεραρχήσας, ὡς ἄνθρωπος, σφαγιασθεὶς ἑαυτὸν προσφορὰν προσενήνοχας... Ὡς συλλαβοῦσα τὸν ἄναρχον λόγον Θεοῦ... Δόξα, νεκρώσιμον· Θρηνῶ καὶ ὀδύρομαι, ὅταν ἐννοήσω τὸν θάνατον... Τὰ οὐράνια ὑμνεῖ σε, κεχαριτωμένη Μήτηρ ἀνύμφευτε... Προκείμενον, ἦχος πλ. β'. Ἡ ψυχὴ αὐτοῦ... Στίχος· Πρὸς σὲ Κύριε, ἦρα τὴν... Πρὸς Ἐφεσίους· Ἀδελφοί, ὁ Θεὸς πλούσιος ὢν ἐν ἐλέει διὰ τὴν πολλὴν ἀγάπην αὐτοῦ, ἣν ἠγάπησεν ἡμᾶς... Τέλος· ἵνα ἐν αὐτοῖς περιπατήσωμεν. Ἀλληλουάριον, Μακάριος, ὃν ἐξελέξω. Εὐαγγέλιον· Ἐκ τοῦ κατὰ Ἰωάννην· Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους· Ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς, οἱ πατέρες ὑμῶν ἔφαγον τὸ μάννα... Τέλος· καὶ ἐγὼ ἀναστήσω αὐτὸν τῇ ἐσχάτῃ ἡμέρᾳ. Ἐλέησον ἡμᾶς κ. τ. α. Ὁ Θεὸς τῶν πνευμάτων... Καὶ μετὰ τὸ τέλος αὐτοῦ, συστήσαντες κύκλῳ τοῦ τύμβου χορὸν οἱ ζ'. ἱερεῖς, ἐκφωνεῖ ὁ πρῶτος· Τοῦ Κυρίου δεηθῶμεν, καὶ λέγει τὴν εὐχὴν ταύτην· Βασιλεῦ ἅγιε, εὔσπλαγχνε καὶ πολυέλεε Κύριε Ἰησοῦ Χριστέ. Прилож. стр. 133. Сравн. Εὐχολογ. Goar. p. 346. Эта молитва примѣнена къ умершему лицу, а поэтому въ ней встрѣчаются такія выраженія: οὐ τίθημι ἐμὴν χεῖρα ἁμαρτωλὸν καὶ ἀναξίαν ἐν τῷ τύμβῳ τοῦ μνημονευθέντος ἀδελφοῦ ἡμῶν ὁ δεῖνα κ. τ. λ. Εἶτα Τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν, εἶτα τροπάριον· Μνήσθητι, Κύριε, ὡς ἀγαθὸς τὴν ψυχήν... Μήτηρ ἁγία τοῦ ἀφράστου φωτός... Τοῦ Κυρίου δεηθῶμεν. Καὶ λέγουσιν ὅλοι ὁμοῦ τὴν εὐχήν· Ὁ Θεὸς τῶν πνευμάτων... Καὶ γίνεται ἀπόλυσις.

л. 114 об. Ἀκολουθία τοῦ ἐξοδιαστικοῦ τῶν μοναχῶν.

Ἐπειδάν τις τῶν μοναχῶν πρὸς Κύριον ἐκδημήσῃ, οὐ δεῖ λούεσθαι αὐτοῦ τὸ σῶμα, καθὼς τοῖς κοσμικοῖς, ἀλλ' οὐδὲ ὁρᾶσθαι γυμνὸν.. Goar. p. 438. Εἶτα τὸν ἀνάλαβον εἰς τὴν τάξιν αὐτοῦ, καὶ τὸ παλλίον, ἐπὶ τοὺς πόδας καλύγια καινά, ὥσπερ ἔθος ἐστὶ τοῦ στολῖσαι νυμφίον. Εἶθ' οὕτως εἰσφέρουσι τὸν μανδύαν αὐτοῦ καὶ ἀποκουφίζουσι τὸ λείψανον ἐκ τοῦ ψιαθίου, καὶ ἁπλοῦσι τὸν μανδύαν αὐτοῦ ὑποκάτω ἀπὸ ποδῶν ἕως κεφαλῆς, καὶ μετὰ μαχαίρας σχίσαντες τὰ πλάγια τοῦ μανδύου καὶ λωρία δύο ἐκβαλόντες ἀπὸ ἄνωθεν ἕως κάτωθεν, καὶ τοῦ μανδύου πάλιν τὰ πλάγια διατρυπήσαντες, καὶ τὰ λωρία ἔνθεν κἀκεῖθεν διαβιβάσαντες, καὶ ὑπὸ τὰς τρύπας ὑποβαλόντες, ποιοῦσι σταυροὺς τρεῖς μέχρι τῶν ποδῶν, καὶ τὰ ὑπολειφθέντα λωρία δεσμοῦσι τοὺς πόδας. Εἶτα κρούσαντες τὸ σιδηροῦν καὶ ἄραντες τὸ λείψανον, εἰσφέρουσιν ἐν τῷ νάρθηκι, διδόντες κηρία τοῖς ἀδελφοῖς, ἅπτουσι δὲ καὶ ἐπὶ τοῦ λειψάνου κηρία δ', ἐπάνω δὲ αὐτοῦ τίθεται ἡ εἰκὼν τοῦ Δεσπότου Χριστοῦ. Καὶ εὐθὺς θυμιᾷ ὁ ἱερεὺς ἐπάνω τοῦ λειψάνου σταυροειδῶς, καὶ ποιεῖ εὐλογητὸν καὶ ἄρχεται τοῦ Τρισαγίου, Παναγία Τριάς, Πάτερ ἡμῶν, Κύριε ἐλέησον ιβ'. Δεῦτε προσκυνήσωμεν γ', ὁ Ν', εἶτα ἄρχονται τὸν ἄμωμον εἰς ἦχον πλ. α'. Εὐλογητὸς εἶ Κύριε... Εἶτα ἄμωμος· Μακάριοι ἄμωμοι... (Ἀλληλούια, ἀλληλούια δόξα σοι ὁ Θεός, ἐκ τρίτου) Вся 17 каѳизма съ раздѣленіемъ на славы, но безъ ектеній. Καὶ εὐθὺς τὰ εὐλογητάρια· Εὐλογητὸς εἶ Κύριος.. Τῶν ἁγίων ὁ χορός Goar. pag. 425. Ὁ διάκονος τὴν συναπτήν, λέγων οὕτως· Ἔτι καὶ ἔτι... Далѣе порядокъ до апостола, какъ у Гоара pag. 439—445, но съ опущеніемъ въ настоящей рукописи нѣкоторыхъ тропарей, въ антифонахъ. Πρὸς Ῥωμαίους ἐπιστολῆς· Ἀδελφοί, ὁ φρονῶν τὴν ἡμέραν, Κυρίῳ φρονεῖ, καὶ ὁ μὴ φρονῶν τὴν ἡμέραν, Κυρίῳ οὐ φρονεῖ... Τέλος· Ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ. Евангеліе, ектенья и стихиры на цѣлованіе, что у Гоара pag. 445, но съ прибавкою: Δεῦτε τῷ τάφῳ, ἀδελφοί, βλέψωμεν τὴν τέφραν καὶ γνῶμεν.. Δόξα, Μίαν ὑποστάσεσι τρισὶ σέβοντα θεότητος πίστιν... и съ опущеніемъ стихиръ второй, третьей и четвертой. Goar. p. 445, 446. Καὶ μετὰ τὸν ἀσπασμόν, ἄραντες τὴν κλίνην μετὰ τοῦ λειψάνου, ἀπέρχονται εἰς τὸν τάφον, ψάλλοντες· Ἅγιος ὁ Θεός. Ἀποτιθέασι δὲ τὸ λείψανον ἕως τοῦ φθάσωσιν εἰς τὸν τάφον τρίτον, καὶ ὁ ἱερεὺς τὴν συνήθη ἐκτενήν· Ἐλέησον ἡμᾶς κ. τ. λ. Εἶτα φθάσαντες εἰς τὸν τάφον, ψάλλομεν τὰ παρόντα τροπάρια, ἦχος β'. Ὡς ἄνθρωπος μαραίνεται καὶ ὡς ὄναρ παρέρχεται καὶ διαλύεται πᾶς ἄνθρωπος... Ἕτερον, ἦχος γ'. Πάντα ματαιότης τὰ ἀνθρώ-

πινα, ὅσα οὐχ ὑπάρχει μετὰ θάνατον... ἦχος πλ. δ'. Ἀθάνατε οἰκτίρμον τῶν νεκρῶν καὶ ζώντων, ὡς Κύριος βουλήσει θείᾳ, ὃν ἐκ γῆς νῦν μετέστησας... Ἐπ' ὤμων τὸν ζυγόν σου, ὡς ἀράμενον, Σῶτερ, τοῦ δοῦλόν σου ζυγοῦ πταισμάτων... Ἰδοὺ καιρός, οἰκτίρμον, τῶν δακρύων μνησθῆναι τοῦ δούλου σου καιρὸς τοῦ βλέψαι... Ῥημάτων, τῶν ἐν λόγοις μὴ μνησθῇς ἐσφαλμένων τοῦ δούλου σου, σαρκὸς κινήσεις... Δόξα καὶ νῦν, Φιλάνθρωπε οἰκτίρμον, ἐλεήμων καὶ μόνε μακρόθυμε Χριστέ, κριτά μου... Καὶ εὐθὺς μνημονεύει, ἔπειτα ὁ ἀπόστολος καὶ τὸ εὐαγγέλιον, ζήτει ὄπισθεν. Καὶ μετὰ τὸ τέλος τοῦ εὐαγγελίου τὸ Δεῦτε τελευταῖον, καὶ εὐθὺς τὰ παρόντα τροπάρια, ἦχος δ'. Τὴν ἀειτάραχον θάλασσαν τοῦ βίου διαδραμὼν τῷ σῷ λιμένι προσέδραμε τῇ πίστει... Ἡ ἀοίδιμος φωνὴ τοῦ θείου Δαβὶδ σήμερον πληροῦται, ἄνθρωπος, λέγουσα, ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ... Ἦχος πλ. δ'. Ὁ θάνατός σου, Κύριε, ἀθανασίας γέγονε πρόξενος, εἰ μὴ γὰρ ἐν μνήματι κατετέθης... Παντοκράτορ ὕψιστε, τὴν ψυχὴν τοῦ δούλου σου ἀνάπαυσον ἐν σκηναῖς τῶν ἁγίων... Δόξα καὶ νῦν, Τὰ οὐράνια ὑμνεῖ σε, κεχαριτωμένη Μήτηρ ἀνύμφευτε, καὶ ἡμεῖς δοξολογοῦμεν τὴν ἀνεξιχνίαστόν σου γέννησιν... ἦχος βαρύς, Ἐξέλιπον ἀπὸ τῆς ἀδελφότητος κατέλιπον τὸ λοιπὸν τῆς ζωῆς μου... Κατάπαυσον δικαίοις ἡτοίμασας, εἰσάγαγέ με, Σωτήρ, ἐν τῇ βασιλείᾳ σου... Εἰρήνευσον πρεσβείαις τῆς Θεοτόκου τὴν ζωὴν ἡμῶν τῶν βοώντων σοι... Τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν, καὶ πάλιν τὰ παρόντα τροπάρια, ἦχος πλ. β'. Ἀληθῶς ματαιότης τὰ σύμπαντα, ὁ δὲ βίος σκιὰ καὶ ἐνύπνιον· καὶ γὰρ μάτην ταράσσεται πᾶς γηγενής... Ἀνάπαυσον, Σωτὴρ ἡμῶν ζωοδότα, ὃν μετέστησας ἀδελφὸν ἡμῶν... Τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν, εἶτα τροπάριον, ἦχος πλ. β'. Πνευματικοί μου ἀδελφοὶ καὶ συνασκηταί, μή μου ἐπιλάθησθε, ὅταν προσεύχησθε... Δόξα, ἦχος πλ. δ'. Θρηνῶ καὶ ὀδύρομαι, ὅταν ἐννοήσω τὸν θάνατον καὶ ἴδω ἐν τοῖς τάφοις... Νῦν, θεοτοκίον· Ἁγνὴ Παρθένε, τοῦ Λόγου πύλη, τοῦ Θεοῦ ἡμῶν Μήτηρ, ἱκέτευε σωθῆναι τὴν ψυχὴν τοῦ δούλου σου... Καὶ βάλλοντες τὸ λείψανον εἰς τὸν τάφον, καὶ χέουσι τὴν κανδήλαν ἐπάνω αὐτοῦ, λέγοντες τὸ παρὸν τροπάριον, ἦχος πλ. δ'. Γῆ χανοῦσα ὑπόδεξαι τὸν ἀπὸ σοῦ πλασθέντα χειρὶ Θεοῦ τὸ πρότερον... Στίχος· Τοῦ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτοῦ. Τῷ τύπῳ τοῦ σταυροῦ σου, φιλάνθρωπε, ὁ θάνατος κατήργηται καὶ ὁ ᾅδης νενέκρωται... Καὶ εὐθὺς ἀσφαλίσαντες τὸν τάφον, εἶτα Τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν καὶ τὰ τροπάρια· Μετὰ πνευμάτων δικαίων κ. τ. λ. Goar. pag. 423, но съ прибавкою предъ вторымъ стихомъ припѣва: Τοῦ Κυρίου ἡ γῆ... Καὶ ὁ ἱερεύς· Ἐλέησον ἡμᾶς... Ἔτι δεόμεθα ὑπὲρ κοιμήσεως... Ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτῷ πᾶν ἁμάρτημα...

Ὅπως Κύριος ὁ Θεός... Τὰ ἐλέη τοῦ Θεοῦ, τὴν βασιλείαν... Ὁ Θεὸς τῶν πνευμάτων... Εἶτα, ὁ Θεὸς οἰκτειρῆσαι ἡμᾶς, καὶ γίνεται ἀπόλυσις, καὶ ποιοῦμεν μετανοίας ιβ'. ὑπὲρ τοῦ κοιμηθέντος.

л. 149. Ἀκολουθία, γινομένη ἐπὶ ταφῆς ἱερέως [1]).

Ἐν τῷ θανεῖν τὸν ἱερέα, λούουσιν αὐτὸν καὶ τίθουσιν μετὰ λινὸν καὶ σάβανον, καὶ τὸ λαζάρωμα, τουτέστι διακονίκιν μακρὸν, καὶ δένει τοὺς πόδας αὐτοῦ, καὶ ἐνδύουσι τὸ στιχάρι(ον) φελώνιον, καὶ φορένουσιν αὐτὸν σανδάλια, καὶ σκεπάνει τὴν κεφαλὴν αὐτοῦ ἐγχείριον, καὶ ἐπιτίθουσι σταυροὺς τρεῖς ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, καὶ τρεῖς εἰς τὸ στῆθος αὐτοῦ, ἅπτει κηρία ἑπτὰ καὶ θυμιᾷ ὅλον τὸν οἶκον, καὶ ἐὰν ἔστι μεσημέριον καὶ τὴν κάτω, ψάλλονται ἐπ' αὐτῷ τὰ ἑσπερινά, εἰ δὲ μεσονύκτιον καὶ τὴν ἄνω, ψάλλονται τὰ ἑωθινά, τὸ Ψαλτήριον ὅλον καὶ τὸν ἄμωμον. Καὶ ὅτε θέλουσι κινῆσαι αὐτόν, δίδοται τὸ εὐαγγέλιον εἰς τὰς χεῖρας αὐτοῦ.

л. 149 об. Τάξις, γινομένη ἐπὶ ταφῆς πρεσβυτέρου.

Ἐν τῷ εἰσφέροσειν αὐτὸν ἐν τῷ ναῷ καὶ ποιεῖ εὐλογητὸν, Τρισάγιον, εἶτα ἀντίφωνον α'. Ἐν τῷ θλίβεσθαί με Goar. p. 439, но съ прибавкою: Ἁγίῳ Πνεύματι πᾶσα ἡ κτίσις καινουργεῖται, πάλιν δραμοῦσα εἰς τὸ πρῶτον... Καὶ εὐθὺς στιχηρὰ νεκρώσιμα, ἦχος α' Ἰωάννου μοναχοῦ· Ποία τοῦ βίου τρυφὴ διαμένει λύπης ἀμέτοχος... Goar. p. 428. Ἕτερον, ἦχος ὁ αὐτός· Ἔργῳ, Σωτήρ μου, δεικνύς, ὅτι σὺ εἶ ἡ πάντων, ἀνάστασις, λόγῳ, Λόγε, Λάζαρον ἐκ νεκρῶν ἐξανέστησας... Ἕτερα στιχηρά, ἦχος ὁ αὐτός· Πανεύφημοι μάρτυρες... Σοῦ, Σῶτερ, δεόμεθα τῆς σῆς γλυκείας μεθέξεως, τὸν μεταστάντα ἀνάπαυσον... Οὐδεὶς ἀναμάρτητος, οὐδεὶς τῶν ἀνθρώπων γέγονεν... (Ὑπὲρ [2]) τὰ ὁρώμενα τὰ σά, Σῶτερ... Καὶ νῦν, θεοτοκίον· Χριστὸν ἐκδυσώπησον, τὸν σὸν τόκον, Μητροπαρθένε... Goar. p. 439—440. Ἰδιόμελον, ἦχος πλ. β'. Τοῦ ἱερέως τὸ καύχημα, ὑπαγγέλων τιμώμενον, λειτουργὸς γενόμενος τὴν κέλευσιν ἐτέλεσε τῆς σῆς παραδόξου ἐγέρσεως, δευτεροῦντες αὐτό, ἡ ἐκτενὴ εἰς τοὺς κοιμηθέντας, εἶτα ὁ πρῶτος ἱερεὺς τὴν εὐχήν· Ὁ μέγας ἀρχιερεύς, ὁ δίκαιος κριτής, τὸν μεθ' ἡμῶν συνδουλεύοντα καὶ ἐκ τοῦ κόσμου ἐκδημήσαντα ἱερέα, φιλάνθρωπε Κύριε, τῆς ἐκεῖθεν ζωῆς κληρονόμον ἀνάδειξον, τὸν ἐνταῦθα, ὡς ἀνθρώπῳ πλημμεληθέντα, καὶ τῶν ἁμαρτιῶν λήθην ποιούμενος, ὡς ἁμαρτίας) ἐλεύθε-

---

[1]) Краткое изложеніе этого чина см. у проф. Н. Θ. Красносельцева „По поводу нѣкоторыхъ церковныхъ службъ и обрядовъ, нынѣ не употребляющихся“. Каз. 1889, стр. 198.

[2]) Недостающее въ этомъ чинѣ мы восполняемъ по ркп. XVI в. библ. русскаго Пантелеимоновскаго монастыря на Аѳонѣ № 305.

ρος, καὶ τὸν δοῦλόν σου τοῦτον, τὸν ἐξελθόντα τοῦ βίου τούτου, ἀξίωσον αὐτὸν σὺν τοῖς θεράπουσί σου, τοῖς ἀπ' αἰῶνος εὐαρεστήσασί σοι καὶ τύχῃ τῆς ἡτοιμασμένης ζωῆς, ἣν ἡτοίμασας τοῖς ἀγαπῶσί σε, Κύριε. Ὅτι σὺ εἶ ἡ ἀνάστασις, ἡ ζωὴ καὶ ἡ ἀνάπαυσις τοῦ ἐν μακαρίᾳ τῇ μνήμῃ γενομένου ἀειμνήστου δούλου σου ἱερέως, Χριστὲ ὁ Θεὸς ἡμῶν καὶ σοί... Сн. выше стр. 57, 480. Εἶτα τὸ Τρισάγιον. Προκείμενον· Ἐγὼ εἶπα, Κύριε, ἐλέησόν με. Στίχος· Μακάριος ὁ συνιῶν. Ἀπόστολος. Πρὸς Κορινθίους ἐπιστολῆς· Ἀδελφοί, ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς χοϊκός. Τέλος· διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἀλληλουάριον· Μακάριοι οἱ κατοικοῦντες... Εὐαγγέλιον· Ἐκ τοῦ κατὰ Ἰωάννην· Τῷ καιρῷ ἐκείνῳ, Μαρία εἱστήκει πρὸς τὸ μνημεῖον κλαίουσα ἔξω... Τέλος· Ὅτι ἑώρακε τὸν Κύριον, καὶ ταῦτα εἶπεν αὐτῇ. Καὶ εἰσοδεύουσιν αὐτὸν οἱ ἑπτὰ πρεσβύτεροι. Εἶτα ἀντίφωνον β'. Goar. p. 440, но съ прибавкою на И нынѣ: Ἁγίῳ Πνεύματι ζωαρχία καὶ γέρας· πάντα γὰρ τὰ κτιστά.. Νεκρώσιμον, ἦχος β'. Ὡς ἄνθος μαραίνεται καὶ ὡς ὄναρ παρέρχεται καὶ διαλύεται πᾶς ἄνθρωπος... Οἴμοι, οἷον ἀγῶνα ἔχει ἡ ψυχή, χωριζομένη ἐκ τοῦ σώματος, οἴμοι, τότε πόσα δακρύει... Ἕτερα, ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου. Ῥώμην τοῦ θανάτου Goar. p. 440. Ἵνα τοὺς ἀνθρώπους κοινωνοὺς Ibidem. Δόξα, Σῶσαι τὸ σὸν πλάσμα βουληθεὶς τῆς οἰκονομίας... Καὶ νῦν, θεοτοκίον· Εὔας τῆς προμήτορος... Goar p. 440, τροπάριον ἰδιόμελον, ἦχος πλ. β'. Ἡ ψυχὴ ἐβγένουσα, τῶν ἀγγέλων διελέγετο, κλήτωρ ἦλθες ἐπ' ἐμὲ... Λέγεται δίς. Ὁ διάκονος· Ἔτι καὶ ἔτι κ. τ. λ. Καὶ εὐχὴ παρὰ τοῦ ἱερέως· Οἴκησιν ἔχων τῶν οὐρανῶν καὶ πάντα διέπων τὰ ἐπὶ τῆς γῆς, Σὺ μόνος ἐπίστασαι τοῦ ἐξ ἡμῶν μεταστάντος τὰ πλημμελήματα, ἃ ἐν τῷ παρόντι εἰργάσατο, ἄμειψαι γοῦν αὐτὸν τὴν ἐν τῷ φωτὶ κατοικίαν, καὶ τὴν ἐν τῷ χορῷ τῶν δικαίων, καὶ πάντων τῶν ἁμαρτημάτων καὶ ἀνομημάτων συγχώρησιν. Ὅτι Σὺ εἶ ὁ Θεὸς τῶν ζώντων καὶ τῶν κεκοιμημένων, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρί, καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας Снес. стр. 293. Εἶτα τὸ Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε. Προκείμενον, ἦχος πλ. ά Μακάριοι οἱ κατοικοῦντες... Στίχος· Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου. Πρὸς Κορινθίους· Ἀδελφοί, οὐ πᾶσα σάρξ ἡ αὐτὴ σάρξ... Τέλος· Ὁ δεύτερος Ἀδὰμ εἰς πνεῦμα ζωοποιοῦν. Ἀλληλουάριον, Ἀναστήσονται οἱ νεκροί. Εὐαγγέλιον· Ἐκ τοῦ κατὰ Ἰωάννην· Τῇ μιᾷ τῶν σαββάτων Μαρία Μαγδαληνὴ ἔρχεται πρωί... Τέλος· Ἀπῆλθον οὖν πάλιν πρὸς ἑαυτοὺς οἱ μαθηταί. Καὶ πάλιν γυρίζουσιν αὐτὸν τῷ ἁγίῳ θυσιαστηρίῳ. Ἀντίφωνον γ' Goar p. 440. (Καὶ νῦν[1]),

[1]) Въ рукописи не достаетъ двухъ листовъ. Недостающее восполняемъ по той же ркп. № 305.

Ἁγίῳ Πνεύματι ἐνθεωρεῖται πᾶσα ἁγιότης... Τροπάριον νεκρώσιμον, ἦχος ὁ αὐτός· Πάντα ματαιότης τὰ ἀνθρώπινα... Ἕτερα στιχηρὰ προσόμοια, ἦχος γ'. Τῷ τύπῳ τοῦ σταυροῦ σου, φιλάνθρωπε... Δοξάζω τὸν σταυρόν σου τὸν τίμιον... Δόξα, ὅμοιον· Ὁ μόνος ἐλεήμων καὶ εὔσπλαγχνος... Καὶ νῦν, Λαμπάδα νοητὴν σε βαστάζουσαν... τροπάριον, ἦχος πλ. β'. Ὅπου χορὸς τῶν ἀγγέλων, ὅπου τάγματα τῶν ἐκλεκτῶν... Λέγει αὐτὸ τρίς. Εἶτα ὁ τρίτος ἱερεύς· Ἔτι καὶ ἔτι... κ. τ. λ. Ὅτι Σὺ εἶ ἡ ἀνάστασις. Τοῦ Κυρίου δεηθῶμεν. Καὶ ἡ εὐχή· Οὐκ ἔστι προσωποληψία παρὰ σοί, Κύριε, μίαν γὰρ εἴσοδον ἐποίησας, ὥσπερ καὶ ἔξοδον... Снес. стр. 670, 535). Καὶ εὐθὺς τὸ Ἅγιος ὁ Θεός. Προκείμενον, ἦχος πλ. β'. Ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτό. (Στίχος·) Ἐν τῷ ἐπικαλεῖσθαι. Πρὸς Κορινθίους· Ἀδελφοί, Χριστὸς ἐγήγερται ἐκ νεκρῶν, ἀπαρχὴ τῶν κεκοιμημένων... Τέλος· Ἵνα ᾖ ὁ Θεὸς τὰ πάντα ἐν πᾶσιν. Ἀλληλουάριον, Ἐλέησόν με, ὁ Θεός... Εὐαγγέλιον· Ἐκ τοῦ κατὰ Ἰωάννην· Οὔσης ὀψίας, τῇ ἡμέρᾳ ἐκείνῃ τῇ μιᾷ τῶν σαββάτων, καὶ τῶν θυρῶν κεκλεισμένων... Τέλος· Ζωὴν ἔχητε ἐν τῷ ὀνόματι αὐτοῦ. Καὶ πάλιν γυρίζοντες αὐτὸν τῷ ἁγίῳ θυσιαστηρίῳ. Στάσις δ'. Ἀντίφωνον ά, ἦχος δ'. Ἐκ νεότητός μου Goar. p. 441. Δόξα καὶ νῦν, Ἁγίῳ Πνεύματι ἀναβλύζει τὰ τῆς χάριτος... Στιχηρὰ νεκρώσιμα, ἦχος δ'. Μετὰ πνευμάτων δικαίων τετελειωμένων τὴν ψυχὴν τοῦ δούλου σου... Εἰς τὴν κατάπαυσίν σου, Κύριε... Ἕτερα στιχηρά, ἦχος δ'. Ἔδωκας σημείωσιν. Ὄντως φοβερώτατον τὸ τοῦ θανάτου μυστήριον, πῶς ψυχὴ ἐκ τοῦ σώματος βιαίως χωρίζεται... Ὕπνος ἀναδέδεικται... Δόξα, Σὺ δικαιοσύνη τε καὶ ἁγιασμὸς ἡμῖν γέγονας... Καὶ νῦν, Ῥήσεσιν ἑπόμενοι Goar. p. 441. Τροπάριον ἰδιόμελον, ἦχος πλ. β'. Ἡ ἐκκλησία βοᾷ σοι, ζητεῖ τὸν ἱερέα καὶ τὸ θυσιαστήριον ζητεῖ τὸν ποιμένα... Λέγει δίς. Καὶ εὐθύς· Ἔτι καὶ ἔτι κ. τ. λ. Τοῦ Κυρίου δεηθῶμεν. Καὶ ὁ δ'. ἱερεὺς λέγει τὴν εὐχήν· Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς ἡμῶν Goar. p. 452. Εἶτα τὸ Ὅσοι εἰς Χριστὸν... Προκείμενον, ἦχος πλ. β'. Εὐφράνθητε ἐπὶ Κύριον... Στίχος· Μακάριοι ὧν ἀφέθησαν.. Πρὸς Ῥωμαίους ἐπιστολῆς· Ἀδελφοί, οὐδεὶς ἡμῶν ἑαυτῷ ζῇ, καὶ οὐδεὶς ἡμῶν ἑαυτῷ ἀποθνήσκει... Τελός· Ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ. Ἀλληλουάριον, Ἀγαλλιᾶσθε δίκαιοι. Εὐαγγέλιον ἐκ τοῦ κατὰ Λουκᾶν· Τῷ καιρῷ ἐκείνῳ, ὁ Πέτρος ἀναστὰς ἔδραμεν ἐπὶ τὸ μνημεῖον... Τέλος· Καὶ ὡς ἐγνώσθη αὐτοῖς ἐν τῇ κλάσει τοῦ ἄρτου. Καὶ πάλιν γυρίζοντες αὐτόν. Στάσις ε. Ἀντίφωνον α'. ἦχος πλ. α'. Ἐν τῷ θλίβεσθαί με Goar p. 442, съ прибавкою на концѣ: Ἁγίῳ Πνεύματι θεολογοῦντες φῶμεν... Ἕτερα στιχηρὰ νεκρώσιμα, ἦχος πλ. α'. Ἐμνήσθην τοῦ προφήτου βοῶντος· ἐγώ εἰμι γῆ καὶ σποδός, καὶ πάλιν κατενόησα ἐν τοῖς μνήμασιν... Ὅμοιον·

Σὺ ἔπλασάς με, Κύριε, καὶ ἔθηκας ἐπ' ἐμὲ τὴν χεῖρά σου... Ἕτερα στιχηρὰ προσόμοια, ἦχος ὁ αὐτός· Χαίροις ἀσκητικῶν. Αἴγλη τοῦ σοῦ προσώπου, Χριστὲ...Ψάλλειν παναρμονίῳ φωνῇ... Δόξα, Ὅπου τῶν προφητῶν χορός... Καὶ νῦν, Νόμῳ τῆς ἁμαρτίας ἡμᾶς δεδουλωμένους Goar. p. 442. Ἰδιόμελον, ἦχος πλ. α'. Τί ποιήσεις, ῥάθυμε ψυχή, ὅταν φθάσῃς τὸ βῆμα τὸ φρικτόν.... Λέγεται αὐτὸ δίς, εἶτα μνημονεύει, καὶ ἡ παροῦσα εὐχὴ ὁ ε'. πρεσβύτερος· Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τῇ σοφίᾳ κατασκευάσας τὸν ἄνθρωπον καὶ τῇ σῇ εἰκόνι, ὁ Θεός, τιμήσας αὐτὸν καὶ ἐνθέμενος ἐν αὐτῷ πνεῦμα ζωῆς, καὶ εἰσαγαγὼν αὐτὸν εἰς τὸν κόσμον τοῦτον πολιτεύεσθαι ἐπ' ἐλπίδι ἀναστάσεως, ζωῆς αἰωνίου, καταντήσαντες δὲ αὐτὸν ὑπάγειν, τὸ μὲν σῶμα εἰς γῆν ἀναλύσας, τὴν δὲ ψυχὴν αὐτοῦ προσκαλούμενος. Αὐτὸς καὶ νῦν πρόσδεξαι τὴν ψυχὴν τοῦ δούλου σου ἱερέως ἐν τόπῳ φωτεινῷ, ἐν τόπῳ ἀναψύξεως, καὶ εἴ τι ἐν λόγῳ ἥμαρτεν, ἢ ἔργῳ, ἢ κατὰ διάνοιαν, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος Θεός, συγχώρησον· Σὺ γὰρ ὑπάρχεις ὁ Θεὸς ἡμῶν, Θεὸς τοῦ ἐλεεῖν καὶ σώζειν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν... См. выше стр. 672. Εἶτα τὸ Ἅγιος ὁ Θεός... Προκείμενον, ἦχος γ'. Ὁ πατήρ μου καὶ ἡ μήτηρ μου ἐγκατέλιπον... Στίχος· Κύριος φωτισμός... Πρὸς Θεσσαλονικεῖς ἐπιστολῆς· Ἀδελφοί, περὶ τῶν χρόνων καὶ τῶν καιρῶν οὐ χρείαν ἔχετε ὑμῖν γράφεσθαι... Τέλος· Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μεθ' ὑμῶν. Ἀμήν. Ἀλληλουάριον, Μακάριος, ὃν ἐξελέξω... Εὐαγγέλιον ἐκ τοῦ κατὰ Μάρκον· Τῷ καιρῷ ἐκείνῳ, ἀναστὰς ὁ Ἰησοῦς πρωὶ πρώτῃ σαββάτου, ἐφάνη πρῶτον Μαρίᾳ τῇ Μαγδαληνῇ... Τέλος· Διὰ τῶν ἐπακολουθούντων σημείων. Ἀμήν. Καὶ πάλιν κυκλοῦσιν αὐτόν. Στάσις ς'. Ἀντίφωνον α'. ἦχος πλ. β'. Ἐν τῷ οὐρανῷ τοὺς ὀφθαλμοὺς κ. τ. α. Goar. p. 442, съ прибавленiемъ на И нынѣ Ἁγίῳ Πνεύματι ἐνθέωσις τοῖς πᾶσιν... Στιχηρὰ νεκρώσιμα, ἦχος πλ. β'. Ἀρχή μοι καὶ ὑπόστασις τὸ πλαστουργόν σου γέγονε πρόσταγμα... Ἄλγος τῷ Ἀδὰμ ἐχρημάτισεν, ἡ τοῦ ξύλου ἀπόγευσις πάλαι ἐν Ἐδέμ... Ἕτερα στιχηρὰ προσόμοια, ἦχος ὁ αὐτός· Ὅλην ἀποθέμενοι. Ἔχων ἀκατάληπτον.. Νέκρωσιν ὑπέμεινας ζωοποιὸν ἑκουσίως καὶ ζωὴν ἐπήγασας... Δόξα, Ζώντων κυριεύοντα... Νῦν, Ὤφθης ἐνδιαίτημα, θεοπρεπὲς Παναγία, καὶ Θεὸν ἐχώρησας... Goar pag. 443. Τροπάριον, ἦχος πλ. β'. Ἱερὰν ἀξίαν στολισάμενος ἐν Πνεύματι... δίς. Εἶτα μνημονεύει, καὶ ἡ εὐχή. ΤοῦΚυρίου δεηθῶμεν. Μνήσθητι, Κύριε, πάντων τῶν προαναπαυσαμένων ψυχῶν καὶ τοῦ ἀδελφοῦ καὶ τοῦ συλλειτουργοῦ ἡμῶν ὁ δεῖνα ἱερέως, καὶ συγχώρησον αὐτῷ τὰς ἁμαρτίας αὐτοῦ, εἴτι ἥμαρτεν ἑκουσίως καὶ ἀκουσίως, ἡμᾶς δὲ καταξίωσον, Κύριε ὁ Θεὸς ἡμῶν, ἡμέραν καθ' ἡμέραν εὐχαριστεῖν τὴν σὴν μεγαλειότητα διὰ μετανοίας πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν. Σὺ γὰρ εἶ ἡ ἀνάπαυσις τοῦ σοῦ δούλου, Χριστὲ

ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν... См. выше стр. 534, 673. Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε... Προκείμενον, ἦχος πλ. β'. Ἰδοὺ δὴ εὐλογεῖτε τὸν Κύριον. Στίχος· Οἱ ἑστῶτες ἐν οἴκῳ Κυρίου. Ἀπόστολος· Πρὸς Κορινθίους πρώτης· Ἀδελφοί, Χριστὸς κηρύσσεται, ὅτι ἐκ νεκρῶν ἐγήγερται, καὶ πῶς λέγουσί τινες ἐν ὑμῖν... Τέλος· Ἀπαρχὴ τῶν κεκοιμημένων ἐγένετο. Ἀλληλουάριον, Αἱ ἡμέραι ἡμῶν ὡσεὶ σκιὰ παράγουσιν. Εὐαγγέλιον κατὰ Λουκᾶν· Τῇ μιᾷ τῶν σαββάτων, ὄρθρου βαθέος, ἦλθον γυναῖκες ἐπὶ τὸ μνῆμα... Τέλος· Καὶ ἀπῆλθε πρὸς ἑαυτὸν θαυμάζων τὸ γεγονός. Καὶ πάλιν κυκλοῦσιν αὐτόν. Στάσις ζ'. Ἀντίφωνον α'. ἦχος βαρύς· Τὴν αἰχμαλωσίαν Σιών... κ. τ. λ. Goar. p. 443 съ прибавкою на Инынѣ Ἁγίῳ Πνεύματι τὰ σύμπαντα τὸ εἶναι ἔχει... Στιχηρὰ νεκρώσιμα, ἦχος ὁ αὐτός· Ἀνάπαυσον, Σωτὴρ ἡμῶν ζωοδότα, ὃν μετέστησας... Ἕτερον· Κατ' εἰκόνα σὴν καὶ ὁμοίωσιν πλαστουργήσας κατ' ἀρχὰς τὸν ἄνθρωπον Goar. pag. 429. Ἕτερα στιχηρά, ἦχος ὁ αὐτός, προσόμοια· Καταφρονήσαντες. Νενεκρωμένος ὡράθης... Τῷ ἀκηράτῳ σου κάλλει... Δόξα, Ὡς ἀδαπάνητον ἔχων... Νῦν, Νόμου τὸ πλήρωμα... Goar pag. 443. Τροπάριον ἰδιόμελον, ἦχος πλ. α'. Φῶς ἡμῖν ἔλαμψας, Χριστὲ ὁ Θεὸς ἡμῶν... Καὶ ἡ ἐκτενὴ εἰς κοιμηθέντας καὶ ἡ εὐχή· Ὁ ἀτελεύτητος Θεός, ὁ ἐν ἔργοις ἀγαθοῖς δημιουργήσας τὸν ἄνθρωπον πρὸς τὴν ἐντεῦθεν διαγωγὴν εἰς τὴν ἐκεῖθεν ἀμοιβὴν χαρισάμενος, τὸν μεθ' ἡμῶν σοι δουλεύοντα καὶ ἐξ ἡμῶν ἐκδημήσαντα ἱερέα, φιλάνθρωπε, τῆς ἐκεῖθεν ζωῆς κληρονόμον ἀνάδειξον, τὰ ὡς ἄνθρωπον αὐτῷ πλημμεληθέντα λήθην ποιούμενος, καὶ ἡμῶν τὸν βίον ἐν γαλήνῃ διεξάγαγε, ἵνα εὐαρέστως σοι ὑπηρετούμενοι τοῖς ἡτοιμασμένοις τοῖς σοῖς θεράπουσιν ἀφθαρσίας μετάσχωμεν. Ὅτι σὺ εἶ ἡ ζωὴ καὶ ἡ ἀνάστασις, καὶ ἡ ἀνάπαυσις τοῦ δούλου σου, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν... См. выше стр. 552. Ἅγιος ὁ Θεὸς... Προκείμενον, ἦχος πλ. β'. Μακαρία ἡ ὁδός σου... Στίχος· Ἐπίστρεψον ψυχήν μου. Ἀπόστολος Πρὸς Ἑβραίους ἐπιστολῆς· Ἀδελφοί, τοιοῦτος ἡμῖν ἔπρεπεν ἀρχιερεύς... Τέλος· Τῶν ἁγίων λειτουργὸς καὶ τῆς σκηνῆς ἀληθινῆς, ἣν ἔπηξεν ὁ Κύριος καὶ οὐκ ἄνθρωπος. Ἀλληλουάριον. Προσελογίσθην μετὰ τῶν... Εὐαγγέλιον· Ἐκ τοῦ κατὰ Ματθαῖον· Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου. Τέλος· Καὶ τὸ φορτίον μυ ἐλαφρόν ἐστιν. Καὶ πάλιν κυκλοῦσιν αὐτόν. Ἀντίφωνον α'. τῆς η' στάσεως, ἦχος πλ. δ'. Ἐκ νεότητός μου ὁ ἐχθρός με... Goar pag. 444, съ прибавкою: Ἁγίῳ Πνεύματι θεολογίας μονὰς τρισαγία· ὁ Πατὴρ γὰρ ἄναρχος... Στιχηρὰ νεκρώσιμα, ἦχος πλ. δ'. Θρηνῶ καὶ ὀδύρομαι Goar pag. 429. Πῶς παρεδόθημεν τῇ φθορᾷ, πῶς συνεζεύχθημεν... Ἕτερον· Ὁ θάνατός σου, Κύριε, ἀθανασίας γέγονε πρόξενος... Ἕτερα στιχη-

ρὰ προσόμοια, ἦχος ὁ αὐτός· Ὢ τοῦ παραδόξου θαύματος. Βασιλικῶς μοι ὑπέγραψας... Ὅμοιον· Βάθει σοφίας... Δόξα, ὅμοιον· Λόγος ὑπάρχων ἀόρατος ὁμοφυὴς τῷ Πατρὶ καὶ τῷ Πνεύματι σύνθρονος... Νῦν, Ὡς συλλαβοῦσα... Goar pag. 444. Τροπάριον, ἰδιόμελον ἦχος πλ. β΄. Σώζεσθε, σύνθρονοι τοῦ ἱεροῦ· ἐμὲ γὰρ χρήζει ὁ Κύριος, πρόσταγμα ἔθετο καὶ οὐ παρελεύσεται... Ἡ ἐκτενὴ εἰς κοιμηθέντας καὶ εὐχή· Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, κλῖνον τὸ οὖς σου καὶ ἐπάκουσον τῆς δεήσεως ἡμῶν καὶ τὸν δοῦλόν σου τοῦτον ἱερέα, ἐπ' ἐλπίδι ἀναστάσεως κεκοιμημένον... См. выше стр. 534, но съ инымъ концомъ: εἴτι δὲ αὐτῷ πεπλημμέληται λόγῳ ἢ ἔργῳ ἑκουσίως ἢ ἀκουσίως, Σὺ ἀγαθὸς Θεὸς καὶ φιλάνθρωπος συγχώρησον πάντα, διότι ἡμῶν ἐστί, Κύριε, τὸ εὔξασθαι, παρὰ σοῦ δὲ τὸ ἔλεος. Σὺ γὰρ εἶ ὁ Θεὸς ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν... Εἶτα Ὅσοι εἰς Χριστόν... Προκείμενον, ἦχος δ΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ. Στίχος· Εἰπάτω δὴ οἶκος... Πρὸς Κορινθίους· Ἀδελφοί, τί ποιήσουσιν οἱ βαπτιζόμενοι ὑπὲρ τῶν νεκρῶν... Τέλος· Καὶ ἑκάστῳ τῶν σπερμάτων τὸ ἴδιον σῶμα. Ἀλληλουάριον. Μακάριος, ὃν ἐξελέξω... Εὐαγγέλιον· Ἐκ τοῦ κατὰ Λουκᾶν· Τῷ καιρῷ ἐκείνῳ ἀναστὰς ὁ Ἰησοῦς ἐκ νεκρῶν ἔστη ἐν μέσῳ τῶν μαθητῶν αὐτοῦ... Τέλος· Αἰνοῦντες καὶ εὐλογοῦντες τὸν Θεόν. Ἀμήν. Καὶ πάλιν κυκλοῦσιν αὐτόν. Εἶτα γίνεται ἀσπασμὸς καὶ ψάλλουσι στιχηρὰ προσόμοια, ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου. Δεῦτε τελευταῖον ἀσπασμὸν δῶμεν, ἀδελφοί... Στίχος· Ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτὸ κοιμηθήσομαι. Ποῖος χωρισμός, ὦ ἀδελφοί... Στίχος· Ἔθεντό με ἐν λάκκῳ... Πάντα τὰ τοῦ σώματος νυνὶ ὄργανα... Στίχος· Οἱ θεωροῦντές με... Οἷα ἡ ζωὴ ἡμῶν.:. Στίχος· Κύριε, ἠγάπησα εὐπρέπειαν... Ἄρτι ἡ τοῦ βίου πονηρά... Goar. p. 445, кромѣ припѣвовъ. Στίχος· Ἐν ἡμέρᾳ πονηροῦ ῥύσεται αὐτόν. Ἄρτι τῶν ματαίων ἡ ἐλπὶς καὶ τῶν ἐπιγείων τῆς πλάνης... Στίχος· Μακάριος ὁ συνιῶν. Δεῦτε ἐν τοῖς τάφοις, ἀδελφοί, βλέψωμεν τὴν τέφραν καὶ γνῶμεν... Στίχος· Ἐγὼ εἶπα, Κύριε, ἐλέησόν με. Δεῦτε, οἱ ἀπόγονοι Ἀδάμ, ἴδωμεν εἰς γῆν βεβλημένην τὸ κατ' εἰκόνα ἡμῶν... Στίχος· Τότε ἀποθανεῖται καὶ ἀπολεῖται. Μέγας ὁ κλαυθμὸς καὶ ὀδυρμός, μέγας στεναγμὸς καὶ ὀδύνη, ὁ χωρισμὸς τῆς ψυχῆς... Στίχος· Εἰσελεύσομαι εἰς τὸν οἶκον... Τοῦτον καθορῶντες τὸν νεκρόν, τύπον ἀναλάβωμεν πάντες τῆς τελευταίας ῥοπῆς... Στίχος· Ἕως οὗ εὕρω... Μόνος κραταιὸς καὶ δυνατός, μόνος φοβερὸς ἐν ἰσχύϊ, ὑπάρχων, Κύριε.., Δόξα, Πάντες οἱ ὁρῶντές με νεκρόν, πόθῳ νῦν ἀσπάσασθαι, φίλοι ἀγαπητοὶ καὶ γνωστοί... Καὶ νῦν, θεοτοκίον· Σῶζε τοὺς ἐλπίζοντας εἰς σέ, Μῆτερ τοῦ ἀδύτου ἡλίου, θεογεννῆτορ ἁγνή... Καὶ εὐθὺς γίνεται ἡ σύναξις τῶν ἱερέων, καὶ φέρουσιν αὐτὸν ἐπὶ τὸ μνημεῖον, καὶ αἴρει ὁ διάκονος τὸ θυμιατήριον καὶ μανουαλίον, πορευό-

μενος ἔμπροσθεν, καὶ πάντες οἱ ἱερεῖς, βαστάζοντες τὸ λείψανον μετὰ τοῦ θρόνου καὶ ἀνέρχονται εἰς τὸ μνημεῖον, καὶ θυμιᾷ ὁ ἱερεὺς αὐτοῦ ἔσωθεν, καὶ τίθουσιν αὐτὸν ἐν αὐτῷ, καὶ ψάλλουσιν· Εἰσέλθοι τὸ ἀξίωμά μου ἐνώπιόν σου, Κύριε, καὶ τὸ Αὕτη ἡ κατάπαυσίς μου εἰς αἰῶνα αἰώνων. Καὶ τροπάριον, ἦχος β'. Ἡρετισάμην ἐγὼ τὴν κατοίκησιν ταύτην ἕως τῆς παρουσίας τοῦ αἰῶνός σου, Κύριε. Καὶ μετὰ τοῦτο εἰσφέρουσι μύρον, οἶνον καὶ ἔλαιον, ἐπιχέαντες αὐτὰ τὸ λείψανον σταυροὺς τρεῖς, ψάλλοντες· Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι. Καὶ εὐθὺς καλύπτουσιν τὸν τάφον, καὶ ψάλλουσι στιχηρὰ προσόμοια, ἦχος πλ. β'. Ἡ ἀπεγνωσμένοι. Φοβερὸν τὸ ἔργον τὸ τοῦ θανάτου καὶ φρικτὴ ἡ κρίσις ἡ τοῦ Δεσπότου· τὸ πῦρ γὰρ τὸ ἄσβεστον ηὐτρέπισται ἐκεῖθεν... Στίχος· Οἱ ὀφθαλμοί μου ἠσθένησαν. Πάντες οἱ ἐν βίῳ προτεθνηκότες, δεῦτε ἐν τῷ τάφῳ ἐξεστηκότες, ἐγκύψαντες ἴδωμεν τὴν τοῦ κόσμου ἀπάτην... Στίχος· Ἔθεντό με ἐν λάκκῳ... Πάντα ματαιότης ματαιοτήτων τὰ τερπνὰ τοῦ κόσμου καὶ τὰ ἡδέα· ὁ τάφος γὰρ ἅπαντας μαραίνει τε καὶ φθείρει... Καὶ μετὰ ταῦτα, Ὅσοι εἰς Χριστόν... Προκείμενον, ἦχος δ'. Ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ. Στίχος· Κύριε ὁ Θεὸς τῆς σωτηρίας μου... Ὁ ἀπόστολος· Πρὸς Κορινθίους ά ἐπιστολῆς· Ἀδελφοί, ἐὰν ἡ ἐπίγειος ἡμῶν οἰκία τοῦ σκήνους καταλυθῇ... Τέλος· Φανερωθῆναι δεῖ ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ. Ἀλληλουάριον, Ἐκάθισέ με ἐν σκοτεινοῖς. Ἐκ τοῦ κατὰ Ἰωάννην· Τῷ καιρῷ ἐκείνῳ, ἦν τις ἀσθενῶν Λάζαρος ἀπὸ Βηθανίας ἐκ τῆς κώμης... Τέλος· Καὶ θεασάμενοι, ἃ ἐποίησεν ὁ Ἰησοῦς, ἐπίστευσαν εἰς αὐτόν. Καὶ εὐθὺς Οἱ μακαρισμοί, ἦχος πλ. β'. Πρὸς τὸ Λῃστὴν τοῦ παραδείσου. Ἐν τῇ βασιλείᾳ... Ὁδὸν ἡμῖν ὁ δείξας ἀθανασίας τῇ ἀναστάσει σου, Κύριε, ζωῆς ἀφθόρου μέτοχον δεῖξον... Στίχος· Μακάριοι οἱ ἐλεήμονες... Ἀπέστειλας ἐξ ὕψους καὶ προσελάβου ἐκ τῶν προσκαίρων τὸν δοῦλόν σου... Στίχος· Μακάριοι οἱ καθαροί... Χριστὸς σὲ ἀναπαύσει ἐν χώρᾳ ζώντων καὶ πύλας παραδείσου ἀνοίξει σοι.... Μακάριοι ἐστέ, ὅταν ὀνειδίσωσιν... Ἐγκύψατε καὶ ἴδετε ἐν τοῖς τάφοις, ὅτι γυμνὰ ὀστέα ὁ ἄνθρωπος... Δόξα, Ὁ τῶν ψυχῶν δεσπόζων καὶ τῶν σωμάτων, οὗ ἐν χειρὶ ἡ πνοὴ ἡμῶν... Καὶ νῦν, Πῶς ἐκ μαζῶν σου γάλα βλύζεις, Παρθένε, πῶς τρέφεις τὸν τροφέα τῆς κτίσεως... Εἶτα ὁ διάκονος τὴν ἐκτενήν· Ἐλέησον ἡμᾶς κ. τ. λ. Ὁ ἱερεὺς λέγει τὴν εὐχὴν τοῦ Μεγάλου Βασιλείου· Ὁ Θεὸς τῶν πνευμάτων... Καὶ γίνεται ἀπόλυσις, λέγων οὕτως· Ὁ ἀναστὰς ἐκ νεκρῶν... Καὶ ψάλλουσιν· Αἰωνία σου ἡ μνήμη, ἀξιομακάριστε ὁ δεῖνα ἱερεῦ ἢ πρεσβύτερε καὶ ἀείμνηστε ἀδελφὲ ἡμῶν, ἐκ τρίτου. Καὶ ἀπονίπτουσι τὰς χεῖρας αὐτῶν ὕδωρ (sic) καὶ ἐξέρχονται. Τῇ δὲ τρίτῃ ἡμέρᾳ ἀπέρχεται ὁ ἱερεὺς εἰς τὸ μνημεῖον, λέγει εὐλογητόν, Τρισάγιον, Παναγία Τριάς,

Πάτερ ἡμῶν, καὶ τὰ παρόντα τροπάρια· Μνήσθητι, Κύριε, ὡς ἀγαθός... Μετὰ τῶν ἁγίων ἀνάπαυσον... καὶ τὰ ἕτερα τροπάρια, τὸ Ἐλέησόν με, ὁ Θεός, εἶτα προκείμενον, ἡ ἐκτενὴ καὶ εὐχή· Ὁ Θεὸς τῶν πνευμάτων... καὶ ποιεῖ ἀπόλυσιν. Καθ' ἕκαστον δὲ πρωῒ ἕως ἡμέρας θ' οὕτως ποιεῖ ὁ ἱερεὺς ἐν τῷ μνημείῳ.

л. 201 об. Ἀκολουθία εἰς ἄνθρωπον ψυχοῤῥαγοῦντα καὶ κρινόμενον ὑπὸ θανάτου.

Ποιεῖ ὁ ἱερεὺς εὐλογητὸν ἐν τῷ οἴκῳ, ἐν ᾧ ὁ ἄνθρωπος κατακεῖται, καὶ εὐθὺς Τρισάγιον κ. τ. λ. Goar p. 585. Ὁ Ν', καὶ εὐθὺς ὁ κανὼν ποίημα κὺρ Ἀνδρέου Κρητοῦ, ᾠδὴ ά, ἦχος πλ. β'. Ὡς ἐν ἠπείρῳ πεζεύσας... Goar. pag. 585—587. Послѣ канона, Ἄξιόν ἐστιν, εἶτα Τρισάγιον κ. τ. λ. Ὅτι σοῦ ἐστὶν ἡ βασιλεία, καὶ ψάλλομεν τὰ τροπάρια ταῦτα· Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς... κ. τ. λ. τὸ Κύριε ἐλέησον μ'. καὶ εὐχή· Δέσποτα Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ πάντας ἀνθρώπους θέλων σωθῆναι... Goar. pag. 587, но съ прибавкою въ рединѣ: ἡ ἐλπὶς τῶν ἀπηλπισμένων, κρίσει τῇ παρὰ Σοῦ ἐλεήσας, κέλευσον, Δέσποτα φιλάνθρωπε, ἀπολυθῆναι ἐν εἰρήνῃ τὸ πνεῦμα τῆς δούλης σου ἡ δεῖνα καὶ κατάταξον εἰς τὰς αἰωνίους σου μονὰς μετὰ πάντων... Goar pag. 587 et conf. pag. 588, not. 6 и д. in var. lect.

л. 209. Ἀκολουθία τῆς κοινῆς παρακλήσεως. Обычный молебенъ Богоматери съ акаѳистомъ, Goar p. 673—677, на которомъ положены припѣвы. Ἐν ἑκάστῃ δὲ ᾠδῇ λέγε ταῦτα, ἤγουν τὸ Διάσωσον ἀπὸ κινδύνων τοὺς δούλους σου, Θεοτόκε... Καὶ τὸ Ἐπίβλεψον ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε... Κύριε ἐλέησον. Оканчивается послѣдованіе ектеньею: Ἐλέησον ἡμᾶς. Въ этомъ чинѣ нѣсколько листиковъ написаны позднѣйшею рукою.

л. 218 об. Ἕτερος κανὼν εἰς τὴν αὐτὴν Κυρίαν καὶ Δεσποίνην Θεοτόκον.

Ψάλλεται δὲ ἡμέρα παρ' ἡμέραν εἰς τὴν νηστείαν ταύτην τοῦ Αὐγούστου, ἦχος πλ. δ'. Ἁρματηλάτην... Τῶν λυπηρῶν ἐπαγωγαὶ χειμάζουσι τὴν ταπεινήν μου ψυχὴν... Ἐξ ἀμετρήτων ἀναγκῶν καὶ θλίψεων καὶ ἐξ ἐχθρῶν δυσμενῶν... κ. τ. α.

л. 226. Ἀκολουθία τοῦ μεγάλου ἁγιασμοῦ. Goar. p. 366—372. Противъ Гоаровскаго чина великаго водоосвященія въ настоящей рукописи имѣются и нѣкоторыя особенности. Ектенья, напр., излагается въ такомъ порядкѣ: Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῆς εἰρήνης... Ὑπὲρ τοῦ ἁγίου οἴκου... Ὑπὲρ τοῦ ἁγιασθῆναι τὸ ὕδωρ...

Ὑπὲρ τοῦ καταπεμφθῆναι αὐτῷ τὴν χάριν τῆς ἀπολυτρώσεως, τὴν εὐλογίαν... Ὑπὲρ τοῦ ἐπιβλέψαι Κύριον τὸν Θεὸν ὑπὲρ τὰ ὕδατα τὰ ταῦτα καὶ ἁγιάσαι αὐτά... Ὑπὲρ τοῦ γενέσθαι αὐτὰ πρὸς καθαρισμὸν... Ὑπὲρ τοῦ καταπεμφθῆναι ἡμῖν... Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς... Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας... Conf. Εὐχολ. Goar p. 368. Καὶ εὔχεται ὁ ἱερεὺς καθ' ἑαυτὸν τὴν εὐχήν· Κύριε Ἰησοῦ Χριστέ, ὁ μονογενὴς Υἱὸς Goar p. 368. Послѣ: Σοὶ γὰρ πρέπει πᾶσα δόξα... Καὶ οὕτως ἄρχεται ὁ ἱερεὺς τὴν εὐχὴν μεγαλοφώνως· Μέγας εἶ, Κύριε κ. τ. λ. Goar p. 370 et c.

л. 327 об. Ἀκολουθία τοῦ μικροῦ ἁγιασμοῦ. Ποιεῖ ὁ ἱερεὺς εὐλογητὸν καὶ εὐθὺς Τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν, ὁ ἱερεὺς, Ὅτι σοῦ ἐστὶν... Τὸ Κύριε ἐλέησον ιβ'. Δεῦτε προσκυνήσωμεν γ'. Ἐλέησόν με, ὁ Θεός, καὶ εὐθὺς τὰ τροπάρια, ἦχος πλ. β'. Ἡ τὸ χαῖρε δι' ἀγγέλου... Goar p. 358 и далѣе, но съ разницею въ нѣкоторыхъ тропаряхъ: 4 тропарь: Γένος πάντων ἀνυμνεῖ σε, Θεοτόκε τῶν ἀνθρώπων, καὶ πίστει δοξάζει σε.., 10 тропарь: Ἵλεως μοι, τῷ ἐν θλίψεσι τοῦ βίου, Θεοτόκε, ὑπάρχεις γὰρ στήριγμα, 11—Λῦσον πάντων ὀφλημάτων, Θεοτόκε, τὰς σειράς μου, τοῦ πόθῳ προστρέχοντος. 18—Ῥῆξον πάντων ὀφλημάτων τὰς σειράς μου, Θεοτόκε, καὶ σῶσόν με, δέομαι... 21 — Ὑπερτέρα τῶν κτισμάτων σὺ ὑπάρχεις, Παναγία, λιμένα σε ἔχοντες... 22—Φῶς τοῦ κόσμου σου ὑπάρχεις, Θεοτόκε· τὸν γὰρ κτίστην... 23— Χαῖρε ὄρος, χαῖρε βάτε... 24—Ψάλλομέν σοι, ἐκβοῶντες, παναγία Θεοτόκε, ἐλπὶς καὶ βοήθεια... 25—Ὦ Παρθένε, ἡ τεκοῦσα τὸν Σωτῆρα καὶ Δεσπότην κινδύνων καὶ θλίψεων, καὶ πάσης βλάβης τοὺς δούλους σου... 26—Δόξα, Τὸν Πατέρα καὶ Υἱὸν δοξολογοῦμεν καὶ τὸ Πνεῦμα τὸ ἅγιον, λέγοντες... Νῦν, 29—Ἡ ἀρρήτως[1]) ἐπ' ἐσχάτων συλλαβοῦσα καὶ τεκοῦσα... 28—Ταῖς πρεσβείαις, ἐλεήμων... 29—Τῇ πρεσβείᾳ ἐνδόξων ἀρχαγγέλων, ἀγγέλων καὶ τῶν ἄνω τάξεων... 30—Τῇ πρεσβείᾳ τοῦ τιμίου καὶ ἐνδόξου βαπτιστοῦ.... 31—Τῇ πρεσβείᾳ τῶν ἐνδόξων ἀποστόλων... 32—Τῇ πρεσβείᾳ τῶν ἐνδόξων Ἀναργύρων... Δόξα, Ὦ Παρθένε ἡ τεκοῦσα τὸν Σωτῆρα Goar p. 359 νῦν, Ὦ παρθένε, τῶν πενθούντων χαρμοσύνη καὶ δοχεῖον τοῦ ἁγίου Πνεύματος... Τῆς εὐσπλαγχνίας τὴν πύλην... Τοῦ Κυρίου δεηθῶμεν. Ὅτι ἅγιος εἶ ὁ Θεός... Νῦν ἐπέστη ὁ καιρός, ὁ πάντας ἁγιάζων... κ. τ. α. Goar p. 359. Послѣ евангелія, ектенья въ такомъ порядкѣ: Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῆς εἰρήνης... Ὑπὲρ τοῦ ἁγίου οἴκου... Ὑπὲρ τοῦ ἁγιασθῆναι τὸ ὕδωρ... Ὑπὲρ τοῦ καταπεμφθῆναι αὐτῷ τὴν χάριν τῆς

---

[1]) Приписаны этотъ и слѣдующіе тропари рукою XVIII в.

ἀπολυτρώσεως... Ὑπὲρ τοῦ δωρηθῆναι αὐτῷ δύναμιν ἰαματικὴν διὰ τῆς ἐπιφοιτήσεως... Ὑπὲρ τοῦ φωτισθῆναι ἡμᾶς φωτισμὸν γνώσεως... Ὅπως Κύριος ὁ Θεὸς ἡμῶν ἀναδείξῃ ἡμᾶς υἱοὺς καὶ κληρονόμους... Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας ἀχράντου... Ὅτι πρέπει... Καὶ εὐθὺς τὴν εὐχὴν ταύτην· Ὁ Θεὸς, ὁ μέγας καὶ ὕψιστος, ὁ ἐν Τριάδι ἁγίᾳ προσκυνούμενος, ἡ προαιώνιος φύσις, ἡ ὑπερούσιος καὶ ἀτελεύτητος μεγαλειότης, ἡ ἀνεξιχνίαστος δύναμις, ἡ ἄρρητος ἐξουσία, ἡ τῆς σοφίας πηγή... Εἰρήνη πᾶσι. Τὰς κεφαλάς. Καὶ εὔχεται μυστικῶς τὴν εὐχὴν ταύτην· Κλῖνον, Κύριε, τὸ οὖς σου. Goar p. 362. Καὶ εὐλογῶν τὰ ὕδατα σταυροειδῶς, κατάγων τὸν σταυρὸν ὄρθιον καὶ ψάλλων τροπάριον, ἦχος β'. ἢ τὸ Σῶσον, Κύριε, τὸν λαόν σου... Τῶν σῶν δωρεῶν... Εἶτα ῥαντίζει σταυροειδῶς τὴν μονὴν καὶ τοὺς ἐκεῖσε, εἶθ' οὕτως ἀσπάζεται τὸν σταυρὸν ὁ ἱερεὺς καὶ πᾶς ὁ λαός. Τούτων δὲ ῥαντιζομένων τὰ παρόντα ἰδιόμελα· Πηγὴν ἰαμάτων... Goar p. 362. Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου φύλαττε, εὐλογημένη Θεοτόκε... Νεῦσον παρακλήσεσι... Καὶ εἰ βούλεις, εἰπὲ καὶ ἄλλα, ὅσα θέλεις, εἶτα ἐκτενὴ καὶ γίνεται ἀπόλυσις.

л. 248. Εὐχαὶ τῆς γονυκλισίας, ἤτοι τῇ κυριακῇ τῆς ἁγίας Πεντηκοστῆς. Goar p. 597—603.

л. 264. Ἀκολουθία εἰς γυναῖκα λεχώ.

Ποιεῖ ὁ ἱερεὺς εὐλογητόν, εἶτα Τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν, Κύριε ἐλέησον ιβ'. εἰ δὲ βούλει, τροπάριον, ἦχος δ'. Ἡ γέννησίς σου, Θεοτόκε, χαρὰν ἐμήνυσε πάσῃ τῇ οἰκουμένῃ... Καὶ εὐθὺς Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ πλάστης καὶ δημιουργὸς τῶν ἁπάντων Прилож. стр. 3—4. Εὐχὴ ἑτέρα εἰς τυχούσας γυναῖκας. Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὰ ἐν τῇ ὀθόνῃ εἰπὼν Πέτρῳ τῷ ἀποστόλῳ Прилож. стр. 6; Conf. Εὐχολ. Goar p. 263 — 264 и выше стр. 455. Εὐχὴ ἑτέρα. Τοῦ Κυρίου δεηθῶμεν. Δέσποτα Κύριε Ἰησοῦ Χριστέ, Λόγε Θεοῦ Πατρός, Υἱὲ μονογενές, ὁ διὰ τὴν ἡμῶν σωτηρίαν εὐδοκίᾳ τοῦ ἀνάρχου Πατρὸς καὶ συνεργείᾳ τοῦ παναγίου Πνεύματος τοῦ ὁμοουσίου καὶ συναϊδίου, καὶ ζωοποιοῦ, κατελθὼν ἐν τῷ τέλει τῶν αἰώνων ἐν μήτρᾳ τῆς ἁγίας Παρθένου καὶ κυηθεὶς ἀφράστως καὶ ἀρρήτως, ὡς οἶδας αὐτὸς μόνος ἄνθρωπος γεγονὼς τέλειος, ἵνα ἡμᾶς λυτρώσῃς τῆς τοῦ ἐχθροῦ τυραννίδος, καὶ τὴν πρώτην ἀρὰν ἀφανίσῃς, ἡμᾶς τῇ ἀντιδόσει τῆς θεότητος εἰς οὐρανοὺς ἀνυψώσῃς, καὶ τῷ πατρικῷ ἐνιδρύσας θρόνῳ, καὶ ὥσπερ τὴν ἀειπάρθενον τὴν Μητέρα καὶ πρὸ τόκου μείνασαν καὶ μετὰ τόκον ἀνώδυνον ἐφύλαξας, οὕτως εὐδόκησον, πολυεύσπλαγχνε Δέσποτα, ὑπεράγαθε Κύριε Ἰησοῦ Χριστέ, καὶ τὴν νυνὶ τεκοῦσαν δούλην σου τήνδε ῥυσθῆναι πάσης ἐπιβουλῆς τοῦ ἐχθροῦ

καὶ τῇ σῇ χάριτι καὶ ἁγιασμῷ κάθαρον, ἁγίασον τῇ δωρεᾷ καὶ ἐπιφοιτήσει τοῦ Ἁγίου σου Πνεύματος, ἵνα καὶ αἱ ταύτῃ ἐξυπηρετήσασαι γυναῖκες ἐν τῷ τίκτειν, ἅμα δὲ καὶ οἱ παρατυχόντες ἅπαντες ἐν τῷ οἴκῳ τούτῳ, προσιόντες ἀδιστάκτως τοῦ σοῦ ἁγιασμοῦ ἀπολαύσωσιν, εὐδόκησον δὲ καὶ τὸ τεχθὲν διαφυλαχθῆναι ἀνώτερον τῶν ἐπινοιῶν τοῦ ἐχθροῦ, καὶ ἀξιωθῆναι τοῦ λουτροῦ τῆς παλιγγενεσίας, καὶ τίμιον σκεῦος γενέσθαι τῆς σῆς χάριτος, καὶ τῇ μεθέξει τῶν ἀχράντων καὶ θείων σου μυστηρίων, κληρονόμον γενέσθαι τῆς οὐρανίου βασιλείας σου, ἵνα καὶ δι' αὐτοῦ δοξάζηταί σου τὸ πανάγιον ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος... Καὶ γίνεται ἀπόλυσις.

л. 266 об. Ἀκολουθία εἰς τὸ σαραντῆσαι παιδίον.

Τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν, τὸ Κύριε ἐλέησον, εἰ δὲ τροπάριον, ἦχος α'. Χαῖρε, κεχαριτωμένη Θεοτόκε παρθένε... Τοῦ Κυρίου δεηθῶμεν. Κύριος ὁ Θεὸς ἡμῶν, σοῦ δεόμεθα καὶ σὲ παρακαλοῦμεν... Начало см. Прилож. стр. 8, а продолженіе у Гоара p. 267. Εἰρήνη πᾶσι. Τὰς κεφαλὰς ἡμῶν. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ παραγενόμενος ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων... Тамъ же, но съ нѣкоторою перестановкою словъ. Εἶτα τὸ παιδίον αὐτὸς μετὰ χεῖρας λαβὼν ὁ ἱερεὺς καὶ ἐπιτιθεὶς τὸ στόμα τούτου παρ' ἑκάτερα τῶν ἁγίων θυρῶν ἐν σχήματι ἀσπασμοῦ. Τὸ αὐτὸ δὲ καὶ εἰς τὴν ἁγίαν ποιῶν τράπεζαν, σχηματίζει αὐτὸ ὡς προσκυνοῦν, καὶ τὰ ἑξῆς. Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν τεσσαράκοντα ἡμέραις βρέφος τῷ νομικῷ ναῷ προσαχθείς... Goar. p. 267. Καὶ μετὰ τὸ Ἀμήν, σφραγίζει τὸ μέτωπον καὶ τὸ στόμα καὶ τὸ στῆθος, καὶ οὕτως ὁ ἀνάδοχος λαμβάνει αὐτό, καὶ ποιεῖ ἀπόλυσιν.

л. 269 Ἀκολουθία εἰς τὸ ποιῆσαι κατηχούμενον, ἤγουν βαπτίσαι.

Начало см. въ Приложен. стр. 20. На второй заклинательной молитвѣ обрывается послѣдованіе чина крещенія, по недостатку листовъ, и продолжается далѣе съ конца молитвы: «Συντριβήτωσαν ὑπὸ τὴν σημείωσιν τοῦ τύπου τοῦ σταυροῦ σου Goar. pag. 289 Εἶτα φέρων τὸ ἔλαιον, ἐμφυσᾷ εἰς αὐτὸ ὁ ἱερεὺς τρίτον καὶ σφραγίζει αὐτὸ τρίτον, λέγων· Εἰρήνη πᾶσι. Τὰς κεφαλὰς ἡμῶν. Ὁ δὲ ἱερεύς, κλινόμενος ἐπεύχεται μυστικῶς· Δέσποτα Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν Goar pag. 289. Λαβὼν δὲ ὁ ἱερεὺς τὸ ἔλαιον, ἐκχέει αὐτὸ εἰς τὸ ὕδωρ σταυροειδῶς τρίτον, ψάλλων σὺν τοῖς παροῦσι τὸ Ἀλληλούια, εἶθ' οὕτως λέγει· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, ὁ φωτίζων... Καὶ λαμβάνει εὐθέως ὁ ἱερεὺς ἐκ τοῦ ἁγίου ἐλαίου τῷ δακτύλῳ αὐτοῦ καὶ ποιεῖ σταυροῦ τύπον ἐπὶ τοῦ μετώπου καὶ τοῦ στήθους, καὶ τῶν μεταφρένων, λέγων· Χρίεται ὁ δοῦλος τοῦ Θεοῦ ὁ δεῖνα ἔλαιον ἀγαλλιάσεως. Καὶ αὖθις χρίεται ὑπὸ τῆς μαίας ὅλῳ τῷ σώματι, τὸ δὲ παιδίον, χαμαὶ κείμενον. Λαβὼν ὁ ἱε-

ρεὺς αὐτό, καταδύει αὐτὸ εἰς τὴν κολυμβήθραν τρίτον, ἐπιλέγων· Βαπτίζεται ὁ δοῦλος τοῦ Θεοῦ ὁ δεῖνα εἰς τὸ ὄνομα τοῦ Πατρός. Ἀμήν. Καὶ τοῦ Υἱοῦ. Ἀμήν. Καὶ τοῦ Ἁγίου Πνεύματος. Ἀμήν. Νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας... Ἑκάστῃ προσρήσει κατάγων καὶ ἀνάγων, καὶ εὐθέως ἀνάγων αὐτὸ ἐκ τοῦ ὕδατος τῆς ἁγίας κολυμβήθρας, θέτει αὐτὸ ἐν ταῖς ἀγκάλαις τοῦ ἀναδόχου, ψάλλοντες· Μακάριοι ὧν... Καὶ ὁ ἱερεύς· Εὐλογητὸς ὁ Θεός, ὁ φωτίζων... Εἶτα λέγει εὐχὴν εἰς ἅγιον μύρον. Τοῦ Κυρίου δεηθῶμεν. Εὐλογητὸς εἶ. Κύριε ὁ Θεὸς παντοκράτωρ... Goar p. 290. Εἶτα χρίει αὐτόν... Прилож. стр. 23. Послѣ «Ὅσοι εἰς Χριστόν.. εἶτα ἱστάμενος ὁ ἱερεὺς μνημονεύει τὸν νεοφώτιστον σὺν τῷ ἀναδόχῳ, καὶ γίνεται ἀπόλυσις,εἰ μή γε λειτουργεῖ, καὶ τὴν εὐχὴν τῆς κουρᾶς καὶ κουρεύει αὐτό, εἶτα τὴν ἑτέραν εὐχήν. Ἀπερχόμενοι δὲ ἐν τῷ οἴκῳ αὐτοῦ, ψάλλουσιν οἱ παρεπόμενοι τὸ Ὅσοι εἰς Χριστόν... Καὶ μετὰ ἑπτὰ ἡμέρας πάλιν φέρουσιν αὐτὸν ἐν τῇ ἐκκλησίᾳ εἰς τὸ ἀπολοῦσαι, ἐνδύει δὲ αὐτοῦ τὸ σάβανον, τὴν ζώνην... См. до конца Прилож. стр. 24. Ἑτέρα εὐχὴ εἰς τὸ κουρεῦσαι παιδίον. Τοῦ Κυρίου δεηθῶμεν. Σὲ ἱκετεύομεν, Κύριε ὁ Θεός... и до конца Прилож стр. 25 съ прибавкою: Εἶθ' οὕτως μνημονεύει τὸν ἀνάδοχον καὶ ποιεῖ ἀπόλυσιν.

л. 279 Ἀκολουθία εἰς μνῆστρα βασιλέων καὶ λοιπῶν, ἤγουν εἰς ἀῤῥαβῶνα.

Ἵστανται οἱ νεόνυμφοι πρὸ τῶν ἁγίων πυλῶν, τὸν μὲν ἄνδρα ἐκ δεξιῶν, τῇ δὲ γυναικὶ ἐξ ἀριστερῶν, καὶ τίθησι τὰ δακτυλίδια ἐπάνω τοῦ μανουαλίου, ἔνθα ἐστὶν ἡ ἁγία εἰκών, καὶ λέγει ὁ διάκονος· Εὐλόγησον, δέσποτα. Ὁ δὲ ἱερεύς· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, εἶτα Βασιλεῦ οὐράνιε, Τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν, τὸ ἀπολυτίκιον τῆς ἡμέρας, εἶτα τὸ παρόν· Τοῦ σταυροῦ σου τὸν τύπον ἐν οὐρανῷ θεασάμενος, καὶ ὡς ὁ Παῦλος τὴν κλῆσιν οὐκ ἐξ ἀνθρώπων δεξάμενος... κοντάκιον· Κωνσταντῖνος σήμερον σὺν τῇ μητρὶ τῇ Ἑλένῃ τὸν σταυρὸν ἐμφαίνουσι τὸ πανσεβάσμιον ξύλον... Καὶ ὁ διάκονος τὰ εἰρηνικά· Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῆς εἰρήνης... Ὑπὲρ τοῦ ἁγίου οἴκου... Ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν... Ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων βασιλέων ἡμῶν παντὸς τοῦ παλατίου καὶ τοῦ στρατοπέδου αὐτῶν... Ὑπὲρ τοῦ δούλου τοῦ Θεοῦ ὁ δεῖνα καὶ τῆς δούλης τοῦ Θεοῦ... Ὑπὲρ τοῦ εὐλογηθῆναι τὰ μνῆστρα ταῦτα τῇ χάριτι τοῦ Ἁγίου Πνεύματος... Ὑπὲρ τοῦ παρασχεθῆναι αὐτοῖς σωφροσύνην καὶ σύνεσιν... Ὑπὲρ τοῦ ῥυσθῆναι αὐτούς... Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας ἀχράντου... Ὅτι πρέπει σοι... Confer. Εὐχολ. Goar p. 310. Τοῦ Κυρίου δεηθῶμεν. Ὁ Θεὸς ὁ αἰώνιος, ὁ τὰ διῃρημένα... Goar p. 311. Εὐχὴ τῶν ἀῤῥαβώνων. Τοῦ Κυρίου δεηθῶ-

μεν. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τῷ παιδὶ τοῦ πατριάρχου Ἀβραὰμ συμπορευθείς... Goar p. 311, но съ прибавкою: τοὺς δὲ συμπαρόντας ἁγίασον καὶ διαφύλαξον εὐχαῖς καὶ ἱκεσίαις τῆς ὑπερενδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας καὶ πάντων τῶν ἁγίων σου. Ὅτι Σὺ εἶ φύλαξ καὶ σκέπη πάντων ἡμῶν, ὁ Θεός, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρί... Εὐχὴ ἑτέρα. Τοῦ Κυρίου δεηθῶμεν. Σῶτερ ἀγαθὲ καὶ φιλάνθρωπε, τὸν ἀρραβῶνα τοῦτον ἰσχυρὸν καὶ βέβαιον διαφύλαξον, ἵνα γένηται αὐτοῖς τὸ συνάλλαγμα [1]) τῆς συναφείας, εὐσταθές, εἰρηνικόν, πολυχρόνιον, ἀδιάλυτον καὶ ἀκατάγνωστον· Σὺ γὰρ εἶ Κύριος μόνος καὶ δύνασαι πάντα, ἀδυνατεῖ δέ σοι οὐδέν. Ὅτι σὸν τὸ κράτος καὶ σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις... Εἶτα λαμβάνει ὁ ἱερεὺς τὰ δακτυλίδια καὶ ἀνταλλάσσει ταῦτα τοῖς νεονύμφοις ἐκ τρίτου, καὶ τὸ μὲν χρυσοῦν, εὐλογῶν αὐτό, δίδωσι τῷ ἀνδρί, τὸ δὲ ἀργυροῦν τῇ νύμφῃ, καὶ λαβὼν τὰς δεξιὰς χεῖρας αὐτῶν, παραδίδωσιν ἀλλήλοις, καὶ λέγει ὁ ἱερεύς· Εἰρήνη πᾶσι. Τὰς κεφαλὰς ἡμῶν. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὴν ἐξ ἐθνῶν μνηστευσάμενος... Goar p. 311 Καὶ λαβὼν αὐτοὺς ὁ ἱερεὺς ἐκ τῶν πεπλεγμένων χειρῶν, φέρων αὐτοὺς ὀλίγον ἔμπροσθεν αὐτοῦ, ψάλλων τὸν παρόντα ψαλμόν, ἦχος β′. Μακάριοι πάντες οἱ φοβούμενοι τὸν Κύριον... до конца безъ припѣвовъ. Δεῖ γινώσκειν, ὅτι ἐὰν θέλωσιν ἐν τῷ αὐτῷ καὶ στεφανωθῆναι, ἵσταται αὐτοὺς ἔμπροσθεν τοῦ θυσιαστηρίου, καὶ λέγει τὰ διακονικὰ τοῦ στεφανώματος καὶ τὴν ἀκολουθίαν ὅλην, εἰ δὲ εὐλογῆσαι μόνον, ποιεῖ ἐκτενὴν καὶ ἀπόλυσις.

л. 283 об. Ἀκολουθία τοῦ στεφανώματος.

Εὐλογεῖ ὁ ἱερεύς, Τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν, Ὅτι σοῦ ἐστὶν ἡ βασιλεία, τὸ ἀπολυτίκιον τῆς ἡμέρας, καὶ εὐθὺς ὁ. διάκονος τὴν συναπτήν, λέγων οὕτως· Ἐν εἰρήνῃ.. Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῆς εἰρήνης... Ὑπὲρ τοῦ ἀρχιεπισκόπου... Ὑπὲρ τοῦ δούλου τοῦ Θεοῦ... Ὑπὲρ τῆς ἐν Θεῷ συζεύξεως καὶ ἑνώσεως καὶ ὁμονοίας αὐτῶν... Ὑπὲρ τοῦ εὐλογηθῆναι... Ὑπὲρ τοῦ παρασχεθῆναι αὐτοῖς... Ὑπὲρ τοῦ εὐφρανθῆναι αὐτούς... Ὅπως Κύριος ὁ Θεὸς χαρίσηται αὐτοῖς τὸν γάμον τίμιον καὶ τὴν κοίτην ἀμίαντον... Ὑπὲρ τοῦ ῥυσθῆναι αὐτούς... Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας... Ὅτι πρέπει... Τοῦ Κυρίου δεηθῶμεν. Ὁ Θεὸς ὁ ἅγιος, ὁ πλάσας τὸν ἄνθρωπον καὶ ἐκ τῆς πλευρᾶς αὐτοῦ ἀνοικοδομήσας γυναῖκα... Goar p. 317. Εἶτα λαβὼν ὁ ἱερεὺς τὸ ἓν στέφανον [2]) ἀπὸ τῆς ἁγίας τραπέζης καὶ σχη-

[1]) Ркп. святогроб. библ. XVI в. № 86, καὶ συνάλλαγμα αὐτῶν εἰς πολὺν χρόνον καὶ ἀδιάλειπτον. Ὅτι Σὺ εἶ εὐλογῶν καὶ ἁγιάζων... [2]) Ркп. Син. библ. 1566 г. № 996 τὸν στέφανον ποιεῖ σταυροῦ τύπον εἰς τὴν κεφαλὴν τοῦ γαμβροῦ, λέγων· Στέφεται ὁ δοῦλος τοῦ Θεοῦ... Ὁμοίως καὶ εἰς τὴν

ματίσας σταυροῦ τύπον ἐπὶ τὴν κεφαλὴν τοῦ γαμβροῦ, λέγει· Κύριε ὁ Θεὸς ἡμῶν, δόξῃ καὶ τιμῇ στεφάνωσον αὐτόν. Εἶτα λαβὼν καὶ τὸ ἕτερον στέφανον, στέφει τὴν νύμφην, λέγων· Κύριε ὁ Θεὸς ἡμῶν, δόξῃ καὶ τιμῇ στεφάνωσον αὐτήν. Εἶθ' οὕτως εὐλογεῖ ἀμφοτέρους, λέγει· Κύριε ὁ Θεὸς ἡμῶν, δόξῃ καὶ τιμῇ στεφάνωσον αὐτούς. Ἔθηκας ἐπὶ τὰς κεφαλὰς αὐτῶν στεφάνους ἐκ λίθων τιμίων, ζωὴν ᾐτήσατό σε καὶ ἔδωκας αὐτοῖς μακρότητα ἡμερῶν εἰς αἰῶνα αἰῶνος. Καὶ συμπλέξας ἀλλήλων τὰς δεξιὰς αὐτῶν χεῖρας, λέγει ὁ ἱερεύς· Εἰρήνη πᾶσι. Τὰς κεφαλὰς ἡμῶν... Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν τῇ σωτηριώδῃ σου οἰκονομίᾳ... Goar p. 318. Προκείμενον [1]), ἦχος δ'. Δόξῃ καὶ τιμῇ ἐστεφάνωσας... Στίχος· Κύριε ὁ Κύριος ἡμῶν ὡς... Πρὸς Ἐφεσίους ἐπιστολῆς· Ἀδελφοί, οὕτως ὀφείλουσιν οἱ ἄνδρες ἀγαπᾶν τὰς ἑαυτῶν γυναῖκας, ὡς τὰ ἑαυτῶν σώματα... Τέλος· Καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν. Ἀλληλουάριον. Ἔθηκας ἐπὶ τὰς κεφαλὰς αὐτῶν... Ἐκ τοῦ κατὰ Ἰωάννην Goar p. 318 Εἴπωμεν πάντες... Κύριε παντοκράτωρ... Ἐλέησον ἡμᾶς... Ἔτι δεόμεθα ὑπὲρ τοῦ ἀρχιεπισκόπου... Ἔτι δεόμεθα ὑπὲρ ἐλέους... Ὅτι ἐλεήμων... [2]) Καὶ εἰ μὲν ἔστι καθαρὸν καὶ πρῶτον συνοικέσιον, καὶ βούλονται κοινωνῆσαι, λέγει ὁ ἱερεὺς μεγαλοφώνως τὴν ἐκφώνησιν ταύτην· Καὶ καταξίωσον ἡμᾶς, Δέσποτα... Ὁ λαὸς τὸ Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν... Εἰρήνη πᾶσι. Τὰς κεφαλὰς ἡμῶν... Καὶ τίθεται τὸ ποτήριον ἐπάνω τοῦ μανουαλίου. Τοῦ Κυρίου δεηθῶμεν. Ὁ Θεός, ὁ τὰ πάντα ποιήσας τῇ ἰσχύϊ σου, καὶ στερεώσας τὴν οἰκουμένην, καὶ κοσμήσας τὸν στέφανον πάντων τῶν πεποιημένων ὑπὸ σοῦ, ὁ τὸ ὕδωρ εἰς οἶνον μεταβαλὼν καὶ ἐμπλήσας τῇ εὐφροσύνῃ τῆς σῆς ἀγαθότητος τοὺς ἐν τῷ γάμῳ ἐν Κανᾷ τῆς Γαλιλαίας καὶ τὸ ποτήριον, τὸ κοινὸν τοῦτο... Goar p. 319. Καὶ αὖθις ψάλλουσι· Ποτήριον σωτηρίου λήψομαι... Καὶ λαβὼν τὸ ποτήριον ὁ ἱερεὺς ποτίζει πρῶτον τῷ ἀνδρί, εἶτα τῇ γυναικὶ ἐκ τρίτου. Δεῖ εἰδέναι, ὅτι ἐὰν ἐστὶ πρῶτον συνοικέσιον καὶ εἰσὶν καθαροὶ καὶ ἄμωμοι, καὶ θέλουσιν ἵνα κοινωνῆσαι ἐκ τοῦ ἀχράντου σώματος καὶ τοῦ τιμίου αἵματος τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, φυλάσσεται μερὶς τοῦ-

γυναῖκα λαβὼν τὸ στέφανον, ποιεῖ σταυρὸν λέγει· Στέφεται ἡ δούλη τοῦ Θεοῦ.. καὶ εὐθέως εὐλογεῖ αὐτοὺς ἐκ γ' λέγων· Κύριε ὁ Θεὸς ἡμῶν, δόξῃ καὶ τιμῇ στεφάνωσον αὐτούς. Ἔθηκας ἐπὶ τὴν κεφαλὴν κ. τ. λ.

[1]) Ἔθηκας ἐπὶ τὴν κεφαλὴν... [2]) За возгласомъ молитва: Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν τῇ σωτηριώδει σου οἰκονομίᾳ καταξιώσας Goar pag. 330. Ἀντιλαβοῦ, σῶσον... Τὴν ἡμέραν.. Καὶ καταξίωσον ἡμᾶς, Δέσποτα... Ὅτι σοῦ ἐστιν... Εἰρήνη πᾶσι. Τὰς κεφαλὰς. Καὶ εὐλογεῖ τὸ ποτήριον, λέγει τὴν εὐχὴν μυστικῶς· Ὁ Θεός, ὁ πάντα ποιήσας τῇ ἰσχύϊ σου Goar p. 331 и т. д. до конца, какъ у Гоара.

του ἀπὸ τῆς λειτουργίας καὶ μετὰ τὸ εἰπεῖν τὸν ἱερέα· Ὅτι σοῦ ἐστὶν ἡ βασιλεία, λέγει ὁ ἱερεύς· Πρόσχωμεν, ἢ ὁ διάκον(ος)· Τὰ ἅγια τοῖς ἁγίοις. Ὁ λαός· Εἷς ἅγιος, εἷς Κύριος... Καὶ τότε κοινωνεῖ αὐτούς, ψάλλοντες τὸ Ποτήριον σωτηρίου... Εἶτα λέγει τὴν εὐχὴν ἐπάνω τοῦ κοινοῦ ποτηρίου τὸ Ὁ Θεός, ὁ τὰ πάντα ποιήσας... См. выше. стр. 741. Καὶ ὕστερον δίδωσιν ὁ ἱερεὺς τὸ κοινὸν ποτήριον, εἶτα τὴν εὐχήν· Τοῦ Κυρίου δεηθῶμεν. Ἀδελφοί, χαίρετε ἐν Κυρίῳ, πάντοτε πάλιν ἐρῶ χαίρετε. *Красносельц*. Свѣд. о нѣк. литург. рукоп. Ват. библ. стр. 106. Εἶτα λαβὼν ὁ ἱερεὺς τοὺς νεονύμφους ἐκ τῶν πεπλεγμένων χειρῶν, εἰσοδεύει γύροθεν, ψάλλων τὸ Ἅγιοι μάρτυρες... Δόξα σοι Χριστὲ ὁ Θεός... Ψάλλων αὐτά, συνακολουθῶν τοὺς νεονύμφους καὶ ὁ σύντεκνος. Εἶτα λέγει τὴν εὐχήν· Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ παραγενόμενος ἐν Κανᾷ τῆς Γαλιλαίας καὶ τὸν ἐκεῖσε γάμον εὐλογήσας, αὐτὸς εὐλόγησον καὶ τοὺς δούλους σου τούτους εἰς εἰσόδους καὶ ἐξόδους, πλήθυνον αὐτῶν τὴν ζωήν, ἀνάλαβε αὐτῶν τοὺς στεφάνους ἐν τῇ βασιλείᾳ σου καὶ ἐν τῇ ἐπάρσει τῶν στεφάνων αὐτῶν, παράσχου αὐτοῖς στεφάνους αἰωνίους, ἀμαραντίνους, ἀνεπιβουλεύτους, ἀμώμους καὶ ἀσπίλους, διατηρῶν αὐτούς, πάντοτε νῦν καὶ ἀεὶ... Conf. Goar p. 320. Εἶτα ποιεῖ ἐκτενήν· Ἐλέησον ἡμᾶς ὁ Θεός... Ἔτι δεόμεθα ὑπὲρ ἐλέους ζωῆς... Καὶ αὖθις μετὰ τὴν ἐκφώνησιν, ποιεῖ ἀπόλυσιν· Ὁ ἐν Κανᾷ τῆς Γαλιλαίας τίμιον ἀναδείξας τὸν γάμον... Goar p. 320.

л. 290 об. Εὐχὴ εἰς τὸ ἐπᾶραι τὰ στέφανα.

Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὸν τοῦ ἐνιαυτοῦ στέφανον εὐλογήσας... Εὐχολ. Goar p. 325.

л. 291 Εὐχὴ ἑτέρα εἰς τὸ λῦσαι τὰ ἱερὰ στέφανα.

Τοῦ Κυρίου δεηθῶμεν. Ὁ Θεὸς ὁ ἅγιος καὶ δίκαιος, ὁ εὐλογῶν ἔτι δίκαιον... Εὐχὴ ἑτέρα εἰς τὰ ἀπολύσια. Τοῦ Κυρίου δεηθῶμεν. Ὁ Θεός, ὁ παραγενόμενος ἐν Κανᾷ τῆς Γαλιλαίας καὶ τοὺς ἐκεῖσε ὄντας εὐλογήσας, αὐτὸς εὐλόγησον καὶ τοὺς δούλους σου τούτους ἐν πάσῃ εὐλογίᾳ πνευματικῇ, εὐλόγησον αὐτῶν τὴν ζωήν, ἀνάλαβε τοὺς στεφάνους αὐτῶν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, ἀσπίλους καὶ ἀμέμπτους καὶ ἀνεπιβουλεύτους διαφυλάττων καὶ σκέπων αὐτοὺς τῇ χάριτί σου. Ὅτι σὺ εἶ εὐλογῶν καὶ ἁγιάζων τὰ σύμπαντα, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ.. Καὶ εὐθὺς ποιεῖ ἀπόλυσιν.

л. 292. Ἑτέρα ἀκολουθία εἰς διγαμοῦντας

Εὐλογήσαντος τοῦ ἱερέως, λέγομεν Τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν, Ὅτι σοῦ ἐστίν, τροπάριον τῆς ἡμέρας καὶ εὐθὺς Τοῦ Κυρίου δεη-

θῶμεν. Καὶ ἐπιτιθεμένων τῶν στεφάνων ἐπὶ τὰς κεφαλὰς αὐτῶν, λέγει τὴν εὐχὴν ταύτην· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὸν Ἀβραὰμ φίλον καλέσας καὶ τὸν Ἰσαὰκ ὑπεραγαπήσας καὶ τῷ Ἰακὼβ εἰς γυναῖκα τελείαν συνάψας, οἰκονομήσας δὲ αὐτὸν καὶ δευτέρας κοίτης ἐν Ῥαχὴλ κοινωνῆσαι, αὐτὸς καὶ νῦν εὐλόγησον καὶ (τοὺς) δούλους σου τόνδε καὶ τήνδε, καὶ ἁγίασον τοὺς δεύτερον συνοικέσιον ἐρχομένους, διά τε τὴν τῆς φύσεως ἐπήρειαν καὶ τὴν ἐν νεότητι ἐπισυμβᾶσαν χηρίαν· Σὺ γὰρ Κύριε συγκαταβαίνων τῇ ἀσθενείᾳ ἡμῶν διὰ Παύλου τοῦ σκεύους τῆς ἐκλογῆς σου ἐνομοθέτησας, κρεῖσσον εἶναι τῆς σωματικῆς πυρώσεως, τὸν ἐν Κυρίῳ γάμον ἀστασίαστον αὐτῶν καὶ εἰρηναίαν τὴν ζωὴν διατήρησον, σωφρόνως αὐτοὺς βιοῦν εὐδοκῶν καὶ τοῖς προστάγμασί σου ἐπαγρυπνεῖν, μὴ παρεμποδιζομένους ἐκ τοῦ τῆς συζυγίας δεσμοῦ. Ὅτι σὸν τὸ κράτος καὶ σοῦ ἐστὶν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ.. Красносельц. стр. 113 прим. Καὶ γίνεται ἀπόλυσις.

л. 293 об. Ἀκολουθία εἰς ἀδελφοποίησιν.

Εἰσέρχονται εἰς τὸν ναὸν καὶ τίθησιν ὁ ἱερεὺς τὸ ἀναλόγιον καὶ εἰσφέρει τὸ ἅγιον εὐαγγέλιον ἐν τῷ ἀναλογίῳ, καὶ ὁ προειπὼν, τίθησ' πρῶτος τὴν χεῖρα αὐτοῦ εἰς τὸ ἅγιον εὐαγγέλιον, εἶτα ὁ δεύτερος καὶ ὁ τρίτος καὶ ζώννει αὐτούς, καὶ βαστάζουσι κηροὺς ἅπτοντας, καὶ λέγει ὁ ἱερεὺς εὐλογητόν, Τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν, ἀπολυτίκιον τοῦ ἁγίου τῆς μονῆς καὶ τῆς ἡμέρας καὶ εὐθὺς ὁ ἱερεύς. Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ πάντα πρὸς σωτηρίαν ἡμῖν χαρισάμενος... Goar. pag. 707. Εὐχὴ ἑτέρα. Τοῦ Κυρίου δεηθῶμεν. Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ ποιήσας καὶ πλάσας τὸν ἄνθρωπον κατ' εἰκόνα σὴν καὶ ὁμοίωσιν, καὶ δὸς αὐτὸν ἐξουσίαν πᾶσι σαρκὸς ἀϊδίου, ὁ καὶ νῦν εὐδοκήσας τοὺς ἁγίους σου μαθητὰς καὶ ἀποστόλους σου Φίλιππον καὶ Βαρθολομαῖον ἀδελφοὺς γενέσθαι, οὐ δεσμουμένης φύσεως, ἀλλὰ πίστεως τρόπῳ, ὁ καὶ τοὺς ἁγίους σου μάρτυρας Σέργιον καὶ Βάκχον, ἀδελφοὺς γενέσθαι καταξιώσας καὶ τοὺς δούλους σου τούτους εὐλόγησον τόνδε καὶ ὁ δεῖνα, οὐ δεσμουμένους φύσεως, ἀλλὰ πίστεως τρόπῳ, δὸς αὐτοῖς τοῦ ἀγαπᾶν ἀλλήλους καὶ ἀμισήτους καὶ ἀσκανδαλίστους, ἵνα πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτῶν δοξάζωσι τὸ πανάγιον ὄνομά σου πρεσβείαις τῆς ὑπερευλογημένης Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τῶν ἁγίων ἐνδόξων πανευφήμων ἀποστόλων Φιλίππου καὶ Βαρθολομαίου, τῶν ἁγίων μαρτύρων Σεργίου καὶ Βάκχου, τῶν ἁγίων καὶ ἐνδόξων μεγάλων μαρτύρων Γεωργίου, Δημητρίου καὶ Θεοδώρων, καὶ πάντων τῶν ἁγίων σου· Ὅτι Σὺ εἶ ὁ εὐλογῶν καὶ ἁγιάζων, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν

С. № 134 (745). Евхологій, рукопись Аѳоно-Ватопедской библ. въ 16-ю долю, 458 листовъ, писана скорописью 7046 (1538) года, что видно изъ приписки: Δόξα τῷ Θεῷ Ἀμήν. Ἐπληρώθη ἡ παροῦσα βίβλος ἐν ἔτει ͵ζμς΄, ἰνδικτιῶνος α΄. Δόξης ἀεὶ φροντῖσαι τῆς αἰωνίου· ἡ γὰρ παροῦσα ψεύδεται καθ' ἡμέραν. Ἡ μὲν χεὶρ ἡ γράψασα σήπεται τάφῳ, γραφὴ δὲ μένει αἰῶνας ἀπεράντους. Οἱ ἀναγινώσκοντες τῷ

γράφοντι δότε μοι συγχώρησιν, ὡς ἔθος, φίλοι. Τῷ συντελεστῇ τῶν καλῶν Θεῷ χάρις. Εὔχου καὶ τοῦ γράψαντος, εἰ θέλεις, πάτερ Δανιήλ, τοῦ τάλανος τάχα καὶ ῥακενδύτου (л. 349 об.).

л. 1. Οἱ κύκλοι (Пасхалія).

л. 2. Ἑρμηνεία, πῶς δεῖ εὑρίσκειν εἰς ποῖον τῆς Ὀκτωήχου ἦχον πίπτει ἡ ἀρχὴ τοῦ Τριῳδίου.

Καβασίλου Βουλγαρίας.

Ὁ χρόνος ἐστὶ ἑβδομάδες νβʹ καί, εἰ βούλει, εὑρεῖν εὔκολον εἰς οἷον ἦχον πίπτει ἡ ἀρχὴ τοῦ Τριῳδίου.

л. 3. Пасхалія съ лунникомъ, причемъ сдѣланы изображенія луны въ четырехъ ея фазахъ.

л. 5 об. Εὐχὴ συγχωρητική.

л. 6. Πίναξ τοῦ παρόντος βιβλίου.

л. 7 об. Διαίρεσις τῶν ἑπτὰ θανασίμων ἁμαρτιῶν.

л. 8 об. Ἐκ τῶν διατάξεων τῶν ἁγίων ἀποστόλων.

л. 9. Τοῦ ἁγίου Εὐλογίου, πατριάρχου Ἀλεξανδρείας. Каноническіе вопросы.

л. 10. Выдержки изъ лечебника XVII в.

л. 13. Порядокъ евангельскихъ чтеній на воскресной утрени.

л. 13 об. Εὐαγγέλια ἑωθινὰ τὰ ιαʹ.

л. 18 об. Εὐχαὶ τοῦ λυχνικοῦ. См. выше стр. 274.

л. 20. Ἀρχὴ τοῦ ὄρθρου αἱ εὐχαί. Εὐχολ. Goar p. 39—42.

л. 23. Ὕμνοι τριαδικοὶ (τῶν Ὀκτωήχων ἅμα) τὰ φωταγωγικά.

л. 24 об. Θεοτοκία, ἅπερ λέγεται μετὰ τὴν ἀπόλυσιν τοῦ ἑσπερινοῦ, μετὰ τὸ ἀπολυτίκιον,] καὶ εἰς τὸ Θεὸς Κύριος καὶ εἰς τὸ τέλος τοῦ ὄρθρου.

л. 25 об. Ἀπολυτίκια ἀναστάσιμα τῶν Ὀκτωήχων σὺν τοῖς θεοτοκίοις καὶ ταῖς ὑπακοαῖς αὐτῶν.

л. 27 об. Κανὼν παρακλητικὸς εἰς τὴν ὑπεραγίαν Θεοτόκον.

л. 29. Ἡ θεία λειτουργία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου.

л. 35 об. Ἡ θεία λειτουργία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου τοῦ Μεγάλου.

л. 45. Ἡ θεία λειτουργία τῶν προηγιασμένων.

л. 51. Ἀκολουθία εἰς παράκλησιν ἀσθενῶν, χειμαζομένων ὑπὸ πνευμάτων ἀκαθάρτων καὶ ἐπηρεαζόντων.

Εὐλογεῖ ὁ ἱερεύς, εἶτα Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι, Βασιλεῦ οὐράνιε ἕως τέλους, τὸ Κύριε ἐλέησον ιβʹ, εἶθ' οὕτως Κύριε εἰσάκουσον

τῆς προσευχῆς μου ἕως τέλους, Θεὸς Κύριος, εἶτα τροπάριον, ἦχος δ' Ταχὺς εἰς ἀντίληψιν μόνος ὑπερέχων, Χριστέ... ἐκ β'. Τῇ Θεοτόκῳ ἐκτενῶς, ἅπαξ, ὁ Ν', εἶτα τὸν παρόντα κανόνα. Κανὼν παρακλητικὸς εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, εἰς τὴν ὑπεραγίαν Θεοτόκον, εἰς τοὺς ἀσωμάτους, εἰς ἀποστόλους, καὶ εἰς πάντας τοὺς ἁγίους. Εὐχολ. Goar p. 575. Послѣ 6-й пѣсни прокименъ: Τὰ ἐλέη σου, Κύριε, εἰς τὸν αἰῶνα ᾄσομαι и евангеліе отъ Матеея: Τῷ καιρῷ ἐκείνῳ προσκαλεσάμενος ὁ Ἰησοῦς τοὺς δώδεκα μαθητὰς αὐτοῦ. Τέλος· δωρεὰν ἐλάβετε, δωρεὰν δότε. Послѣ 9-й пѣсни: Ἄξιόν ἐστιν, Πᾶσαι τῶν ἀγγέλων αἱ στρατιαί... Δέσποινα ἡ Μήτηρ τοῦ Λυτρωτοῦ... Τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν, Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, Τῇ Θεοτόκῳ ἐκτενῶς... Ἐλέησον ἡμᾶς ὁ Θεός... Ἔτι δεόμεθα ὑπὲρ ἐλέους... Καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτῷ... Ὅτι ἐλεήμων... Τοῦ Κυρίου δεηθῶμεν. Ἄναρχε, ἀδιάδοχε, ἅγιε ἁγίων, ὁ τὸν μονογενῆ σου Υἱόν... Goar p. 337. Εἰς βασιλείας οὐρανῶν κληρονομίαν. Ὅτι Θεὸς ἐλέους οἰκτιρμῶν καὶ φιλανθρωπίας ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν. Καὶ σφραγίζων τὴν κεφαλὴν αὐτοῦ ἐκ γ', λέγει· Εἰσάκουσον, Κύριε, εἰσάκουσον, Δέσποτα, εἰσάκουσον, Υἱέ. Εἶθ' οὕτως· Κύριε ὅπλον κατὰ τοῦ διαβόλου τὸν σταυρόν σου... Καὶ ἀνάπτει τὴν θρυαλλίδα, καὶ λαβὼν ἅγιον ἔλαιον, ἀλείφει τὸν ἀσθενοῦντα, λέγει τὴν εὐχὴν ταύτην· Τοῦ Κυρίου δεηθῶμεν. Πάτερ ἅγιε, ἰατρὲ τῶν ψυχῶν... А. Дмитріевскій, Прилож. 123.

л. 53 об. Εὐχαί, ἤτοι ἐξορκισμοὶ τοῦ Μεγάλου Βασιλείου πρὸς τοὺς πάσχοντας ὑπὸ δαιμόνων, καὶ πρὸς ἑκάστην ἀσθένειαν. Goar p. 578—584.

л. 56 об. Εὐχαὶ τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου εἰς τὴν αὐτὴν ὑπόθεσιν. Goar p. 583.

л. 59. Ἀποστολοευαγγέλια τῆς ἑβδομάδος.

л. 63 об. Ἀποστολοευαγγέλια цѣлаго года.

л. 102 об. Εὐχὴ λεγομένη ἐπὶ ἀνομβρίᾳ. Goar pag. 613.

л. 103. Εὐχὴ ἑτέρα ἐπὶ ἀνομβρίᾳ. Goar. p. 614.

л. 103 об. Εὐχὴ ἐπὶ σεισμῷ. Goar. p. 623.

л. 104. Εὐχὴ ἐπὶ πλοίῳ ἄρτι κατασκευασθέντι καὶ μέλλοντι πλέειν· Κύριε ὁ Θεὸς ἡμῶν[1]), ὁ ἐντειλάμενος τῷ Νῶε κατασκευᾶσαι κιβωτὸν πρὸς σωτηρίαν τῷ κόσμῳ, ἀψύχῳ[2]) ξύλῳ κυβερνᾶσθαι τῇ παρὰ

---

[1]) Ркп. Син. библ. № 959: τῶν πατέρων. [2]) ὁ ἐκ πολλῶν ξύλων εὐδοκήσας τὴν ναῦν ταύτην ἓν γενέσθαι καὶ συναρμωσθῆναι· Αὐτὸς γάρ, Δέσποτα τῶν ἁπάντων, ὁ εὐδοκήσας ἀψύχῳ ξύλῳ.

σοῦ χάριτι τὸ γένος τῶν ἀνθρώπων, αὐτός, Δέσποτα, καὶ τὴν ναῦν ταύτην διάσωσον, δὸς αὐτῇ ἄγγελον ἀγαθόν, εἰρήνης [1]) ὁδηγόν, τοὺς μέλλοντας πλέειν ἐν αὐτῇ διάσωσον [2]), δὸς αὐτοῖς, Κύριε, καὶ εἰς τὰ ἴδια ἀεὶ καταλαμβάνειν ὑγιαίνοντας, πρεσβείαις [3]) τῆς ἁγίας Θεοτόκου καὶ πάντων τῶν ἁγίων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων. Ὅτι σὸν τὸ κράτος καὶ σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ... Εἰσέρχεται μετὰ θυμιάματος ὁ ἱερεὺς εἰς τὸ πλοῖον, ψάλλων τὸν ρκ' ψαλμόν, τὸ Ἦρα τοὺς ὀφθαλμούς, εἶτα λέγει τὴν εὐχὴν ταύτην. Conf. Goar. pag. 559.

— Εὐχὴ ἐπὶ πλεόντων.

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καταξιώσας συμπλεῦσαι τοῖς ἁγίοις σου μαθηταῖς. См. выше стр. 57.

л. 104 об. Εὐχὴ ἐπὶ ἄγρᾳ ἰχθύων.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ εἰπὼν τῷ προπάτορι Ἀδάμ. См. выше стр. 287.

— Εὐχή, λεγομένη ἐν ἀρχῇ σπόρων· Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ ποιήσας γῆν καὶ ἄνθρωπον ἀπ' αὐτῆς. Goar. pag. 557.

л. 105. Εὐχὴ ἐπὶ θεμελίῳ ἐκκλησίας. Goar. pag. 486.

— Εὐχὴ ἐπὶ θεμελίῳ οἴκου. Goar p. 483.

л. 105 об. Εὐχὴ ἐπὶ εὐλογίᾳ οἴκου. Goar. pag. 484.

— Εὐχὴ εἰς τὸ φυτεῦσαι ἀμπελῶνα. Goar p. 551.

л. 106. Εὐχὴ ἐπὶ εὐλογήσει σταφυλῶν καὶ ἐπὶ τρυγήσει. Ibidem pag. 552.

— Εὐχὴ ἐπὶ εὐλογίᾳ οἴνου. Goar. p. 553.

л. 106 об. Εὐχὴ ἐπὶ ἀνθρώπῳ μιαροφαγήσαντι. Goar p. 534.

л. 107. Εὐχὴ εἰς μιανθὲν ὕδωρ. См. выше стр. 286.

л. 108. Εὐχὴ εἰς ἄνοιξιν ἐκκλησίας ὑπὸ αἱρετικῶν βεβηλωθείσης. Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, δυσωπουμέν σε τὸν ἵλεων καὶ εὐμενῆ ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν. Goar p. 494.

— Εὐχὴ ἐπὶ ἐξομολογουμένῳ. Goar p. 537.

л. 108 об. Εὐχὴ ἐπὶ μετανοοῦντι.

Ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, ὁ διὰ τοῦ προφήτου σου Νάθαν μετανοήσαντι τῷ Δαβίδ... Goar p. 536.

---

[1]) Τοῖς μέλλουσι πλέειν. [2]) διαφύλαξον. [3]) Εὐχαῖς καὶ ἱκεσίαις τῆς παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας καὶ πάντων τῶν ἁγίων. Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν καὶ σοὶ τὴν δόξαν...

— Εὐχὴ κατὰ λογισμῶν αἰσχρῶν.

Δέσποτα Κύριε ὁ Θεός μου, οὗ ἐν χερσί σου οἱ κλῆροί μου. Goar. pag. 536.

л. 109. Εὐχή, ἐπὶ συγχωρήσει ὅρκου λεγομένη.

Δέσποτα Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων καταξιώσας καταβῆναι ἐπὶ τῆς γῆς. См. выше стр. 286.

Εὐχὴ ἐπὶ τῶν ἀλόγως ὑπό τινων ἀφοριζομένων ἢ λόγῳ ἑαυτὸν δεσμευόντων. Goar p. 531.

л. 109 об. Εὐχὴ ἐπὶ πυρέττοντι.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὰ χρόνια καὶ δεινὰ πάθη θεραπεύσας λόγῳ μόνῳ. Goar. pag. 549.

л. 110. Εὐχὴ ἑτέρα.

Πάτερ ἅγιε, ἰατρὲ ψυχῶν καὶ σωμάτων, ὁ πέμψας τὸν μονογενῆ σου Υἱόν, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. А. Дмитріевскій. Прилож. стр. 123.

л. 110 об. Εὐχὴ λεγομένη ἐπὶ ψυχοῤῥαγοῦντι. Goar. p. 587.

— Εὐχὴ λεγομένη ἐν κολλύβοις ἁγίων. Goar. pag. 524.

л. 111. Εὐχὴ ὑπὲρ τῶν κεκοιμημένων. Goar. p. 424.

л. 111 об. Ἀκολουθία σὺν Θεῷ ἁγίῳ τοῦ εὐχελαίου. См. выше стр. 276. Разница лишь въ прибавкѣ тропаря: Τῇ Θεοτόκῳ ἐκτενῶς въ началѣ чина.

л. 126. Ἀκολουθία εἰς ῥασοφοροῦντα. Goar. pag. 378—379. При постриженіи волосъ произносится формула: Ἀδελφὸς ἡμῶν ὁ δεῖνα κείρεται τὴν κόμην τῆς κεφαλῆς αὐτοῦ εἰς τὸ ὄνομα τοῦ Πατρός, ἀμήν, καὶ τοῦ Υἱοῦ, ἀμήν, καὶ τοῦ Ἁγίου Πνεύματος, ἀμήν, νῦν καὶ ἀεί... καὶ ἐνδύει αὐτὸν τὸν μανδύαν καὶ τὸ καμηλαύχιον, μηδὲν ἐπιλέγων. Καὶ μετὰ τὸ ἐνδῦσαι αὐτόν, λέγει τὴν εὐχὴν ταύτην· Τοῦ Κυρίου δεηθῶμεν. Ὁ Θεὸς ὁ μεγαλόδωρος, ὁ ἑλκύσας τὸν δοῦλόν σου τὸν δεῖνα καὶ ἐναρξάμενος ἐν αὐτῷ ἔργον ἀγαθόν, δὸς αὐτῷ βίον ἐνάρετον, ὑπομονὴν ἀράθυμον, νῆψιν διηνεκῆ, κατάπλησον αὐτὸν τῷ παναγίῳ σου Πνεύματι, ἐνόπλισον αὐτὸν κατὰ πάσης ἐναντίας δυνάμεως, ἵνα δυνηθῇ ἀσαλεύτως μένειν ἐν τῇ πρὸς σὲ πίστει πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ, χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς Υἱοῦ σου, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεί... Καὶ ποιεῖ ἀπόλυσιν.

— Ἀκολουθία τοῦ πρώτου σχήματος, ἢ ὡς τοῦ μανδύου. См. выше стр. 276—278. Небольшая особенность есть въ самомъ началѣ: Ψαλλομένων δὲ τῶν συνήθων ἀντιφώνων, καὶ τῆς εἰσόδου γε-

νομένης, λέγεται εἰς τὸ Δόξα κοντάκιον τῆς ἡμέρας, εἰς δὲ τὸ Καὶ νῦν, ἦχος α' Ἀγκάλας πατρικάς. Τούτου δὲ ψαλλομένου, ἀπελθὼν ὁ ἀποκαρῆναι μέλλων, προσπίπτει ἐνώπιον τῶν ἁγίων θυρῶν, ἐκεῖσε τοῦ ἡγουμένου ἱσταμένου. Μετὰ δὲ τὸ προγραφὲν τροπάριον, ἔρχεται ὁ καθηγούμενος μετὰ τῶν ἀδελφῶν πλησίον τῶν διαστύλων καὶ ἵστανται ἐκεῖ, καὶ δίδονται κηρία παρὰ τοῦ ἐκκλησιάρχου ἑκάστῳ ἀνὰ ἕν, καὶ ἅπτουσιν αὐτὰ πάντες. Ὁ δὲ μέλλων κουρευθῆναι ποιεῖ μετανοίας γ' ἔμπροσθεν τῶν ἁγίων θυρῶν, εἶτα τῷ ἡγουμένῳ... κ. τ. λ. Сн. выше стр. 277, прим. 1.

л. 130 об. Ἀκολουθία γινομένη εἰς τὸ μέγα καὶ ἀγγελικὸν καὶ ἅγιον σχῆμα. См. выше стр. 278—282.

л. 143. Ἀκολουθία τοῦ ἐξοδιαστικοῦ.

Ἐπειδὰν τις τῶν μοναχῶν πρὸς Κύριον ἐκδημήσῃ. См. выше стр. 726. δεσμοῦσι τοὺς πόδας, καὶ τιθέντων αὐτὸν ἐν κλίνῃ, εἰ μὲν εὑρεθῇ ἐκεῖ ἱερεύς, ποιεῖ ἐπάνω τοῦ λειψάνου εὐλογητὸν καὶ λέγει Τρισάγιον, τὸ Παναγία Τριάς, τὸ Πάτερ ἡμῶν, εἶτα Μετὰ πνευμάτων δικαίων, Δόξα, Σὺ εἶ ὁ Θεός, ὁ καταβὰς εἰς Ἅδην, Καὶ νῦν, Ἡ μόνη ἁγνή, εἶθ' οὕτως Ἐλέησον ἡμᾶς ὁ Θεός... Ἔτι δεόμεθα ὑπὲρ τοῦ... Ὅπως Κύριος ὁ Θεὸς ἡμῶν... Τὰ ἐλέη... τὴν εὐχὴν τὸ Ὁ Θεὸς τῶν πευμάτων καὶ πάσης σαρκός... καὶ ἀπόλυσις. Εἶτα κρούσαντες τὸν σημαντῆρα γ' καὶ ἄραντες τὸ λείψανον, εἰσφέρουσιν ἐν τῷ νάρθηκι τῆς ἐκκλησίας, καὶ συναχθεῖσι τοῖς ἀδελφοῖς, διδόασιν αὐτοῖς κηρία, ἅψαντες καὶ ἐπὶ τοῦ λειψάνου κηρία δ', καὶ θέντες ἐπάνω αὐτοῦ καὶ εἰκόνα τοῦ Χριστοῦ, θυμιᾷ ὁ ἱερεὺς σταυροειδῶς ἐπάνω αὐτοῦ, εἶτα ποιεῖ εὐλογητὸν καὶ ἄρχεται ὁ ψάλτης· Εὐλογητὸς εἶ, Κύριε, καὶ ὁ ἄμωμος εἰς ἦχον πλ. α' χωρὶς ἀλληλουαρίων, Μακάριοι οἱ ἄμωμοι. Goar p. 424—426. За 17-ой каѳизьмой и непорочными слѣдуютъ тропари: Ἀνάπαυσον, Σωτὴρ ἡμῶν, μετὰ δικαίων τὸν δοῦλόν σου... Ὁ ἐκ Παρθένου ἀνατείλας τῷ κόσμῳ... κ. τ. λ. См. выше стр. 283. Послѣ: Ὁ βυθῷ σοφίας φιλανθρώπως πάντα οἰκονομῶν чинъ излагается такъ: Ὅτε δὲ βάλλομεν τὸ λείψανον ἐν τῷ τάφῳ, λέγει τροπάριον ἦχος πλ. δ'· Γῆ χανοῦσα, ὑπόδεξαι τὸν ἀπὸ σοῦ πλασθέντα... Εἶτα ἐπιχέει ὁ ἱερεὺς ἐπάνω τοῦ λειψάνου κανδήλαν μεστὴν ὕδατος καὶ ἐλαίου, ποιῶν σταυρόν, καὶ λέγει· Τοῦ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς. Καὶ ἕτερον ὁ ἱερεύς· Τῷ τύπῳ τοῦ σταυροῦ σου, φιλάνθρωπε.. Καὶ εὐθὺς ἀσφαλίζεται ὁ τάφος, ἡμεῖς δὲ ψάλλομεν ἰδιόμελα, ἦχος πλ. β' Πνευματικοί μου ἀδελφοί, μή μου ἐπιλαθήσεσθε... ἦχος πλ. α' Τὴν πολυτάραχον θάλασσαν τοῦ βίου... κ. τ. λ. См. выше стр. 284 и прим. 4. Послѣ тропаря: Δέσποινα, πρόσδεξαι

τὰς δεήσεις τῶν δούλων σου, чинъ оканчивается такъ: Εἶτα Τρισάγιον, τὸ Παναγία Τριάς, Πάτερ ἡμῶν, τὰ τροπάρια ἦχος δ' Μετὰ πνευμάτων... Εἰς τὴν κατάπαυσίν σου... Δόξα, Σὺ εἶ ὁ Θεός, Καὶ νῦν, Ἡ μόνη ἁγνή, Ἐλέησον ἡμᾶς καὶ τὰ λοιπά, εἶτα τὴν εὐχὴν μυστικῶς· Ὁ Θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκός... Ἐκφώνως· Ὅτι σὺ εἶ ἡ ἀνάστασις, ἡ ζωή... Δόξα καὶ νῦν, Κύριε ἐλέησον, Ὁ ἀναστὰς ἐκ νεκρῶν... Καὶ ἡμεῖς τὸ Αἰωνία σου ἡ μνήμη ἐκ γ', καὶ ποιοῦσι πάντες οἱ ἀδελφοὶ μετανοίας ε', ἐξ ὅλης ψυχῆς δεόμενοι ὑπὲρ τῆς ψυχῆς τοῦ τετελευτηκότος. Сн. выше стр. 285, прим.

л. 158. Εἰς μοναχοῦ μνημόσυνον. Ἀκολουθία ἐν κολλύβοις μοναχοῦ.

Εὐλογεῖ ὁ ἱερεύς, εἶτα τὸ Ὁ κατοικῶν ἐν βοηθείᾳ, ὅλον, καὶ μετὰ τοῦτο, τὸ Ἀλληλούϊα εἰς ἦχον πλ. δ', τροπάριον Ὁ βυθῷ... Δόξα τὸ αὐτό, Καὶ νῦν, Σὲ καὶ τεῖχος, εἶτα μετὰ μέλους τὸ Εὐλογητὸς εἶ, Κύριε, καὶ ἀρχόμεθα τοῦ ἀμώμου· Μακάριοι οἱ ἄμωμοι, καὶ τὰ εὐλογητάρια ὁμοῦ, εἶτα Ἀνάπαυσον, Σωτὴρ ἡμῶν, Δόξα καὶ νῦν, Ὁ ἐκ Παρθένου, καὶ αὐτὰ ὁμοῦ εἰς τὰ εὐλογητάρια, εἶτα τὸν Ν', καὶ εὐθὺς ἀρχόμεθα τοῦ κανόνος. Κανὼν εἰς κοιμηθέντα μοναχόν, οὗ ἡ ἀκροστιχίς· Θνήσκουσι πιστοῖς ὄγδοον πλέκω μέλος. Ὠδὴ α', ἦχος πλ. δ'· Ὑγρὰν διοδεύσας. Θανάτῳ τὸν θάνατον τοῦ Χριστοῦ καὶ πάθεσι πάθος μιμησάμενοι... Νεότητος πταίσματα παρορῶν, καὶ τὰς ἀνομίας ὑπερβαίνων, Χριστὲ Σωτήρ. Εἶτα Τρισάγιον, τροπάρια ἦχος δ'· Μετὰ πνευμάτων δικαίων τετελειωμένων τὴν ψυχὴν τοῦ δούλου.. Goar. p. 423. Ἐλέησον ἡμᾶς ὁ Θεὸς καὶ τὰ λοιπά, τὴν εὐχὴν μυστικῶς τὸ Ὁ Θεὸς τῶν πνευμάτων, εἶτα Δόξα καὶ νῦν, καὶ Κύριε ἐλέησον, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν... Καὶ ἡμεῖς· Αἰωνία σου ἡ μνήμη, ἀξιομακάριστε ὅδε, καὶ ἀείμνηστε ἀδελφὲ ἡμῶν, ἐκ γ'. Δόξα σοὶ ὁ Θεὸς ἡμῶν, δόξα.

л. 161. Εἰς λαϊκὸν μνημόσυνον. Ἀκολουθία ἐν κολλύβοις.

Πρῶτον Εὐλογητὸν ὁ ἱερεύς, εἶτα Ὁ κατοικῶν ἐν βοηθείᾳ, ὅλον. См. предыдущее послѣдованіе. Καὶ ἀρχόμεθα (послѣ 50-го псалма) τοῦ κανόνος. Κανὼν εἰς κοιμηθέντα λαϊκόν, οὗ ἡ ἀκροστιχίς· Ἕκτον προσαυδῶ τοῖς ἀπελθοῦσι μέλος. Ἦχος πλ. β'. ᾠδὴ α'. Ὡς ἐν ἠπείρῳ. Ἐν οὐρανίοις θαλάμοις διηνεκῶς οἱ γενναῖοι... Goar. p. 426—428. Εἶτα Τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν, καὶ τὰ τροπάρια· Μετὰ Πνευμάτων δικαίων καὶ τὰ ἕτερα, какъ въ предыдущемъ чинѣ.

л. 164. Псалтирь съ 20 каѳизьмами.

л. 234 об. Пѣсни Моисея, изъ Второзаконія и др.

л. 241 об. Служба 2-го гласа изъ Октоиха на всю недѣлю.

л. 286. Ἀκολουθία τῆς ἁγίας μεταλήψεως. Канонъ и молитвы ко причащенію.

л. 294 об. Τάξις γινομένη ἐπὶ χειροτονίᾳ ἀναγνώστου. Εὐχολ. Goar p. 194—195. Конецъ читается такъ: Καὶ μετὰ τὸ Ἀμήν, λαμβάνων ὁ ἀρχιερεὺς βιβλίον ἀποστολικὸν καὶ ἀνοίξας αὐτό, δίδωσι τῷ ἀναγνώστῃ, καὶ τοῦ ἀρχιδιακόνου ἐκφωνοῦντος· Πρόσχωμεν, λέγει ὁ ἀρχιερεύς· Εἰρήνη πᾶσιν. Ὁ διάκονος· Σοφία, καὶ λέγει ὁ ἀναγνώστης προκείμενον τῆς ἡμέρας, καὶ ἀναγινώσκει καὶ ἀπὸ τοῦ ἀποστόλου, οἷος ἂν τύχῃ ἐν τῷ ἀνοίγειν τὸ βιβλίον τὸν ἀρχιερέα, ὀλίγον ἀπὸ τῆς ἀρχῆς καὶ ὀλίγον ἀπὸ τοῦ τέλους, καὶ λαμβάνων εἰρήνην παρὰ τοῦ ἀρχιερέως, ἄπεισιν εἰς τοὺς ἀναγνώστας.

л. 295. Τάξις γινομένη ἐπὶ χειροτονίᾳ ὑποδιακόνου.

Τοῦ ἀρχιερέως ἱσταμένου ἀπὸ τοῦ δεξιοῦ μέρους τῶν βασιλικῶν πυλῶν, πρὶν ἄρξασθαι τῆς λειτουργίας, προσάγεται αὐτῷ ὁ μέλλων χειροτονεῖσθαι. Goar. pag. 204.

л. 295 об. Τάξις γινομένη ἐπὶ χειροτονίᾳ διακόνου, ὀφείλοντος εἶναι χρόνων τελείων κε'. Μετὰ τὸ γενέσθαι τὴν ἁγίαν ἀναφορὰν καὶ τὰς θύρας ἀνοιγῆναι καὶ τὸν ἀρχιερέα ἐκφωνῆσαι τὸ Καὶ ἔσται τὰ ἐλέη τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, πρὶν εἰπεῖν τὸν διάκονον τὸ Πάντων τῶν ἁγίων μνημονεύσαντες, ἔτι ὁ μέλλων χειροτονεῖσθαι ἵσταται ἐν τῇ σωλέᾳ, καὶ ἐξερχόμενοι δύο διάκονοι, λαμβάνουσιν αὐτὸν ἀπὸ τῶν χειρῶν, καὶ εἰσερχόμενοι εἰς τὸ ἅγιον βῆμα, κυκλοῦσι μετ' αὐτοῦ τρὶς τὴν ἁγίαν τράπεζαν, προπορευομένου τοῦ ἱερομνήμονος καὶ τοῦ δευτερεύοντος τῶν διακόνων, ψάλλοντες τὸ Ἅγιοι μάρτυρες οἱ καλῶς· εἶτα φέρουσιν αὐτὸν ἔμπροσθεν τῆς ἁγίας τραπέζης, καὶ προσκυνεῖ τρίς, καὶ προσάγεται τῷ ἀρχιερεῖ, καὶ ἵσταται κατὰ τὸ δεξιὸν μέρος, ὁ δὲ χαρτοφύλαξ ἐκ τοῦ ἀριστεροῦ δίδωσι τῷ ἀρχιερεῖ χάρτην ἔγγραφον, καὶ ἐκφωνοῦντος αὐτοῦ τοῦ χαρτοφύλακος ἢ καὶ τοῦ ἀρχιδιακόνου· Πρόσχωμεν, ἀναγινώσκει τὰ γεγραμμένα ὁ ἀρχιερεὺς εἰς ἐπήκοον τῶν περιεστώτων, ἔχοντα οὕτως· Ἡ θεία χάρις, ἡ πάντοτε τὰ ἀσθενῆ θεραπεύουσα... Καὶ πάντων λεγόντων ἐκ τρίτου τὸ Κύριε ἐλέησον, ὁ χειροτονούμενος κλίνει τὸ δεξιὸν γόνυ, καὶ ὁ ἀρχιερεύς, ποιῶν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ σταυροὺς τρεῖς καὶ ἔχων ἐπικειμένην αὐτοῦ τὴν χεῖρα, εὔχεται οὕτως· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τῇ προγνώσει τῇ σῇ... κ. τ. λ. Goar pag. 208—209. Κατὰ δὲ τὸν τῆς μεταλήψεως καιρὸν πρῶτος τῶν ἄλλων διακόνων ὁ χειροτονηθεὶς τοῦ θείου Ἄρτου μετέχει παρὰ τοῦ χειροτονήσανος αὐτὸν καὶ μεταλαμβάνει τοῦ τιμίου Αἵματος, καὶ μετὰ τὸ εἰπεῖν τὸν λαὸν τὸ Πληρωθήτω, αὐτὸς λέγει· Ὀρθοὶ μεταλαβόντες καὶ τὰ λοιπά. Ἐπεὶ δὲ ἔξεστι

τὴν τοῦ διακόνου χειροτονίαν καὶ ἐν τῇ προηγιασμένῃ ποιεῖν. Goar. p. 211.

л. 297 об. Τάξις γινομένη ἐπὶ χειροτονίᾳ πρεσβυτέρου, ὀφείλοντος εἶναι χρόνων λ' τελείων. Μετὰ δὲ τὸ εἰσενεχθῆναι καὶ ἀποτεθῆναι τὰ θεῖα δῶρα εἰς τὴν ἁγίαν τράπεζαν, πληρωθῆναί τε τὸν μυστικὸν ὕμνον, ὁ χειροτονεῖσθαι μέλλων ἵσταται ἐν τῇ σωλέᾳ καταντικρὺ τῶν ἁγίων θυρῶν, καὶ ἐξερχόμενοι δύο διάκονοι λαμβάνουσιν αὐτὸν ἀπὸ τῶν χειρῶν, καὶ ὅτε φθάσει εἰς τὰς ἁγίας θύρας, ἀπολύουσιν αὐτὸν δύο πρεσβύτεροι καὶ κυκλοῦσι τὴν ἁγίαν τράπεζαν τρίς, προηγουμένου τοῦ ἱερομνήμονος καὶ τοῦ δευτερεύοντος τῶν διακόνων, ψάλλοντες τὸ Ἅγιοι μάρτυρες. Εἶτα προσάγεται καὶ προσκυνεῖ τὴν ἁγίαν τράπεζαν τρίς, κλίνας ἀμφότερα τὰ γόνατα, ἵσταται κατὰ τὸ δεξιὸν τοῦ ἀρχιερέως μέρος, καὶ τοῦ χαρτοφύλακος διδόντος τῷ ἀρχιερεῖ χάρτην ἔγγραφον, καὶ ἐκφωνοῦντος αὐτοῦ ἢ τοῦ ἀρχιδιακόνου τὸ Πρόσχωμεν, ἀναγινώσκει τὰ γεγραμμένα ὁ ἀρχιερεὺς εἰς ἐπήκοον τῶν περιεστώτων, ἔχοντα οὕτως· Ἡ θεία χάρις, ἡ πάντοτε τὰ ἀσθενῆ θεραπεύουσα... Καὶ λέγουσι πάντες τὸ Κύριε ἐλέησον, γ'. Πάλιν οὖν σφραγίσας αὐτὸν τρὶς καὶ τὴν χεῖρα ἔχων ἐπικειμένην αὐτοῦ τῇ κεφαλῇ, τοῦ διακόνου εἰπόντος· Τοῦ Κυρίου δεηθῶμεν, ἐπεύχεται ὁ ἀρχιερεύς· Ὁ Θεὸς ὁ ἄναρχος καὶ ἀτελεύτητος, ὁ πάσης κτίσεως πρεσβύτατος ὑπάρχων... Goar p. 242. Καὶ τούτων (т. е. ектеніи) λεγομένων, ὁ ἀρχιερεύς, ἔχων ὁμοίως τὴν χεῖρα ἐπικειμένην τῇ τοῦ χειροτονουμένου κορυφῇ, εὔχεται οὕτως· Ὁ Θεὸς ὁ μέγας ἐν δυνάμει... Goar. pag. 243. Καὶ μετὰ τὸ Ἀμήν, φέρει τὸ ὄπισθεν τοῦ ὡραρίου αὐτοῦ ἐπὶ τὰ ἔμπροσθεν, ἐκφωνῶν τὸ Ἄξιος. Καὶ ψάλλεται τοῦτο τρίτον παρὰ τῶν τοῦ βήματος, καὶ τρίτον παρὰ τῶν ψαλτῶν. Εἶτα φαινόλιον αὐτὸν ἐνδύων, ἐκφωνεῖ πάλιν τὸ Ἄξιος, καὶ ψάλλεται ὁμοίως καὶ τοῦτο, εἶτα ἀσπάζεται αὐτὸν ὁ χειροτονήσας καὶ οἱ πρεσβύτεροι, καὶ ἵσταται μετὰ τῶν λοιπῶν πρεσβυτέρων. Ὅταν δὲ ἁγιασθῇ ὁ ἄρτος τῇ ἐπικλήσει τοῦ Παναγίου Πνεύματος, λαμβάνει ὁ ἀρχιερεὺς ἐκ τοῦ δίσκου τὸν ἅγιον Ἄρτον, ὃν ὡς παρακαταθήκην προσεκόμισεν ἐν τῇ προθέσει ὁ ἱερεύς, καὶ δίδωσιν εἰς τοῦ χειροτονηθέντος τὰς χεῖρας, λέγων· Λάβε ταύτην τὴν παρακαταθήκην καὶ φύλαξον αὐτὴν ἕως τῆς παρουσίας τοῦ Κυρίου, ὅτε παρ' αὐτοῦ μέλλεις ἀπαιτεῖσθαι αὐτήν. Ὁ δὲ λαβὼν καὶ ἀσπασάμενος τὴν χεῖρα τοῦ ἀρχιερέως, μεθίσταται ἐν ᾧ πρότερον ἵστατο τόπῳ, τὰς μὲν χεῖρας θεὶς ἐπάνω τῆς ἁγίας τραπέζης, τὴν δὲ κεφαλὴν ἔχων ἐπικειμένην ταῖς χερσίν, εὐχόμενος καθ' ἑαυτὸν αὖθις καὶ λέγων τὸ Ἐλέησόν με ὁ Θεός, καὶ μένει κεκλιμμένος οὕτως· Ὅτε δὲ μέλλει λέγειν ὁ ἀρχιερεύς· Τὰ ἅγια τοῖς

ἁγίοις, τότε ὁ χειροτονηθεὶς ἀποδίδωσιν αὐτῷ τὸν ἅγιον ἄρτον, μεταλαμβάνει δὲ καὶ πρὸ τῶν ἄλλων πρεσβυτέρων τοῦ τιμίου Σώματος καὶ Αἵματος τοῦ Χριστοῦ, ποιεῖ δὲ καὶ τὴν ὀπισθάμβωνον εὐχὴν καὶ λειτουργεῖ καθ' ἑκάστην ἐπὶ ἑπτὰ ἡμέρας.

л. 299 об. Τάξις γινομένη ἐπὶ χειροτονίᾳ ἐπισκόπου.

Μετὰ τὴν τοῦ Τρισαγίου συμπλήρωσιν, δύο πρεσβύτεροι, λαμβάνοντες ἀπὸ τοῦ διακονικοῦ τὸν χειροτονεῖσθαι μέλλοντα καὶ ἐξερχόμενοι, προηγουμένου τοῦ ἱερομνήμονος καὶ τοῦ δευτερεύοντος τῶν διακόνων, φέρουσιν αὐτὸν διὰ τῆς σωλέας εἰς τὸ ἅγιον βῆμα, καὶ ὅτε φθάσει εἰς τὰς ἁγίας θύρας, ἀπολύουσιν αὐτὸν οἱ πρεσβύτεροι καὶ λαμβάνουσιν αὐτὸν δύο ἀρχιερεῖς καὶ κυκλοῦσι τρὶς τὴν ἁγίαν τράπεζαν, ψάλλοντες τὸ Ἅγιοι μάρτυρες, κρατοῦσι δὲ πάντες κηρία καὶ ἅπτουσιν, εἶτα προσάγεται τῇ ἁγίᾳ τραπέζῃ καὶ προσκυνεῖ τρίς, καὶ ἵσταται ἀπὸ τοῦ δεξιοῦ μέρους. Ὁ δὲ ἀρχιερεὺς λαμβάνει τὸ πτερὸν παρὰ τοῦ χαρτοφύλακος καὶ ἀναγινώσκει τὰ γεγραμμένα εἰς ἐπήκοον πάντων. Εἰ μὲν οὖν πατριάρχης ἐστὶν ὁ χειροτονῶν καὶ ὁ χειροτονούμενος μητροπολίτης, γέγραπται ταῦτα· Ψήφῳ καὶ δοκιμασίᾳ θεοφιλεστάτων μητροπολιτῶν, ὁσιωτάτων ἀρχιεπισκόπων. Ὡσαύτως καὶ εἰ μητροπολίτης ἐστὶν ὁ χειροτονῶν μητροπολίτην προτροπῇ τοῦ πατριάρχου, εἰ δὲ μητροπολίτης χειροτονεῖ ἐπίσκοπον ἐν τῇ ἰδίᾳ ἐκκλησίᾳ, γέγραπται ταῦτα· Ψήφῳ καὶ δοκιμασίᾳ θεοφιλεστάτων ἐπισκόπων καὶ ὁσιωτάτων πρεσβυτέρων· Ἡ θεία χάρις, ἡ πάντοτε... Goar. pag. 250. Καὶ πάντων φωνούντων ἐκ τρίτου τὸ Κύριε ἐλέησον. См. выше стр. 271.

л. 302. Τάξις γινομένη ἐπὶ καθιερώσει ναοῦ καὶ ἱδρύσει τῆς ἐν αὐτῷ ἁγίας τραπέζης. Goar. p. 655—667 и ниже. Ркп. Париж. нац. библ. 1027 г. № 213 (Coislin).

л. 312 об. Τάξις γινομένη ἐπὶ σαλευθείσης ἁγίας τραπέζης. Εὐχολ. Goar. p. 490—491.

л. 313. Ἀκολουθία τῆς λαμπρᾶς (κυριακῆς). Службы въ великую субботу на литургіи и на Пасху.

л. 320. Паремiи страстной седмицы.

л. 324. Συγχωρητικὸν τοῦ σοφωτάτου πατριάρχου κὺρ Μαξίμου τοῦ Λογίου. Εἰς ἀφορισμόν· Κύριε Ἰησοῦ Χριστὲ καὶ Λόγε τοῦ Θεοῦ, ὁμοούσιε καὶ Θεὲ συμπαθέστατε, ὁ τὴν ἄφατον καὶ μεγίστην οἰκονομίαν ποιήσας καὶ συγκατάβασιν ὑπὲρ τοῦ ἀνθρωπίνου γένους, ὁ ἐλθὼν καλέσαι καὶ καλέσας ἁμαρτωλοὺς εἰς μετάνοιαν.. А. Алмазовъ. Тайная исповѣдь въ прав. восточн. церкви. Одесса, 1894, т. III, стр. 83.

л. 324 об. Συγχωρητικόν· Ἡ μετριότης ἡμῶν ἀπὸ τῆς χάριτός τε καὶ δωρεᾶς τοῦ παναγίου καὶ ζωαρχικοῦ Πνεύματος, τῆς δοθείσης ὑπὸ τοῦ Κυρίου τοῖς ἁγίοις ἀποστόλοις, εἰρηκότος αὐτοῖς. Тамъ же, стр. 76—77.

л. 325. Ἡ μετριότης ἡμῶν τὴν ἐκ τῶν ἀποστολικῶν παραδόσεων ἀπὸ ἀλληλοδιαδόχων μέχρι τοῦ νῦν κατελθοῦσαν ἀναδεξαμένη τάξιν...

л. 325 об. Περὶ τῶν ἀρνησαμένων, εἶτα ἐπιστρεφόντων, ἡ ἐπ' αὐτοῖς ἀκολουθία καὶ διόρθωσις, γινομένη παρὰ τοῦ ἁγιωτάτου πατριάρχου κὺρ Γενναδίου τοῦ Σχολαρίου.

Πρῶτον στήσας αὐτὸν ἐν τῷ νάρθηκι ἔμπροσθεν τῆς πύλης τοῦ ἁγίου ναοῦ τῆς ἐνδοτέρας, ποίει ταύτην τὴν ἀκολουθίαν· Τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν, Κύριε ἐλέησον ιβ'. Τοῦ Κυρίου δεηθῶμεν. Εὐχή· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ δημιουργήσας ἡμᾶς καὶ ἀναπλάσας διὰ τοῦ μονογενοῦς σου Υἱοῦ, τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ὑπερβολῇ ἀγαθότητος θύρας μετανοίας ἀνοίξας πᾶσι τοῖς ἁμαρτάνουσιν ἑκουσίως ἢ ἀκουσίως..... Молитва неокончена. Вырваны листы.

л. 326. Выдержки изъ отцевъ церкви практическаго характера.

л. 333. Διάλεξις Ἰουδαίου τινὸς καὶ χριστιανοῦ.

л. 337. Θεοδωρήτου ἐξήγησις εἰς αὐτό.

л. 340 об. Μεθοδίου, τοῦ ἁγιωτάτου πατριάρχου, διάταξις περὶ τῶν διαφόρῳ τρόπῳ καὶ ἡλικίᾳ ἀρνουμένων τὴν ἀμώμητον πίστιν καὶ πάλιν ἐπιστρεφόντων.

Εἰ μὲν παιδίον συνελήφθη καὶ ἠρνήσατο... Goar. p. 689. Εἰ δέ τινες ηὐτομόλησαν ἀπὸ προαιρέσεως... Goar. pag. 693 μόνον τέλειοι τὴν ἡλικίαν, ἀλλὰ καὶ τὸν λοιπὸν τῆς ζωῆς αὐτῶν χρόνον μὴ ἐπιλανθανέσθωσαν τὸ τοσοῦτον ἁμάρτημα καὶ ἀμελῶς διακείσθωσαν, ἀλλ' ἐν κατανύξει καὶ συντριμμῷ καρδίας ὁδευέτωσαν, ἐπικαλούμενοι, διὰ παντὸς τὸν τοῦ Θεοῦ ἔλεον.

— Εὐχαὶ ἱλαστικαὶ πρὸς χριστιανούς, ὑπαχθέντας ἐθνικῇ πλάνῃ, ἐπιστρέψαντας δὲ καὶ τῇ ἐκκλησίᾳ προσδραμόντας· Κύριε, Κύριε, ὁ τῶν ἁπάντων ποιητὴς καὶ Δεσπότης, ἡ πηγὴ τῆς ἀγαθότητος... Goar. pag. 690 Εἰρήνη πᾶσιν. Τὰς κεφαλὰς ἡμῶν... Καὶ πάλιν κλίνας, ἐπεύχεται μυστικῶς· Ὁ κλίνας οὐρανοὺς καὶ καταβὰς ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων. . Goar. pag. 691. Τότε ὁ ἱερεὺς τὸν μέλλοντα μυρωθῆναι ἵστησιν αὐτόν, βλέπον(τα) κατὰ δυσμάς, κάτω τὰς χεῖρας ἔχοντα καὶ λέγοντα· Ἀποτάσσομαι τῷ σατανᾷ. Καὶ πᾶσι τοῖς ἔργοις αὐτοῦ. Καὶ πάσῃ τῇ λατρείᾳ αὐτοῦ. Καὶ πᾶσι τοῖς ἀγγέλοις αὐτοῦ. Καὶ πάσῃ τῇ πομπῇ αὐτοῦ. Ἀποτάσσομαι τῷ Μωάμεθ. Καὶ πᾶσι τοῖς δόγμασιν αὐτοῦ. Καὶ

πάσῃ τῇ ἀσεβείᾳ αὐτοῦ. Καὶ πάσῃ τῇ πλάνῃ αὐτοῦ. Καὶ πάσῃ τῇ αἱρέσει αὐτοῦ. Καὶ ἀνάθεμα αὐτῷ καὶ τῇ διδαχῇ αὐτοῦ. Καὶ ἀποκρίνεται εἰς ἕκαστον τούτων ἐκ τρίτου καὶ τότε στρέφεται κατὰ ἀνατολάς, λέγων Καὶ συντάσσομαι τῷ Κυρίῳ μου Ἰησοῦ Χριστῷ, ὡς ἐν τῷ ἁγίῳ βαπτίσματι· Συνεταξάμην. Καὶ Πιστεύω εἰς ἕνα Θεὸν Πατέρα παντοκράτορα.. Καὶ λέγει αὐτὸ ἕως τέλους. Τότε λαβὼν ὁ ἱερεὺς τὸ ἅγιον μύρον, σφραγίζει αὐτοῦ τὸ μέτωπον, τὰς χεῖρας καὶ τοὺς πόδας, ἐπιλέγων· Σφραγὶς δωρεᾶς Πνεύματος ἁγίου. Ἀμήν. Καὶ ἐπεύχεται ἐπάνω τῆς κεφαλῆς αὐτοῦ. Εὐχὴ μετὰ τὸ ἅγιον μύρον· Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ διὰ τῆς ἀποστολῆς τοῦ παναγίου Πνεύματος... Goar. pag. 692. Εἶτα τὸν ψαλμόν· Ὑψώσω σε, ὁ Θεός μου, ὁ βασιλεύς μου, Δόξα καὶ νῦν, Τὴν τιμιωτέραν, Ὁ Θεὸς οἰκτειρῆσαι, ἐκτενὴ καὶ ἀπόλυσις.

л. 343. Εὐχὴ ἐπὶ ἀποστήσαντος παιδὸς καὶ μαγαρίσαντος καὶ πάλιν ἐπιστρέψαντος ἐν μετανοίᾳ.

Λαμβανέτω ἐπιτίμιον τεσσαράκοντα ἡμέρας μὴ φαγεῖν κρέας, ἢ ἰχθύας, ἢ τυρόν, ἢ ᾠόν, ἢ ἔλαιον ἢ οἶνον, τρέφεσθαι δὲ ἄρτῳ καὶ ὕδατι καὶ ὀσπρίῳ βραχέντι ὕδατι, καὶ καθ' ἑκάστην ἡμέραν ποιείτω μετανοίας ρ', καὶ τὸ Κύριε ἐλέησον ρ', καὶ τὸ Κύριε ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ ρ', ποιείτω δὲ ταῦτα μετὰ κατανύξεως συντετριμμένης καρδίας, εἶτα λαμβανέτω τὴν εὐχὴν ταύτην παρὰ τοῦ ἀναδεξαμένου αὐτὸν πνευματικοῦ πατρὸς ἢ ἀρχιερέως, πληρωθέντων τῶν τεσσαράκοντα ἡμερῶν. Ἡ εὐχή· Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ θέλων πάντας ἀνθρώπους σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν... Goar. pag. 691. Εἶτα ἐρωτᾷ αὐτὸν τὰς προγεγραμμένας ἀποταγὰς τοῦ σατανᾶ καὶ τῶν ἀσεβειῶν καὶ τὰς εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν συνταγάς, καὶ οὕτως ἀπομυρώνει αὐτόν.

л. 344. Δέσποτα Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ ἐν τῇ ἐνσάρκῳ σου οἰκονομίᾳ εὐλογήσας τὴν Βηθλεὲμ καὶ τὴν Γεθσημανῆ. Goar. p. 556.

л. 344 об. Περὶ τῆς συλλήψεως τοῦ ἀνθρώπου, τῆς κατασκευῆς, τῆς γεννήσεως αὐτοῦ, ἔτι δὲ καὶ τοῦ θανάτου καὶ τῆς αὐτοῦ προσκυνήσεως ἐν τῷ τοῦ Θεοῦ θρόνῳ.

Συνουσιαζομένων τοῦ ἀνδρὸς μετὰ τῆς γυναικὸς καὶ τῆς γυναικὸς μετὰ τοῦ ἀνδρός, ἡ μὲν μήτρα τῆς γυναικός, ἀνεωγμένη οὖσα, ἐκδέχεται τὸν ἀπὸ τοῦ ἀνδρὸς μέλλοντα σπόρον χέεσθαι. Κατελθόντος δὲ τοῦ σπόρου τοῦ ἀνδρὸς καὶ εἰσελθόντος ἐν τῇ μήτρᾳ, εὐθὺς ἀσφαλίζει ἡ μήτρα καὶ φυλάσσει τὸν σπόρον, μεμονωμένον μέχρι τρίτης ἡμέρας, κατὰ δὲ τρίτην ἡμέραν χέεται καὶ ἀπὸ τῆς γυναικὸς αἷμα καὶ σμίγεται

μετὰ τοῦ ἀνδρικοῦ σπόρου καὶ γίνεται ὥσπερ κόμμα κρέα(τος), κατὰ δὲ τὴν ἐννάτην ἡμέραν τσουποῦται καὶ μένει τσουπωμένον μέχρι τῆς τεσσαρακοστῆς ἡμέρας, κατὰ δὲ τὴν τεσσαρακοστὴν ἡμέραν τυποῦται τύπον βρέφους καὶ ἐμψυχοῦται καὶ πάλιν ἐν τῷ τρίτῳ μηνὶ παρὰ (?) τὸ βρέφος καὶ ἐν τῇ κοιλίᾳ τῆς γυναικός, καὶ ἐν τῷ ἐννάτῳ μηνὶ γεννᾶται τὸ βρέφος, καὶ ἐν τῇ τεσσαρακοστῇ ἡμέρᾳ μετὰ τὴν γέννησιν αὐτοῦ προσφέρεται ἐν τῷ ναῷ καὶ ἁγιάζεται. Ὡσαύτως καὶ τελευτήσαντος τοῦ ἀνθρώπου, πάλιν ἐν τῇ τρίτῃ ἡμέρᾳ τῆς αὐτοῦ ταφῆς ῥήγνυται τὰ ἐντὸς αὐτοῦ, ἤγουν ἡ κοιλία καὶ τὰ ἔντερα, καὶ λέγεται ῥῆξις, κατὰ δὲ τὴν ἐννάτην ἡμέραν διασχίζεται ἡ ὄψις τῆς σαρκός, καθάπερ ζύμη ὑπεραναβασθεῖσα, καὶ λέγεται φθορά, κατὰ δὲ τὴν μ΄ ἡμέραν τῆς τελευτῆς αὐτοῦ διαχωρίζεται ἁρμὸς ἀπὸ τὸν ἁρμὸν αὐτοῦ καὶ λέγεται διαφθορά, ἅτινά εἰσι τρία πάθη μετὰ τὸν θάνατον· ῥῆξις, φθορὰ καὶ διαφθορά. Ὁμοίως καὶ ἡ ψυχὴ μετὰ τὸν θάνατον μέχρι τριῶν ἡμερῶν προσμένει ἐν τῇ γῇ, μετὰ δὲ τὴν τρίτην ἡμέραν ἀνάγουσιν αὐτὴν οἱ ἄγγελοι, καὶ ἐν τῇ ἐννάτῃ ἡμέρᾳ γίνεται κρίσις τῆς ψυχῆς μετὰ τῶν ἐν τῷ ἀέρι τελωνίων καὶ τῶν ἀγγέλων, πρὸς δὲ τὴν τεσσαρακοστὴν ἡμέραν τῆς τελευτῆς προσάγεται τῷ τοῦ Θεοῦ θρόνῳ καὶ λαμβάνει ἀπόφασιν ἐκ Θεοῦ τοῦ εἶναι ἐν ἀποτεταγμένῳ τόπῳ μέχρι τῆς κοινῆς ἀναστάσεως, καὶ ἰδοὺ ἄθρει, ὅτι πᾶσαι αἱ πράξεις τοῦ ἀνθρώπου ἐν τῇ τρίτῃ καὶ ἐννάτῃ καὶ μ΄ ἡμέρᾳ γίνονται, διὰ τοῦτο ποιοῦμεν μνημόσυνα τοῦ τελευτήσαντος τρίτα, ἔννατα, τεσσαρακοστά, τριμηνιαῖον καὶ ἐννεάμηνα, κατὰ τὴν ἀκολουθίαν τῆς γεννήσεως αὐτοῦ, δηλονότι τοῦ ἀνθρώπου. Δεῖ γινώσκειν καὶ τοῦτο, ὅτι εἰ μὲν πολλὴν θερμότητα ἔχει ὁ ἀνὴρ ἐν τῷ συνουσιασμῷ αὐτοῦ καὶ συλλάβῃ ἡ γυνή, τὸ παιδίον ἐκεῖνο ἄρρεν ἐστίν, εἰ δὲ οὐκ ἔχει πολλὴν θερμότητα, ἀλλὰ μικρὸν ὑποψυχρίζει, τὸ συλληφθὲν παιδίον θῆλυ, ἐπεὶ διὰ τὸ ὑπόψυχρον τοῦ ἀνδρὸς κατὰ τὴν ὥραν τοῦ συνουσιασμοῦ τοῦ παιδίου, καὶ εἰ μὲν ὁ σπόρος τοῦ ἀνδρὸς ὑπερπερισσεύει τοῦ γυναικείου αἵματος, ὁμοιάζει τὸ παιδίον τὸ πατρικὸν γένος, εἰ δὲ τὸ γυναικεῖον αἷμα ὑπερπερισσεύει τοῦ ἀνδρικοῦ σπόρου, ὁμοιάζει τῆς γυναικὸς τὸ γένος.

л. 345. Τάξις γινομένη εἰς χωράφιον, ἢ εἰς ἀμπελῶνα, ἢ εἰς κῆπον, εἰ συμβῇ βλάπτεσθαι ὑπὸ ἑρπετῶν ἢ ἄλλων εἰδῶν.

Δεῖ γενέσθαι λειτουργία... Goar. p. 354... καὶ ὕδωρ τὸ τοῦ μικροῦ ἁγιασμοῦ, οὐ μὴν δὲ τῶν ἁγίων Θεοφανίων, ἐπεὶ τὰ δευτερεῖα ἐπέχει τῶν θείων μυστηρίων, καὶ ἐπιρραίνων ὁ ἱερεὺς σταυροειδῶς τὸ χωράφιον, ἢ τὸν ἀμπελῶνα, ἢ τὸν κῆπον, πρῶτον λέγει· Ἐλέησον ἡμᾶς, ὁ Θεός...

Ἔτι δεόμεθα ὑπὲρ τοῦ διαφυλαχθῆναι τὴν ἁγίαν μονὴν... εἶτα λέγει τὰς εὐχάς. Goar. p. 354—356.

л. 347. Εὐχὴ τοῦ ἁγίου Ὑπατίου.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς, ὁ πλάσας τὸν ἄνθρωπον κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν, καὶ δοὺς αὐτῷ ἐξουσίαν ζωῆς αἰωνίου, εἶτα ἐκπεσὼν ἐκ τοῦ παραδείσου διὰ τῆς παρακοῆς, μὴ παριδών, ἀλλ' οἰκονομήσας διὰ τῆς ἐνανθρωπήσεως τοῦ Χριστοῦ σου τὴν σωτηρίαν τοῦ γένους τῶν ἀνθρώπων, Αὐτὸς καὶ νῦν, Δέσποτα φιλάνθρωπε, ἐπίβλεψον ἐπ' ἐμὲ τὸν ταπεινὸν καὶ ἀνάξιον δοῦλόν σου καὶ ἐπάκουσόν μου, καὶ ὅπου ἂν γένηται ἡ μνήμη μου, καὶ ὅστις ἐπικαλέσηται τὸ ὄνομά μου, ἐπάκουσόν μου καὶ ἐλέησον ἅπαντας, καὶ δὸς αὐτοῖς πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα καὶ ζωὴν τὴν αἰώνιον, καὶ εἴ τις ἐπικαλεῖται τὸ ὄνομα τοῦ ἀναξίου δούλου σου ἐξ ὅλης ψυχῆς, ἀποδίωξον ἀπ' αὐτοῦ πᾶσαν γοητείαν καὶ φαρμακίαν, καὶ περιεργίαν, καὶ μὴ ἐπέλθῃ ἐν τῷ οἴκῳ αὐτοῦ ὄφις αἰσθητὸς ἢ νοητός, ἢ ἔχιδνα, ἢ σκορπίος, ἢ κακὴ ῥῶγα, ἢ ἀκρίς, ἢ κάμπη ἢ βροῦχος, ἢ κάνθαροι, ἢ κουσσαροτή, ἢ σιδηρίτης, ἢ λιμός, ἡ λοιμικὴ νόσος, ἢ μάχη τις, ἢ μῖσος, ἢ ἄλλο τι πονηρόν, ἀλλὰ ἀποδίωξον ταῦτα πάντα ἀπὸ τῶν δούλων σου τούτων, ἔτι δὲ τὰς ἀμπέλους αὐτῶν ἀγροὺς καὶ κηπία φύλαξον ἀπὸ παντὸς πονηροῦ καὶ ἀκαθάρτου πράγματος, καὶ δὸς αὐτοῖς, Κύριε, πλησμονὴν σίτου, οἴνου καὶ ἐλαίου, καὶ εὐλόγησον αὐτοὺς καὶ τοὺς οἴκους αὐτῶν, εἰσόδους καὶ ἐξόδους, μικρούς τε καὶ μεγάλους, ὑγείαν ψυχῆς καὶ σώματος καὶ εἰρήνην πᾶσαν, καὶ ἐὰν οἱ δοῦλοί σου ἐν δικαστηρίῳ, ἢ ἐν πολέμῳ, ἢ ἐν θαλάσσῃ, ἢ ἐν μάχῃ τινὶ περιπέσωσι, ταχέως σωθήσονται, καὶ ἐὰν ἔχωσι πλῆθος ἁμαρτιῶν καὶ ἐπικαλέσωνται τὸ ὄνομα τοῦ ἀναξίου δούλου σου, συγχώρησον αὐτοῖς πᾶσαν ἁμαρτίαν καὶ δός μοι κλῆρον ἐξουσίας ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως ἐνώπιον τῶν ἁγίων ἀγγέλων, ὅταν μέλλῃς κρῖναι ζῶντας καὶ νεκρούς, ἵνα σώζῃς πάντας τοὺς ἐπικαλουμένους με. Καὶ εὐθὺς γέγονε φωνὴ πρὸς αὐτόν· θάρσει χαίρων, Ὑπάτιε, ἤκουσα τῆς δεήσεώς σου καὶ ἦλθον πληρῶσαι πάντα, ὅσα ἂν ᾔτησας. Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις τῷ Πατρὶ...

л. 348—349. **Разныя приписки позднѣйшаго времени, не имѣющія важнаго значенія.**

л. 350. Ἀκολουθία τοῦ ἁγιασμοῦ τοῦ μικροῦ. Μετὰ τὸ εὐλογητόν, τὸ Κύριε εἰσάκουσον κ. τ. λ. Goar. pag. 358—359. Ῥῦσαι πάσης ἀπειλῆς... Σῶσον πάντας... Ταῖς πρεσβείαις, ἐλεῆμον... Ὑπὸ πάντων δυσωπούμενος... Φεῖσαι, Σῶτερ, τῶν ψυχῶν... Χαῖρε κόσμου... Ψάλλομέν

σοι... Ὦ Παρθένε, ἡ τεκοῦσα... Προσκυνοῦμεν καὶ τιμῶμεν καὶ ὑμνοῦμεν τὸν σταυρόν σου, Χριστέ, τὸν πανάγιον ἐκ πάσης νόσου... Τῇ δυνάμει τοῦ σταυροῦ σου, Ζωοδότα, φώτισόν με... Ταξιάρχα πρωτοστάτα τῶν ἀγγέλων σὺν τοῖς ἄνω... Ὁ κηρύξας τὴν μετάνοιαν ἀνθρώποις, τοῦ Κυρίου Βαπτιστὰ καὶ Πρόδρομε... Ταῖς πρεσβείαις τῶν ἐνδόξων ἀποστόλων, Ζωοδότα... Ταῖς πρεσβείαις τῶν μεγάλων διδασκάλων Βασιλείου, σοφοῦ Γρηγορίου τε καὶ Ἰωάννου... Τὴν ὀξεῖαν καὶ θερμήν σου προστασίαν καὶ τὴν σκέπην, παμμάκαρ Νικόλαε... Ταῖς πρεσβείαις τῶν ἁγίων ἀθλοφόρων Δημητρίου, Γεωργίου, σοφῶν Θεοδώρων τε καὶ Ἀρτεμίου.. Ταῖς πρεσβείαις τῶν ἁγίων Ἀναργύρων καὶ μαρτύρων καὶ πάντων ἁγίων σου... Ἀθλοφόρε τοῦ Χριστοῦ Πατελεῆμον, τοὺς τῇ σκέπῃ τῇ σῇ καταφεύγοντας ταῖς σαῖς πρεσβείαις... Τῶν ἁγίων καὶ δικαίων προπατόρων ταῖς πρεσβείαις ἁπάντων δικαίων τε καὶ τῶν ὁσίων... Τὴν ἐν ζάλῃ πειρασμῶν καὶ τρικυμίαις ταῖς τοῦ βίου πικρῶς κινδυνεύουσαν... Τὸν Πατέρα καὶ Υἱὸν δοξολογοῦμεν... Καὶ νῦν. Ἡ ἀῤῥήτως ἐπ' ἐσχάτων συλλαβοῦσα. Νῦν ἐπέστη ὁ καιρὸς ὁ πάντας ἁγιάζων κ. τ. λ. Goar. pag. 359. Послѣ евангелія: Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης... Ὑπὲρ τῆς εἰρήνης... Ὑπὲρ τοῦ ἁγίου οἴκου... Ὑπὲρ τοῦ ἁγιασθῆναι τὸ ὕδωρ τοῦτο τῇ ἐπιφοιτήσει καὶ ἐνεργείᾳ τοῦ ἁγίου Πνεύματος... Ὑπὲρ τοῦ καταπεμφθῆναι αὐτῷ... Ὑπὲρ τοῦ φωτισθῆναι ἡμᾶς... Ὑπὲρ τοῦ ῥυσθῆναι... Ἀντιλαβοῦ, σῶσον... и далѣе, какъ у Гоара pag. 361. Въ молитвѣ именъ святыхъ не имѣется.

л. 354. Ἀκολουθία τοῦ ἁγιασμοῦ τοῦ μεγάλου. Goar p. 366—772. Разница въ изложеніи ектеньи и въ отсутствіи молитвы Софронія патріарха.

л. 358 об. Ἀκολουθία εἰς τὸν ἀκάθιστον ὕμνον τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας. Полная служба съ стихирами.

л. 366. Εὐχὴ εἰς τὸ βαπτῖσαι παιδίον καὶ εἰς γυναῖκας λεχούσας.

Εὐχὴ εἰς γυναῖκα λεχοῦσαν, ὅταν ἀποβαλθῇ παιδίον.

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τεχθεὶς ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας... Goar. p. 271. Ταύτην εἰπὼν ἐκ τρίτου, ἀπόλυε.

л. 366 об. Εὐχὴ εἰς λοχείαν γυναικός, ἡνίκα τέξῃ.

Εὐλογεῖ ὁ ἱερεύς, τὸ Τρισάγιον, τὸ ἀπολυτίκιον· Χαῖρε κεχαριτωμένη, τὸ κοντάκιον· Ὁ μήτραν παρθενικήν. Τοῦ Κυρίου δεηθῶμεν. Ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, ὁ τὸν ἄνθρωπον πλάσας ἰδίαις χερσίν... А. Дмитріевскій, Прилож. 4. Εὐχὴ ἑτέρα εἰς τὸ τεχθὲν βρέφος· Δέσποτα

Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ τεχθεὶς ἐκ τῆς ἁγίας Θεοτόκου... Прилож. стр. 5. Εὐχὴ ἑτέρα· Δέσποτα Κύριε Παντοκράτωρ, ὁ ἰώμενος πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν... Тамъ-же. Καὶ γίνεται ἀπόλυσις.

л. 367 об. Εὐχὴ ἑτέρα εἰς τὰς ἐπιλεχούσας ἐν τῇ κυήσει τῆς γυναικός.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὰ ἐν τῇ ὀθόνῃ εἰπὼν τῷ Πέτρῳ. Прилож. стр. 6.

л. 368. Ἀκολουθία, ὁπόταν πληρωθῶσιν αἱ ἡμέραι μ΄ ἀπὸ τῆς γεννήσεως τῆς γυναικός. Λαβοῦσα τὸ παιδίον, ἡ μήτηρ ἔρχεται ἐπὶ τὴν ἐκκλησίαν καὶ ἵσταται ἔξω τῶν πυλῶν τοῦ ναοῦ, καὶ ποιήσας ὁ ἱερεὺς τὸ εὐλογητόν, λέγει τὸ Τρισάγιον, τὸ Παναγία Τριάς, τὸ Πάτερ ἡμῶν, τροπάριον· Ἐλέησον ἡμᾶς, Δόξα, Κύριε ἐλέησον, Καὶ νῦν, Τῆς εὐσπλαγχνίας. Ἔπειτα ἐπεύχεται τὴν εὐχήν· Κύριε ὁ Θεὸς ἡμῶν, σοῦ δεόμεθα καὶ σὲ παρακαλοῦμεν καὶ ἱκετεύομεν, αὐτὸς νῦν ὁ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ... Прилож. стр. 8. Εὐχὴ ἑτέρα· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ παραγενόμενος ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων.. Goar. p. 267. Καὶ λαβὼν αὐτὴν ὁ ἱερεὺς εἰσέρχεται εἰς τὸν ναόν, καὶ προσκυνήσας τὰς ἁγίας εἰκόνας, ἀσπάζεται αὐτάς, καὶ ἀπολύει.

л. 368 об. Ἀκολουθία εἰς τὸ ὀνομᾶσαι τὸ παιδίον τῇ ὀγδόῃ ἡμέρᾳ τῆς γεννήσεως αὐτοῦ. Ποιεῖ εὐλογητὸν ὁ ἱερεὺς καὶ λέγει τὸ τρισάγιον, τὸ Πάτερ ἡμῶν, τὸ ἀπολυτίκιον τῆς ἡμέρας καὶ τοῦ ἁγίου τῆς μονῆς, εἶτα σφραγίζει τὸ παιδίον τρίτον καὶ ἄρχεται τῆς εὐχῆς· Κύριε ὁ Θεὸς ἡμῶν, σοῦ δεόμεθα καὶ σὲ ἱκετεύομεν, σημειωθήτω τὸ φῶς τοῦ προσώπου σου... Goar. p. 264. Καὶ σφραγίζων τὸ μέτωπον αὐτοῦ καὶ τὸ στῆθος, λέγει τὴν εὐχὴν ταύτην· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν τεσσαράκοντα ἡμέραις ὡς βρέφος προσαχθεὶς ἐν τῷ νομικῷ ναῷ ὑπὸ Μαρίας... Εὐχολ. Goar. pag. 267. ἵνα καταξιωθῇ τοῦ ἁγίου σου βαπτίσματος, καὶ τύχῃ τῆς μακαριότητος τῶν ἐκλεκτῶν σου ἐν τῇ βασιλείᾳ σου, φυλαττόμενος τῇ χάριτι τῆς ἁγίας καὶ ὁμοουσίου Τριάδος. Σοὶ γὰρ πρέπει πᾶσα δόξα κ. τ. λ. Καὶ λαβὼν τὸ παιδίον ὁ ἱερεὺς εἰς τὰς χεῖρας αὐτοῦ, εἰσάγει αὐτὸ ἐντὸς τοῦ ναοῦ, λέγει· Ὁ καθαρώτατος ναός. Καὶ εἰσελθὼν ἄχρι ἔμπροσθεν τῶν ἁγίων θυρῶν, ποιεῖ μετάνοιαν καὶ ἐκκλησιάζει αὐτό, λέγων οὕτως· Ἐκκλησιάζεται ὁ δοῦλος... ἐκ τρίτου, καὶ ἀπάγει αὐτὸ μέχρι τοῦ θυσιαστηρίου, καὶ ἐπιθεὶς τὸ στόμα αὐτοῦ ὡς ἐν σχήματι ἐπὶ τὰ τέσσαρα μέρη τῆς ἁγίας τραπέζης τελεῖ τῆς προσκυνήσεως. Οὕτως ποιοῦμεν εἰς παιδίον ἄρρεν, εἰ δὲ θῆλύ ἐστιν, οὐ προσάγει αὐτὸ ἔνδον τοῦ θυσιαστηρίου, ἀλλ' ἔξωθεν τῶν ἁγίων θυρῶν τελεῖ τὴν προσκύνησιν, λέγει· Ὁ μήτραν παρθενικήν, Νῦν ἀπολύεις

τὸν δοῦλον. Εἶτα ποιεῖ ὁ ἀνάδοχος μετάνοιαν καὶ λαμβάνει τὸ παιδίον παρὰ τοῦ ἱερέως. Ὁ δὲ ἱερεὺς ἐπεύχεται τὴν εὐχὴν ταύτην· Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ διὰ τῶν τεσσαράκοντα ἡμερῶν τοῦ νόμου εἰς τὸ ἱερὸν ἐλθών... αὔξησον τὸν δοῦλόν σου, ὁ δεῖνα, ἵνα τύχῃ τοῦ λουτροῦ τῆς ἀφθαρσίας, καὶ γένηται τέκνον φωτὸς καὶ ἡμέρας, καὶ τυχὼν τῆς μερίδος τῶν ἐκλεκτῶν σου, κοινωνὸς γένηται τοῦ σώματος.., См. выше стр. 53. καὶ ἀπολύει.

л. 269 об. Ἀκολουθία τοῦ ἁγίου βαπτίσματος... А. Дмитріевскій. Прилож. стр. 20, прим. 4.

л. 377. Ἀκολουθία τῆς γονυκλισίας τῆς ἁγίας πεντηκοστῆς. См. выше стр. 285.

л. 381 об. Χερουβικὸν τοῦ ἁγίου καὶ μεγάλου σαββάτου.

— Χερουβικὸν τῆς ἁγίας μ΄.

— Εἰς τὸ Ἐξαιρέτως τῆς θείας λειτουργίας τοῦ Μεγάλου Βασιλείου.

л. 382. Περὶ συγγενείας. О степеняхъ родства и препятствіяхъ къ браку.

л. 392 об. Πατριάρχου Ἀντιοχείας κὺρ Θεοδώρου τοῦ Βαλσαμῶνος. Вопросы и отвѣты.

л. 395. Μεθοδίου τοῦ ἁγιωτάτου πατριάρχου διάταξις περὶ τῶν διαφόρῳ τρόπῳ καὶ ἡλικίᾳ ἐπιστρεφόντων. Goar. p. 689—692.

л. 397 об. Εὐχή, λεγομένη ὑπὸ ἱερέως ἐπὶ τὸν μέλλοντα μεταλαβεῖν.

Κύριε ὁ Θεὸς ἡμῶν, σοῦ δεόμεθα καὶ σὲ παρακαλοῦμεν, πρόσδεξαι δοῦλόν σου τόνδε, τὸν κλίναντα τὸν αὐτοῦ αὐχένα ἐνώπιον τῆς ἁγίας δόξης σου.

— Ἑτέρα εὐχή, λεγομένη παρὰ ἀρχιερέως, ἢ ἱερέως, ἢ πνευματικοῦ πατρὸς εἰς τὸν μέλλοντα μεταλαβεῖν.

Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, Υἱὲ καὶ Λόγε τοῦ Θεοῦ τοῦ ζῶντος, ποιμὴν καὶ ἀμνέ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. Goar. p. 536.

л. 399. Εὐχὴ συγχωρητική, ἣν δίδει ὁ πνευματικὸς εἰς χεῖρας τοῦ κεκοιμημένου.

Ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, συγχωρήσει σοι, πνευματικόν μου τέκνον, ὁ δεῖνα, ὅσα ἐνώπιον αὐτοῦ τῇ ἐμῇ ἐξομολογήσω ἐλαχιστότητι, καὶ ὅσα κατὰ λήθην ἢ πλῆθος οὐκ ἔφθασας ἐξαγγεῖλαι τῇ ἐμῇ οὐθενότητι, συγχωρήσει σοι καὶ ταῦτα ὁ φιλάνθρωπος Θεὸς ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι, καὶ ἀκατάκριτόν σε παραστήσει ἔμπροσθεν τοῦ φοβεροῦ αὐτοῦ βήματος, ὁ ὢν εὐλογημένος. Ἀμήν.

Εὐλογητὸς εἶ, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ ποιῶν μεγάλα καὶ θαυμάσια, ἔνδοξά τε καὶ ἐξαίσια τέρατα ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ, ὁ θεραπεύων πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν, ὁ τοῖς ἁγίοις σου ἑπτὰ παισί, Μαξιμιλιανῷ, Ἰαμβλίχῳ, Μαρτίνῳ, Διονυσίῳ, Ἰωάννῃ, Ἐξακουστοδιανῷ καὶ Ἀντωνίνῳ, τὸν ὕπνον πρόξενον σωτηρίας χαρισάμενος τοῦ ἐκφυγεῖν τοῦ παρανόμου βασιλέως Δεκίου τὴν ἀπειλήν, αὐτὸς καὶ τῷ δούλῳ σου, ὁ δεῖνα, δὸς ὕπνον γλυκύν, καὶ ῥῶσιν σώματος καὶ ψυχῆς, εἰ καὶ ὡς ἄνθρωπος τὰς ἐντολάς σου παρέβη, συγχώρησον, Κύριε, καὶ ἀνάστησον καὶ φώτισον αὐτοῦ τὴν ψυχήν, καὶ καθάρισον αὐτὸν ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος πρεσβείαις τῆς ἀειπαρθένου Θεοτόκου καὶ πάντων τῶν ἁγίων σὺν τῷ ἀνάρχῳ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι νῦν καὶ ἀεί.

л. 449 об. (Ἐν)ταλτήριον. Ἡ ταπεινότης ἡμῶν διὰ τοῦ παρόντος γράμματος αὐτῆς τῷ τιμιωτάτῳ ἱερομονάχῳ κὺρ ὁ δεῖνα ἐκχωρεῖ καὶ ἄδειαν δίδωσιν εἰς τὸ τῆς πνευματικῆς πατρότητος ἀξίωμα, ὥστε εἶναι ἀπὸ τοῦ νῦν καὶ ὀνομάζεσθαι παρὰ πάντων πνευματικὸς πατήρ, ὀφείλοντες διδόναι πρὸς αὐτὸν πᾶσαν εὐλάβειαν καὶ τιμήν, ὅστις καὶ ὀφείλει δέχεσθαι πάντων τὰς ἐξαγορεύσεις τῶν κεκρυμμένων μωλώπων τῶν προσιόντων αὐτῷ, καὶ ἀνακρίνειν αὐτοὺς καὶ ἐρευνᾶν τὰ ἐν βάθει διανοήματα αὐτῶν, καὶ τὰς πράξεις καταμανθάνειν ἐπὶ τῷ τὰς ἀρχὰς μὲν καὶ τὰς αἰτίας σπεύδειν ἱστάναι, καὶ ὡς δυνατὸν ἀνακόπτειν, τὰ δὲ τέλη καὶ ἐνεργήματα εὐθύνειν κανονικῶς πρὸς τὰς ἕξεις μέντοι καὶ διαθέσεις τῶν ἐξαγορευομένων κατὰ τὰς δυνάμεις καὶ τὰς ποιότητας, καὶ γίνεσθαι τοῖς πᾶσι τὰ πάντα ἁπλῶς, νῦν μὲν ἐπέχων, νῦν δὲ ἀνιείς, καὶ τοῖς μὲν αὐστηροτέροις χρώμενος τῶν φαρμάκων, τοῖς δὲ τὸ γλυκάζον συγκερανύς, ἄλλοτε ἐλέγχων, ἐπιτιμῶν, ἄλλοτε πάλιν παρακαλῶν, νουθετῶν, καὶ παντὶ τρόπῳ τὰ πρὸς σωτηρίαν τῶν ἀνακειμένων αὐτῷ ψυχῶν διοικονομούμενος, διὰ τοῦτο δῆσαι μέν, ἃ δεῖ δεθῆναι, λῦσαι δὲ πάλιν τὰ λύσεως ἄξια, καὶ τοὺς ἐνθένδε μεθισταμένους σὺν ἀφέσει τῶν πταισμάτων, εἰς τὰ ἐκεῖσε παραπέμψαι δικαστήρια, τοὺς δὲ πρὸς τὸ τῆς ἱερωσύνης ἀξίωμα ἐναγομένους, ἀκριβέστερον δεῖ ἐρευνᾶν, ἵνα μὴ λάθῃς ἑαυτῷ ἀλλοτρίας συγκοινωνεῖν ἁμαρτίας, ἐκχωροῦμεν δὲ αὐτῷ κείρειν τε μοναχούς, τοὺς τοῦτο προαιρουμένους ἐν τῇ ζωῇ αὐτῶν, εἴτε καὶ ἐν ταῖς τελευταίαις ἀναπνοαῖς, μετὰ συντηρήσεως μέντοι τοῦ μοναχικοῦ ἐπαγγέλματος, μετὰ δηλαδὴ καθαρᾶς ἐξομολογήσεως τῶν ἀποταγῶν καὶ συνταγῶν καὶ τῆς πρὸς τὸν ἀνάδοχον παρακαταθήκης τοῦ ἀποκειρομένου· ἐπὶ τούτῳ ἐγεγόνει καὶ τὸ ἐνταλτηριῶδες γράμμα τῆς ἡμῶν ταπεινότητος καὶ ἐπεδόθη τῷ διαλαληθέντι ἄνωθεν τιμιωτάτῳ ἱερομονάχῳ κὺρ ὁ δεῖνα, ἐν μηνὶ φεβρουαρίῳ κβ' ἰνδ. γ.

Ταπεινὸς ἐπίσκοπος Ἱερισσοῦ καὶ ἁγίου ὄρους Γρηγόριος.

л. 400. Κανονάριον, διαγορεῦον περὶ πάντων τῶν παθῶν λεπτομερῶς καὶ τῶν τούτοις προσφόρων ἐπιτιμίων, περί τε τῆς ἁγίας κοινωνίας, βρωμάτων, καὶ πομάτων καὶ εὐχῆς. А. Алмаз. Тайная испов., т. III, I. стр. 12—13.

л. 403. Πῶς δεῖ τοὺς πνευματικοὺς πατέρας οἰκονομεῖν τοὺς αὐτοῖς ἐξομολογουμένους. Выдержки изъ Номоканона.

л. 422 об. Κανονάριον τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Νηστευτοῦ, περιέχον περὶ ἐξαγορεύσεως τῶν ἐξομολογουμένων τὰ ἑαυτῶν ἁμαρτήματα τοῖς πνευματικοῖς αὐτῶν πατράσι, καὶ πῶς δεῖ τούτους κανονίζειν... См. А. Дмитріевскій. Прилож. стр. 101—104.

л. 424. Μηνολόγιον σὺν Θεῷ ἁγίῳ τοῦ ὅλου ἐνιαυτοῦ.

Тропари и кондаки на цѣлый годъ.

л. 447 об. Ἀπολογητικὸν πρὸς τοὺς μέλλοντας ἀποκομῖσαι τὸ μήνυμα τοῦ πατριάρχου εἰς τὸ τῆς ἀρχιερωσύνης διακόνημα.

Ἐγὼ μὲν ἀνάξιον ἐμαυτὸν οἶδα οὐ πρὸς τοσοῦτον μόνον ὕψος ἐπισκοπικῆς ἀξίας, ἀλλ' οὐδὲ πρός τι τῶν ἐν τοῖς ἱεροῖς εὐτελῶν διακονημάτων, ἐπεὶ δὲ κρίμασιν, οἷς οἶδεν ἀῤῥήτοις ὁ πάντα οἰκονομῶν Θεός, εἰς τοῦτο κεκίνηκε τὸν παναγιώτατον ἡμῶν δεσπότην καὶ οἰκουμενικὸν πατριάρχην καὶ τὴν περὶ αὐτὸν θείαν καὶ ἱερὰν σύνοδον, ὥστε μοι τὸ μέγα τοῦτο ἐγχειρῖσαι λειτούργημα, ἰδοὺ ταῖς ἁγίαις αὐτῶν θαῤῥήσας εὐχαῖς, προσκυνῶ καὶ ὑπείκω τῷ θεοκινήτῳ τούτων κελεύσματι, καὶ δέχομαι τὴν προστασίαν τῆς ἱερᾶς ταύτης διακονίας, γένοιτο δὲ λιταῖς τῶν ἐπιταττόντων τοῦτο θείων ἀνδρῶν, ἵνα μοι καὶ λόγος σωτήριος ἐν ἀνοίξει τοῦ στόματός μου δοθῇ πρὸς ὠφέλειαν ἐγχειριζομένων μοι ψυχῶν, καὶ πολιτεία θεοφιλής, ὡσὰν καὶ Θεῷ καὶ τοῖς προστάταις τῶν ἁγίων αὐτοῦ ἐκκλησιῶν καὶ παντὶ τῷ χριστωνύμῳ συστήματι εὐάρεστος εἴην, καὶ διὰ τοῦτο τῶν μελλόντων ἀξιωθείην ἀγαθῶν. Ἀμήν.

л. 447 об. Τοῦ ἁγίου Μαξίμου περὶ λ' ἀργυρίων.

л. 448. Τὰ ἁμαρτήματα, τὰ τὴν ἱερωσύνην κωλύοντα, πραττόμενα ἢ πρὸ τῆς ἱερωσύνης, ἢ μετὰ τὴν ἱερωσύνην.

л. 449 об. Ἀκολουθία τῆς μνήστρας, ἤγουν τοῦ ἀῤῥαβωνίσματος. Goar p. 310—312.

л. 450 об. Ἀκολουθία τοῦ στεφανώματος. Goar p. 314—319.

Особенности слѣдующія: а) въ великой ектеніи не достаетъ двухъ прошеній: Ὑπὲρ τοῦ δωρηθῆναι αὐτοῖς εὐτεκνίαν... Ὑπὲρ τοῦ δωρηθῆναι αὐτοῖς καὶ ἡμῖν πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα Goar

p. 315; б) нѣтъ молитвы: Εὐλογητὸς εἶ Κύριος ὁ Θεὸς ἡμῶν, ὁ τοῦ μυστικοῦ καὶ ἀχράντου γάμου ἱερουργός... Goar. p. 316 и в) конецъ послѣ Δόξα σοι Χριστὲ ὁ Θεός, ἀποστόλων καύχημα... въ описываемой рукописи излагается такъ: Εἶτα ἐπαίρει τοὺς στεφάνους ὁ ἱερεὺς καὶ ποιεῖ ἀπόλυσιν· Ὁ διὰ τῆς ἐν Κανᾷ ἐπιδημίας τίμιον ἀναδείξας τὸν γάμον, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν... Goar p. 320.

л. 454. Εὐχὴ εἰς τὰ βαΐα.

Δέσποτα Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ κτίστης καὶ δημιουργὸς τῶν ἀπάντων.

л. 454 об. Ἀκολουθία εἰς υἱοθεσίαν. Goar pag. 561—562.

Разница въ отсутствіи тропаря и кондака въ началѣ и въ иномъ изложеніи окончанія: Καὶ λαμβάνει τὸν υἱὸν ὁ πατὴρ ἐκ τοῦ θυσιαστηρίου, καὶ πίπτει ὁ υἱὸς εἰς τοὺς πόδας τοῦ πατρός, καὶ μεταλαμβάνουσι τῶν θείων μυστηρίων, καὶ γίνεται ἀπόλυσις.

л. 450 об. Краткія хронологическія замѣчанія о соборахъ вселенскихъ.

л. 456 об. Ἐκ τῆς βίβλου Ἔζδρας κα΄. Не окончена статья.

CI. № 135. Εὐχολόγιον, рукопись Аѳоно-Каракальскаго монастыря, въ 16 долю листа, 435 листовъ, писана въ 1539 году, какъ свидѣтельствуетъ о томъ слѣдующая приписка въ рукописи: „Μηνὶ δεκεμβρίῳ ιδ΄ ἔτους ͵ζμζ΄ ἰνδικτ. ζ΄. Ἰωακεὶμ ἱερομόναχος“.

л. 1. Διάταξις τῆς λειτουργίας, ἐν ᾗ καὶ τὰ διακονικά. Н. Ѳ. Красносельцевъ. Матеріалы для исторіи чинопослѣдованія литургіи св. І. Златоустаго, в. I, стр. 36—78.

л. 26. Оглавленіе Евхологія.

л. 27. Ἡ θεία λειτουργία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου.

л. 41. Ἡ θεία λειτουργία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου τοῦ Μεγάλου.

л. 60. Ἡ θεία μυσταγωγία τῶν προηγιασμένων.

л. 68 об. Ἀκολουθία τοῦ ἑσπερινοῦ.

л. 71. Εὐχαὶ ἑωθιναί.

л. 78. Евангельскія и апостольскія чтенія.

л. 157. Ἀκολουθία τοῦ μικροῦ ἁγιασμοῦ.

л. 165 об. Ἀκολουθία τοῦ μεγάλου ἁγιασμοῦ.

л. 176. Ἀκολουθία τῆς γονυκλισίας.

л. 188. Εὐχαὶ εἰς τὸ ποιῆσαι κατηχούμενον.

л. 228. Молитвы на различные случаи и чины обращенія къ православной церкви патріарха Меѳодія и другіе.

л. 257. Ἀκολουθία εἰς ῥασοφόρον.

л. 258 об. Τάξις, γινομένη εἰς τὸ μικρὸν σχῆμα, ἤτοι εἰς τὸν μέλλοντα παραμανδωθῆναι.

л. 268. Ἀκολουθία σὺν Θεῷ ἁγίῳ τοῦ εὐχελαίου.

л. 330. Ἀκολουθία τῆς παρακλήσεως.

л. 336. Ἀκολουθία τοῦ ἐξοδιαστικοῦ.

л. 374 об. Молитвы на различные случаи.

л. 399. Ἀκολουθία, ψαλλομένη ἐπὶ ἀνομβρίᾳ. Κανὼν εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐπὶ τῇ αὐτῇ ὑποθέσει.

л. 404 об. Κανὼν εἰς τὴν ὑπεραγίαν Θεοτόκον, ψαλλόμενος ἐν κοιναῖς συμφοραῖς καὶ θλίψεσι παντοίαις καὶ περιστάσεσιν.

л. 409 об. Κανὼν ψαλλόμενος εἰς ψυχοῤῥαγοῦντας.

л. 415. Οἱ οἶκοι τῆς ὑπεραγίας Θεοτόκου. Акаѳистъ.

л. 425. Ἀκολουθία, ὅταν ἐνυπνιασθῆναι.

л. 431 об. Εὐχὴ εἰς τὸν μέλλοντα μεταλαβεῖν.

CII. Δ 80 (нынѣ Е. 74). Λειτουργιάριον, ркп. библіотеки лавры Аѳанасія на Аѳонѣ въ четвертку, 129 листовъ, писана мелкимъ четкимъ почеркомъ 1541 года, какъ значится въ припискѣ: Ἐγεγόνει (sic) τὸ παρὸν Τακτικὸν διὰ συνδρομῆς καὶ ἐξόδων τοῦ πανιερωτάτου καὶ σεβασμιωτάτου μητροπολίτου Νέων Πατρῶν τῆς Ἑλλάδος, κυροῦ Γρηγορίου ἐπὶ ἔτους ‚ζμθ′ ἰνδ. ιδ′.

л. 1. Διάταξις[1]) τῆς θείας λειτουργίας, ἐν ᾗ καὶ τῶν χειροτονιῶν ἡ τάξις, πότε καὶ πῶς γίνεται ἑκάστη. См. выше стр. 376.

л. 5. Πότε φορένει ὁ ἀρχιερεύς, μέλλων τὴν θείαν ἐπιτελέσαι μυσταγωγίαν, καὶ περὶ τῶν ὑπηρετούντων αὐτόν.

Ἐρχόμενοι γοῦν οἱ διάκονοι προσκυνοῦντες, κρατοῦντες ἐν ταῖς χερσὶν αὐτῶν ἕκαστος τὸ στιχάριον καὶ τὸ ὠράριον. См. выше 302—318 въ примѣчаніяхъ. Здѣсь вездѣ вмѣсто патріарха дѣйствующимъ лицемъ является епископъ или архіерей.

л. 8 об. Ὅπως γίνεται ἡ χειροτονία τῶν ἀναγνωστῶν. Goar. pag. 194—195.

л. 9 об. Ὅπως γίνεται ἡ τῶν ὑποδιακόνων χειροτονία. См. выше стр. 297.

---

[1]) Всѣ чины этой рукописи въ изложеніи особенностей имѣютъ полное сходство съ чинами ркп. 1407 г. № 371 патріаршей Каирской библіотеки.

л. 10 об. Ἰστέον, ὅτε οὐκ ἔστι χειροτονία ἱερέως, ὁ δευτερεύων τῶν διακόνων. См. выше стр. 304. Нѣтъ замѣчанія, что прочіе архіереи читаютъ молитвы антифоновъ. Καὶ μετὰ τὴν πλήρωσιν τῆς συναπτῆς ἐκφωνεῖ ὁ ἱερεύς· Ὅτι πρέπει... καὶ οἱ μὲν ψάλται ψάλλουσι τὸ πρῶτον ἀντίφωνον, ὁ δὲ ἱερεὺς λέγει τὴν εὐχὴν τοῦ β′ ἀντιφώνου· Κύριε ὁ Θεὸς ἡμῶν, σῶσον τὸν λαόν σου... Μετὰ δὲ τὴν συμπλήρωσιν τοῦ πρώτου ἀντιφώνου, ποιεῖ ὁ διάκονος μικρὰν συναπτήν. Καὶ μετὰ τὴν ἐκφώνησιν οἱ μὲν ψάλται ψάλλουσι τὸ δεύτερον ἀντίφωνον, ὁ δὲ μέγας χαρτοφύλαξ, προσκυνῶν τὸν ἀρχιερέα, λαμβάνει τὸν ὑπομνηματογράφον καὶ τὸν ἱερομνήμονα, προοδοποιοῦντες τοῦ ἐπὶ τῆς εὐταξίας, ὁ δὲ ἱερεὺς λέγει τὴν εὐχὴν ταύτην. Εὐχὴ ἀντιφώνου τρίτου· Ὁ τὰς κοινὰς ταύτας... Μετὰ δὲ τὴν συμπλήρωσιν τοῦ δευτέρου ἀντιφώνου πάλιν ὁ διάκονος· Ἔτι καὶ ἔτι... Ἐκφώνησις· Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος... Καὶ οὕτως ψάλλουσιν οἱ ψάλται τὸ τρίτον ἀντίφωνον, ὁ δὲ διάκονος, ὁ ἐν τῷ ἄμβωνι, κατερχόμενος. См. выше стр. 304. Καὶ οὕτως γίνεται εἴσοδος. Καὶ μετὰ τὴν εἴσοδον καθέζεται ἐν τῷ σελλίῳ ὁ ἀρχιερεύς, καὶ οὕτως γίνεται ἡ φήμη τῶν βασιλέων καὶ τοῦ ἀρχιερέως. Ὁ δὲ δευτερεύων τῶν διακόνων ἐρχόμενος ἔμπροσθεν τοῦ ἀρχιερέως, κλίνας τὴν κεφαλήν, κρατῶν ἅμα καὶ τῷ ὠραρίῳ, ὡς πολλάκις εἴρηται, λέγει· Εὐλόγησον, δέσποτα, τὸν καιρὸν τοῦ Τρισαγίου. Ὁ δὲ ἀρχιερεὺς σφραγίζων αὐτόν, λέγει· Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν... Ὁ μέντοι δευτερεύων τῶν διακόνων, ὁ τὸν καιρὸν λαβὼν τοῦ Τρισαγίου, ὡς ἄνωθεν εἴρηται, τοῦ κοντακίου πληρωθέντος... См. выше стр. 306. Εἰ γὰρ μή ἐστι χειροτονία, ἀσπάζεται πρῶτον τὴν ἁγίαν τράπεζαν, εἶτα ἀνέρχεται ἐν τῷ συνθρόνῳ μετὰ τῶν συλλειτουργούντων αὐτῷ ἱερέων, καὶ τούτων κατὰ τὴν ἰδίαν τάξιν ἱσταμένων καὶ τοῦ Τρισαγίου παρ' αὐτῶν ψαλλομένου, ὁ ἀρχιερεὺς βλέπων πρὸς δυσμάς, εὐλογεῖ μετὰ τοῦ κηρίου τὸν λαὸν τρίς. Οὔσης οὖν, ὡς εἴρηται, χειροτονίας, πληρωθέντος τοῦ Τρισαγίου, καθήμενος ἐν τῷ σελλίῳ αὐτοῦ, μικρὸν ἀναπαύεται.

л. 17. Σημείωσαι περὶ τοῦ πατριάρχου, ὅταν χειροτονῇ ἀρχιερέα, πότε καὶ πῶς ὁ ὑποψήφιος εἰς τὸ ἅγιον εἰσέρχεται βῆμα.

Ὁ δὲ ὑποψήφιος ἵσταται ἐν τῷ διακονικῷ. См. выше стр. 300 и варіанты. Объ архіереяхъ и умовеніи ими рукъ на херувимской пѣсни нѣтъ замѣчанія. Послѣ великаго выхода: καὶ καθήμενος ἐν τῷ σελλίῳ ἀναπαύεται. Τοῦ δὲ χερουβικοῦ πληρωθέντος, ἐρχόμενος ὁ ἀρχιερεὺς εἰς τὰς ἁγίας θύρας, σφραγίζει τὸν λαὸν τρὶς μετὰ τοῦ τρικηρίου, καὶ αὖθις στραφεὶς κάθηται, εἰ ἐστὶ χειροτονία, εἰ δ' οὔκ, οὐ κάθηται.

л. 30. Ὅπως γίνεται ἡ τοῦ πρεσβυτέρου χειροτονία.

Ὁ δὲ μέλλων πληρωθῆναι πρεσβύτερος, ἵσταται ἐν τῇ σωλέᾳ καὶ ἐξερχόμενοι διάκονοι, λαμβάνουσιν αὐτὸν ἐξ ἑκατέρου μέρους καὶ φέρουσιν αὐτὸν ἄχρι τῶν ἁγίων θυρῶν... См. выше стр. 298.

л. 41 об. Ὅπως γίνεται ἡ τοῦ διακόνου χειροτονία.

Καὶ ἐξελθόντες δύο διάκονοι λαμβάνουσι τὸν μέλλοντα χειροτονεῖσθαι διάκονον, ἑστῶτα ἐν τῇ σωλέᾳ. Тамъ-же.

л. 53. Ἡ θεία λειτουργία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου τοῦ Μεγάλου.

л. 77 об. Εἴδησις τῆς θείας λειτουργίας τῶν προηγιασμένων.

л. 78 об. Ἡ θεία λειτουργία τῶν προηγιασμένων.

л. 90. Τάξις, γινομένη ἐπὶ καθιερώσει ναοῦ καὶ ἱδρύσει τῆς ἐν αὐτῷ ἁγίας τραπέζης. См. выше стр. 379.

л. 113. Τάξις, γινομένη ἐπὶ σαλευθείσης ἁγίας τραπέζης. Goar. pag. 492.

л. 115. Τάξις, γινομένη ἐπὶ ἐγκαίνια ναοῦ.

л. 116. Τάξις, γινομένη τῇ μεγάλῃ πέμπτῃ ἐν τῇ ἐκπλύσει τῆς ἁγίας τραπέζης Goar. pag. 497—499.

л. 118. Περὶ τραπέζης ἁγίας, ἧς τὰ ἄμφια διεφθάρησαν pag. 501.

л. 118 об. Ἀκολουθία τοῦ ἁγίου νιπτῆρος.

л. 123. Ἀκολουθία τοῦ μικροῦ ἁγιασμοῦ.

л. 128 об. Ἔνταλμα πνευματικόν.

Ἡ ταπεινότης ἡμῶν ἀνατίθησί σοι τῷ εὐλαβεστάτῳ ἱερομονάχῳ, ὁ δεῖνα, τὸ λειτούργημα τῆς πνευματικῆς πατρότητος.

л. 129. Συστατικὸν εἰς ἱερέα.

Τοὺς ἱεροῦσθαι λαχόντας συστατικοῖς ἐφοδιάζεσθαι γράμμασιν...

CIII. № 94. Εὐχολόγιον, рукопись библіотеки національнаго Аѳинскаго университета въ 16 долю листа, 288 листовъ, писана четкою скорописью 1542 года, какъ о томъ говоритъ слѣдующая приписка: Δόξα σοί, ἁγία Τριάς, ἕνεκα πάντων. Σωθῇ ὁ γράψας, ἐλεηθῇ ὁ ἔχων. ͵ζΝ΄ ἔτους ἰνδικτιῶνος ιδ΄ (л. 179).

л. 1. Чинъ вечерни съ тремя первыми свѣтильничными молитвами.

л. 4. Ἀρχὴ τοῦ ὄρθρου. Свѣтильничныхъ молитвъ положено и здѣсь тоже три.

л. 8. Ἡ θεία λειτουργία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου.

л. 24. Ектенія на бездождіе безъ начала.
л. 25. Εὐχὴ εἰς ἀδελφοποίησιν.
л. 25 об. Εὐχὴ εἰς ἅγιον ἔλαιον.
л. 26. Εὐχὴ ἐπὶ θεμελίου οἴκου.
— Εὐχὴ ἐπὶ φυτευομένης ἀμπέλου.
л. 26 об. Εὐχὴ εἰς οἶνον νέον.
л. 27. Εὐχὴ ἐπὶ τελευτήσαντα ἱερέα.
л. 27 об. Εὐχὴ εἰς διάκονον κοιμηθέντα.
л. 28. Εὐχὴ ἐπὶ ἐξομολογουμένων.
л. 28 об. Εὐχὴ ἐπὶ τρύγης ἀμπέλου.
л. 29. Εὐχὴ ἐπὶ πάσης ὀπώρας.
л. 29 об. Наставленіе священнику о достойномъ приготовленіи себя къ совершенію литургіи.
л. 31. Ἡ θεία λειτουργία τῶν προηγιασμένων.
л. 41 об. Ἀκολουθία εἰς τὴν λοχείαν τῆς γυναικός.

Обычное начало и тропарь дня. Κύριε Σαβαώθ, ὁ Θεὸς τοῦ Ἰσραήλ, ὁ ἰώμενος πᾶσαν νόσον. А. Дмитріевскій. Прилож. стр. 1. Εὐχὴ ἑτέρα· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τῷ Ἀδὰμ καὶ τῇ Εὔᾳ συγχωρήσας τῇ παραβάσει αὐτῶν. См. выше стр. 491, 583, 600.

л. 42 об. Εὐχὴ μετὰ η′ ἡμέρας τῆς μαίας.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ παραγενόμενος ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων, ἔπιδε ἐπὶ τὴν δούλην σου ταύτην. См. выше стр. 486—487, 53.

л. 43. Εὐχὴ εἰς τὸ κατασφραγῖσαι παιδίον.

Τῇ η′ ἡμέρᾳ εἰσέρχεται ὁ ἱερεὺς μετὰ ἐπιτραχηλίου καὶ ποιεῖ εὐλογητόν, Τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν, ἀπολυτίκιον τῆς ἡμέρας, εἶτα σφραγίζει αὐτὸ εἰς τὸ μέτωπον, εἰς τὴν καρδίαν, καὶ ἐμφυσᾷ αὐτό, λέγων· Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, σοῦ δεόμεθα καὶ σὲ ἱκετεύομεν, σημειωθήτω τὸ φῶς τοῦ προσώπου. Прилож. стр. 19. Сп. Εὐχολογ. Goar. p. 264. Αὕτη ἡ εὐχὴ λέγεται καὶ τῇ λεχούσῃ μετὰ τὸ μ′. Λέγεται καὶ ἡ εὐχή· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ πᾶσαν φύσιν λογικὴν καὶ νοερὰν δημιουργήσας τῷ λόγῳ σου. Goar. p. 267.

л. 44. Τάξις μετὰ τὸ τεσσαρακοστὸν εἰς τὸ ἐκκλησιάσαι παιδίον.

οἱ ἅγιοι ἄγγελοι καὶ ἀρχάγγελοι προσευχῇ προσεύχονται, ἡ θάλλασα καὶ πᾶσα ἡ κτίσις φαιδρύνεται· ὅτι γὰρ ἐπλάσθη ὁ ἄνθρωπος καὶ ἡ γονὴ ᾠκοδομήθη καὶ ἕνωσις τῶν ἀμφοτέρων γέγονε τότε, αἱ συζυγίαι ἐκηρύττοντο, ὅτε γάμου μυστήριον ἐτελεῖτο. Κύριε ὁ Θεὸς ἡμῶν, Σὺ ἐποίησας ἄρσεν καὶ θῆλυ, Σὺ ἔπλασας ἄνδρα καὶ γυναῖκα, Σὺ παραγένου ἐνθάδε καὶ εὐλόγησον τοὺς δούλους σου τούτους. Εὐλογηθῇς, ἄνερ, ὡς Ἀβραάμ, μεγαλυνθῇς ὡς Ἰσαάκ, πληθυνθῇς ὡς Ἰακώβ, σοφισθῇς ὡς ὁ Σολομών, λάβῃς χάριν καὶ πρόγνωσιν ὡς ὁ Ἰωσήφ. Καὶ σύ, νύμφη, κατὰ τὸ εἰρημένον, εὐλογηθῇς ὡς ἡ Σάῤῥα, μεγαλυνθῇς ὡς ἡ Ῥεβέκκα, πληθυνθῇς ὡς ἡ Ῥαχήλ, λάβῃς χάριν καὶ πρόγνωσιν ὡς ἡ Ἀσυνέθ, ἵνα πολλῶν τρόπων εὐαρεστήσετε τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ... Καὶ λαβὼν αὖθις τὰ στέφανα, λέγει εἰς τὸν νεόνυμφον· Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, δόξῃ καὶ τιμῇ στεφάνωσον τὸν δοῦλόν σου ὁ δεῖνα. Κύριε ὁ Θεὸς ἡμῶν, δόξῃ καὶ τιμῇ στεφάνοσον τὴν δούλην σου ἡ δεῖνα. Καὶ τὸ Κύριε, ἐν τῇ δυνάμει σου... ἕως τέλους, καὶ τὴν εὐχήν. Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν τῇ σωτηριώδει σου οἰκονομίᾳ καταξιώσας... Goar. p. 318. Προκείμενον τοῦ ἀποστόλου· Ἔθηκας ἐπὶ τὴν κεφαλήν. Στίχος· Ὅτι ἔδωκας αὐτοῖς. Πρὸς Ἐφεσίους· Ἀδελφοί, χαίρετε πάντοτε, πάλιν ἐρῶ χαίρετε, τὸ ἐπιεικὲς ἡμῶν γνωσθήτω πᾶσιν ἀνθρώποις... Τέλος· Ἀλλὰ ἐκτρέφετε αὐτὰ ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου... Евангелие, что пыпѣ. Goar. pag. 318. Καὶ καταξίωσον ἡμᾶς... Πάτερ ἡμῶν... Ὅτι σοῦ ἐστι. Εἰρήνη πᾶσι... Τὰς κεφαλάς. Ὁ Θεὸς ὁ φιλάνθρωπος, ὁ τῇ σῇ οἰκονομίᾳ διοικῶν τὰ πάντα, σὺ οὐρανόθεν ἐξαπόστειλον τὸ Πνεῦμά σου τὸ ἅγιον ἐπὶ τὴν συζυγίαν ταύτην καὶ ἁγίασον αὐτούς, καὶ εὐλόγησον αὐτὴν καὶ τὸ ποτήριον τοῦτο τῇ τούτων μεταλήψει, καὶ ἀντιλαβοῦ αὐτοῖς ἐν ταῖς τρίβαις σου, χάρισαι αὐτοῖς, ὁ τῶν δυνάμεων Κύριος, βίον εὐσχήμονα, πολιτείαν σεμνήν, καὶ δώρησαι αὐτοῖς ἐν καιρῷ εὐθέτῳ τεκνογονίαν ἀγαθήν, καὶ ζωὴν αἰώνιον, τῇ πρεσβείᾳ τῆς ὑπερευλογημένης Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας καὶ πάντων σου τῶν ἁγίων. Ἀμήν. Πρόσχωμεν. Καὶ ποτίζει αὐτοὺς κοινοῦ ποτηρίου ἐκ τρίτου, καὶ ψάλλουσι· Ποτήριον σωτηρίου. Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ποιήσας τὸν ἄνθρωπον τῇ ἰδίᾳ σου μορφῇ, καὶ πάλιν ἐκ τῆς πλευρᾶς αὐτοῦ ἀνοικοδομήσας γυναῖκα, καὶ εὐλογήσας αὐτούς, εἰπών· αὐξάνεσθε καὶ πληθύνεσθε, καὶ πληρώσατε τὴν γῆν καὶ κατακυριεύσατε αὐτῆς, καὶ ἀμφοτέρους ἓν μέλος ἀναδείξας, καὶ πατέρα πλήθους ἐθνῶν ἀναριθμήτου λαοῦ ποιήσας, ὁ τὸν Ἰσαὰκ καὶ τὴν Ῥεβέκκαν χαρισάμενος, ὁ τὸν Ἰακὼβ καὶ τὴν Ῥαχὴλ συζεύξας, ὁ τὸν Ἰωσήφ

καὶ τὴν Ἀσυνὲθ συναρμώσας, καὶ τὴν τῶν ἀστέρων μορφὴν φαιδρύνας, ὁ τὸν ἀκτινόμορφον ἥλιον περιβαλὼν τὸ φῶς, καὶ αὐτὸν ὡς νυμφίῳ ἐν σώματι ἐκπέμψας, ὁ τὴν ζωοτρόφον γῆν κατακοσμήσας, καὶ διὰ τῆς δρόσου τὰ ἄνθη θάλψας, ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε, ἀρχηγὸς καὶ δοτὴρ τῶν ἁπάντων, σὺ εἶ ὁ κτίσας ἄρσεν καὶ θῆλυ, σὺ ἔπλασας ἄνδρα τε καὶ γυναῖκα ὑπὲρ τὴν λαμπρότητα τοῦ ἡλίου, καὶ εἰπών· ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται τῇ γυναικί, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν, καὶ οὓς ὁ Θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω· ἐποίησας γὰρ αὐτοὺς ἡγεμόνας ἐν τῇ ἀνατολῇ, καὶ κατακυρεύουσιν ἕως περάτων τῆς οἰκουμένης, δόξῃ καὶ τιμῇ στεφάνωσον αὐτοὺς καὶ κατάστησον αὐτοὺς ἐπὶ τὰ ἔργα τῶν χειρῶν σου πάντοτε, νῦν, καὶ ἀεί... Εἶτα γυρίζουσιν αὐτοὺς κύκλῳ γ', ψάλλων τὸ Ἅγιοι μάρτυρες... Δόξα σοι, ὁ Θεός... Εἶτα· Τοῦ Κυρίου δεηθῶμεν. Ὁ Πατήρ, ὁ Υἱὸς καὶ τὸ ἅγιον Πνεῦμα... Goar. p. 320. Εἶτα εἰσέρχονται οἱ γονεῖς κατὰ τὴν τάξιν καὶ ἀσπάζονται, καὶ εὔχεται αὐτοὺς ὁ ἱερεὺς τὴν εὐχήν· Τοῦ Κυρίου δεηθῶμεν. Νυμφῶνα καταντήσαντες... Goar. pag. 325. Ἐλέησον ἡμᾶς... Ἔτι δεόμεθα ὑπὲρ ἐλέους... Ὅτι ἐλεήμων... Καὶ ἀπόλυσις· Ὁ διὰ τῆς ἐν Κανᾷ ἐπιδημίας... τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων, τοῦ ἁγίου μεγαλομάρτυρος Προκοπίου καὶ πάντων τῶν ἁγίων ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος. Conf. Goar p. 320. Φυλάττει ὁ Θεὸς τοὺς νεονύμφους σὺν τῷ παρανύμφῳ αὐτῶν εἰς πολλὰ ἔτη.

л. 84 об. Ἀκολουθία εἰς ῥασοφόρους. Goar. p. 378—379.

л. 85. Ἀκολουθία τοῦ κουρευθῆναι μοναχόν.

Чинъ начинается прямо вопросами къ постригаемому ἔμπροσθεν τῶν ἁγίων θυρῶν· Τί προσῆλθες, ἀδελφέ; Goar p. 383. На первые вопросы постригаемый отвѣчаетъ: Ναί, τίμιε πάτερ, но съ вопроса: Φυλάττεις σεαυτὸν ἐν παρθενίᾳ съ прибавкою: τοῦ Θεοῦ βοηθοῦντος. Καὶ στραφεὶς ὁ ἱερεὺς κατὰ ἀνατολάς, λέγει τὴν εὐχήν· Ὁ πανοικτίρμων Θεός. Goar p. 384. Καὶ σφραγίζει τρίτον ἐπάνω τῆς κεφαλῆς, καὶ κλίνει τὴν κεφαλὴν μικρόν, λέγει τὴν εὐχὴν ταύτην· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἀξίους σου εἶναι νομοθετήσας... Goar. pag. 385. Κύριε ὁ Θεὸς ἡμῶν, ἡ ἐλπὶς καὶ καταφυγή... Ibidem. Καὶ λαβὼν ὁ ἱερεὺς τὸ ψαλίδιον καὶ θέτει αὐτὸ ἐν μέσῳ τοῦ βιβλίου καὶ λέγει πρὸς τὸν κατηχούμενον οὕτω· Ἰδοὺ Χριστὸς ἀοράτως... Goar p. 385. Одежды, въ которыя облачается новопостригаемый, тѣ-же, которыя указаны у Гоара p. 386, но слѣдуютъ онѣ въ такомъ порядкѣ: χιτών, παλλίον, ζώνη, σανδάλια, καμηλαύχιον. Послѣ облаченія молитва:

Κύριε, Κύριε, ἡ δύναμις τῆς σωτηρίας ἡμῶν, ὁ εὐλογήσας ἡμᾶς ἐν πάσῃ εὐλογίᾳ... εἰς τὸ ἐπιλαβέσθαι τῆς αἰωνίου σου ζωῆς, ἵνα ἀξίως πολιτεύηται κατὰ τὰς ἐντολὰς τοῦ μόνογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ. Conf. Goar p. 393. Καὶ οὕτως ἀσπάζεται αὐτὸν ὁ ἱερεύς, εἶτα ἐπαίρει τὸ ἅγιον εὐαγγέλιον καὶ ἵσταται ἐν ᾧ τόπῳ εἰς τὴν δόσιν τοῦ ἀντιδώρου, ἀσπάζονται αὐτὸν οἱ ἀδελφοί, πρῶτον τὸ ἅγιον εὐαγγέλιον, ἔπ(ειτα) τὸν νεόκουρον. Μετὰ δὲ τὸν ἀσπασμὸν γίνεται ἐκτενὴ καὶ ἀπόλυσις.

л. 91. Ἀκολουθία τοῦ μεγάλου καὶ ἀγγελικοῦ σχήματος.

Πρὸ τῆς λειτουργίας εἰσέρχεται εἰς τὴν ἐκκλησίαν, πρὸ τῶν ἁγίων θυρῶν ἵσταται ὁ μέλλων κουρευθῆναι, καὶ ποιεῖ ὁ ἱερεὺς Εὐλογητόν, Δόξα σοι, Τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν, Ἐλέησον ἡμᾶς, Κύριε.. κ. τ. λ. Εἶθ' οὕτως Δεῦτε προσκυνήσωμεν, Ἐλέησόν με, ὁ Θεός и т. д., какъ въ чинѣ малой схимы. Καὶ στραφεὶς (по прочтеніи молитвъ) ὁ ἱερεύς, κρατήσας τῆς δεξιᾶς αὐτοῦ χειρὸς καὶ ποιήσαντος μετανοίας γ', καὶ ἀναστάντος καὶ ἀσπασαμένου τοῦ ἁγίου εὐαγγελίου, ἀποδεικνύων αὐτῷ τὸ ἅγιον εὐαγγέλιον, λέγει πρὸς αὐτόν· Ἰδοὺ ὁ Χριστός... Εὐλογητὸς ὁ Θεός, ὁ θέλων πάντας ἀνθρώπους σωθῆναι... Послѣ постриженія καὶ εὐθὺς παραλαμβάνουσιν αὐτὸν οἱ ἀδελφοὶ εἰς τὸ διακονικὸν ἢ εἰς τὸν νάρθηκα, ψάλλοντες τὸν ἄμωμον, τοῦ δὲ ἱερέως τὴν τοῦ Τρισαγίου εὐχὴν ἐξερχομένου, ὁ διάκονος λέγει· Ἐν εἰρήνῃ... апостолъ и евангеліе. Goar. pag. 412—413. Τοῦ δὲ εὐαγγελίου ἀρχομένου ἀναγινώσκεσθαι, φέρουσιν οἱ ἀδελφοὶ τὸν ἀποκουρεύοντα ἀδελφὸν καὶ ἱστᾶσιν αὐτὸν πρὸ τῆς βασιλικῆς πύλης, κατέχοντα κηρὸν ἅπτοντα καὶ φοροῦντα κολόβιον, ἄζωστον δὲ ὄντα καὶ ἀπόσκεπον καὶ ἀνυπόδετον, ἅπτουσι δὲ καὶ οἱ παρόντες κηρούς, ἕως οὗ ὁ ἀσπασμὸς γένηται. Μετὰ τὴν συμπλήρωσιν τοῦ εὐαγγελίου, ψάλλονται τὰ τροπάρια ταῦτα· Ἀντίφωνον α', ἦχος δ'· Ἤνοικται ἡ θύρα τῆς μετανοίας, δράμωμεν προθύμως... Στίχος· Προσέχετε, λαός μου... Ὁ ζυγός μου Χριστός ἐστι καὶ τὸ φορτίον μου ἐλαφρόν... Δόξα καὶ νῦν. Ἡ λαμπὰς ἡ ἄσβεστος, ὁ θρόνος τῆς δικαιοσύνης... Πληρωθέντος δὲ τοῦ πρώτου ἀντιφώνου καὶ ἀρχομένου τοῦ δευτέρου, ἔρχεται εἰς τὸ μέσον τοῦ ναοῦ. Ἀντίφωνον β', ἦχος γ'. Εὐαγγελικῆς φωνῆς σπουδαίως πρόσταγμα πεπλήρωκας, καταλιπὼν πᾶσαν συγγένειαν... Στίχος· Ἰδοὺ δὴ τί καλόν... Ἐγγὺς Κύριος τοῖς ὑπομένουσιν αὐτόν, ψυχὴ ζητοῦσα... Δόξα καὶ νῦν. Ἁγιόπρωτε, σεμνή, ἐγκώμιον οὖσα τῶν οὐρανίων ταγμάτων... Ἐν δὲ τῷ ἄρξασθαι τοῦ τρίτου ἀντιφώνου, ἔρχεται πλησίον τῶν ἁγίων θυρῶν. Ἀντίφωνον γ', Ἀκολουθήσωμεν, ἀδελφοί, ἀγαθῷ Δεσπότῃ, φύγωμεν τὰς

κοσμικάς ἐπιθυμίας,.. Στίχος· Ἐξαπόστειλον τὴν χεῖρα. Ὁ βασιλεὺς τῶν οὐρανῶν τὰς χεῖρας ὑφαπλώσας, κρούουσιν ἀνοίγει τὸν νυμφῶνα... Δόξα καὶ νῦν, Χαίροις παρ ἡμῶν, ἁγία Θεοτόκε παρθένε... Ἐνδύει αὐτὸν ὁ ἀνάδοχος εἰς τὸ ἱμάτιον, ὁ ἱερεὺς λέγει· Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα ἐνδύεται... Goar. pag. 411. Εἶθ' οὕτως καὶ (т. е. послѣ облаченія) εὐχή· Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ πιστὸς ἐν ταῖς ἐπαγγελίαις σου... Goar. pag. 411. Εἰρήνη πᾶσιν. Τὰς κεφαλὰς ἡμῶν... Κύριε ὁ Θεὸς ἡμῶν, εἰσάγαγε τὸν δοῦλον σου... Goar p. 412. Τούτων οὖν οὕτως τελεσθέντων, ἐπαίρει ὁ διάκονος τὸ ἱερὸν εὐαγγέλιον, ἵσταται ἔξωθεν τοῦ θυσιαστηρίου, καὶ προσκυνεῖ πρῶτον ὁ λαβὼν τὸ σχῆμα, καὶ εὐθέως ἵσταται πλησίον τῶν ἁγίων εἰκόνων, κρατοῦντος καὶ τὸ εὐαγγέλιον καὶ διδομένου τοῦ ἀντιδώρου, ἀσπάζονται οἱ ἀδελφοὶ πρῶτον τὸ εὐαγγέλιον ἔπειτα τὸν ἀδελφόν. Μετὰ τὴν ἑβδόμην ἡμέραν, ποιεῖ ὁ ἱερεὺς Εὐλογητόν, Τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν καὶ τὰ τροπάρια· Ἐλέησον ἡμᾶς, Κύριε κ. τ. λ. καὶ τὰς εὐχὰς ταύτας· Πολυέλεε, ὁ δωρησάμενος τῷ δούλῳ σου... Goar pag. 419. Τὸν τῇ πυρίνῃ κεφαλῇ... Ibidem.

л. 103. Ἡ θεία λειτουργία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου.

л. 117. Εὐχὴ τοῦ ἁγίου μεγαλομάρτυρος Τρύφωνος, λεγομένη εἰς κήπους καὶ ἀμπελῶνας καὶ εἰς χωράφια, λεγομένη μετὰ τοῦ ἁγιασμοῦ. Goar p. 554.

л.л. 121—122 чистые.

л. 123. Ἡ θεία λειτουργία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου τοῦ Μεγάλου.

Достойна замѣчанія слѣдующая особенность: Εἶτα (т. е. послѣ молитвы: Ἡμᾶς δὲ πάντας τοὺς ἐκ τοῦ ἑνὸς ἄρτου...) λαβὼν τὸ θυμιατόν, καὶ θυμιᾷ, λέγων· Χαῖρε, χαῖρε, χαῖρε, κεχαριτωμένη, καὶ τὰ ἑξῆς, ἐκ τρίτου, εἶτα ἐκφωνεῖ· Ἐξαιρέτως τῆς παναγίας...

л. 143 об. Порядокъ вечерни въ среду первой недѣли великаго поста.

л. 147. Ἡ θεία λειτουργία τῶν προηγιασμένων. Goar. pag. 163—168.

л.л. 158—162 совершенно чистые.

л 163. Апостолы и евангелія на различные дни года.

л. 183. Εὐχὴ ἐπὶ μετανοούντων.

Ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, ὁ διὰ τοῦ προφήτου σου Νάθαν μετανοήσαντι τῷ Δαβίδ. Goar. p. 536.

л. 184 чистый.

л. 185. Ἀρχὴ τοῦ ἐξοδιαστικοῦ.

Начинается чинъ 17 каѳизмою, за которою сейчасъ-же слѣдуютъ стихиры съ припѣвами: „Благословенъ еси, Господи" Goar. pag. 425. Дальнѣйшій порядокъ до конца изложенъ также, какъ у Гоара въ чинѣ монашескаго погребенія pag. 439--447, но съ небольшею разницею, а именно послѣ блаженствъ прямо слѣдуютъ стихиры: Ἀθάνατε, οἰκτίρμον, τῶν νεκρῶν καὶ τῶν ζώντων ὁ Κύριος... Δόξα, Ἰδοὺ καιρός, οἰκτίρμον, τῶν δακρύων μνησθῆναι τοῦ δούλου σου, καιρὸς τοῦ βλέψαι... Καὶ νῦν, Μεγαλύνομέν σε, Θεοτόκε παρθένε, καὶ δοξάζομέν σε, οἱ πιστοί, κατὰ χρέος... Εἶτα μνημονεύει и затѣмъ поются стихиры на цѣлованіе умершаго, Goar. p. 445.

л. 208 чистый.

л. 209. Ἀρχὴ τοῦ εὐλογηταρίου εἰς τὰ νεκρώσιμα.

Краткое изложеніе чина погребенія мірянъ. Весь чинъ состоитъ главнымъ образомъ изъ стихиръ (Goar. p. 425—432), блаженствъ, апостола и евангелія (pag. 430) и стихиръ на цѣлованіе, среди которыхъ указаны для пѣнія и 8 пѣсенъ изъ канона св. Андрея Критскаго: „Помощникъ и покровитель".

л. 219. Εὐχὴ συγχωρητική, λεγομένη παρὰ ἀρχιερέως ἢ πνευματικοῦ πατρὸς πρὸς τὸν μέλλοντα ἐξομολογεῖσθαι.

— Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, Υἱὲ καὶ Λόγε τοῦ ζῶντος Θεοῦ, ποιμὴν... Goar p. 536.

CXVIII. № 425. Сборникъ литургій той-же библіотеки, рукопись въ 16 долю листа, 142 листа, писана четкою скорописью XVI вѣка. Рукопись имѣетъ въ себѣ изображенія святыхъ І. Златоуста, Василія Великаго и Григорія Богослова (ὁ ἅγιος Γρηγόριος ὁ Θεολόγος, л. 52) и множество виньетокъ и заглавныхъ буквъ, сдѣланныхъ красками, хотя и не имѣющія художественнаго значенія.

л. 1. Πίναξ σὺν Θεῷ ἁγίῳ, περιέχων τὰ κάτωθεν γεγραμμένα καὶ τὰ φύλλα κατὰ τάξιν, ὅπου νὰ εὕρῃ αὐτά τινὰς εὔκολα.

л. 4. Διάταξις τῆς θείας καὶ ἱερᾶς λειτουργίας παρὰ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, τῆς Νέας Ῥώμης, καὶ οἰκουμενικοῦ πατριάρχου, κυρίου Φιλοθέου.

Μέλλων δὲ ὁ ἱερεὺς τὴν θείαν ἐπιτελεῖν μυσταγωγίαν, ὀφείλει προηγουμένως μὲν κατηλλαγμένος εἶναι μετὰ πάντων, καὶ μὴ ἔχειν τι κατά τινος, καὶ τὴν καρδίαν, ὅση δύναμις, ἀπὸ πονηρῶν τηρῆσαι λογισμῶν, ἐγκρατεύσασθαι μικρὸν ἀφ' ἑσπέρας καὶ ἐγρηγορέναι μέχρι τοῦ τῆς ἱερουργίας καιροῦ. Τοῦ δὲ καιροῦ ἐπιστάντος, μετὰ τὸ ποιῆσαι τὴν συνήθη τῷ προεστῶτι μετάνοιαν, εἰσέρχεται ἐν τῷ ναῷ, καὶ ἑνωθεὶς τῷ διακόνῳ, ποιοῦσιν ὁμοῦ πρὸς ἀνατολὰς προσκυνήματα γ' καὶ λέγει ὁ διάκονος· Εὐλόγησον, δέσποτα. Ὁ δὲ ἱερεύς· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν... Δόξα σοι, ὁ Θεός, δόξα σοι. Βασιλεῦ οὐράνιε, Τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν, Ὅτι σοῦ ἐστιν, Ἐλέησον ἡμᾶς... Δόξα, Κύριε, ἐλέησον ἡμᾶς... Καὶ νῦν, Τῆς εὐσπλαγχνίας τὴν πύλην... Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν. Καὶ λέγει ὁ ἱερεὺς τὴν εὐχὴν ταύτην· Κύριε, ἐξαπόστειλον τὴν χεῖρά σου ἐξ ὕψους κατοικητηρίου σου... Goar. p. 48. Καὶ ἀπέρχονται καὶ ἀσπάζονται τὴν εἰκόνα τοῦ Χριστοῦ, λέγοντες· Τὴν ἄχραντον εἰκόνα σου προσκυνοῦμεν... Ἀσπάζονται τῆς Θεοτόκου, λέγοντες· Εὐσπλαγχνίας ὑπάρχουσα... καὶ τοῦ Προδρόμου, λέγοντες· Προφῆτα Θεοῦ καὶ Πρόδρομε... Καὶ εἰσέρχονται ἐντὸς τοῦ βήματος, λέγοντες· Εἰσελεύσομαι εἰς τὸν οἶκόν σου καὶ προσκυνήσω πρὸς ναόν... Ἐν ταῖς λαμπρότησι τῶν ἁγίων σου, πῶς εἰσελεύσομαι, ὁ ἀνάξιος. Καὶ λαμβάνουσιν ἐν ταῖς χερσὶν αὐτῶν ἕκαστος τὸ στιχάριον καὶ ποιοῦσι προσκυνήματα γ' πρὸς ἀνατολάς, λέγοντες καθ' ἑαυτὸν ἕκαστος τό Ὁ Θεός ἱλάσθητί μοι, τῷ ἁμαρτωλῷ. Καὶ ἐνδυόμενος ὁ ἱερεὺς τὴν ἱερατικὴν στολήν, λέγει ὁ διάκονος εἰς ἕκαστον τῶν ἱερῶν ἐνδυμάτων· Τοῦ Κυρίου δεηθῶμεν. Εἶτα λαβὼν ὁ διάκονος τὸ στιχάριον σὺν τῷ οὐραρίῳ ἐν τῇ δεξιᾷ χειρί, πρόσεισι τῷ ἱερεῖ, λέγει· Εὐλόγησον, δέσποτα, τὸ στιχάριον σὺν τῷ ὠραρίῳ. Καὶ ὁ ἱερεύς, σφραγίζων αὐτά, λέγει οὕτως· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν... Καὶ ἐπειπὼν ὁ διάκονος τὸ Ἀμήν, ἀσπάζεται τὴν χεῖρα αὐτοῦ, εἶτα ἀποχωρεῖ εἰς ἕνα μέρος τοῦ θυσιαστηρίου καὶ ἐνδύεται τὸ στιχάριον, λέγει τὸ Ἀγαλλιάσεται ἡ ψυχή μου. Καὶ τὸ οὐράριον ἀσπασάμενος, τίθησι τῷ ἀριστερῷ ὤμῳ. Τὰ δὲ ἐπιμανίκια περιτιθέμενος ταῖς χερσίν, εἰς μὲν τὸ δεξιὸν λέγων· Ἡ δεξιά σου, Κύριε... Εἰς δὲ τὸ ἀριστερόν· Αἱ χεῖρές σου ἐποίησάν με... Εἶτα ἀπελθὼν ἐν τῇ τραπέζῃ, εὐτρεπίζει τὰ ἱερά, τὸν μὲν ἅγιον δίσκον τιθεὶς ἐν τῷ μέρει τῷ ἀριστερῷ, τὸ δὲ ἅγιον ποτήριον ἐν τῷ δεξιῷ καὶ τὰ ἄλλα σὺν αὐτοῖς, λέγει καὶ αὐτά· Κύριε, ἠγάπησα εὐπρέπειαν οἴκου σου... καὶ τὸ Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς... Δόξα, Κύριε, ἐλέησον ἡμᾶς... Καὶ νῦν, Τῆς εὐσπλαγχνίας τὴν πύλην. Καὶ ὁ ἱερεὺς δὲ οὕτως ἐνδύεται, λαβὼν τὸ στιχάριον ἐν τῇ ἀριστερᾷ χειρί, καὶ προσκυνήσας γ' κατὰ ἀνατολάς, ὡς εἴρηται, σφρα-

γίζει αὐτό, λέγων· Ἀγαλλιάσεται ἡ ψυχή μου... Εἶτα λαβὼν τὸ ἐπιτραχήλιον καὶ σφραγίσας, περιτίθεται αὐτό, λέγει· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν... ὅτι ἐκεῖ ἐνετείλατο Κύριος τὴν εὐλογίαν ζωῆς ἕως τοῦ αἰῶνος, πάντοτε νῦν καὶ ἀεὶ καὶ... Εἶτα λαβὼν τὴν ζώνην, σφραγίζων καὶ ἀσπασάμενος, λέγει· Εὐλογητὸς ὁ Θεός, ὁ περιζωννύων με δύναμιν, καὶ ἔθετο ἄμωμον τὴν ὁδόν μου, καταρτιζόμενος τοὺς πόδας μου ὡσεὶ ἐλάφου, καὶ ἐπὶ τὰ ὑψηλὰ ἱστῶν με, πάντοτε, νῦν... Τὰ δὲ ἐπιμανίκια εἰς μὲν τὸ δεξιὸν λέγει· Δεξιὰ Κυρίου ἐποίησε δύναμιν, δεξιὰ Κυρίου ὕψωσέ με, ἡ δεξιά σου, Κύριε, δεδόξασται ἐν ἰσχύι.... πάντοτε, νῦν καὶ ἀεί... Ἐν δὲ τῷ ἀριστερῷ λέγει· Αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με, συνέτισόν με καὶ μαθήσομαι τὰς ἐντολάς σου πάντοτε, νῦν... Εἶτα λαβὼν τὸ φελώνιον καὶ σφραγίσας, ἀσπάζεται αὐτό, λέγει· Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται ἕνεκεν Δαβὶδ τοῦ δούλου σου πάντοτε... Ἔπειτα ἔρχεται εἰς τὸ χωνευτήριον καὶ νίπτει τὰς χεῖρας, λέγει· Νίψομαι ἐν ἀθώοις τὰς χεῖράς μου... καὶ διηγήσασθαι πάντα τὰ θαυμάσιά σου, πάντοτε, νῦν καὶ ἀεί... Καὶ λαβὼν τὴν προσφορὰν καὶ τὴν ἁγίαν λόγχην, καὶ ποιεῖ μετὰ τοῦ διακόνου προσκυνήματα γ', λέγοντες ἕκαστος τὸ Ὁ Θεὸς ἱλάσθητί μοι, τῷ ἁμαρτωλῷ, καὶ τὸ Ἐξηγόρασας ἡμᾶς ἐκ τῆς κατάρας... Καὶ λέγει κατὰ μίαν ἑκάστην ἀνατομήν· Τοῦ Κυρίου δεηθῶμεν. Καὶ λαμβάνει ὁ ἱερεὺς ἐν μὲν τῇ ἀριστερᾷ χειρὶ τὴν προσφοράν, ἐν δὲ τῇ δεξιᾷ τὴν ἁγίαν λόγχην, καὶ σφραγίζων μετ' αὐτῆς τρίτον ἐπάνω τῆς σφραγῖδος τῆς προσφορᾶς, λέγει· Εἰς ἀνάμνησιν τοῦ Κυρίου... γ'. Καὶ εὐθὺς πήγνυσι τὴν ἁγίαν λόγχην ἐν τῷ δεξιῷ μέρει τῆς σφραγῖδος, καὶ λέγει, ἀνατέμνων· Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθης, Χριστὲ βασιλεῦ. Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ἐλέησον. Ὅταν γὰρ οὐκ ἔνι διάκονος, ὁ ἱερεὺς λέγει καὶ τὸ Τοῦ Κυρίου δεηθῶμεν, καὶ τὸ Κύριε ἐλέησον. Καὶ πάλιν εἰς τὸ ἄλλον μέρος λέγει· Καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτόν... Ἐν τῷ ἄνω μέρει τῆς σφραγῖδος λέγει· Ἐν τῇ ταπεινώσει αὐτοῦ... Ἐν δὲ τῷ κάτω· Τὴν δὲ γενεὰν αὐτοῦ... Ὁ δὲ διάκονος, ἐνορῶν εὐλαβῶς τῇ τοιαύτῃ τελετῇ· Ἔπαρον, δέσποτα. Καὶ ὁ ἱερεύς, ἐμβαλὼν τὴν ἁγίαν λόγχην ἐκ πλαγίου τοῦ δεξιοῦ μέρους τῆς προσφορᾶς, ἐπαίρει τὸν ἅγιον ἄρτον, λέγει οὕτως· Ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ. Καὶ ἐπαίρων αὐτὸν καὶ θέτων αὐτὸν εἰς τὸν ἅγιον δίσκον, λέγει· Ἐπάρατε τὰς χεῖρας ὑμῶν εἰς τὰ ἅγια καὶ εὐλογεῖτε τὸν Κύριον. Εὐλόγησέ σε Κύριος ἐκ Σιών, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν. Καὶ τιθεὶς αὐτὸν ὕπτιον ἐν τῷ ἁγίῳ δίσκῳ, εἰπόντος τοῦ διακόνου· Θῦσον, δέσποτα. Καὶ ὁ ἱερεὺς θύει αὐτὸν σταυροειδῶς, οὕτως λέγει· Θύεται ὁ ἀμνὸς τοῦ Θεοῦ... Καὶ

στρέφει τὸ ἕτερον ἐπάνω, τὸ ἔχον τὸν σταυρόν, εἰ μήπως ἔνι ζέων καὶ ἀτμίζων· τότε γὰρ ὕπτιος κείσθω, ἵνα μὴ ποιήσῃ κάτωθεν ὑγρότητα. Καὶ ὁ διάκονος· Νῦξον, δέσποτα. Καὶ νύττων αὐτὸν ἐν τῷ δεξιῷ μέρει μετὰ τῆς λόγχης, ὅσον φαίνεται, ὅτι ἔχει τομήν, καὶ λέγει· Εἷς τῶν στρατιωτῶν λόγχῃ τὴν πλευρὰν αὐτοῦ ἔνυξε καὶ εὐθέως ἐξῆλθεν ἐκ τῆς πλευρᾶς αὐτοῦ αἷμα καὶ ὕδωρ, καὶ ὁ ἑωρακὼς μεμαρτύρηκε καὶ ἀληθινή ἐστιν αὐτοῦ ἡ μαρτυρία, πάντοτε, νῦν καὶ ἀεί. Ὁ διάκονος ἐκχέει ἐν τῷ ἁγίῳ ποτηρίῳ ἐκ τοῦ νάματος ὁμοῦ καὶ ὕδατος, εἰπὼν πρότερον πρὸς τὸν ἱερέα· Εὐλόγησον, δέσποτα, τὴν ἁγίαν ἕνωσιν. Ὁ ἱερεὺς λέγει· Εὐλογημένη ἡ ἕνωσις τῶν ἁγίων σου, Κύριε, πάντοτε, νῦν καὶ ἀεί. Ὁ δὲ ἱερεὺς λαβὼν ἐν ταῖς χερσὶ τὴν δευτέραν προσφοράν, λέγει· Εἰς τιμὴν καὶ μνήμην τῆς ὑπερευλογημένης Δεσποίνης... εἰς τὸ ὑπερουράνιόν σου θυσιαστήριον, ἀντικατάπεμψον ἡμῖν τὴν χάριν τοῦ παναγίου σου Πνεύματος πάντοτε, νῦν καὶ ἀεί. Καὶ αἴρων μερίδα μ ε γ ά λ η ν, τίθησιν ἐκ δεξιῶν τοῦ ἁγίου ἄρτου, λέγει· Παρέστη ἡ βασίλισσα, ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη, πεποικιλμένη. Ἐν δὲ τῇ τ ρ ί τ ῃ π ρ ο σ φ ο ρ ᾷ λέγει· Δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ, προστασίαις τῶν παμμεγίστων ταξιαρχῶν Μιχαὴλ καὶ Γαβριήλ, καὶ πασῶν τῶν ἐπουρανίων δυνάμεων ἀσωμάτων, καὶ οὕτως ἐν τῷ ἀριστερῷ μερίδα βαλών. Καὶ λαμβάνει ἑ τ έ ρ α ν π ρ ο σ φ ο ρ ά ν, λέγει· Τοῦ τιμίου ἐνδόξου προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου. Τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων τῶν δώδεκα καὶ ἑβδομήκοντα. Μ ε ρ ί δ α. Τοῦ ἁγίου πρωτομάρτυρος καὶ ἀρχιδιακόνου Στεφάνου. Μ ε ρ ί δ α. Τῶν ἁγίων μεγάλων μαρτύρων Δημητρίου, Γεωργίου, Θεοδώρου, Ἀρτεμίου καὶ πάντων τῶν ἁγίων μαρτύρων. Μ ε ρ ί δ α. Τῶν ἐν ἁγίοις πατέρων ἡμῶν καὶ οἰκουμενικῶν διδασκάλων Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου, Ἀθανασίου καὶ Κυρίλλου, Νικολάου τοῦ ἐν Μύροις καὶ πάντων τῶν ἁγίων ἱεραρχῶν. Μ ε ρ ί δ α. Τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν Ἀντωνίου, Εὐθυμίου, Σάββα, Ὀνουφρίου, Ἀθανασίου τοῦ ἐν τῷ Ἄθῳ καὶ πάντων τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν. Μ ε ρ ί δ α. Τῶν ἁγίων θαυματουργῶν ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ, Κύρου καὶ Ἰωάννου, Παντελεήμονος καὶ Ἑρμολάου, Σαμψὼν καὶ πάντων τῶν ἁγίων ἀναργύρων. Μ ε ρ ί δ α. Τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, τοῦ ἁγίου τοῦ δεῖνος, τοῦ κατὰ τὴν ἡμέραν λαχόντος, καὶ πάντων σου τῶν ἁγίων, ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς ὁ Θεός. Εἶτα λαβὼν ἑ τ έ ρ α ν π ρ ο σ φ ο ρ ά ν, λέγει τὸν ἐπίσκοπον καὶ τοὺς ζῶντας, οὓς βούλεται, χώρια πᾶσα ἕνα κατ' ὄνομα. Εἶτα· Ὑπὲρ πάσης ψυχῆς ἐπισκοπῆς ὀρθοδόξων, τοῦ ἐπισκόπου ἡμῶν

τοῦδε, τοῦ τιμίου πρεσβυτερίου τῆς ἐν Χριστῷ διακονίας, καὶ παντὸς ἱερατικοῦ τάγματος· τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων βασιλέων ἡμῶν. Ὑπὲρ τοῦ πατρὸς ἡμῶν τοῦ δεῖνος καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος, τῶν ἀδελφῶν καὶ συλλειτουργῶν ἡμῶν, πρεσβυτέρων, διακόνων καὶ πάντων τῶν ἀδελφῶν ἡμῶν, οὓς προσεκαλέσω εἰς τὴν σὴν κοινωνίαν διὰ τῆς σῆς εὐσπλαγχνίας, πανάγαθε Δέσποτα. Εἶτα λέγει καὶ οὓς θέλει κατ' ὄνομα ζῶντας. Ὑπὲρ μνήμης καὶ ἀφέσεως ἁμαρτιῶν τῶν μακαριωτάτων κτητόρων τῆς ἁγίας μονῆς ταύτης. Εἶτα μνημονεύει τοῦ χειροτονήσαντος αὐτοῦ ἀρχιερέως καὶ ἑτέρων, ὧν θέλει, ζώντων καὶ τεθνεώτων κατ' ὄνομα, καὶ τελευταῖον λέγει· Καὶ πάντων τῶν ἐπ' ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου καὶ τῇ σῇ κοινωνίᾳ κεκοιμημένων ὀρθοδόξων πατέρων καὶ ἀδελφῶν ἡμῶν, φιλάνθρωπε Κύριε. Καὶ λέγει τὴν εὐχὴν τῆς λιτῆς μέχρι τέλους, τὸ Ὑπὲρ πάσης ψυχῆς χριστιανῶν θλιβομένων τε καὶ καταπονουμένων, μνήσθητι, Κύριε, καὶ τῆς ἐμῆς ἀναξιότητος καὶ συγχώρησόν μοι πᾶν πλημμέλημα ἑκούσιον καὶ ἀκούσιον καὶ πρόσδεξαι τὴν θυσίαν ταύτην εἰς τὸ ὑπερουράνιόν σου θυσιαστήριον, ἀντικατάπεμψον ἡμῖν τὴν χάριν τοῦ Παναγίου Πνεύματος πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας. Καὶ λαμβάνει θυμίαμα καὶ θέτει εἰς τὸ θυμιατὸν καὶ λέγει τὴν εὐχήν. Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν. Ὁ ἱερεύς· Θυμίαμά σοι προσφέρομεν, Χριστὲ ὁ Θεός... Goar p. 50. Καὶ λαβὼν τὸν ἀστερίσκον, θυμιᾷ αὐτὸν καὶ θέτων αὐτὸν ἐπάνω τοῦ ἁγίου ἄρτου, λέγει· Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ἐλέησον. Οὕτως γὰρ λέγει εἰς ὅλας τὰς ἀρχὰς τῶν ἐνδυμάτων τῆς προσκομιδῆς καὶ τῶν εὐχῶν καὶ ὅλης σχεδὸν τῆς λειτουργίας. Τοῦ Κυρίου δεηθῶμεν. Τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν καὶ τῷ Πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν. Καὶ ἰδοὺ ὁ ἀστὴρ ἐλθὼν ἔστη ἐπάνω, οὗ ἦν τὸ παιδίον. Καὶ λαμβάνει τὸ πρῶτον κάλυμμα, θυμιᾷ καὶ θέτει αὐτὸ ἐπάνω τοῦ ἁγίου δίσκου, σκεπάζων αὐτόν, καὶ λέγει τὸ Ὁ Κύριος ἐβασίλευσεν... ἕως τέλους. Ὁμοίως καὶ ἕτερον κάλυμμα, θυμιάσας, σκεπάζει τὸ ἅγιον ποτήριον καὶ λέγει· Ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετὴ αὐτοῦ καὶ τῆς αἰνέσεως αὐτοῦ πλήρης ἡ γῆ. Καὶ θυμιάσας τὸν ἀέρα, καὶ θέτει εἰς τὰ ἅγια πάντων ἐπάνω καὶ λέγει· Σκέπασον αὐτὰ καὶ ἡμᾶς ἐν τῇ σκέπῃ τῶν πτερύγων σου, ἀποδίωξον ἀφ' ἡμῶν πάντα ἐχθρὸν κ. τ. λ. ὡς ἀγαθὸς καὶ φιλάνθρωπος. Καὶ οὕτως, κύψας τὴν κεφαλὴν αὐτοῦ, λέγει· Ἐπὶ τῇ προθέσει τῶν τιμίων δώρων τοῦ Κυρίου δεηθῶμεν. Κύριε ἐλέησον. Καὶ λέγει τὴν εὐχὴν τῆς προθέσεως· Ὁ Θεὸς ὁ Θεὸς ἡμῶν, ὁ τὸν οὐράνιον ἄρτον... Εἶτα τὸ Ἄξιόν ἐστιν ὡς ἀληθῶς. Δόξα καὶ νῦν, Κύριε ἐλέησον γ', εὐλόγησον, καὶ ποιεῖ ἀπόλυσιν, λέγων· Χριστὸς ἀληθινὸς ὁ Θεὸς ἡμῶν ταῖς πρεσβείαις τῆς παναχράντου Δεσποίνης,

αὐτοῦ Μητρός, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων, τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου, καὶ πάντων τῶν ἁγίων ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς ὡς ἀγαθὸς καὶ φιλάνθρωπος. Καὶ θυμιάσας ἐπάνω τῶν ἁγίων δώρων ἐκ τρίτου, λέγει· Ἐν τάφῳ σωματικῶς... Δόξα, Ὡς ζωηφόρος... Καὶ νῦν, τὸ Τοῦ ὑψίστου ἡγιασμένον... Εἶτα λέγει τὸν ν′ καὶ θυμιᾷ τὸ θυσιαστήριον καὶ ὅλην τὴν ἐκκλησίαν, καὶ στραφεὶς καὶ τὸ θυμιατὸν θέσας, προσκυνεῖ κατέναντι τοῦ θυσιαστηρίου καὶ λέγει· Δόξα ἐν ὑψίστοις Θεῷ... ἐκ γ′. Κύριε, τὰ χείλη μου ἀνοίξεις καὶ τὸ στόμα... Κύριε, τί ἐπληθύνθησαν οἱ θλίβοντές με... Βασιλεῦ οὐράνιε... Δόξα καὶ νῦν, Ἐν τῷ ναῷ ἑστῶτες τῆς... Καὶ ἀσπάζεται τὸ ἅγιον εὐαγγέλιον καὶ τὸ ἅγιον ἀντιμήνσιον καὶ τὴν ἁγίαν τράπεζαν, καὶ αὖθις ἄρχεται ὁ διάκονος· Εὐλόγησον, δέσποτα. Ὁ δὲ ἱερεὺς λέγει· Εὐλογημένη ἡ βασιλεία...

л. 10. Εὐχὴ τῆς προθέσεως. Goar p. 51.

л. 12. Ἡ θεία λειτουργία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου.

Чинъ литургіи съ весьма развитымъ ритуаломъ. Моментъ пѣнія херувимской пѣсни описывается такъ: Πληρωθείσης δὲ τῆς εὐχῆς, λέγουσι καὶ αὐτοὶ τὸν χερουβικὸν ὕμνον, εἶτα λαβὼν ὁ διάκονος τὸ θυμιατὸν καὶ θυμίαμα βαλών, πρόσεισι τῷ ἱερεῖ, καὶ λαβὼν εὐλογίαν παρ᾽ αὐτοῦ, θυμιᾷ τὴν ἁγίαν τράπεζαν γύρωθεν καὶ τὸ ἱερατεῖον ὅλον καὶ τὸν ἱερέα, λέγει δὲ καὶ Τοῦ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς ἕως· τὸ πρόσωπον τοῦ Θεοῦ Ἰακώβ. Εἶτα τὸν πεντηκοστὸν καὶ τὰ τροπάρια κατανυκτικά, ὅσα καὶ βούλεται, ὁμοῦ μετὰ τοῦ ἱερέως, καὶ ἀπέρχονται ἐν τῇ προθέσει, προπορευομένου τοῦ ἱερέως καὶ τοῦ διακόνου, καὶ θυμιάσας τὰ ἅγια, καθ᾽ ἑαυτὸν εὐχόμενος τὸ Ὁ Θεὸς ἱλάσθητί μοι, τῷ ἁμαρτωλῷ, λέγει πρὸς τὸν ἱερέα· Ἔπαρον, δέσποτα. Ὁ ἱερεύς, ἄρας τὸν ἀέρα, ἐπιτίθησι τῷ ἀριστερῷ ὤμῳ αὐτοῦ, λέγει. Ἐπάρατε τὰς χεῖρας ὑμῶν εἰς τὰ ἅγια καὶ εὐλογεῖτε τὸ Κύριον. Εἶτα τὸν ἅγιον δίσκον λαβών, ἐπιβάλλει τῇ τοῦ διακόνου κεφαλῇ, ἔχει ἅμα ὁ διάκονος καὶ τὸ θυμιατὸν ἑνὶ τῶν δακτύλων. Αὐτὸς δὲ τὸ ἅγιον ποτήριον ἀνὰ χεῖρας λαβών, ἐξέρχεται διὰ τοῦ βορείου μέρους, προπορευομένων αὐτῷ λαμπάδων, καὶ περιέρχονται τὸν ναόν, εὐχόμενοι καθ᾽ ἑαυτοὺς καὶ λέγοντες· Πάντων ὑμῶν μνησθείη ὁ Θεός... Εἰσελθὼν δὲ ὁ διάκονος ἔνδον τῶν ἁγίων θυρῶν, ἵσταται ἐν τοῖς δεξιοῖς, καὶ μέλλοντος τοῦ ἱερέως εἰσελθεῖν, λέγει πρὸς αὐτὸν ὁ διάκονος· Μνησθείη Κύριος ὁ Θεὸς τῆς ἱερωσύνης σου ἐν τῇ βασιλείᾳ αὐτοῦ πάντοτε, νῦν καὶ ἀεί.. Καὶ ὁ ἱερεὺς πρὸς αὐτόν· Μνησθείη Κύριος ὁ Θεὸς τῆς ἱεροδιακονίας

σου ἐν τῇ βασιλείᾳ αὐτοῦ πάντοτε, νῦν καὶ ἀεί... Καὶ ὁ ἱερεὺς ἀποτίθησι τὸ ἅγιον ποτήριον ἐν τῇ ἁγίᾳ τραπέζῃ, τὸν δὲ ἅγιον δίσκον λαβὼν ἀπὸ τῆς τοῦ διακόνου κεφαλῆς, ἀποτίθησι καὶ αὐτὸν τῇ ἁγίᾳ τραπέζῃ, λέγει· Ὁ εὐσχήμων Ἰωσήφ... Ἐν τάφῳ σωματικῶς... Ὡς ζωηφόρος ὡς παραδείσου... Εἶτα, τὰ μὲν καλύμματα ἄρας ἀπό τε τοῦ ἱεροῦ δίσκου καὶ τοῦ ἁγίου ποτηρίου, τίθησιν ἐν ἑνὶ μέρει τῆς ἁγίας τραπέζης, τὸν δὲ ἀέρα ἀπὸ τῶν διακόνου ὤμων λαβὼν καὶ θυμιάσας, σκεπάζει δι᾽ αὐτοῦ τὰ ἅγια, λέγων· Ὁ εὐσχήμων Ἰωσήφ... Ταῖς μυροφόροις γυναιξίν... Καὶ λαβὼν τὸ θυμιατὸν ἐκ τῶν τοῦ διακόνου χειρῶν, θυμιᾷ τὰ ἅγια γ΄, λέγει· Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους. Καὶ ἀποδοὺς τὸ θυμιατὸν καὶ χαλάσας τὸ φελώνιον, κλίνας τε τὴν κεφαλήν, λέγει πρὸς τὸν διάκονον· Μνήσθητί μου, ἀδελφὲ καὶ συλλειτουργέ. Καὶ ὁ διάκονος πρὸς τὸν ἱερέα· Μνησθείη Κύριος ὁ Θεὸς τῆς ἱερωσύνης σου ἐν τῇ βασιλείᾳ αὐτοῦ. Εἶτα καὶ ὁ διάκονος ἀποκλίνει καὶ αὐτὸς τὴν κεφαλήν, κρατῶν ἅμα καὶ τὸ ὠράριον τοῖς τρισὶ δακτύλοις τῆς δεξιᾶς, λέγει πρὸς τὸν ἱερέα· Εὖξαι ὑπὲρ ἐμοῦ, δέσποτα ἅγιε. Καὶ ὁ ἱερεύς· Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ καὶ δύναμις ὑψίστου ἐπισκιάσει σε. Καὶ ὁ διάκονος· Τὸ αὐτὸ Πνεῦμα συλλειτουργήσει ἡμῖν πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν. Καὶ εὐθὺς ὁ αὐτός· Μνήσθητί μου, δέσποτα ἅγιε. Καὶ ἱερεύς· Μνησθείη σου Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ πάντοτε, νῦν. Καὶ ἐπειπὼν τὸ Ἀμήν, καὶ ἀσπασάμενος τὴν τοῦ ἱερέως δεξιάν, ἐξέρχεται, καὶ στὰς ἐν τῷ συνήθει τόπῳ, λέγει· Πληρώσωμεν τὴν δέησιν κ. τ. λ.

Во время пѣнія „Достойно есть“ Ὁ μὲν διάκονος θυμιᾷ τὴν ἁγίαν τράπεζαν γύρωθεν καὶ λέγει καὶ τὰ τροπάρια ταῦτα· Χαῖρε, κεχαριτωμένη, εὐλογημένη σύ... Ἄξιόν ἐστιν ὡς ἀληθῶς... Ἐπὶ σοὶ χαίρει, κεχαριτωμένη... Τῇ ὑπερμάχῳ στρατηγῷ... Σέ καὶ τεῖχος καὶ λιμένα. Μνημονεύει δὲ καὶ ὧν βούλεται ζώντων καὶ τεθνεώτων, ὁ δὲ ἱερεὺς ἐκφωνεῖ· Ἐξαιρέτως τῆς παναγίας, ἀχράντου... Ὁ δὲ ἱερεὺς ἐπεύχεται· Τοῦ ἁγίου Ἰωάννου τοῦ προφήτου, προδρόμου καὶ βαπτιστοῦ, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων, τῶν ἐν ἁγίοις πατέρων ἡμῶν μεγάλων ἀρχιερέων καὶ οἰκουμενικῶν διδασκάλων, Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου, τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν καὶ θαυματουργοῦ Νικολάου καὶ τῶν λοιπῶν θεοφόρων πατέρων, τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων μαρτύρων, Γεωργίου τοῦ τροπαιοφόρου, Δημητρίου τοῦ Μυροβλήτου, Θεωδόρων Τύρωνος καὶ Στρατηλάτου, τῶν ὁσίων πατέρων ἡμῶν, τῶν ἐν ἀσκήσει λαμψάντων, τῶν ἁγίων καὶ πανενδόξων δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, τοῦ ἁγίου τοῦδε, οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων σου τῶν

ἁγίων, ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς, ὁ Θεός. Καὶ μνήσθητι πάντων τῶν κεκοιμημένων ἐπ' ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου, καὶ ἀνάπαυσον αὐτούς, ἔνθα καταλάμπει τὸ φῶς τοῦ προσώπου σου. Ἔτι παρακαλοῦμέν σε, μνήσθητι, Κύριε, πάσης ἐπισκοπῆς ὀρθοδόξων... Ἐν πρώτοις μνήσθητι, Κύριε... Εἶτα μνημονεύει, οὓς θέλει ζῶντας καὶ κεκοιμημένους. Μνήσθητι, Κύριε, κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου καὶ τῆς ἐμῆς ἀναξιότητος καὶ συγχώρησόν μοι πᾶν πλημμέλημα ἑκούσιον καὶ ἀκούσιον, καὶ μὴ διὰ τὰς ἐμὰς ἁμαρτίας κωλύσῃς τὴν χάριν τοῦ παναγίου σου Πνεύματος ἀπὸ τῶν προκειμένων δώρων. Καὶ ὁ διάκονος πρὸς τὴν θύραν στάς, λέγει· Τοῦ δεῖνος τοῦ πατριάρχου ἢ τοῦ μητροπολίτου, ὅστις ἂν ᾖ, καὶ τὰ λοιπά, εἶτα μνημονεύει τὰ δίπτυχα τῶν ζώντων. Ὁ δὲ ἱερεὺς ἐπεύχεται· Μνήσθητι, Κύριε, τῆς πόλεως, ἐν ᾗ παροικοῦμεν... Goar. pag. 63. Καὶ δὸς ἡμῖν ἐν ἑνὶ στόματι... Καὶ ἔσται τὰ ἐλέη τοῦ μεγάλου Θεοῦ... Ὁ διάκονος λαβὼν καιρὸν παρὰ τοῦ ἱερέως καὶ ἐξελθών, στὰς ἐν τῷ συνήθει τόπῳ, λέγει· Πάντων τῶν ἁγίων... Σοὶ παρακατατιθέμεθα τὴν ζωὴν ἡμῶν. Goar. pag. 64. Καὶ καταξίωσον ἡμᾶς, Δέσποτα... Ὁ λαὸς τὸ Πάτερ ἡμῶν... Ὁ ἱερεύς· Ὅτι σοῦ ἐστιν, εἶτα· Εἰρήνη πᾶσιν. Ὁ διάκονος· Τὰς κεφαλὰς ἡμῶν... Ὁ ἱερεὺς ἐπεύχεται κλινόμενος· Εὐχαριστοῦμεν, βασιλεῦ ἀόρατε... Goar. p. 65. Ὁ ἱερεὺς ἐπεύχεται· Πρόσχες, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν... Goar. pag. 65. Σύναψον δὲ καὶ τὴν εὐχὴν ταύτην· Ὁ Θεός, ἄνες, ἄφες, συγχώρησόν μοι τὰ παραπτώματά μου, τὰ ἐν ἀγνοίᾳ... Goar pag. 66. Καὶ ποιεῖ μετανοίας γ', λέγει· Τὰς ἀνομίας μου πάριδε, Κύριε, ὁ ἐκ παρθένου τεχθείς, καὶ τὴν καρδίαν μου καθάρισον, ναὸν ποιῶν τοῦ ἀχράντου σώματός σου καὶ αἵματος, μή με ἐξουδενώσῃς, ὁ ἀμέτρητον ἔχων τὸ μέγα ἔλεος. Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς... Δόξα, Κύριε ἐλέησον ἡμᾶς... Καὶ νῦν, Τῆς εὐσπλαγχνίας τὴν πύλην... Ὡς ἐμνήσθης, Χριστέ, τοῦ πιστοῦ λῃστοῦ ἐν τῷ σταυρῷ, μνήσθητι καὶ ἐμοῦ τοῦ ἁμαρτωλοῦ ἐν τῇ βασιλείᾳ σου. Ὑψώσω σε, ὁ Θεός μου, ὁ βασιλεύς μου, καὶ εὐλογήσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Ὅταν δὲ ὁ ἱερεύς, ἐκτείνων τὰς χεῖρας, καὶ ἁπτομένου τοῦ ἁγίου ἄρτου πρὸς τὸ ποιῆσαι τὴν ἁγίαν ὕψωσιν, ἐκφωνεῖ ὁ διάκονος· Πρόσχωμεν. Τὰ ἅγια τοῖς ἁγίοις. Ὁ λαός· Εἷς ἅγιος, εἷς Κύριος Ἰησοῦς Χριστός... Ὁ διάκονος εἰσελθών, ἵσταται ἐκ δεξιῶν τοῦ ἱερέως, καὶ λέγει· Μέλισον, δέσποτα, τὸν ἅγιον ἄρτον. Καὶ μελίζει αὐτὸν εἰς τέσσαρα μέρη, λέγων· Μελίζεται καὶ διαμερίζεται... καὶ τοὺς μελίζοντας ἁγιάζει. Ὁ διάκονος· Πλήρωσον, δέσποτα, τὸ ἅγιον ποτήριον. Καὶ λαβὼν ὁ ἱερεὺς ἐκ τοῦ ἁγίου ἄρτου τὴν ἄνω κειμένην μερίδα, βάλλει εἰς τὸ ἅγιον ποτήριον, λέγων· Πλήρωμα Πνεύματος ἁγίου. Ὁ διάκονος· Ἀμήν. Εἶτα

λαμβάνει τὸ ζέον, λέγει Εὐλόγησον, δέσποτα, τὴν ἁγίαν ζέσιν. Καὶ ὁ ἱερεύς· Εὐλογημένη ἡ ἁγία ζέσις τοῦ παναγίου Πνεύματος νῦν καὶ ἀεί... Ὁ διάκονος· Ἀμήν. Καὶ ἐκχέει ἐξ αὐτοῦ τὸ ἀρκοῦν ἐν τῷ ἁγίῳ ποτηρίῳ σταυροειδῶς, λέγει· Ζέσις πίστεως Πνεύματος Ἁγίου. Ἀμήν. Λέγει δὲ καὶ τοῦτον· Λουτρὸν τὸ θεῖον τῆς παλιγγενεσίας... Ὁ δὲ ἱερεὺς λαβὼν ἐν τῇ δεξιᾷ παλάμῃ αὐτοῦ τὴν μερίδα τοῦ μελιζομένου ἀμνοῦ, τὴν κειμένην κάτωθεν, καὶ λέγει· τὸ Τίμιον καὶ πανάγιον καὶ πανάχραντον σῶμα Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ μεταδίδοταί μοι τῷ ἀναξίῳ καὶ ἁμαρτωλῷ, ὁ δεῖνα, ἱερεῖ εἰς ἄφεσιν ἁμαρτιῶν μου καὶ εἰς ζωὴν αἰώνιον. Λέγει· Τοῦ δείπνου σου τοῦ μυστικοῦ... ἐκ γ', καὶ τὸ Πιστεύω, Κύριε, καὶ ὁμολογῶ... ἕως τὸ ὧν πρῶτος εἰμὶ ἐγώ, ἐκ γ'. Ἔπειτα, καὶ Πιστεύω, ὅτι τοῦτο αὐτό ἐστι... ἕως τέλους. Ἡτοίμασας γὰρ ἐνώπιόν μου τράπεζαν ἐξεναντίας τῶν θλιβόντων με... Μή μοι γένοιτο τὰ ἅγια, Δέσποτα φιλάνθρωπε, ἡ μετάληψις τῶν ἀχράντων σου μυστηρίων τούτων καὶ ζωοποιῶν, εἰς κρίμα ἢ εἰς κατάκριμα... Καὶ μεταλαβών, κοινωνεῖ καὶ ἐκ τοῦ ἁγίου ποτηρίου, λέγει· Τὸ τίμιον καὶ πανάγιον αἷμα τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ μεταλαμβάνω κἀγὼ ὁ δοῦλος τοῦ Θεοῦ, ὁ δεῖνα, καὶ ἁμαρτωλὸς ἱερεὺς εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον, εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος νῦν καὶ ἀεί... Καὶ ἀποσπογγίζει τὸ ἅγιον ποτήριον, λέγει· Τοῦτο ἥψατο τῶν χειλέων μου... Εἶτα λαβὼν ἅγιον δίσκον καὶ τὴν μοῦσαν, συστέλλει τὰ ἅγια καὶ εἰσκομίζει ἐν τῷ ἁγίῳ ποτηρίῳ μετὰ φόβου Θεοῦ καὶ πάσης ἀσφαλείας, ὥστε μηδὲ κόνιόν τι καταλειφθῆναι ποσῶς ἐκεῖσε, καὶ λέγουσιν ἀμφότεροι σὺν τῷ ἱερεῖ· Τῆς τιμίας καὶ ἁγίας σαρκός σου, Χριστέ, μετέλαβον, καὶ τοῦ τιμίου αἵματός σου ἠξιώθην, καὶ τῆς βασιλείας σου μὴ στερήσῃς με, τὸν ἀνάξιον. Ἔθελξας πόθῳ με, Χριστέ, καὶ ἠλλοίωσας τῷ θείῳ σου ἔρωτι, ἀλλὰ κατάφλεξον πυρὶ ἀΰλῳ τὰς ἁμαρτίας μου, καὶ ἐμπλησθῆναι τῆς ἐν σοὶ τροφῆς καταξίωσον, ἵνα τὰς δύο σκιρτῶν μεγαλύνω, ἀγαθέ, παρουσίας σου.— Ἐν ταῖς λαμπρότησι τῶν ἁγίων σου, πῶς εἰσελεύσομαι ὁ ἀνάξιος... Τοῦ ἀχράντου σου σώματος καὶ τοῦ τιμίου αἵματος μυστικῶς ἀξιωθεὶς γενέσθαι συμμέτοχος, εὐχαριστῶ, ἀνυμνῶ, δοξολογῶ, προσκυνῶ καὶ μεγαλύνω, ἀγαθέ, τὴν παρουσίαν σου καὶ συγκατάβασιν πάντοτε, νῦν καὶ ἀεί.. Καὶ θέτει ὁ ἱερεὺς τὸν ἀστερίσκον μόνον ἐν τῷ ἁγίῳ δίσκῳ, ἐπάνω αὐτοῦ καὶ τὰ δύο δωροκαλύμματα, καὶ σκεπάσας τὰ ἅγια μετὰ ἑνὸς καλύμματος, ὁ ἱερεὺς κλίνας, ἐπεύχεται· Εὐχαριστοῦμέν σοι, Δέσποτα φιλάνθρωπε.. Goar. pag. 67. Ὁ διάκονος· Μετὰ φόβου Θεοῦ καὶ πίστεως προσέλθετε. Ὁ λαός· Ἀμήν. Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. Ὁ ἱε-

ρεύς· Σῶσον, ὁ Θεός, τὸν λαόν σου... Εἶτα θυμιᾷ ἐκ γ' τὰ ἅγια, λέγει· Ὑψώθητι ἐπὶ τοὺς οὐρανούς, ὁ Θεός... Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος· Κύριος ἀνέβη εἰς οὐρανοὺς καὶ ἐβρόντησεν αὐτούς, κρινεῖ ἄκρα γῆς, δίκαιος ὤν. Καὶ ἄρας τὰ ἱερά, λέγει καθ' ἑαυτόν· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν... Καὶ ἐκφωνεῖ· Πάντοτε, νῦν καὶ ἀεί... •Ὁ διάκονος· Ὀρθοὶ οἱ μεταλαβόντες τῶν θείων... κ. τ. λ. Ἐκφώνως· Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν... Ὁ διάκονος· Ἐν εἰρήνῃ προέλθωμεν. Ὁ λαός· Ἐν ὀνόματι Κυρίου. Ὁ ἱερεύς· Τοῦ Κυρίου δεηθῶμεν. Ὁ ἱερεὺς τὴν εὐχήν. Εὐχὴ ὀπισθάμβωνος, ἐκφωνουμένη· Ὁ εὐλογῶν τοὺς εὐλογοῦντάς σε, Κύριε... Goar. pag. 68. Εὐχὴ ἐν τῷ συστεῖλαι τὰ ἅγια· Τὸ πλήρωμα τοῦ νόμου... Goar. p. 68. Εἶτα εἰσέρχεται εἰς τὴν ἁγίαν πρόθεσιν καὶ συστέλλει τὰ ἅγια μετὰ πάσης προσοχῆς καὶ ἀσφαλείας, ἀποπλύνας τὸ ἅγιον ποτήριον οἴνῳ δὶς καὶ ἐν ὕδατι ἅπαξ, καὶ ἐκμάξας ἀκριβῶς τὴν ὑγρότητα τοῦ ἁγίου ποτηρίου μετὰ τοῦ ἁγίου σπόγγου, ὥστε μὴ ἀπολειφθῆναι νοτίδα ποσῶς ἐκεῖσε ἢ λεπτότατος μαργαρίτης τὸ σύνολον. Μετὰ δὲ τὸ συστεῖλαι ταῦτα, καλῶς ἀπονίπτεται τὰς χεῖρας καὶ χειλέων αὐτοῦ ἐν τῷ συνήθει τόπῳ, λέγων· Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας... Εἶτα τὸ Νῦν ἀπολύεις τὸν δοῦλόν σου... Τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν, Ὅτι σοῦ ἐστιν, τροπάριον καὶ κοντάκιον τῆς ἡμέρας καὶ τοῦ ἁγίου τῆς μονῆς, εἶτα τοῦ Χρυσοστόμου τροπάριον, ἦχος δ'· Ἡ τοῦ στόματός σου.. κοντάκιον· Ἐκ τῶν οὐρανῶν ἐδέξω τὴν θείαν χάριν... Τῇ ὑπερμάχῳ στρατηγῷ τὰ νικητήρια... Κύριε ἐλέησον ιβ', Δόξα καὶ νῦν. Τὴν τιμιωτέραν τῶν χερουβίμ... Ἐν ὀνόματι Κυρίου εὐλόγησον. Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς καὶ εὐλογήσαι ἡμᾶς, Δόξα καὶ νῦν, Κύριε ἐλέησον γ', εὐλόγησον. Ὁ Θεὸς διὰ πρεσβειῶν τῆς παναχράντου σου Μητρός.. Καὶ ἐξελθὼν ἔξω, ἀσπάζεται τὰ ἁγίας εἰκόνας καὶ εὐλογεῖ τὸν λαόν, λέγων· Φυλάξαι Κύριος ὁ Θεὸς πάντας τῇ αὐτοῦ χάριτι πάντοτε, νῦν καὶ ἀεί...

л. 32. Ἡ θεία λειτουργία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου, ἀρχιεπισκόπου Καισαρίας καὶ Καππαδοκίας, οὐρανοφάντορος τοῦ Μεγάλου.

л. 53. Ἡ θεία λειτουργία τῶν προηγιασμένων. Goar. pag. 163—168.

л. 61. Ἑρμηνεία τῆς θείας λειτουργίας τῶν προηγιασμένων. Goar pag. 161—162.

л. 64. Евангельскія чтенія отъ субботы мясопустной до понедѣльника св. Духа.

л. 131. Ἀπόστολοι καὶ εὐαγγέλια τῆς ὅλης ἑβδομάδος.

л. 136. Εἰς τὴν γέννησιν τῆς Θεοτόκου εὐαγγέλιον τοῦ ὄρθρου.

л. 137. Чтенія апостольскія на вознесеніе Господне, въ субботу седьмую, въ Пятидесятницу и въ понедѣльникъ св. Духа.

CXIX № 305 Евхологій, рукопись Аѳоно-Пантелеимоновскаго монастыря въ 22 долю листа, 417 листовъ, писана скорописью довольно четкою XVI в. Чины этой рукописи сходны по изложенію съ чинами въ рукописи Святогробской библіотеки 1522 года № 615 (757).

л.л. 5—63. Ἀκολουθία τοῦ ἁγίου ἐλαίου. См. выше стр. 720—722.

л. 63 об. Τάξις καὶ ἀκολουθία τοῦ νεκρωσίμου εὐχελαίου. См. выше стр. 722—725.

л. 110 об. Ἀκολουθία τοῦ ἐξοδιαστικοῦ τῶν μοναχῶν. См. выше стр. 726—728.

л. 162. Ἀκολουθία, γινομένη ἐπὶ ταφῆς ἱερέως. См. выше стр. 728.

л. 162 об. Τάξις, γινομένη ἐπὶ ταφῆς πρεσβυτέρου. См. выше стр. 728—735. Такъ какъ этотъ весьма любопытный чинъ священническаго погребенія въ данной рукописи сохранился вполнѣ, то изъ него мы и дополнили недостающее въ томъ-же чинѣ въ рукописи Святогробской библіотеки № 615 (757).

л. 242. Ἀκολουθία εἰς ἄνθρωπον ψυχορραγοῦντα καὶ κρινόμενον ὑπὸ θανάτου. См. выше стр. 735.

Листы 251 и 252 чистые.

л. 253. Ἀκολουθία παρακλητικὴ εἰς τὴν ὑπεραγίαν Δέσποιναν Θεοτόκον, καθὼς ψάλλεται τὴν μ′ τοῦ Αὐγούστου. См. выше стр. 735.

л. 268. Ἕτερος κανὼν εἰς τὴν αὐτὴν Κυρίαν καὶ Δέσποιναν Θεοτόκον. См. выше стр. 735.

л. 270. Ἀκολουθία τοῦ μεγάλου ἁγιασμοῦ. См. выше стр. 735.

Далѣе нѣсколько листовъ вырвано.

л. 285. Чинъ вечерни Пятидесятницы.

л. 311. Чинъ Крещенія. См. выше стр. 737—739.

л. 340 об. Ἀκολουθία εἰς μνῆστρα βασιλέων καὶ λοιπῶν ἀνθρώπων, ἤγουν εἰς ἀρραβῶνα. См. выше стр. 739—740.

л. 347 об. Ἀκολουθία τοῦ στεφανώματος. См. выше стр. 740—742.

л. 358 об. Εὐχὴ εἰς τὸ ἐπᾶραι τὰ στέφανα.

л. 359 об. Εὐχὴ ἑτέρα εἰς τὸ λῦσαι τὰ ἱερὰ στέφανα. См. выше стр. 742.

л. 361 об. Ἑτέρα ἀκολουθία εἰς διγαμοῦντας. См. выше стр. 742—743. Недостаетъ нѣсколькихъ листовъ.

л. 363 об. Τάξις γινομένη, εἰ συμβῇ μιαρὸν ἢ ἀκάθαρτον προσφάτως ἐμπεσεῖν ἐν ὑποληνίῳ οἴνου, ἢ ἀγγείῳ ἐλαίου. См. выше стр. 744.

л. 367. Ἀκολουθία εἰς φρέαρ μιανθέν. См. выше стр. 745.

л. 370. Εὐχὴ εἰς σκεῦος μιανθέν. См. выше стр. 745. Нѣсколько листовъ вырвано.

л. 371 Тропари и кондаки на недѣли поста и пятидесятницы.

л. 387. Μηνολόγιον σὺν Θεῷ ἁγίῳ.

CXX. № 780. Εὐχολόγιον, рукопись той-же библіотеки и монастыря въ 16 долю листа, 100 листовъ, писана скорописью XVI в. Начала и конца рукописи нѣтъ.

л. 1. Конецъ вечернихъ молитвъ.

л. 2. Εὐχαί, λεγόμεναι εἰς τὸν ὄρθρον. 11 молитвъ съ главопреклонной.

л. 5 об. Εὐχὴ τῆς προθέσεως. Чинъ литургіи состоитъ изъ молитвъ св. І. Златоуста. Любопытенъ моментъ послѣ молитвы: Πρόσχες Κύριε... Εἶτα, читаемъ во евхологіѣ, ποιεῖ μετανοίας γ΄, λέγων τὸ Βασιλεῦ οὐράνιε, καὶ Τὸν νυμφῶνά σου, εἶτα ἐκφωνεῖ ὁ ἱερεύς· Πρόσχωμεν. Ὁ δὲ λαὸς ἀποκρινόμενος, λέγει· Βοήθεια τῶν χριστιανῶν. Ὁ δὲ ἱερεὺς λέγει· Τὰ ἅγια τοῖς ἁγίοις. Ὁ δὲ λαὸς λέγει· Εἷς ἅγιος... Ὁ δὲ ἱερεύς, λαβὼν τὸν ἅγιον ἄρτον, λέγει οὕτως· Μέλισον, δέσποτα, τὸν ἅγιον ἄρτον.

л. 14. Ἀκολουθία τοῦ μικροῦ ἁγιασμοῦ.

л. 21. Ἀκολουθία τοῦ ἁγιασμοῦ τῶν Φώτων.

л. 27 об. Εὐχὴ εἰς τὸ ποιῆσαι κατηχούμενον. Послѣ помазанія елеемъ, καὶ λαβὼν ὁ ἱερεὺς τὸ μανδίλιον, δένει ἐπὶ τὸν τράχηλον τοῦ ἀναδόχου, λέγων· Ὁ Θεός, ὁ περυζωννύων με δύναμιν, ἔθετο ἄμωμον τὴν ὁδόν μου, καταρτιζόμενος τοὺς πόδας μου ὡσεὶ ἐλάφου, καὶ ἐπὶ τὰ ὑψηλὰ ἱστῶν με, διδάσκων χεῖράς μου εἰς πόλεμον, καὶ ἔθου τόξον χαλκοῦν εἰς τοὺς βραχίονάς μου. Εἶτα λαβὼν τὸ παιδίον, ὁ ἱερεὺς ὑψοῖ αὐτὸ λέγων· Βαπτίζεται ὁ δοῦλος τοῦ Θεοῦ ὁ δεῖνα εἰς τὸ ὄνομα τοῦ Πατρός. Καὶ κατάγων αὐτὸ ἐν τῇ κολυμβήθρᾳ, ἐπαίρει ἀπὸ τοῦ ὕδατος καὶ βάλλει ἐπὶ τῆς κεφαλῆς αὐτοῦ. Εἶτα πάλιν αἴρει αὐτό, καὶ κατάγων, λέγει· Καὶ τοῦ Υἱοῦ. Καὶ ποιεῖ ὁμοίως καὶ λέγει· Καὶ τοῦ ἁγίου Πνεύματος νῦν καὶ ἀεί... Εἶτα λούει αὐτοῦ ὅλον τὸ σῶμα καλῶς. Καὶ οἱ ψάλται ψάλλουσιν· Μακάριοι ὧν ἀφέθησαν... Εἰρήνη πᾶσιν. Τὰς κεφαλὰς ὑμῶν. Εὐχὴ τοῦ μύρου μυστικῶς· Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς ὁ παντοκράτωρ, ἡ πηγὴ τῶν ἀγαθῶν... Goar.

pag. 290. Καὶ ἐνδυομένου τοῦ νεοφωτίστου παρὰ τοῦ ἱερέως, ψάλλομεν· Χιτῶνά μοι παράσχου... Εἶτα σταυρώματα, λέγει· Περίζωσε τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου, ἀγαθέ, τῇ ὡραιότητί σου καὶ τῷ κάλλει σου. Λέγει καὶ τοῦτο· Τῷ σταυρῷ ἐνδέδυται, τὸ βάπτισμα εἴληφε, τὴν πηγὴν τοῦ λουτροῦ τοῦ ἁγίου Πνεύματος... Εἶτα λέγει· Σταυρὸν χαράξας Μωσῆς... Εἶτα λαβὼν τὸ μύρον, χρίει τὸν βαπτισθέντα, ποιῶν σταυροῦ τύπον ἐπὶ τοῦ μετώπου, καὶ τῶν ὀφθαλμῶν, καὶ τῶν μυκτήρων, καὶ τοῦ στόματος, λέγει· Σφραγὶς δωρεᾶς Πνεύματος ἁγίου. Ἀμήν. Ἐπὶ δὲ τῶν χειρῶν· Εἰς πᾶν ἔργον ἀγαθόν. Ἐπὶ δὲ τῶν γονάτων· Τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. Εἰρήνη πᾶσιν. Τοῦ Κυρίου δεηθῶμεν. Εἶτα τὴν εὐχήν· Κύριε ὁ Θεὸς ἡμῶν, ἡ πηγὴ τῶν ἀγαθῶν... Goar. p. 290. Εἰρήνη πᾶσιν. Τοῦ Κυρίου δεηθῶμεν. Εὐχὴ μυστικῶς εἰς τὸ κουρεῦσαι· Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τῇ εἰκόνι σου τιμήσας... Goar. p. 306. Καὶ κουρεύει αὐτὸ σταυροειδῶς, λέγων· Ὁ δοῦλος τοῦ Θεοῦ ὁ δεῖνα κείρεται τὴν κώμην τῆς κεφαλῆς αὐτοῦ εἰς τὸ ὄνομα τοῦ Πατρός... Εἰρήνη πᾶσιν. Τοῦ Κυρίου δεηθῶμεν. Σὲ ἱκετεύομεν, Κύριε, ὁ Θεὸς τῆς σωτηρίας ἡμῶν, ὁ ἐκ τοῦ πληρώματος τῆς κολυμβήθρας.. Goar. pag. 306. Εἶθ' οὕτως ψάλλει· Ὅσοι εἰς Χριστόν... γυρίζοντες τὴν κολυμβήθραν ἐκ γ', ὁ δὲ ἀνάδοχος, λαβὼν τὰς τρίχας, κολλᾷ αὐτὰς εἰς τὰ ἁγιόστυλα, ποιοῦντος αὐτοῦ μετανοίας γ', ὁ δὲ ἱερεὺς ποιεῖ ἀπόλυσιν.

л. 36 об. Ἀκολουθία εἰς μνῆστρα. Ἀρχὴ τοῦ ἀρραβῶνος.

Ποιεῖ ὁ ἱερεὺς εὐλογητόν, Τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν, Ὅτι σοῦ ἐστιν, τὸ ἀπολυτίκιον τῆς ἡμέρας καὶ τὸ κοντάκιον καὶ θεοτοκίον. Πρῶτον συμφωνεῖ αὐτοὺς ὁ ἱερεὺς ἕτερον πρὸς ἕτερον καὶ ἵστησι τὸν μὲν ἄνδρα ἐκ δεξιῶν, ἡ δὲ γυνὴ ἐξ ἀριστερῶν τοῦ ἀνδρός, εἶτα· Τοῦ Κυρίου δεηθῶμεν. Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἀποστείλας τὴν ἀλήθειάν σου εἰς κληρονομίαν σου τοῖς πατράσιν ἡμῶν, τοῖς καθ' ἑκάστην ἡμῶν γενεὰν ἐκλεκτοῖς σου... См. выше стр. 453. Εἶτα δίδει αὐτοῖς καθ' ἓν κηρὸν ἕνα, καὶ ἄρας τὰ δακτυλίδια ὁ ἱερεὺς χρυσοῦν καὶ ἀργυροῦν, καὶ λέγει· Θνησιάζεται (sic) καὶ ἀρραβωνιάζεται ὁ δοῦλος τοῦ Θεοῦ ὁ δεῖνα εἰς τὸ ὄνομα τοῦ Πατρός... Λέγει ἐκ γ'. Καὶ δίδει τῷ μὲν ἀνδρὶ τὸ χρυσοῦν καὶ τῇ γυναικὶ τὸ ἀργυροῦν, ὁμοίως καὶ ἄρτους δύο, καὶ ἀλάσσουν γ', εἶτα λέγει ὁ ἱερεύς· Τοῦ Κυρίου δεηθῶμεν. Πάτερ ἀγαθὲ καὶ φιλάνθρωπε, τὸν ἀρραβῶνα τοῦτον ἰσχυρὸν καὶ βέβαιον διατήρησον... См. выше стр. 460, 470. Λέγει γ'. Καὶ εὐθὺς τὴν συναπτήν· Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῆς εἰρήνης... Ὑπὲρ τοῦ ἁγίου οἴκου... Ὑπὲρ τοῦ εὐλογηθῆναι τὰ μνῆστρα...

Ὑπὲρ τῶν νῦν μνηστευομένων... Ὅπως Κύριος ὁ Θεὸς ἡμῶν χαρίσηται αὐτοῖς σωφροσύνην καὶ μακροημέρευσιν, τὴν εἰς ἀλλήλους ἀγάπην... Ὑπὲρ τοῦ δωρηθῆναι αὐτοῖς ἀκατάγνωστον διαγωγήν... Ὑπὲρ τοῦ δούλου τοῦ Θεοῦ ὁ δεῖνα καὶ τῆς δούλης τοῦ Θεοῦ ἡ δεῖνα καὶ τῆς ἐν Θεῷ ἀγάπης καὶ σωτηρίας αὐτῶν.. Ὑπὲρ τοῦ ῥυσθῆναι... Τῆς παναγίας... Ὅτι πρέπει. Τοῦ Κυρίου δεηθῶμεν. Ὁ Θεὸς ὁ ἄχραντος, ὁ πάσης κτίσεως δημιουργός, ὁ τὴν πλευρὰν τοῦ προπάτορος Ἀδὰμ διὰ τῆς σῆς φιλανθρωπίας εἰς γυναῖκα μεταμορφώσας.. Goar. p. 463. Τοῦ Κυρίου δεηθῶμεν. Δέσποτα φιλάνθρωπε, ὁ ἐν τῇ προφητικῇ φωνῇ ἐνισχύσας ἡμᾶς, ὅτι παρὰ σοῦ ἁρμόζεται ἀνδρὶ γυνή... См. выше стр. 460. Τοῦ Κυρίου δεηθῶμεν. Ὁ Θεὸς ὁ αἰώνιος, ὁ τὰ διῃρημένα συναγαγών... Goar. p. 311. Εἰρήνη πᾶσιν. Τὰς κεφαλάς. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὴν ἐξ ἐθνῶν προμνηστευσάμενος ἑαυτῷ ἐκκλησίαν... См. выше стр. 461. Τὴν τιμιωτέραν... Δόξα σοι ὁ Θεὸς ἡμῶν.. καὶ ἀπόλυσις.

Εἰ δὲ βούλονται ἐνταῦθα στεφανωθῆναι, εἰσέρχονται εἰς τὸ μέσον τοῦ ναοῦ μετὰ θυμιατοῦ καὶ λαμπάδων, λέγων μετὰ ᾄσματος τὸν ψαλμὸν τοῦτον· Μακάριοι πάντες οἱ φοβούμενοι... Καὶ ἐλθόντες ἔμπροσθεν τῶν θυρῶν, ἀπόκεινται δὲ ἐν τῇ ἁγίᾳ τραπέζῃ στέφανοι δύο καὶ ποτήριον ὑάλου πλῆρες οἴνου, ἔχων προηγιασμένον καὶ ἅγιον ποτήριον. Εἶτα λέγει· Εὐλογημένη ἡ βασιλεία... Ἐν εἰρήνῃ κ. τ. λ. Τοῦ Κυρίου δεηθῶμεν. Ὁ ἱερεὺς ἐπεύχεται· Ὁ Θεὸς ὁ ἅγιος, ὁ πλάσας τὸν ἄνθρωπον καὶ ἐκ τῆς πλευρᾶς αὐτοῦ ἀνοικοδομήσας γυναῖκα... См. выше стр. 461. Τοῦ Κυρίου δεηθῶμεν. Εὐλογητὸς εἶ, Δέσποτα παντοκράτορ, ὁ τῆς ζωῆς ἀρχηγὸς καὶ τῶν αἰωνίων ἀγαθῶν δοτήρ... См. выше стр. 461. Καὶ παραδίδει ἀλλήλοις τὰς δεξιὰς χεῖρας, λέγων· Παράλαβε Μαρίαν τὴν γυναῖκά σου. Τοῦ Κυρίου δεηθῶμεν. Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τῶν ἁπάντων Πατήρ, χεῖρα πρὸς χεῖρα διδούς... См. выше стр. 462. Καὶ ἄρας τὰ στέφανα, ὁ ἱερεὺς στέφει ταῦτα ἐπὶ τὰς κεφαλὰς αὐτῶν, λέγων· Δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτούς... λέγει ἐκ γ', καὶ στέφει τὸν νεόνυμφον, ὁμοίως καὶ εἰς τὴν νύμφην γ', καὶ κρατῶν αὐτοὺς ὁ ἀνάδοχος, λέγει ὁ ἱερεύς· Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ δόξῃ καὶ τιμῇ στεφανώσας τοὺς ἁγίους σου, Αὐτὸς παράσχου καὶ τοῖς δούλοις σου... См. выше стр. 463. Εἰρήνη πᾶσιν. Τὰς κεφαλάς. Κύριε ὁ Θεὸς ἡμῶν, ἔκτεινον τὴν χεῖρά σου... См. выше стр. 463. Πλέξας διὰ πετάσματος ἁγίου σου, ἐπίθες ἐπὶ τὴν κεφαλὴν αὐτῶν στέφανον ἐκ λίθου τιμίου, καὶ ὡσεὶ ἐλαία κατάκαρπος, καὶ ὡσεὶ ἄμπελος εὐθηνοῦσα ἐν ταῖς κλίτεσιν αὐτῆς, οἱ υἱοὶ αὐτῶν νεόφυτα ἐλαιῶν κύκλῳ τῆς τραπέζης αὐτῶν, δὸς αὐτοῖς ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ καὶ ἀπὸ τῆς πιότητος τῆς γῆς

πρεσβείαις τῆς παναχράντου σου Μητρὸς καὶ πάντων σου τῶν ἁγίων. Ἀμήν. Ὅτι ἅγιον ὑπάρχει τὸ ὄνομά σου, τοῦ Πατρός... Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεός, ὁ ἐν τῇ σωτηριώδει σου οἰκονομίᾳ καταξιώσας ἐν Κανᾷ τῆς Γαλιλαίας... Goar p. 318. Апостолъ къ Ефесеямъ, евангеліе отъ Іоанна, что нынѣ. Конецъ апостола: ἡ δὲ γυνὴ ἵνα φοβῆται καὶ τιμᾷ τὸν ἄνδρα· τοῦτο γάρ ἐστι δίκαιον καὶ εὐπρόσδεκτον ἐνώπιον Κυρίου καὶ ἀγγέλων Θεοῦ. Послѣ сугубой ектеніи, Τοῦ Κυρίου δεηθῶμεν. Ἐπικαλούμεθά σε, Κύριε ὁ Θεὸς ἡμῶν, παντοκράτορ, σὲ ἐπικαλοῦμαι τὸν μόνον ἀγαθὸν καὶ φιλάνθρωπον, τὸν στερεωτὴν καὶ ἀρχηγὸν τῆς σωφροσύνης... См. выше стр. 464. Просительная ектенья, Καὶ καταξίωσον ἡμᾶς... τὸ Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν. Εἰρήνη πᾶσιν. Τὰς κεφαλάς... Εὐχὴ τοῦ ποτηρίου μυστικῶς· Ὁ Θεός, ὁ τὰ πάντα ποιήσας τῇ ἰσχύϊ σου... Goar. p. 319. Εἶτα μεταλαμβάνει αὐτούς, ψαλλόντων κοινωνικόν· Γεύσασθε καὶ ἴδετε... ἕτερον· Ποτήριον σωτηρίου... Λέγει ὁ ἱερεύς· Ζήσονται εἰς αἰῶνα αἰῶνος, οἱ νεόνυμφοι, καὶ ἡ ἁγία Τριὰς ὑμᾶς ἀχωρίστους διαφυλάξει. Καὶ εὐθὺς κρατοῦσιν οἱ παράνυμφοι τὰ στέφανα, καὶ λέγει ὁ ἱερεύς· Ἀδελφοί, χαίρετε ἐν Κυρίῳ πάντοτε... См. выше стр. 465. Καὶ αὐτοὺς γυρίζουν γ', καὶ γίνεται εἴσοδος μετὰ τῶν νεονύμφων καὶ παρανύμφων, ψαλλόντων τροπάρια, ἦχος βαρύς· Ἅγιοι μάρτυρες... Δόξα σοι, Χριστὲ ὁ Θεός... ἦχος πλ. δ'. Ἐπὶ σοὶ χαίρει, κεχαριτωμένη... Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ παραγενόμενος ἐν Κανᾷ τῆς Γαλιλαίας... См. выше стр. 742.

л. 46. Εὐχὴ παστοῦ δεήσεων τῶν στεφάνων. Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καταξιώσας τοὺς δούλους σου εἰς νυμφῶνα συνεισελθεῖν... См. выше стр. 465. Καὶ ἄρας τὰ στέφανα, δένει αὐτὰ εἰς τὸν παστόν, καὶ δίδει αὐτῶν (sic) καὶ μέλι τετρακάριον. Καὶ ὅταν πληρωθῶσιν ἡμέραι η', ἀπέρχεται πάλιν ὁ ἱερεὺς εἰς τὸν παστόν, καὶ ποιεῖ εὐλογητόν, καὶ λέγει τὴν εὐχὴν ταύτην εἰς λύσιν τῶν στεφάνων. Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τοῦ ἐνιαυτοῦ στέφανον εὐλογήσας... Goar. p. 325. Νυμφῶνα καταντήσαντες οἱ δοῦλοί σου, φιλάνθρωπε... Ibid. Καὶ εἰσέρχονται οἱ γονεῖς καὶ ἀσπάζονται αὐτοὺς καὶ εὔχονται οὕτως· Δώῃ σας ὁ Κύριος, παιδία μου, ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ καὶ ἀπὸ τῆς πιότητος τῆς γῆς, καὶ πλῆθος σίτου, οἴνου καὶ ἐλαίου καὶ ἀπὸ παντὸς ἀγαθοῦ. Ἐλέησον ἡμᾶς ὁ Θεός. Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς... Εἶτα λέγει· Δόξα σοι, ὁ Θεός... Καὶ ἀπόλυσις· Ὁ εὐλογήσας τὸν γάμον...

л. 47. Молитвы на различные случаи.

л. 60. Ἀκολουθία εἰς ἀδελφοποίησιν.

л. 62. Чтенія изъ Апостола и Евангелія.

л. 84 об. Τάξις, λεγομένη εἰς μνημόσυνον καὶ εἰς κόλλυβα.

л. 87 об. Ἀπολυτίκια καὶ κοντάκια.

л. 96 об. Τῇ ἁγίᾳ καὶ μεγάλῃ κυριακῇ τοῦ Πάσχα. Служба пасхальной литургіи.

л. 97. Служба литургіи Пятидесятницы.

л. 99. Εἰς γυναῖκας μάρτυρας. Евангеліе и апостолѣ.

л. 99 об. Εὐχὴ εἰς ἄγραν ἰχθύων.

л. 100. Слово Златоуста на утрени Пасхи. Не окончено.

CXXI. № 435. Служебникъ, рукопись Аѳоно-Пантелеимоновскаго монастыря въ 16 долю листа, 68 листовъ, писана скорописью конца XVI вѣка. Въ концѣ рукописи читаемъ слѣдующую приписку позднѣйшей руки: Τὸ παρὸν βιβλίον εἶναι αἱ τρεῖς λειτουργίαι Ἰωάννου τοῦ Χρυσοστόμου, τοῦ Μεγάλου Βασιλείου, καὶ ἡ προηγιασμένη, ὑπάρχει γοῦν τῆς καθ' ἡμᾶς μονῆς τῆς κυρίας ἡμῶν Πορτιατήσσης, ἐδόθη γοῦν παρ' ἐμοῦ, Γερμανοῦ ἱερομονάχου καὶ ἡγουμένου ἐν τῷ μονυδρίῳ τοῦ Μαγουλᾶ εἰς καιρόν, ἵνα πορευθῶσιν οἱ ἐκεῖσε μοναχοί, ὅ τε Δανιὴλ καὶ οἱ σὺν αὐτῷ. καὶ τὰ ἱερὰ καὶ ποτήριον μετὰ πάσης τῆς οἰκονομίας αὐτῶν ἄνευ καθιερώσεως, μενέτωσαν δὲ ταῦτα εἰς τὴν ἐξουσίαν τὴν ἡμετέραν ἀδιαλώβητα καὶ μὴ κυριευόμενα ὑπ' αὐτῶν, μηδὲ ἐχέτω τις ἐξουσίαν αὐτῶν εἰς αὐτὰ παράπαν.

л. 1 об. Ὁ πάντα τελεσφορήσας τῷ λόγῳ σου, Κύριε. Goar pag. 524.

л. 3. Ἡ θεία λειτουργία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου.

л. 16. Ἡ θεία λειτουργία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου τοῦ Μεγάλου. Въ чинѣ противъ прошеній великой ектеньи: Ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων... и Ὑπὲρ τοῦ συμπολεμῆσαι замѣчено: οὐ γίνεται νῦν (л. 16 об.).

л. 37. Εἴδησις τῆς θείας λειτουργίας προηγιασμένων. См. выше стр. 394.

л. 38 об. Ἡ θεία λειτουργία τῶν προηγιασμένων. Goar. pag. 163—168.

л. 48. Τοῦ μακαριωτάτου καὶ ἁγιωτάτου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικοῦ πατριάρχου κὺρ Φιλοθέου διάταξις τῆς θείας λειτουργίας, ἐν ᾗ καὶ τὰ διακονικά. Особенности этого чина указаны проф. Н. Ѳ. Красносельцевымъ въ книгѣ:

„Матеріалы для исторіи чинопослѣдованія литургіи св. І. Златоустаго“ стр. 36—37 въ примѣчаніяхъ.

л. 61. Ἑτέρα διάταξις τῆς θείας λειτουργίας τῶν προηγιασμένων.

Μετὰ τὸ Μνήσθητι ἡμῶν, Κύριε, ψαλλομένου τοῦ Χορὸς ἐπουράνιος, ἑνούμενοι ὁ ἱερεὺς καὶ ὁ διάκονος, ποιοῦσι τῷ ἡγουμένῳ μετάνοιαν ἢ εἰς τὸ στατίδιον αὐτοῦ, καὶ οὕτω ποιοῦσιν εἰς τὸ μέσον μετανοίας τρεῖς καὶ εἰς τοὺς χοροὺς ἀνὰ μίαν, καὶ εἰσερχόμενοι εἰς τὸ ἱερατεῖον, ἐνδύονται τὰ συνήθη, εὐλογήσαντος τοῦ ἱερέως, λέγοντες καὶ τὰ κατὰ συνήθειαν, καὶ ἐρχόμενοι ἔμπροσθεν τῆς ἁγίας τραπέζης, ποιοῦσιν ἔναρξιν ἕως τὸ Δόξα ἐν ὑψίστοις, ποιοῦνται καὶ μετανοίας τρεῖς, καὶ ἀσπάζονται καὶ τὸ ἅγιον εὐαγγέλιον καὶ τὴν ἁγίαν τράπεζαν, ὡς δηλονότι ὄπισθεν, καὶ τὸ καιρὸς τοῦ ποιῆσαι καὶ τὰ ἄλλα, καὶ ἱστάμενοι περιμένουσιν ἕως οὗ πληρωθῶσιν αἱ μετάνοιαι, καὶ ἐξερχόμενος εἰς τὸν συνήθη τόπον ὁ διάκονος καὶ ποιῶν μετανοίας τρεῖς, ἐκφωνεῖ· Εὐλόγησον, δέσποτα. Ὁ ἱερεύς· Εὐλογητὸς ὁ Θεός... Καὶ τοῦ λυχνικοῦ ψαλλομένου, ὁ ἱερεὺς λέγει τὰς εὐχὰς τοῦ λυχνικοῦ, καὶ οὕτως ἄρχεται ὁ διάκονος· Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν κ. τ. λ. Ὁ ἱερεὺς ἐκφώνησις· Ὅτι πρέπει σοι πᾶσα. Καὶ λεγομένου τοῦ Ψαλτηρίου, ὁ ἱερεὺς καὶ ὁ διάκονος ἀπέρχονται εἰς τὴν πρόθεσιν, καὶ ποιήσαντες προσκυνήματα τρία, ὁ μὲν ἱερεύς, ἀψάμενος τοῦ ἁγίου ἄρτου τοῖς δυσὶ δακτύλοις, τίθησιν αὐτὸν εἰς τὸν δίσκον. Ὁ δὲ διάκονος ἐγχέει τῷ ποτηρίῳ ἐκ τοῦ οἴνου καὶ τοῦ ὕδατος, δεξάμενος πρότερον ἐπ' αὐτὰ εὐλογήσεις, καὶ οὕτω, λαβὼν τὸ θυμιατὸν καὶ θυμίαμα θείς, αἰτεῖ εὐλόγησιν, ὁ δὲ ἱερεὺς λέγει εὐχὴν τοῦ θυμιάματος, εὐλογῶν αὐτό. Καὶ οὕτως, καλύψας αὐτὰ συνήθως, μηδὲν ἐπιλέγων, καὶ θυμιάσας ἐπάνω αὐτῶν, ἀπέρχεται, καὶ ὅτε πληρωθῇ ἡ πρώτη δόξα, λέγει· Ἔτι καὶ ἔτι. Goar. p. 163. Καὶ μετὰ τὴν τρίτην δόξαν ὁ διάκονος τὰ αὐτά, ὁ ἱερεύς· Ὅτι εὐλόγηται καὶ δεδόξαται, καὶ αὖθις· Εἰρήνη πᾶσιν. Καὶ ψαλλομένου τοῦ Κύριε ἐκέκραξα, ὁ ἱερεὺς θυμιᾷ τὴν ἁγίαν τράπεζαν, τὸ ἱερατεῖον καὶ τὸ διακονικόν, εἶτα λαμβάνει ὁ διάκονος τὸ θυμιατὸν καὶ θυμιᾷ συνήθως. Ὅτε δὲ ἔλθῃ τὸ Δόξα καὶ νῦν, εἰσοδεύουσι μετὰ τοῦ θυμιατοῦ, εἰ δὲ ἔνι εἰπεῖν εὐαγγέλιον, ὡς τοῦ Προδρόμου, τῶν ἁγίων μ' καὶ τῶν τριῶν τῆς μεγάλης ἑβδόμαδος ἡμερῶν, εἰσοδεύουσι μετὰ τοῦ εὐαγγελίου. Καὶ ὅτε εἰσέλθωσιν, ὁ διάκονος λέγει· Πρόσχωμεν. Ὁ ἱερεύς· Εἰρήνη πᾶσιν. Ὁ διάκονος· Σοφία. Ὁ ἀναγνώστης τὰ προκείμενα, ὁ διάκονος αὖθις· Σοφία. Ὁ ἀναγνώστης τὴν ἐπιγραφὴν ἕως τὸ Γενέσεως τὸ ἀνάγνωσμα. Ὁ διάκονος· Πρόσχωμεν. Καὶ τῶν ἁγίων θυρῶν ἀνεῳγμένων οὐσῶν, ἵσταται ἔμπροσθεν τῆς ἁγίας τραπέζης τὸ μανουάλιον μετὰ τοῦ θυμιατοῦ, καὶ πληρωθέντος τοῦ ἀναγνώσματος,

λέγει ὁ διάκονος· Κελεύσατε. Ὁ ἀναγνώστης τὰ προκείμενα. Ὁ διάκονος· Σοφία· ὀρθοί. Καὶ ὁ ἱερεύς, προλαβὼν καὶ κρατήσας ἀμφοτέραις χερσὶ τὸ μανουάλιον μετὰ τοῦ θυμιατοῦ, καὶ χαράττων σταυρόν, λέγει· Φῶς Χριστοῦ φαίνει πᾶσιν. Ὁ ἀναγνώστης ἐπιγραφὴν τοῦ δευτέρου ἀναγνώσματος. Ὁ διάκονος· Πρόσχωμεν. Καὶ μετατίθεται μανουάλιον μετὰ τοῦ θυμιατοῦ, κλειομένων τῶν ἁγίων θυρῶν. Ὅτε δὲ πληρωθῇ τὸ ἀνάγνωσμα, λέγει ὁ ἱερεύς· Εἰρήνη σοι. Ὁ διάκονος· Σοφία, πρόσχωμεν. Καὶ ψαλλομένου τοῦ Κατευθυνθήτω, κλίνουσι καὶ αὐτοὶ καὶ ἀνίστανται ἔμπροσθεν τῆς ἁγίας τραπέζης, ὥς ἐστι σύνηθες, εἰς δὲ τὸ τελευταῖον σπουδαιότερον βάλλουσι μὲν αὐτοὶ τὰς τρεῖς μετανοίας. Καὶ μετατίθησιν ὁ διάκονος τὸ εὐαγγέλιον, καὶ λαβὼν εὐλογίαν, ἐξέρχεται, λέγων· Εἴπωμεν πάντες. Εἰ δὲ ἔχει ἀπόστολον καὶ εὐαγγέλιον, ὡς τοῦ Προδρόμου καὶ τῶν ἁγίων μ΄, μετὰ τὸ Κατευθυνθήτω λέγει ὁ διάκονος· Πρόσχωμεν. Ὁ ἱερεύς· Εἰρήνη πᾶσιν. Ὁ διάκονος· Σοφία. Ὁ ἀναγνώστης· Ψαλμὸς τῷ Δαβίδ. Ὁ διάκονος· Σοφία. Ὁ ἀναγνώστης τὴν ἐπιγραφὴν τοῦ ἀποστόλου. Ὁ διάκονος· Πρόσχωμεν. Καὶ πληρωθέντος τοῦ ἀποστόλου, λέγει ὁ ἱερεύς· Εἰρήνη σοί. Ὁ διάκονος· Σοφία. Ὁ ἀναγνώστης· Ἀλληλούια, Ψαλμὸς τῷ Δαβίδ. Ὁ διάκονος· Πρόσχωμεν. Ἐν ὅσῳ δὲ λέγεται ὁ ἀπόστολος, θυμιᾷ συνήθως ὁ διάκονος, καὶ ψαλλομένου τοῦ Ἀλληλούια, αἰτεῖ συνήθως τὴν εὐχὴν ὁ διάκονος καὶ ἐξέρχεται, καὶ τοῦ ἱερέως εἰπόντος· Σοφία· ὀρθοὶ ἀκούσωμεν. Ὁ διάκονος· Ἐκ τοῦ κατὰ τὸν δεῖνα ἁγίου εὐαγγελίου τὸ ἀνάγνωσμα. Ὁ ἱερεύς· Πρόσχωμεν. Καὶ πληρωθέντος τοῦ εὐαγγελίου, λέγει ὁ διάκονος· Εἴπωμεν πάντες... Εἰ δὲ ἔνι μόνον εὐαγγέλιον, οἷον ἐν ταῖς τρισὶ τῆς μεγάλης ἑβδομάδος ἡμέραις, ἔτι ψαλλομένου τοῦ Κατευθυνθήτω, αἰτεῖ ὁ διάκονος τὴν εὐχήν, καὶ πληρουμένου τοῦ τελευταίου, ἐξέρχεται καὶ λέγει τὸ εὐαγγέλιον, καὶ οὕτως ἄρχεται· Εἴπωμεν πάντες κ. τ. λ. Goar. p. 164—165. (Ἡ μεγάλη εἴσοδος). Καὶ εἰσελθόντος τοῦ διακόνου καὶ θυμιάσαντος, ἑνούμενοι, λέγουσι τὸ Νῦν αἱ δυνάμεις, προσκυνοῦνται τρίς, καὶ εἰσοδεύουσι, λέγοντες τὸ Μνησθείη πάντων ὑμῶν. Καὶ εἰσελθόντες καὶ ἀποθέμενοι τὰ ἅγια, περικαλύπτει μετὰ τοῦ ἀέρος αὐτά, μηδὲν ἐπιλέγων, καὶ χαλῶν τὸ φελώνιον, οὕτως αἰτεῖ παρὰ τοῦ διακόνου τὴν εὐχήν, ἣν καὶ αὐτὸς αὐτῷ παρέχων, συνήθως λέγων· Πνεῦμα ἅγιον ἐπελεύσεται. Καὶ ὁ διάκονος· Μνήσθητί μου, δέσποτα ἅγιε. Καὶ ὁ ἱερεύς· Μνησθείη σου, ποιοῦντες καὶ τὰς τρεῖς μετανοίας. Εἶτα ἐξελθών, ὁ διάκονος λέγει· Πληρώσωμεν τὴν εὐχήν. Goar. p. 166—167. Καὶ ὁ ἱερεύς, ἔτι κεκαλυμμένων ὄντων τῶν ἁγίων, εἰσάγει ἠρέμα τὴν δεξιὰν αὐτοῦ χεῖρα, καὶ ἁπτόμενος τοῦ ἁγίου ἄρτου τοῖς δυσὶ δακτύλοις καὶ ὑψῶν αὐτόν, φωνοῦντος ἔξωθεν τοῦ διακόνου· Πρόσχωμεν. Ἐκφώνησις· Τὰ προηγιασμένα

ἅγια τοῖς ἁγίοις. Ὀφείλει ὑψοῦσθαι ὁ ἅγιος ἄρτος ἐνταῦθα, ὡς ἡρμήνευται, μὴ μέντοι ὑψωθεὶς ἐν τῇ τελείᾳ, εἰ δὲ ὑψώθη, οὐχ ὑψοῦται, πλὴν ἅπτεται τοῖς δυσὶ δακτύλοις, καὶ οὕτως αἴρει τὸν ἀέρα, τὸν ἀστερίσκον, καὶ τοῦ διακόνου εἰπόντος· Μέλισον, δέσποτα. Ὁ ἱερεὺς λέγει· Μελίζεται καὶ διαμερίζεται. Καὶ ἐμβαλόντος τοῦ ἱερέως τὴν μερίδα τῷ ἁγίῳ ποτηρίῳ, λέγει ὁ διάκονος· Εὐλόγησον, δέσποτα. Ὁ ἱερεύς· Εὐλογητὸς ὁ Θεός. На этомъ чинѣ обрывается. Не достаетъ конца.

л. 65—67. Два чтенія изъ Апостола и три чтенія изъ Евангелія.

CXXII. № 208. Λειτουργίαι καὶ εὐχολόγιον, рукопись Аѳоно-Есфигменской библіотеки въ 16 долю листа, 296 листовъ, писана мелкою, но четкою скорописью XVI в.

л. 1. Ἡ θεία λειτουργία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου.

л. 15. Ἡ θεία λειτουργία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου τοῦ Μεγάλου.

л. 32 об. Ἡ θεία λειτουργία τῶν προηγιασμένων. См. выше стр. 270.

л. 41. Молитвы вечернія. См. выше стр. 274. Не достаетъ начала первой молитвы.

л. 45 об. Εὐχαὶ ἑωθιναί. Молитвъ одинадцать. Goar. pag. 39—42. Опущена 11 молитва.

л. 54 об. Εὐχὴ εἰς γυναῖκα, ὅταν ἀποβάλλεται. Goar pag. 271.

л. 56. Ἀκολουθία τοῦ μικροῦ ἁγιασμοῦ. См. выше стр. 778—779, съ тою разницею, что предъ каждою стихирою положены припѣвы соотвѣтственно содержанію стихиръ.

л. 64 об. Τάξις, γινομένη ἐπὶ θεμελίῳ οἴκου.

Παραγίνεται ὁ ἀρχιερεὺς ἢ ἱερεὺς καὶ ποιεῖ εὐλογητόν, καὶ λεγομένου Τρισαγίου, αὐτὸς θυμιᾷ, μετὰ δὲ τὸ Πάτερ ἡμῶν, ἐκφωνεῖ· Ὅτι σοῦ ἐστι, καὶ λέγονται τροπάρια, εἴτε θεοτοκία, εἴτε κατανυκτικά, οἷα βούλοιτό τις, ἢ τῆς τυχούσης ἑορτῆς, καὶ μετὰ ταῦτα λέγει ὁ ἱερεύς· Τοῦ Κυρίου δεηθῶμεν. Καὶ λέγει τὴν εὐχὴν ταύτην· Ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ ποιήσας τὸν οὐρανὸν ἐν συνέσει... Goar. pag. 483. Εἶτα λέγει· Ἐλέησον ἡμᾶς... Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς... Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεός..., εἶτα Δόξα καὶ νῦν, καὶ ἀπολύει.

л. 65 об. Εὐχὴ ἐπὶ εὐλογίᾳ οἴκου.

Γίνεται καὶ ἐνταῦθα ἡ προγραφεῖσα ἀκολουθία, εἶτα ἡ εὐχή· Ὁ

Θεὸς ὁ Σωτὴρ ἡμῶν, ὁ καταξιώσας ὑπὸ τὴν σκηνὴν τοῦ Ζακχέου εἰσελθεῖν... Goar. pag. 484. Εἶτα μνημονεύει αὐτοὺς καὶ ἀπολύει.

л. 66. Εὐχὴ ἐπὶ οἴκῳ κατεργαζομένῳ.

Ποιεῖ καὶ ἐνταῦθα ὁ ἱερεὺς ὁμοίως, ὡς προεγράφη, εἶτα τὴν εὐχήν· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐπάνω πάσης ἀρχῆς καὶ ἐξουσίας, ὁ μέγας καὶ φοβερὸς ἐπὶ πάντας τοὺς περὶ κύκλῳ σου, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν ἐν ἰσχύϊ σου, καὶ κατορθώσας τὴν οἰκουμένην ἐν σοφίᾳ σου, ὁ πύλας συντρίψας χαλκὰς καὶ μοχλοὺς σιδηροὺς συνθλάσας, ὁ τὸν ἰσχυρὸν δήσας καὶ τὰ σκεύη αὐτοῦ διαρπάσας, ὁ τὸν δράκοντα τὸν μέγαν, τὸν σκολιόν, τῷ ἀγκίστρῳ τῆς ἐνανθρωπήσεως ἑλκύσας καὶ δεσμοῖς αὐτὸν ζόφου πεδήσας, αὐτός, Κύριε, ἡ ἀσφάλεια τῶν εἰς σὲ ἐλπιζόντων, τὸ ὀχυρὸν τεῖχος τῶν ἐπὶ σοὶ πεποιθότων, ἀπέλασον πᾶσαν διαβολικὴν ἐνέργειαν, πᾶσαν σατανικὴν ἔφοδον, πᾶσαν ἐπιβουλὴν ἐναντίας καὶ ἀντικειμένης δυνάμεως ἀπὸ τῆς οἰκίας ταύτης καὶ τῶν ἐν αὐτῇ κατοικούντων, τὴν σημείωσιν τοῦ φοβεροῦ σου τροπαίου κατὰ δαιμόνων, τὸν σταυρόν, φορούντων καὶ τὸ ὄνομά σου τὸ ἅγιον ἐπικεκλημένων. Ναί, Κύριε, ὁ τὸν λεγεῶνα τῶν δαιμόνων ἀποδιώξας, ὁ τῷ ἀκαθάρτῳ πνεύματι τὴν ἐκ τοῦ κωφοῦ καὶ ἀλάλου ἀνεπιστρόφως ἔξοδον ἐπιτάξας, ὁ φήσας τοὺς ἐπεγνωκότας σε πατεῖν ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ, αὐτὸς ἀνωτέρους πάσης ἐπιβουλῆς τοὺς ἐν τῷδε τῷ οἴκῳ διατήρησον, ῥυόμενος ἀπὸ φόβου νυκτερινοῦ, ἀπὸ συμπτώματος καὶ δαιμονίου μεσημβρινοῦ, ἵνα τῆς σῆς ἀπολαύοντες οἱ δοῦλοί σου ἀσφαλείας, ψάλλωμεν ὁμοφώνως· τὸ Κύριος ἡμῶν βοηθὸς καὶ οὐ φοβηθησόμεθα, τί ποιήσει ἡμῖν ἄνθρωπος, καὶ οὐ φοβηθησόμεθα κακά. Ὅτι σὺ μεθ' ἡμῶν εἶ, ὁ Θεός, ὁ κραταιὸς καὶ αἰώνιος, καὶ σοῦ μόνου ἐστὶ ἡ δόξα... εἶτα μνημονεύει αὐτοὺς καὶ ἀπολύει.

л. 67. Εὐχὴ λεγομένη εἰς τὸν σπόρον.

Δέσποτα Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ ἐκ τῆς ἀσπόρου ἀρούρας καὶ τῆς χώρας τῆς μὴ δεξαμένης σπορὰν βλαστήσας, τῆς ἀειπαρθένου [1]) καὶ Θεοτόκου Μαρίας, ὁ τοὺς ἁγίους σου μαθητὰς καὶ ἀποστόλους πέμψας εἰς τὴν οἰκουμένην [2]) σπεῖραι τὸν λόγον τῆς ἀληθείας, ὁ ἐπαυξήσας καὶ

---

[1]) Ркп. № 973 Син. библ. Нѣтъ упоминанія о Богоматери. [2]) Εἰς τὸν κόσμον σπεῖραι τὸν σπόρον τῆς γεωργίας καὶ ἐπαυξήσας καὶ πληθύνας τὰ ὡρεῖα τοῦ Ἰωσήφ, καὶ εὐλογήσας τὰ ἔργα τῶν χειρῶν αὐτοῦ, εὐλόγησον καὶ τὸ σπέρμα τοῦ δούλου σου τοῦδε, καὶ πλήθυνον καὶ αὔξησον τὴν γεωργίαν αὐτοῦ καὶ τὸν σορὸν αὐτοῦ, ἵνα χορτάσῃ δυνατοὺς καὶ ἀδυνάτους, πλουσίους καὶ πένητας, ἱερεῖς καὶ μοναχούς, ἵνα χορταζόμενοι, σοὶ δόξαν ἀναπέμπωσιν. Ὅτι πρέπει σοι πᾶσα δόξα...

πλεονάσας τὸν σπόρον τῆς γεωργίας αὐτῶν, ὁ εἰπὼν πᾶσι τοῖς ὑπὸ τοῦ σοῦ προστάγματος ἀνατείλασιν ἐπὶ τῆς γῆς· αὐξάνεσθε καὶ πληθύνεσθε καὶ πληρώσατε τὴν γῆν, ὁ τὴν ἑκατοστεύουσαν κριθὴν τοῦ Ἰσαὰκ εὐλογήσας καὶ τὰ ὡρεῖα Ἰωσὴφ πλατύνας, Αὐτός, Κύριε, εὐλόγησον τὸν καταβαλλόμενον τῇ γῇ σπόρον τοῦ δούλου σου τοῦδε, καὶ δὸς αὐτῷ τὴν μεγάλην σου εὐλογίαν, ἵνα χορτάσῃ πένητας καὶ ξένους, δυνατούς τε καὶ ἀδυνάτους, ὅπως χορταζόμενοι, σοὶ δόξαν ἀναπέμπωμεν σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι νῦν καὶ ἀεί.

л. 67 об. Τάξις, γινομένη εἰς χωράφιον ἢ εἰς ἀμπελῶνα, ἢ εἰς κῆπον, εἰ συμβῇ βλάπτεσθαι ὑπὸ ἑρπετῶν ἢ ἄλλης βλάβης. Goar p. 554—556. **Молитвы мученика Трифона нѣтъ.**

л. 69. Εὐχὴ εἰς ἅλωνα θέρους, καρπῶν πεπληρωμένην.

Πηγὴ τῶν ἀγαθῶν, Δέσποτα παμβασιλεῦ, καὶ εὐεργέτα τῶν σῶν ποιημάτων... Goar. p. 523.

— Εὐχὴ εἰς τὸ φυτεῦσαι ἀμπελῶνα.

Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή, καὶ ὁ Πατήρ σου ὁ γεωργός ἐστι. Goar p. 551.

л. 70. Εὐχὴ ἐπὶ τῇ τῶν σταφυλῶν εὐλογήσει.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ πρὶν μὲν τὴν γῆν τοῖς ἄνθεσι καλλωπίσας καὶ καρποφορίᾳ φυτῶν ἅπαν τὸ ταύτης πρόσωπον ὡραΐσας, ἄρτι δὲ διὰ τῆς τῶν στοιχείων τετρακτύος τῆς γῆς, φημὶ καὶ τῶν σταγόνων τοῦ ὑετοῦ, τῆς τε τοῦ ἀέρος εὐκρασίας, καὶ τῆς θερμότητος τοῦ ἡλίου, τούτους πεπείρους γενέσθαι εὐδοκήσας, εὐλόγησον καὶ τὰς σταφυλὰς ταύτας τῇ σῇ ἀγαθότητι, ὅπως ὦσιν ἡμῖν εἰς εὐφροσύνην καὶ εὐχαριστίαν τῆς ἀπείρου ἰσχύος τοῦ κράτους σου, καὶ δι' αὐτῶν προσφέρωμέν σοι δῶρα εἰς ἱλασμὸν τῶν ἡμετέρων ἁμαρτιῶν διὰ τοῦ ἱεροῦ καὶ ζωοποιοῦ καὶ ἁγίου σώματος καὶ αἵματος τοῦ Χριστοῦ σου, μεθ' οὗ εὐλογητὸς εἶ ἐν τῷ παναγίῳ Πνεύματι.

л. 71. Εὐχὴ εἰς τρύγην ἀμπέλου. Goar. p. 552.

л. 71 об. Εὐχὴ ἐπὶ εὐλογίᾳ οἴνου. Goar. p. 553.

л. 72. Εὐχὴ εἰς εὐλογίαν ἐλαίου.

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τοῖς ἐν τῇ κιβωτῷ τοῦ Νῶε περιστερὰν ἀποστείλας, κάρφος ἐλαίας ἔχουσαν ἐπὶ τοῦ στόματος, καταλλαγῆς σύμβολον, σωτηρίας τε τῆς ἀπὸ τοῦ κατακλυσμοῦ καὶ τὸ τῆς χάριτος μυστήριον δι' ἐκείνων προτυπώσας, ὁ καὶ τῆς ἐλαίας τὸν καρπὸν εἰς ἀποπλήρωσιν τῶν ἁγίων σου μυστηρίων χορηγήσας, ὁ δι' αὐτοὺς καὶ τοὺς ἐν νόμῳ Πνεύματος ἁγίου πληρώσας καὶ τοὺς ἐν τῇ χάριτι τελειῶν,

αὐτὸς εὐλόγησον καὶ τοῦτο τὸ ἔλαιον τῇ δυνάμει καὶ ἐνεργείᾳ καὶ ἐπιφοιτήσει τοῦ ἁγίου σου Πνεύματος, ὥστε γενέσθαι αὐτὸ χρίσμα ἀφθαρσίας, ὅπλον δικαιοσύνης, ἀνακαινισμὸν ψυχῆς καὶ σώματος, πάσης διαβολικῆς ἐνεργείας ἀποτρόπαιον, εἰς ἀπαλλαγὴν καὶ κάθαρσιν πάντων τῶν χριομένων πίστει, ἢ καὶ μεταλαμβανόντων ἐξ αὐτοῦ, εἰς δόξαν σὴν καὶ τοῦ μονογενοῦς σου Υἱοῦ καὶ τοῦ ζωοποιοῦ σου Πνεύματος...

л. 72 об. Εὐχὴ εἰς τὸ θέρος. Goar. p. 524.

л. 73. Εὐχὴ ἐπὶ ὀρύξει φρέατος. Goar p. 550.

л. 73 об. Εὐχὴ ἐπὶ μιαροῦ τινος, ἐμπεσόντος εἰς φρέαρ. Χρὴ πρῶτον ἀντλῆσαι ἐκ τοῦ φρέατος κάδους μ' καὶ ἐκχέειν, εἶτα βαλεῖν ὕδωρ τῶν ἁγίων Θεοφανίων σταῦροειδῶς ἐκ γ', ψάλλοντα Τρισάγιον καὶ τὸν Ν', ἅψαι τε καὶ κηροὺς καὶ θυμιάσαι πέριξ, καὶ οὕτως ἐπεύξασθαι. Τοῦ Κυρίου δεηθῶμεν. Δέσποτα Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ δοὺς ἐξουσίαν καὶ ἐντολὴν τοῖς δούλοις σου, τοῖς προφήταις καὶ ἀποστόλοις, ἐν τῷ λόγῳ σου καθαρίζειν πάντα μολυσμὸν καὶ πᾶν ἀκάθαρτον, δεόμεθά σου, καθὼς ἐκαθάρισας τὰ ὕδατα ἐν τῇ ἐρήμῳ διὰ Μωσέως τοῦ δούλου σου, καὶ καθὼς ἐγλύκανας τὰ πικρὰ καὶ πονηρὰ ὕδατα δι' Ἐλισσαίου τοῦ προφήτου, καὶ ἡγίασας τὰ ὕδατα τοῦ Ἰορδάνου, καὶ τοῖς διαβῆβασί σου εὐλόγησας τὴν θάλασσαν, οὕτω καὶ νῦν εὐλόγησον τὸ ὕδωρ τοῦτο ἐν τῇ δυνάμει τοῦ Πνεύματός σου τοῦ ἁγίου, καὶ δὸς πᾶσι τοῖς ἐξ αὐτοῦ χρωμένοις, εἴ τε διὰ πόσεως, εἴ τε διὰ ἄλλης τινὸς χρείας, ὑγείαν, καθαρισμὸν ἀπὸ πνεύματος πονηροῦ, ἀπὸ παντὸς ἀκαθάρτου. Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις...

л. 74. Εἰ δὲ ἐν ἑτέρῳ σκεύει καινῷ ἐμπέσῃ μιαρόν, χρὴ αὐτὸ πλύνεσθαι, καὶ βαλλομένου ἁγιάσματος σταυροειδῶς, λέγεσθαι καὶ τὴν εὐχὴν ταύτην· Δέσποτα καρδιογνῶστα, ὁ ἐπιστάμενος τὰ ἀπόῤῥητα. См. выше стр. 468, прим. 1—6.

л. 75. Εἰ δὲ συμβῇ μιαρόν τι ἢ ἀκάθαρτον προσφάτως ἐμπεσεῖν εἰς τὸ ἀγγεῖον οἴνου ἢ ἐλαίου. Goar. p. 481. Послѣ молитвы καὶ ἐπιχέων αὖθις τὸ ἁγίασμα τρίτον σταυροειδῶς, ἀπογευέσθω πρῶτον ὁ ἱερεὺς τοῦ οἴνου ἢ τοῦ ἐλαίου. Εἰ δέ γε συμβῇ τὸ ἐμπεσὸν κ. τ. λ. Ibidem.

л. 76. Εὐχὴ ἐπὶ μιαροφαγησάντων. Goar. p. 534.

л. 77. Εὐχὴ ἐπὶ ἀνομβρίᾳ. Goar. p. 613.

л. 77 об. Εὐχὴ ἑτέρα τῇ αὐτῇ ὑποθέσει.

Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ ἀνάγων νεφέλας ἐξ ἐσχάτου τῆς γῆς... Goar. p. 514.

л. 78. Εὐχὴ ἐπὶ ἀποδημούντων.

Ὁ Θεὸς ὁ Θεὸς ἡμῶν, ὁ συνοδεύσας τῷ θεράποντί σου Ἰακὼβ, καὶ συνξενητεύσας τῷ δούλῳ σου Ἰωσήφ. См. выше стр. 33.

— Εὐχὴ, λεγομένη ἐν λιτῇ διὰ φόβον.

Πάλιν σοῦ, Κύριε, τοῦ φιλανθρώπου, μνήμη παιδείας, καὶ πάλιν δούλων ἀχρείων συγχωρήσεως δεήσεις γινωσκόντων. Goar p. 636.

л. 79. Εὐχὴ ἐπὶ ἐξομολογουμένων.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τῷ Πέτρῳ καὶ τῇ πόρνῃ διὰ δακρύων ἄφεσιν ἁμαρτιῶν δωρησάμενος. Goar pag. 537.

л. 79 об. Εὐχὴ, ἡ λεγομένη ἀφέσιμος.

Ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, συγχωρήσοι σοι, πνευματικόν μου τέκνον. См. выше стр. 781.

л. 80. Εὐχὴ ἐπὶ τῶν προπετῶς ὀμνυόντων. См. выше стр. 286.

— Εὐχὴ ἐπὶ τῶν ἀλόγως ὑπό τινων ἀφοριζομένων ἢ λόγῳ ἑαυτοὺς δεσμευόντων.

Ὁ Θεὸς ὁ φοβερὸς καὶ δυνατός, ὁ διὰ τοὺς σοὺς οἰκτιρμοὺς ἐξαποστείλας τὸν μονογενῆ σου Υἱὸν εἰς τὸν κόσμον. Goar. p. 531.

л. 81. Ἐρώτησις ἐκ τῶν τοῦ ἁγίου Ἀναστασίου τοῦ Σιναΐτου· Ἐάν τις ὁρίσῃ τι ἀγαθόν...

л. 81 об. Εὐχὴ ἐπὶ τεθνεότι, ἀφορισθέντι ὑπό τινος, ὅτε ἐν τῷ βίῳ ὑπῆρχεν, ἀναγινώσκεται δὲ ὑπὸ ἀρχιερέως μετὰ τὴν θείαν λειτουργίαν· Δέσποτα πολύελεε Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ ἐπὶ τῷ κορυφαίῳ τῶν σῶν μαθητῶν καὶ ἀποστόλων Πέτρῳ... Goar. pag. 546.

л. 82. Εὐχὴ ἐπὶ πυρεττόντων.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὰ χρόνια καὶ δεινὰ πάθη λόγῳ μόνῳ θεραπεύσας... Goar pag. 549.

л. 83. Εὐχὴ ἐπὶ λογισμῶν αἰσχρῶν. Goar. pag. 536.

л. 84. Εὐχὴ, λεγομένη ἐπὶ ἀνοίξει ναοῦ, ἐν ᾧ συνέβη θανεῖν ἄνθρωπον βιαίως, ἢ ζῶον ἄλογον, κατὰ τὸν πάλαι νόμον ἀκάθαρτον, ἢ θανεῖν, ἢ γεννῆσαι. Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ διὰ πολλὴν καὶ ἄφατον ἀγαθότητα... ἀνδροκτόνου διαβόλου ἢ ἀλόγου θανάτῳ ζώου, ἢ γεννῆσαι κατὰ τὸν πάλαι σὸν ἅγιον νόμον ἀθύτου καὶ ἀκαθάρτου, Αὐτὸς πάλιν... Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν. Goar. pag. 496.

л. 85. Τάξις, γινομένη ἐπὶ τῶν ἀρνουμένων τὴν πίστιν ἐν γνώσει ἢ ἀγνοίᾳ, ἔπειτα διὰ μετανοίας ἐπιστρεφόντων.

Εἰ μὲν παιδίον συνελήφθη... Goar p. 689. Ἐγγίζοντος δὲ τοῦ πληρώματος τῶν δύο τεσσαρακοστῶν, ἐπὶ ἡμέρας ἑπτὰ δεχέσθωσαν εὐχὰς ἱλαστηρίους, καὶ ἀπὸ τῶν συνευρισκομένων πάντων τὸν ἐξιλασκόμενον

ὕμνον ὑπὲρ αὐτοῦ τῷ ἱερεῖ ποιείτωσαν, ἤγουν λεγέτωσαν ἐκτενῶς τὸ Κύριε ἐλέησον ρ', καὶ ὡς ἀνωτέρω διεταξάμεθα, λουέσθωσαν καὶ χριέσθωσαν μύρῳ, καὶ λειτουργίας γινομένης, ἀξιούσθωσαν τῶν ἁγίων μυστηρίων, σχολάζοντες, καθὼς οἱ φωτιζόμενοι, τῇ ἐκκλησίᾳ καὶ τῇ λειτουργίᾳ τὰς ὀκτὼ ἡμέρας. Εἰ δέ τινες ἀπὸ προαιρέσεως ηὐτομόλησαν. Goar. pag. 693, not. r. Αἱ δὲ ἱλαστήριοι εὐχαί, ἃς ποιεῖ ὁ ἱερεύς, εἰσὶν αὗται· Δίκαιος εἶ Κύριε, καὶ εὐθεῖς αἱ κρίσεις σου... Goar. p. 689. Εὐχὴ ἑτέρα ἱλαστική· Κύριε, Κύριε, ὁ τῶν πάντων ποιητὴς καὶ Δεσπότης, ἡ πηγὴ τῆς ἀγαθότητος... Goar p. 690.

л. 89. Τάξις, γινομένη περὶ χριστιανοὺς μαγαρίσαντας.

Λαμβάνει ἐπιτίμιον, μὴ φαγεῖν κρέας, ἢ ὀψάριον, ἢ τυρόν, ἢ ᾠόν, ἢ ἔλαιον, καὶ οἶνον μὴ πιεῖν, τρέφεσθαι δὲ ἄρτῳ καὶ ὕδατι, ἕως ἡμερῶν τεσσαράκοντα, καὶ ποιεῖν καθ' ἑκάστην μετανοίας ἑκατόν, καὶ λέγειν ἐν ἑκάστῃ τὸ ὁ Θεὸς ἱλάσθητί μοι, καὶ λαμβάνειν τὴν εὐχήν· Κύριε, Κύριε, ὁ τῶν πάντων.. Goar p. 690. Πληρωθεισῶν δὲ τῶν εἰρημένων ἡμερῶν, ἵστησιν αὐτὸν ὁ ἱερεύς, βλέποντα πρὸς δυσμάς, κάτω τὰς χεῖρας ἔχοντα, καὶ λέγει τρίτον· Ἀποτάσσομαι τῷ σατανᾷ, καὶ πᾶσι τοῖς ἔργοις αὐτοῦ, καὶ πᾶσι τοῖς ἀγγέλοις αὐτοῦ, καὶ πάσῃ τῇ λατρείᾳ αὐτοῦ, καὶ πάσῃ τῇ πομπῇ αὐτοῦ· ἀποτάσσομαι καὶ τῷ Μουχουμέτ, καὶ πᾶσι τοῖς δόγμασιν αὐτοῦ, καὶ πάσῃ τῇ αἱρέσει αὐτοῦ· Καὶ ἀποκρίνεται ταῦτα ἐκ τρίτου.

л. 90. Ἀκολουθία εἰς ἀρχάριον ῥασοφοροῦντα. См. выше стр. 276.

л. 91. Ἀκολουθία τοῦ πρώτου σχήματος, ἤτοι τοῦ μανδύου.

Μετὰ τὸ κρουσθῆναι τὸ ξύλον τῆς λειτουργίας... См. выше стр. 276. Δεῖ δὲ εἰδέναι, ὡς εἰ μέν ἐστιν ὁ ἡγούμενος ἱερεύς, ἐρωτᾶται παρ' αὐτοῦ, εἰ δ' οὐκ, ἐπερωτᾶται παρὰ τοῦ ἱερέως τοῦ τὴν ἐφημερίαν λαχόντος. Εἰ δὲ χωρὶς λειτουργίας μέλλει γίνεσθαι, ποιεῖ ὁ ἱερεὺς εὐλογητόν, καὶ ἄρχεται τῶν ἀντιφώνων· Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον... Αἴνει ἡ ψυχή μου τὸν Κύριον. Εἶθ' οὕτως ἄρχεται τοὺς μακαρισμούς· Ἐν τῇ βασιλείᾳ σου μνήσθητι ἡμῶν, Κύριε. Οἱ μακαρισμοὶ ἦχος δ'. См. выше стр. 384—385 Καὶ εὐθὺς παρόντα κατανυκτικά. Тамъ-же. Послѣ Ῥῦσαι ἡμᾶς ἐκ τῶν ἀναγκῶν ἡμῶν... Ἄνοιξον τὰ τῆς καρδίας σου ὦτα, ἀδελφέ... Goar p. 383—384. Εἶτα τὴν εὐχὴν ταύτην· Ὁ πανοικτίρμων Θεὸς καὶ πολυέλεος, ὁ τὰ ἄχραντα σπλάγχνα... Goar. pag. 384—385. Καὶ κλίνας τὴν κεφαλὴν ὁ κειρόμενος, λέγει ὁ ἱερεὺς τὴν εὐχὴν ἐπάνω τῆς κεφαλῆς αὐτοῦ· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἀξίους εἶναι νομοθετήσας... Goar. pag. 385. Εἰρήνη πᾶσιν. Τὰς κεφαλάς. Κύριε ὁ Θεὸς ἡμῶν, ἡ

ἐλπὶς καὶ καταφυγή... Ibidem. Εἶτα ἐκτείνει τὴν χεῖρα ὁ ἱερεὺς εἰς τὸ ἅγιον εὐαγγέλιον, λέγει· Ἰδοὺ ὁ Χριστὸς ἀοράτως... Ἀπόκρισις· Ναί, τίμιε πάτερ, ἐκ προαιρέσεως. Καὶ μετὰ τὸ συντάξασθαι λέγει πρὸς αὐτὸν ὁ ἱερεύς· Λάβε τὸ ψαλίδιον καὶ ἐπίδος μοι αὐτό. Καὶ λαβὼν τὸ ψαλίδιον ἐκ τοῦ ἁγίου εὐαγγελίου, λέγει πρὸς αὐτὸν ὁ ἱερεύς· Ἰδοὺ ἐκ τῆς χειρὸς τοῦ Χριστοῦ λαμβάνεις... Καὶ λαβὼν ὁ ἱερεὺς τὸ ψαλίδιον ἐκ τῶν χειρῶν αὐτοῦ, λέγει· Εὐλογητὸς ὁ Θεός, ὁ θέλων πάντας ἀνθρώπους σωθῆναι... Εἶτα κουρεύει αὐτὸν σταυροειδῶς, λέγων· Ὁ ἀδελφὸς ἡμῶν, ὁ δεῖνα, κείρεται τὴν κόμην τῆς κεφαλῆς αὐτοῦ... Ὁ λαός· τὸ Κύριε ἐλέησον γ'. Ὁ ἀδελφὸς ἡμῶν, ὁ δεῖνα, ἐνδύεται χιτῶνα... κ. τ. λ. Goar. pag. 386. Ὁ ἀδελφὸς ἡμῶν, ὁ δεῖνα, περιβάλλεται τὴν περικεφαλαίαν... Ὁ ἀδελφὸς ἡμῶν, ὁ δεῖνα, ὑποδύεται τὰ σανδάλια... Ὁ ἀδελφὸς ἡμῶν, ὁ δεῖνα, ἔλαβε τὸ μοναδικὸν σχῆμα εἰς τὸ ὄνομα τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ... Εἶτα ὁ ἱερεύς· Τοῦ Κυρίου δεηθῶμεν, καὶ εὐχὴ ἐπάνω τῆς κεφαλῆς αὐτοῦ· Κύριε, Κύριε, ἡ δύναμις τῆς σωτηρίας ἡμῶν, ὁ εὐλογήσας ἡμᾶς ἐν πάσῃ εὐλογίᾳ... Goar p. 392. Εἶτα πάλιν· Τοῦ Κυρίου δεηθῶμεν. Καὶ ἡ ἑτέρα εὐχή· Κύριε ὁ Θεὸς ἡμῶν, εἰσάγαγε τὸν δοῦλον, τόνδε, εἰς τὴν πνευματικήν σου αὐλήν... Goar. p. 386. Καὶ παραλαμβάνουσιν αὐτὸν οἱ ἀδελφοὶ εἰς τὸν νάρθηκα, κουρεύουσιν αὐτόν, λέγοντες τὸν ἄμωμον. Ὁ δὲ ἱερεύς, εἰ ἔστι λειτουργία, λέγει τὴν συναπτὴν Τρισαγίου, εἰ δ' οὐκ, τὸ προκείμενον τοῦ ἀποστόλου. Далѣе прокименъ, апостолъ и евангеліе тѣ-же, что у Гоара, pag. 387. Μετὰ τὴν συμπλήρωσιν τοῦ εὐαγγελίου ὁ ἀποκαρεὶς ἀδελφὸς ἀσπάζεται τὸ εὐαγγέλιον καὶ τὸν προεστῶτα καὶ τοὺς ἀδελφούς, καὶ ἵσταται, ἔνθα ἐπιταγῇ. Ἐν δὲ τῷ ἀσπασμῷ ψάλλεται τὸ παρὸν ἰδιόμελον, ἦχος α'. Ἐπιγνῶμεν, ἀδελφοί, τοῦ μυστηρίου τὴν δύναμιν... Goar. p. 387. Στίχος· Ἀγαπήσατε τὸν Κύριον. Στίχος· Ἀγαλλιάσεται τὰ χείλη μου, ὅταν ψάλλω... Δόξα καὶ νῦν, Χαῖρε, Θεοτόκε Παρθένε, χαῖρε, καύχημα τῆς οἰκουμένης... Καὶ μετὰ τὸν ἀσπασμόν, εἰ οὐκ ἔστι λειτουργία, γίνεται ἐκτενὴ παρὰ τοῦ ἱερέως καὶ ἀπόλυσις.

*л.* 97 *об.* Εὐχή, λεγομένη ἰδίως εἰς τὰς κ α ν ο ν ι κ ά ς· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὴν παρθενίαν οὕτως ἀγαπήσας... Goar. p. 382.

— Ἀκολουθία τοῦ μεγάλου καὶ ἀγγελικοῦ σχήματος. См. выше стр. 278—279. Ἐνδυομένου δὲ τοῦ ἀδελφοῦ, ψάλλεται παρὰ τῶν παρόντων τροπάριον, ἦχος δ', Ἐνδύσασθε χιτῶνα τῆς σωτηρίας... Στίχος. Αὕτη ἡ πύλη τοῦ Κυρίου... Ἀγαλλιᾶσθε τῷ Θεῷ, τῷ βοηθῷ... Ἀγαλλιάσθω ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ... Μεγάλων χαρισμάτων, ἁγνὴ Παρθένε, μόνη Μήτηρ Θεοῦ, ἠξιώθης... Κλίνοντος δὲ τὴν κεφαλὴν τοῦ τὸ σχῆμα λαβόντος, λέγει ὁ ἱερεύς· Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς

ἡμῶν, ὁ πιστὸς ἐν ταῖς παραγγελίαις σου... Goar p. 411. Εἰρήνη πᾶσιν. Τὰς κεφαλὰς ἡμῶν... Κύριε ὁ Θεὸς ἡμῶν, εἰσάγαγε τὸν δοῦλόν σου... Goar p. 412. Τούτων οὕτω τελεσθέντων, εἰ μὲν ἔστι λειτουργία, γίνεται ὁ ἀσπασμὸς οὕτως· αἴρει ὁ ἱερεὺς τὸ ἅγιον εὐαγγέλιον, καὶ ἀσπάζεται αὐτὸ ὁ τὸ σχῆμα λαβών, καὶ τὸν προεστῶτα, καὶ τὸν ἱερέα, εἶτα καὶ τοὺς ἀδελφούς, διίστησιν ἱσταμένους κατὰ τάξιν, ἀσπαζόμενοι πρῶτον τὸ ἅγιον εὐαγγέλιον, εἶτα καὶ τὸν ἀδελφόν. Ἐν δὲ τῷ ἀσπασμῷ λέγεται· Ἐπιγνῶμεν, ἀδελφοί, τοῦ μυστηρίου τὴν δύναμιν... Goar. p. 414. Καὶ τοῦτο πολλάκις λέγεται μετὰ τῶν ὑποκειμένων στίχων· Ἀγαπήσατε τὸν Κύριον πάντες οἱ ὅσιοι αὐτοῦ... Ἀγαλλιάσεται τὰ χείλη μου... Χαῖρε, Θεοτόκε Παρθένε, χαῖρε, καύχημα τῆς οἰκουμένης... Καὶ εὐθὺς παραλαμβάνουσιν αὐτὸν οἱ ἀδελφοὶ εἰς τὸ διακονικόν, ἢ εἰς τὸν νάρθηκα, καὶ κουρεύουσιν αὐτόν, ψάλλοντες τὸν ἄμωμον. Ὁ δὲ ἱερεὺς λέγει· Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης... Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος... Ὑπὲρ τοῦ ἁγίου οἴκου... Ὑπὲρ τοῦ ἀδελφοῦ ἡμῶν τοῦδε... Ὑπὲρ τοῦ ἀμέμπτως καὶ ἀκατακρίτως... Ὑπὲρ τοῦ φωτισθῆναι τὴν ψυχὴν αὐτοῦ... Ὑπὲρ τοῦ ἀπαλλαγῆναι αὐτόν... Ὑπὲρ τοῦ διάγειν αὐτὸν ἐν πάσῃ εὐλαβείᾳ καὶ σεμνότητι καὶ τελείῳ φόβῳ Θεοῦ, τοῦ Κυρίου δεηθῶμεν. Ὑπὲρ τοῦ ἀποθέσθαι αὐτὸν παλαιὸν ἄνθρωπον καὶ ἐνδύσασθαι τὸν νέον, τὸν κατ' εἰκόνα Θεοῦ κτισθέντα... Ὑπὲρ ἀφέσεως ἁμαρτιῶν... Ὑπὲρ τοῦ ῥυσθῆναι... Ἀντιλαβοῦ.. Τῆς παναγίας... Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν... Εἶτα τὸ Τρισάγιον, μεθ' οὗ τὸ προκείμενον. Далѣе прокименъ, апостолъ и евангеліе тѣ же, что у Goar p. 413. Μετὰ γοῦν τὴν συμπλήρωσιν τοῦ εὐαγγελίου, εἰ βούλει, ψάλλονται τὰ παρόντα τροπάρια εἰς ἦχον α'· Ἀκολουθήσωμεν, ἀδελφοί, ἀγαθῷ Δεσπότῃ.. Στίχος· Ἐξαπόστειλον τὴν χεῖρά σου ἐξ ὕψους... Ὁ βασιλεὺς τῶν οὐρανῶν, τὰς χεῖρας ὑφαπλώσας, ἡμᾶς προσκαλεῖται... Goar. p. 415. Ἵσταται δὲ ὁ νεοκατήχητος ἐν ᾧ ἐπιταγῇ τόπῳ μέχρι συμπληρώσεως τῆς θείας λειτουργίας. Τελεσθείσης δὲ τῆς λειτουργίας, ἅπτουσιν οἱ ἀδελφοὶ τοὺς κηροὺς αὐτῶν, καὶ ἀπέρχονται μετὰ τοῦ νεοκουρήτου εἰς τὴν τράπεζαν, ὀψικεύοντες αὐτόν, καὶ ψάλλοντες τὸ παρὸν τροπάριον, ἦχος δ'. Κύριε, Κύριε, ἐπίβλεψον ἐξ οὐρανοῦ. Καὶ λέγομεν τοῦτο πολλάκις. Ἡ λαμπὰς ἡ ἄσβεστος, ὁ θρόνος τῆς μεγαλωσύνης... Εἶθ' οὕτως τὸ Ὑψώσω σε, ὁ Θεός μου... Προσκαρτερεῖ δὲ ὁ νεόκουρος ἐν τῇ ἐκκλησίᾳ τὰς ζ' ἡμέρας.

л. 120. Ἀποστολο-ευαγγέλια τῆς ὅλης ἑβδομάδος.

л. 128. Ἀποστολο-ευαγγέλια εἰς διαφόρους ἁγίους.

л. 136. Εἰς τὰς δεσποτικὰς ἑορτὰς καὶ ἄλλας ἐπισήμους ἡμέρας τῶν μηνῶν ἀποστολο-ευαγγέλια τοῦ ὄρθρου καὶ τῆς λειτουργίας.

л. 174 об. Τὰ ἀπὸ τοῦ τελώνου καὶ φαρισαίου ἕως τῆς κυριακῆς τῶν ἁγίων πάντων.

л. 225. Προκείμενα ἀναστάσιμα τῶν ὀκτωήχων, ἤτοι εἰς τὸν ὄρθρον.

л. 225 об. Εὐαγγέλια ἑωθινὰ τὰ ια'.

л. 234. Εὐαγγέλια τοῦ ὄρθρου εἰς διαφόρους ἁγίους.

л. 236. Ἀκολουθία τοῦ μεγάλου ἁγιασμοῦ, τελουμένη τῇ ἡμέρᾳ τῶν Φώτων.

л. 253. Ἀκολουθία τοῦ εὐχελαίου.

Συνάγονται ἑπτὰ ἱερεῖς, ἢ τρεῖς κατὰ ἀνάγκην, καὶ ποιήσαντος τοῦ πρώτου ἱερέως εὐλογητόν, ψάλλεται παρὰ πάντων τὸ Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου. См. А. Дмитріевскій. въ Прилож. къ Богослуж. въ русск. ц. въ XVI в. стр. 120—135. Разница въ томъ, что нѣтъ послѣ молитвы: Κύριε, ὁ ἐν τῷ ἐλέει καὶ τοῖς οἰκτιρμοῖς, замѣчанія: ἕκαστος οὖν τῶν ἱερέων и т. д. См. Прилож. стр. 121. Послѣ молитвы: Ἄναρχε, ἀδιάδοχε, ἅγιε ἁγίων, тамъ же стр. 123 положенъ тропарь: Κύριε, ὅπλον κατὰ τοῦ διαβόλου, ἕως τέλους, καὶ σφραγίζων τὴν κεφαλὴν αὐτοῦ ἐκ γ', λέγει· Εἰσάκουσόν μου, Κύριε. Εἰσάκουσόν μου, Δέσποτα. Εἰσάκουσόν μου, Ἅγιε. Καὶ ἀνάπτει τὴν θρυαλλίδα, καὶ λαβὼν ἅγιον ἔλαιον, ἀλείφει τὸν προσελθόντα, λέγων τὴν εὐχὴν ταύτην μυστικῶς, μᾶλλον δὲ πρὸ τῆς εὐχῆς λέγει· Ἡ βοήθεια ἡμῶν ἐν ὀνόματι Κυρίου. Πάτερ ἅγιε, ἰατρὲ ψυχῶν καὶ σωμάτων. См. Прилож. стр. 123.

Ἀκολουθία τοῦ ἐξοδιαστικοῦ. См. выше стр. 228—285 и прим.

CXXIII. № 214. Εὐχολόγιον, рукопись той-же библіотеки, въ 24 долю листа, 173 листа, писана скорописью XVI вѣка. Нѣтъ ни начала, ни конца.

л. 1. Чинъ монашескаго погребенія безъ начала.

л. 31 об. Чинъ елеосвященія надъ мертвыми.

*Ποιεῖ ὁ ἱερεὺς πρῶτος εὐλογητὸν ἐπάνω τοῦ τάφου, καὶ ἀρχόμεθα· Ὁ κατοικῶν ἐν βοηθείᾳ, καὶ τὸ Ἀλληλούια. Ὁ βάθει σοφίας... Σὲ καὶ τεῖχος καὶ λιμένα, τὸν Ν' καὶ τὸν κανόνα, ᾠδὴ α', ἦχος πλ. δ'· Θανάτῳ τὸν θάνατον τοῦ Χριστοῦ. . Νεότητος πταίσματα παρορῶν, καὶ τὰς ἁμαρτίας ὑπερβαίνων, Χριστὲ Σωτήρ...* По 9 пѣсни ексапостиларій и стихиры: *Βασιλικῶς μοι ὑπέγραψας ἐλευθερίαν βαφαῖς* и др. *Εἶτα τίθεται τὸν σῖτον καὶ ἔλαιον, καὶ λέγουσι τὴν εὐχὴν ταύτην οἱ ἑπτὰ ἱερεῖς· Δέσποτα πολυέλεε, Κύριε ὁ Θεὸς ἡμῶν, ὁ διαφόρους ἡμῖν ὁδοὺς σωτηρίας ὑποδείξας, καὶ πολυτρόπως τὴν σωτηρίαν τῶν ἁμαρτωλῶν λαβεῖν*

κηδόμενος... Προκείμενον· Ἡ ψυχὴ αὐτοῦ ἐν ἀγαθοῖς... στίχος· Μακαρία ἡ ὁδός.. Πρὸς Κορινθίους· Ἀδελφοί, Χριστὸς ἐκ νεκρῶν ἐγείγερται, ἀπαρχὴ τῶν κεκοιμημένων... Εὐαγγέλιον κατὰ Ἰωάννην· Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους· ἀμὴν λέγω ὑμῖν... Ἐλέησον ἡμᾶς κ. τ. λ. Τοῦ Κυρίου δεηθῶμεν. Μνήσθητι, Κύριε, τοῦ ἐν ἐλπίδι ἀναστάσεως... Ὁ β′ ἱερεὺς προκείμενον· Πρὸς σέ, Κύριε, ἐκέκραξα... Πρὸς Ῥωμαίους· Ἀδελφοί, οὕτω καὶ ὑμεῖς λογίζεσθε ἑαυτοὺς νεκροὺς μὲν εἶναι τῇ ἁμαρτίᾳ... Εὐαγγέλιον κατὰ Ἰωάννην· Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους· Ἀμήν, ἀμὴν λέγω ὑμῖν, ὅτι ὁ τὸν λόγον μου ἀκούων... Ὁ γ′ ἱερεὺς προκείμενον· Ἡ ψυχὴ αὐτοῦ ἐν ἀγαθοῖς... Πρὸς Ῥωμαίους· Ἀδελφοί, ὁ φρονῶν τὴν ἡμέραν, Κυρίῳ φρονεῖ... Εὐαγγέλιον κατὰ Ἰωάννην· Εἶπεν ὁ Κύριος πρὸς τοὺς πεπιστευκότας πρὸς αὐτὸν ἰουδαίους· ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς... Ἐλέησον ἡμᾶς... Δέσποτα Κύριε, ὁ Θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκός, ὁ διδοὺς καταστολὴν δόξης ἀντὶ πνεύματος ἀκηδίας... Goar. p. 437 (вырвано). Εὐαγγέλιον κατὰ Ἰωάννην· Εἶπεν ὁ Κύριος πρὸς τοὺς πεπιστευκότας πρὸς αὐτὸν ἰουδαίους· τοῦτό ἐστι τὸ θέλημα τοῦ πέμψαντός με Πατρός... Ἐλέησον ἡμᾶς. κ. τ. λ. Ὁ οἴκησιν τῶν οὐρανῶν ἔχων, καὶ πάντα διέπων τὰ ἐν τῇ γῇ. См. выше стр. 293. Ὁ πέμπτος ἱερεὺς προκείμενον· Ἡ ψυχὴ αὐτοῦ ἐν ἀγαθοῖς... Πρὸς Κορινθίους· Ἀδελφοί, οἴδαμεν, ὅτι ἐὰν ἡ ἐπίγειος ὑμῶν οἰκία τοῦ σκήνους καταλυθῇ... Κατὰ Ἰωάννην· Εἶπεν ὁ Κύριος πρὸς τοὺς πεπιστευκότας πρὸς αὐτὸν ἰουδαίους· ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς... Ἐλέησον ἡμᾶς... Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς ἡμῶν, ὅτι σοῦ μόνον τὸ ζῆν ἀθάνατον καὶ ἡ δόξα ἀκατάληπτος.., Goar. pag. 452. Ὁ ἕκτος ἱερεὺς προκείμενον· Ἡ ψυχὴ αὐτοῦ... Πρὸς Κορινθίους· Ἀδελφοί, ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς χοϊκός... Εὐαγγέλιον κατὰ Ἰωάννην· Εἶπεν ὁ Κύριος· ἀμήν, ἀμὴν λέγω ὑμῖν, ἐάν τις τὸν λόγον μου τηρήσῃ, θάνατον οὐ μὴ θεωρήσῃ εἰς τὸν αἰῶνα... Ἐλέησον ἡμᾶς... Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον. Goar p. 449. Εὐαγγέλιον κατὰ Ἰωάννην· Εἶπεν ὁ Κύριος· ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ Υἱοῦ τοῦ ἀνθρώπου καὶ μὴ πίητε αὐτοῦ τὸ αἷμα... Ὁ Θεὸς ἡμῶν, ὁ δημιουργὸς καὶ Σωτὴρ καὶ κριτὴς ζώντων καὶ νεκρῶν, ὁ κατάγων εἰς ᾅδου καὶ ἀνάγων... Καὶ εὐθὺς τὰ εὐλογητάρια, εἶτα· Ὁ Θεὸς τῶν πνευμάτων... Καὶ πληρουμένου τούτου, λέγει ὁ πρωτοπαπᾶς εἰς ἐπήκοον πάντων· Δέσποτα παντοκράτορ, Θεὲ πατέρων, καὶ Κύριε τοῦ ἐλέους, γένους παντὸς θνητοῦ τε καὶ θανάτου καὶ πάσης φύσεως ὁρατῆς τε καὶ νοουμένης δημιουργέ... Ἐλέησον ἡμᾶς... Καὶ λέγει τὴν εὐχὴν ἐπάνω τοῦ τάφου καὶ ἀπόλυσις.

л. 60. Ἀρχὴ σὺν Θεῷ εὐχελαίου εἰς ζῶντας.

Ποιεῖ ὁ ἱερεὺς ὁ πρῶτος εὐλογητόν, καὶ λέγει τὸ Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου... Ταχὺς εἰς ἀντίληψιν, Δόξα καὶ νῦν, Ἡ καταφυγὴ καὶ δύναμις..., εἶτα τὸν Ν', ὁ κανών· Ἐλέῳ τῆς εὐσπλαγχνίας, Δέσποτα... Goar. p. 332—334. Послѣ стихиръ, Τρισάγιον καὶ τὸ τροπάριον· Ταχὺς εἰς ἀντίληψιν... καὶ γίνεται ἐκτενὴ καὶ ἀπόλυσις. Εἶτα πάλιν ὁ πρῶτος ἱερεὺς εὐλογητὸν καὶ ἄρχεται· Ὁ κατοικῶν ἐν βοηθείᾳ, καὶ βάλλει τὸ ἔλαιον εἰς τὴν κανδήλην, καὶ λέγουσιν τὴν εὐχὴν ταύτην οἱ ζ' ἱερεῖς· Κύριε, ἐν ἐλέει καὶ τοῖς οἰκτιρμοῖς σου ἰώμενος... Goar. p. 337. Εἶτα ψάλλει τὰ τροπάρια ταῦτα, ἦχος α', Μητέρα σε Θεοῦ... Εὐσπλαγχνίας ὑπάρχουσα... Ἡ καταφυγὴ καὶ δύναμις... Τῇ Θεοτόκῳ ἐκτενῶς... Τῆς εὐσπλαγχνίας τὴν πύλην... Ὁ καρπὸς τῆς κοιλίας σου... Ἅγιοι ἀνάργυροι... Ἡ νοητὴ πύλη τῆς ζωῆς ἡμῶν... Καὶ ἄνθρωπος ποιεῖ μετανοίας γ', λέγων· Εὐλογεῖτε, δεσπόται.. ἐκ γ', καὶ ἄρχεται ὁ πρῶτος ἱερεύς· Ἐν εἰρήνῃ τοῦ Κυρίου... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τοῦ ἁγίου οἴκου... Ὑπὲρ τοῦ εὐλογηθῆναι τὸ ἔλαιον... Ὑπὲρ τοῦ γενέσθαι αὐτὸ χριομένῳ τῷ δούλῳ... Ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτῷ... Ἀντιλαβοῦ, σῶσον... Τῆς εὐσπλαγχνίας... Ὅτι πρέπει πᾶσα... Καὶ εὐθὺς προκείμενον· Γένοιτο, Κύριε, τὸ ἔλεός σου... Καθολικῆς ἐπιστολῆς Goar p. 337. Εὐαγγέλιον κατὰ Λουκᾶν· Τῷ καιρῷ ἐκείνῳ, νομικός τις προσῆλθε τῷ Ἰησοῦ. Goar pag. 337. Ἐλέησον ἡμᾶς... Ἄναρχε, ἀδιάδοχε... Goar. pag. 337. Καὶ μετὰ τὴν ἐκφώνησιν, λαβὼν παρὰ τοῦ β' ἱερέως τὸ ἅγιον ἔλαιον, κρατῶν αὐτό, ἐπιτίθησι τὰς χεῖρας τῇ κεφαλῇ τοῦ προσκαλεσαμένου, λέγων μυστικῶς τὴν εὐχὴν ταύτην· Πάτερ ἅγιε... Goar. p. 338. Καὶ μετὰ τὸ Ἀμήν, χρίει τοῦτον σταυροειδῶς, ἐπιλέγων· Ἡ βοήθεια ἡμῶν ἐν ὀνόματι Κυρίου..., εἰς τὴν δεξιὰν χεῖρα· Δεξιὰ Κυρίου ἐποίησε δύναμιν..., εἰς τὴν ἀριστεράν· Αἱ χεῖρές σου ἐποίησαν. Ὁ δεύτερος ἱερεὺς προκείμενον. Апостолъ, евангеліе и ектенья Goar. p. 338—339, молитва: Εὐδιάλλακτε Κύριε, ὁ μόνος ἐλεήμων... Прилож. стр. 124. Третій прокименъ, апостолъ и евангеліе и ектенья Goar p. 340, молитва: Δέσποτα Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἅγιε βασιλεῦ, ὁ παιδεύων... Прилож. стр. 127. Четвертый прокименъ, апостолъ, евангеліе и молитва Goar. pag. 341. Пятый прокименъ, апостолъ, евангеліе и молитва Goar. pag. 132. Шестой прокименъ, апостолъ, евангеліе и молитва у Goar p. 343. Седьмой прокименъ, апостолъ, евангеліе, ектенья и молитва Goar. p. 344—345. Εἶτα τίθησιν ὁ α' τῶν ἱερέων τὸ ἅγιον εὐαγγέλιον ἐπὶ τὴν κεφαλὴν τοῦ ἀνθρώπου, καὶ συναχθέντες οἱ ἱερεῖς, ἅπτονται τοῦ ἁγίου εὐαγγελίου, καὶ ἐκφωνεῖ· Τοῦ

Κυρίου δεηθῶμεν. Βασιλεῦ ἅγιε, εὔσπλαγχνε καὶ πολυέλεε... Прилож. стр. 133. Καὶ ἀσπάζεται ὁ ἀσθενὴς τὸ ἅγιον εὐαγγέλιον. Πηγὴ ἰαμάτων... Καὶ νῦν, Νεῦσον παρακλήσεσι... ἐκτενὴ καὶ ἀπόλυσις.

л. 104. Ἀκολουθία εἰς νήπια ἀπὸ τριετοῦς καὶ κατωτέρω.

Ποιεῖ ὁ ἱερεὺς εὐλογητόν, τὸ Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, τὸ Ἀλληλούια, τὸν Ν' καὶ εὐθὺς ὁ κανών· Ἄσωμεν ᾠδὴν τῷ Θεῷ... Σήμερον χωρίζεται τὸ μητρικὸν νήπιον... Ἀπόστολος καὶ εὐαγγέλιον τῶν λαϊκῶν, καὶ εὐθὺς τὰ στιχηρά, ἦχος δ'· Πᾶσιν ἀνακράζει Χριστός· ἄφετε δὲ τούτους ἐξέρχεσθαι πρός με... Ἤτησας ὃν μετέστησας, Σωτήρ, ἄφνω ἁρπασθέντα δὲ τοῦτον, ὥσπερ στρουθεῖον... Δόξα, Ὁ θάνατος νηπίοις καύχημα, τῆς μοχθηρᾶς γὰρ σαρκὸς ἐπεδήμησεν ἄφθορος... Καὶ νῦν, Δέσποινα, πρόσδεξαι... Τρισάγιον καὶ τὴν εὐχὴν καὶ ἀπόλυσις.

л. 114. Ἀκολουθία εἰς ἱερέα κοιμώμενον.

Ἀπέρχεται ἕτερος ὁ ἱερεύς, ἐνδυόμενος τὴν ἱερατικὴν στολήν, καὶ λαβὼν καὶ τοῦ κοιμηθέντος τὸ ἐπιτραχήλιον καὶ τὸ φελώνιον, καὶ τὸ κάλυμμα τοῦ ἁγίου ποτηρίου, καὶ τὸν σταυρὸν τοῦ ναοῦ, καὶ εἰκόνα τοῦ Χριστοῦ, καὶ τὸ εὐαγγέλιον, καὶ ἀπέρχεται εἰς τὸν οἶκον, ἔνθα ἐστὶ τὸ λείψανον, καὶ λαβὼν ὁ ἱερεὺς ἱμάτια καθαρά, ἐνδύει αὐτὸν καὶ τὸ ἐπιτραχήλιον καὶ τὸ φελώνιον, καὶ τίθεται σταυρὸν εἰς τὸ στῆθος καὶ τὴν εἰκόνα εἰς τὸ προσκεφάλαιον, καὶ τὸ εὐαγγέλιον εἰς τὴν δεξιὰν χεῖρα, τὸ κάλυμμα εἰς τὸ πρόσωπον, καὶ δένει τὴν κεφαλὴν αὐτοῦ μετὰ μανδιλίου καθαροῦ, καὶ οὐκέτι ἅψεταί τις κοσμικὸς πρὸς αὐτὸν τὸ σύνολον, καὶ ποιεῖ εὐλογητόν, καὶ ἄρχεται Τρισαγίου, καὶ μετὰ τὴν ἐκφώνησιν λέγει τὴν εὐχήν· Ὁ Θεὸς τῶν πνευμάτων... Καὶ λαβὼν τὸ Ψαλτήριον, ψάλλει αὐτὸ ὁ ἀναγνώστης, καὶ ὁ ἱερεὺς ἀναγινώσκει τὸ εὐαγγέλιον ὅλον δι' ὅλης τῆς νυκτός, καὶ τὸ πρωῒ συνάζονται ἱερεῖς εἰς τὸν ναόν, καὶ ἐνδυόμενος καθ' εἷς τὴν ἱερατικὴν στολήν, καὶ λαμβάνουσι τὸν σταυρὸν τῆς λιτῆς καὶ τὰς εἰκόνας τοῦ ναοῦ, καὶ ἕκαστος θυμιατὸν καὶ λαμπάδα, καὶ πορεύονται εἰς τὸ λείψανον καὶ ποιοῦσιν, ὅσοι καὶ ἂν ἔτυχον, εὐλογητὸν μεγαλοφώνως ἔνδον τοῦ λειψάνου, καὶ εὐθὺς ψάλλουσι τὸ Τρισάγιον, καὶ θέτουσιν αὐτὸν ἐπὶ θρόνου, καὶ πορεύεται ὁ σταυροφόρος ἔμπροσθεν, ἔπειτα οἱ βαστάζοντες τὰς ἁγίας εἰκόνας, καὶ ὄπισθεν οἱ δ' ἱερεῖς, βαστάζοντες τὸ λείψανον, καὶ οἱ ἐπίλοιποι, ψάλλοντες τὸ Τρισάγιον, καὶ ποιοῦσι στάσεις γ', πορευόμενοι καὶ ποιοῦντες ἐκτενὴν ὑπὲρ τοῦ κεκοιμημένου, καὶ φθάσαντες εἰς τὸν ναόν, εἰσοδεύουσι μὲ τὸν σταυρὸν καὶ μὲ τὰς εἰκόνας καὶ μὲ τὸ λείψανον φορὰς γ' γύρωθεν τοῦ ναοῦ, καὶ τίθενται αὐτὸν ἐν τῷ νάρθηκι, καὶ ἐὰν γίνεται ὁ τάφος ἔσωθεν, ἄγουσιν εἰς τὸν νάρθηκα, εἰ δέ ἐστιν ὄπισθεν τοῦ βήματος, καὶ βάζουν αὐτὸν

ἐν τῷ μέσῳ τοῦ ναοῦ καὶ ψάλλουσιν αὐτόν. Εὐλογοῦντος τοῦ ἱερέως, ἀρχόμεθα τὸν 90 ψαλμόν· Ὁ κατοικῶν ἐν βοηθείᾳ, εἶθ' οὕτως ἄρχεται· Ἐν εἰρήνῃ τοῦ Κυρίου.. Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῆς εἰρήνης... Ὑπὲρ τῆς μνήμης κοιμήσεως, ἀναπαύσεως, αἰνέσεως... Ὅπως Κύριος ὁ Θεὸς συγχωρήσῃ αὐτῷ πᾶν πλημμέλημα... Ὑπὲρ τοῦ κατατάξαι τὸ πνεῦμα αὐτοῦ ἐν τόπῳ φωτεινῷ... Ὑπὲρ τοῦ καταγίναι αὐτὸν ἐν κόλποις Ἀβραάμ... Ὑπὲρ τοῦ συναριθμηθῆναι αὐτὸν ἐν χωρῷ τῶν ἐκλεκτῶν... Ὑπὲρ τοῦ εὑρεῖν αὐτὸν χάριν καὶ ἔλεος ἐν τῇ ἡμέρᾳ... Ὑπὲρ τοῦ καταμεμφθῆναι αὐτῷ ἁγίους ἀγγέλους εἰρηνικούς, ὁδηγοῦντας αὐτόν... Ὑπὲρ τοῦ παραστα θῆναι αὐτὸν ἄμεπτον καὶ ἀκατάκριτον τῷ φοβερῷ βήματι... Ὑπὲρ τοῦ ῥυσθῆναι... Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας, ἀχράντου. Τὰ ἐλέη τοῦ Θεοῦ, τὴν βασιλείαν τῶν οὐρανῶν... Ὁ ἱερεὺς τὴν εὐχὴν μυστικῶς· Ὁ Θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκός... Goar. p. 437. Καὶ μετὰ τὴν εὐχὴν ἐκφώνησις· Ὅτι σὺ εἶ ἡ ἀνάστασις, ἡ ζωή... Εἰς τὸ Ἀλληλούια, εἰς ἦχον πλ. δ'. Στίχος· Ἄνθρωπος, ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ, ὡσεὶ ἄνθος τοῦ ἀγροῦ... Στίχος· Ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ... Στίχος γ'· Τὸ δὲ ἔλεος τοῦ Κυρίου ἀπὸ τοῦ αἰῶνος... Στίχος δ'· Ζήσεται ἡ ψυχή μου... Καὶ εὐθὺς τροπάρια, ἦχος πλ. δ'. Βάθει σοφίας... Δόξα καὶ νῦν, Σὲ καὶ τεῖχος... Εἶθ' οὕτως ἄρχεται ὁ ἄμωμος, καὶ μετὰ τὸν ἄμωμον τὰ εὐλογητάρια. Goar. pag. 451. Τροπάριον· Ὁ σκότος καὶ τάραχος τοῦ βίου ἀνόητος καθέστηκεν... Καὶ συναπτή· Ἔτι καὶ ἔτι... Ὅτι σὺ εἶ ἡ ἀνάστασις... Εἶτα τὸ κάθισμα, ἦχος πλ. α'. Ἀνάπαυσον, Σωτὴρ ἡμῶν... Μήτηρ Θεοῦ παναγία, τὸ τεῖχος τῶν χριστιανῶν... Εἶθ' οὕτως ἀναβαθμοὶ 1, 2, 3 гласовъ по 3 первыхъ стиха. Καὶ εὐθὺς ὁ ἀπόστολος καὶ εὐαγγέλιον. Goar. p. 430. Καὶ εὐθὺς ψάλλομεν οὕτως· Κύριος ποιμαίνει καὶ οὐδέν με ὑστερήσει... Ἀλληλούια γ'· Ἐπὶ ὕδατος ἀναπαύσεως ἐξέθρεψέ με. Ἀλληλούια γ'. Τὴν ψυχήν μου ἐπέστρεψε... Ἀλληλούια γ'... Нѣсколько листовъ вырвано. Εἶτα λέγει ὁ ἱερεὺς τὴν εὐχήν· Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ μόνος ἔχων ἀθανασίαν... Goar pag. 452. Εἶτα κάθισμα· Σήμερον χωρίζομαι ἀπὸ τῆς συνόδου μου... Ὁ ἀπόστολος καὶ εὐαγγέλιον. Goar pag. 452. Ἀντίφωνον β'· Τοῦ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς. Ἀλληλούια γ'. Εἶτα τὸ τροπάριον, ἦχος β'· Ἐν πίστει καὶ ἀγάπῃ καὶ ἐλπίδι... Ὁ ἱερεὺς τὴν εὐχήν· Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς ἡμῶν... Goar. pag. 452. Καὶ εὐθὺς λέγει κάθισμα, ἦχος πλ. α'. Ἀνάπαυσον, Σωτὴρ ἡμῶν... Ὁ ἀπόστολος, εὐαγγέλιον. Goar pag. 453. Ἀντίφωνον γ'. Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου, Κύριε τῶν δυνάμεων.. Ἀλληλούια γ'. Καὶ λέγει τροπάρια· Ἀδελφοί μου ἀγαπητοί, μή μου ἐπιλάθησθε... Ἀδελφοί μου καὶ συλλειτουργοί μου, μή μου ἐπιλάθησθε,

ὅταν προσεύχεσθε... Εἶτα λέγει ὁ ἱερεύς· Τοῦ Κυρίου δεηθῶμεν. Κύριε, Κύριε, τῶν θλιβομένων παραμυθία. Goar. pag. 453. Τροπάριον, ἦχος πλ. β'. Αἰφνίδιος ἐπέστη ἐπ' ἐμὲ ὁ θάνατος... Δόξα, Ἐλέησον ἡμᾶς, Κύριε .. Καὶ νῦν, Τῆς εὐσπλαγχνίας τὴν πύλην... Апостолъ, евангеліе и Блаженны. Goar. p. 454. Προκείμενον· Μακαρία ἡ ὁδός... Στίχος· Ἐπίστρεψον ψυχή μου... Апостолъ, евангеліе, канонъ съ икосами и съ припѣвами аллилуія тѣ-же, что у Goar. pag. 455—462 съ тою разницею, что въ описываемой рукописи не достаетъ въ икосахъ стиховъ: Αὐτὸς μόνος ὑπάρχεις ἀθάνατος... и Ἄρα πόσοι ἐξαίφνης ἡρπάγησαν..., но прибавлены: Αἱ νεάνιδες τὸν λόγον ἀκούσατε... Οὐχ ὁρᾶτε τὸ πῶς διανέβομεν ἐν τοῖς μνήμασιν... Ὅταν ἄρχοντα ἴδωμεν θνήσκοντα... Στρατειᾶς γὰρ ὁδὸν ὅλος ἔφιξα... Въ стихирахъ на хвалитѣхъ послѣ стихиры; „Πεπολιτευμένος ἐν εὐσεβείᾳ καὶ κεκοσμιμένος слѣдуетъ: Δεῦτε θεάσασθε ἅπαντες ξένον... Въ стихирахъ самогласныхъ нѣтъ стихиры: Σώζου, μάταιε βίε... Послѣ Ἰδοὺ κεῖμαι, ἀγαπητοί μου, прибавлена: Ἐν μέσῳ πάντων σὺ γὰρ καὶ ἄφωνος..., Нѣтъ стихиры: Ἐπῆλθεν ὁ θάνατος, ὡς ἅρπαξ... Послѣ Ἡ μόνη ἁγνή... прибавлена: Σώζου, μάταιε βίε, σώζεσθε, πάντες φίλοι..., Послѣ Ἀρχή μοι... нѣтъ: Ἐτίμησας εἰκόνι σου τὸ τῶν χειρῶν... и Λύει πᾶσαν λύπην... Послѣ θρηνῶ καὶ ὀδύρομαι, καὶ γίνεται ἀσπασμὸς καὶ ἀρχόμεθα τελευταῖον· Δεῦτε τελευταῖον ἀσπασμὸν δῶμεν, ἀδελφοί... Στίχος· Τοῦ Κυρίου ἡ γῆ. Ποῖος χωρισμός, ὦ ἀδελφοί, ποῖος κοπετός, ποῖος θρῆνος... Στίχος· Οὗτος ἐπὶ θαλασσῶν... Σήμερον τῶν ματαίων ἡ ἐλπὶς καὶ τῶν ἐπιγείων... Στίχος· Τίς ἀναβήσεται εἰς τὸ ὄρος... Ὄντως ἡ τοῦ βίου πονηρὰ λύεται πανήγυρις πᾶσα... Στίχος· Ὡς οὐκ ἔλαβεν... Μέγας ὁ κλαυθμὸς καὶ ὀδυρμός, μέγας στεναγμός. Στίχος· Οὗτος λήψεται εὐλόγιαν... Βλέπων τὸν προκείμενον νεκρόν, τύπον ἀναλάβωμεν πάντες... Στίχος· Αὕτη ἡ γενεά... Δεῦτε, οἱ ἀπόγονοι Ἀδάμ, ἴδωμεν εἰς γῆν βεβλημένην τὴν κατ' εἰκόνα ἡμῶν... Στίχος· Κύριος ποιμαίνει... Πάντα τὰ τοῦ σώματος νυνὶ ὄργανα ἀργὰ θεωροῦντες... Ὅτε ἐκ τοῦ σώματος ψυχὴ μέλλει μετὰ βίας ἁρπᾶσθαι ὑπὸ ἀγγέλων φρικτῶν... Δεῦτε ἐν τῷ τάφῳ, ἀδελφοί, βλέψωμεν τὴν τέφραν καὶ κόνιν... Ὄντως ματαιότης καὶ φθορὰ πάντα τὰ τοῦ βιοῦ ἡδέα καὶ τὰ παράδοξα... Σῶζε τοὺς ἐλπίζοντας εἰς σέ, Μῆτερ τοῦ ἀδύτου ἡλίου... Δόξα, Ὁρῶντές με ἄφωνον... καὶ νῦν, Πρεσβείαις τῆς τεκούσης σε, Χριστέ... Εἶτα Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ... На этомъ рукопись обрывается.

CXXIV. № 60 (63). Εὐχολόγιον, рукопись Аѳоно-Костамонитской библіотеки, въ 16 долю листа, 192 листа, писана четкою скорописью XVI вѣка. Рукопись значительно попорчена отъ сырости.

л. 1. ..περιέχων τὴν ἅπασαν ἀκολουθίαν ἑσπερινοῦ τοῦ σαββάτου.

л. 8. Ἀρχὴ τοῦ ὄρθρου. Чинъ полунощницы.

л. 9. Ἀρχὴ σὺν Θεῷ ἁγίῳ τοῦ ὄρθρου. Goar p. 39—44. Священникъ возглашаетъ предъ „Слава въ вышнихъ Богу": Δόξα τῷ δείξαντι τὸ φῶς τὸ ἀληθινόν. Послѣ тропарей: „Днесь спасеніе міру бысть" замѣчается: εἰ θέλει, λέγει εὐαγγέλιον θεοτοκίον, ἔπειτα ἡ μεγάλη ἐκτενὴ παρὰ τοῦ ἱερέως ἐντὸς τοῦ ἁγίου βήματος.

л. 18 об. Ἀκολουθία εἰς ἐξομολογούμενον.

Ποιεῖ ὁ ἱερεὺς εὐλογητόν, εἶτα τὸ Τρισάγιον, Παναγία Τριάς, τὸ Πάτερ ἡμῶν, Ὅτι σοῦ ἐστι ἡ βασιλεία, καὶ ἔρχεται ὁ μέλλων ἐξομολογεῖσθαι καὶ βάλλει μετάνοιαν καὶ μ΄, κείμενος ἔμπροσθεν τοῦ βήματος, καὶ λέγει ὁ ἱερεύς· Εὐλόγησον, δέσποτα. Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τοῦ ἁγίου οἴκου... Ὑπὲρ τοῦ δούλου τοῦ Θεοῦ ὁ δεῖνα καὶ τῆς ἐν Χριστῷ συγχωρήσεως τῶν ἁμαρτιῶν αὐτοῦ... Ὑπὲρ τοῦ καθαρισθῆναι αὐτὸν ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος... Ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτῷ πᾶν πλημμέλημα ἑκούσιον καὶ ἀκούσιον... Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, καὶ ἀνάγκης. Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας ἀχράντου. Εἰρήνη πᾶσιν. Τὰς κεφαλάς. Κύριε ὁ Θεὸς ἡμῶν ὁ παντοδύναμος, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ, ἵνα καταξιωθῶσιν εὐχαριστεῖν, διὰ ἐμοῦ τοῦ ἀναξίου δούλου σου κατὰ τὸ μέγα σου ἔλεος... Εὐχὴ ἑτέρα· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τῷ Πέτρῳ καὶ τῇ πόρνῃ διὰ δακρύων ἄφεσιν ἁμαρτιῶν δωρησάμενος.. Goar p. 537. Εὐχὴ ἑτέρα· Ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, ὁ διὰ τοῦ προφήτου σου Νάθαν μετανοήσαντι τῷ Δαβίδ. Goar p. 536. Κύριε Ἰησοῦ Χριστέ, Υἱὲ τοῦ Θεοῦ ζῶντος, ἀμνὲ καὶ ποιμήν. Ibidem, pag. 536. Εὐχὴ ἑτέρα· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐλεήμων καὶ οἰκτίρμων, μακρόθυμος καὶ πολυέλεος, См. выше стр. 643. Ἀνιστᾷ αὐτὸν ἐκ τοῦ ἐδάφους τῆς γῆς, λέγων πρὸς αὐτόν· Ἐγὼ μέν, ὦ τέκνον, οὐκ εἰμι ἄξιος δέξασθαί σου τὴν ἐξομολόγησιν, ἀλλὰ προσδέξεταί σοι ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ καὶ παντοδύναμος, καὶ ῥύσεταί σε ἐκ πασῶν σου τῶν ἁμαρτιῶν, ὧνπερ ἐν γνώσει καὶ ἐν ἀγνοίᾳ ἐτέλεσας, καὶ φωτίσει τὴν καρδίαν σου ἐξ ἁγίου Πνεύματος, καὶ διδάξει σε μεριμνᾶν πάντοτε τοῦ λαλῆσαι τὰ ἀρεστὰ αὐτῷ.....[1]) καὶ ἀγάπην, ὑπομονήν, πάρ-

[1]) Стерто въ рукописи.

ότητα καὶ διάκρισιν ἐν πᾶσι εὐπράττειν, καὶ ἐμβαλεῖν εἰς τὴν καρδίαν σου τὸν φόβον καὶ τὴν φιλανθρωπίαν αὐτοῦ, καὶ ρύσεταί σε ἐκ πάντων τῶν ἐπιτηδευμάτων αὐτοῦ τοῦ ἐχθροῦ, καὶ ποιήσει σε ἐμμένειν ἐν ἀγαθαῖς πράξεσι, καὶ κατευοδώσει σε εἰς τὴν ζωὴν τὴν αἰώνιον. Καὶ λέγει τὸν Ν′ ψαλμόν, καὶ τὰ τροπάρια, ἦχος πλ. β′. Ἐλέησον ἡμᾶς, Κύριε... Κύριε, ἐλέησον ἡμᾶς... Πολλὰ τὰ πλήθη... Εἶθ' οὕτως λέγει ὁ ἐξομολογούμενος· Ἐξομολογοῦμαί σοι, Πάτερ, Κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, πάντα τὰ κρυπτὰ τῆς καρδίας μου. Ὁ ἱερεύς· Ἰδοὺ χάριτι Θεοῦ προσέδραμες τῇ ἁγίᾳ ἐκκλησίᾳ, μὴ οὖν αἰσχυνθῇς καὶ ἀποκρύψῃς τι τῶν πεπραγμένων σου καὶ κατακριθῇς ἐνώπιον τοῦ Θεοῦ καὶ τῶν ἁγίων αὐτοῦ, ὅτι ἐνταῦθά ἐστι ἡ ἄφεσις τῶν ἁμαρτημάτων. Καὶ εὐθὺς λέγει τὰ ἑαυτοῦ πταίσματα. Λέγει ὁ ἱερεύς· Θέλεις, τέκνον, τοῦ προσκλαῦσαι καὶ μετανοῆσαι, ὑπὲρ ὧν ἔπραξας, ἵνα μηκέτι πάλιν εἰς αὐτὰ ἐπιστραφῇς, καὶ ἐὰν φυλάξῃς ἀπὸ τοῦ νῦν καὶ τὰς ὁδοὺς τοῦ Κυρίου πορεύσῃς, οὐ μόνον συγχωρηθήσῃ, ἀλλὰ καὶ δόξης ἀξιωθήσῃ ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. Καὶ λέγει ὁ ἱερεὺς τὴν εὐχὴν ταύτην· Δέσποτα Κύριε ὁ Θεός, ὁ καλῶν δικαίους εἰς τὸ ἁγιάσαι καὶ ἁμαρτωλοὺς εἰς τὸ σῶσαι αὐτοὺς καὶ μετανοοῦντας εἰς τὸ οἰκτειρῆσαι αὐτούς, πρόσδεξαι τὴν μετάνοιαν τοῦ δούλου σου, προσπίπτοντος τῇ μεγαλοπρεπείᾳ σου, τοῦ μονογενοῦς σου Υἱοῦ, ἐν ἐξομολογήσει... См. выше стр. 642. Προκείμενον ἦχος δ′. Ἐγὼ εἶπα· Κύριε, ἐλέησόν με καὶ ἴασαι τὴν ψυχήν μου. Στίχος· Μακάριος ὁ συνιῶν ἐπὶ πτωχούς. Ἀπόστολος πρὸς Τιμόθεον· Τέκνον Τιμόθεε, πιστὸς ὁ λόγος καὶ πάσης ἀποδοχῆς ἄξιος... Ἀλληλούια· Κύριε μὴ τῷ θυμῷ σου. Εὐαγγέλιον κατὰ Ματθαῖον· Τῷ καιρῷ ἐκείνῳ παράγων ὁ Ἰησοῦς, εἶδεν ἄνθρωπον καθήμενον ἐπὶ τὸ τελώνιον... Τέλος· ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν. Εἴπωμεν πάντες... Κύριε παντοκράτορ... Ἔτι δεόμεθα ὑπὲρ τοῦ δούλου σου ὁ δεῖνα καὶ τῆς παρὰ τῷ Θεῷ ἄνω βοηθείας, ὑγείας, σωτηρίας αὐτοῦ. Ὑπὲρ τοῦ προσδέξασθαι Κύριος ὁ Θεὸς τὴν ἐξομολόγησιν αὐτοῦ, καὶ ἀριθμῆσαι αὐτὸν τῷ χορῷ τῶν σωζομένων, καὶ λυτρωθῆναι τῶν προτέρων σφαλμάτων, εἴπωμεν ὑπὲρ αὐτοῦ τὸ Κύριε, ἐλέησον. Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις... Καὶ εὐθὺς τὴν ἀπόλυσιν καὶ λέγει· Ὁ Κύριος σώσει σε, ὁ Κύριος φυλάσσει σε, ὁ Κύριος σκέπει σε, ὁ Κύριος διατηρήσει σε.

л. 26 об. Молитвы на различные случаи.

л. 44. Ἀκολουθία μεγάλου ἁγιασμοῦ.

Ектенья читается такъ: Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῆς εἰρήνης... Ὑπὲρ τοῦ ἁγίου οἴκου... Ἐν Ἰορδάνῃ βαπτισθείς, τὴν φύσιν τῶν ὑδάτων ἡγίασας τοῦ Κυρίου δεηθῶμεν. Ὁ τῆς ἀρχαίας ἁμαρ-

τίας τὴν ἀπόφασιν λύσας, καὶ χαρισάμενος ἡμῖν τῆς πάλαι υἱοθεσίας... Ὁ ἐπὶ Μωϋσέως γλυκάνας καὶ διψῶντα τὸν λαόν σου κορέσας... Ὁ ὑπὸ Πατρὸς μαρτυρηθεὶς ὑπὸ Πνεύματος ἁγίου ἀναδειχθῆναι... Ἐν Ἰορδάνῃ βαπτισθεὶς καὶ τὰ ῥεῖθρα τῶν ὑδάτων... Ὁ τέκνα φωτὸς διὰ τοῦ βαπτίσματος δείξας τοὺς ποτὲ ἐν αἰχμαλωσίᾳ ὄντας... Ὁ ὑπὸ δούλου βαπτισθείς, ἡμῖν υἱοθεσίαν χαρισάμενος, καὶ Ἰωάννην ἐπιθῆναί σοι δεξιὰν κελεύσας... Ὁ τὸν πατρικὸν κόλπον μὴ κενώσας, καὶ ἐν ὑμῖν ὁ λόγος... Ὑπὲρ τοῦ ἁγιασθῆναι τὰ ὕδατα τῇ δυνάμει... Ὑπὲρ τοῦ δωρηθῆναι τοῖς τὴν χάριν τῆς ἀπολυτρώσεως, τὴν εὐλογίαν... Ὑπὲρ τοῦ ἀναδειχθῆναι αὐτὰ πρὸς ἰατρείαν ψυχῶν καὶ σωμάτων... Ὑπὲρ τοῦ ἀναδειχθῆναι πηγὴν ἀφθαρσίας, ἁγιασμοῦ δῶρον, νοσημάτων ἀλεξητήριον.. Ὑπὲρ τῶν ἀντλούντων καὶ ἀρυομένων αὐτὰ εἰς ζωὴν αἰώνιον... Ὑπὲρ τοῦ φωτισθῆναι ἡμᾶς μεταληψάντων ὑδάτων... Ὑπὲρ τοῦ ἐπιφᾶναι Κύριον τὸν Θεὸν ἡμῶν τὸ πρόσωπον αὐτοῦ, καὶ ἀνακινῆσαι καὶ εὐλογῆσαι αὐτά... Ὑπὲρ τοῦ καταφοιτῆσαι τοῖς ὕδασι τούτοις τὴν καθαρτικὴν δύναμιν τῆς ὑπερουσίου... Ὑπὲρ τοῦ γενέσθαι αὐτὰ ἁγιασμοῦ πηγήν, παντος πάθους ἀπαλλαγήν... Σῶσον ἡμᾶς, Χριστὲ ὁ Θεός, τῇ σῇ ἐπιφανείᾳ... Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας... Καὶ λέγει τὴν εὐχὴν εἰς ἐπήκοον πάντων· Κύριε Ἰησοῦ Χριστὲ ὁ μονογενὴς Υἱός, ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρός, ὁ ἀληθινὸς Θεός, ἡ πηγὴ τῆς ζωῆς καὶ τῆς ἀθανασίας... Goar. p. 368 Εὐχή· Δοξάζομέν σε, Δέσποτα, Θεὲ παντοκράτορ, προάναρχε, προαιώνιε βασιλεῦ... Goar pag. 369 См. выше стр. 679. Τριὰς ἄναρχε, ἀόρατε, ἀκατάληπτε, ἀπερινόητε, ἀπερίγραπτε, ἀναλλοίωτε... Μέγας εἶ, Κύριε, καὶ θαυμαστὰ τὰ ἔργα σου. Goar pag. 370. Εἶθ' οὕτως σφραγίζει τὸ ὕδωρ μετὰ τοῦ σταυροῦ γ', καὶ λέγει τοῦτο· Μεγας σταυρὸς ἐφάνη ἐν τῇ κολυμβήθρᾳ· ἀναβαίνουσιν δοῦλοι τῆς ἁμαρτίας καὶ καταβαίνουσιν τέκνα τῆς ἀφθαρσίας, δεύτερον φῶς ἐλάβομεν καὶ τὸν μαργαρίτην τὸν Χριστὸν ἐνεδυσάμεθα. См. выше стр. 683. Тропарь, εἶτα ῥαντίζει τὸν θεῖον ναὸν καὶ τὰς ἁγίας εἰκόνας καὶ τὸν λαόν, καὶ δοξάζει στιχηρά, ἦχος πλ. β'. Ἀνυμνήσωμεν, οἱ πιστοί, ектенья и отпустъ.

л. 53. Чинъ малаго водоосвященія.

Начинается обычными тропарями, послѣ которыхъ замѣчено: Χρὴ γινώσκειν, ὅτι τὰ τροπάρια ἔμπροσθεν τοῦ θυσιαστηρίου ψάλλονται, εἶθ' οὕτως ἄρχεται ὁ ἱερεὺς σὺν τῷ λαῷ μετὰ θυμιατοῦ καὶ κηρῶν καὶ τοῦ τιμίου σταυροῦ, ἀπέρχεται ἐν τῇ φιάλῃ, ψάλλει τροπάρια· Τῆς εὐσπλαγχνίας τὴν πύλην... Καὶ ὅταν φθάσῃ ὁ ἱερεὺς ἔμπροσθεν τῆς φιάλης, ἐκφωνεῖ οὕτως· Εὐλογητὸς ὁ Θεός, ὁ φωτίζων καὶ ἁγιάζων πάντα ἄνθρωπον, ἐρχόμενον εἰς τὸν κόσμον, νῦν καὶ ἀεί... εἶτα τροπάρια ἦχος πλ. δ. Νῦν ἐπέστη ὁ καιρός... κ. τ. α. Послѣ тропаря: Παναγία Θεοτόκε

παρθένε... Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς. Ἐν εἰρήνῃ. Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τοῦ ἁγίου οἴκου. Ὑπὲρ τοῦ ἁγιασθῆναι τὸ ὕδωρ τοῦτο... Ὑπὲρ τοῦ δοθῆναι αὐτῷ τὴν χάριν τῆς ἀπολυτρώσεως... Ὑπὲρ τοῦ καταπεμφθῆναι τὸ Πνεῦμα... Ὑπὲρ τοῦ ἀνακαινίσαι Κύριον τὸν Θεὸν τὸ φῶς τῶν καρδιῶν ἡμῶν.., Ὑπὲρ τοῦ ἐπισκιάσαι ἐξ οὐρανοῦ ἐφ ἡμᾶς τὴν χάριν τοῦ ὑψίστου... Ὅπως Κύριος... Ὑπὲρ τοῦ ῥυσθῆναι... Ὑπὲρ πάντων τῶν χρῃζομένων τῆς παρὰ σοῦ βοηθείας καὶ ἀντιλήψεως... Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας, ἀχράντου... Καὶ λέγει τὴν εὐχὴν μεγαλοφώνως εἰς ἐπήκοον πάντων· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ μέγας τῇ βουλῇ καὶ θαυμαστὸς τοῖς ἔργοις, ὁ πάσης φύσεως (καὶ) φαινομένης κτίσεως δημιουργός..... (вырвано). Καὶ ἐπίσκεψαι καὶ ἐλέησον, καὶ ἴασαι πάντας κατὰ τὸ μέγα σου ἔλεος. Εἶτα λέγει· Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ καὶ ζωοποιῷ καὶ ἀδιαιρέτῳ Τριάδι πάντοτε, νῦν... Καὶ λαβὼν τὸν τίμιον σταυρόν, λέγων, καὶ βαπτίζει αὐτὸν ὄρθιον ἐν τῷ ὕδατι· Σῶσον, Κύριε... καὶ ἁγιάζει τὸν ναὸν καὶ τὰς ἁγίας εἰκόνας, εἶθ' οὕτως τὸν λαόν, καὶ ψάλλει στιχηρὰ ἰδιόμελα, ἦχος δ'. Πηγὴ ἰαμάτων... Νεῦσον παρακλήσεσιν... Τῶν σῶν δωρεῶν... Χαῖρε, κεχαριτωμένη Θεοτόκε παρθένε... Τῆς εὐσπλαγχνίας τὴν πύλην... Εἶτα ποιεῖ ἐκτενὴν μεγάλην καὶ μνημονεύει τὸν ἀρχιερέα, τὸν προεστῶτα καὶ τὸν λαόν, καὶ ποιεῖ ἀπόλυσιν.

л. 57 об. Εὐχὴ εἰς λεχοῦσαν γυναῖκα.

Ποιεῖ ὁ ἱερεὺς εὐλογητόν, τὸ Τρισάγιον, τὸ Παναγία Τριάς, τὸ Πάτερ ἡμῶν, Ὅτι σοῦ ἐστι ἡ βασιλεία, τὸ Κύριε ἐλέησον ιβ', Δεῦτε προσκυνήσωμεν γ', ὁ Ν', Πιστεύω εἰς ἕνα Θεόν, καὶ εὐχή· Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ πᾶσαν φύσιν λογικήν τε καὶ ἄλογον... См. выше стр. 396; Goar pag. 267.

л. 58. Εὐχὴ ἑτέρα ἐπὶ ταῖς λαχούσαις γυναιξί, ταῖς ἀψαμέναις τῇ λεχούσῃ.

Τοῦ Κυρίου δεηθῶμεν. Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὰ ἐν τῇ ὀθόνῃ εἰπὼν Πέτρῳ τῷ ἀποστόλῳ... См. выше стр. 455. Прилож. стр. 6;

л. 58 об. Εὐχὴ εἰς τὸ ἐκκλησιάσαι παιδί(ον) τῇ η' ἡμέρᾳ καὶ βάλλει τὸ ὄνομα τῆς η' ἡμέρας.

Προσάγεται τῷ ναῷ παρὰ τῆς μαίας τὸ βρέφος καὶ τῆς μητρὸς (sic) αὐτοῦ ἐπὶ τὸ λαβεῖν ὄνομα, καὶ εἰπὼν ὁ ἱερεὺς τὰς εὐχάς, καὶ ἐκκλησιάζει τὸ βρέφος ὄνομα, εἰ ἄρρεν ἐστίν, εἰ δὲ ἐστι θῆλυ, Μαρία, καὶ μετὰ τοῦτο σφραγίζει αὐτό, λέγων τὴν εὐχὴν ταύτην· καὶ βαλὼν ὄνομα, οἷον

τοῖς γονεῦσιν ἀρέσκεται. Καὶ μετὰ τὸ ἐκκλησιάσαι τὸ βρέφος, λέγει τὴν εὐχὴν ταύτην· Κύριε ὁ Θεὸς ἡμῶν, σοῦ δεόμεθα καὶ σὲ παρακαλοῦμεν. Прилож. стр. 8. Καὶ σφραγίζει τὸ μέτωπον αὐτοῦ καὶ τὸ στῆθος, καὶ λέγει· Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν τεσσαράκοντα ἡμέραις τοῦ νόμου εἰς τὸ ἱερὸν ἐλθών, ὑπὸ Μαρίας βασταζόμενος... Прилож. стр. 19.

— Χρὴ γινώσκειν, ὅτι τὸ γεννηθὲν βρέφος, ἐὰν ἄρα καὶ ἀσθενοῦν μὴ θηλάζῃ. Прилож. стр. 7 См. Goar pag. 265.

л. 59. Εὐχὴ εἰς τὸ σαραντῆσαι γυναῖκα.

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ παραγενόμενος ἐπὶ σωτηρίαν τοῦ γένους τῶν ἀνθρώπων. Goar p. 267. Εἶτα τὸ Τρισάγιον, τὸ Παναγία Τριάς, τὸ Πάτερ ἡμῶν, Ὅτι σοῦ ἐστι, Χαῖρε, κεχαριτωμένη Θεοτόκε παρθένε... Ὁ μήτραν παρθενικήν..

л. 60. Εὐχή, λεγομένη ἐν λιτῇ διὰ φόβον.

Πάλιν σου, Κύριε, τοῦ φιλανθρώπου Δεσπότου μνήμη παιδείας. Goar pag. 636.

— Ἀκολουθία εἰς τὸ ποιῆσαι κατηχούμενον. Ἀποδύει αὐτὸν καὶ γυρίζει τὸ στόμα αὐτοῦ κατὰ ἀνατολάς, καὶ σφραγίζει τὸ στόμα αὐτοῦ, καὶ λέγει ὁ ἱερεύς· Αἰνεῖτε, παιδία, Κύριον· αἰνεῖτε τὸ ὄνομα... Ἐπὶ τῷ ὀνόματί σου, Κύριε ὁ Θεός... Goar. p. 275 Καὶ φυσᾷ αὐτῷ γ', καὶ σφραγίζει τὸ μέτωπον αὐτοῦ καὶ τὸ στόμα, καὶ τὸ στῆθος, καὶ λέγει τὴν εὐχήν· Ἐξέλασον ἀπ' αὐτοῦ τὸ πονηρόν... Μετὰ δὲ τὴν εὐχὴν ἀποστρέφει ὁ ἱερεὺς τὸν κατηχούμενον σὺν τῷ ἀναδόχῳ ἐπὶ δυσμάς, κάτω τὰς χεῖρας ἔχον(τας) καὶ λέγει· Ἀποτάσσομαι τῷ σχτανᾷ. Ὁ κατηχούμενος καὶ ὁ ἀνάδοχος ἀποκρίνονται· Ἀπεταξάμην. Ὁ ἱερεύς· Καὶ πᾶσι τοῖς ἔργοις αὐτοῦ... Καὶ λέγει αὐτὸ ἐκ γ' καὶ ὁ ἀνάδοχος καὶ ὁ κατηχούμενος, τὸ Ἀπεταξάμην. Εἶτα ὁ ἱερεύς· Καὶ ἐμπτύσατε αὐτόν. Μετὰ δὲ τὸ ἐμπτῦσαι, ἵστανται πάλιν κατὰ ἀνατολάς, ἄνω τὰς χεῖρας ἔχον(τες)· Συνετάξω τῷ Χριστῷ; Ὁ κατηχούμενος καὶ ἀνάδοχος· Συνεταξάμεθα αὐτῷ. Ὁ ἱερεύς· Καὶ προσκυνήσατε αὐτῷ. Μετὰ δὲ τὴν προσκύνησιν ὁ ἱερεὺς ἐρωτᾷ· Ἀληθῶς συνετάξω τῷ Χριστῷ; Ὁ βαπτιζόμενος σὺν τῷ ἀναδόχῳ· Ἀληθῶς συνεταξάμην. Ὁ ἱερεύς· Ἄξιον καὶ δίκαιον, καὶ τὸ Πιστεύω εἰς ἕνα Θεόν, ἐκ γ'. Καὶ πάλιν, συνεταξάμην καὶ προσκυνήσωμεν αὐτῷ. Καὶ ὁ ἱερεὺς τὴν εὐχὴν ταύτην, κλινόμενος, ἐπεύχεται· Δέσποτα Κύριε, προσκάλεσαι τὸν δοῦλόν σου πρὸς τὸ ἅγιον φώτισμα. Goar pag. 278. Ἐν εἰρήνῃ τοῦ Κυρίου... Ὑπὲρ τῆς ἄνωθεν. Ὑπὲρ τῆς εἰρήνης... Ὑπὲρ τοῦ ἁγίου οἴκου... Ὑπὲρ τοῦ ἁγιασθῆναι τὸ ὕδωρ... Ὑπὲρ τοῦ καταπεμφθῆναι αὐτῷ τὴν χάριν... Ὑπὲρ τοῦ γενέσθαι τοὺς

ἐν αὐτῷ βαπτιζομένους ἀσπίλους... Ὑπὲρ τοῦ ἀκατακρίτως μεταλαμβάνειν αὐτούς... Ὑπὲρ τοῦ ρυσθῆναι ἡμᾶς... Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας ἀχράντου... Ὅτι πρέπει... Εἰρήνη πᾶσιν. Τὰς κεφαλὰς ἡμῶν... Ὁ εὔσπλαγχνος καὶ ἐλεήμων Θεός. Goar pag. 238—289. Καὶ λαμβάνει (т. е. послѣ молитвы: Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν τῇ κιβωτῷ (τοῦ Νῶε) τὸ τρυβλίον τοῦ ἐλαίου, τὸ δὲ παιδίον κάτω κείμενον, καὶ λαβὼν ὁ ἱερεὺς αὐτό, καταδύει αὐτὸ εἰς τὴν κολυμβήθραν, καὶ λαμβάνει ὁ ἱερεὺς τὸ βρέφος, καὶ ἀνυψοῖ αὐτὸ ἐκ γ' εἰς τὴν κολυμβήθραν, λέγων· Βαπτίζεται ὁ δοῦλος τοῦ Θεοῦ ὁ δεῖνα εἰς τὸ ὄνομα τοῦ Πατρός. Ἀμήν. Καὶ τοῦ Υἱοῦ. Ἀμήν. Καὶ τοῦ ἁγίου Πνεύματος. Ἀμήν. Καὶ εὐθὺς Μακάριοι, ὧν ἀφέθησαν αἱ ἀνομίαι, καὶ ὧν ἀπεκαλύφθησαν... καὶ λέγει· Εὐλογητὸς ὁ Θεός, ὁ φωτίζων καὶ ἁγιάζων... Καὶ λαμβάνει ὁ πρεσβύτερος ἐκ τοῦ ἁγίου ἐλαίου τῷ δακτύλῳ αὐτοῦ, καὶ ποιεῖ σταυροῦ τύπον ἐπὶ τοῦ μετώπου αὐτοῦ καὶ τοῦ στήθους, καὶ τῶν μεταφρένων τοῦ βαπτιζομένου, καὶ λέγει οὕτως· Χρίεται ὁ δοῦλος τοῦ Θεοῦ ὁ δεῖνα ἔλαιον ἀγαλλιάσεως εἰς τὸ ὄνομα... Καὶ μετὰ τὸ βαπτισθῆναι ἀπέρχεται ὁ ἱερεύς, ψάλλων σὺν τῷ λαῷ· Μακάριοι, ὧν ἀφέθησαν. Καὶ ὅταν εἴπῃ γ', καὶ λέγει τὴν εὐχήν· Εὐλογητὸς εἶ, Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ἡ πηγὴ τῶν ἀγαθῶν. Goar pag. 290. Καὶ λαβὼν ὁ ἱερεὺς τὸ ἅγιον μύρον, χρίει αὐτὸν σταυροειδῶς εἰς τὸ μέτωπον, καὶ τοὺς ὀφθαλμούς, καὶ τοὺς μυκτῆρας, καὶ τὸ στόμα καὶ τὰς ἀκοάς, λέγων· Σφραγὶς δωρεᾶς Πνεύματος ἁγίου πάντοτε, νῦν καὶ ἀεί.

Ἑρμηνεία εἰς τὸ μεταλαμβάνειν τὸ παιδίον· εἰσέρχεται εἰς τὴν ἐκκλησίαν μὲ τὸ βρέφος, ἀσπάζονται τὰς ἁγίας εἰκόνας, ψάλλοντες· Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε. Ὁ ἱερεύς· Καὶ καταξίωσον ἡμᾶς, Δέσποτα. Ὁ λαός· Εἷς ἅγιος, εἷς Κύριος... Κοινωνικόν· Ποτήριον σωτηρίου, καὶ μεταλαμβάνει τὸ βρέφος, καὶ ψάλλοντες· Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, λέγων οὕτως γ', καὶ τὴν εὐχήν· Ὁ λύτρωσιν διὰ τοῦ ἁγίου σου βαπτίσματος τῷ δούλῳ σου δωρησάμενος... Goar pag. 303.

Εὐχὴ εἰς τὸ κουρεῦσαι παιδίον.

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τῇ εἰκόνι σου τιμήσας τὸν ἄνθρωπον... Goar pag. 306. Εἰρήνη πᾶσιν. Τὰς κεφαλάς. Σὲ ἱκετεύομεν, Κύριε ὁ Θεὸς τῆς σωτηρίας ἡμῶν, ὁ ἐκ τοῦ πληρώματος τῆς κολυμβήθρας τῆς σῆς ἀγαθότητος... Goar. p. 306.

л. 70 об. Ἀκολουθία εἰς γυναῖκα, ὅτε ἀποβάλλεται. Goar. p. 271.

л. 11 об. Ἀκολουθία εἰς ἀδελφοποίησιν.

Ποιεῖ εὐλογητόν, τὸ Τρισάγιον, τὸ Παναγία Τριάς, τὸ Πάτερ ἡμῶν, Ὅτι σοῦ ἐστι. Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῆς εἰρήνης

τοῦ σύμπαντος κόσμου... Ὑπὲρ τοῦ παρασχεθῆναι αὐτοῖς ἄνωθεν τὴν εἰρήνην... Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας ἀχράντου... Ὅτι πρέπει σοι πᾶσα δόξα... Κύριε ὁ Θεὸς ἡμῶν, ὁ πάντα πρὸς σωτηρίαν ἡμῖν χαρισάμενος. Goar pag. 707. Εὐχὴ ἑτέρα· Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ ποιήσας τὸν ἄνθρωπον κατ' εἰκόνα σὴν καὶ ὁμοίωσιν. Ibidem. Κύριε ὁ διὰ στόματος λαλήσας Δαβὶδ τῷ δούλῳ σου· ἰδοὺ δὴ τί καλὸν ἢ τί τερπνόν, ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό, καὶ ἐκλεξάμενος καὶ συναγαγὼν τοὺς ἁγίους σου μαθητὰς καὶ ἀποστόλους εἰς ἑνότητα καὶ ἀγάπην πνευματικήν... Τῷ συνδέσμῳ τῆς ἀγάπης... Εἶτα ἀσπάζονται ἀλλήλους, καὶ ποιεῖ ἀπόλυσιν.

л. 72 об. Ἀκολουθία εἰς μνῆστρα.

Ὁ προαιώνιος Θεός, ἡ τοῦ ἐλέους πηγή, τὸ τῆς ἀγαθότητος πέλαγος... А. Алмазовъ. Тайная исповѣдь, т. III, отд. II, стр. 48.

л. 318 об. Εὐχὴ συγχωρητική, ἣν ποιεῖ ὁ πνευματικὸς μετὰ τὴν ἐξομολόγησιν.

Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, Υἱὲ καὶ Λόγε. Goar. p. 536.

л. 321. Εὐχὴ ἐπὶ τρύγους.

л. 322. Слова при одѣяніи монаховъ.

CXXX. № 993. Εὐχολόγιον, рукопись той-же библіотеки въ 16 долю листа, 131 листъ, писана двумя почерками XVI в.

л. 1. Оглавленіе.

л. 8. Ἔκθεσις ἁπλουστέρα τε καὶ συντομωτέρα περὶ κεκωλυμένων καὶ ἀκωλύτων γάμων, συντεθεῖσα παρὰ Μανουὴλ, τοῦ μεγάλου χαρτοφύλακος τῆς ἁγίας καὶ σεβασμίας τοῦ Θεοῦ μεγάλης ἐκκλησίας, καὶ ἐκδοθεῖσα ὁρισμῷ τοῦ παναγιωτάτου πατριάρχου κυροῦ Ἱερεμίου.

л. 34 об. Ἑτέρα ἔκθεσις κυροῦ Μανουὴλ Ξανθοπούλου, καὶ μεγάλου ἐκκλησιάρχου Κωνσταντινουπόλεως, περὶ κεκωλυμένων γάμων καὶ ἀκωλύτων.

л. 57. Ἀκολουθία εἰς τὸ καθιερῶσαι ἀντιμίνσια μετὰ ἁγίων λειψάνων, εἰς τὸ ἱερουργεῖν ὁ ἱερεὺς εἰς ἐκκλησίας χαλασμένας καὶ ἁγίας τραπέζας, λείψανα μὴ ἐχούσας, καὶ ἐν παντὶ τόπῳ.

Φορένει ὁ ἀρχιερεὺς τὴν ἀρχιερατικὴν στολὴν ἅπασαν, καὶ λαζαρώνεται μετὰ βαμβακεροῦ πανίου ἀπὸ τὰς μασχάλας καὶ κάτω μέχρι ποδῶν, καὶ ζώννυται ἐπάνω μετὰ ζωναρίου, καὶ εἰς τὰς δύο χεῖρας δύο μανδύλια, δεδεμένα μετὰ ζωναρίων, καὶ εὐθὺς τίθεται πεύχην καὶ προσκεφάλαιον πρὸ τῶν ἁγίων θυρῶν, καὶ τὰ ἀντιμίνσια ἔνι κομμένα καὶ ῥαμμένα, καὶ τίθενται εἰς τὴν ἁγίαν τράπεζαν, καὶ ἐπάνωθεν τοῦ ἀντιμινσίου ποιεῖ τόπον, ἵνα ἀποθέσῃ τὰ ἅγια λείψανα [1]), καὶ πρῶτον λαμβάνει τὰ κάθωτεν εἴδη· κηρίον, λίβανον, μαστίχην, λάδανον, πατίτην, ὅς ἐστιν οἴνου τρυγία [2]), σμύρναν, λεγομένην ἀράπικα μώρπο τάραχ ἄσφαρ [3]), καὶ ἀλώην, λεγομένην ἀράπικα σάπρσου κούτρι ἄσφαρ, καὶ μάρμαρον τετριμμένον, καὶ τρίβει [4]) αὐτὰ εἰς ἰγδίον καθαρόν, καὶ βάλλει αὐτὰ εἰς ἀγγεῖον καινόν, καὶ βράζει τα νὰ ἑνωθοῦσιν ὅλα ὁμοῦ, καὶ ὕστερον ῥάπτει μικρὰ πουγγία, καὶ βάλλει ἀπὸ τὰ εἴδη τὰ βρασμένα μέσα εἰς τὰ πουγγία, καὶ τότε βάλλει εἰς τὸ πουγγίον τρεῖς μερίδας ἐκ λειψάνων μαρτυρικῶν, καὶ

---

[1]) Ркп. Александрійской библ. № 371 καὶ βάλλει εἰς πουγγίον μικρὸν τρεῖς μερίδας λείψανα μαρτυρικά, μετὰ εἴδη βρασμένα εἰς ἀγγεῖον καινόν, βάλλει κηρίον. [2]) нѣтъ этого объясненія и другихъ, имѣющихся въ основномъ синайскомъ спискѣ. [3]) нѣтъ. [4]) βάλλει εἰς τὸ πουγγίον πρῶτον ἀπὸ τὰ εἴδη, εἶτα βάλλει τὰς τρεῖς μερίδας τὰ λείψανα, καὶ πάλιν βάλλει ἀπὸ τὰ εἴδη, καὶ σκεπάζει τὰ λείψανα, καὶ ῥάπτει τὸ πουγγίον, καὶ βάλλει αὐτὸ εἰς τὸν δίσκον, καὶ ἐπάνωθεν τοῦ ἁγίου δίσκου τὸν ἀστέρα, καὶ σκεπάζει αὐτὰ μετὰ ποτηροκαλύμματος, καὶ τίθεται ἐν τῇ προθέσει, καὶ ἅπτει κηρὸν ἐπάνωθεν αὐτοῦ, καὶ ὁ ἀρχιδιάκονος λέγει· Ἔτι καὶ ἔτι, κλίναντες τὰ γόνατα, τοῦ Κυρίου δεηθῶμεν. Καὶ ὁ ἀρχιερεὺς κλίνει τὰ γόνατα.

πάλιν βάλλει ἀπὸ τὰ εἴδη τὰ βρασμένα εἰς τὰ πουγγία ἐπάνω τῶν λειψάνων, καὶ ῥάπτει αὐτά, καὶ βάλλει αὐτὰ ὅλα εἰς τὸν ἅγιον δίσκον, καὶ ἐπάνωθεν τοῦ ἁγίου δίσκου τὸν ἀστέρα, καὶ σκεπάζει αὐτὰ μετὰ τοῦ ἁγίου ποτηροκαλύμματος, καὶ βάλλει αὐτὰ ἐν τῇ προθέσει, καὶ ἅπτει κηρὸν ἐπάνωθεν αὐτῶν, καὶ τότε λέγει ὁ ἀρχιερεύς· Εὐλογημένη ἡ βασιλεία... Ἱεροδιάκονος λέγει· Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῆς εἰρήνης... Ὑπὲρ τοῦ πατρὸς ἡμῶν πάπα καὶ πατριάρχου, ὁ δεῖνα, καὶ τοῦ ἔργου τῶν χειρῶν αὐτοῦ, καὶ τῶν συμπαρόντων αὐτῷ ἀρχιερέων καὶ ἱερέων, τοῦ... Ὑπὲρ τῶν παρόντων καὶ συνευχομένων ἡμῖν ἐν ταύτῃ τῇ ἁγίᾳ ὥρᾳ καὶ ἐν παντὶ καιρῷ, πατέρων τε καὶ ἀδελφῶν ἡμῶν, σπουδῆς, καμάτου... Ὑπὲρ τοῦ ἁγιασθῆναι τὰ θυσιαστήρια ταῦτα... Ὑπὲρ ἀφέσεως ἁμαρτιῶν... Τῆς παναγίας, ἀχράντου... Ὅτι εὐλογητὸς καὶ δεδοξασμένος ὑπάρχεις ἐν τοῖς ἁγίοις σου μάρτυσι πάντοτε... Εἶτα λέγει ὁ διάκονος· Ἔτι καὶ ἔτι, κλίναντες τὰ γόνατα, τοῦ Κυρίου δεηθῶμεν. Καὶ ὁ ἀρχιερεύς, κλίνας τὰ γόνατα ἐπάνω τοῦ προσκεφαλαίου, εὔχεται τὰς εὐχὰς ταύτας· Ὁ Θεὸς ὁ ἄναρχος καὶ ἀΐδιος, ὁ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι τὰ πάντα παραγαγών. Goar pag. 657. Ὁ πάσης φύσεως Δεσπότης, καὶ τῆς κτίσεως ἁπάσης δημιουργός. Goar pag. 519. Καὶ ἀνίσταται ὁ ἀρχιερεύς, καὶ ἔρχεται εἰς τὴν ἁγίαν τράπεζαν. Ὁ δὲ διάκονος λέγει· Ἀντιλαβοῦ, σῶσον... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῆς εἰρήνης... Ὑπὲρ τοῦ πατρὸς πάπα καὶ πατριάρχου ἡμῶν... Ὑπὲρ τοῦ ἁγιασθῆναι τὰ θυσιαστήρια ταῦτα.. Ὑπὲρ τῆς πόλεως ταύτης... Ὑπὲρ τοῦ ῥυσθῆναι... Τῆς παναγίας, ἀχράντου... Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, καὶ ἐν ἁγίοις, τοῖς ὑπὲρ σοῦ ἀθλήσασι τιμίοις μάρτυσιν, ἐπαναπαύει, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί... Conf. Goar p. 658. Ὁ διάκονος[1])· Ἔτι καὶ ἔτι, κλίναντες τὰ γόνατα, τοῦ Κυρίου δεηθῶμεν. Καὶ ὁ ἀρχιερεύς, κλινόμενος, ἐπεύχεται. Εὐχὴ τοῦ ῥοδοστάγματος[2])· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἁγιάσας τὰ ῥεῖθρα τοῦ Ἰορδάνου διὰ τῆς σωτηριώδους σου ἐπιφανείας... Goar pag. 559[3]). Καὶ μετὰ τὸ εὐλογῆσαι αὐτό, σφραγίζει αὐτὸ τρίς, καὶ ἐπιχέει τὰ ἀντιμίνσια σταυροειδῶς, λέγων· Εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ... Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι... ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα[4]). Εἶτα ἀπέρχεται ἐν τῇ προθέσει μετὰ τῶν ἱερέων καὶ διακόνων καὶ λαμπάδων, καὶ λαμβάνει ὁ ἀρχιερεὺς

---

1) Нѣтъ этого. 2) Опущено это надписаніе. 3) Εἶτα πέρνει τὸ ῥοδόσταγμα ὁ ἀρχιερεύς, καὶ σφραγίζει αὐτὸ τρίς, καὶ ἐπιχέει.. 4) Καὶ ἀποδδέται τὸ λαζάρωμα ἔμπροσθεν τῆς ἁγίας τραπέζης.

τὸν ἅγιον δίσκον, σκεπασμένον μετὰ τοῦ ἀέρος, καὶ θέτει αὐτὸν ἐπάνω τῆς κεφαλῆς αὐτοῦ, καὶ εἰσοδεύει, καὶ ἔρχεται μέχρι τῶν ἁγίων θυρῶν, καὶ ἵσταται, καὶ ὅτε εἰσοδεύει, οἱ ψάλται ψάλλουσι τὸ Ἅγιοι μάρτυρες. Καὶ [1]) τότε λέγει ὁ ἀρχιερεύς· Ἄρατε πύλας... μεγαλοφώνως. Καὶ ἀνοιγομένων τῶν θυρῶν, εἰσέρχεται ἐντὸς τοῦ βήματος, καὶ γυρίζει κύκλῳ τὴν ἁγίαν τράπεζαν, προπορευομένων αὐτῶν λαμπάδων καὶ θυμιατῶν, καὶ ψαλλόντων τῶν ψαλτῶν· Ἅγιοι μάρτυρες... Δόξα σοι, Χριστὲ ὁ Θεός...[2]) Οἱ μαρτυρήσαντες διὰ σέ, Χριστέ, πολλὰς βασάνους ὑπέμειναν, καὶ τέλειον ἀπέλαβον τὸν στέφανον ἐν οὐρανοῖς, ἵνα πρεσβεύουσιν ὑπὲρ τῶν ψυχῶν ἡμῶν. Καὶ μετὰ τὸ γυρίσαι τρὶς τὴν ἁγίαν τράπεζαν, καὶ λέγει τὴν εὐχὴν ταύτην. Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν. Ὁ ἀρχιερεύς· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καὶ ταύτην τὴν δόξαν τοῖς ὑπὲρ σοῦ ἀθλήσασιν ἁγίοις μάρτυσι δωρησάμενος... Goar. pag. 663. Εὐχὴ εἰς τὴν κατάθεσιν τῶν λειψάνων. Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν. Ὁ ἀρχιερεὺς εὔχεται· Ὁ Θεὸς τῶν πατέρων ἡμῶν, ὁ ἅγιος τῶν ἁγίων, ὁ Θεὸς τῶν ἀποστόλων καὶ βασιλεὺς τῶν μαρτύρων, τὸ καύχημα τῶν ἁγίων σου, καὶ ὁ στέφανος πάντων τῶν εὐαρεστησάντων τῷ ὀνόματί σου... См. выше стр. 295 Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ σοὶ πρέπει δόξα σὺν τῷ παναγίῳ σου Πνεύματι νῦν καὶ ἀεί... Εἶτα λαμβάνει ὁ ἀρχιερεὺς τὰ ἅγια λείψανα καὶ βάλλει εἰς τὰ ἀντιμίνσια, καὶ ῥάπτει αὐτά, καὶ μύρον βάλλει εἰς τὰ ἀντιμίνσια, ποιῶν σταυρὸν μέσον εἰς τὰ ἀντιμίνσια καὶ εἰς τὰ τέσσαρα πλάγια [3]). Στίχος· Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου, Κύριε τῶν δυνάμεων, ὁ βασιλεύς μου καὶ ὁ Θεός μου. Στίχος· Τὰ θυσιαστήριά σου, Κύριε τῶν δυνάμεων... Καὶ δοξάζει, λέγων τὸ Ἀλληλούϊα. Στίχος· Ἐμίσησα ἐκκλησίαν πονηρευομένων, καὶ μετὰ ἀσεβῶν οὐ μὴ καθίσω. Στίχος· Νίψομαι ἐν ἀθῴοις τὰς χεῖρας.. Καὶ ὅτε χρίσῃ καὶ τελειώσῃ αὐτά, λέγει τὸν ψαλμὸν κβ'· Κύριος ποιμαίνει με καὶ οὐδέν με ὑστερήσει... Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν. Ὁ ἀρχιερεὺς τὴν εὐχήν· Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ διὰ τῶν καλλινίκων σου μαρτύρων καταγωνισάμενος τὸν ἐχθρὸν ἡμῶν διάβολον, См. выше стр. 296 [4]). Εἶτα λέγει ὁ ἀρχιερεύς· Εἰρήνη πᾶσιν. Ὁ διάκονος· Τὰς κεφαλάς. Καὶ ὁ ἀρχιερεὺς λέγει τὴν εὐχὴν ταύτην· Κύριε ὁ Θεὸς τῶν δυνάμεων, εὐχα-

---

[1]) Καὶ εἰς τὰς ἁγίας θύρας λέγει ὁ ἀρχιερεύς. [2]) Καὶ ἀποθέτει τὸν ἅγιον δίσκον ἐν τῇ ἁγίᾳ τραπέζῃ, καὶ λέγει τὴν εὐχὴν ταύτην. [3]) Καὶ οὕτως λέγει τὴν εὐχήν· Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ διὰ τῶν καλλινίκων... [4]) Καὶ ποιεῖ ἀπόλυσιν, καὶ ἀποδδέται τὰ λαζαρώματα, ἅπερ ἐνεδύσατο, καὶ ἐὰν ἔστι λειτουργία, ἄρχονται τῆς λειτουργίας, εἰ δ' οὔ, ἀποφορένει τὴν ἀλλαγήν του καὶ ἀπέρχεται.

ριστοῦμέν σοι διὰ παντός, ὅτι ἣν ἐξέχεας χάριν ἐπὶ τοὺς ἁγίους σου ἀποστόλους... Goar pag. 520. Ἰδοὺ ἡγίασται, καὶ τετελείωται, καὶ γέγονε θυσιαστήρια ἅγια ἁγίων. Ἐν ὀνόματι τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος νῦν καὶ ἀεί... Εἶτα λέγει ὁ ἀρχιερεὺς ψαλμὸν 92. Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο. Εἶτα ψαλμὸν ριζ΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ... Ὁ διάκονος· Ἔτι ἐκτενῶς ἐν εἰρήνῃ... Ὑπὲρ σωτηρίας... Ὑπὲρ ἀφέσεως ἁμαρτιῶν... Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης... Καὶ ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου καὶ τῶν τιμίων ἐνδόξων θυσιαστηρίων, τῶν ἁγιασθέντων, καὶ τοῦ καταξιωθῆναι πάντας ἡμᾶς τῆς οὐρανῶν βασιλείας, Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν. Ὁ ἀρχιερεὺς ἐκφώνως· Ὅτι εὐλόγηται, καὶ ἡγίασται, καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρός... Προκείμενον, апостолъ и евангеліе. Goar pag. 520—521. Εἶτα λέγει ὁ ἀρχιερεὺς τὴν εὐχήν· Κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὁ τὴν ἁγίαν σου ἐκκλησίαν ἀρρήτῳ σοφίᾳ θεμελιώσας... Goar. p. 517. Εἰρήνη πᾶσιν. Ὁ διάκονος· Τὰς κεφαλάς... Καὶ ὁ ἀρχιερεὺς τὴν εὐχήν· Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ διὰ τῶν ἁγίων σου ἀποστόλων φωταγωγήσας... Goar. pag. 520. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι, καὶ γίνεται ἀπόλυσις, καὶ ἀποδύεται τὰ λαζαρώματα, καὶ ἐὰν ἔστι λειτουργία, ἄρχονται αὐτῆς, εἰ δ' οὐκ ἔστιν, ἀποφορένει καὶ ἀπέρχεται.

л. 73. Περὶ τοῦ πῶς χρὴ δέχεσθαι τοὺς ἀναθεματίζοντας τὴν ἰδίαν καὶ πᾶσαν αἵρεσιν, καὶ μύρῳ θείῳ χριομένους μόνον καὶ μὴ βαπτιζομένους. См. выше стр. 422—425.

л. 77 об. Ἔκθεσις ἀκριβεστέρα περὶ τοῦ πῶς δέχεσθαι τοὺς ἐξ Ἑβραίων τῇ τῶν χριστιανῶν πίστει προσερχομένους. Прилож. стр. 68—88.

л. 84. Ἀπόταξις τῶν αἱρετικῶν Ἀρμενίων, ὅπως ὀφείλουσιν ἀναθεματίζειν, ἐπιστρέφοντες πρὸς τὴν πίστιν τῶν ὀρθοδόξων Ῥωμαίων, οἳ οὐ βαπτίζονται, ἀλλὰ μυροῦνται.

л. 90. Εὐχαὶ ἐπὶ ἀρρώστου.

л. 100. Отрывокъ изъ сочиненія противъ латинянъ безъ начала, имѣющій весьма близкое отношеніе къ чину крещенія ихъ, напечатанному въ Требникѣ М. изданія 1651—52 г.

л.л. 103—104 чистые.

л. 105. Τάξις, γινομένη ἐπὶ χειροτονίᾳ ἐπισκόπου ἢ μητροπολίτου. См. выше стр. 692—694 и варіанты.

л. 111. Τάξις ἐπὶ χειροτονίᾳ πατριάρχου. Πῶς δεῖ ἀρχιερεὺς ἐνθρονιάζεσθαι. См. выше стр. 694—698.

л. 114 чистый.

л. 115. Ἀκολουθία τῆς ἁγίας μεταλήψεως.

л. 128. Указатель евангельскихъ чтеній на цѣлый годъ.

CXXXI. Σκδ—1070 (№ 207.) Εὐχολόγιον, рукопись патріаршей Александрійской библіотеки въ Каирѣ въ 16 долю листа, 183 листа, писана скорописью XVI в. Писецъ называетъ себя священникомъ Ниломъ, какъ это видно изъ слѣдующей приписки въ чинѣ литургіи: Μέμνησο τοῦ γράψαντος, ὦ Θεοῦ θύτα, Νείλου τάλανος (л. 25 об.).

л. 1. Ἀρχὴ σὺν Θεῷ ἁγίῳ τοῦ διακονικοῦ. Αὕτη ἡ τάξις γίνεται ἐν τῇ σεβασμίᾳ λαύρᾳ, τῇ ἐν τῷ ὄρει τοῦ Ἄθω. См. выше стр. 602—614 и варіанты.

л. 47. Ἡ θεία λειτουργία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου τοῦ Μεγάλου.

л. 76. Εὐχὴ ἐπὶ παντὸς εἴδους μιανθέντος.

л. 76 об. Εὐχὴ ἐπὶ εὐλογίᾳ οἴνου.

л. 77. Εὐχὴ εἰς ἅλωνα θέρους, καὶ καρπῶν πεπληρωμένην.

л. 77 об. Εὐχὴ ἐπὶ μιαροφαγησάντων τινῶν ἀνθρώπων.

л. 79. Ἡ θεία λειτουργία τῶν προηγιασμένων. См. выше стр. 615.

л. 91 об. Τάξις, γινομένη, εἰ συμβῇ μιαρὸν ἢ ἀκάθαρτον προσφάτως ἐμπεσεῖν ἐν ὑποληνίῳ οἴνου, ἢ ἀγγείῳ ἐλαίου, ἢ ἄλλῳ τι(νί.)

л. 93. Ἀκολουθία τοῦ μεγάλου ἁγιασμοῦ τῶν Φώτων.

л. 205 об. Ἀκολουθία εἰς μνῆστρα, ἤγουν ἀρραβῶνας.

Ὁ ἱερεὺς ποιεῖ εὐλογητόν, Τρισάγιον, Παναγία Τριάς, τὸ Πάτερ ἡμῶν, Ὅτι σοῦ ἐστιν, τὸ τροπάριον τῆς ἡμέρας, Δόξα καὶ νῦν, θεοτοκίον ὅμοιον, εἶτα ἵστησι τὸν γαμβρὸν ἐπὶ τὸ δεξιὸν μέρος, τὴν δὲ νύμφην ἐξ ἀριστερῶν αὐτοῦ, καὶ δίδει αὐτοῖς κηρία ἅπτοντα. Καὶ λαβὼν ὁ ἱερεὺς δακτυλίδια δύο, τὸ μὲν ἓν χρυσοῦν, τὸ δὲ ἕτερον ἀργυροῦν, καὶ ἀποτίθησιν αὐτὰ ἐντὸς τοῦ βήματος ἐπάνω τῆς ἁγίας τραπέζης, εἶτα ἄρχεται ὁ διάκονος ἢ ὁ ἱερεὺς τῆς μεγάλης συναπτῆς· Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῆς εἰρήνης... Ὑπὲρ τοῦ ἁγίου οἴκου... Ὑπὲρ τῶν νῦν μνηστευομένων.. Ὑπὲρ τῶν δούλων τοῦ Θεοῦ, τῶνδε, καὶ τῆς ἐν Θεῷ συζεύξεως... Ὑπὲρ τοῦ παρασχεθῆναι αὐτοῖς τε καὶ ἡμῖν, πᾶσιν τοῖς παροῦσι καὶ συνευχομένοις ἡμῖν, πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα καὶ ζωὴν τὴν αἰώνιον, τοῦ Κυρίου δεηθῶμεν. Ὑπὲρ τοῦ παρασχεθῆναι αὐτοῖς σωφροσύνην, ὁμοφροσύνην καὶ χάριν τέκνων, τοῦ Κυρίου... Ὑπὲρ τοῦ δωρηθῆναι αὐτοῖς τε καὶ ἡμῖν πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα καὶ ζωὴν τὴν αἰώνιον, τοῦ Κυρίου... Ὑπὲρ τοῦ ῥυσθῆναι...

'Αντιλαβοῦ, σῶσον... Τῆς παναγίας... Ὅτι πρέπει... Καὶ ἐρωτᾷ αὐτοὺς καὶ λέγει· Θέλεις, γαμβρέ, ὀρέγεσαι, ἀγαπᾷς ἐπάραι τὴν κεράν, ἡ δεῖνα, γυναῖκα ἐν τῷ φωτὶ τῆς ἡμέρας, καθὼς γέγονεν ἀπ' ἀρχῆς κόσμου; Καὶ ἀποκρίνεται ὁ γαμβρός· Ναί, τίμιε, παρὰ Θεῷ καὶ ἀνθρώποις. Εἶτα ἐρωτᾷ καὶ τὴν νύμφην καὶ λέγει· Θέλεις, κερὰ ἡ δεῖνα, ἐν τῷ φωτὶ τῆς ἡμέρας, καθὼς ἀπ'ἀρχῆς καὶ ἀρχῶν κόσμου ἐγένετο; Ναί, ἅγιε τοῦ Θεοῦ. Καὶ εὐθὺς ὁ ἱερεὺς λέγει τὴν εὐχήν· Ὁ Θεὸς ὁ αἰώνιος, ὁ τὰ διῃρημένα συναγαγὼν εἰς ἑνότητα. Goar pag. 311. Καὶ δίδει ὁ ἱερεὺς τὸ χρυσοῦν δακτυλίδιον τῷ γαμβρῷ, τῇ δὲ νύμφῃ τὸ ἀργυροῦν, καὶ ἀλάσσουν αὐτὰ ἐκ γ', εἶτα ἀλάσσουν καὶ τὰ κηρία ἐκ γ', καὶ λέγει ὁ ἱερεὺς τὴν εὐχὴν ταύτην. Τοῦ Κυρίου δεηθῶμεν. Δέσποτα φιλάνθρωπε Κύριε, ὁ ἐν τῇ προφητικῇ φωνῇ ἐνισχύσας ἡμᾶς. См. выше стр. 460, прим. (Имѣются въ текстѣ весьма незначительныя особенности). Εὐχὴ ἑτέρα τοῦ ἀῤῥαβῶνος. Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐξαποστείλας τὴν ἀλήθειάν σου καὶ τὴν κληρονομίαν σου. См. выше стр. 459—460, но съ варіантами. Εὐχὴ ἑτέρα. Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὴν ἐξ ἐθνῶν μνηστευσάμενος ἑαυτῷ ἐκκλησίαν. Goar pag. 311. Εὐχὴ ἑτέρα. Τοῦ Κυρίου δεηθῶμεν· Σῶτερ ἀγαθὲ καὶ φιλάνθρωπε, τὸν ἀῤῥαβῶνα τοῦτον ἰσχυρὸν καὶ βέβαιον διατήρησον. См. выше стр. 663. Καὶ γίνεται ἀπόλυσις.

л. 109 об. Ἀκολουθία τοῦ στεφανώματος.

Μετὰ τὴν θείαν λειτουργίαν ἐξέρχεται ὁ ἱερεὺς ἔξω τοῦ θυσιαστηρίου, καὶ εἰσφέρουσι τοὺς νεονύμφους ἔσωθεν τῆς ἐκκλησίας, κρατῶν αὐτοὺς ἐκ τῆς δεξιᾶς χειρός, λέγων τὸν ψαλμὸν τοῦτον εἰς ἦχον β'. Μακάριοι πάντες οἱ φοβούμενοι... Съ припѣвомъ къ каждому стиху „Аллилуіа". Μετὰ δὲ τὸ εἰπεῖν τὸν ψαλμὸν ὅλον, ἄρχεται ὁ ἱερεὺς τὴν μεγάλην συναπτήν· Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῆς εἰρήνης... Ὑπὲρ τοῦ ἁγίου οἴκου... Ὑπὲρ τῶν νῦν στεφανωμένων πρὸς γάμου κοινωνίαν... Ὑπὲρ τοῦ εὐλογηθῆναι τὸν γάμον τοῦτον... Ὑπὲρ τοῦ δούλου τοῦ Θεοῦ... Ὑπὲρ τοῦ εὐφρανθῆναι αὐτοὺς ἐν ὁράσει υἱῶν καὶ θυγατέρων αὐτῶν... Ὅπως Κύριος ὁ Θεὸς ἡμῶν χαρίσηται αὐτοῖς τίμιον τὸν γάμον... Ὑπὲρ τοῦ παρασχεθῆναι αὐτοῖς σωφροσύνην, ὁμοφροσύνην καὶ χάριν τέκνων... Ὑπὲρ τοῦ δωρηθῆναι αὐτοῖς πάντα τὰ πρὸς σωτηρίαν... Ὑπὲρ τοῦ ῥυσθῆναι... Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας... Ὅτι πρέπει... Καὶ εὐθὺς λέγει ὁ ἱερεὺς τὴν εὐχήν· Τοῦ Κυρίου δεηθῶμεν. Ὁ Θεὸς ὁ ἅγιος, ὁ πλάσας τὸν ἄνθρωπον καὶ ἐκ τῆς πλευρᾶς αὐτοῦ ἀνοικοδομήσας. Goar. p. 317. Εὐχὴ ἑτέρα. Τοῦ Κυρίου δεηθῶμεν. Ὁ Θεὸς ὁ ἄχραντος καὶ πάσης κτίσεως δημιουργός, ὁ τὴν πλευρὰν τοῦ πρωτοπλάστου Ἀδάμ.

Goar p. 315; Сн. выше стр. 29—30. Καὶ εἰσέρχεται ὁ ἱερεὺς εἰς τὸ ἅγιον βῆμα, καὶ λαμβάνει τὰ στέφανα, καὶ ἐξελθών, στρέφει πρὸς τοὺς νεονύμφους, λέγων· Δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτὸν καὶ κατέστησας αὐτὸν ἐπὶ τὰ ἔργα τῶν χειρῶν σου. Καὶ περιθεὶς τὴν κεφαλὴν τοῦ ἀνδρός, λέγει· Ἔθηκας ἐπὶ τὴν κεφαλὴν αὐτοῦ στέφανον ἐκ λίθου... μακρότητα ἡμερῶν. Καὶ λέγει τοῦτο ὁ ἱερεὺς ἐκ γ'. Καὶ εἰς τὴν νύμφην λέγει πάλιν ὁμοίως· Δόξῃ καὶ τιμῇ... καὶ περιθεὶς τῇ κεφαλῇ αὐτῆς, λέγων· Ἔθηκας ἐπὶ τὴν κεφαλήν... Λέγει αὐτὸ ἐκ γ'. Καὶ λέγει τὴν εὐχήν· Τοῦ Κυρίου δεηθῶμεν. Δοξάζομέν σε, Δέσποτα παντοκράτορ, ἐπὶ τῇ σῇ μεγαλειότητι· δοξάζομεν, Κύριε ὁ Θεὸς ἡμῶν, ἐπὶ τῇ ἀνεξιχνιάστῳ αἰνέσει σου· στεφάνωσον τοὺς δούλους σου τούτους, ὁ Θεὸς ἡμῶν, ὁ στεφανώσας τὴν γῆν τοῖς ἄνθεσι· στεφάνωσον αὐτούς, Κύριε ὁ Θεὸς ἡμῶν, ὁ στεφανώσας τὴν θάλασσαν ψάμμῳ· στεφάνωσον αὐτούς, Κύριε ὁ Θεὸς ἡμῶν, ὡς ἐστεφάνωσας τὴν ἡμέραν τῷ φωτί σου τῷ ἡλιακῷ· στεφάνωσον αὐτούς, Κύριε ὁ Θεὸς ἡμῶν, ὡς ἐστεφάνωσας τὴν νύκτα ταῖς τῆς σελήνης αὐγαῖς· στεφάνωσον αὐτούς, Κύριε ὁ Θεὸς ἡμῶν, ὡς ἐστεφάνωσας τὰ τείχη τῆς ἄνω Ἱερουσαλήμ· στεφάνωσον αὐτούς, Κύριε ὁ Θεὸς ἡμῶν, ὡς ἐστεφάνωσας τὸν παράδεισον τῇ καλλίστῃ εὐπρεπείᾳ· στεφάνωσον αὐτούς, ὁ Θεὸς ἡμῶν, ὡς ἐστεφάνωσας πᾶσαν τὴν ἄπειρον τῆς ἀνθρωπίνης φύσεως. Εὐλόγησον αὐτούς, ὁ Θεός ἡμῶν, ὡς εὐλόγησας Σὴμ καὶ Ἰάφεθ, υἱοὺς Νῶε· εὐλόγησον αὐτούς, ὁ Θεὸς ἡμῶν, ὡς εὐλόγησας Ἀβραὰμ καὶ τὴν Σάῤῥαν· εὐλόγησον αὐτούς, Κύριε ὁ Θεὸς ἡμῶν, ὡς εὐλόγησας τὸν Ἰσαὰκ καὶ τὴν Ῥεβέκκαν, εὐλόγησον αὐτούς· ὁ Θεὸς ἡμῶν, ὡς εὐλόγησας τὸν Ἰακὼβ καὶ τὴν Ῥαχήλ· εὐλόγησον αὐτούς, ὁ Θεὸς ἡμῶν, ὡς εὐλόγησας Σαμουὴλ τὸν προφήτην ὑπὸ Ἠλίου τοῦ ἱερέως· εὐλόγησον αὐτούς, ὁ Θεὸς ἡμῶν, ὡς εὐλόγησας Δαβὶδ καὶ τὴν Μελχώ· εὐλόγησον αὐτούς, ὁ Θεὸς ἡμῶν, ὡς εὐλόγησας Ζαχαρίαν σὺν τῇ Ἐλισάβετ· εὐλόγησον αὐτούς, ὁ Θεὸς ἡμῶν, ὡς εὐλόγησας Ἰωακεὶμ καὶ τὴν Ἄνναν· εὐλόγησον αὐτούς, ὁ Θεὸς ἡμῶν, ὡς εὐλόγησας τὰ Ἰορδάνια ῥεῖθρα ἐν τῇ ἀφράστῳ σου βαπτίσει· εὐλόγησον αὐτούς, ὁ Θεὸς ἡμῶν, ὡς εὐλόγησας τὸν ἐν Κανᾷ γάμον τῆς Γαλιλαίας· εὐλόγησον αὐτούς, ὁ Θεὸς ἡμῶν, ὡς εὐλόγησας Ζακχαίου τὸν οἶκον· εὐλόγησον αὐτούς, ὁ Θεὸς ἡμῶν, ὡς εὐλόγησας τοὺς ἁγίους σου ἀποστόλους· εὐλόγησον αὐτούς, ὁ Θεὸς ἡμῶν, ὡς εὐλόγησας τὰ πλήθη τῶν προφητῶν, ὁσίων καὶ δικαίων καὶ ἁγίων μαρτύρων· εὐλόγησον αὐτούς, ὁ Θεὸς ἡμῶν, ὡς εὐλόγησας τὴν ἄχραντόν σου Μητέρα, ταῖς πρεσβείαις αὐτῆς καὶ ἡμεῖς, οἱ ἁμαρτωλοὶ καὶ ἀνάξιοι δοῦλοί σου, θαῤῥοῦντες, λέγομεν· τὸ Ἅγιον Πνεῦμα ἐνυμφαγώγει, ὁ ἥλιος καὶ ἡ σελήνη ἐκύκλουν, τὰ ζῶα

ἐσκίρτουν καὶ εἰς ἀπάντησιν ἔτρεχον, τὰ δένδρα λογιζόμενα, τοὺς κλάδους κατέσιον, ἡ θάλασσα καὶ πᾶσα ἡ γῆ, ἡ κτίσις ἐφαιδρύνετο, ὅτε ἐπλάσθη ὁ ἄνθρωπος, καὶ ὅτε ἐκτίσθη ἡ γῆ. Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, Σὺ ἔπλασας αὐτοὺς ἀπ' ἀρχῆς, ἄνδρα τε καὶ γυναῖκα, Σὺ παραγενόμενος ἐν Κανᾷ τῆς Γαλιλαίας, καὶ τὸ ὕδωρ εἰς οἶνον μεταβαλών, ἵνα δείξῃς, ὅτι Σὺ ὁ τοῦ γάμου νομοθέτης, καὶ τῶν ἁπάντων ποιητής. Αὐτός, Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ἐπίβλεψον ἐπὶ τὰ νεόφυτα ταῦτα, τὴν κοίτην αὐτῶν ἀμίαντον διατήρησον, παράστησον αὐτοὺς ἐν τοῖς ἐπουρανίοις σου χαρίσμασι, χάρισαι αὐτῶν τὴν κοίτην ἀμίαντον, καὶ δὸς αὐτοῖς πολιτείαν ἀνεύθυνον καὶ βίον ἀλοιδόρητον, χρόνους μακρούς, δεόμεθά σου, Κύριε, ὁ Θεὸς ἡμῶν. Εὐλογηθῇς νυμφίε, ὡς εὐλογήθη ὁ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, δοξασθῇς, (ὡς) Ἰωσήφ. Καὶ σύ, νύμφη, κατὰ τὸ εἰρημένον σοι, εὐλογηθεῖσα, ὡς ἡ Σάῤῥα, δοξασθεῖσα, ὡς ἡ Ῥεβέκκα καὶ πληθυνθεῖσα ὡς ἡ Ῥαχήλ, καὶ ἔσται σοι εὐλογία καὶ σύνεσις, ἵνα ἐν πολλῷ τῷ τρόπῳ εὐφρανθήσεται νυμφίος ἐπὶ νύμφην, οὕτως εὐφρανθήσεται Κύριος ἐφ' ὑμᾶς, καὶ ἴδῃς υἱοὺς τῶν υἱῶν σου κύκλῳ τῆς τραπέζης σου, καὶ δόῃ ὑμῖν Κύριος ἐκ τοῦ οὐρανοῦ δρόσον καὶ ἐκ τῆς πιότητος τῆς γῆς, σίτου, οἴνου καὶ ἐλαίου, ἵνα πρέποντες τῷ βίῳ τούτῳ, καὶ τοῖς δεομένοις ὑμῖν ἀρκέσησθε διὰ τῆς παναχράντου Θεοτόκου, καὶ τοῦ ἁγίου ἐνδόξου πρωτομάρτυρος καὶ ἀρχιδιακόνου Στεφάνου. Ναί, Δέσποτα Θεὲ τῶν ἁπάντων, ὁ λαβὼν χοῦν ἀπὸ τῆς γῆς... См. выше стр. 183—184, 566, до словъ: ἐν πάσῃ σωφροσύνῃ καὶ τῷ φόβῳ. Στεφάνωσον αὐτούς, Κύριε, ὡς ἐστεφάνωσας τὸν ἥλιον καὶ τὴν σελήνην· στεφάνωσον αὐτούς, Κύριε, (ὡς ἐστεφάνωσας) τὸν χορὸν τῶν ἀποστόλων· στεφάνωσον αὐτούς, Κύριε, ὡς ἐστεφάνωσας τοὺς ἁγίους σου μάρτυρας... ἵνα ἴδωσιν υἱοὺς τῶν υἱῶν αὐτῶν, ἵνα πάντοτε δοξάζωσί σε τὸν Θεὸν διὰ τῆς ἀχράντου σου Μητρός. Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις... См. выше стр. 568. Δεξιὰ ἄχραντε τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, ἡ πλάσασα τὸν ἄνθρωπον κατ' εἰκόνα σὴν καὶ ὁμοίωσιν. См. выше стр. 567. Προκείμενον τοῦ ἀποστόλου, ἦχος βαρύς· Δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτούς. Στίχος· Κύριε, ὁ Κύριος ἡμῶν, ὡς θαυμαστόν... Πρὸς Ἐφεσίους· Ἀδελφοί, ἐπὶ τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τῷ Θεῷ Πατρί...** Τέλος· καὶ προσωποληψία οὐκ ἔστιν ἐν αὐτῷ. Ἀλληλούϊα, ἦχος δ'. Ἡ γυνή σου, ὡς ἄμπελος. Εὐαγγέλιον κατὰ Ἰωάννην. Goar p. 318. Καὶ εὐθὺς γίνεται ἐκτενὴ παρὰ τοῦ ἱερέως, λέγων οὕτως· Εἴπωμεν πάντες... Κύριε παντοκράτορ... Ἐλέησον ἡμᾶς.. Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων ἡμῶν βασιλέων... Ἔτι δεόμεθα ὑπὲρ τοῦ δούλου τοῦ Θεοῦ, ὁ δεῖνα, καὶ τῆς

δούλης τοῦ Θεοῦ, τῆσδε, συζεύξεως καὶ ἀγαπήσεως αὐτῶν τοῦ... Ὅτι ἐλεήμων... Καὶ εὐθὺς ἡ εὐχή. Τοῦ Κυρίου δεηθῶμεν. Ἐπικαλούμεθά σε, Κύριε Θεέ, Πάτερ παντοκράτορ, σὲ ἐπικαλοῦμαι, τὸν μόνον ἀγαθὸν καὶ φιλάνθρωπον. См. выше стр. 464. Καὶ εὐθὺς λέγει· Καὶ καταξίωσον ἡμᾶς... Καὶ λέγει ὁ λαὸς τό Πάτερ ἡμῶν. Καὶ εἰσελθὼν εἰς τὸ ἅγιον βῆμα, λέγει· Πρόσχωμεν. Τὰ ἅγια τοῖς ἁγίοις. Ὁ λαός· Εἷς ἅγιος, εἷς Κύριος Ἰησοῦς Χριστός...; Κοινωνικόν· Γεύσασθε καὶ ἴδετε. Καὶ στραφεὶς πρὸς τὸν λαόν, λέγει· Προσέλθετε. Ὁ λαός· Εὐλογημένος. Καὶ μεταδίδει τὰ ἅγια τοῖς νεονύμφοις. Καὶ εὐθέως τίθησι τὰ ἅγια ἐν προθέσει, καὶ προσκομίζει αὐτά, καὶ λέγει τὴν εὐχὴν ταύτην ἐπάνω τοῦ κοινοῦ ποτηρίου· Τοῦ Κυρίου δεηθῶμεν. Ὁ Θεὸς ὁ αἰώνιος, ὁ τὸν οὐρανὸν τοῖς ἄστροις κατακοσμήσας, καὶ γῆν ποικίλοις ἄνθεσι στεφανώσας, ὁ τὰ ἐπουράνια τοῖς ἀνθρώποις δωρησάμενος καὶ τὴν τῶν ἐπιγείων ἀγαθῶν τὴν ἀπόλαυσιν, ὁ εὐλογήσας τὸν Ἀβραὰμ καὶ τὴν Σάῤῥαν, Αὐτὸς εὐλόγησον καὶ τοὺς δούλους σου τούτους, καὶ σύναψον αὐτοὺς ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ, χάρισαι αὐτοῖς πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα καὶ ζωὴν τὴν αἰώνιον. Καὶ εὐθὺς κρατῶντες οἱ στεφανοκράτοροι τὰ στέφανα, ἵστανται, ὁ δὲ ἱερεύς, λαβὼν θυμιατὸν μετὰ θυμιάματος, εἰσοδεύει μετὰ τοὺς νεονύμφους ἔνδον τοῦ ναοῦ ἐκ γ', ψάλλοντες στιχηρὰ μαρτυρικά, ἦχος βαρύς· Δόξα σοι, Χριστὲ ὁ Θεός, ἀποστόλων καύχημα... Ἅγιοι μάρτυρες... Λέγοντες καὶ τὸ Ἐπὶ σοὶ χαίρει.. Καὶ εὐθὺς ἡ εὐχή. Τοῦ Κυρίου δεηθῶμεν. Ὁ τοῦ παντὸς κόσμου δημιουργὸς Θεός, ὁ τῆς φύσεως Δεσπότης, εὐεργέτης καὶ τοῦ γάμου νομοθέτης, ὁ τὸ μὴ βδελυκτὸν εἶναι πᾶσιν εὐδοκήσας, ἀλλὰ διὰ τῶν ἁγίων σου γραφῶν τίμιον ἀναδείξας τὸν γάμον, ὁ πλάσας τὸν ἄνθρωπον κατ' εἰκόνα σὴν καὶ ὁμοίωσιν, καὶ συζεύξας αὐτῷ βοηθὸν κατ' αὐτοῦ, διὰ τὸ οὕτως ἀρέσαι τῇ σῇ μεγαλειότητι, ἀλλ' ἐκ τῆς πλευρᾶς αὐτοῦ ἀνοικοδομήσας γυναῖκα, καὶ ἑνώσας αὐτοὺς εἰς σάρκα μίαν, καὶ εὐλογήσας αὐτοὺς καὶ εἰπών· αὐξάνεσθε καὶ πληθύνεσθε καὶ πληρώσατε τὴν γῆν, καὶ κατακυριεύσατε αὐτήν· ὅθεν ὁ λόγος τῆς χάριτος ἄρχων ἐγένετο, καὶ ἐπλήρωσε πᾶν τὸ πρόσωπον τῆς γῆς. Αὐτὸς οὖν, Δέσποτα πάντων, ἅρμωσον τὸν δοῦλόν σου, ὁ δεῖνα, καὶ τὴν δούλην σου, τήνδε, τίμιον αὐτοῖς τὸν γάμον καὶ τὴν κοίτην ἀμίαντον ἀνάδειξον, εὐλόγησον αὐτοῖς εἰσόδους καὶ ἐξόδους, πλήθυνον ἐν ἀγαθοῖς τὴν ζωὴν αὐτῶν, εὐλόγησον αὐτοὺς ἐν γήρᾳ πίονι καὶ πίστει ἀσαλεύτῳ, δὸς αὐτοῖς μακρότητα ἡμερῶν, χάρισαι αὐτοῖς πάντοτε τὸν σοφὸν καὶ τὸν εἰς σὲ πόθον, δὸς αὐτοῖς ἐν σοὶ καυχομένοις εἰπεῖν τὴν ἀποστολικὴν φωνήν· τίμιος ὁ γάμος καὶ ἡ κοίτη ἀμίαντος Ναί, ὁ Θεὸς ἡμῶν, ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν, ὁ παραγενόμενος ἐν Κανᾷ τῆς Γαλι-

λαίας, καὶ τὸν ἐκεῖσε γάμον εὐλογήσας, καὶ διὰ τῆς σῆς παρουσίας θαυματουργήσας ἐν αὐτῷ. Αὐτός, Δέσποτα βασιλεῦ τῶν ἁπάντων, εὐλόγησον τὴν συζυγίαν τῶν δούλων σου τούτων, καὶ ἔστωσαν οἱ ὀφθαλμοί σου ἀτενίζοντες εἰς αὐτούς, καὶ τὰ ὦτά σου ἀκούειν τῆς φωνῆς τῆς δεήσεως αὐτῶν, γενηθήτω ἐν αὐτοῖς τὸ ῥηθὲν διὰ Δαβίδ, λέγοντος· ἡ γυνή σου, ὡς ἄμπελος εὐθηνοῦσα ἐν τοῖς κλίτεσι τῆς οἰκείας σου, οἱ υἱοί σου, ὡς νεόφυτα ἐλαιῶν κύκλῳ τῆς τραπέζης σου· ἰδοὺ οὕτως εὐλογηθήσεται ἄνθρωπος, ὁ φοβούμενος τὸν Κύριον. Καὶ οὕτως ἀπέρχονται εἰς τὸν παστόν, προπορευομένων δύο κηρομανουαλίων καὶ θυμιατοῦ, ψάλλουσι θεοτοκία τοῦ Δαμασκηνοῦ κατ' ἦχον· Τὴν παγκόσμιον δόξαν καὶ τὰ ἑξῆς, ἕως οὗ ἀπέλθωσιν εἰς τὸν παστόν, καὶ μετὰ ταῦτα λέγει τὰς εὐχάς, καὶ ἐπαίρει τὰ στέφανα, καὶ γίνεται ἀπόλυσις. Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ παραγενόμενος ἐν Κανᾷ τῆς Γαλιλαίας, καὶ τὸν ἐκεῖσε γάμον εὐλογήσας, καὶ τὸ ὕδωρ εἰς οἶνον μεταβαλών, Αὐτὸς εὐλόγησον τὴν στολὴν τοῦ θαλάμου τούτου καὶ τὴν ἔπαρσιν τῶν στεφάνων τῶν νεονύμφων, καὶ ζευχθέντας νυμφίους ἀμφοτέρους εὐλόγησον καὶ δόξασον ἐν τοῖς ἀγαθοῖς σου δωρήμασιν, οἷς προητοίμασας ἐν πάσῃ τῇ γῇ γενέσθαι εἰς διατροφὴν πάντων ἀνθρώπων, καὶ ἀποδίωξον ἀπ' αὐτῶν πάντα σύνδεσμον ἀδικίας, καὶ δὸς τοῖς δούλοις σου τούτοις ἐν πολιῷ γήρᾳ συναντῆσαι, ἵνα καὶ δι' αὐτῶν δοξάζηταί σου τὸ πανάγιον ὄνομα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ... Εὐχὴ ἑτέρα. Τοῦ Κυρίου δεηθῶμεν. Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ θάλαμον εὐτρεπίσας κατὰ νόμον, στέφανα ἀφθαρσίας ἐπάθλῳ παρθενείᾳ τούτους κατακοσμῶν, εὐλόγησον τοὺς δούλους σου τούτους καὶ εὐλογίαν σου, ἣν ἐδωρήσω τοῖς πατράσιν ἡμῶν, Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, χάρισαι αὐτοῖς τὴν ὑγείαν καὶ ζωὴν ψυχῆς καὶ σώματος. Ὅτι σὸν τὸ κράτος... См. выше стр. 184, 657—658. Εὐχὴ μετὰ τὸ λῦσαι τὰ στέφανα. Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ παραγενόμενος ἐν Κανᾷ τῆς Γαλιλαίας. Goar. pag. 320. Καὶ γίνεται ἀπόλυσις.

л. 126 чистый.

л. 127. Ἀκολουθία τοῦ μικροῦ ἁγιασμοῦ.

л. 139. Ἀκολουθία εἰς λαχοῦσαν γυνὴν (sic).

Ὁ ἱερεὺς ποιεῖ εὐλογητόν, τὸ Τρισάγιον, τὸ Παναγία Τριάς, τὸ Πάτερ ἡμῶν, Ὅτι σοῦ ἐστιν, τροπάριον, ἦχος α'· Ἡ γέννησίς σου, Χριστέ, ὁ Θεὸς ἡμῶν.. Δόξα, ἦχος δ'· Καὶ τρόπων μέτοχος καὶ θρόνων διάδοχος... Καὶ νῦν, θεοτοκίον· Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον καὶ ἀγγέλοις ἄγνωστον μυστήριον... Τοῦ Κυρίου δεηθῶμεν. Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ τὴν θάλασσαν, καὶ πάντα

τὰ ἐν αὐτοῖς, ὁ πλάσας τὸν ἄνθρωπον καὶ ἐκ τῆς πλευρᾶς αὐτοῦ ἀνοικοδομήσας γυναῖκα καὶ συζεύξας αὐτούς, λέγων· αὐξάνεσθε καὶ πληθύνεσθε καὶ πληρώσατε τὴν γῆν, ὁ διὰ τὴν ἡμετέραν σωτηρίαν ἡμῶν τεχθεὶς ἐκ τῆς παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, Αὐτὸς εὐλόγησον καὶ τὸν οἶκον τοῦτον καὶ πάντας, τοὺς ἐν αὐτῷ οἰκοῦντας, σὺν τῇ τεκούσῃ, καὶ τὸ ἐξ αὐτῆς τεχθὲν νήπιον, καὶ ταῖς τυγχανούσαις γυναιξὶ σὺν τῇ δούλῃ σου, ἡ δεῖνα, τὴν μαῖαν, καὶ ταῖς προσελθούσαις γυναιξὶ καὶ τέκνα, καὶ εὐλόγησον πάντας, ὡς εὐλόγησας τὸ σπήλαιον ἐν Βηθλεὲμ καὶ τὸν οἶκον Ζακχαίου. Αὐτὸς εὐλόγησον καὶ τὸν οἶκον τοῦτον, καὶ τοὺς δούλους σου, καὶ τὰς δούλας σου, καὶ τὰ τέκνα αὐτῶν, πρεσβείαις τῆς παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τοῦ ἁγίου καὶ ἐνδόξου ἱερομάρτυρος Ἐλευθερίου, καὶ πάντων σου τῶν ἁγίων. Ὅτι σὺ εἶ ὁ εὐλογῶν καὶ ἁγιάζων αὐτούς, Χριστέ, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί... Εὐχὴ ἑτέρα· Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, οἶκον ἁγίασον, ψυχῆς λυτρωτά. Αὐτὸς φιλάνθρωπε βασιλεῦ, ἁγίασον τὸν οἶκον τοῦτον, καὶ τοὺς ἐνοικοῦντας ἐν αὐτῷ ἀμιάντους καὶ ἀκινδύνους διαφύλαξον, καὶ τὸ γεννηθὲν βρέφος διαφύλαξον, καὶ πάντας τοὺς συνελθόντας, μαίας ἔστω καὶ γυναξὶν ἑτέραις, καθάρισον αὐτὰς ἀπὸ παντὸς ῥύπου, καταρτίζων εἰς πᾶν ἔργον ἀγαθόν, καὶ ἀξίωσον αὐτὰς ἀμέμπτους καὶ ἀπταίστους ἀπὸ παντὸς ἔργου πονηροῦ, ἀμιάντως καὶ ἀκωλύτως. Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί... Εὐχὴ ἑτέρα. Τοῦ Κυρίου δεηθῶμεν. Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ τὸν Ἀδὰμ καὶ τὴν Ἔβαν συγχωρήσας τὴν παράβασιν αὐτῶν, κατελθόντα δὲ ἐκ τῶν οὐρανῶν καὶ σαρκωθέντα ἐκ τῆς ἁγίας παρθένου καὶ Θεοτόκου Μαρίας, εὐδοκήσας δὲ διὰ τὴν τῶν ἁμαρτωλῶν σωτηρίαν, γινώσκων τὴν ἀσθένειαν τῆς σαρκὸς τῆς ἀνθρωπίνης φύσεως, συγχώρησον τὴν δούλην σου, ἡ δεῖνα, τὴν τέξασαν παιδίον, ἐκ τῶν σῶν οἰκτιρμῶν· Σὺ γὰρ εἶπας, Δέσποτα, αὐξάνεσθε καὶ πληθύνεσθε καὶ πληρώσατε τὴν γῆν, διὰ τοῦτο οἱ δοῦλοί σου δεόμεθα, θαῤῥοῦντες διὰ τῆς φιλανθρωπίας σου τῆς ἀνεξικάκου, φόβῳ μὲν πρὸ τῆς ἁγίας βασιλείας σου τῷ ἁγίῳ ὀνόματί σου, ἐπίβλεψον καὶ ἴδε τὴν ἀσθένειαν ἡμῶν τῶν καταδίκων, καὶ συγχώρησον τὴν δούλην σου, ἡ δεῖνα, καὶ παντὸς τοῦ οἴκου, ἐν ᾧ ἐγεννήθη τὸ παιδίον, καὶ εἴ τις ἁμαρτία ἐπράχθη ἐν αὐτῇ τῇ τεκούσῃ καὶ ταῖς ἀψαμέναις αὐτῆς, ὁ Θεὸς συγχώρησον, ὅτι μόνος ἔχεις ἐξουσίαν ἀφιέναι ἁμαρτίας πρεσβείαις τῆς Θεοτόκου καὶ πάντων τῶν ἁγίων σου. Ὅτι Θεὸς ἐλέους, οἰκτιρμῶν καὶ φιλανθρωπίας ὑπάρχεις... См. выше стр. 583, прим. 2; 491. Εὐχὴ ἑτέρα. Τοῦ Κυρίου δεηθῶμεν. Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ τεχθεὶς ἐκ τῆς παναχράντου

Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας. Goar. p. 261 съ нѣкоторыми незначительными особенностями въ текстѣ. Εὐχὴ ἑτέρα. Τοῦ Κυρίου δεηθῶμεν. Δέσποτα παντοκράτορ, ὁ ἰώμενος πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν. Goar. p. 261.

л. 144. Εὐχὴ ἑτέρα εἰς η' ἡμερῶν γυνὴ(αῖκα).

Τὸ Τρισάγιον, τὸ Παναγία Τριάς, τὸ Πάτερ ἡμῶν, Ὅτι σοῦ ἐστιν, τὸ κοντάκιον τῆς ἡμέρας καὶ ἀπολυτίκιον, οἷον βούλει, καὶ ἡ εὐχή. Τοῦ Κυρίου δεηθῶμεν. Δέσποτα Κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, ὁ ἀληθινὸς ἄρτος τῆς ζωῆς ἡμῶν. Goar p. 264 съ нѣкоторыми измѣненіями въ текстѣ. Εὐχὴ ἑτέρα εἰς η' ἡμερῶν γυνὴ (γυναῖκα). Τοῦ Κυρίου δεηθῶμεν. Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ ἐν προφήταις λαλήσας, καὶ προκηρύξας τὸν φωτισμὸν τῆς γνώσεως τοῦ ἔσεσθαι ἐπ' ἐσχάτων γενεῶν πᾶσι τοῖς ἔθνεσι, ὁ μὴ θέλων τινὰ τῶν ἐκ τῶν χειρῶν σου πεπλασμένων ἀνθρώπων ἀμοιρεῖν τῆς αὐτοῦ σωτηρίας, ὁ διὰ τοῦ σκεύους τῆς ἐκλογῆς σου, Παύλου τοῦ ἀποστόλου, ἐντειλάμενος ἡμῖν πάντα εἰς δόξαν ποιεῖν τῆς σῆς ἀγαθότητος, καὶ νόμον ἐκθέμενος δι' αὐτοῦ τοῖς ἀνδράσι, τοῖς πίστει πολιτευομένοις, ἀκατακαλύπτῳ τῇ κεφαλῇ προσφέρειν σοι αἴνεσιν, ἐν δὲ τῇ πίστει σου καθωπλισμέναι αἱ γυναῖκες, κατακεκαλυμμέναι τὴν κεφαλήν, μετ αἰδοῦς καὶ ἐν σωφροσύνῃ κοσμοῦσαι ἑαυτὰς ἐν ἔργοις ἀγαθοῖς καὶ ὕμνοις καὶ προσευχαῖς, εὐαρεστοῦσαι τῇ δόξῃ σου, Αὐτός, Δέσποτα τῶν ἁπάντων, εὐλόγησον ταύτην διὰ τῆς ὀκτωημέρου ἐγέρσεως, καὶ κόσμησον τὴν ἑαυτῆς κεφαλὴν κόσμον τὸν σοὶ εὐάρεστον καὶ ἐράσμιον, εὐσχημοσύνην τε τιμὴν καὶ εὐπρέπειαν αὐτῇ χαριζόμενος, ὅπως, κατὰ τὰς ἐντολάς σου πολιτευσαμένη καὶ τὰ μέλη πρὸς εὐφροσύνην παιδαγωγοῦσα, τυχεῖν τῶν αἰωνίων σου ἀγαθῶν εὐχαῖς καὶ ἱκεσίαις τῆς ὑπερευλογημένης Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας καὶ πάντων σου τῶν ἁγίων. Ὅτι Θεὸς ἐλέους καὶ οἰκτιρμῶν καὶ φιλανθρωπίας σὺ ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι νῦν καὶ ἀεί... См. выше стр. 892; Goar p. 309. τὸ Τρισάγιον, τὸ Παναγία Τριάς, τὸ Πάτερ ἡμῶν καὶ τὰ ἀπολυτίκια, τὰ προγεγραμμένα ἔμπροσθεν, καὶ ἀπόλυσις· Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, πρεσβείαις τῆς παναχράντου αὐτοῦ Μητρός, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ, τοῦ ἁγίου καὶ ἐνδόξου ἱερομάρτυρος Ἐλευθερίου καὶ πάντων τῶν ἁγίων ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

л. 146. Ἀκολουθία εἰς τὸ κατασφραγίσαι παιδίον, λαμβάνον ὄνομα τῇ ὀγδόῃ ἡμέρᾳ τῆς αὐτοῦ γεννήσεως.

Ὀφείλει ποιῆσαι οὕτως ἔξω τῆς ἐκκλησίας· ἐμφυσῆσαι εἰς τὸ πρόσωπον αὐτοῦ σταυροειδῶς γ', ὁμοίως καὶ κατασφραγίσαι μετὰ τῆς χειρὸς

γ', καὶ λέγει τὴν εὐχὴν ταύτην· Κύριε, ὁ Θεὸς ἡμῶν, σοῦ δεόμεθα καὶ σὲ ἱκετεύομεν, σημειωθήτω τὸ φῶς τοῦ προσώπου σου.. Goar p. 264.

л. 147. Εὐχὴ τῶν μ' ἡμερῶν. Τοῦ Κυρίου δεηθῶμεν.

Κύριε ὁ Θεὸς ἡμῶν, σοῦ δεόμεθα καὶ σὲ παρακαλοῦμεν καὶ ἱκετεύομεν· Αὐτὸς οὖν ὁ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ πᾶσαν λογικήν τε καὶ ἄλογον φύσιν τῷ λόγῳ σου δημιουργήσας. Goar. p. 267. Εἰρήνη πᾶσιν. Τὰς κεφαλάς. Κύριε ὁ Θεός, ὁ παραγενόμεθος ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων. Ibid. Εἶτα τὸ παιδίον μετὰ χεῖρας λαμβάνων, ὁ ἱερεὺς εἰς τὸ θυσιαστήριον ἀπάγει.. А. Дмитріевскій. Прилож. стр. 8. Τοῦ Κυρίου δεηθῶμεν. Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ ἐν τεσσαράκοντα ἡμέραις βρέφος τῷ νομικῷ προσαχθεὶς ὑπὸ Μαρίας τῆς ἀπειρογάμου σου Μητρός. Прилож. стр. 8. Καὶ μετὰ τὸ Ἀμὴν σφραγίζει τὸ μέτωπον αὐτοῦ καὶ τὸ στόμα καὶ τὸ στῆθος, λέγων· Τὸ δὲ παιδίον ηὔξανε καὶ ἐκραταιοῦτο τῷ Πνεύματι. Καὶ οὕτως ὁ ἀνάδοχος λαμβάνει αὐτὸ καὶ ἐξέρχεται.

л. 149 об. Ἀκολουθία εἰς τὸ ποιῆσαι κατηχούμενον, ἤγουν βαπτίσαι. См. выше стр. 398, но съ нѣкоторыми особенностями въ текстѣ. Отрицаніе отъ сатаны изложено слитно. Послѣ помазанія елеемъ замѣчено: ἐν δὲ τῷ ἀλείφεσθαι τούτους, ὁ πατριάρχης βάλλει τὸ λέντιον καὶ μανίκια, καὶ μετὰ τοῦτο βαπτίζει καὶ λέγει· Βαπτίζεται ὁ δεῖνα. Εἰ δὲ ἱερεύς ἐστι καὶ μόνος, καὶ παιδίον κάτω κείμενον, λαβὼν αὐτό, καταδύει αὐτὸ εἰς τὴν κολυμβήθραν, κατάγων αὐτὸ καὶ ἀνάγων, λέγων· Βαπτίζεται ὁ δοῦλος.. Καὶ μετὰ τὸ γενέσθαι τὴν βάπτισιν, νίπτεται καὶ ἐκβάλλει τὸ λέντιον καὶ τὰ μανίκια. Καὶ τοῦ ἀρχιδιακόνου λέγοντος· Πρόσχωμεν, ἄρχονται οἱ ψάλται· Μακάριοι, ὧν ἀφέθησαν αἱ ἀνομίαι... Τοῦτο γ' λέγει, καὶ δοξάζει ὁ ἱερεύς, ἦχος πλ. β'. Εὐλογητὸς ὁ Θεός, ὁ φωτίζων καὶ ἁγιάζων... Καὶ μετὰ τοῦτο λέγει ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν. Ὁ ἱερεὺς τὴν εὐχὴν τοῦ ἁγίου μύρου· Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς ὁ παντοκράτωρ, ἡ πηγὴ τῶν ἀγαθῶν.. Goar p. 290 Καὶ χρίει αὐτὸν τῷ μύρῳ σταυροειδῶς ἐν τῷ μετώπῳ, ἐν τῷ στήθει, εἰς τὰς ῥῖνας καὶ τὰ ὦτα, τὴν κοιλίαν, τοὺς νεφρούς, λέγει· Σφραγὶς δωρεᾶς Πνεύματος ἁγίου. Ἀμήν. Καὶ εὐθὺς οἱ ψάλται· Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε... Ὁ ἱερεύς· Εὐλογητὸς ὁ Θεός, ὁ φωτίζων καὶ ἁγιάζων πάντα ἄνθρωπον... Καὶ μεταδίδωσιν αὐτῷ τῶν ἁγίων μυστηρίων, καὶ εὐθὺς ἀπέρχεται ἐν τῷ οἴκῳ αὐτοῦ, ψαλλόντων τῶν παρεπομένων.

Καὶ μεθ' ἡμέρας ἑπτὰ πάλιν φέρουσιν ἐν τῇ ἐκκλησίᾳ εἰς τὸ ἀπολοῦσαι. Μετὰ τὴν εὐχὴν τοῦ μύρου, ἀποδύεται τὴν στολὴν τῶν βαπτισμάτων καὶ βάλλει τῆς λειτουργίας, καὶ ἐξέρχεται ἐν τῷ ὕδατι τοῦ

βαπτιστηρίου, καὶ τοῦ ψάλτου· Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε. Χρίει τοὺς βαπτισθέντας τῷ ἁγίῳ μύρῳ, ποιῶν σταυροῦ τύπον ἐπὶ τοῦ μετώπου, καὶ τῶν ὀφθαλμῶν, καὶ τῶν μυκτήρων, καὶ τοῦ στόματος, καὶ τῶν β' ὠτίων, καὶ τοῦ στήθους, καὶ τῆς κοιλίας, καὶ τῶν νεφρῶν, λέγων· Σφραγὶς δωρεᾶς Πνεύματος ἁγίου. Ἀμήν. Καὶ μετὰ τοῦτο, συμψάλλων τοῖς λοιποῖς τὸ Μακάριοι, ὧν ἀφέθησαν αἱ ἀνομίαι.., εἰσέρχεται μετὰ τοῦ νεοφωτίστου εἰς τὴν εἴσοδον, καὶ τελεῖ ἀκολούθως τὴν θείαν λειτουργίαν.

л. 167. Εὐχὴ εἰς τὸ ἀπολοῦσαι τὸν νεοφώτιστον.

Τῇ η' ἡμέρᾳ λύει αὐτοῦ τὸ σάβανον, τὴν ζώνην, τὴν περικεφαλαίαν, καὶ λέγει· Εἰρήνη πᾶσιν. Τὰς κεφαλὰς ἡμῶν. Ὁ λύτρωσιν τῶν ἁμαρτιῶν. Goar pag. 303. Καὶ λαβὼν μέρος ἐκ τῆς περικεφαλαίας, βάλλει εἰς τὸ ὕδωρ, καὶ ἀποσπογγίζει τὴν κάραν σὺν τῷ μετώπῳ, τὸ στῆθος καὶ τοὺς νεφρούς, λέγει· Ἐβαπτίσθης, ἐφωτίσθης, ἡγιάσθης, καὶ ἀπολύει αὐτὸν ἐν εἰρήνῃ.

л. 168. Εὐχὴ εἰς τὸ κουρεῦσαι παιδίον.

Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν. Σὲ ἱκετεύομεν, Κύριε, ὁ Θεὸς τῆς σωτηρίας ἡμῶν, ὁ ἐκ τοῦ πληρώματος τῆς κολυμβήθρας. Goar p. 305. Εἶθ' οὕτως κείρει αὐτοῦ τὰς τρίχας σταυροειδῶς, λέγει· Κείρεται ὁ δοῦλος τοῦ Θεοῦ τὴν κόμην τῆς κεφαλῆς αὐτοῦ εἰς τὸ ὄνομα... Ἀρχὴν ποιῶν ἀπὸ τῆς κορυφῆς τοῦ μετώπου δεξιὰ καὶ ἀριστερά, καὶ δίδωσιν αὐτὰς τῷ ἀναδόχῳ, καὶ πάλιν· Εἰρήνη πᾶσιν. Τὰς κεφαλάς... Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ τῇ εἰκόνι σου τιμήσας τὸν ἄνθρωπον... Goar pag. 306. Καὶ ποιεῖ ἀπόλυσιν οὕτως· Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν.. Φυλάττοι Κύριος ὁ Θεὸς καὶ τὸν νεοφώτιστον ἡμῶν ἀδελφὸν εἰς αἰῶνα αἰῶνος, καὶ ἡμᾶς ἐλεήσαι διὰ τῆς ἑαυτοῦ ἀγαθότητος.

л. 169. Εὐχὴ ἐξομολογητική, ἣν λέγει ὁ ἱερεὺς ἐπὶ τὸν μέλλοντα μεταλαβεῖν τῶν ἁγίων μυστηρίων.

л. 172. Ἀντίφωνα господскихъ праздниковъ.

л. 175. Εὐχαὶ τοῦ λυχνικοῦ. 7 молитвъ.

л. 177. Εὐχαὶ τοῦ ὄρθρου. Goar p. 39—42.

CXXXII. № 199. Εὐχολόγιον, рукопись той-же библіотеки въ 16 долю листа, 94 листа, писана четкою скорописью XVI в.[1]). Въ

[1]) Кромѣ этого евхологія, въ библіотекѣ александрійской патріархіи въ Каирѣ имѣется другой евхологій XVI в. подъ № 112, къ сожалѣнію, весьма сильно разбитый и съ неполными чинами. Рукопись эта въ 16 долю листа, 118 листовъ, (въ 1888 г. ихъ было 124, какъ мы видѣли

концѣ рукописи имѣется приписка: Τὸ παρὸν ὑπάρχει τῆς μονῆς τοῦ ἁγίου ὄρους Σινᾶ, καὶ ὁ ξενώσας αὐτὸ ἔστω ἀφωρισμένος καὶ ἀσυγχώρητος παρὰ Θεοῦ Παντοκράτορος, καὶ παρὰ τῶν ἁγίων ἑπτὰ καὶ οἰκουμενικῶν συνόδων, καὶ ἡ μερὶς αὐτοῦ μετὰ Ἰούδα τοῦ προδότου.

л. 1. Τάξις, γινομένη ἐπὶ χειροτονίᾳ ἀναγνώστου καὶ ψάλτου.

л. 2. Τάξις, γινομένη ἐπὶ χειροτονίᾳ ὑποδιακόνου.

л. 3. Τάξις, γινομένη ἐπὶ χειροτονίᾳ διακόνου.

л. 7 об. Τάξις, γινομένη ἐπὶ χειροτονίᾳ πρεσβυτέρου.

л. 11. Ἀποστολοευαγγέλια, λεγόμενα εἰς ἐγκαίνια θείων ναῶν.

л. 13 об. Молитвы на различные случаи.

л. 27. Τάξις, γινομένη ἐπὶ καθιερώσει ναοῦ καὶ ἱδρύσει τῆς ἐν αὐτῷ ἁγίας τραπέζης.

л. 50. Τάξις, γινομένη ἐπὶ σαλευθείσῃ ἁγίᾳ τραπέζῃ.

л. 54 об. Ἄλλη τάξις, γινομένη ἐπὶ σαλευθείσῃ ἁγίᾳ τραπέζῃ.

л. 57. Εὐχὴ εἰς ἀρχάριον ῥασοφοροῦντα.

л. 58. Ἀκολουθία τοῦ μικροῦ σχήματος, ἤτοι τοῦ μανδυώτου.

л. 64 об. Ἀκολουθία, γινομένη εἰς τὸ μέγα καὶ ἀγγελικὸν σχῆμα.

л. 89. Καθίσματα καὶ στιχηρὰ καὶ κανὼν τοῦ μεγάλου καὶ ἀγγελικοῦ σχήματος.

CXXXIII. Λ № 104. Εὐχολόγιον, рукопись лавры пр. Аѳанасія на Аѳонѣ, въ 16 долю листа, 403 листа, писана рукою монаха Никандра XVI в. Писецъ о себѣ говоритъ въ такой припискѣ: Θεοῦ τὸ δῶρον καὶ Νικάνδρου μοναχοῦ πόνος, καὶ οἱ κύπτοντες ᾠδήν, εὔχεσθε τῷ ἁμαρτωλῷ (л. 30). На рукописи имѣется слѣдующая позднѣйшая приписка: Προσετέθη τὸ παρὸν Εὐχολόγιον Ματθαίου ἱερομονάχου ἐν τῷ ἀρμαρίῳ τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀθανασίου εἰς ψυχικὴν σωτηρίαν, νὰ μνημονεύηται ἐν τῷ βήματι.

л. 1. Чинъ малаго водоосвященія.

л. 10. Ἀκολουθία τῶν ἁγίων Θεοφανίων.

л.л. 30—33 чистые.

---

лично) и заключаетъ въ себѣ конецъ чина крещенія (нынѣ нѣтъ его), конецъ чина богоявленскаго водоосвященія, начало малаго водоосвященія, неполный чинъ вечерни пятидесятницы, чинъ брака, молитвы на различные случаи, изъ коихъ немало апокрифическаго характера, чинъ елеосвященія надъ болящими, чинъ елеосвященія надъ умершими, снова молитвы на различные случаи и праздничныя чтенія изъ Апостола и Евангелія.

л. 34. Ἀκολουθία τῆς γονυκλισίας τῆς ἁγίας Πεντηκοστῆς.

л. 66. Ἡ θεία λειτουργία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου.

л. 89 об. Ἡ θεία λειτουργία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου τοῦ Μεγάλου.

л. 125. Ἡ θεία λειτουργία τῶν προηγιασμένων.

л. 141. Εὐχαὶ τοῦ λυχνικοῦ.

л. 146 об. Εὐχαὶ τοῦ ὄρθρου.

л. 152 об. Εὐχαὶ διάφοροι, παρὰ τοῦ ἱερέως λεγόμεναι.

л. 226. Ἀκολουθία ἀποστόλων καὶ εὐαγγελίων.

л. 285 об. Ἀκολουθία τοῦ ἐξοδιαστικοῦ.

л. 316. Ἀκολουθία εἰς μνημόσυνα νεκρῶν.

л. 322. Ἀκολουθία εἰς ψυχὴν κρινομένην.

л. 328. Ἀκολουθία εἰς ἀρχάριον ῥασοφοροῦντα.

л. 329. Εἰς κουρὰν μανδυώτου.

л. 337 об. Ἀκολουθία τοῦ μεγάλου καὶ ἀγγελικοῦ σχήματος.

л. 358 об. Ἀκολουθία τοῦ ἁγίου ἐλαίου.

л. 386. Ἀκολουθία εἰς τὴν ὑπεραγίαν Θεοτόκον, ἡ λεγομένη ἀκάθιστος.

CXXXIV. Θ № 81. Εὐχολόγιον, рукопись той-же лавры въ 16 долю листа, 251 листъ, писана почеркомъ XVI в.

л. 1. Ἀκολουθία τοῦ ἁγίου ἐλαίου, ἁγιαζομένου ὑπὸ ἑπτὰ πρεσβυτέρων.

л. 42. Ἀκολουθία τοῦ θείου καὶ ἀγγελικοῦ σχήματος.

— Τάξις, γινομένη εἰς ἀρχάριον μοναχὸν ῥασοφόρον.

л. 45. Ἀκολουθία τοῦ μικροῦ σχήματος.

л. 64. Ἀκολουθία τοῦ μεγάλου καὶ ἀγγελικοῦ σχήματος.

л. 109. Ἀκολουθία εἰς τὸ ἀποκουκουλίσαι.

л.л. 111—112 чистые.

л. 113. Κεφάλαια τοῦ ἁγίου Βασιλείȣ. Ὁ φονεὺς κατὰ μὲν τὸν νόμον ἀποθνησκέτω...

л. 114. Ἐπιτίμια ἐν ἐπιτομῇ τῶν ἁγίων ἀποστόλων, τοῦ Μεγάλου Βασιλείȣ καὶ ἀπὸ τῶν οἰκουμενικῶν συνόδων.

л. 161. Ἀκολουθία τοῦ ἐξοδιαστικοῦ.

л. 197. Ἀκολουθία τῆς ἐν τῇ ἁγίᾳ Πεντηκοστῇ γονυκλισίας.

л. 200. Ἀποστολοευαγγέλια τῆς ὅλης ἑβδομάδος καὶ εἰς διαφόρους ἁγίους.

л. 214 об. Ἀκολουθία τῆς ὑπεραγίας Θεοτόκȣ τῆς ἀκαθίστου.

л. 216 об. Ἀκολουθία τοῦ ἁγιασμοῦ, κατὰ μῆνα γινομένου.

л. 223. Ἀκολουθία τοῦ μεγάλου ἁγιασμοῦ.

л. 231 об. Ἀκολουθία τῆς Πεντηκοστῆς.

л.л. 245—246 чистые.

л. 217. Συμεών, ἀρχιεπισκόπου Θεσσαλονίκης, εὐχὴ συγχωρητικὴ ὑπέρ τινων ἀδελφῶν, μετὰ θάνατον ὑπὸ ἀφορισμῷ εὑρεθέντων. Ὁ ἀγαθὸς καὶ ἐλεήμων Θεός, ὁ τοῦ ἀγαθοῦ καὶ ἐλεήμονος Πατρὸς συναΐδος Λόγος. А. Алмазовъ. Тайная исповѣдь т. III, отд. II, стр. 85.

CXXXV. I № 58. Εὐχολόγιον, рукопись той-же библіотеки въ 16 долю листа, 202 листа, писана дурнымъ почеркомъ XVI в.

л. 1. Ἀκολουθία σὺν Θεῷ ἁγίῳ τοῦ εὐχελαίου.

л. 27. Ἀκολουθία εἰς ἀρχάριον ῥασοφοροῦντα.

л. 27 об. Ἀκολουθία εἰς κουρὰν μανδυώτου.

л. 34 об. Ἀκολουθία τοῦ μεγάλου καὶ ἀγγελικοῦ σχήματος.

л. 59. Εὐχαὶ τοῦ λυχνικοῦ.

л. 61 об. Εὐχαὶ ἑωθιναί.

л. 67. Εὐχὴ ἐπιβατήριος, ὅτε καθίσταται πρὸς τὴν λαχοῦσαν ἄρτι πρώτως χειροτονηθεὶς ὁ ἀρχιερεύς, πρὸ τῆς εἰσόδου τῆς εἰς τὴν πόλιν ἐν αὐτῇ τῇ εἰσόδῳ.

Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ὁ τῇ σῇ μεγάλῃ σου βουλῇ καὶ ἀνυπερβλήτῳ οἰκονομίᾳ μαθητὰς ἁλιεῖς ἐκλεξάμενος, καὶ ἰδιώτας τούτους ὄντας καὶ ἀσθενεῖς, στομώσας...

л. 69. Εὐχὴ εἰσιτήριος ἄρτι πρώτως πρὸς τὸν βασιλέα.

Ὁ παντεπόπτης Θεός, ὁ τῶν ὑπερκοσμίων εἰκόνας καταστησάμενος τὰ ἐπίγεια, καὶ βασιλείᾳ καὶ ἱεροσύνῃ τὴν ἐνταῦθά σου κληρονομίαν...

л. 70. Εὐχὴ ἑτέρα ἐν τῷ εἰσιέναι πρὸς βασιλέα.

Εἰρήνη τῷ οἴκῳ τούτῳ· Σοῦ γὰρ τοῦ τῆς εἰρήνης Θεοῦ θεία κέλευσις αὕτη πρὸς τοὺς ἁγίους σου μαθητάς, ὧν εἰς διαδοχὴν ἀξιωθέντες κατασταθῆναι οἱ εὐτελεῖς ἡμεῖς...

л. 72. Εὐχὴ ἄλλη ἐν τῷ εἰσιέναι πρὸς βασιλέα.

Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ἡ πάσης ἀρχῆς καὶ βασιλείας ἄναρχος βασιλεία καὶ ἀρχή, δι' οὗ βασιλεῖς τε καὶ ἄρχοντες ἄρχουσι καὶ βασιλεύουσι τῶν ὑπ' αὐτοὺς τεταγμένων.

л. 72 об. Εὐχὴ ἑτέρα εἰσιόντι τῷ ἀρχιερεῖ εἰς τὴν λαχοῦσαν αὐτῷ πόλιν.

Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ πάσης ὁρατῆς τε καὶ νοουμένης κτίσεως δημιουργός, ὁ τὸν ἐκ γῆς προσληφθέντα ἄνθρωπον ψυχῇ νοερᾷ

καὶ εἰκόνι σου θείᾳ τιμήσας... П. Сырку. Къ исторіи исправленія книгъ въ Болгаріи въ XIV в. СПБ. 1890, ч. I, стр. LXXXIII.

л. 74 об. Εὐχή, λεγομένη ἐν τῇ λιτῇ τῆς ἀρχῆς τῆς ἰνδίκτου. Ἡ αὐτὴ λέγεται καὶ παρ' ὅλον τὸν Σεπτέμβριον, ἢ καὶ κατὰ τὰς ἀρχὰς τοῦ Ὀκτωβρίου, λιτῆς λεγομένης.

Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ τῷ ζῶντι καὶ ἐνυποστάτῳ σου Λόγῳ, καὶ τῷ συμφυεῖ αὐτῷ καὶ ζωοποιῷ καὶ ὁμοτίμῳ σου Πνεύματι, τὴν νοητὴν καὶ τὴν ὁρωμένην σου κτίσιν... См. выше стр. 2.)1.

л. 75 об. Τοῦ αὐτοῦ εὐχὴ ἱκετήριος εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ῥηθεῖσα ἐν αὐχμῷ καὶ δυσκρασίαις, καὶ ἐναντιότησιν ἀνέμων, καὶ ἐφόδοις βαρβαρικαῖς.

Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ τῷ ἐνυποστάτῳ καὶ ἀνάρχῳ σου Λόγῳ, καὶ τῷ ζωοποιῷ καὶ ὁμοτίμῳ Πνεύματι, ἐκ μὴ ὄντος εἰς τὸ εἶναι τὰ πάντα παραγαγών.. Goar pag. 636.

л. 77 об. Εὐχή, λεγομένη ἐν ταῖς λιταῖς τῆς τεσσαρακοστῆς.

Δέσποτα Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ὁ βουλῇ καὶ νεύματι μόνῳ παραγαγὼν ἐκ μὴ ὄντων εἰς τὸ εἶναι τὰ σύμπαντα, ὁ βρώσει πικρᾷ ξύλου...

л. 78 об. Εὐχὴ ἑτέρα εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐπὶ πληγῇ.

Ἡμάρτομεν, ἠνομήσαμεν, ἠδικήσαμεν ἐνώπιόν σου, πανάγαθε Δέσποτα· παρέβημέν σου τὰς σωτηρίους ἐντολάς. Goar pag. 6.30.

л. 80 об. Εὐχὴ ἱκετήριος εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἐν λιτῇ καὶ δεήσει λεγομένη.

Δέσποτα Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ὁ τῷ ῥήματί σου τὸ πᾶν ἐκ μὴ ὄντων εἰς τὸ εἶναι παραγαγών... Goar pag. 616.

л. 82. Εὐχὴ ἑτέρα εἰς τὸν Κύριον Ἰησοῦν Χριστὸν ἱκετήριος ἐπὶ αἰχμαλωσίας.

Παντοκράτορ Δέσποτα μακρόθυμε, πολυέλεε, εὐσυμπάθητε, εὐδιάλλακτε, φιλάνθρωπε, πανάγαθε, ὑπεράγαθε, ὑπερώνυμε, ἀπειροδύναμε, παντοδύναμε Χριστέ, ὁ Θεὸς ἡμῶν... Goar pag. 6.31.

л. 84 об. Εὐχὴ ἑτέρα κατὰ πολεμίων.

Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ σοφίᾳ ἀῤῥήτῳ λόγῳ πάντα πρὸς τὸ τοῦ πλάσματος συμφέρον οἰκονομῶν... См. выше стр. 290.

л. 85 об. Εὐχὴ ἑτέρα εἰς ἀνομβρίαν. 3 молитвы Goar. pag. 614—615, и далѣе молитвы на различные случаи.

л. 106 Разныя статьи догматическаго, каноническаго и историческаго содержанія.

CXXXVI. Λ № 154. Εὐχολόγιον, рукопись той же библіотеки, въ 24 долю листа, 321 листъ, писана почеркомъ XVI в.

л. 1. Ἡ θεία λειτουργία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου τοῦ Μεγάλου.

л. 42 об. Ἡ θεία λειτουργία τῶν προηγιασμένων.

л. 65. Ἡ θεία λειτουργία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου.

л. 85 об. Позднѣйшей руки: Εὐχὴ τῶν ἑπτὰ παίδων εἰς ἀσθενῆ καὶ μὴ ὑπνοῦντα.

л. 88. Εἰς τὸ κατασφραγίσαι παιδίον τῇ η′ ἡμέρᾳ.

л. 89. Εὐχὴ (εἰς) λεχοῦσαν γυναῖκα.

л. 91. Μετὰ τὸ πληρῶσαι ἡ γυνὴ ἡμέρας μ′.

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ ἐν τεσσαράκοντα ἡμέραις τοῦ νόμου εἰς τὸ ἱερὸν ἀνελθών... См. выше стр. 53.

л. 92 об. Ἀκολουθία εἰς τὸ ποιῆσαι κατηχούμενον.

л. 118. Ἀκολουθία τοῦ μικροῦ ἁγιασμοῦ.

л. 132. Ἀκολουθία τοῦ ἁγίου ἐλαίου.

л. 181 об. Молитвы на различные случаи.

л. 191 об. Ἀποστολοευαγγέλια τῆς ἑβδομάδος и общимъ святымъ.

л. 216. Ἀκολουθία τοῦ θείου καὶ ἀγγελικοῦ σχήματος εἰς ἀρχάριον μοναχὸν ῥασοφόρον.

л. 217. Ἀκολουθία τοῦ μικροῦ σχήματος.

л. 229. Ἀκολουθία τοῦ μεγάλου καὶ ἀγγελικοῦ σχήματος.

л. 256. Ἀκολουθία εἰς τὸ ἀποκουκουλίσαι.

л. 257. Молитвы на различные случаи.

л. 260 об. 11 утреннихъ евангельскихъ чтеній.

л. 271. Ἀκολουθία τῆς γονυκλισίας.

л. 281 об. Ἀκολουθία τοῦ ἐξοδιαστικοῦ τῶν μοναχῶν.

л. 299 об. Ἀκολουθία εἰς νεκρώσιμα κόλλυβα μοναχῶν.

л. 304. Ἕτερος κανὼν νεκρώσιμος εἰς κοσμικούς.

л. 307 об. Ἀκολουθία εἰς ψυχὴν κρινομένην ἐν τῇ ἐξόδῳ αὐτῆς.

л. 312. Ἀκολουθία τῶν ἁγίων Θεοφανίων.

л. 320. Новой руки: Ἀκολουθία, τυπωθεῖσα ὑπὸ τῆς μεγάλης ἐκκλησίας ἐν Κωνσταντινουπόλει, εἰς τοὺς ἐκ τῶν Λατινικῶν αἱρεσέων τῇ καθολικῇ προσερχομένους ἐκκλησίᾳ τῶν πατριαρχικῶν θρόνων.

CXXXVII. № 468. Εὐχολόγιον, рукопись Аѳоно-Діонисіатской библіотеки, въ 16 долю листа, 258 листовъ, писана почеркомъ XVI в. Начала и конца рукописи нѣтъ.

л. 1. Начинается евхологій возгласомъ священника: Λάβετε φάγετε въ литургіи св. Іоанна Златоуста.

л. 5. Ἡ θεία λειτουργία τοῦ μεγάλου πατρὸς Βασιλείου (чинъ не оконченъ).

л. 22. Литургія преждеосвященныхъ даровъ. Начинается молитвою: Ὁ τοῖς ἀσιγήτοις ὕμνοις.

л. 28. Ἀκολουθία τοῦ μικροῦ ἁγιασμοῦ.

л. 34 об. Ἀκολουθία τῶν ἁγίων Θεοφανίων.

л. 41. Εὐχὴ εἰς λοχὸν γυναῖκα.

л. 41 об. Ἀκολουθία εἰς τὸ βαπτίσαι παιδίον.

л. 52. Εὐχὴ εἰς τὸ ἀποκουρεῦσαι παιδίον.

л. 52 об. Εὐχὴ εἰς τὸ ἀπολοῦσαι νεοφώτιστον

л. 53 об. Εὐχὴ εἰς τὸ ἐκκλησιάσαι παιδίον.

л. 54 об. Εὐχὴ εἰς τὸ σαραντῆσαι γυναῖκα.

л. 55. Εὐχαὶ διάφοροι.

л. 66. Εὐχαὶ ἑωθιναί. 13 молитвъ.

л. 70 об. Различныя молитвы.

л. 76. Ἀκολουθία σὺν Θεῷ ἁγίῳ τοῦ εὐχελαίου.

л. 100. Εἰς ἀρχάριον ῥασοφοροῦντα.

л. 101. Ἀκολουθία τοῦ μικροῦ σχήματος.

л. 107 об. Ἀκολουθία, γινομένη εἰς τὸ μέγα καὶ ἀγγελικὸν σχῆμα.

л. 130. Εὐαγγελοαπόστολοι.

л. 253. 11 утреннихъ евангелій.

л. 253. Прокимны и аллилуаріи.

CXXXVIII. № 441. Εὐχολόγιον, рукопись той-же библіотеки, въ 16 долю листа, 315 листовъ, писана скорописью XVI в. Имѣются въ началѣ и въ концѣ приписки позднѣйшей руки 7100, 7099 и 7105 годовъ и 1612 года. Начала рукописи нѣтъ.

л. 1—3. Позднѣйшія приписки.

л. 4. Орологій или Часословъ.

л. 57. Синаксарь съ тропарями и кондаками.

л. 165. Тропари и кондаки на постъ и пятидесятницу.

л. 114. Различные каноны Богородицѣ и Іисусу Сладчайшему.

л. 161. Εὐχαί, συλλεχθεῖσαι ἀπὸ τῆς θείας Γραφῆς, τὰ πλεῖστα δὲ ἀπὸ τοῦ ἁγίου Ἐφραίμ, τοῖς βουλομένοις πολεμῆσαι τὴν ἑαυτῶν πρὸς τὰ πάθη καὶ τὰς ἡδονὰς ἐγκειμένην προαίρεσιν.

л. 204 об. Ἀκολουθία εἰς μικρὸν ἁγιασμόν.

л. 207 об. Ἀκολουθία εἰς ἀρχάριον ῥασοφοροῦντα.

л. 210. Ἀκολουθία εἰς κουρὰν μανδυώτου.

л. 214 об. Ἀκολουθία τοῦ μεγάλου καὶ ἀγγελικοῦ σχήματος.

л. 230 об. Ἀκολουθία τοῦ ἀποκουκουλίσματος.

л. 231 об. Ἀκολουθία τοῦ ἐξοδιαστικοῦ.

л. 256. Ἀκολουθία τοῦ ἐξοδιαστικοῦ κοσμικοῦ.

л. 259. Κανών, ψαλλόμενος εἰς μνημόσυνον κοσμικῶν.

л. 262. Σαββάτου τῆς ἀκαθίστου. Акаѳистъ Богоматери.

л. 275 об. Ἀκολουθία τῆς ἁγίας μεταλήψεως.

л. 297. Ἀκολουθία ἐπὶ νυκτερινῆς φαντασίας.

л. 308 об. Τῇ ἁγίᾳ καὶ μεγάλῃ κυριακῇ τοῦ Πάσχα κανών.

л. 312. Столпъ евангельскихъ утреннихъ чтеній.

CXXXIX. № 31. Εὐχολόγιον, рукопись Чаушской библіотеки въ Солунѣ, въ 16 долю листа, 225 листовъ, писана скорописью XVI в.

л. 1. Διάταξις τῆς θείας λειτουργίας, ἐν ᾗ καὶ τὰ διακονικά.

л. 13. Ἡ θεία λειτουργία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου.

л. 23 об. Ἡ θεία λειτουργία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου τοῦ Μεγάλου.

л. 39 об. Ἡ θεία λειτουργία τῶν προηγιασμένων.

л. 45 об. Εὐχαὶ διάφοροι.

л. 61 об. Ἀκολουθία εἰς ψυχὴν κρινομένην.

л. 65. Ἕτερος κανὼν παρακλητικὸς εἰς τὴν ὑπεραγίαν Θεοτόκον ἐκ προσώπου ἀνθρώπου ψυχοῤῥαγοῦντος, καὶ μὴ δυναμένου λαλῆσαι.

л. 69. Ἀποστολοευαγγέλια.

л. 91. Молитвы отъ духовъ нечистыхъ Василія Великаго.

л. 95. Τοῦ ἁγίου Ἐπιφανίου ἐξορκισμὸς ἐπὶ ἀκαθάρτων πνευμάτων. Ἐπικαλοῦμαί σε, ἐπικαλοῦμαί σε, Θεέ, Πάτερ παντοκράτορ, ὕψιστε, ἀπερίγραπτε... (нѣтъ конца).

л. 99. Чинъ великаго водоосвященія (безъ начала).

л. 104 об. Апостолъ на праздники въ честь Богородицы (безъ конца).

л. 105. Чинъ малой схимы (безъ начала и конца).

л. 109. Чинъ великаго ангельскаго образа (безъ начала).

л. 125. Ἀκολουθία εἰς ἀποκουκουλίσαι.

л. 126 об. Ἀκολουθία τοῦ ἐξοδιαστικοῦ.

л. 144 об. Ἀκολουθία εἰς μνημόσυνα νεκρῶν.
л. 148. Чинъ воцерковленія (безъ начала).
л. 149 об. Ἀκολουθία εἰς τὸ ποιῆσαι κατηχούμενον.
л. 160 об. Εὐαγγέλια ἀναστάσιμα ἑωθινὰ ια'.
л. 168 об. Преподобнымъ апостолъ и евангеліе.
л. 170. Ἀκολουθία τῆς γονυκλισίας.
л. 178 об. Εὐχαὶ τοῦ λυχνικοῦ. 10 молитвъ.
л. 183 об. Εὐχαὶ τοῦ ὄρθρου. 12 молитвъ.
л. 188. Ἀκολουθία τοῦ ἁγίου ἐλαίου (безъ конца).
л. 209. Молитвы на различные случаи.
л. 218 об. Ἀκολουθία εἰς νυκτερινὴν φαντασίαν.
л. 220. Τάξις, γινομένη ἐπὶ σαλευθείσης ἁγίας τραπέζης.
л. 222. Εὐχαὶ τοῦ ἁγίου Ταρασίου, πατριάρχου Κωνσταντινουπόλεως.
л. 224 об. Τροπάρια, ψαλλόμενα εἰς τὸν ἐνταφιασμὸν τῷ ἁγίῳ καὶ μεγάλῳ σαββάτῳ (безъ конца).

CXL. № 716. Илитарій Патмосской библіотеки на пергаменѣ, содержащій: Διακονικὸν καὶ Διάταξις τῆς θείας λειτουργίας, писанъ почеркомъ XVI в.[1]).

Ἰστέον, ὅτι ἐν τῷ μέλλειν ἐκτελέσαι τὴν θείαν λειτουργίαν, ἀπέρχεται ὁ ἱερεὺς καὶ ὁ διάκονος καὶ ἵστανται πρὸ τῶν ἁγίων θυρῶν, καὶ ποιοῦσι μετανοίας τρεῖς, ἀσπαζόμενοι τὰς ἁγίας εἰκόνας, εἶτα εἰσέρχονται εἰς τὸ ἅγιον βῆμα, καὶ λαμβάνει ὁ ἱερεὺς τὸ στιχάριον ἐν τῇ ἀριστερᾷ χειρὶ καὶ προσκυνεῖ τρίτον κατὰ ἀνατολάς, καὶ σφραγίζων αὐτό, λέγει· Εὐλογητὸς ὁ Θεός.. καὶ οὕτως λέγει· Ἀγαλλιάσθω ἡ ψυχή μου... Εἶτα λαβὼν τὸ ἱερὸν ἐπιτραχήλιον, λέγει· Εὐλογητὸς ὁ Θεός, ὁ ἐκχέων τὴν χάριν... Ὁ δὲ διάκονος, λαβὼν καὶ αὐτὸς τό τε ὠράριον καὶ τὸ στιχάριον ἐν τῇ ἀριστερᾷ χειρί, ποιεῖ τῷ ἱερεῖ μετάνοιαν, λέγων· Εὐλόγησον, δέσποτα, τὸν ἐνδυόμενον. Καὶ ὁ ἱερεὺς σφραγίζει ταῦτα ἢ τοῦτον, καὶ λέγων· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε... Εἶτα ἀπέρχονται οἱ δύο ὁμοῦ ἐν τῇ ἁγίᾳ προθέσει, καὶ λαμβάνει ὁ ἱερεὺς τὴν προσφοράν, καὶ λέγει, ἱστάμενος κατὰ ἀνατολάς· Εὐλογητὸς ὁ Θεὸς πάντοτε... Εἰς ἀνάμνησιν Κυρίου Θεοῦ... Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν. Ὁ ἱερεύς. Ὡς πρόβατον... Goar p. 49. Ὁ διάκονος· Ἆρον, δέσποτα. Ὁ ἱερεύς·

---

[1]) I. Сакеліонъ относитъ его безъ достаточныхъ основаній къ XIV в. Πατμιακὴ βιβλιοθήκη σελ. 276.

ζώντων κυριεύσῃ. Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ἰωάννην· Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους· τοῦτό ἐστι τὸ θέλημα τοῦ πέμψαντός με Πατρός... Τέλος· καὶ ἐγὼ ἀναστήσω αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. Καὶ λέγει τὴν προγεγραμμένην αἴτησιν, καὶ εὐθὺς τὸ κοντάκιν, ἦχος πλ. δ'· Ἐν κόλποις τοῦ Ἀβραὰμ καὶ χώρᾳ τῶν ἐκλεκτῶν σου καταξίωσον, Χριστὲ ὁ Θεός... Ἕτερος· Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου, Κύριε τῶν δυνάμεων. Καὶ εὐθὺς τοὺς οἴκους· Τοῖς τοῦ βίου τερπνοῖς ἐνητένιζον λογισμοῖς... и др. См. выше стр. 880. Νευρωθῶμεν τῇ πίστει σφιγγόμενοι, οἱ τὰ σώματα ἀποταξάμενοι... Τοὺς ἀγάμους ἐλπίδες συγκόπτουσι τοὺς ἐν γάμῳ φροντίδες συντήκουσιν... Πειρατὰς καὶ χειμῶνας και κλύδωνας... Ὅταν οὖν καθ' ἑνὸς ὑπεραίρεσθε τὸν δὲ τῦφον ἐχθροῦ παροπίζεσθαι καὶ φαντάζει... Ἐπεισῆλθε πολλάκις τὸν κάμνοντα ἀδελφὸν καὶ φησίν... Ψυχικῶς τὸν κανόνα ποθήσαντες, ὃν καλῶς καὶ φρονίμως ἡρμώσασθε... Ἂν ὁ νοῦς πότε σκανδαλίζῃ σε, ἐρεθίζων πρὸς σὲ πρὸς τὴν ἔξοδον... Λέγει πάλιν πρὸς σέ, καὶ πῶς δύνασαι τὸν κανόνα τελεῖν τοῦ μονάζοντος... Μετὰ τῶν ἐργατῶν, ὧν ἐκάλεσεν ἔνδον τοῦ ἀμπελῶνος ὁ Κύριος... Ὁ εἰπών· ἐγώ εἰμι ἡ ἄμπελος, καὶ ὑμεῖς μου ὑπάρχετε κλήματα... Στερεωθέντες τῇ πίστει, συστήκετε, τοὺς αὐχένας ἡμῶν κάτω κάμνοντες.. Ὁ καιρὸς τῆς χαρᾶς ἡμῶν ἔφθασεν· ὁ γὰρ Κύριος τάχιον ἔρχεται... Снес. выше стр. 551—552. Ἀπ' ἐμοῦ νῦν ὑμεῖς ἐδιδάχθητε κατακρίνειν ἐμὲ τότε μέλλοντες... Τῶν ἀγγέλων τὸν βίον βιῶσαι νῦν μέγας Κύριος ὄντως παρέχει ἡμῖν... Οὐκ ἀρεῖ μοι ὁ λόγος πρὸς ἔπαινον τῆς τοσαύτης ἡμερότητος... Σὺ οὖν, Δέσποτα, ὡς παντοδύναμος, τὴν ζωὴν ἡμῶν πᾶσαν κυβέρνησον.. Παναγία Παρθένε ἀνύμφευτε, ἡ τεκοῦσα τὸ φῶς τὸ ἀπρόσιτον... Каждый икосъ оканчивается Аллилуіа. Καὶ εὐθὺς τοὺς μακαρισμούς. Goar p. 454—455, по съ прибавкою нѣкоторыхъ стихиръ. Καὶ εὐθὺς λέγει προκείμενον, ἦχος δ'· Ἡ ψυχὴ αὐτοῦ... Στίχος· Πρὸς σέ, Κύριε, κεκράξομαι. Σοφία. Πρὸς Κορινθίους· Ἀδελφοί, ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς χοϊκός... Τέλος· διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Ἀλληλουάριον, Μακάριος, ὅν. Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ἰωάννην· Εἶπεν ὁ Κύριος πρὸς τοὺς πεπιστευκότας πρὸς αὐτὸν Ἰουδαίους· ὁ τρώγων μου τὴν σάρκα... Τέλος· Ὅτι σὺ εἶ ὁ Χριστός, ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. Καὶ εὐθὺς Εἴπωμεν πάντες... Ἔτι δεόμεθα... κ. τ. λ. Καὶ μετὰ τὴν συμπλήρωσιν λέγει τὸν ἕτερον κανόνα (т. е. пѣсни 7, 8 и 9), καὶ εὐθὺς (послѣ 9) μνημονεύει, ἔπειτα λέγει τὰ ἐξαποστειλάρια, ἦχος πλ. α'· Νῦν ἐπανεπαυσάμην καὶ εὗρον ἄνεσιν πολλήν... Νῦν ἐξελεξάμην τὴν θεομήτορα κόρην... Στιχηρά, ἦχος πλ. δ'· Ἀμέτρητος ὑπάρχει.. Ἐβρόντησεν ἡ σάλπιγξ... κ. τ. λ. Goar pag. 464. Εἶτα τὸ Τρισάγιον, Πα-

ναγία Τριάς, Πάτερ ἡμῶν, Ὅτι σοῦ ἐστιν, Μνήσθητι, Κύριε, ὡς ἀγαθός, τῆς ψυχῆς.. Δόξα, τὸ τέλος, Καὶ νῦν, Ὅτι πάντων ὑπάρχει τῶν ποιημάτων.. Καὶ εὐθὺς λέγει τὰ εἰρηνικά· Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὅπως Κύριος ὁ Θεὸς ἡμῶν τάξῃ τὸ πνεῦμα... Ὑπὲρ πάντων τῶν χρηζόντων... Ὑπὲρ τοῦ ῥυσθῆναι... Ἀντιλαβοῦ, σῶσον... Τὰ ἐλέη τοῦ Θεοῦ... Τοῦ Κυρίου δεηθῶμεν. Καὶ ἡ εὐχή· Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς ἡμῶν. Goar p. 452. Καὶ εὐθὺς γίνεται ὁ ἀσπασμός, καὶ ψάλλομεν στιχηρά, ἦχος α'· Ὅτε ἐκ τοῦ ξύλου. Δεῦτε τελευταῖον ἀσπασμὸν δῶμεν... Στίχος· Ἰδοὺ δὴ τί καλόν. Ἔχων τὴν ἐλπίδα εἰς Θεόν, τὸν μονήρη βίον ποθήσας... Ξένος γεγονὼς τῶν συγγενῶν καὶ τῶν ἐν τῷ βίῳ φροντίδων... Δεῦτε, ἀδελφοὶ πνευματικοί, ἴδωμεν τὸ πέρας τοῦ βίου... Πάντες δυσωποῦμεν νῦν ἐν κατανύξει βοῶντες... Τοῦτο τῆς ζωῆς ἡμῶν ἐστι τὸ ἀπαραχώρητον τέλος... Ποίμνης ἐπιστάτης γεγονώς, πάτερ, λογικῆς ἐπὶ χλόης... Δόξα καὶ νῦν, ὁ αὐτός, θεοτοκίον· Νεῦσον παρακλήσεσι, Χριστέ, ταῖς τῆς παναχράντου Μητρός σου... Καὶ λέγει τὴν προγεγραμμένην αἴτησιν. Τοῦ Κυρίου δεηθῶμεν. Ὁ μέγας ἀρχιερεὺς καὶ δίκαιος κριτής. См. выше стр. 480. Ἀντιλαβοῦ... Τῆς παναγίας... Ἐκφώνησις· Ὅτι σὺ εἶ ἡ ζωὴ καὶ ἡ ἀνάστασις τοῦ κεκοιμημένου δούλου σου... Καὶ εἰσφέρουσι τὸ λείψανον εἰς τὸν τάφον, ψάλλοντες τὸ παρὸν τροπάριον· Αὕτη ἡ κατάπαυσίς μου εἰς αἰῶνα αἰῶνος... Ἕτερον τροπάριον, ἦχος γ'· Ἐξέλιπον ἀπὸ τῆς συγγενείας μου καὶ κατέλιπον... Στίχος α'· Ἐγὼ εἶπα ἐν τῷ ὕψει τῶν ἡμερῶν... Καὶ πάλιν τὸ αὐτό. Στίχος β'· Ἐπιποθεῖ καὶ ἐκλείπει ἡ ψυχή μου. Καὶ πάλιν τὸ αὐτό. Καὶ σφραγίζει τὸ λείψανον μετὰ κανδήλαν(ης). Ὁ δὲ ἱερεὺς θυμιᾷ τὸν τάφον σταυροειδῶς καὶ τοὺς ἀδελφοὺς πάντας, καὶ λέγει τροπάρια ἕτερα, ἦχος πλ. δ'· Μετὰ πνευμάτων δικαίων.. Ἕτερον· Σὺ εἶ ὁ Θεὸς ἡμῶν... Ἕτερον τροπάριον, ἦχος πλ. δ'· Ὁ θάνατός σου, Κύριε, ἀθανασίας γέγονε πρόξενος... Δόξα, ὁ αὐτὸς ἦχος· Καθὼς εἶπας, Κύριε, τῇ Μάρθᾳ... Καὶ νῦν, θεοτοκίον· Ἐγώ, παρθένε ἁγία Θεοτόκε, τὴν σκέπην σου... Ἐν εἰρήνῃ.. Ὑπὲρ τῆς ἄνωθεν κ. τ. λ. Σὺ γὰρ εἶ ἡ ἀνάστασις καὶ ἡ ἀνάπαυσις... Εἶτα λέγει τὴν ἐπιτάφιον εὐχήν. Τοῦ Κυρίου δεηθῶμεν. Κύριε, Κύριε, ἡ τῶν θλιβομένων παραμυθία. Goar p. 453. Εἶτα τὸν Ν' καὶ τὸ Τρισάγιον, τὸ Παναγία Τριάς, τὸ Πάτερ ἡμῶν, Ὅτι σοῦ ἐστιν, τὸ Κύριε ἐλέησον ρ' καὶ ἀπόλυσις.

л. 93. Τάξις καὶ ἀκολουθία εἰς σταυροφόρον μοναχόν, ἐκτεθεῖσα παρὰ τῶν ὁσίων πατέρων ἡμῶν Ἀντωνίου τοῦ μεγάλου, Εὐθυμίου, Σάββα, καὶ ἑτέρων πατέρων.

Εἰσφέρουσι δύο ἀδελφοὶ τὸν μέλλοντα φορέσαι σταυρὸν εἰς τὸ διακονικόν, φορῶν μόνον (ὑ)ποκάμισον, ἀνυπόδετον, καὶ ἐπιτιθοῦσι τὸ ψαλίδιον ἐπὶ τὸ παρατράπεζον καὶ τὸν σταυρόν, καὶ ποιεῖ εὐλογητόν, Τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν, Ὅτι σοῦ ἐστιν, ἀπολυτίκιον καὶ κοντάκιον τῆς ἡμέρας, ὁ δὲ ἱερεὺς φραγίζει τὴν κεφαλὴν τοῦ νεοφωτίστου ἐκ γ' καὶ λέγει τὴν εὐχὴν ταύτην· Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἀξίους σου εἶναι νομοθετήσας... Goar p. 380. Εἰρήνη πᾶσιν. Τὰς κεφαλάς. Εὐχαριστοῦμέν σοι, Κύριε, ὁ κατὰ τὸ πολὺ ἔλεός σου ῥυσάμενος. Goar p. 378. διὰ τῶν οἰκτιρμῶν τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι νῦν καὶ ἀεί... Εἶτα ἐγείρει αὐτὸν ὁ ἱερεὺς καὶ ἐνδύει αὐτὸν στιχάριν μικοῦρον, καὶ λέγει· Ὁ ἀδελφὸς ἡμῶν, ὁ δεῖνα, ἐνδύεται χιτῶνα τῆς ἀφθαρσίας, εἴπωμεν καὶ ὑπὲρ αὐτοῦ τὸ Κύριε ἐλέησον γ'. Καὶ λαβὼν ὁ μέλλων κουρευθῆναι, δίδει τὸ ψαλίδιον τοῦ ἱερέως (sic), ὁ δὲ ἱερεύς, λαβὼν αὐτό, λέγει· Εὐλογητὸς ὁ Θεός, ὁ θέλων πάντας ἀνθρώπους σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, νῦν καὶ ἀεί... Ὁ δὲ ἀλλάσσει τὸ ὄνομα τοῦ νεοφωτίστου καὶ λέγει· Ὁ ἀδελφὸς ἡμῶν, ὁ δεῖνα, κείρεται τὴν κόμην τῆς κεφαλῆς αὐτοῦ. Εἰς τὸ ὄνομα τοῦ Πατρός· Ἀμήν. Καὶ τοῦ Υἱοῦ. Ἀμήν. Καὶ Ἁγίου Πνεύματος. Ἀμήν. Νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας... Καὶ βάνει αὐτῷ μικρὸν κουκούλιον καὶ ζώνην δερματίνην, καὶ λέγει· Ὁ ἀδελφὸς ἡμῶν ἔλαβε τὸ σχῆμα τῆς ἀγγελικῆς καταστάσεως εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ... εἴπωμεν καὶ ὑπὲρ αὐτοῦ τὸ Κύριε ἐλέησον γ'. Κἀκείνου κλίναντος τὴν κεφαλήν, λέγει ἱερεὺς τὴν εὐχὴν ταύτην· Τοῦ Κυρίου δεηθῶμεν. Κύριε, Κύριε, ἡ δύναμις τῆς σωτηρίας ἡμῶν. Goar. pag. 379. Εἰρήνη πᾶσιν. Τὰς κεφαλὰς ἡμῶν. Εἰς τὸν ζυγόν σου, Δέσποτα, τὸν σωτήριον, πρόσδεξαι τὸν δοῦλόν σου... Goar p. 378. Καὶ εὐθὺς ἀσπάζονται αὐτὸν οἱ ἀδελφοὶ καὶ ἀπόλυσις. Сн. выше стр. 505—506.

л. 95 об. Ἑτέρα ἀκολουθία τοῦ ἁγίου σχήματος τοῦ μικροῦ.

Ἀφ' ἑσπέρας εἰσφέρουσι τὰ ἱμάτια αὐτοῦ τοῦ μέλλοντος κουρεύεσθαι εἰς τὸ ἅγιον θυσιαστήριον, καὶ ἀποτίθενται ἐν τῷ θαλασσιδίῳ τῆς ἁγίας τραπέζης ἢ ἔμπροσθεν τοῦ ἁγίου τῆς μονῆς, καὶ αὐτὸς στέκεται κάτωθεν, φορῶν μόνον (ὑ)ποκάμισον καὶ ἀνυπόδετος, ἕως τῆς μικρᾶς εἰσόδου, τότε φέρουσιν αὐτὸν δύο μοναχοί, προσκυνῶν καὶ ψάλλων ἦχος α'· Ἀγκάλας πατρικάς... Εἰς τὸν ὄρθρον ψάλλεται ὁ κανὼν τοῦ ἁγίου σχήματος, καὶ εἰς τὴν λειτουργίαν τὰ ἀντίφωνα, εἰ δὲ οὐκ ἔστι λειτουργία, εὐλογεῖ ὁ ἱερεύς, Τρισάγιον, Παναγία Τριάς, Ὅτι σοῦ ἐστιν, τὸ Κύριε ἐλέησον ιβ', Δεῦτε προσκυνήσωμεν, Ὁ Θεὸς εἰς τὴν

βοήθειάν μου... Κύριε, εἰσάκουσον τῆς προσευχῆς... καὶ εὐθὺς μικρὰ αἴτησις, τὸ Ἀλληλούϊα, ἦχος πλ. β', τροπάριον, ἦχος πλ. β'· Ἐλέησον ἡμᾶς... Κύριε, ἐλέησον ἡμᾶς· ἐπὶ σοὶ γὰρ πεποίθαμεν... Καὶ νῦν, Τῆς εὐσπλαγχνίας τὴν πύλην... Καὶ εὐθὺς ὁ Ν', ὁ κανών, ᾠδὴ α', ἦχος δ'· Θαλάσσης τὸ ἐρυθραῖον. См. выше стр. 226. Θαλάσσης βιωτικῆς τὸν κλύδωνα ἀποταξάμενοι.. Σήμερον βαπτίζεσθε τοῖς δάκρυσι τῆς κατανύξεως... Ἁγνείαν, ταπείνωσιν, ἐγκράτειαν, ὑπακοήν, προσευχήν... Ξενίζεται φύσις, ἀειπάρθενε, ἡ τῶν ἀνθρώπων.. Καὶ εὐθὺς στιχηρὰ προσόμοια, ἦχος β'· Ὅτε ἐκ τοῦ ξύλου. Πίστει προσερχόμενον πρὸς σέ, Δέσποτα, τῆς σῆς ἐπὶ τρίβους δικαιοσύνης με... Goar pag. 405—406. Καὶ νῦν, θεοτοκίον· Φόβος πολυτρόπων λογισμῶν καὶ τῶν ἀναγκῶν καταιγίδες νῦν με χειμάζουσιν... Εἰς τὴν λειτουργίαν τὰ ἀντίφωνα, τὸ Εὐλόγει ἡ ψυχή μου... Καὶ τὸ Δόξα, Αἴνει ἡ ψυχή μου τὸν Κύριον, καὶ οἱ μακαρισμοί. Goar pag. 414. Μετὰ ταῦτα ἵσταται ὁ τὸ σχῆμα λαβὼν εἰς τὰς ὡραίας πύλας τοῦ βήματος, ἀποδυόμενος τοὺς ἑαυτοῦ χιτῶνας, μόνον μετὰ ἑνὸς περιβολαίου ἀσκεπὴς καὶ ἄζωστος καὶ ἀνυπόδετος, εἶτα γίνεται εἴσοδος μικρά, καὶ ἄρχεται τὸ α' ἀντίφωνον, καὶ καθ' ἑκάστην Δόξα, βραχὺ μεθιστάμενος ἕως τῆς ἐνάρξεως τοῦ τρίτου ἀντιφώνου, ἐν ᾧ λέγομεν τροπάριον· Ποῦ ἐστιν ἡ τοῦ. См. выше стр. 506—511. Въ антифонахъ имѣются прибавочные тропари. Въ оглашеніи, послѣ каждаго отдѣла, постригаемый произноситъ: Ναί, τίμιε πάτερ. Постригаемый вводится въ алтарь—Καὶ εἰσφέρουσιν αὐτὸν ἐν τῷ θυσιαστηρίῳ, καὶ ποιεῖ μετανοίας γ', καὶ λαβὼν τὸ ἅγιον εὐαγγέλιον, τίθησι τὸ ψαλίδιον ἐπάνω αὐτοῦ, καὶ προσκυνήσας καὶ ἀσπάσας τὸ ἅγιον εὐαγγέλιον ὁ μέλλων ἀποκείρεσθαι, λέγει αὐτῷ ὁ ἱερεύς. Ἐρώτησις· Ἰδοὺ ὁ Χριστὸς ἐνταῦθα πάρεστιν... О палліонѣ замѣчено: Καὶ λαβὼν παραμάντιον, λεγόμενον παλλίον, λέγων· Ὁ ἀδελφὸς ἡμῶν, ὁ δεῖνα, λαμβάνει τὸ παλλίον τοῦ ἀγγελικοῦ σχήματος εἰς τὸ ὄνομα τοῦ Πατρός. Любопытно замѣчаніе: Καὶ ἐκτείνας ὁ νεοφώτιστος τὰς χεῖρας εἰς οὐρανόν, λέγει· Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι. Καὶ ὁ ἱερεὺς εὔχεται· Τοῦ Κυρίου δεηθῶμεν. Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη... См. выше стр. 511. Καὶ εἰ μὲν ἔστι λειτουργία, ποιοῦμεν τὸν ἀσπασμόν, φίλημα ἀγαθὸν καὶ ἅγιον, καὶ ἐπιδίδωσι τῷ νεοφωτίστῳ κηρὸν ἅπτοντα, καὶ ἵσταται πλησίον τῶν ἁγίων θυρῶν τοῦ θυσιαστηρίου, καὶ λέγει ὁ ἱερεύς· Οὕτω λαμψάτω τὸ φῶς. Εἰ δὲ οὐκ ἔστι λειτουργία, κρατῶν ὁ διάκονος ἢ ὁ νεοφώτιστος τὸ ἅγιον εὐαγγέλιον, καὶ ἀσπάζονται πάντες οἱ ἀδελφοὶ τὸ ἅγιον εὐαγγέλιον καὶ τὸν νεοφώτιστον, ψάλλοντες τὸ Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, καὶ λέγουσιν· Εὐλόγησον,

πάτερ. Πῶς καλεῖται τὸ ὄνομά σου; Ἀποκρίνεται· Τόδε ὁ μοναχός. Οἱ ἀδελφοί· Σωθῆς, τόδε μοναχέ. Καὶ μετὰ τὸ τέλος τοῦ ἀσπασμοῦ, εἰσέρχεται μετὰ τοῦ διακόνου εἰς τὸ ἅγιον θυσιαστήριον, καὶ λέγει ὁ διάκονος τὴν αἴτησιν. Послѣ евангелія, Εἴπωμεν πάντες... Κύριε παντοκράτορ... Ἐλέησον ἡμᾶς... Ἔτι δεόμεθα καὶ ὑπὲρ τοῦ ἀδελφοῦ ἡμῶν, ὁ δεῖνα, καὶ τῆς ἐν Χριστῷ τελείας ὑπομονῆς καὶ σωτηρίας αὐτοῦ εἴπωμεν... Τὸ Κύριε ἐλέησον γ'. Ἐκφώνησις· Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος... Ἅπτουσιν οἱ ἀδελφοὶ τοὺς κηροὺς αὐτῶν καὶ ὀψικεύουσιν αὐτὸν ἔμπροσθεν τῶν ἁγίων θυρῶν, καὶ συναπέρχονται μετὰ τοῦ νεοφωτίστου εἰς τὴν τράπεζαν, κρατοῦντος αὐτοῦ τῆς δεξιᾶς χειρὸς ἕως τὴν κέλαν (sic) αὐτοῦ, ἐν ᾗ καὶ διακονεῖ αὐτὸς ἀνεπαισχύντως· συντάττει γὰρ τότε αὐτὸν ὁ καθηγούμενος τοῖς ὑπηρετοῦσι, κἂν ὁποῖος καὶ ἦν, τὴν τῶν ἀδελφῶν εὐλογίαν αὐτῷ προμηθούμενος, καὶ ψάλλουσι καὶ τροπάριον, ἦχος δ'· Κύριε, Κύριε, ἐπίβλεψον ἐξ οὐρανοῦ... Στίχος· Ὁ ποιμαίνων τὸν Ἰσραὴλ πρόσχες. Τὸ αὐτὸ πάλιν. Ὁ καθήμενος ἐπὶ τῶν χερουβίμ. Τὸ αὐτό. Δόξα καὶ νῦν, θεοτοκίον· Ἡ μόνη ἁγνὴ καὶ ἄχραντος παρθένος... Καὶ μετὰ τὸ ἀναστῆναι ἀπὸ τῆς τραπέζης, ἀπέρχεται πάλιν εἰς τὴν ἐκκλησίαν, ψάλλοντες τὸ αὐτὸ τροπάριον· Κύριε, Κύριε, ἐπίβλεψον, καὶ γίνεται ἀπόλυσις.

Καὶ τῇ η' ἡμέρᾳ λέγει ὁ ἱερεὺς τὴν εὐχὴν ταύτην τοῦ νεοφωτίστου. Τοῦ Κυρίου δεηθῶμεν. Δέσποτα Κύριε, ἕως τέλους, εἰς τὸν ζυγόν. См. выше стр. 511—512.

л. 119 об. Начало, какъ въ малой схимѣ. Канонъ и стихиры pag. 403, блаженны p. 414. Сн. выше стр. 279. Ἵσταται ὁ τὸ σχῆμα λαβὼν εἰς τὰς ὡραίας πύλας τοῦ βήματος, ἀποδυόμενος τοὺς ἑαυτοῦ χιτῶνας, μόνον μετὰ ἑνὸς περιβολαίου, ἀσκεπὴς καὶ ἄζωστος καὶ ἀνυπόδετος... 2) Καὶ στραφεὶς ὁ ἱερεὺς κατὰ ἀνατολὰς ψάλλομεν τροπάριον· Ἀγκάλας πατρικάς, καὶ σφραγίζει τὴν κεφαλὴν τοῦ νεοφωτίστου ἐκ γ', καὶ ψάλλομεν τροπάριον, ἦχος δ'· Κύριε, Κύριε, ἐπίβλεψον ἐξ οὐρανοῦ, Δόξα καὶ νῦν, θεοτοκίον· Ὁ διὰ σὲ θεοπάτωρ, καὶ εὐθὺς ὁ ἱερεὺς ἐκ τοῦ ἱλαστηρίου λέγει τὴν εὐχὴν ταύτην. Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ εὐδοκήσας διὰ τοῦ γένους τῶν ἀνθρώπων... 3) Καὶ ῥίπτει αὐτὸν ἐπὶ πρόσωπον, καὶ λέγει ὁ ἱερεὺς τὴν εὐχὴν ταύτην· Τοῦ Κυρίου δεηθῶμεν. Ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ χορηγὸς τοῦ ἁγίου καὶ ζωοποιοῦ Πνεύματος. См. выше стр. 508. Καὶ ἐγείρει αὐτὸν ὁ ἱερεύς, καὶ στραφεὶς κατὰ ἀνατολάς, εὔχεται· Τοῦ Κυρίου δεηθῶμεν. Ὁ πανοικτίρμων οὖν Θεὸς καὶ πολυέλεος. Goar. pag. 409. Послѣ молитвы: 4) Ὁ ὤν, Δέσποτα παντοκράτορ. Καὶ ἐπιτίθησι τὴν χεῖρα ὁ ἱερεὺς ἐπὶ τὸν νεοφώτιστον· Ἐπὶ τῷ ὀνόματί σου,

Κύριε ὁ Θεὸς τῶν δυνάμεων, ἐπιτίθημι τὴν χεῖρά μου... См. выше стр. 510. Εἰρήνη πᾶσιν. Τὰς κεφαλάς. Ἅγιε Κύριε τῶν δυνάμεων... р. 410. На слова: Βλέπε, ὅτι οὐδείς σε ἀναγκάζει... Ἀπόκρισις· Ναί, τίμιε πάτερ. Καὶ εἶτα ταῦτα συντάξηται, λέγει ὁ ἱερεύς· Λάβε τὸ ψαλίδιον καὶ ἐπίδος μοι. Καὶ λαβὼν ὁ μέλλων κείρεσθαι τὸ ψαλίδιον, ἐπιδίδει αὐτὸ τῷ ἱερεῖ, ὃς ῥίπτει τοῦτο εἰς τὸ ἅγιον εὐαγγέλιον· Ἰδοὺ ἐκ τῆς χειρός... 5) Послѣ молитвы: Κύριε ὁ Θεὸς ἡμῶν, ὁ πιστὸς ἐν ταῖς ἐπαγγελίαις σου... Ἐρώτησις· Ἀνέλαβες τὴν ἀγγελικὴν πολιτείαν; Ἀπόκρισις· Ναί, τίμιε πάτερ. Ἐρώτησις· Ἀνέλαβες τὴν στολὴν τῶν ἁγίων ἀποστόλων; Ἀπόκρισις· Ναί, τίμιε πάτερ. Καὶ ἐκτείνας τὰς χεῖρας ὁ νεοφώτιστος εἰς τὸν οὐρανόν, λέγει· Δόξα σοι, ὁ Θεός, δόξα σοι γ', καὶ λέγει ὁ ἱερεὺς τὴν εὐχήν. Τοῦ Κυρίου δεηθῶμεν. Δόξα ἐν ὑψίστοις Θεῷ. См. выше стр 511. Εἰρήνη πᾶσιν. Τὰς κεφαλάς. Κύριε ὁ Θεὸς ἡμῶν, εἰσάγαγε τὸν δοῦλόν σου р. 412. Послѣ этой молитвы дальнѣйшій порядокъ, что выше стр. 515—516 съ особенностями въ изложеніи, какъ въ малой схимѣ этого памятника.

л. 149. Ἀκολουθία τοῦ μικροῦ ἁγιασμοῦ XVII в.

л. 154 об. Εὐχὴ ἐπὶ τὸν μέλλοντα μεταλαβεῖν τῶν ἁγίων μυστηρίων.

л. 156 чистый.

л. 157. Ἀκολουθία τῶν ἁγίων Θεοφανίων. XV—XVI в. При погруженіи креста, говорится: Φῶς ὁ Πατήρ, φῶς ὁ Υἱός, φῶς τὸ Πνεῦμα τὸ ἅγιον, ἑστὼς ὁ σταυρὸς ἐν τῷ ὕδατι. Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ καὶ ζωοποιῷ καὶ ἀδιαιρέτῳ Τριάδι πάντοτε, νῦν.

л. 166. Ἀκολουθία τοῦ ἁγιασμοῦ τῆς νεομηνίας.

л. 172. Εὐχή, λεγομένη τῇ πρώτῃ ἡμέρᾳ, ὅταν γεννήσῃ γυναῖκα. Μετὰ τὸ εὐλογῆσαι τὸν ἱερέα, τὸ Τρισάγιον. Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ πλάσας τὸν ἄνθρωπον καὶ ἐξ αὐτοῦ πλάσας τὴν γυναῖκα... Εὐχὴ ἑτέρα· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὰ ἐν τῇ ὀθόνῃ εἰπὼν Πέτρῳ τῷ ἀποστόλῳ. р. 263. Εὐχὴ ἑτέρα· Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τεχθεὶς ἐκ τῆς παναγίας ἀχράντου Δεσποίνης р. 261. Молитва безъ конца.

л. 173 Εὐχὴ εἰς κόλλυβα ἁγίων XV—XVI в. Письмо, отличное отъ всѣхъ предыдущихъ.

л. 1̄73 об. Чинъ малаго водоосвященія.

л. 178. Чтенія изъ апостола и евангелія на цѣлый годъ.

л. 207. Чтенія изъ апостола и евангелія на память пророка Иліи и на Преображеніе XV в.

л. 210. Подобныя-же чтенія XVI в.

л. 224. Εὐχή, λεγομένη εἰς εὐλογίαν οἴνου.
л. 224 об. Εὐχὴ εἰς ἀδελφοποίησιν.
— Εὐχὴ ἐπὶ σπόρου ἀρχῆς.
л. 225. Εὐχὴ ἐπὶ θέρους ἀρχῆς. 2 молитвы.

CLIII. № 343. Εὐχολόγιον, рукопись Аөоно-Кутлумушской библіотеки, въ 24 долю листа, 247 листовъ, писана разными почерками XVI—XVII вѣковъ [1]).
л. 5. Мѣсяцесловъ.
л. 19. Ἀκολουθία ἐξοδιαστικοῦ.

---

[1]) Числится, по Каталогу синайскихъ рукописей В. Гардгаузена, евхологій XVI—XVII в. № 987 (Oxon. 1886 an. p. 216), содержащій въ себѣ „Ἀκολουθίαι“, но вѣрнѣе эту рукопись нужно относить къ отдѣлу смѣшанныхъ сборниковъ, содержаніе коихъ весьма разнообразно. Въ составъ этого сборника входитъ: 1) Ἀκολουθία εἰς διαφόρους λιτὰς καὶ ἀγρυπνίας παρακλήσεως, 2) Κανὼν εἰς ἀνομβρίαν, 3) Ἀκολουθία, ἤγουν δέησις ἐν αὐχμῷ ἀνομβρίας, 4) Κανὼν εἰς φόβον σεισμοῦ, 5) Κανὼν εἰς τὴν ἁγίαν καὶ ὁμοούσιον Τριάδα καὶ εἰς πάντας τοὺς ἁγίους εἰς ἀπειλὴν λοιμικῆς ἀσθενείας, ἤγουν εἰς θανατικόν, 6) молитвы на различные случаи, входящія въ составъ евхологія, 7) замѣчанія о чтеніи отеческихъ твореній въ теченіи четыредесятницы, 8) о толковыхъ евангеліяхъ, 9) молитвы заклинательныя, 10) εὐχὴ ἐπὶ ὕδατος ἀῤῥώστου, 11) Символъ Св. Аөанасія, 12) письмо Авгаря къ І. Христу и другія апокрифическія статьи, 13) статьи о бракахъ каноническаго содержанія, 14 περὶ τοῦ μέτρου τῆς γῆς, 15) сказаніе Епифанія монаха и пресвитера о Богоматери, 16) его же объ изображеніи Христа, 17) Слово св. І. Златоуста о поклонахъ и милостынѣ, 18) слово пр. Макарія о воскресеніи, 19) Откровеніе Богородицы о мученіяхъ и какъ наказываются грѣшники, 20) Διήγησις καὶ διάθεσις τοῦ δικαίου καὶ πατριάρχου Ἀβραάμ, ἐρώτησις δηλωτικὴ περὶ τοῦ θανάτου αὐτοῦ, 21) Ἀποκάλυψις τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ, παρθένου ἠγαπημένου, Ἰωάννου τοῦ Θεολόγου. Λόγος περὶ τῶν ἁμαρτιῶν καὶ τῆς θείας καὶ ἀχράντου καὶ ἀναιμάκτου ἱερουργίας, 22) Θαῦμα τοῦ ἁγίου μεγαλομάρτυρος Θεοδώρου τοῦ Τύρωνος, 23) Ἄθλησις τοῦ ἁγίου καὶ ἐνδόξου μεγαλομάρτυρος Νικήτα, 24) Βίος καὶ πολιτεία τοῦ ἁγίου Μακαρίου, τοῦ εὑρεθέντος ἀπὸ εἴκοσι μιλίων τοῦ παραδείσου и 25) Διήγησις περὶ τοῦ πάθους τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τῆς ἁγίας αὐτοῦ ἀναστάσεως, συγγραφεῖσα παρὰ Ἰουδαίου Αἰνέα ὀνόματι, ἣν μετήνεγκεν ἐκ τῆς ἑβραϊκῆς γλώσσης εἰς τὴν Ῥωμαίων διάλεκτον Νικόδημος, ὕπαρχος ῥωμαῖος. Этотъ весьма разнообразный и любопытный по содержанію сборникъ представляетъ рукопись въ 16 долю листа, въ 243 листа.

л. 55. Ἀκολουθία εἰς μνῆστρα.

л. 58. Ἀκολουθία τοῦ στεφανώματος.

Послѣ положенія вѣнцовъ на головы брачущихся и послѣ сплетенія ихъ рукъ, священникъ произноситъ: Χεὶρ Κυρίου ἐπὶ τὰς δεξιὰς ὑμῶν πάντοτε, νῦν...

л. 75. Апостольскія и евангельскія чтенія.

л. 115. Ἀκολουθία εἰς γυναῖκα λεχώ.

л. 116. Ἀκολουθία εἰς τὸ κατασφραγίσαι παιδίον, λαμβάνον ὄνομα τῇ ὀγδόῃ ἡμέρᾳ τῆς αὐτοῦ γεννήσεως.

л. 117 об. Εὐχὴ εἰς τὸ εἰσελθεῖν παιδίον ἐν τῇ ἐκκλησίᾳ ἡμερῶν μ'.

л. 123. Ἀκολουθία εἰς τὸ ποιῆσαι κατηχούμενον.

Объ огласительныхъ молитвахъ замѣчено: Ταύτας τὰς ε' εὐχὰς ποιεῖ ὁ ἱερεὺς τοῖς φωτιζομένοις ὀκτάκις ἢ δεκάκις.

л. 145. Εὐχὴ εἰς τὸ ἀπολοῦσαι τὸν φωτισθέντα.

л. 149. Ἀκολουθία τοῦ ἁγίου ἐλαίου.

л. 197. Чинъ вечерни Пятидесятницы.

л. 221. Ἀκολουθία τῶν ἁγίων Θεοφανίων.

л. 137. Κανὼν τοῦ Προδρόμου. Два канона, изъ коихъ послѣдній только до 3 пѣсни.

CLIV. № 341. Εὐχολόγιον σὺν Θεῷ ἁγίῳ, рукопись той-же библіотеки, въ 16 долю листа, 273 листа, писана скорописью XVI в. (съ л.л. 8—173) и XVII в. (до конца).

л. 8. Апостолы и евангелія на цѣлый годъ.

л. 20. Ἀκολουθία τῆς παρακλήσεως.

л. 25. Ἡ θεία λειτουργία τοῦ ἁγίου Ἰωάννου Χρυσοστόμου. Ἑρμηνεία εἰς τοὺς ἀμαθεῖς τῆς θείας λειτουργίας.

Εὐλογητὸς ὁ Θεός, καὶ ἄρχεται τὸ Βασιλεῦ οὐράνιε, Τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν, Ὅτι σοῦ ἐστιν, Κύριε ἐλέησον ιβ', Δεῦτε προσκυνήσωμεν γ', καὶ ἄρχεται τριθέκτη, καὶ πληρουμένης τριθέκτης, ἄρχεται καὶ ποιεῖ μετάνοιαν τῷ προεστῶτι, καὶ λαβὼν καιρόν, ἀπέρχεται ἐν τῷ ναῷ, λέγει καθ' ἑαυτὸν μυστικῶς· Ἰδοὺ βαδίζω πρὸς θείαν κοινωνίαν, πλαστουργέ, μὴ φλέξῃς με τῇ μετουσίᾳ. Τὰς ἀνομίας μου πάριδε, Κύριε, καὶ τὴν καρδίαν μου καθάρισον... Τὸν διεσπαρμένον μου νοῦν συνάγαγε, Κύριε, καὶ τὴν καρδίαν μου χερσωθεῖσαν... Καὶ εἰσελθόντες, βάλλει μετάνοιαν ἐνώπιον τῆς εἰκόνος τοῦ Δεσπότου Χριστοῦ, λέγων· Τὴν ἄχραντον εἰκόνα σου... Εὐσπλαγχνίας ὑπάρχουσα... Καὶ

ἀσπάζεται τὰς ἁγίας εἰκόνας, καὶ στραφεὶς πρὸς τοὺς ἑστῶτας, λέγει κλινόμενος· Εὐλογεῖτε, πατέρες, συγχωρήσατε... Καὶ εἰσελθὼν ἐν τῷ ἁγίῳ ἱλαστηρίῳ, λέγει καθ' ἑαυτὸν τὴν εὐχὴν ταύτην· Κύριε ὁ Θεός μου, ἐξαπόστειλόν μου... Καὶ εἰσέρχεται εἰς τὸ ἅγιον βῆμα, ἀσπάζεται τὸ ἅγιον εὐαγγέλιον, καὶ λαβὼν τὸ στιχάριον, καὶ ἀσπασάμενος αὐτὸ ἐπὶ τὴν φαν τοῦ ἐν τῷ σταυρῷ φύλλου, λέγει μυστικῶς· Εὐλογητὸς ὁ Θεός... Καὶ ἐνδυόμενος αὐτό, λέγει· Τοῦ Κυρίου δεηθῶμεν. Ἀγαλλιάσεται ἡ ψυχή μου... Псаломъ: „Умыю въ неповинныхъ руцѣ мои“ читается до конца. Καὶ λαμβάνει προσφοράν, τίθη(σιν) ἐπάνω αὐτῆς τὴν ἁγίαν λόγχην, καὶ προσκυνεῖ, λέγων· Κύριε, ἐπίβλεψον ἐξ οὐρανοῦ... γ'. Просфоры три, при чемъ за третьею просфорою поминается Предтеча, всѣ святые, цари, умершіе и живые. При покровеніи дискоса звѣздицею, произноситъ священникъ: „Словомъ Господнимъ небеса утвердишася“ и „Се звѣзда, юже видѣша волсви“. Проскомидія оканчивается отпустомъ, при открытыхъ царскихъ дверяхъ. Καὶ κλείσας τὰ ἅγια θυρία, στρέφεται κατὰ ἀνατολὰς καὶ ποιεῖ μετάνοιαν γ', λέγων· Ὁ Θεός, ἱλάσθητι... Κύριε, τὰ χείλη μου... β'. Ἐν τῷ ναῷ ἑστῶτες τῆς δόξης σου... Τῇ πρεσβείᾳ, Κύριε, πάντων τῶν ἁγίων καὶ τῆς Θεοτόκου τὴν σὴν εἰρήνην δὸς ἡμῖν καὶ ἐλέησον ἡμᾶς... На великомъ входѣ: Ὅτε φθάσῃ εἰς τὴν ἁγίαν τράπεζαν, λέγει· Δέχου ἡ ἁγία τράπεζα τὰ ἅγια τοῖς ἁγίοις· καλῶς ἦλθεν ὁ βασιλεὺς τῆς δόξης, καλῶς ἦλθε τὰ ἅγια τοῖς ἁγίοις. Καὶ αἴρει οὖν τὰ καλύμματα ἐκ τῶν ἁγίων, καὶ σκεπάζει αὐτὰ μετὰ τοῦ ἀέρος, λέγων· Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριον... Послѣ молитвы: „Вонми, Господи“, предъ причащеніемъ читаетъ священникъ: Τὰς ἀνομίας πάριδε Κύριε, ὁ ἐκ Παρθένου τεχθείς... Ἐλέησον ἡμᾶς, Κύριε... Κύριε, ἐλέησον ἡμᾶς... Ὑψώσω σε, ὁ Θεός μου, ὁ βασιλεύς μου... Ὡς ἐμνήσθης, Χριστέ, τοῦ πιστοῦ σου λῃστοῦ, μνήσθητι κἀμοῦ τοῦ ἁμαρτωλοῦ, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου. Καὶ ὑψοῖ τὸν ἄρτον ἅγιον, λέγων· Πρόσχωμεν. Τὰ ἅγια τοῖς ἁγίοις... Послѣ вліянія теплоты и возгласа: Ζέσις πίστεως Πνεύματος ἁγίου, Ἀμήν. εἶτα εὔχεται καθ' ἑαυτὸν λέγων· Ὁ Θεός, ἄνες, ἄφες, συγχώρησόν μοι τῷ ἁμαρτωλῷ... Καὶ λαμβάνει μίαν μερίδα εἰς τὴν δεξιὰν χεῖρα αὐτοῦ, καὶ κλίνας τὴν κεφαλήν, εὔχεται, λέγων· Τοῦ δείπνου σου τοῦ μυστικοῦ... ἐκ γ'. Πιστεύω καὶ ὁμολογῶ... πρῶτός εἰμι ἐγώ. Καὶ γεύεται τὸν ἄρτον, λέγων· Σῶμα Χριστοῦ μεταλάβετε... Εἶτα ἀποσπογγίζει τὰς χεῖρας αὐτοῦ ἐν τῷ δίσκῳ, καὶ λαμβάνει τὸ ποτήριον μετὰ τοῦ καλύμματος μετὰ πάσης εὐλαβείας, λέγων· Θεορρύτῳ αἵματι κενωθέντι, Δέσποτα Χριστέ, ἐκ σῆς ἀχράντου πλευρᾶς καὶ ζωοποιοῦ.

Καὶ πίνει ἐκ τοῦ ποτηρίου καὶ σπογγίζεται τὰ χείλη καὶ τοῦ ἁγίου ποτηρίου καὶ ἀσπάζεται αὐτό, λέγων· Τῆς σαρκός σου μετελάβομεν καὶ τοῦ αἵματος σου ἠξιώθημεν. Καὶ λαβὼν τὴν μοῦσαν, ἀποσπογγίζει τὸν ἅγιον δίσκον ἐν τῷ ἁγίῳ ποτηρίῳ, λέγων· Τὸ σῶμά σου τὸ ἅγιον, Κύριέ μου Ἰησοῦ Χριστέ, γένοιτό μοι εἰς ζωήν... Καὶ τίθησι τὴν ἁγίαν λαβίδα ἐν τῷ ἁγίῳ ποτηρίῳ καὶ σκεπάζει αὐτὸ μετὰ τοῦ καλύμματος ἐν τῷ δίσκῳ... При третьемъ явленіи съ св. дарами, священникъ θυμιᾷ σταυροειδῶς τὰ ἅγια δῶρα, λέγων· Ὑψώθητι ἐπὶ τοὺς οὐρανούς... Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ. Εἶτα λέγει καθ' ἑαυτόν· Δόξα Χριστῷ, τῷ ἐν Τριάδι Θεῷ ἡμῶν, εἶτα λέγει· Πάντοτε, νῦν καὶ ἀεί... По окончаніи литургіи, при омовеніи чаши, священникъ произноситъ: Τοῦ ἀχράντου σου σώματος καὶ τοῦ τιμίου σου αἵματος μυστικῶς ἀξιωθεὶς γενέσθαι συμμέτοχος, εὐχαριστῶ, ἀνυμνῶ, προσκυνῶ, εὐλογῶ καὶ δοξάζω, καὶ μεγαλύνω τὰ σωτήριά σου, Κύριε, πάντοτε... По разоблаченіи и по выходѣ изъ алтаря, священникъ ἀσπάζεται τὰς ἁγίας εἰκόνας, λέγων· Κύριε Ἰησοῦ Χριστέ, Υἱὲ τοῦ Θεοῦ, διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς. Καὶ στραφεὶς πρὸς τὸν λαόν, λέγων· Φυλάξοι Κύριος ὁ Θεὸς πάντας ἡμᾶς. Καὶ ἡμεῖς Φυλάξοι Κύριος τοὺς εὐλογοῦντας καὶ λειτουργοῦντας καὶ ἁγιάζοντας ἡμᾶς εἰς αἰῶνα αἰῶνος..

л. 60 об. Ἡ θεία λειτουργία τοῦ Μεγάλου Βασιλείου.

л. 98. Ἡ θεία λειτουργία τῶν προηγιασμένων, ποίημα τοῦ ἁγίου Γρηγορίου, πάπα Ῥώμης.

л. 116. Ἀκολουθία Αὗται αἱ εὐχαὶ λέγονται εἰς τὸν μέγαν ἑσπερινὸν καὶ εἰς ἀρτοκλασίαν καὶ παράκλησιν τῶν ἁγίων, καὶ ὅταν ψάλλωσι τὰ τροπάρια τῆς λιτῆς.

л. 119 об. Ἀκολουθία εἰς γυναῖκας λεχούσας.

л. 121. Ἀκολουθία ἐν τῇ η' ἡμέρᾳ εἰς τὴν μαῖαν καὶ εἰς παιδίον.

л. 121 об. Ἀκολουθία εἰς τὸ κατασφραγίσαι παιδίον, ἤγουν τοῦ ἐκκλησιάσαι αὐτό.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ παραγενόμενος ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων... Goar p. 267; См. выше стр. 176. Δέσποτα Κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, ὁ ἐν μ' ἡμέραις κατὰ τὸν νόμον εἰς τὸ ἱερόν. Прилож. стр. 19. Εἶτα λαμβάνει τὸ παιδίον ὁ ἱερεὺς μετὰ χεῖρας, ὑπάγει αὐτὸ εἰς τὸ θυσιαστήριον, καὶ στὰς ἔμπροσθεν τοῦ ἄμβωνος, λέγει· Χαῖρε, κεχαριτωμένη Θεοτόκε... Καὶ ἐπιθεὶς τὸ στόμα αὐτοῦ παρ' ἑκατέρᾳ τῶν ἁγίων θυρῶν, λέγει· Ὁ μήτραν παρθενικήν... Καὶ εἰσέρχεται (ἐὰν ἐστι ἄρρεν) μετ' αὐτοῦ ἔνδον τῶν ἀδύτων, καὶ ἵστησιν αὐτὸ ἔμπροσθεν τῆς ἁγίας τραπέζης, ὡς προσκυνοῦν, λέγει· Ἐκκλησιάζεται ὁ

δοῦλος τοῦ Θεοῦ εἰς τὸ ὄνομα τοῦ Πατρός. Ἀμήν. Καὶ στρέφει ὄπισθεν πρὸς δυσμάς, λέγει· Καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος· δεξιᾷ καὶ ἀριστερᾷ· Νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας. Εὐθὺς ἵστησιν αὐτὸ ἔμπροσθεν τῆς ἁγίας τραπέζης (εἰς) σχῆμα τῆς προσκυνήσεως, λέγει· Νῦν ἀπολύεις, τὸ δὲ θῆλυ ἔμπροσθεν τῶν ἁγίων πυλῶν εἰσφέρεται καὶ οὐκ ἔνδον, καὶ τίθησι τὸ παιδίον παρὰ τὰς ὡραίας πύλας καὶ εὔχεται· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν τεσσαράκοντα ἡμέραις, ὡς βρέφος τῷ νομικῷ προσαχθείς... Εὐχολ. Goar pag 267.

л. 124. Ἑτέρα ἀκολουθία, ὅταν πληρωθῶσιν αἱ ἡμέραι τοῦ καθαρισμοῦ αἱ μ΄.

л. 124 об. Ἀκολουθία εἰς γυναῖκα, ὅταν ἀποβάλλῃ, ἤγουν σκοτωθῇ τὸ νήπιον.

л. 127. Ἀκολουθία τοῦ ἁγίου βαπτίσματος.

Ἀλλάσσει ὁ ἱερεὺς πᾶσαν τὴν ἱερατικὴν στολήν, λέγων· Εὐλογημένη ἡ βασιλεία..., καὶ ἄρχεται τὴν προγραφεῖσαν ἀκολουθίαν, ἐὰν οὐκ ἔτυχε σφραγισθεὶς ὁ φωτισθείς, εἰ δὲ σφραγισμένος ἔτυχε, πάλιν εὐλογεῖ ὁ ἱερεὺς καὶ τὸν προγραφέντα τύπον· Τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν, Ὅτι σοῦ ἐστιν, τροπάριον τῆς ἡμέρας, Σῶσον, Κύριε, τὸν λαόν σου, Δόξα, ἀπολυτίκιον· Ἅγιοι ἀνάργυροι..., Καὶ νῦν, Τῇ πρεσβείᾳ, Κύριε, πάντων τῶν ἁγίων, εἶτα σφραγίζει τὸ τοῦ παιδίου μέτωπον, τὸ στόμα καὶ τὸ στῆθος. Послѣ первой молитвы, καὶ ἐμφυσᾷ εἰς τὸ πρόσωπον τοῦ νεοφωτίστου γ΄ καὶ εὔχεται· Ἐπὶ τῷ ὀνόματί σου.. Goar pag. 275. Во время великой ектеньи, молитва: Εὐχὴ τῶν διπλοκατηχουμένων· Ἐπίφανον, Δέσποτα, τὸ πρόσωπόν σου... p. 165, а далѣе слѣдуетъ ектенья: Εὔξασθε οἱ πρὸς τὸ φώτισμα... Ὁ εὔσπλαγχνος καὶ ἐλεήμων Θεός, ὁ ἐτάζων καρδίας καὶ νεφρούς... Goar p. 288. Καὶ ἐμφυσᾷ εἰς τὸ ὕδωρ γ΄, σφραγίζει αὐτὸ γ΄ τοῖς τρισὶ δακτύλοις Συντριβήτωσαν ὑπὸ τὴν σημείωσιν... Послѣ елеопомазанія, Εἶθ' οὕτως βαπτίζει αὐτὸν εἰς τὰς τρεῖς καταδύσεις, εἰς μὲν τὴν πρώτην λέγει· Βαπτίζεται ὁ δοῦλος τοῦ Θεοῦ, ὁ δεῖνα, εἰς τὸ ὄνομα τοῦ Πατρός, εἰς τὴν β΄· Καὶ τοῦ Υἱοῦ, εἰς τὴν γ΄· Καὶ τοῦ ἁγίου Πνεύματος. Καὶ εἰς πᾶσαν κατάδυσιν[1])

---

[1]) Въ той-же библіотекѣ имѣется евхологій № 483 XVI–XVII в. въ 16 долю листа, 257 листовъ, въ которомъ погруженіе крещаемаго описывается такъ: Καὶ μετὰ τοῦτο βαπτίζεται ὑπὸ ἱερέως, κρατῶν αὐτὸν χερσί, καὶ ὁρῶν αὐτοῦ τὸ πρόσωπον, λέγων οὕτως· Βαπτίζεται ὁ δοῦλος τοῦ Θεοῦ... Ὅταν δὲ εἴπῃ· Εἰς τὸ ὄνομα τοῦ Πατρός, καταδύει αὐτὸν ἕως γονάτων, Καὶ τοῦ Υἱοῦ ἕως στήθους, καὶ τοῦ ἁγίου Πνεύματος ὑπὲρ κεφαλῆς (л. 61).

ἐκχέων τὸ ὕδωρ ὁ ἱερεὺς εἰς κορυφὴν τοῦ νεοφωτίστου καὶ οὐκ ἄλλος τις, εἶτα ἐνθάπτει αὐτὸν κατ' ἀνατολὰς ἐν τῷ ὕδατι, λέγει· Νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Καὶ μετὰ τὸ Ἀμήν, ψάλλει τὸ Ἀλληλούϊα ἐκ γ'. Στίχος· Μακάριοι, ὧν ἀφέθησαν... Στίχος· Μακάριος ἀνήρ, ᾧ οὐ λογίσεται Κύριος ἁμαρτίαν... Στίχος· Προσέλθετε πρὸς αὐτὸν καὶ φωτίσθητε... Εἶτα λαμβάνει αὐτὸν ὁ ἀνάδοχος ἐκ τῆς ἁγίας κολυμβήθρας διὰ τῶν χειρῶν τοῦ ἱερέως ὑπτίαις χερσί, σαβάνου λευκοῦ πρότερον ἐφαπλωθέντος ἐν ταῖς χερσίν. Ὅταν δὲ λάβῃ αὐτὸν ὁ ἀνάδοχος ἐκ τῶν χειρῶν τοῦ ἱερέως, καὶ φωνεῖ ὁ ἱερεύς, λέγων· Εὐλογητὸς ὁ Θεός, ὁ φωτίζων πάντα ἄνθρωπον... Καὶ σφραγίζων αὐτοὺς ὁ ἱερεύς, εὔχεται· Εὐλογητὸς εἶ, ὁ Θεὸς ὁ παντοκράτωρ, ἡ πηγὴ τῶν ἀγαθῶν... Goar pag. 290. Εἶτα ἐνδύουσιν αὐτὸν στολὴν λευκήν, καὶ σφραγίζων αὐτόν, ὁ ἱερεὺς λέγει πρὸς αὐτόν· Λάβε στολὴν λαμπρὰν καὶ ἄμωμον, ἣν προσκομίσεις δίχα ῥύπου πρὸ τοῦ βήματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἕξεις ζωὴν αἰώνιον. Ζωννύουσιν αὐτὸν μετὰ πορφυροῦ ῥάμματος καὶ λέγει· Περίζωσαι τὴν ὀσφὺν ταύτην δύναμιν ἀληθείας εἰς ἀποτροπὴν πάσης αἰσχρᾶς καὶ πονηρᾶς πράξεως ὡς... Ἐπιδίδουσιν αὐτῷ καὶ κηρὸν ἁπτόμενον, λέγει· Λάβε τὴν λαμπάδα ταύτην καὶ τήρησον αὐτὴν ἄσβεστον, ἵνα, ὅταν ἔλθῃ ὁ Κύριος ἐν παρθενικῷ γάμῳ, δυνηθῇς αὐτῷ ὑπαντῆσαί σοι μετὰ τῶν φρονίμων παρθένων καὶ πάντων τῶν ἁγίων ἐν αὐλῇ οὐρανίᾳ καὶ ζωῇ αἰωνίᾳ. Καὶ μετὰ ταῦτα περιτίθουσιν αὐτῷ καὶ κουκούλιον, λέγει· Λάβε περικεφαλαίαν σωτηρίας εἰς προτύπωσιν τοῦ μεγάλου καὶ ἀγγελικοῦ σχήματος, καὶ κληρονομήσεις τὰ ἀποκείμενα ἀγαθὰ τοῖς ἠγαπηκόσι τὸν Κύριον καὶ ὁλοψύχως αὐτὸν ἐκζητήσασιν.

л. 142. Εὐχὴ εἰς τὸ κουκουλίσαι τὸν νεοφώτιστον. Ὁ λύτρωσιν ἁμαρτιῶν... Goar p. 303.

л. 142 об. Εὐχὴ εἰς τὸ τριχοκεῖραι τὴν νεοφωτίστου κεφαλήν.

л. 144. Чинъ омовенія крещаемаго въ 8 день.

л. 144 об. Ἀκολουθία τοῦ μεγάλου ἁγιασμοῦ.

л. 160 об. Ἀκολουθία εἰς ἀδελφοποίησιν.

л. 163 об. Ἀκολουθία τοῦ πλεῦσαι πλοῖον κατ' ἀρχὰς ἐν τῷ ὕδατι.

л. 167 об. Чинъ брака.

л.л. 174—273. Разныя статьи, къ евхологію не имѣющія отношенія.

CLV. № 120. Рукопись[1]) Аѳоно-Есфигменской библіотеки, въ 16 долю листа, 158 листовъ, писана почеркомъ 1602 года, какъ видно изъ слѣдующей приписки: Θεοῦ τὸ δῶρον καὶ Ῥαβουλᾶ πόνος ἔτους ἐν τῷ ‚ζρί (1602) μηνὶ Αὐγούστῳ, ἔνδον μονυδρίου τῆς Πέτρας, ἡγουμενεύοντος Δανιὴλ καὶ ἱερομονάχου (л. 155).

л. 1. Φιλοθέου, τοῦ ἁγιωτάτου πατριάρχου Κωνσταντινουπόλεως, διάταξις τῆς θείας καὶ ἱερᾶς λειτουργίας.

Μέλλων ὁ ἱερεὺς τὴν θείαν ἐπιτελέσαι μυσταγωγίαν... См. выше стр. 818. Τοῦ δὲ καιροῦ ἐπιστάντος, μετὰ τὸ ποιῆσαι μετάνοιαν τῷ προεστῶτι, εἰσέρχεται ἐν τῷ ναῷ ἔμπροσθεν τῶν ἁγίων θυρῶν, καὶ ποιήσας προσκυνήματα τρία, λέγει· Ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ, ποιεῖ εὐλογητὸν καὶ λέγει· Βασιλεῦ οὐράνιε, Τρισάγιον, Πάτερ ἡμῶν, καὶ τὰ τροπάρια ταῦτα· Ἐλέησον ἡμᾶς... Δόξα, Κύριε ἐλέησον ἡμᾶς, Καὶ νῦν, Τῆς εὐσπλαγχνίας, τὸ Κύριε ἐλέησον ιβʹ, εἶτα ἔρχεται ἐν τῇ εἰκόνι τῇ δεσποτικῇ, καὶ λέγει· Τὴν ἄχραντον εἰκόνα σου... Εὐσπλαγχνίας ὑπάρχουσα πηγή... Καὶ λέγει τοῦ ἁγίου τῆς μονῆς, ἤτοι ἡμέρας. Εἶτα ἀπέρχεται, ἐν ᾧ προΐστατο τόπῳ, καὶ κλίνας τὴν κεφαλὴν μεγάλην (?), λέγει τὴν παροῦσαν εὐχὴν μυστικῶς· Κύριε ὁ Θεός μου, ἐξαπόστειλον. . Goar p. 48. Καὶ ποιήσας σχῆμα προσκυνήσεως, εἰσέρχεται ἐν τῷ ἁγίῳ βήματι, εἰσερχόμενος λέγει· Ἐν ταῖς λαμπρότησι τῶν ἁγίων σου, πῶς εἰσελεύσομαι ὁ ἀνάξιος... Εἰσελεύσομαι εἰς τὸν οἶκόν σου, προσκυνήσω πρὸς ναὸν τὸν ἅγιόν σου... Εἶτα εὐτρεπίζει τὴν πρόθεσιν καὶ τὴν ἁγίαν τράπεζαν, καὶ λαβὼν στιχάριον, ἵσταται ἔμπροσθεν τῆς ἁγίας τραπέζης, καὶ ἀνακαλύψας τὸ ἱερὸν εὐαγγέλιον, ποιεῖ προσκυνήματα τρία, καὶ ἀσπάζεται αὐτὸ καὶ τὴν ἁγίαν τράπεζαν, καὶ λέγει ἡσύχως· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν. Εὐλόγησον, δέσποτα, καὶ τὸ στιχάριον. Καὶ ἀσπασάμενος, ἐνδύεται λέγων· Τοῦ Κυρίου δεηθῶμεν. Ἀγαλλιάσεται ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ... Goar. pag. 48. Ἐν δὲ τῷ ἐπιτραχηλίῳ λέγει· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, ὁ ἐκχέων τὴν χάριν... Goar p. 48. Ἐπὶ τὴν ᾦαν τοῦ ἐνδύματός σου. Εἰς τὴν ζώνην λέγει· Εὐλογητὸς ὁ Θεός, ὁ περιζωννύων με δύναμιν... См. выше стр. 819. Καὶ ἐπὶ τὰ ὑψηλὰ ἱστῶν με, διδάσκων χεῖράς μου εἰς πόλεμον καὶ ἔθου τόξον χαλκοῦν τοὺς βραχίονάς μου, πάντοτε, νῦν... Εἰς τὸ δεξιὸν ἐπιμανίκιον· Δεξιὰ Κυρίου ἐποίησε δύναμιν, ἡ δεξιά σου, Κύριε, ἔθραυσεν... Goar pag. 48. Εἰς τὸ ἀριστερὸν ἐπιμάνικον· Αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με, συνέτισόν με

[1]) На рукописи приписка рукою еписк. Порфирія Успенскаго: „Рукопись замѣчательная. Русскій, прочти ее“.

καὶ μαθήσομαι τάς... Εἰς τὸ φελώνι(ο)ν λέγει· Οἱ ἱερεῖς σου ἐνδύσονται... Goar pag. 49. Χρὴ γινώσκειν τὸν ἱερέα, ὅτι τὰ ἐνδύματα τῆς ἱερωσύνης πρῶτον εὐλογεῖ, εἶτα ἀσπάζεται, καὶ οὕτως ἐνδύεται. Εἰ δὲ ἔχει πολλίον, εἴτε ἐπιτραχήλιον, εἴτε φελώνιον, οὐκ εὐλογεῖ, ἀλλὰ μόνον ἀσπάζεται καὶ οὕτως ἐνδύεται, ἐνδυσάμενος δὲ πᾶσαν τὴν ἱερατικὴν στολήν, ἀπέρχεται ἐν τῷ χωνευτηρίῳ, νίπτων τὰς χεῖρας αὐτοῦ, καὶ λέγει οὕτως· Νίψομαι ἐν ἀθῴοις τὰς χεῖράς μου. Καὶ λέγει ἕως τέλους. Καὶ νιψάμενος, εὐτρεπίζει τὴν ἁγίαν πρόθεσιν, καὶ τίθησιν τὸ μὲν ποτήριον ἐκ δεξιῶν, τὸν δίσκον ἐξ ἀριστερῶν, καὶ λαβὼν προσφορὰν ἐπὶ χεῖρας, εἶτα καὶ τὴν λόγχην, θέτει αὐτὴν ἐπάνω τῆς προσφορᾶς, προσκυνεῖ γ', εὐχόμενος· Ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ καὶ ἐλέησόν με γ', καὶ λέγει· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε. Καὶ ποιεῖ σταυρὸν μετὰ τῆς ἁγίας λόγχης ἐπάνω τῆς προσφορᾶς ἐκ γ', λέγων· Τοῦ Κυρίου δεηθῶμεν. Εἰς ἀνάμνησιν τοῦ Κυρίου. См. выше стр. 819. Καὶ πήξας τὴν λόγχην ἐκ τοῦ πλαγίου, αἴρει τὸν ἄρτον ἄνωθεν, λέγων· Ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ· ὑπὲρ γὰρ τῶν ἀνομιῶν τοῦ λαοῦ αὐτὸς ἤχθη εἰς θάνατον, τὸ δὲ μνημόσυνον αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, πάντοτε... Εἶτα τίθησι τὸν ἅγιον ἄρτον ὕπτιον ἐν τῷ ἁγίῳ δίσκῳ καὶ χαράττει αὐτὸν σταυροειδῶς μετὰ τῆς ἁγίας λόγχης, λέγων· Θύεται ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς καὶ σωτηρίας. Εἶθ' οὕτως νύττει αὐτὸν ἐν τῇ δεξιᾷ μετὰ τῆς ἁγίας λόγχης, λέγων· Εἷς δὲ τῶν στρατιωτῶν λόγχῃ ἔνυξεν αὐτοῦ τὴν πλευράν. Καὶ εὐλογεῖ τὴν ἕνωσιν, λέγων· Εὐλογημένη ἡ ἁγία ἕνωσις αὕτη πάντοτε, νῦν... Καὶ λαβὼν τὸν οἶνον ἐν τῇ δεξιᾷ χειρί, τὸ δὲ ὕδωρ ἐν τῇ ἀριστερᾷ, βάλλει ἐξ ἀμφοτέρων ἐν τῷ ἁγίῳ ποτηρίῳ· Καὶ εὐθέως ἐξῆλθεν αἷμα καὶ ὕδωρ, καὶ ὁ ἑωρακὼς μεμαρτύρηκε, καὶ ἀληθινή ἐστιν ἡ μαρτυρία αὐτοῦ, πάντοτε... Ἐξηγόρασας ἡμᾶς ἐκ τῆς κατάρας τοῦ νόμου... Μετὰ δὲ τὴν ἕνωσιν λαμβάνει προσφορὰν καὶ τὴν λόγχην, ἐπεύχεται, λέγων· Εἰς τιμὴν καὶ μνήμην τῆς πανυπεράγνου Δεσποίνης ἡμῶν... Goar p. 50. Καὶ μνήσθητι τῆς ἡμῶν ἐλεεινότητος καὶ ἀθλιότητος, καὶ φώτισόν μου τὸν νοῦν τῷ φωτὶ τοῦ ἁγίου σου εὐαγγελίου, καὶ ἀντικατάπεμψον ἡμῖν τὴν χάριν τοῦ παναγίου σου Πνεύματος, διὰ τῶν παναγίων αὐτῆς πρεσβειῶν. Καὶ λαβὼν μερίδα τρίγωνον, τίθησιν ἐκ δεξιῶν τοῦ θείου καὶ ζωοποιοῦ ἄρτου, ἐν ᾧ ἐστὶ τὸ Ἰησοῦς, λέγων· Παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη, πεποικιλμένη. Καὶ λαβὼν ἑτέραν προσφοράν, λέγων· Δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ... См. выше стр. 820. Καὶ τίθησι μερίδα ἐξ ἀριστερῶν τοῦ τιμίου ἄρτου. Τοῦ τιμίου,

ἐνδόξου προφήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου Μερίδα. Καὶ τίθησι μερίδα ὑποκάτωθεν Ἀσωμάτων. Τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων Πέτρου καὶ Παύλου, τῶν δώδεκα καὶ ἑβδομήκοντα καὶ πάντων τῶν ἁγίων ἀποστόλων, Μερίδα. Τῶν ἁγίων ἐνδόξων προφητῶν Μωϋσέως καὶ Ἀαρών, Ἠλίου καὶ Ἐλισσαίου, τῶν ἁγίων τριῶν παίδων καὶ Δανιὴλ τοῦ προφήτου, Δαβὶδ καὶ Ἰεσσαί, Ἱερεμίου καὶ πάντων τῶν ἁγίων προφητῶν. Τῶν ἁγίων θεοστέπτων βασιλέων καὶ ἰσαποστόλων Κωνσταντίνου καὶ Ἑλένης καὶ τῶν λοιπῶν ἁγίων βασιλέων, Μερίδα. Τῶν ἐν ἁγίοις πατέρων ἡμῶν καὶ οἰκουμενικῶν μεγάλων διδασκάλων καὶ ἱεραρχῶν, Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου, Ἀθανασίου καὶ Κυρίλλου, Διονυσίου καὶ Ἱεροθέου, Ἰακώβου τοῦ ἀδελφοθέου, Νικολάου τοῦ θαυματουργοῦ, Ἀχιλλίου Λαρίσσης, Οἰκουμενίου Τρίκκης, καὶ πάντων τῶν ἁγίων ἱεραρχῶν. Τοῦ ἁγίου ἀποστόλου πρωτομάρτυρος καὶ ἀρχιδιακόνου Στεφάνου, Μερίδα. Τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων μαρτύρων, Γεωργίου, Δημητρίου, Προκοπίου, Ἀρτεμίου, Μερκουρίου, Εὐστρατίου καὶ τῶν σὺν αὐτῷ καὶ πάντων τῶν ἁγιομαρτύρων. Τῶν ἁγίων ἐνδόξων ὁμολογητῶν, Παύλου Κωνσταντινουπόλεως, Θεοδώρου τοῦ Στουδίτου, Μαξίμου, Γουρία, Σαμωνᾶ καὶ Ἀβίβου, Θεοδώρου καὶ Θεοφάνους τῶν αὐταδέλφων καὶ πάντων τῶν ἁγίων ὁμολογητῶν, Μερίδα. Τῶν ἁγίων καὶ θαυματουργῶν ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ, Κύρου καὶ Ἰωάννου, Παντελεήμονος καὶ Ἑρμολάου, Σαμψὼν καὶ Διομήδους, Τρύφωνος καὶ Θαλελαίου καὶ πάντων τῶν ἁγίων ἰατρῶν. Τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν, Παύλου τοῦ Θηβαίου, Ἀντωνίου τοῦ Μεγάλου, Ἀρσενίου, Εὐθυμίου, Σάββα τοῦ ἡγιασμένου καὶ Θεοδοσίου τοῦ Κοινοβιάρχου, Ὀνουφρίου, Παχωμίου καὶ Ἀθανασίου, Πέτρου τῶν ἐν τῷ Ἄθῳ καὶ πάντων τῶν ὁσίων, Μερίδα. Τῶν ἁγίων μαρτύρων γυναικῶν Θέκλης τῆς πρωτομάρτυρος, Αἰκατερίνας, Βαρβάρας, Ἀναστασίας, Ἰουλιανῆς, Παρασκευῆς, Χριστίνης, Μαρίνης, Κυριακῆς καὶ πασῶν τῶν ἁγίων μαρτύρων γυναικῶν. Τῶν ἁγίων καὶ ὁσίων γυναικῶν, Μαρίας τῆς Αἰγυπτίας, Θεοδώρας τῆς βασιλίσσης, Θεοδώρας τῆς ἐν Ἀλεξανδρείᾳ, Πελαγίας, Φωτεινῆς, Μάρθας καὶ πασῶν τῶν ἁγίων ὁσίων γυναικῶν, Μερίδα. Τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, Μερίδα. Τοῦ ἁγίου, ὁ δεῖνα, τῆς ἡμέρας, οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν καὶ πάντων σου τῶν ἁγίων. Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου, ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου. Ἐνταῦθα, εἰ τύχῃ τοῦ Μεγάλου Βασιλείου, λέγει τὸ ὄνομα αὐτοῦ καὶ πάντων τῶν ἁγίων. Καὶ λαβὼν ἑτέραν προσφοράν, λέγει οὕτως· Ὧν ταῖς πρε-

βείαις ἐπίσκεψαι ἡμᾶς, ὁ Θεός, καὶ δώρησαι ἡμῖν πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα καὶ ζωὴν τὴν αἰώνιον. Καὶ μνήσθητι τοῦ ὀρθοδόξου πληρώματος καὶ πάσης ἐπισκοπῆς ὀρθοδόξων καὶ παντὸς ἱερατικοῦ καὶ μοναχικοῦ τάγματος. Ἔπειτα πάλιν λέγει οὕτως· Τοῦ οἰκουμενικοῦ πατριάρχου, ὁ δεῖνα, ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν, ὁ δεῖνα, ἢ τοῦ ἐπισκόπου. Εἰ ἐν μοναστηρίῳ, λέγει οὕτως· Ὑπὲρ τοῦ πατρὸς ἡμῶν, ὁ δεῖνα, ἱερομονάχου, Μ ε ρ ί δ α. Τῶν ἀδελφῶν καὶ συλλειτουργῶν ἡμῶν, πρεσβυτέρων, διακόνων, ὑποδιακόνων καὶ πάντων τῶν ἀδελφῶν, οὓς προσεκαλέσω εἰς τὴν συνδιακονίαν διὰ τῆς σῆς εὐσπλαγχνίας, πανάγαθε Δέσποτα, Μ ε ρ ί δ α. Τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν ταῖς ἁγίαις σου ἐκκλησίαις καὶ μεμνημένων τῶν πενήτων, τῶν κατὰ σάρκα καὶ κατὰ πνεῦμα συγγενῶν, πατέρων καὶ ἀδελφῶν, φίλων καὶ γνωστῶν, τῶν ἐντειλαμένων ἡμῖν τοῖς ἀναξίοις εὔχεσθαι ὑπὲρ αὐτῶν, ὑπὲρ τῶν προσενεγκάντων, καὶ δι' οὓς προσήγαγον, ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν, τῶν ἐν ταῖς διακονίαις ὄντων, καὶ πάντων τῶν διακονούντων, διακονησάντων ἐν τῇ ἁγίᾳ μονῇ ταύτῃ. Μ ε ρ ί δ α. Ὑπὲρ πάσης πόλεως, χώρας, καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς, καὶ ὑπὲρ πάσης ψυχῆς χριστιανῶν ὀρθοδόξων. Ὑπὲρ τῶν προσενεγκάντων, ὁ δεῖνα, καὶ ὑπὲρ ὧν τὰ δῶρα προσήγαγον. Τοῦτο λέγεται, ἐὰν ἑορτάζῃ τινάς, ἢ ἔφερε λειτουργίαν, εἶτα λέγει καὶ οὓς ἔχει ζῶντας κατ' ὄνομα, καὶ ὧν βούλεται, καὶ λέγει οὕτως· Ἔτι δεόμεθα ὑπὲρ ἀφέσεως ἁμαρτιῶν τοῦ δούλου σου Ῥαβουλᾶ ἱερομονάχου· Καὶ συγχώρησον αὐτοῖς πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον. Καὶ λαβὼν ἑ τ έ ρ α ν π ρ ο σ φ ο ρ ά ν, λέγει· Ἔτι προσφέρομέν σοι τὴν θυσίαν ταύτην ὑπὲρ τῶν ἐν πίστει ἀναπαυσαμένων προπατόρων, πατέρων, πατριαρχῶν, προφητῶν, ἀποστόλων, κηρύκων, εὐαγγελιστῶν, μαρτύρων, ἱερομαρτύρων, ἐγκρατευτῶν, νηστευτῶν, ἱεραρχῶν, καὶ παντὸς τάγματος, ἐν πίστει τετελειωμένων, ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς, ὁ Θεός, καὶ πρόσδεξαι τὴν θυσίαν ταύτην εἰς τὸ ὑπερουράνιόν σου θυσιαστήριον. Καὶ μνήσθητι κἀμοῦ τοῦ ἁμαρτωλοῦ διὰ τὸ πλῆθος τοῦ ἐλέους σου. Καὶ λέγει τὸ ὄνομα αὐτοῦ. Μνήσθητι, Κύριε, τῶν ψυχῶν τῶν ἐν μακαρίᾳ τῇ λήξει γενομένων, εὐσεβεστάτων καὶ ἀοιδίμων βασιλέων, πατριαρχῶν, ἀρχιερέων, ἱερέων, διακόνων, ἀναγνωστῶν καὶ παντὸς μοναχικοῦ τάγματος. Ὑπὲρ ἀναπαύσεως τῶν ψυχῶν τῶν κτητόρων τῆς μονῆς ταύτης, καὶ πάντων τῶν προκοιμηθέντων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε κειμένων καὶ ἁπανταχοῦ ὀρθοδόξων. Καὶ μνημονεύει, ὅσα θέλει, κεκοιμημένων ὀνόματα ἅμα καὶ ζώντων κατ' ὄνομα. Καὶ λέγει οὕτως εἰς τὰ κεκοιμημένα· Καὶ ἔτι μνήσθητι πάντων, τῶν ἐπ' ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου καὶ τῇ σῇ κοινωνίᾳ κεκοιμημένων ὀρθοδόξων πατέρων καὶ

ἀδελφῶν, φιλάνθρωπε Κύριε, καὶ ἀνάπαυσον αὐτούς, ἔνθα οἱ δίκαιο ἀναπαύονται, καὶ κατάταξον αὐτοὺς ἐν ταῖς σκηναῖς τῶν ἐκλεκτῶν σου, ὅπου ἐπισκοπεῖ τὸ φῶς (τοῦ) προσώπου αὐτοῦ. Εἶτα τίθησι τὰς μερίδας ὑποκάτω τοῦ ἁγίου ἄρτου, καὶ λαβὼν τὴν μοῦσαν, συστέλλει καλῶς, ὥστε κεῖσθαι ἐν ἀσφαλείᾳ, καὶ μὴ ἐκπεσεῖν τι, ἔπειτα λαβὼν τὸ θυμιατὸν καὶ βαλὼν θυμίαμα, πρῶτον λέγει· Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ἐλέησον. Εἶτα τὴν εὐχὴν ταύτην· Θυμίαμά σοι προσφέρομεν, Χριστὲ ὁ Θεὸς ἡμῶν... Goar pag. 50. ἀντικατάπεμψον ἡμῖν τὴν χάριν τοῦ παναγίου σου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας. Καὶ θυμιάσας τὸν ἀστερίσκον, τίθησιν ἐπάνω τοῦ ἁγίου ἄρτου· Τῷ λόγῳ Κυρίου... См. выше стр. 821. οὗ ἦν τὸ παιδίον, πάντοτε. Καὶ θυμιάσας τὸ πρῶτον κάλυμμα, σκεπάζει τὸν ἅγιον ἄρτον σὺν τῷ ἁγίῳ δίσκῳ, λέγει· Τοῦ Κυρίου δεηθῶμεν. Ὁ Κύριος ἐβασίλευσεν.. Καὶ λέγει τοῦτον τὸν ψαλμὸν ἕως τέλους. Καὶ θυμιάσας τὸ δεύτερον κάλυμμα, σκεπάζει τὸ ἅγιον ποτήριον· Τοῦ Κυρίου δεηθῶμεν. Ἐκάλυψεν οὐρανούς... Goar p. 51. Καὶ θυμιάσας τὸν ἀέρα, σκεπάζει ἀμφότερα τὰ ἅγια, λέγων· Σκέπασον ἡμᾶς, ὁ Θεός... См. выше стр. 821. Κλίνει δὲ τὴν κεφαλὴν καὶ λέγει τὴν εὐχὴν ταύτην τῆς προθέσεως. Εὐχὴ τῆς προθέσεως· Τοῦ Κυρίου δεηθῶμεν. Ὁ Θεός, ὁ Θεὸς ἡμῶν, ὁ τὸν οὐράνιον ἄρτον, τὴν τροφήν... Goar pag. 51. Εἶτα Ἄξιόν ἐστιν, Ἐν ὀνόματι Κυρίου, εὐλόγησον πάτερ, Ὁ Θεὸς οἰκτειρῆσαι ἡμᾶς, Δόξα καὶ νῦν, καὶ ἐὰν τύχῃ κυριακή, λέγει· Ὁ ἀναστὰς ἐκ νεκρῶν, εἰ δὲ ἄλλη ἡμέρα· Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, εἶτα προσκυνεῖ γʹ, λέγων· Πρόσδεξαι Κύριος ὁ Θεὸς τὴν δέησιν ἡμῶν τῶν ἁμαρτωλῶν. Εἶτα λαμβάνει θυμίαμα, πρῶτον λέγει· Τοῦ Κυρίου δεηθῶμεν, εἶτα λέγει τὴν εὐχήν, θυμιᾷ τὰ ἅγια δῶρα σταυροειδῶς γʹ, λέγων· Εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν, ὁ οὕτως εὐδοκήσας, δόξα σοι. Καὶ μετὰ τὸ θυμιᾶσαι δῶρα, λέγει τὰ τροπάρια ταῦτα, εἰ δέ ἐστι κυριακή, τὸν Νʹ, τὸ Ἀνάστασιν Χριστοῦ θεασάμενοι, εἶτα τροπάρια ταῦτα· Ἐν τάφῳ σωματικῶς. Ὡς ζωηφόρος. Τὸ τοῦ ὑψίστου ἡγιασμένον, ἔπειτα τὸν Νʹ, καὶ θυμιᾷ (τὸ) ἱερατεῖον ὅλον, θυμιᾷ καὶ τὰς ἁγίας εἰκόνας, ἔπειτα ἵσταται ἔμπροσθεν τῆς ἁγίας τραπέζης, προσκυνεῖ ἐκ γʹ, καὶ λέγει μυστικῶς· Βασιλεῦ οὐράνιε, ὅλον, Δόξα ἐν ὑψίστοις Θεῷ, δίς, Κύριε τὰ χείλη μου ἀνοίξεις, ἅπαξ, καὶ ἀσπάζεται τὸ ἅγιον εὐαγγέλιον, καὶ τὴν ἁγίαν τράπεζαν, εἶτα ἐκφωνεῖ λαμπρᾷ τῇ φωνῇ τὸ Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ.

л. 20 об. Ἡ θεία λειτουργία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου. **На маломъ выходѣ.** Καὶ εἰ ἔστι ἀρχιερεὺς ἢ ἡγούμε-

νος, δίδει τὸ εὐαγγέλιον καὶ ἀσπάζεται, εἰ δὲ οὐκ ἔστιν, ἀσπάζεται αὐτὸς καὶ ὑψοῖ τὰς χεῖρας μικρόν, καὶ δεικνύων τὸ εὐαγγέλιον, ποιῶν σταυρόν, καὶ λέγει· Σοφία, ὀρθοί, καὶ προσκυνήσας, εἰσέρχεται ἐν τῷ ἁγίῳ βήματι καὶ ἀποτίθεται τὸ ἅγιον εὐαγγέλιον, λέγει μυστικῶς· Εὐλογητὸς ὁ Θεός, ὁ τρισαγίῳ φωνῇ ἀνυμνούμενος ὑπὸ τῶν χερουβὶμ καὶ ὑπὸ πάσης τῆς ἐπουρανίου δυνάμεως δοξολογούμενος πάντοτε... За отсутствіемъ одного листа въ рукописи, сугубая ектенья представлена здѣсь въ слѣдующихъ любопытныхъ замѣчаніяхъ: Καὶ μνημονεύει ἐνταῦθα, ὅσους βούλεται, ζῶντας καὶ κεκοιμημένους. Οἱ ἐν μοναστηρίῳ λέγουσι καὶ τοῦτο· Ἔτι δεόμεθα ὑπὲρ ἀφέσεως ἁμαρτιῶν τοῦ δούλου τοῦ Θεοῦ καὶ πατρὸς ἡμῶν, ὁ δεῖνα, ἱερομονάχου, καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος. Ἔτι δεόμεθα ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν, τῶν ἐν ταῖς διακονίαις ὄντων, καὶ πάντων τῶν διακονούντων καὶ διακονησάντων ἐν τῇ ἁγίᾳ μονῇ ταύτῃ. Οἱ ἐν τῷ κόσμῳ λέγουσι· Ἔτι δεόμεθα ὑπὲρ τῶν καρποφορούντων... Великій выходъ описывается такъ: Τοῦ δὲ χερουβικοῦ ψαλλομένου, λέγει καὶ αὐτὸς τὸ χερουβικὸν χύμα ἔμπροσθεν τῆς ἁγίας τραπέζης, ποιεῖ προσκυνήματα γ', εἶθ' οὕτως λαβὼν τὸ θυμιατὸν καὶ βαλὼν θυμίαμα, λέγει τὴν εὐχήν, καὶ θυμιάσας, λέγει καὶ τὸν Ν', ἕως τὸ Ἀγάθυνον, Κύριε... Εἶτα ἀπέρχεται ἐν τῇ προθέσει, λέγει τὸ Πιστεύω εἰς ἕνα Θεόν... Ἄνες, ἄφες... Πάτερ ἡμῶν, καὶ τροπάρια κατανυκτικά, καὶ μνημονεύει ζῶντας καὶ τεθνεῶτας, ὅσους βούλει, καὶ μετὰ τοῦτο ἀπέρχεται ἐν τῇ προθέσει, καὶ θυμιάσας εὔχεται· Ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ, καὶ ἐλέησόν με. Εἶτα λέγει τὸ παρὸν τροπάριον ἐκ γ'· Τὸν νυμφῶνά σου βλέπω, Σωτήρ μου, κεκοσμημένον... Καὶ προσκυνεῖ γ', εἶτα λαμβάνει τὸν ἀέρα, καὶ ἐπιτίθησι τῷ ἑαυτοῦ ὤμῳ, τὸ δὲ δισκάριον λαβών, ἐπιτίθησι τῇ κεφαλῇ, τὸ δὲ ποτήριον ἐν τῇ δεξιᾷ χειρί, καὶ οὕτως ἐξέρχεται καὶ ποιεῖ τὴν μεγάλην εἴσοδον, λέγοντος μυστικῶς· Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός. Εἰσελθὼν δὲ ἐν τῷ μέσῳ τοῦ ναοῦ, εὔχεται μεγαλοφώνως· Μνησθείη πάντων ἡμῶν Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ, πάντοτε.∴ Καὶ ὅταν ἔλθῃ εἰς τὰ ἅγια θυρίδια, λέγει ἡσύχως· Ἄρατε πύλας, οἱ ἄρχοντες. Εἶτα λέγει· Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, Θεός... Καὶ τίθησι τὸ ἅγιον ποτήριον ἐν τῇ ἁγίᾳ τραπέζῃ καὶ τὸ δισκάριον, λέγει· Ὁ εὐσχήμων Ἰωσήφ. Καὶ ἐὰν τύχῃ κυριακή, λέγει τὸ ὅλον, εἰ δὲ ἄλλη ἡμέρα, μόνον ἕως τοῦ Κηδεύσας ἀπέθετο. Αἴρει δὲ καὶ τὸ κάλυμμα ἀπὸ τοῦ δισκαρίου καὶ λέγει· Ὅτε κατῆλθες πρὸς τὸν θάνατον. Αἴρων δὲ καὶ ἀπὸ τὸ ποτήριον τὸ κάλυμμα, λέγων· Ταῖς μυροφόροις γυναιξί... Καὶ ἐὰν τύχῃ κυριακή, λέγων ὅλον, εἰ δὲ ἄλλη ἡμέρα,

ἕως τοῦ Χριστὸς δὲ διαφθορᾶς ἐδείχθη ἀλλότριος, τὸν δὲ ἀέρα θυμιάσας, σκεπάζει ἀμφότερα τὰ ἅγια, λέγων καὶ τὸ παρὸν τροπάριον· Ὡς ζωηφόρος, ὡς παραδείσου. Καὶ θυμιάσας τὰ ἅγια ἐκ γ', λέγων· Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών... λέγων καὶ τὸ Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους. Καὶ προσκυνήσας ἐκ γ', λέγων Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα, δόξα σοι ὁ Θεός, ἐκ γ'. Καὶ μετὰ συμπλήρωσιν τοῦ χερουβικοῦ, λέγων· Πληρώσωμεν τὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.. Goar pag. 59. Εὐχὴ μετὰ τὴν ἀπόθεσιν τῶν θείων δώρων· κλινόμενος ὁ ἱερεὺς εὔχεται· Τοῦ Κυρίου δεηθῶμεν. Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ μόνος ἅγιος... Goar pag. 59—60. Ὁ ἱερεὺς προσκυνεῖ γ', λέγων μυστικῶς· Ἀγαπήσω Σε, Κύριε, ἡ ἰσχύς μου, Κύριος στερέωμά μου καὶ καταφυγή μου καὶ ῥύστης μου. Καὶ αὖθις ἀσπάζεται τὰ ἅγια, ὅσα κεκαλυμμένα, πρῶτα ἐπάνω τοῦ ἁγίου δίσκου, λέγει· Ἅγιος ὁ Θεός, εἶτα ἐπάνω τοῦ ἁγίου ποτηρίου· Ἅγιος ἰσχυρός, εἶτα τὴν ἁγίαν τράπεζαν· Ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς. Εἶτα ἐκφωνεῖ· Τὰς θύρας, τὰς θύρας. Εἶτα ὁ ἱερεὺς λαμβάνει τὸν ἀέρα ἀπὸ τῶν ἁγίων, κρατῶν ἀνασείει τὸν ἀέρα ἐπάνω τῶν ἁγίων δώρων, λέγων καὶ αὐτὸς τὸ Πιστεύω. Εἰς τὸ τέλος ἐξῆς ὑψῶν τὸν ἀέρα, καὶ λέγει· Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς, καὶ ἀσπασάμενος τὸν ἀέρα, μετατίθησιν Τοῦ δὲ Πιστεύω εἰς ἕνα Θεὸν πληρουμένου ὑπὸ τοῦ λαοῦ, ὁ ἱερεὺς ἐκφωνεῖ, λέγων· Στῶμεν καλῶς, στῶμεν μετὰ φόβου... По освященіи Даровъ: Καὶ λαβὼν τὸ θυμίαμα, θυμιᾷ τὰ ἅγια, λέγων· Θεοτόκε παρθένε, χαῖρε, κεχαριτωμένη... Ἄξιόν ἐστιν... Ἐπὶ σοὶ χαίρει, κεχαριτωμένη... Τὴν πᾶσαν ἐλπίδα μου... Ἐκφώνησις· Ἐξαιρέτως τῆς παναγίας ἀχράντου... Ἐνταῦθα μνημονεύονται τὰ δίπτυχα τῶν κεκοιμημένων, ὁ δὲ ἱερεὺς εὔχεται· Τοῦ Κυρίου δεηθῶμεν. Τοῦ ἁγίου Ἰωάννου τοῦ προφήτου, προδρόμου καὶ βαπτιστοῦ. Goar p. 63. Καὶ μνήσθητι πάντων τῶν κεκοιμημένων ἐπ' ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου. Ἐνταῦθα μνημονεύει, ὅσους βούλεται. Καὶ ἀνάπαυσον αὐτούς, ὅπου ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου... Ibidem. Ἐκφώνησις· Ἐν πρώτοις μνήσθητι, Κύριε... Ἐνταῦθα μνημονεύονται τὰ δίπτυχα τῶν ζώντων. Ὁ ἱερεὺς κλινόμενος ἐπεύχεται· Μνήσθητι, Κύριε, τῆς μονῆς, ἐν ᾗ παροικοῦμεν, καὶ πάσης πόλεως καὶ χώρας καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς. Μνήσθητι, Κύριε, κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου καὶ τῆς ἐμῆς ἀναξιότητος.. См. выше стр. 824. Μνήσθητι, Κύριε, πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καὶ τῆς σωτηρίας αὐτῶν. Ἐνταῦθα μνημονεύει ζώντων. Μνήσθητι, Κύριε, τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν ταῖς ἁγίαις σου ἐκκλησίαις, καὶ μεμνημένων τῶν πενήτων,

καὶ ἐπὶ πάντας ἡμᾶς τὰ ἐλέη σου ἐξαπόστειλον. Ἐκφώνησις· Καὶ δὸς ἡμῖν ἐν ἑνὶ στόματι... Послѣ молитвы: „Πρόσχες, Κύριε". Goar p. 65. Ἀνιστάμενος προσκυνεῖ τρὶς ἔμπροσθεν τῆς ἁγίας τραπέζης, λέγει· Ὑψώσω σε, ὁ Θεός μου, ὁ βασιλεύς μου, καὶ εὐλογήσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Καὶ ἀψάμενος τοῦ ἁγίου ἄρτου, ὑψοῖ τὸν ἅγιον ἄρτον σταυροειδῶς, καὶ λέγει· Πρόσχωμεν. Τὰ ἅγια τοῖς ἁγίοις. Εἶθ' οὕτως μερίσας τὸν ἄρτον εἰς μερίδας τέσσαρας, τίθησιν αὐτὰς ἐν τῷ ἁγίῳ δίσκῳ σταυροειδῶς, λέγει ἐν τῷ μερίζειν· Μελίζεται καὶ διαμερίζεται... Καὶ λαβὼν τὴν ἄνω μερίδα, ποιεῖ μετ' αὐτῆς σταυρὸν ἐπάνω τοῦ ἁγίου ποτηρίου, λέγων· Πλήρωμα Πνεύματος ἁγίου. Ἀμήν. Καὶ εὐλογεῖ τὴν ζέσιν, καὶ λέγει· Εὐλογημένη ἡ ζέσις τῶν ἁγίων σου, Κύριε, πάντοτε. Καὶ ἐκχέει εἰς τὸ ἱερὸν ποτήριον· Ζέσις πίστεως Πνεύματος ἁγίου. Ἀμήν. Καὶ λέγει τὸ τροπάριον· Λουτρὸν τὸ θεῖον τῆς παλιγγενεσίας... λόγῳ κερανοὺς συντεθειμένῃ φύσει, ὀμβροβλυτεῖς μοι ῥεῖθρον ἐξ ἀκηράτου, νενυγμένης σου πλευρᾶς, ὦ Θεοῦ Λόγε, ἐπισφραγίζων τῇ ζέσει τῆς πίστεως. Καὶ προσκυνήσας γ', λέγει γ'· Ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ. Ἔπειτα λαμβάνει τὴν μερίδα, λέγει· Τὸ τίμιον καὶ πανάγιον σῶμα τοῦ μεγάλου Θεοῦ.. См. выше стр. 825. Καὶ λαμβάνει τὴν κάτω κειμένην μερίδα τοῦ ἁγίου ἄρτου μετὰ τῆς δεξιᾶς χειρός, καὶ λαβὼν ἐντὸς τῆς παλάμης, ἀσπασάμενος, κλίνει τὴν κεφαλὴν ἔμπροσθεν τῆς ἁγίας τραπέζης, εὐχόμενος καὶ λέγει· Τοῦ δείπνου σου τοῦ μυστικοῦ ἐκ γ'. Πιστεύω καὶ ὁμολογῶ. См. выше стр. 825. Καὶ λαμβάνει ἐκ γ', καὶ ποιεῖ ἑαυτοῦ σταυρόν, ἔπειτα λέγει ἅπαξ· Ἔτι πιστεύω, ὅτι τοῦτο αὐτό ἐστι τὸ ἄχραντον σῶμά σου... Ἰδοὺ βαδίζω πρὸς θείαν κοινωνίαν, Πλαστουργέ, μὴ φλέξῃς με τῇ μετουσίᾳ· πῦρ γὰρ ὑπάρχεις, τοὺς ἀναξίους φλέγων, ἀλλ' οὖν κάθαρον ἐκ πάσης με κηλίδος. Μή μοι, Δέσποτα φιλάνθρωπε, εἰς κρῖμα ἢ εἰς κατάκριμα... Καὶ μεταλαμβάνει τὴν ἐν χερσὶ μερίδα μετὰ φόβου. Εἶτα λαμβάνει ταῖς δύο χερσὶ μετὰ καλύμματος τὸ ἅγιον ποτήριον καὶ μεταλαμβάνει γ' ἐξ αὐτοῦ, λέγει· Τὸ τίμιον καὶ πανάγιον καὶ ζωηρὸν αἷμα... См. выше стр. 825. Εἶτα ἀποσπογγίσας τά τε ἴδια χείλη καὶ τοῦ ἱεροῦ ποτηρίου, λέγει· Ἰδοὺ ἥψατο τῶν χειλέων μου... Ἔθελξας πόθῳ με, Χριστέ, καὶ ἠλλοίωσας τῷ θείῳ σου ἔρωτι... Καὶ μετὰ τοῦτο λαβὼν τὸν ἅγιον δίσκον καὶ τὴν λεγομένην μοῦσαν, εἰσκομίζει ἅπαντα ἐν τῷ ποτηρίῳ μετὰ φόβου, καὶ μετὰ τοῦτο προσκυνεῖ γ', καὶ εὐχαριστεῖ τῷ Θεῷ, κλινόμενος; λέγει τὴν εὐχὴν τῆς εὐχαριστίας· Εὐχαριστοῦμέν σοι, Δέσποτα φιλάνθρωπε, εὐεργέτα τῶν ψυχῶν ἡμῶν... Goar. pag. 67. По окончаніи литургіи: Καὶ ἐλθὼν ἐν τῇ προθέσει, συστέλλει τὰ ἐναπολειφθέντα ἅγια, ἀποπλύ-

νων τρὶς τὸ ἅγιον ποτήριον, τῷ οἴνῳ δίς, καὶ τῷ ὕδατι ἅπαξ, ταῦτα συστείλας καὶ διαθεὶς καλῶς, ἀπονίπτεται, λέγων· Νῦν ἀπολύεις, Τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν, Ὅτι σοῦ ἐστιν. Καὶ λέγει, εἴ ἐστι κυριακή, τροπάριον ἀναστάσιμον, καὶ τὴν ὑπακοήν, εἰ δὲ ἄλλη ἡμέρα, τοῦ ἁγίου τροπάριον, ἔπειτα τοῦ Χρυσοστόμου· Ἡ τοῦ στόματός σου, καὶ κοντάκιον· Ἐκ τῶν οὐρανῶν ἐδέξω τὴν θείαν χάριν, Δόξα, Ὁ Θεὸς τῶν πατέρων ἡμῶν.. Τῇ πρεσβείᾳ, Κύριε, πάντων τῶν ἁγίων... Κύριε ἐλέησον ιβ', Τὴν τιμιωτέραν, Δόξα καὶ νῦν, Κύριε ἐλέησον γ', καὶ ποιεῖ ἀπόλυσιν· Ὁ Θεὸς διὰ πρεσβειῶν τῆς παναχράντου σου Μητρὸς καὶ πάντων σου τῶν ἁγίων, ἐλέησον ἡμᾶς. Ἀμήν. Καὶ ἀποδύεται πᾶσαν τὴν ἱερατικὴν στολήν, εἶτα προσκυνήσας καὶ εὐχαριστήσας τῷ Θεῷ, λέγει· Ὁ πανταχοῦ παρὼν καὶ τὰ πάντα πληρῶν, Θεὸς ἡμῶν, δόξα σοι. Καὶ οὕτως ἐξέρχεται καὶ ἐνδύεται τὸ ἱερατικὸν ἱμάτιον, προσκυνεῖ γ' ἔμπροσθεν τῆς εἰκόνος Χριστοῦ, λέγει· Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι. Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καὶ στραφεὶς πρὸς τὸν λαόν, εὐλογῶν αὐτόν, λέγει· Φυλάξοι Κύριος ὁ Θεὸς πάντας ἡμᾶς τῇ αὐτοῦ χάριτι καὶ φιλανθρωπίᾳ, πάντοτε καὶ νῦν καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

л. 70. Ἡ θεία λειτουργία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου τοῦ Μεγάλου.

Достойно замѣчанія въ этомъ чинѣ описаніе приготовленія св. Агнцевъ для преждеосвященной литургіи: Καὶ λαβὼν ὁ ἱερεὺς ἐκ τοῦ ἄρτου μερίδα, βάλλει εἰς τὸ ἅγιον ποτήριον, λέγων· Πλήρωμα Πνεύματος ἁγίου. Ἀμήν. Ὅτε προαγιάζει, μέλλει ὑψῶσαι, ὑψοῖ ὁμοῦ, καὶ μελίζει τὸν προσκομιζόμενον πρῶτον ἄρτον, καὶ τίθησι μερίδα ἐν τῷ ἁγίῳ ποτηρίῳ, καὶ ἐκχέει τὸ ζέον. Εἶτα λαβὼν τὴν ἁγίαν λαβίδα μετὰ τῆς δεξιᾶς χειρός, βάπτει αὐτὴν ἐν τῷ ἁγίῳ αἵματι, τῇ δὲ ἀριστερᾷ λαμβάνει ἕνα ἕκαστον ἄρτον καὶ εἰσφέρει τὴν ἁγίαν λαβίδα, μετὰ τοῦ ἁγίου αἵματος βεβαμμένην, καὶ ἐγγίζει αὐτὴν ἐν τῷ ἁγίῳ ἄρτῳ σταυροειδῶς, καὶ λέγει· Ἑνοῦται τὸ τίμιον καὶ πανάγιον καὶ ζωοποιὸν αἷμα τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τῷ τιμίῳ αὐτοῦ σώματι. Ἀμήν. Καὶ ἀποτίθησι τὸν ἄρτον ἐν τῷ ἀρτοφορίῳ. Εἶτα λαμβάνει καὶ τοὺς ἑτέρους καὶ ποιεῖ ὡσαύτως εἰς ἕνα ἕκαστον, καὶ συστέλλει αὐτοὺς πάντας ἐν τῷ ἀρτοφορίῳ.

л. 125. Ἡ θεία λειτουργία τῶν προηγιασμένων.

О начальномъ возгласѣ этой литургіи замѣчается: Καὶ μετὰ τὸ ἀνάψαι τὰς κανδήλας καὶ σημᾶναι, στέκουν ἔμπροσθεν τῆς ἁγίας τραπέζης, ποιοῦσι μετανοίας γ', καὶ ἀσπασάμενοι, ὡς εἴπαμεν, ἐξέρ-

χεται ὁ διάκονος ἔξω, καὶ στὰς λέγει· Εὐλόγησον, δέσποτα. Ὁ ἱερεύς· Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρός, ἄλλοι δὲ λέγουσιν οὕτως· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε... Великій выходъ описывается такъ: Εὐχὴ χερουβικοῦ οὐ λέγεται. Ὁ λαὸς ψάλλει τὸ Νῦν αἱ δυνάμεις, ὁ δὲ ἱερεὺς λέγει καὶ αὐτὸς τὸ Νῦν αἱ δυνάμεις χύμα, καὶ προσκυνεῖ, εἶτα λαβὼν θυμιατόν, καὶ θυμιᾷ τὴν ἁγίαν τράπεζαν γύρωθεν, λέγει καὶ τὸν Ν', καὶ ἀνοίξας τὴν πύλην, θυμιᾷ τὰς ἁγίας εἰκόνας. Καὶ οὕτως ἐξέρχεται ἐν τῇ ἁγίᾳ προθέσει, καὶ θυμιάσας τὰ ἅγια, προσκυνεῖ γ', λέγων· Ὡς ὁ ἄσωτος υἱὸς ἦλθον κἀγώ, οἰκτίρμων. Εἶτα λαβὼν τὸν ἀέρα καὶ θυμιάσας, τίθησιν ἐν τῷ ὤμῳ αὐτοῦ, καὶ τὸ δισκάριον ἐν τῇ κεφαλῇ, τὸ δὲ ποτήριον ἐν τῇ δεξιᾷ χειρί, καὶ οὕτως ἐξέρχεται, καὶ ποιεῖ τὴν μεγάλην εἴσοδον, λέγει μυστικῶς· Ἅγιος ὁ Θεός. Οὐ λέγει δὲ τὸ Μνησθείη πάντων ὑμῶν μεγαλοφώνως, ἀλλὰ σιωπηρῶς καὶ μυστικῶς λέγει· Μνησθείη πάντων ὑμῶν Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε, καθὼς ἐστι θυσία μυστική. Καὶ εἰσέρχεται ἐντὸς τοῦ βήματος ὁ ἱερεύς, τίθησι τὸ ἅγιον ποτήριον ἐν τῇ τραπέζῃ καὶ τὸ δισκάριον ὁμοίως, εἶτα αἴρει τὰ καλύμματα ἐκ τῶν ἁγίων, καὶ λαβὼν τὸν ἀέρα καὶ θυμιάσας, σκεπάζει τὰ ἅγια. Καὶ λαβὼν τὸ θυμιατόν, θυμιᾷ τὰ ἅγια, εἶτα ποιεῖ μετανοίας γ'. Μετὰ τὸ τελειωθῆναι τὸ Νῦν αἱ δυνάμεις, ἐξέρχεται ὁ διάκονος, ἢ ὁ ἱερεὺς καὶ λέγει ταῦτα· Πληρώσωμεν πάντες τὴν ἑσπερινήν... κ. τ. λ.

л. 155 об. Τῇ κυριακῇ ἑσπέρας καὶ τὸν ὄρθρον, ὅταν ποιῇ ἀπόλυσιν, οὕτως ποιεῖ. Недѣльные отпусты.

л. 157 об. Ἐν τῷ ὄρθρῳ εἰς τὴν πρώτην στιχολογίαν, μικρὰ συναπτή.

CLVI. № 523. Εὐχολόγιον, рукопись Аѳоно-Діонисіатской библіотеки, въ 16 долю листа, 389 листовъ, писана мелкою скорописью 1613 года, какъ гласитъ слѣдующая приписка: Ἔλαβε τέρμα τὸ παρὸν εὐχολόγιον διὰ χειρὸς ὑπ' ἐμοῦ Ἰακώβου, ἱερομονάχου ἐλαχίστου, ἐγράφη δὲ ἐπὶ ἔτους ͵ζρκά ἰνδ. ι', κατὰ μῆνα ὀκτώβριον, ἡγουμένου ὄντος μου αὐτῷ ἔτει. Ὁ γοῦν βουληθεὶς ἀποσταλεῖσαι ἐξ ἐμοῦ καὶ ἐκ τῆς καθ' ἡμᾶς θείας καὶ ἱερᾶς μονῆς (наверху Διονυσίου), στερηθείη τῆς τῶν οὐρανῶν βασιλείας καὶ μετὰ τοῦ δυστήνου Ἰούδα τὸ αἰώνιον πῦρ κληρονομήσοι καὶ τὰς ἀρὰς τῶν τιη' θεοφόρων πατέρων τῶν ἐν Νικαίᾳ (л. 384 об.).

л. 1. Оглавленіе рукописи.

л. 4. Ἀκολουθία τοῦ μικροῦ ἁγιασμοῦ.

л. 10. Μετὰ δὲ τὴν τελείωσιν τοῦ ἁγιασμοῦ ἀρχόμεθα τὰς παρούσας εὐχὰς τοῦ ἁγίου Τρύφωνος. Μετὰ δὲ τῆς ἀποῤῥαντίσεως ἀναγινώσκεται ἡ εὐχὴ τοῦ ἁγίου Τρύφωνος εἰς ἐπήκοον πάντων· Ἐν ὀνόματι τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος ἐμοῦ τοῦ δούλου τοῦ Θεοῦ Τρύφωνος, ἀνδριζομένου καὶ ἀγαλλιωμένου ἐν τῷ περιάγειν με ἐν κώμῃ τῇ Λαμψάκῳ, ἐν τῇ ἐπαρχίᾳ τῆς Φρυγίας, λιμοῦ ἐπικρατοῦντος ἐν τῇ χώρᾳ, προσηυξάμην εἰς τὸν Κύριόν μου Ἰησοῦν Χριστόν, καὶ κατῆλθον ἑπτὰ ἄγγελοι ἐκ τῶν οὐρανῶν πατάξαι, δεσμεῦσαι, ἐξορίσαι πάντα τὰ θηρία τῆς γῆς, τὰ πονηρά, τὰ ἀδικοῦντα χωράφια, ἀμπελῶνας, κήπους καὶ τὰ δένδρα, καὶ τοὺς μελισσῶνας, καὶ εὐξάμενός εἶπον· ἐπικαλοῦμαί σε, Θεὲ παντοκράτορ, προσκυνητέ, καὶ Κύριε Ἰησοῦ Χριστὲ καὶ ἅγιον Πνεῦμα, μία θεότης, μία βασιλεία, μία ἐξουσία καὶ μία δύναμις, ἀχώριστε Τριάς, ἡ τὸ πᾶν οὐσιώσασα, καὶ τοῖς ἀφίκτοις κρίμασι διανέμουσα τῇ ἀνθρωπότητι πᾶν ἀγαθόν, διό, Τριὰς ἁγία θεότης ἐπάκουσον τῆς δεήσεώς μου τοῦ ἀχρείου δούλου σου, καὶ κατάπεμψον τὴν παρὰ σοῦ βοήθειαν, καὶ ἀποδίωξον τῇ ἀοράτῳ σου δυνάμει, δι' ἐπιστασίας ἁγίων ἀγγέλων σου, τὰ ἐπελθόντα ἡμῖν κακὰ διὰ πλῆθος ἁμαρτιῶν, καὶ διάσωσον τὰ χωράφια ταῦτα καὶ τοὺς ἀμπελῶνας, τοὺς κήπους, τὰ δένδρα, καὶ τὰς μελίσσας ἐκ τῶν ἰοβόλων θηρίων, τῶν τυρανούντων τοὺς καρποὺς αὐτῶν, ὧν καὶ τὰ ὀνόματά εἰσι ταῦτα· ἀκρίς, κάμπη, σκωλυκοκάμπη, σκώλυξ γῆς, ἐρυσίβη, μαριής, βροῦχος, καλήγαλη, μακρόπους, ἧρα, φυλλόκουρος, καυλοκάπος (sic), ῥιζιώτης, κεφαλιώτης, ἧπα, ἐπίμαλος, πάππας, σιδηροτράχηλος, ποντικός, κουρευτῖνος, κοχλιός, βοσπορινός, ἠδηρικός, ζαυχιπός, γοτθικός, μακρομήτης, κόνος, κόνων, ἐμφυλιστής, μιξίος, βλαστοκόπος, κικιών, φθεῖρα, ἀμιγδαλώρα, ῥιζοκόπος, κύδαλος, σιρός, τιθός, φυλλίτης, ῥυγίτης, μῶρος, μύρμηξ, ἀσπάλαξ, ἐνδειξής, πτώξ, ἀλώπηξ, αὐριόχηρος (sic), δράκων, κύων, κονοῦ, τὸ μιαρὸν μαρουνίδιον, ψαλίκουρος, καὶ πάντα τὰ ἀναβαίνοντα ἐπὶ τὴν ἄμπελον, ἐπὶ τὸ χωράφιον, ἐπὶ τὸν κῆπον, ἐπὶ τὰ δένδρα, καὶ τὰς μελίσσας τῶν δούλων σου τούτων, ὅπως δοξάζηται καὶ ἐν αὐτοῖς καὶ παρὰ πᾶσι τὸ πανάγιον ὄνομά σου εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Ἐξορκίζω ὑμᾶς πάντα τὰ θηρία τῆς γῆς, τὰ ὀνομασθέντα ἐν τῷδε τῷ τόπῳ, καὶ τὰ ἀνώνυμα, εἰς τὰ ἑξαπτέρυγα σεραφίμ, καὶ τὰ πολυόμματα χερουβίμ, τὰ παρεστῶτα ἐνώπιον τοῦ Θεοῦ ἐν ὑψίστοις καὶ λέγοντα· ἅγιος, ἅγιος, ἅγιος Κύριος Σαβαώθ, πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης σου. Ἐξορκίζω ὑμᾶς εἰς τὸ ὄνομα τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τῶν χιλίων χιλιάδων, καὶ μυρίων μυριάδων ἀγγέλων. Ὁρκίζω ὑμᾶς εἰς τὴν ὑπεραγίαν Θεοτόκον, εἰς τὸν τίμιον σταυρόν, εἰς τὸν

ἅγιον Ἰωάννην [1]) τὸν Πρόδρομον, τοὺς ἁγίους προφήτας καὶ ἀποστόλους, καὶ μάρτυρας, καὶ ὁσίους, καὶ ἀσκητάς, καὶ δικαίους, καὶ εἰς πάντα ἅγιον καὶ ἁγίαν τοῦ Δεσπότου Χριστοῦ, ἵνα ἐξέλθητε, καὶ ἀναχωρίσητε ἀπὸ τοῦδε τοῦ δούλου τοῦ Θεοῦ τοῦ ἀμπελῶνος, τῆς ἀρούρας, τοῦ κήπου καὶ τῶν δένδρων, καὶ μελισσῶν· εἰσήκουσε γὰρ ὁ Κύριος τῆς δεήσεώς μου, φωνὴ γὰρ ἐκ τοῦ οὐρανοῦ ἦλθέ μοι, λέγουσα, ὅτι ὅπου ἂν ἀναγνωσθῇ αὕτη ἡ εὐχὴ καὶ λαληθῇ αὐτῇ τῇ ὥρᾳ, ἀποστελῶ τὸν ἄγγελόν μου, τὸν ἔχοντα ἐξουσίαν κατὰ τῶν ἑρπετῶν καὶ τῶν θηρίων πάντων, καὶ ἐξώσῃ καὶ φυγαδεύσῃ αὐτὰ εἰς ἀγρίους, καὶ ἐρήμους, καὶ ἀβάτους τόπους, ὅπου οὐδεὶς τῶν ἀνθρώπων διώδευσε, πάντοτε. Сн. выше стр. 119—121. Δέησις πρὸς Μάρτυρα· Ἡμεῖς δὲ οἱ ἀνάξιοι δοῦλοί σου, ἅγιε τοῦ Θεοῦ Τρύφων, δεόμεθά σου, ἐπάκουσον καὶ ἡμῶν ἐν τῇ ὥρᾳ ταύτῃ, καὶ ἀποδίωξον ἀφ' ἡμῶν πάντα τὰ ἑρπετά, καὶ τὰ θηρία, τῇ μαρτυρικῇ σου παῤῥησίᾳ ἀπὸ τὰς ἀμπέλους ἡμῶν ταύτας, ἀπὸ τὰς ἀρούρας, ἀπὸ τοὺς κήπους, ἀπὸ τὰ δένδρα, καὶ ἀπὸ τὰς μελίσσας, ὅπως ὑμνῶμεν σὺν σοὶ καὶ δοξάζωμεν τὸν Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα, τὴν μίαν θεότητα, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Εἶτα τὸ εὐαγγέλιον τὸ κατὰ Λουκᾶν· Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· ἰδοὺ δίδωμι ὑμῖν τὴν ἐξουσίαν τοῦ πατεῖν... Τέλος· Ναὶ ὁ Πατήρ, ὅτι οὕτως ἐγένετο εὐδοκία ἔμπροσθέν Σου.

л. 12 об. Εὐχαὶ διάφοροι.

л. 28. Ἡ θεία λειτουργία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν τοῦ Χρυσοστόμου.

л. 43. Εὐχὴ τῶν κολλύβων.

л. 43 об. Εὐχὴ τῶν σταφυλῶν.

л. 44. Ἀκολουθία τοῦ μεγάλου ἁγιασμοῦ.

л. 53. Ἀποστολοευαγγέλια τῆς ἑβδομάδος.

л. 60 об. Εὐαγγέλια ἑωθινὰ ἀναστάσιμα τὰ ια'.

л. 70 об. Ἀποστολοευαγγέλια на цѣлый годъ.

л. 103 об. Ἀκολουθία τῇ κυριακῇ τῆς Πεντηκοστῆς.

л. 113 об. Ἀκολουθία τοῦ ἐξοδιαστοῦ.

л. 139. Ἀκολουθία εἰς ἀρχάριον ῥασοφοροῦντα.

л. 140. Ἀκολουθία εἰς κουρὰν μανδυώτου.

л. 149. Ἀκολουθία τοῦ μεγάλου καὶ ἀγγελικοῦ σχήματος.

л. 172 об. Ἀκολουθία τοῦ ἀποκουκουλίσματος.

л. 174. Ἀκολουθία τοῦ ἁγίου εὐχελαίου.

---

[1]) τὸν τίμιον Πρόδρομον.

л. 202. Заклинательныя молитвы свв. Василія Великаго и Іоанна Златоуста.

л. 211. Ἀκολουθία εἰς παράκλησιν ἀσθενῶν, χειμαζομένων ὑπὸ πνευμάτων ἀκαθάρτων καὶ ἐπηρεαζόντων.

л. 215. Εὐχὴ εἰς τὸ ποιῆσαι κατηχούμενον.

л. 220 об. Ἀκολουθία τοῦ ἁγίου βαπτίσματος.

л. 230 об. Ἀκολουθία εἰς κοσμικοὺς τεθνεῶτας.

л. 237. Κανὼν νεκρώσιμος εἰς μνημόσυνον μοναχοῦ.

л. 241. Ἕτερος κανὼν εἰς λαϊκὸν ἕνα.

л. 245. Ἀκολουθία εἰς ψυχὴν κρινομένην съ молитвою св. Нифонта.

л. 255. Αἱ παρακλήσεις τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας. 2 канона.

л. 264 об. Κανὼν παρακλητικὸς εἰς τὸν τίμιον Πρόδρομον. 2 канона.

л. 273. Ἑρμηνεία περὶ τῆς ὑψώσεως τῆς Παναγίας.

л. 275 об. Τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Θεοδώρου τοῦ Στουδίτου προοίμιον εἰς τὸν κατηχητικὸν λόγον τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου, ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου, τῇ ἁγίᾳ καὶ μεγάλῃ Λαμπρᾷ, Κυριακῇ τῆς ἁγίας καὶ ἐνδόξου Χριστοῦ τοῦ Θεοῦ ἀναστάσεως.

Τί τοῦτο, πατέρες φιλέορτοι καὶ φιλόχριστοι, τίς ἡ τοσαύτη λαμπροφορία...

л. 278. Νομοκάνων σὺν Θεῷ ἁγίῳ.

Ὁ δεχόμενος τοὺς λογισμοὺς τῶν ἀνθρώπων ὀφείλει εἶναι τύπος ἀγαθὸς τῶν πάντων.

л. 288. Νομοκάνονον, ἔχον κανόνας κατ' ἐπιτομὴν τῶν ἁγίων ἀποστόλων, τοῦ μεγάλου Βασιλείου καὶ τῶν συνόδων. 229 главъ.

л. 321. Κεφάλαια διάφορα, ἐκλογὴ ἐξ ἑτέρου Νομοκάνονος, καὶ αἱ ἐρωταποκρίσεις αἱ πλεῖσται τοῦ ἁγιωτάτου πατριάρχου Ἀλεξανδρείας κυροῦ Μάρκου.

л. 353. Ὁμολογία πνευματικοῦ πατρὸς εἰς τὸν μέλλοντα ἱερωθῆναι.

л. 354. Ἐκ τῶν περὶ ἱερωσύνης λόγων τοῦ Χρυσοστόμου.

л. 355 об. Ἀκολουθία, τυπωθεῖσα εἰς τοὺς ἐκ τῶν λατινικῶν αἱρέσεων ἐπιστρέφοντας τῇ ὀρθοδόξῳ τε καὶ καθολικῇ ἐκκλησίᾳ ἡμῶν ὑπὸ τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου, τῆς ἐν Κωνσταντινουπόλει συναθροισθείσης ἐπὶ ἀνατροπῇ καὶ καθαιρέσει τῆς ἐν Φλωρεντίᾳ συστάσεως παρανόμου καὶ ἀθέσμου συνόδου κατὰ τὸ 6992 ἔτος.

л. 360. Ἑτέρα διάταξις Μεθοδίου πατριάρχου περὶ τῶν διαφόρῳ τρόπῳ καὶ ἡλικίᾳ ἀρνουμένων τὴν ἀμώμητον πίστιν καὶ πάλιν ἐπιστρεφόντων.

л. 364 об. Ἑτέρα διάταξις περὶ ἀποστήσαντος παιδὸς καὶ μαγαρίσαντος, οὐκ ἀρνησαμένου τὸν Χριστόν, ἀλλὰ μαγαρίσαντος καὶ πάλιν ἐπιστρέψαντος ἐν μετανοίᾳ.

л. 366. Ἑτέρα διάταξις περὶ τῶν ἀπὸ προαιρέσεως ἀρνησαμένων καὶ πάλιν ἐπιστραφέντων, γενομένη ἡ ἀκολουθία αὕτη καὶ διόρθωσις παρὰ τοῦ ἁγιωτάτου πατριάρχου κὺρ Γενναδίου Σχολαρίου.

л. 372 об. Ἔκθεσις ἁπλουστέρα καὶ συντομωτέρα γαμικῶν συναλλαγμάτων, συντεθεῖσα παρὰ τοῦ λογιωτάτου μεγάλου χαρτοφύλακος τῆς μεγάλης ἐκκλησίας ἐπὶ ἔτους τρέχοντος ,ζλζ' ἐγένετο κατὰ τοῦτον τὸν τρόπον.

л. 383. Περὶ Λατίνων, ἤγουν Φράγκων.

л. 384. Τοῦ ἁγίου Ἰγνατίου τοῦ θεοφόρου.

л. 385. Позднѣйшею рукою: Εὐχὴ τῶν ἁγίων ἑπτὰ παίδων εἰς ἀσθενῆ καὶ μὴ ὑπνοῦντα.

л. 387 об. Столпь утреннихъ евангельскихъ чтеній.

CLVII. № 154. Архіератиконъ, рукопись патріаршей іерусалимской библіотеки въ листъ, 104 листа, писана четкимъ разгонистымъ почеркомъ 1660 года. Датируется эта рукопись слѣдующею весьма обширною приписcкою въ концѣ ея: Δανιὴλ πόνος ἐκ τῆς περιφήμου Πελοποννήσου ἐκ χώρας Δρομπολοτζᾶς. Ἡ χεὶρ μέν, ἡ γράψασα, σήπεται τάφῳ, γραφὴ δὲ μείνη (sic) εἰς πληρεστάτους χρόνους. Αὕτη ἡ βίβλος ἐγράπτη (sic) ἔσωθεν εἰς θείαν καὶ ἱερὰν βασιλικὴν λαύραν τοῦ ἁγίου Σάββα τοῦ ἡγιασμένου, ὑπὸ χειρὸς ἐμοῦ ταπεινοῦ καὶ ἁμαρτωλοῦ Δανιήλ, καὶ ἀφιερώθη εἰς τὸ κελλίον τοῦ πατριάρχου ἔνδον τῶν Ἱεροσολύμων. Ὅστις δ' ἂν βουλείῃ ὑστερῆσαι καὶ κλέψαι νὰ ἀκούσῃ τῆς φοβερᾶς καὶ ὀδυνηρᾶς φωνῆς ἐκ τοῦ Κυρίου ἐκείνης, τῆς λεγούσης· πορεύου ἀπ' ἐμοῦ, ὁ κατηραμένος, εἰς τὸ πῦρ τὸ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ, ἐπεὶ ὡς ἱερόσυλος κριθήσῃ, καὶ ἔσται ἡ μερὶς αὐτοῦ μετὰ τῶν σταυρωσάντων τὸν Κύριον, καὶ κληρονόμος μετὰ τοῦ διαβόλου, ἕξει τε τὴν λέπραν τοῦ Γιεζῆ καὶ τὴν ἀγχόνην τοῦ Ἰούδα, κἂν τε ἀρχιερεύς, κἂν τε ἱερομόναχος ἢ καὶ ἰδιώτης. Ἀμήν. Ἐν ἔτει ,αχξ', Αὐγούστου ζ'.

л. 1. Ἡ θεία λειτουργία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου.

л. 24. Ἡ θεία λειτουργία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου τοῦ Μεγάλου.

л. 54. Ἡ θεία λειτουργία τῶν προηγιασμένων.

л. 68. Τάξις, γινομένη ἐπὶ χειροτονίᾳ ἀναγνώστου καὶ ψάλτου.

л. 69. Τάξις, γινομένη ἐπὶ χειροτονίᾳ ὑποδιακόνου.

л. 71. Τάξις, γινομένη ἐπὶ χειροτονίᾳ διακόνου.

л. 76. Τάξις, γινομένη ἐπὶ χειροτονίᾳ πρεσβυτέρου.

л. 80. Τάξις, γινομένη ἐπὶ χειροτονίᾳ ἐπισκόπου.

л. 85. Τάξις[1]), γινομένη ἐπὶ ψήφου τῶν ἀρχιερέων.

Συναχθέντων τῶν εὑρισκομένων ἀρχιερέων ἐν τῷ τυχόντι ναῷ, ὁ πρῶτος τούτων ἵσταται ἔμπροσθεν τῶν βασιλικῶν πυλῶν μετὰ μανδύου καὶ ἐπιτραχηλίου, καὶ ποιήσας εὐλογητόν, ἄρχονται οἱ λαχόντες τὸ Βασιλεῦ οὐράνιε, τὸ Παναγία Τριάς, τὸ Πάτερ ἡμῶν, καὶ ὁ πρῶτος τὸ Ὅτι σοῦ, εἶτα Εὐλογητὸς εἶ, Χριστὲ ὁ Θεός, ὁ πανσόφους καὶ τὰ ἑξῆς, καὶ τὸ κοντάκιον· Ὅτε καταβὰς τὰς γλώσσας συνέχεε. Καὶ μετὰ ταῦτα τὸ Ἐλέησον ἡμᾶς, καὶ μνημονεύει τὸν πατριάρχην, εἶθ' οὕτως ἡ ἀπόλυσις· Ὁ ἐν εἴδει πυρίνων γλωσσῶν. Εἶτα καθίσαντες οἱ ἀρχιερεῖς, ἄρχεται ὁ ταχθεὶς κληρικὸς περὶ τῆς μητροπόλεως καὶ περὶ τοῦ τὸ χρέος ἀποτίσαντος ἀρχιερέως φθέγγεσθαι, καὶ οὕτως ψηφίζονται τρεῖς παρὰ τῶν ἀρχιερέων, καὶ γίνεται ἡ ψῆφος.

л. 85 об. Τάξις, γινομένη ἐν τῷ μικρῷ μηνύματι.

Ὁ παρὰ τοῦ πατριάρχου κελευθεὶς κληρικὸς ἀπέρχεται ἐν τῷ κελλίῳ, ἐν ᾧ ὁ ὑποψήφιος κατοικεῖ, καὶ καθίσας, μηνύει αὐτόν, λέγων· Ὁ παναγιώτατος ἡμῶν δεσπότης, ἰδών σου τὴν ἁγιωσύνην ἀξίαν οὖσαν πρὸς ποιμαίνειν τὴν ὧδε μητρόπολιν, ἐπρόσταξεν ἡμᾶς μηνῦσαι αὐτὴν καὶ ἑτοιμασθῆναι. Αὐτὸς δὲ ἀναστάς, κλίνει τὴν κεφαλήν, μετανοίας τύπον, εὐχαριστῶν τῷ πατριάρχῃ.

л. 86. Τάξις τοῦ μεγάλου μηνύματος.

Ἀπέρχεται ὁ πατριάρχης καὶ οἱ λοιποὶ ἀρχιερεῖς, καὶ οἱ ἱερεῖς καὶ μοναχοί, καὶ οἱ τυχόντες λαϊκοὶ ἐν τῷ ναῷ, καὶ εὐθὺς ἄρχονται τοῦ ἑσπερινοῦ Τελειωθέντος δὲ ἑσπερινοῦ, πάλιν ὁ ἀρχιερεὺς ἐν τῷ κελλίῳ αὐτοῦ. Εἶτα εἰσελθὼν ὁ οἰκονόμος, καὶ καιρὸν λαβών, καὶ τὴν χεῖρα τοῦ πατριάρχου ἀσπασάμενος, ἀπέρχεται ἐν τῇ ἐκκλησίᾳ μετὰ τῶν λοιπῶν ἀρχιερέων καὶ ἵσταται ἐν τῷ μέσῳ τῆς ἐκκλησίας. Ὁ δὲ

---

[1]) Подобные же чины имѣются и въ сборникѣ 1665 года № 522 (473) въ библіотекѣ Святогробскаго метоха въ Константинополѣ.

ὑποψήφιος, ἐνδυθεὶς τὸ φελώνιον σὺν τῷ ἐπιτραχηλίῳ καὶ ἱστάμενος ἐπὶ τοῦ ἁγίου βήματος, ποιεῖ εὐλογητόν, καὶ ἄρχονται τὸ Βασιλεῦ οὐράνιε, τὸ Παναγία Τριάς, τὸ Πάτερ ἡμῶν, Ὅτι σοῦ ἐστιν, λέγοντες τὸ ἀπολυτίκιον τῆς ἡμέρας, εἶτα ὁ ὑποψήφιος τὸ Ἐλέησον ἡμᾶς, καὶ μνημονεύει τὸν πατριάρχην, καὶ μετὰ ταῦτα ἐκδυθεὶς τὸ φελώνιον αὐτοῦ, ποιεῖ ἀπόλυσιν, εἶτα ἵσταται ἔμπροσθεν τοῦ ἁγίου βήματος. Ὁ δὲ ταχθεὶς κληρικὸς μεγάλῃ τῇ φωνῇ ἀποκρίνεται, κρατῶν καὶ κηρὸν εἰς τὰς χεῖρας αὐτοῦ, καὶ ἅπτοντες τοῦτο, ποιοῦσι, λέγων ἐν τῷ μέσῳ τῆς ἐκκλησίας· Ὁ παναγιώτατος ἡμῶν αὐθέντης καὶ δεσπότης πατὴρ καὶ πατριάρχης τῆς ἁγίας πόλεως Ἱερουσαλὴμ προσκαλεῖται τὴν σὴν ἁγιωσύνην εἰς τὸν θρόνον τῆς ἁγιωτάτης μητροπόλεως ὁ δεῖνος. Καὶ μετὰ ταῦτα ὁ ὑποψήφιος ἀποκρίνεται· Ἐπειδὴ ὁ παναγιώτατος ἡμῶν αὐθέντης καὶ δεσπότης πατὴρ καὶ πατριάρχης τῆς ἁγίας πόλεως Ἱερουσαλὴμ ἠθέλησεν ἀναβιβάσαι κἀμέ, τὸν ἐλάχιστον δοῦλον αὐτοῦ, εἰς τὸ τῆς ἀρχιερωσύνης θεῖον ὄντως μέγα ἀξίωμα, ἰδοὺ πείθομαι τῷ θείῳ αὐτοῦ προστάγματι καὶ δέχομαι τὸ ἐπίταγμα, εὐχαριστῶ οὖν πρῶτον τῷ παναγιωτάτῳ μοι αὐθέντῃ καὶ δεσπότῃ, τῷ τοιαύτην πρόνοιαν ποιησαμένῳ εἰς ἐμέ, ἔπειτα δὲ καὶ τοῖς πανιερωτάτοις ἀρχιερεῦσι καὶ ὑπερτίμοις, τοῖς οὕτω φροντίδα ποιησαμένοις εἰς ἐμέ, ὧν ταῖς εὐχαῖς ἀξιώσοι με ὁ Θεός [1]) φυλάξαι τὸ ἐμπιστευθέν μοι ποίμνιον [2]) καὶ παραστῆσαι αὐτῷ καθαρὸν καὶ ἄσπιλον ἐν τῇ δευτέρᾳ παρουσίᾳ τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν [3]). Ὁ παναγιώτατος ἡμῶν αὐθέντης καὶ δεσπότης πατὴρ καὶ πατριάρχης τῆς ἁγίας πόλεως Ἱερουσαλὴμ προσκαλεῖται τὴν ἀρχιεροσύνην σου λόγον μεταθέσεως ἀπὸ τὸν θρόνον τῆς ἁγιωτάτης μητροπόλεως ὁ δεῖνος εἰς τὸν θρόνον τῆς ἁγιωτάτης μτροπόλεως ὁ δεῖνος. Ἐπειδὴ ὁδηγηθεὶς ἐκ Θεοῦ, ὁ παναγιώτατος ἡμῶν αὐθέντης καὶ δεσπότης ἠθέλησε κἀμὲ λόγον μεταθέσεως, τὸν ἐλάχιστον δοῦλον αὐτοῦ, ἀναβιβάσαι ἀπὸ τῆς ἁγίας μητροπόλεως ὁ δεῖνος εἰς τὸν θρόνον τῆς ἁγιωτάτης μητροπόλεως ὁ δεῖνος, ἰδοὺ πείθομαι καὶ τὰ ἑξῆς, ὡς καὶ τὰ ἄνωθεν. Καὶ τοῦτο ὅταν τινὰ οἱ ἀρχιερεῖς προσκαλοῦσιν [4])· Οἱ πανιερώτατοι μητροπολῖται, θεοφελέστατοι ἐπίσκοποι, τιμιώτατοι κληρικοί, εὐλαβέστατοι ἱερεῖς καὶ ὁ λοιπὸς ἅπας ὁ τοῦ Κυρίου χριστώνυμος λαὸς προσκαλοῦνται τὴν ἀρχιερωσύνην σου λόγον μεταθέσεως

---

[1]) Ркп. Святогроб. библ. № 522 (473) прибавлено: Κύριος ὁ Θεός. 2) прибавлено: λογικὸν τοῦ Χριστοῦ ποίμνιον ὀρθῶς. 3) прибавлена фраза: ὁ δεῖνα ἐλέῳ Θεοῦ ὑποψήφιος τῆς ἁγιωτάτης ἐπισκοπῆς, τῆς δεῖνα, οἰκείᾳ χειρὶ προέταξα. 4) прибавлено: εἰς θρόνον πατριαρχικόν.

εἰς τὸν μέγαν καὶ ὑψηλότατον καὶ πατριαρχικὸν θρόνον τῆς ἁγίας πόλεως Ἱερουσαλήμ. Πιστεύω εἰς ἕνα Θεόν... до конца [1]). Πρὸς τούτοις ἀποδέχομαι τὰς ἁγίας καὶ οἰκουμενικὰς ἑπτὰ συνόδους. См. выше стр. 121.

л. 91. Εἰς προχείρισιν πατριάρχου εἰς πατριάρχην.

л. 100. Εὐχὴ συγχωρητικὴ ἐπὶ τὸν μεταληψόμενον.

CLVIII. № 725. Илитарій на пергаменѣ Патмосской библіотеки, содержащій въ себѣ діаконскія прошенія обычной литургіи, начиная съ просительной ектеньи послѣ великаго выхода, писанъ почеркомъ XVII в. [2]). Для опредѣленія времени написанія его имѣетъ важное значеніе слѣдующій возгласъ діакона: Καὶ ὧν ἕκαστος κατὰ διάνοιαν ἔχει, καὶ πάντων καὶ πασῶν. Ὁ δεῖνα τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου Κωνσταντινουπόλεως, ὁ δεῖνα Ἀλεξανδρείας, ὁ δεῖνα Ἀντιοχείας, ὁ δεῖνα Ἱεροσολύμων, ὁ δεῖνα Μοσκόβου καὶ πάσης Ῥουσίας τῶν ὀρθοδόξων πατριαρχῶν.

CLIX. № 646. Ἀκολουθία τοῦ ἐξοδιαστικοῦ τῶν ἱερέων. Рукопись Патмосской библіотеки въ 16 долю листа, 64 листа, написана 5 мая 1707 года.

Ἐπειδάν τις τῶν ἱερέων ἐκδημήσῃ πρὸς Κύριον, ἀπέρχονται οἱ εὑρεθέντες ἐκεῖσε ἱερεῖς, καταβιβάζουσι τὸ λείψανον ἀπὸ τῆς κλίνης καὶ τιθέασιν αὐτὸ ἐν ψιαθίῳ ἐπὶ τῆς γῆς. Καὶ ἐπεὶ οὐ δεῖ λούεσθαι, ἀποσπογγίζουσιν αὐτὸ μετὰ ἐλαίου καθαροῦ διὰ σπόγγου, ἤγουν εἰς τὰς μασχάλας καὶ γόνατα, μήγε γυμνουμένου αὐτοῦ καθόλου, τὸ δὲ πρόσωπον αὐτοῦ καὶ τὰς χεῖρας πλύνουσι μετὰ ὕδατος χλιαροῦ, εἶτα ἐνδύουσιν αὐτὸν τὰ ἐξ ἔθους ἱμάτια, καὶ ἅπασαν τὴν ἱερατικὴν στολήν, σκεπάζοντες τὸ πρόσωπον μετὰ τοῦ ἀέρος, καὶ θέτουσι τὸ ἅγιον εὐαγγέλιον ἐπάνω αὐτοῦ, καὶ ἐν μὲν δεξιᾷ χειρὶ αὐτοῦ δίδουσι κοντάκιον τῆς ἁγίας λειτουργίας, ἤγουν τὸ Ὁ εὐλογῶν τοὺς εὐλογοῦντάς σε, Κύριε, ἐν δὲ τῇ ἀριστερᾷ τὸ συστατικὸν αὐτοῦ, καὶ ἀνακλίνουσιν αὐτὸν πρῶτον ἐν κλίνῃ, καὶ καθέζουσιν αὐτὸν ἐν θρονίῳ κατὰ τὴν συνήθειαν καὶ βούλησιν αὐτῶν. Εἶτα εἰσέρχονται οἱ ἱερεῖς ἐνδεδυμένοι τὰς ἱερατικὰς στολὰς αὐτῶν μετὰ τῶν ἐπιτραχηλίων, καὶ ἄρχεται ὁ προεστὼς τὸ Εὐλογητὸς ὁ Θεός, Τρισάγιον, Ὅτι σοῦ ἐστιν, καὶ τὰ τροπάρια, ἦχος δ'· Μετὰ πνευμάτων κ. τ. λ.,

---

1) Прибавлена подпись: Ὁ δεῖνας ἐλέῳ Θεοῦ ὑποψήφιος τῆς ἁγιωτάτης ἐπισκοπῆς, ὁ δεῖνα, οἰκείᾳ χειρὶ ὑπέγραψα. 2) I. Сакkеліонъ относитъ этотъ Илитарій къ XV в. (Πατμιακὴ βιβλιοθήκη σελ. 277).

εἶτα Ἐλέησον ἡμᾶς... κ. τ. λ. съ молитвою: Ὁ Θεὸς τῶν πνευμάτων... καὶ ἀπόλυσις, ὡς ἔθος. Καὶ εὐθὺς αἴρουσιν οἱ ἱερεῖς ἐπ' ὤμων αὐτῶν τὴν κλίνην μετὰ τοῦ λειψάνου, φέροντες ἐν τῷ ναῷ, προπορευομένου σταυροῦ μετὰ κηρῶν καὶ θυμιαμάτων, ψάλλοντες τὸ Ἅγιος ὁ Θεός... Εἰ δὲ βούλονται, ψάλλουσι τὰ παρόντα ποιήματα Ἱλαρίωνος ἱερομονάχου, ἦχος πλ. α'· Μεγαλύνομέν σε, ζωοδότα Χριστέ, καὶ τιμῶμεν τὴν ταφὴν καὶ τὰ πάθη σου, δι' ὧν ἔσωσας ἡμᾶς ἐκ τῆς φθορᾶς... Вторая статья начинается: Ἄξιόν ἐστι μεγαλύνειν σε, τὸν ζωοδότην, τὸν ἐκ τάφου ἀναστάντα τριήμερον καὶ ζωώσαντα τὸ γένος τῶν βροτῶν. Третья статья: Αἱ γενεαὶ πᾶσαι σὲ δοξολογοῦμεν Χριστὸν τὸν ζωοδότην. Καὶ εἰσελθόντες ἐν τῇ ἐκκλησίᾳ, τιθέασι τὸ λείψανον ἐν μέσῳ τοῦ ναοῦ ἐν τῇ κλίνῃ, ἀνάπτοντες μανουάλια τριγύρου. Εἶτα ποιεῖ ὁ ἱερεὺς Εὐλογητόν, καὶ ὁ χορὸς τὸ Τρισάγιον, Ὅτι σοῦ ἐστιν, Σῶσον, Κύριε, τὸν λαόν σου καὶ τὰ ἑξῆς, καὶ ἄρχονται τὸν ἑξάψαλμον, λέγοντες αὐτὸν ἀπαραλλάκτως, καθὼς καὶ ἐν τῷ ὄρθρῳ, θυμιῶν καὶ τὸν ναόν, ὡς συνήθως. Ἐν ὅσῳ δὲ λέγεται ὁ ἑξάψαλμος, στιχολογεῖται ἐπάνω τοῦ λειψάνου παρὰ τοῦ ἱερέως τὸ ιη' κάθισμα τοῦ Ψαλτηρίου, ἤγουν τὸ Πρὸς Κύριον ἐν τῷ θλίβεσθαί με, εἶτα παροῦσα συναπτή. См. выше стр. 529. Послѣ возгласа: Ὅτι πρέπει σοι... Ἀλληλούϊα съ стихами: Μακάριος, ὃν ἐξελέξω..., Καὶ τὸ μνημόσυνον αὐτοῦ... Ἡ ψυχὴ αὐτοῦ ἐν ἀγαθοῖς... Τροπάρια, ἦχος β'· Ἀπόστολοι, μάρτυρες καὶ προφῆται, ἱεράρχαι... Μνήσθητι, Κύριε, ὡς ἀγαθός... Μήτηρ ἁγία εἶ ἀφράστου φωτός... Αἴτησις μικρὰ παρὰ τοῦ διακόνου, εἶτα ἄρχονται οἱ ψάλται εἰς ἦχον πλ α'· Εὐλογητός εἶ, Κύριε... Послѣ первой статьи 17 каѳизмы, тропари: Σήμερον χωρίζομαι ἀπὸ τῆς συγγενείας μου... Ἡ ἐκκλησία βοᾷ, ζητοῦσα τὸν ἱερέα, καὶ τὸ θυσιαστήριον αἰτεῖ τὸν ποιμένα... Δόξα καὶ νῦν, Χαῖρε, ναὲ τοῦ Θεοῦ, χαῖρε τὸ ἅγιον θυσιαστήριον... См. выше стр. 528. Εἶτα προκείμενον, ἦχος α'· Μακάριοι οἱ κατοικοῦντες... Στίχος· Ὡς ἀγαπητὰ τὰ σκηνώματα... Πρὸς Κορινθίους ἐπιστολῆς Παύλου· Ἀδελφοί, τί ποιήσουσιν οἱ βαπτιζόμενοι ὑπὲρ τῶν νεκρῶν... Ἀλληλούϊα. Στίχος· Μακάριος, ὃν ἐξελέξω. Εὐαγγέλιον κατὰ Ἰωάννην· Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους· ἐργάζεσθε μὴ τὴν βρῶσιν τὴν ἀπολυμένην и молитва Goar pag. 452. Послѣ второй ектеньи тропари: Ὁ μεταστὰς ἐν τῷ τάφῳ κείμενος νεκρὸς εὐδιάλλακτος... Ἐφώνησεν ἡ σάλπιγξ, καὶ ὡς ἐξ ὕπνου νεκροὶ ἐξανίστανται... Δόξα καὶ νῦν, Ἡ σκέπη σου, Θεοτόκε παρθένε... Προκείμενον, ἦχος β'· Μακαρία ἡ ὁδός... Στίχος· Ἐπίστρεψον, ἡ ψυχή μου... Πρὸς Ῥωμαίους ἐπιστολῆς· Ἀδελφοί, ὥσπερ δι' ἑνὸς παραπτώματος εἰς πάντας ἀνθρώπους ἦλθε κατάκριμα... Ἀλληλούϊα. Στίχος· Οἱ ἱερεῖς σου

ἐνδύσονται... Евангеліе, что у Гоара р. 452. Εἶτα εἰρηνικά· Ἐν εἰρήνῃ... Ὑπὲρ τοῦ ἀειμνήστου δούλου τοῦ Θεοῦ, ὁ δεῖνα, ἱερέως καὶ συλλειτουργοῦ ἡμῶν... Ὑπὲρ τοῦ δεχθῆναι τὸ πνεῦμα αὐτοῦ, ἔνθα οἱ δίκαιοι... Ὑπὲρ τοῦ ῥυσθῆναι... Ὑπὲρ τοῦ συγχωρηθῆναι... Καὶ ἡ εὐχή· Οὐκ ἔστι προσωποληψία παρὰ σοί, Κύριε... См. выше стр. 670, 535. Εἶτα ψαλμόν· Σός εἰμι ἐγώ... κ. τ. λ., тропари: Ἰδοὺ κεῖμαι, ἀγαπητοί μου ἀδελφοί, ἐν μέσῳ πάντων... Σώζου, μάταιε βίε, σώζεσθε, πάντες φίλοι, συγγενεῖς τε καὶ τέκνα... Δόξα καὶ νῦν, Ἀδιόδευτε πύλη, μυστικῶς ἐσφραγισμένη... Προκείμενον, ἦχος γ'· Ἄνθρωπος, ὡσεὶ χόρτος... Στίχος· Εὐλόγει, ἡ ψυχή μου. Πρὸς Ῥωμαίους· Ἀδελφοί, ὁ νόμος τοῦ Πνεύματος τῆς ζωῆς ἐν Χριστῷ Ἰησοῦ ἠλευθέρωσέ με... Ἀλληλούϊα. Στίχος· Καυχήσονται ὅσιοι ἐν δόξῃ... Εὐαγγέλιον· Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· οὕτως ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὥστε τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν.. Αἴτησις μικρὰ παρὰ τοῦ διακόνου, καὶ ἡ εὐχὴ παρὰ τοῦ ἱερέως· Τοῦ Κυρίου δεηθῶμεν. Δέσποτα πολυέλεε, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, Υἱὲ καὶ Λόγε τοῦ Θεοῦ τοῦ ζῶντος, ἱκετεύομέν σε, οἱ δοῦλοί σου ἡμεῖς, οἱ τῇ προστάξει σου καταξιωθέντες ἱερουργεῖν σοι καὶ πρεσβεύειν... См. выше стр. 535. Ἀπόλυσον αὐτὸν τῶν αἰωνίων δεσμῶν, καὶ τάξον αὐτόν, ὅπου τῶν ἐκλεκτῶν αἱ χοροστασίαι ὑμνοῦσί σε τὸν μόνον ἀναμάρτητον. Ὅτι σὺ εἶ ἡ ἀνάστασις, ἡ ζωὴ καὶ ἡ ἀνάπαυσις... Εἶτα ἀρχόμεθα τῆς γ' στάσεως, причемъ съ стиха: Ἄρχοντες κατεδίωξαν, начинаются припѣвы: Ἀρχάγγελοι Κυρίου, πρεσβεύσατε ἀπαύστως ὑπὲρ τοῦ κοιμηθέντος... Ἄγγελοι Κυρίου, πρεσβεύσατε... Πρόδρομε Κυρίου и т. д. Εἶτα εὐλογητάρια р. 451. Αἴτησις μικρὰ καὶ ἡ εὐχή· Τοῦ Κυρίου δεηθῶμεν. Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ ἐκ Παρθένου τεχθεὶς καὶ σάρκα φορέσας, δανεισάμενος αὐτὴν ἐκ τῶν ἁγίων καὶ παρθενικῶν αἱμάτων αὐτῆς, καὶ γενόμενος ἄνθρωπος. См. выше стр. 537. Антифонъ 1 гласа и тропари св. І. Дамаскина: Ποία τοῦ βίου τρυφή... Ἔργῳ, Σῶτέρ μου... Νέος Ἀδὰμ γεγονώς... Τί ὑψαυχεῖτε, βρωτοί, καὶ ἐν βίῳ μάτην ταράττεσθε... Ἔθου, Χριστέ, λειτουργοὺς ἐκλεκτούς... Δόξα καὶ νῦν, Ἁμαρτωλῶν τὰς δεήσεις προσδεχομένη... Προκείμενον· Ἡ ψυχὴ αὐτοῦ ἐν ἀγαθοῖς.. Στίχος· Πρὸς σέ, Κύριε.. Πρὸς Κορινθίους· Ἀδελφοί, Χριστὸς ἐκ νεκρῶν ἐγήγερται... Ἀλληλούϊα. Στίχος· Καὶ τὸ μνημόσυνον. Εὐαγγέλιον ἐκ τοῦ κατὰ Λουκᾶν· Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους· εἰ ὁ Θεὸς Πατὴρ ὑμῶν ἦν, ἠγαπᾶτε ἂν ἐμέ· ἐγὼ γὰρ ἐκ τοῦ Θεοῦ ἐξῆλθον... Αἴτησις μικρὰ καὶ εὐχή· Δέσποτα Κύριε, ὁ Θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκός... Goar pag. 437. Αὐτὸς Δέσποτα πολυέλεε, καὶ τὴν ψυχὴν τοῦ δούλου σου, ὁ δεῖνα, ἱερέως ἀδελφοῦ

καὶ συλλειτουργοῦ ἡμῶν, ἀνάπαυσον ἐν τόπῳ φωτεινῷ, ἐν τόπῳ χλοερῷ, ἐν τόπῳ ἀναψύξεως, ἐν χώρᾳ ζώντων, ἔνθα ἀπέδρα ὀδύνη, λύπη καὶ στεναγμός, διότι οὐκ ἔστιν ἐν τοῖς δούλοις σου θάνατος, ὁ ἀληθῶς ἀθάνατος, ἀλλὰ ψυχῆς μετάστασις, καὶ εἴ τι ἐν λόγῳ, εἰ ἐν ἔργῳ, εἰ ἐνθυμήσει ἥμαρτε, συγχώρησον, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, καὶ τῶν πενθούντων ἀντιλήπτωρ καὶ παραμυθία γενοῦ, καταυγάζων τὴν ἀχλὺν τῆς ἀθυμίας αὐτῶν τῷ νοερῷ σου φωτί. Ὅτι σὺ εἶ ἡ ἀνάστασις, ἡ ζωή... Антифонъ втораго гласа и тропари: Οἴμοι, οἷον ἀγῶνα ἔχει ἡ ψυχή, χωριζομένη ἐκ τοῦ σώματος... Δεῦτε ἴδωμεν πάντες θαύματα ὑπὲρ νοῦν... Ὕλῃ πλούτου τί μάτην θέλγεσθε, βροτοί... Ῥευστὴ μὲν τῶν πάντων τῶν ὄντων ἡ φύσις καὶ ὡς χοός... Μύροις πάλαι τὴν τέφραν ἔχριον... Οἴμοι, ὥσπερ οὐκ ὢν ποτὲ ἐπὶ γῆς... Στόμα ἄλαλον ἔχων, πνεύματι βοῶ... Δόξα καὶ νῦν, Τὴν πᾶσαν ἐλπίδα μου εἰς σὲ ἀνατίθημι... Προκείμενον· Μακάριοι οἱ κατοικοῦντες... Στίχος· Ὡς ἀγαπητὰ τὰ σκηνώματα... Πρὸς Ῥωμαίους· Ἀδελφοί, ὥσπερ δι' ἑνὸς ἀνθρώπου ἡ ἁμαρτία εἰς τὸν κόσμον εἰσῆλθεν... Ἀλληλούϊα, Μακαρία ἡ ὁδός. Εὐαγγέλιον κατὰ Ἰωάννην· Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους· ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς.. Αἴτησις μικρὰ καὶ ἡ εὐχή· Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον... Goar pag. 449. Антифоны 3 гласа и тропари: Πάντα ματαιότης τὰ ἀνθρώπινα... Ἄνθρωποι, τί μάτην ταραττόμεθα... Ῥευστὸς ὤν, ἄνθρωπε, τί μαίνεσαι, τί ὑψαυχενεῖς... Ἄνθος ἐσμέν, ἄνθρωποι ἰσοσθενεῖς... Καθ' ὃν τρόπον ναῦς ἐπὶ ὑδάτων πολλῶν... Ληΐζεται ἅπαντας ὁ θάνατος· οὐδεὶς γὰρ τὰς παγίδας αὐτοῦ διαφεύγει... Ὢ πῶς ἀπατώμεθα, οἱ ἄθλιοι οἱ νέοι· τὸ γὰρ οὐ φροντίζουσι... Δόξα καὶ νῦν, Ἐν γυναιξὶν ἁγία, Θεοτόκε Μῆτερ... Προκείμενον, ἦχος γ'· Ἡ ψυχὴ αὐτοῦ... Στίχος· Πρὸς σέ, Κύριε, κεκράξομαι... Πρὸς Ῥωμαίους· Ἀδελφοί, ὁ φρονῶν τὴν ἡμέραν, Κυρίῳ φρονεῖ... Ἀλληλούϊα. Στίχος, Μακάριος, ὃν ἐξελέξω... Εὐαγγέλιον κατὰ Ἰωάννην· Εἶπεν ὁ Κύριος πρὸς τοὺς πεπιστευκότας πρὸς αὐτὸν Ἰουδαίους· τοῦτό ἐστι τὸ θέλημα τοῦ πέμψαντός με, ἵνα πᾶς ὁ θεωρῶν τὸν Υἱόν... Αἴτησις μικρὰ καὶ ἡ εὐχή· Τοῦ Κυρίου δεηθῶμεν. Ὁ μέγας ἀρχιερεὺς καὶ δίκαιος κριτής, Κύριε Ἰησοῦ Χριστέ, τὸν μεθ' ἡμῶν σοι δουλεύσαντα ἀδελφόν.. См. выше стр. 533. Антифонъ 4 гласа и тропари съ акростихомъ: Πενθῶ· Ποῦ ἐστιν ἡ τοῦ κόσμου προσπάθεια... Ἐπῆλθεν ὁ θάνατος, ὡς ἅρπαξ, ἐπῆλθεν ὁ φθορεύς.. Νῦν ἄπνουν σε βλέποντες, θρηνοῦμεν.. Θρῆνον ἐπ' ἐμοὶ μὴ ποιήσατε... Ὡς ἔχομεν νῦν καιρὸν μετανοίας... Δόξα καὶ νῦν, Ἡ μόνη ἁγνὴ καὶ ἄχραντος Παρθένος.. Προκείμενον τοῦ ἀποστόλου, ἦχος δ'· Κύριε, ῥῦσαι τὴν ψυχήν μου... Πρὸς

Κύριον ἐν τῷ θλίβεσθαι... Πρὸς Κορινθίους· Ἀδελφοί, ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς χοϊκός.. Ἀλληλούϊα. Στίχος· Μακαρία ἡ ὁδός... Εὐαγγέλιον κατὰ Ἰωάννην· Εἶπεν ὁ Κύριος πρὸς τοὺς πεπιστευκότας πρὸς αὐτὸν Ἰουδαίους· ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα.. Αἴτησις μικρά, καὶ ἡ εὐχή· Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν σοφίᾳ σου κατασκευάσας τὸν ἄνθρωπον. См. выше стр. 543. Антифонъ 5 гласа и стихиры съ акростихомъ: Οἶκτος. Οὐκ ἔστιν ἐν τῷ βίῳ τερπνὸν οὐδέν, ὃ οὐ παρελεύσεται... Ἴασω τὴν συντριβήν μου, Σῶτερ, σαυτὸν κενώσας... Καθεῖλες τὴν τοῦ θανάτου ὀφρύν... Τὸ θεῖον καὶ ἀκατάληπτον φῶς, Χριστὲ πάντων, καὶ ἀνάστασις... Ὅταν καθίσῃ ἐπὶ θρόνου κρῖναι πᾶσαν τὴν γῆν... Δόξα καὶ νῦν, Σὲ δυσωποῦμεν, ὡς Θεοῦ Μητέρα, εὐλογημένη... Προκείμενον· Πάροικος ἐγώ εἰμι ἐν τῇ γῇ... Στίχος· Ἐξομολογήσομαί σοι, Κύριε... Πρὸς Θεσσαλονικεῖς· Ἀδελφοί, οὐ θέλω ὑμᾶς ἀγνοεῖν περὶ τῶν κεκοιμημένων... Ἀλληλούϊα. Στίχος· Ἀναστήσονται οἱ νεκροί... Εὐαγγέλιον κατὰ Ἰωάννην· Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους· Ἀμήν, ἀμὴν λέγω ὑμῖν, ὅτι ὁ ἀκούων τῶν λόγων μου καὶ πιστεύων... Αἴτησις καὶ ἡ εὐχή· Κύριε, Κύριε, ἡ τῶν θλιβομένων παραμυθία. См. выше стр. 535. Антифонъ 6 гласа, стихиры съ акростихомъ: Ἄλγος· Ἄλγος τῷ Ἀδὰμ ἐχρημάτισεν ἡ τοῦ ξύλου ἀπόγευσις... Λόγος τοῦ Θεοῦ ἐνυπόστατος νηπιάσαι εὐδόκησε... Γηγενεῖς, δεῦτε καὶ θεάσασθε ἅπαντες ξένον θέαμα... Ὄντως ματαιότης τὰ σύμπαντα... Δόξα καὶ νῦν, Σὲ δυσωποῦμεν, ὡς Θεοῦ Μητέρα εὐλογημένη... Προκείμενον· Εὐφρανθήσεται δίκαιος... Στίχος· Εἰσάκουσον, ὁ Θεός, τῆς φωνῆς... Πρὸς Κορινθίους· Ἀδελφοί, οἴδαμεν, ὅτι ἐὰν ἡ ἐπίγειος ἡμῶν οἰκία τοῦ σκήνους καταλυθῇ... Ἀλληλούϊα Στίχος· Οἱ ἱερεῖς σου, Κύριε... Εὐαγγέλιον κατὰ Ἰωάννην· Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους· ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς... Αἴτησις καὶ εὐχή· Μνήσθητι, Κύριε, πάντων τῶν κεκοιμημένων ἀδελφῶν ἡμῶν, ὁ δεῖνα ἱερέως καὶ συλλειτουργοῦ, καὶ συγχώρησον αὐτῷ πάσας τὰς ἁμαρτίας καὶ πᾶν πλημμέλημα ἑκούσιον. Ναί, Κύριε ὁ Θεὸς ἡμῶν, ὁ δημιουργήσας τὸν ἄνθρωπον πρὸς τὴν ἐντεῦθεν διαγωγὴν καὶ τῶν ἐκεῖθεν ἀμοιβὴν χαρισάμενος, Αὐτὸς καὶ τὸν δοῦλόν σου τοῦτον, τὸν μεθ' ἡμῶν συνοδεύσαντα καὶ ἐξ ἡμῶν νῦν ἐκδημήσαντα, τῆς ἐκεῖθεν κληρονόμον ἀνάδειξον, καὶ ἡμᾶς ἀξίωσον διὰ μετανοίας εὐαρεστῆσαί σοι πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν. Ὅτι σὺ εἶ ἡ ἀνάστασις, ἡ ζωὴ καὶ ἡ ἀνάπαυσις... Антифонъ 5 гласа и стихиры съ акростихомъ: Κλαυθμός· Κατ' εἰκόνα σὴν καὶ ὁμοίωσιν πλαστουργήσας κατ' ἀρχὰς τὸν ἄνθρωπον... Λύει πᾶσαν λύπην ὁ θάνατος, μεταδοθεὶς ἐκ τοῦ Ἀδάμ... Ἀναβλέψωμεν καὶ κατ-

ἴδωμεν τοὺς ἀστέρας τοῦ οὐρανοῦ... Ὕπνος ἐστὶ καὶ οὐ θάνατος τὸ τελούμενον νεκροῖς μυστήριον... Θέσθω ἕκαστος ἡμῶν βίον εὔχρηστον ἐν τῇ καρδίᾳ αὐτοῦ ποιήσασθαι... Μὴ θρηνήσωμεν, ὃν Κύριος ἐξ ἡμῶν μετέστησεν... Ὁ Θεός, ὁ Θεὸς ἡμῶν, ὁ τὸν ἄνθρωπον ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι παραγαγών... Δόξα καὶ νῦν, Σέ, Θεοτόκε, τεῖχος ἄῤῥηκτον καὶ ἐλπίδα, οἱ πιστοί, κεκτήμεθα... Προκείμενον· Τὰς εὐχάς μου τῷ Κυρίῳ ἀποδώσω... Στίχος· Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ... Πρὸς Φιλιππισίους· Ἀδελφοί, ἡμῶν τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει... Ἀλληλούϊα. Μακάριος, ὃν ἐξελέξω... Εὐαγγέλιον κατὰ Ἰωάννην· Εἶπεν ὁ Κύριος πρὸς τοὺς πεπιστευκότας πρὸς αὐτὸν Ἰουδαίους· ἐὰν ὑμεῖς μείνητε ἐν τῷ λόγῳ τῷ ἐμῷ, ἀληθῶς μαθηταί μου ἐστέ... Αἴτησις καὶ εὐχή· Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, οἰκτίρμον καὶ ἐλεῆμον, μακρόθυμε καὶ πολυέλεε, ὁ διὰ τὴν ἡμετέραν σωτηρίαν γεννηθεὶς ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, καὶ σταυρὸν καὶ θάνατον κατεδέξω καὶ ταφεὶς καὶ ἀναστάς, Αὐτός, Δέσποτα Παντοκράτορ, ταύτην τὴν μικρὰν δέησιν ἡμῶν, ἣν ποιοῦμεν ὑπὲρ τοῦ κεκοιμημένου δούλου σου, ὁ δεῖνα, ἱερέως, ἀδελφοῦ καὶ συλλειτουργοῦ ἡμῶν, πρόσδεξαι τῇ συνήθει σου φιλανθρωπίᾳ, καὶ ἀπάλλαξον αὐτὸν τοῦ ἐξωτέρου σκότους καὶ πάσης ἑτέρας δεινῆς κολάσεως, καὶ εἴ τι ἥμαρτεν ἐν λόγῳ, ἢ ἔργῳ, ἢ κατὰ διάνοιαν, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς συγχώρησον καὶ ἀνάπαυσον αὐτόν, ὅπου ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου. Ναί, Κύριε παντοκράτορ, ὁ ἐν τῇ σοφίᾳ σου πλάσας ἐπὶ γῆς τὸν ἄνθρωπον καὶ πάλιν εἰς γῆν αὐτὸν ἀποστρέφειν νομοθετίσας διὰ τὴν ἁμαρτίαν, ὁ κατάγων εἰς ᾄδην καὶ ἀνάγων, ὁ ἀποκτείνων καὶ πάλιν ζωοποιῶν, πρόσδεξαι τὴν ψυχὴν τοῦ δούλου σου, καὶ ἀνάπαυσον, καὶ τάξον αὐτὸν ἐν τοῖς κόλποις τοῦ δικαίου σου Ἀβραάμ, καὶ εἴ τι ὡς ἄνθρωπος ἥμαρτεν, συγχώρησον. Ὅτι σὺ εἶ ἡ ἀνάστασις.. **Антифонъ 8 гласа и стихиры съ акростихомъ:** Θρηνῶ. Θρηνῶ καὶ ὀδύρομαι... Ῥευστοὶ πῶς γεγόναμεν, ἄφθαρτον εἰκόνα φορέσαντες... Ἡ σάλπιγξ ἐβρόντησε, καὶ ὡς ἐξ ὕπνου νεκροὶ ἀναστήσονται... Νεότητα θάλλουσαν φείδεται οὐδόλως ὁ θάνατος... Ὢ ποῖον ποτήριον μένει τοῖς βροτοῖς ἀπαραίτητον... Δόξα καὶ νῦν, Ἁγνὴ Παρθένε, τοῦ Λόγου πύλη... Προκείμενον· Ἡ ψυχὴ αὐτοῦ... Στίχος· Πρὸς σέ, Κύριε, ἐκέκραξα.. Πρὸς Κορινθίους· Ἀδελφοί, οὐ πᾶσα σὰρξ ἡ αὐτὴ σάρξ, ἀλλὰ ἄλλη μὲν ἀνθρώπων... Ἀλληλούϊα. Στίχος· Ἀντιλαβοῦ μου κατὰ τὸ λόγιόν σου... Εὐαγγέλιον κατὰ Ἰωάννην· Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους· ἐγὼ ὑπάγω καὶ ζητήσετέ με.. Αἴτησις καὶ ἡ εὐχή· Δέσποτα Παντοκράτορ, Θεὲ πατέρων καὶ Κύριε τοῦ ἐλέους, γένους θνητοῦ τε καὶ ἀθανάτου. См. выше стр. 531. Ἀλλὰ

ζῶσιν εἰς αἰῶνα αἰῶνος ἐν τῇ βασιλείᾳ σου. Ναί, Δέσποτα παντοκράτορ, κλῖνον τὸ οὖς σου καὶ ἐπάκουσόν μου καὶ ἀνάπαυσον αὐτὴν μετὰ τῶν ἁγίων σου, στῆσον ἐκ δεξιῶν σου ἐν τῇ βασιλείᾳ σου. См. выше стр. 534. Σὺ ὡς ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς συγχώρησον, καὶ ὡς ἐπὶ τῆς γῆς λειτουργεῖν σοι ἠξιώσας, οὕτως καὶ ἐν οὐρανῷ μετὰ τῶν ἁγίων ἀγγέλων τάξον δοξολογεῖν και ψάλλειν σοι, χαριζόμενος αὐτῷ καὶ ἡμῖν τὴν αἰώνιον βασιλείαν σου. Ὅτι σὺ εἶ ἡ ἀνάστασις, ἡ ζωή... Εἶτα τροπάρια· Ἀνάπαυσον, Σωτὴρ ἡμῶν... Δόξα καὶ νῦν, Μνήσθητέ μου, ἀδελφοί καὶ συλλειτουργοί, μνήσθητέ μου... Ὁ Ν′, καὶ κανών, ἦχος β′· Βυθοῦ ἀνεκάλυψε πυθμένα... Ὠδὴν ἐπιτάφιον συμφώνως ᾄσωμεν τῷ μόνῳ ἀθανάτῳ[1])... Ὁ χθὲς μεθ' ἡμῶν συμβουλεύων, σήμερον ἐν τάφῳ καθορᾶται... Δόξα, Ἐν βίβλῳ τῆς ἄνω κληρουχίας τάξει τὴν ψυχήν σου ὁ Δεσπότης... Καὶ νῦν, Ἡ πάντων ὑπερτέρα τῶν κτισμάτων καὶ ἁγιωτέρα τῶν ἀγγέλων... Послѣ 3 пѣсни ектенья и молитва: Δέσποτα Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ Πατὴρ τῶν οἰκτιρμῶν καὶ τοῦ ἐλέους, ὁ πάντα φέρειν ἀναδυσάμενος. См. выше стр. 537. Сѣдальны: Ἀληθῶς ματαιότης τὰ σύμπαντα... Δόξα, Δεῦτε, πάντες ἀδελφοί, καὶ συνάχθητε μετὰ δακρύων ἐν τῷ χωρισμῷ τῆς ψυχῆς μου καὶ τοῦ σώματος.. Καὶ νῦν, Παναγία Θεοτόκε, τὸν χρόνον τῆς ζωῆς μου μὴ ἐγκαταλίπῃς με... Послѣ 6 пѣсни ектенья и молитва: Ὁ Θεός, ὁ Θεὸς ἡμῶν, ὁ δημιουργὸς καὶ εὐεργέτης πάσης κτίσεως, ὁ κατασκευάσας τὸν ἄνθρωπον ἐκ σώματος χοϊκοῦ. См. выше стр. 547. Μετὰ τῶν ἁγίων πνευμάτων... Ἕτερον Οὐδείς μοι τότε βοηθός, οὐ συγγενής, οὐ φίλος.. Αὐτὸς μόνος ὑπάρχεις ἀθάνατος... Οἶκοι εἰς τὸν θάνατον τῶν ἱερέων, ὧν ἡ ἀκροστιχίς· Τοῦ ταπεινοῦ Ἀμβροσίου ὁ ψαλμὸς οὗτος· Τῆς προσκαίρου ζωῆς τὸ ἐπώδυνον, ἄνθρωποι πάντες, δεῦτε καὶ ἴδετε... Ἀλληλούϊα. Ὁ Θεός, ὅπου ἔκαμες τὰ οὐράνια τάγματα... Ἀλληλούϊα. Ὑψηλὰ καὶ μεγάλα μυστήρια τοὺς ἀνθρώπους ἠξιώσας... Ἀλληλούϊα. Τῆς μυστικῆς ἱεραρχίας διδάσκαλε, ἁγιώτατε Διονύσιε, νῦν πρόφθασον... Ἀλληλούϊα. Ἀπορῶ καὶ δειλιῶ, πῶς νὰ ἄρξομαι ταύτης τῆς τρομερᾶς διηγήσεως... Ἀλληλούϊα. Πᾶσα φύσις ἀνθρώπων ἐμὲ κλαύσατε... Ἀλληλούϊα. Ἑπτὰ φορχῖς τῆς ἡμέρας δὲν ἔψαλα κατὰ τὴν ἐντολήν... Ἀλληλούϊα. Ἱερεῖς τὸν ἱερέα τοῦτον στοχάζεσθε ἥσυχα καὶ ταπεινα κατακοίτεται... Ἀλληλούϊα. Νοερῶν στρατιῶν καὶ ἀγγέλων τὰ τάγματα.. Ἀλληλούϊα. Ὁ δοῦλός σου, Κύριε, καλῶς σε ἐκήρυξεν... Ἀλληλούϊα. Ὑμεῖς δέ, ὡς συλλειτουργοί μου, ἀκού-

---

[1]) Припѣвы: Μακάριος, ὅν... Κύριε, ἀνάπαυσον τὸν δοῦλόν σου...

σατε καὶ προσέχετε εἰς τὴν ζωήν σας.. Ἀλληλούϊα. Ἀλήθεια, ἀδελφοί, εἶπεν ὁ Κύριος, ὅτι πολλοὶ εἶναι οἱ κλητοί, ὡς ἐγώ, ἀλλὰ ὀλίγοι ἐκλεκτοί... Ἀλληλούϊα. Μίαν μόνην ἐλπίδα ἀπόμεινεν εἰς ἐμένα τὸν τάλανα καὶ ἄσωτον.. Ἀλληλούϊα. Βήματι τῆς κρίσεως τῷ τρομερῷ ὅλοι μέλλει νὰ παρασταθοῦμεν... Ἀλληλούϊα. Ῥῦσαι καὶ λύτρωσαί με, λοιπόν, Κύριε, ἀπὸ τὸ ἄσβεστον πῦρ... Ἀλληλούϊα. Ὁ χρυσοῦς εἰς τὴν γλῶσσαν καλά με ἐδίδαξεν, ἀλλὰ δὲν τοῦ ἤκουον καθόλου ὁ ἄθλιος... Ἀλληλούϊα. Στρατιαὶ τῶν ἀγγέλων, βοηθήσατε τῆς ἀθλίας ψυχῆς μου τοῦ τλήμονος... Ἀλληλούϊα. Ἵνα τί σιωπῶ, ὥσπερ ἄπονος, καὶ δὲν λέγω τῶν συλλειτουργῶν καὶ φίλων μου... Ἀλληλούϊα. Ὁ Θεός, ὁ Θεός, ὅπου με ἐκάλεσες, εἰς ἐμένα γνῶσίς σου ἐθαυμαστώθη με... Ἀλληλούϊα. Ὑποκαρῶ καὶ παραγγέλω σας, φίλοι μου, συλλειτουργοὶ καὶ συμμερισταὶ τοῦ οὐρανίου ἄρτου... Ἀλληλούϊα. Οὔτε τοῦ Παύλου ἄκουα, ὅπου ἔλεγε νὰ προσέχω εἰς τὴν ἀνάγνωσιν... Ἀλληλούϊα. Ψεύδους γέννημα γέγονα· τὴν ἀλήθειαν γὰρ ποτὲ δὲν ἠγάπησα... Ἀλληλούϊα. Ἀλλ' οὐδὲ πτωχοῦ ποτὲ δὲν ἔκλινα τὸ αὐτίον μου... Ἀλληλούϊα. Λογισμῶν πονηρῶν ἐργαστήριον εἰς τὴν ζωήν μου ἐγίνηκα... Ἀλληλούϊα. Μέλλω νὰ κατακριθῶ εἰς τὴν ὥραν τῆς κρίσεως ἐγὼ ὁ ταλαίπωρος... Ἀλληλούϊα. Ὅταν βάλλω εἰς νοῦν μου τὰ ἔργα μου, τρέμω... Ἀλληλούϊα. Σήμερον, ἀδελφοί μου, χωρίζομαι τῆς ὑμῶν ἐπὶ γῆς ἀδελφότητος.. Ἀλληλούϊα. Οἱ ἱερεῖς, ὅπου μὲ τὴν ἁγίαν στολὴν ἐστολίσθητε, τὸν ἔλαφον ζηλώσατε καὶ τρέχετε εἰς τὴν βρῶσιν.. Ἀλληλούϊα. Ὑπὲρ τοὺς πιστούς, ἀδελφοί, καλὸν παράδειγμα γίνεσθε... Ἀλληλούϊα. Τὸ χρεὼν ὁ χορὸς ψάλατε εἰς τὴν κοίμησιν τοῦ ἀδελφοῦ ὑμῶν καὶ χαίρεσθε... Ἀλληλούϊα. Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθημεν, Χριστὸν ἐνεδύθημεν... Ἀλληλούϊα. Συντρόφους καλούς, ἀδελφοί, πρέπει νὰ ἔχωμεν... Ἀλληλούϊα. Σύναψον καὶ τούτους· Καὶ ἐὰν ἐκεῖνοι, ὅπου ἀπὸ χώραν εἰς χώραν ὑπάγουσιν, ἔχουσι χρείαν ἄλλους διὰ νὰ τοὺς ἑρμηνεύουσιν... Ἀλληλούϊα. Πονηρὰ εἶναι ἡ στράτα, ἀδελφοί, ὅπου ὑπαγένω, τὴν ὁποίαν ἄλλην φορὰν δὲν ἐπεριπάτησα... Ἀλληλούϊα. Ἡ νεότης καὶ ἡ εὐμορφία τοῦ κορμίου μας, ὦ ἄνθρωποι, εἰς τὸν καιρὸν τοῦ θανάτου μαραίνεται.. Ἀλληλούϊα. Ἡσυχάσατε τὸ λοιπὸν καὶ σωπάσατε... Ἀλληλούϊα. Ἂν ἠλέησας, ἄνθρωπε, ἄνθρωπον, αὐτὸς ὁ Θεὸς μέλλει ἐκεῖ νὰ σὲ ἐλεήσῃ... Ἀλληλούϊα. Συντροφιάζετε, ὦ φίλοι, τοὺς ἀποθαμένους, συντροφιάζετε... Ἀλληλούϊα. Ἰδοὺ λοιπόν, ὅπου θεωροῦμεν τοῦτον τὸν ἱερέα νεκρὸν καὶ κοίτεται... Ἀλληλούϊα. Τί πικρὰ εἶναι τῶν ἀποθαμένων τὰ λόγια, τὰ ὁποῖα, ὅταν μισεύουν, οὕτως μᾶς λέγουσιν .. Ἀλληλούϊα. Τί συγχύζεσαι ἀδιαφόρετε ἄνθρωπε, καὶ δὲν ἔχεις χορτασμὸν εἰς τοῦ κόσμου πράγματα... Ἀλληλούϊα. Οὐδένα πρᾶγμα δὲν ξεχάνεται εὐκολώτερα, ὡσὰν

ὅπου ξεχάνουν οἱ ζωντανοὶ τὸν ἀποθαμένον... Ἀλληλούϊα. Κατακαίονται μόνον αἱ καρδίαις μας, ἄνθρωποι, νὰ ἀκούωμεν, πῶς εἶναι εἰς τὸν ἄλλον κόσμον... Ἀλληλούϊα. Πάντοτε, ἀδελφοί μου, δὲν παύεται ὁ ἐχθρός, ἀλλὰ πολλῶν τρόπων τέχναις ἐργάζεται... Ἀλληλούϊα. Ὅλα τὰ δάκρυα δὲν εἶναι μιᾶς λογῆς, ἀδελφοί, καθὼς λέγουσιν οἱ διδάσκαλοι... Ἀλληλούϊα. Καλὰ εἶναι τὰ δάκρυα, ὦ χριστιανοί, καλὰ εἶναι, μὰ ὅταν κλαίωμεν, καθὼς πρέπει... Ἀλληλούϊα. Σωπᾶτε τὸ λοιπὸν οἱ μυρολογήτραις, μᾶλλον δαιμονολογήτραις... Ἀλληλούϊα. Ἡσυχάσατε τὸ λοιπὸν καὶ σωπάσατε καὶ μὲ τὰ κλαύματά σας τὴν ψυχὴν τοῦ νεκροῦ μὴ πειράζετε.. Ἀλληλούϊα. Παναγία Παρθένε ἀνύμφευτε... Πάλιν· Μετὰ τῶν ἁγίων... ἡ αἴτησις καὶ εὐχή· Μνήσθητι, Κύριε, τῆς ψυχῆς τοῦ κεκοιμημένου δούλου σου, ὁ δεῖνα, ἱερέως, ἀδελφοῦ καὶ συλλειτουργοῦ ἡμῶν, τοῦ πίστει ὁμολογοῦντός σε, ἐπάκουσον δὲ ἡμῶν τῶν ἀναξίως δεομένων σου, καὶ παράσχου συγγνώμην τῷ δούλῳ σου, εἰ καὶ παρώργισέ Σε, ὡς ἄνθρωπος, ὡς σάρκα ἀνθρωπίνην φορέσαντι καὶ ἀσθένειαν ἔχοντι, καὶ ὡς ἐπήκουσας τῇ θελήσει σου Θέκλᾳ τῇ πρωτομάρτυρι, τῇ ἐπὶ μητρὶ δεήσει εἰδωλολάτριδι οὔσῃ, καὶ οὐ παρεῖδες, ἀλλὰ ὡς εὐδιάλλακτος Θεὸς ἔδωκας αὐτῇ συγγνώμην, οὕτως ἐπάκουσον ἡμῶν, δεομένων σου οὐκ ἐπ' εἰδωλολάτριδι, ἀλλὰ ἐπὶ τὸν πιστόν σου δοῦλον καὶ ἱερέα, καὶ ἄνες, ἄφες αὐτοῦ τὰ ἐγκλήματα καὶ ἀνάπαυσον μετὰ πάντων τῶν ἁγίων σου, στῆσον αὐτὸν ἐκ δεξιῶν σου ἐν τῇ βασιλείᾳ σου, ἀνάκλινον αὐτὸν εἰς τοὺς κόλπους τοῦ Ἀβραάμ, Ἰσαὰκ καὶ Ἰακώβ, ψώμισον αὐτὸν ἀπὸ τοῦ ξύλου τῆς ζωῆς, ὅπως καὶ αὐτὸς ἀκούσῃ τῆς εὐλογημένης φωνῆς σου, τῆς λεγούσης· Δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου, καὶ χάρισον αὐτῷ, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασας ὁ Θεὸς τοῖς ἀγαπῶσί σε, καὶ αὐτὸς μὲν ὡς ἄνθρωπος ἥμαρτεν, Σὺ δὲ ὡς Θεὸς συγχώρησον, ἐμοὶ δὲ τὸ εὔξασθαί σοι, Κύριε, σοὶ δὲ τὸ ἔλεος. Ὅτι σὺ εἶ ἡ ἀνάστασις. ἡ ζωή... Послѣ 8 пѣсни αἴτησις καὶ εὐχή· Ὁ μέγας ἀρχιερεὺς καὶ δίκαιος, Κύριε Ἰησοῦ Χριστέ, τὸν μεθ' ἡμῶν σοι δουλεύσαντα ἀδελφὸν καὶ συλλειτουργὸν ἡμῶν, ὁ δεῖνα. См. выше стр. 533. Послѣ 9 пѣсни ектенья: Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς προαναπαυσαμένης ψυχῆς τοῦ ἀειμνήστου... Ὑπὲρ τοῦ μετασχεῖν αὐτὸν τῆς μακαρίας ἐλλάμψεως τῆς ἁγίας ὁμοουσίας καὶ ζωαρχικῆς Τριάδος.. Ὑπὲρ τοῦ δεχθῆναι τὸ Πνεῦμα αὐτοῦ, ἔνθα οἱ δίκαιοι... Ὑπὲρ τοῦ συγχωρηθῆναι... Ὑπὲρ τοῦ ῥυσθῆναι... Ἀντιλαβοῦ, σῶσον.. Τῆς παναγίας... Ὅτι σὲ αἰνοῦσι... Ἐξαποστειλάριον· Νῦν ἀνεπαυσάμην καὶ εὗρον ἄνεσιν πολλήν... β'. θεοτοκίον· Νῦν ἐξελεξάμην τὴν θεομήτορα κόρην... Εἶτα προσόμοια, ἦχος πλ. β'.

Στίχος· Ἄνθρωπος, ὡσεὶ χόρτος αἱ ἡμέραι... Ξένον τὸ μυστήριον τοῦ θανάτου· καὶ γὰρ ἐπεισέρχεται ἐν ἀωρίᾳ... Στίχος· Ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ.. Ἀπηγορευμένος τοῖς ἀδελφοῖς μου καὶ κεχωρισμένος τῶν προσφιλῶν μου... Στίχος· Ἐξελεύσεται τὸ πνεῦμα αὐτοῦ... Γένος καὶ τὰ τέκνα μου καταλείψας.. Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἀπολοῦνται... Βεβορβορωμένος ταῖς ἁμαρτίαις καὶ γεγυμνωμένος... Δόξα, Θεοποιηθέντες τῇ μεταλήψει τῶν ζωοποιῶν σου νῦν μυστηρίων... Καὶ νῦν, Πεπολιτευμένος ἐν εὐσεβείᾳ καὶ κεκοσμημένος ὁ ἱερεύς σου... Προκείμενον, ἦχος πλ β'· Μακαρία ἡ ὁδός... Στίχος· Κατευθυνεῖ Κύριος τὰ διαβήματά σου. Πρὸς Κορινθίους· Ἀδελφοί, εἰ Χριστὸς κηρύσσεται, ὅτι ἐκ νεκρῶν ἐγήγερται.. Ἀλληλούϊα, Μακάριος, ὃν ἐξελέξω... Εὐαγγέλιον κατὰ Ἰωάννην· Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους· ἐάν τις τὸν λόγον ἐμοῦ τηρήσῃ, θάνατον οὐ μὴ θεωρήσῃ... Αἴτησις, εἶτα γίνεται ἀσπασμός, ψάλλοντες τὰ παρόντα, ἦχος β'· Ὅτε ἐκ τοῦ ξύλου. Δεῦτε τελευταῖον ἀσπασμὸν δῶμεν, ἀδελφοί, τῷ θανόντι... Στίχος· Κύριε, ἀνάπαυσον τὸν δοῦλον. Δεῦτε τελευταῖον ἀσπασμὸν δῶμεν, ἀδελφοὶ καὶ πατέρες, τῷ πρὸ μικροῦ μεθ' ἡμῶν... Δεῦτε, ἀδελφοὶ συλλειτουργοί, γνῶμεν τὸ ἐξαίσιον τέλος... Δεῦτε, ἀδελφοί μου καὶ γνωστοί, ἴδωμεν τὸ πέρας τοῦ βίου... Οἴμοι ἡ ὥρα φοβερά, οἴμοι χωρισμὸς τῆς μονῆς μου καὶ ἀδελφότητος... Θρῆνος καὶ κλαυθμὸς καὶ ὀδυρμὸς νῦν ἐν τῇ παρούσῃ ἡμέρᾳ τῆς ἐκδημίας τῆς σῆς.. Μόνος κραταιὸς καὶ δυνατός, μόνος φοβερὸς ἐν ἰσχύϊ ὑπάρχων, Κύριε... Τοῦτο τῆς ζωῆς ἡμῶν ἐστι τὸ ἀπαραχώρητον τέλος καὶ ἐπιτίμιον... Ποῖος χωρισμός, ὦ ἀδελφοί, ποῖος κοπετός... Νεῦσον παρακλήσεσι, Χριστέ, ταῖς τῆς παναχράντου Μητρός σου.. Δόξα, Ὁρῶντές με ἄφωνον καὶ ἄπνουν.. Καὶ νῦν, Πρεσβείαις τῆς τεκούσης σε, Χριστέ... Εἶτα ἄραντες τὸ λείψανον, οἱ ἱερεῖς ψάλλονται τὸ Ἅγιος ὁ Θεός, καὶ τίθουσιν αὐτὸ ἐν τῷ τάφῳ, λέγοντες τὰ παρόντα· Αὕτη ἡ κατάπαυσίς μου... ἦχος πλ. β'· Γῆ χανοῦσα... Καθὼς εἶπας, Κύριε, τῇ Μάρθᾳ... Ἐξέλιπον ἀπὸ συγγενῶν μου... Δόξα καὶ νῦν, Ἐγώ, Παρθένε ἁγία Θεοτόκε, τῇ σκέπῃ σου προστρέχω... Καὶ πρὶν νὰ καλύψουσι τὸν τάφον, λέγοντες Τρισάγιον, Ὅτι σοῦ ἐστιν, τροπάριον τῆς προφητείας, ἦχος β'· Ὁ συνέχων τὰ πέρατα... Δόξα, Μνήσθητι, Κύριε, ὡς ἀγαθός, τῆς ψυχῆς τοῦ δούλου σου.., καὶ θεοτοκίον· Μήτηρ ἁγία, ἡ τοῦ ἀφράστου φωτός.. Προκείμενον τῆς προφητείας, ἦχος δ'. Προφητείας Ἰεζεκιήλ· Ἐγένετο ἐπ' ἐμὲ χεὶρ Κυρίου καὶ ἐξήγαγέ με ἐν Πνεύματι Κυρίου καὶ ἔτεκέ με ἐν μέσῳ πεδίου... Προκείμενον τοῦ ἀποστόλου, ἦχος πλ. β'· Κύριος φυλάξοι τὴν εἴσοδόν σου.. Στίχος· Φυλάξοι τὴν ψυχήν σου ὁ Κύριος. Πρὸς Ῥωμαίους· Ἀδελφοί,

ὅσοι εἰς Χριστὸν ἐβαπτίσθημεν, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν... Ἀλληλούϊα. Στίχος· Ἀναστήσονται οἱ νεκροί... Εὐαγγέλιον κατὰ Ἰωάννην· Εἶπεν ὁ Κύριος· νῦν ἐδοξάσθη ὁ Υἱὸς τοῦ ἀνθρώπου... Τέλος· ἵνα ἡ ἀγάπη, ἣν ἠγάπησάς με, ἐν αὐτοῖς τε κἀγὼ ἐν αὐτοῖς. Ἕτεροι εἰώθασι λέγειν τὸ εὐαγγέλιον τοῦ ἁγίου Λαζάρου, ἐκ τοῦ κατὰ Ἰωάννην· Τῷ καιρῷ ἐκείνῳ, ἦν τις ἀσθενῶν Λάζαρος ἀπὸ τὴν Βηθανίαν.., σὺ δέ, οἷον βούλει, λέγε ἐκ τῶν δύο. Μετὰ δὲ τὸ εὐαγγέλιον αἴτησις μικρὰ καὶ ἡ εὐχή· Δέσποτα πολυέλεε, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ μακρόθυμος καὶ εὔσπλαγχνος καὶ ὑπεράγαθος, ὁ οἴκησιν ἔχων τὸν οὐρανὸν καὶ πάντα διέπων τὰ ἐπὶ τῆς γῆς, ὁ μὴ θέλων τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν, παρακλήθητι ἐπὶ τὰς ἐντεύξεις τῶν δούλων καὶ ἱκεσίας ἡμῶν τῶν ἁμαρτωλῶν· Σὺ γὰρ ἐπίστασαι τὴν ἐργασίαν τοῦ τελευτήσαντος ἀδελφοῦ ἡμῶν, ὁ δεῖνα, ἱερέως καὶ συλλειτουργοῦ ἡμῶν, ἣν ἐν τῷ αἰῶνι τούτῳ εἰργάσατο, ἀμεῖψαι οὖν αὐτὸν δεόμεθα οὐ κατὰ τὰς ἐπιγείας αὐτοῦ καὶ προσκαίρους πράξεις, ἀλλὰ κατὰ τὴν σὴν ἀμνησίκακον ἀγαθότητα, δώρησαι αὐτῷ ἄνεσιν, καὶ παράσχου συγγνώμην εἰς ὅσα σε, ὡς ἄνθρωπος, παρώργισεν, ἀπόλυσον αὐτὸν τῆς μάστιγος τῶν πονηρῶν πνευμάτων, ἀνάγαγε ἐκ τοῦ σκότους καὶ ἔκβαλε ἐκ τῆς φυλακῆς καὶ πάσης παιδεύσεως αὐτῶν. Σὺ γὰρ ἐπηγγείλω, Δέσποτα, ὅτι ὅσα ἂν αἰτήσητε τὸν Πατέρα ἐν τῷ ὀνόματί μου, δώσει ἡμῖν, διὸ αἰτούμεθα, ἁμαρτωλοὶ καὶ ἀνάξιοι δοῦλοί σου, ὑπὲρ τῆς ψυχῆς αὐτοῦ, καὶ ἀνάπαυσον αὐτόν, ἔνθα οἱ δίκαιοι ἀναπαύονται, καὶ πᾶν ἁμάρτημα αὐτοῦ ἑκούσιον καὶ ἀκούσιον συγχωρήσας ἐξάλειψον, ὅτι οὐδεὶς ὤφθη ἐπὶ γῆς ἀναμάρτητος, εἰ μὴ Σύ, ὁ καθαρὸς καὶ ἀμίαντος Θεός, ὁ εὐδοκήσας γενέσθαι ἄνθρωπος διὰ τὴν σωτηρίαν ἡμῶν καὶ ἀνεκαίνισας ἡμᾶς ἐξ ὕδατος καὶ πνεύματος, καὶ ἐκόσμησας ἡμᾶς διὰ τῆς μεγάλης ταύτης χάριτος τῆς ἱερωσύνης, ὁ καὶ πρεσβεύειν ἔταξας ἡμᾶς ὑπὲρ τῶν τεθνεώτων, διὸ δεόμεθά σου, Κύριε, κατάταξον αὐτὸν μετὰ πάντων τῶν ἁγίων, τῶν ἀπ' αἰῶνος εὐαρεστησάντων σοι. Καὶ ὥσπερ ἐπὶ τῆς γῆς ἐν τῇ ἐκκλησίᾳ σου λειτουργὸν αὐτὸν κατέστησας, οὕτως καὶ ἐν τῷ οὐρανίῳ σου θυσιαστηρίῳ μετὰ τῶν ἁγίων ἀγγέλων σου λειτουργεῖν καταξίωσον, ἐπὶ ἀνθρώπων πνευματικῇ ἀξιώσει, ἐπὶ ἀγγέλων τῇ σῇ δόξῃ εὐπρέπισον καὶ ἀκατάκριτον τήρησον αὐτόν, τὴν ζωὴν ἐπὶ τῆς γῆς ἐδόξασας, αὐτὸς καὶ τὴν ἔξοδον αὐτοῦ ἐν τῇ εἰσόδῳ τῶν ἁγίων σου ποίησον, καὶ εἴτι ἥμαρτεν ἐν λόγῳ, ἢ ἔργῳ, κατὰ νοῦν καὶ διάνοιαν, ἐν νυκτὶ καὶ ἡμέρᾳ, συγχωρήσας ἐξάλειψον, καὶ τῶν πενθούντων ἀντιλήπτωρ καὶ παραμυθία γενοῦ, Κύριε, καὶ παρηγόρησον αὐτούς, καὶ καταύγασον τὴν ἀχλὺν τῆς ἀθυμίας αὐτῶν τῷ νοερῷ σου φωτί, καὶ ὃν ἡμεῖς ἐν τῷ μνήματι τούτῳ ὡς νεκρὸν τεθείκαμεν, Σύ, Κύριε, ἐν τῇ

κοινῇ ἀναστάσει ἀνάστησον καὶ στῆσον τῆς δεξιᾶς μερίδος τῶ εὐαρεστησάντων σοι, καὶ ἡμᾶς, τοὺς συνελθόντας εἰς τὴν ἔξοδον ταύτην τοῦ δούλου καὶ ἀδελφοῦ ἡμῶν, ἐλέησον καὶ γενοῦ ἵλεος ταῖς ἀνομίαις ἡμῶν καὶ ἄμειψαι ἡμᾶς ἐν τῷ βραχύπνῳ (?) τούτῳ μετ' αὐτοὺς ἐν τῇ ἀνεσπέρῳ δόξῃ τῆς βασιλείας σου πρεσβείαις καὶ ἱκεσίαις τῆς πανυπερευλογημένης ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων νοερῶν ἀΰλων θείων δυνάμεων ἀσωμάτων, τοῦ τιμίου ἐνδόξου προφήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων, τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων μαρτύρων, τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν, τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης καὶ πάντων τῶν ἁγίων. Ὅτι σὺ εἶ ἡ ἀνάστασις... Καὶ μετὰ τὴν εὐχὴν λαβὼν ὁ ἱερεὺς χοῦν μετὰ πτύου, καὶ θέσας αὐτὸ ἐπάνω τοῦ λειψάνου, λέγει· Τοῦ Κυρίου ἡ γῆ, καὶ ἐπιχέων κανδήλᾳ ἐπάνω αὐτοῦ, λέγων τροπάριον, ἦχος γ'· Τῷ τύπῳ τοῦ σταυροῦ σου, φιλάνθρωπε... Εἶτα καλύπτουσι τὸν τάφον, λέγοντες τοὺς εἱρμοὺς τοῦ μεγάλου κανόνος· Βοηθὸς καὶ σκεπαστής, καὶ τοὺς στίχους. Καὶ ὁ ἱερεύς, ποιήσας πάλιν μετὰ πτύου, καὶ θέσας ἐπάνω τῆς πλακὸς ἢ ἐπάνω τοῦ λειψάνου, ποιεῖ σταυροῦ τύπον, λέγει· Τὸν πηλὸν ὁ κεραμεύς.., καὶ εὐθὺς Τρισάγιον καὶ τὰ τροπάρια· Μετὰ πνευμάτων δικαίων κ. τ. λ., ектенья съ молитвою: „Боже духовъ“, ἀπόλυσις. Αἰωνία σου ἡ μνήμη, ἀξιομακάριστε δοῦλε τοῦ Θεοῦ, ὁ δεῖνα, ἱερεῦ καὶ ἀείμνηστε ἀδελφὲ ἡμῶν. Αὐτὸν μακαρίσοι Κύριος ὁ Θεὸς καὶ ἡμᾶς ἐλεήσοι καὶ σώσοι, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος. Καὶ ποιοῦσιν οἱ ἱερεῖς καὶ ἅπας ὁ λαὸς ἐπάνω τοῦ τάφου μετανοίας ρ', λέγοντες· Κύριε Ἰησοῦ Χριστέ, διὰ τῆς Θεοτόκου ἀνάπαυσον τὸν δοῦλόν σου.

Ἀκολουθία εἰς μνημόσυνον ἱερέων.

Обычное начало, канонъ съ акростихомъ: Ὕμνον Ἱλαρίωνος, Χριστέ μου, δέχου. Ἀμήν, апостолъ и евангеліе по выбору, изъ имѣющихся въ чинѣ погребенія, ектенья и молитва: Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον, ὁ ἀποκτείνων καὶ ζωοποιῶν, ὁ κατάγων εἰς ᾅδου πύλας καὶ ἀνάγων... Goar pag. 452. Ὁ Θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκός... и отпустъ.

CLX. Рукопись патріаршей скевофилакіи въ Каирѣ въ 16 долю листа, 30 листовъ, писана мелкою скорописью 1790 года. Надписывается: Φυλλάδα, ἐν ᾧ περιέχεται ἡ ἀκολουθία τῆς ἀναβάσεως τοῦ Νείλου.

л. 1 об. Τῇ ἁγίᾳ καὶ μεγάλῃ κυριακῇ τοῦ Πάσχα εἰς τὸν ἑσπερινόν. Вечернее евангеліе, раздѣленное на стихи для чтенія.

л.л. 2 об.—3. Разныя замѣчанія.

л. 4. Ἕτερα προσόμοια εἰς ἦχον πλ. δ'· Φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων βοᾷ, λέγουσα· Δεῦτε ἴδετε πάντες πρᾶγμα θαυμάτων, θαῦμα πραγμάτων, τῆς τοῦ Νείλου ποταμοῦ πλημμύρας καὶ ἀναβάσεως, κράζοντες· μέγας εἶ, Κύριε, καὶ θαυμαστὸς ἐν τοῖς ἔργοις σου, δόξα σοι.—Σήμερον ἄβυσσος ἄβυσσον ἐπικαλεῖται εἰς βροχὴν ἑκούσιον καὶ ῥανίδα ἐλέους τοῦ θεϊκοῦ ἐπὶ τὸν ἐν Αἰγύπτῳ ποταμὸν κατελθεῖν, κατὰ τὴν τοῦ χρόνου περίοδον, ὅθεν κράζομεν· Κύριε ὁ Θεὸς ἡμῶν, πλούσια τὰ ἐλέη σου καὶ τοὺς οἰκτιρμούς σου κατάπεμψον ἡμῖν, ὡς φιλάνθρωπος.—Κύριε ὁ Θεὸς ἡμῶν, ὁ λόγῳ σου τῷ παντουργῷ στερεώσας τὸν οὐρανὸν καὶ τὴν γῆν ἐπὶ ὑδάτων ἑδράσας, καὶ τῷ Πνεύματί σου τῷ ἁγίῳ συνέχων καὶ τρέφων πᾶσαν τὴν κτίσιν, καὶ τῇ θείᾳ σου προνοίᾳ ποταμοὺς ἐκ τῶν ἀβύσσων τῆς γῆς ἀναβλύζειν ὁρίσας, Αὐτός, Κύριε, καὶ τὰς τοῦ ἐν Αἰγύπτῳ ποταμοῦ πλημμύρας ἀναβάσεις πρυτάνευσον, ὡς μόνος παντοδύναμος.

л. 5. Ἀκολουθία ἐπὶ τῆς τοῦ Νείλου ἀναβάσεως· τελεῖται δὲ τῇ κυριακῇ τῶν τιη' θεοφόρων πατέρων. Объ этомъ чинѣ, не смотря на то, что онъ во всемъ сходенъ съ нижеслѣдующемъ, замѣчено: Ἡ παροῦσα ἀκολουθία ἐν πολλοῖς σφάλλεται.

л. 13 об. Ἡ πρώτη στάσις οἴκων ἀναγινώσκεται τῇ ἱκετηρίῳ ἀκολουθίᾳ τῆς ἀκαθίστου καὶ ἐν τῇ ἑσπέρᾳ τῆς παρασκευῆς τῆς ἁγίας τεσσαρακοστῆς παρὰ τοῦ πατριάρχου. Послѣ ея окончанія, замѣчено: καὶ προσκυνήσας ἀσπάζεται τὴν εἰκόνα, εὐλογῶν τὸν λαόν.

л. 14 об. Ἀκολουθία τοῦ θείου καὶ ἱεροῦ νιπτῆρος. Goar p. 591—594.

л. 18. Ἀκολουθία ἐπὶ τῆς τοῦ Νείλου ἀναβάσεως· τελεῖται δὲ τῇ κυριακῇ τῶν τιη' θεοφόρων πατέρων.

Τροπάρια, ἦχος πλ. δ'· Φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων βοᾷ, λέγουσα· θαῦμα παράδοξον τετέλεσται σήμερον ἐν τῇ Αἰγύπτῳ, πνεῦμα σοφίας, πνεῦμα συνέσεως, πνεῦμα φόβου Θεοῦ, τοῦ ἐπιφανέντος Χριστοῦ.—Ὅμοιον· Σήμερον τὰς εὐλογίας σου αἰτοῦμεν κατιδεῖν, φιλάνθρωπε, ἐπὶ τοῖς Νειλώοις ὕδασι, καὶ προσπίπτοντες ἐν κατανύξει, βοῶμέν σοι· ὑδάτων πλήρωσον τὸν ποταμόν σου, Δέσποτα, καὶ ἐλέησον ἡμᾶς.—Ὅμοιον· Τὴν πέτραν δίς ποτε πατάξας Μωϋσῆς, ὑδάτων ποταμοὺς ἐξήγαγεν, οἱ δὲ διψῶντες παρ' ἐλπίδα ἔπιον, Σὲ δέ, Σωτήρ, τὸν ζῶντα λίθον, τῇ χάριτι τῆς σταυρικῆς ῥάβδου κρούοντες, τῆς σῆς δωρεᾶς τὰ ῥεῖθρα ἐλπίζομεν ἰδεῖν ἐπὶ τὸν ποταμόν σου τὸν ἅγιον, καὶ κατάπεμψον αὐτὰ καὶ σῶσον ἡμᾶς.—Ὅμοιον· Ἰουδαίων τῷ ἔθνει τὰ πικρὰ ὕδατα εἰς γλυκύτητα μεταβαλών, ἔδειξας

τὸ ἀνείκαστόν σου ἔλεος, τὰς δὲ ξηρὰς τῆς γῆς αὔλακας ταῖς νεφέλαις σου ἐμέθυσας ἐν ἱκεσίαις τῶν δούλων σου, ἀλλὰ καὶ νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχόμενος, εὔφρανον ἡμᾶς ἐν τῇ πλημμύρᾳ τοῦ Νείλου, καὶ μέθυσον ἅπαν τὸ τῆς Αἰγύπτου πρόσωπον, ἵνα Σὲ δοξάζωμεν εἰς πάντας τοὺς αἰῶνας.—Δόξα καὶ νῦν, ὅμοιον· Δεῦτε πάντα τὰ ἔθνη καὶ ἐνωτίσασθε πάντες οἱ κατοικοῦντες τὴν γῆν· θαῦμα, πᾶσαν ἔννοιαν ἐκπλῆττον, ὄμβρους ἄνωθεν τὰ ποικίλα τῶν δένδρων ἐκ προνοίας καταδέχεται, τὰ δὲ παντοδαπὰ τῶν φυτῶν κάλλη, ὑετοῖς καταποτίζεται, ἐξ ὧν λίμναι πλουτοῦνται, φρέατα ἐκβλύζουσι, πηγαὶ νάουσι, καὶ ποταμοὶ πρόσφατοι μετ' αεννάων καλλιῤῥοοῦσι, κάτωθεν δὲ πλῆθος ὑδάτων εὐῤῥόων, οὐδέτις τῶν μυστιπόλων προέφη, ὅτε ἐκ Θεοῦ ἡ φύσις ἐτίκτετο, ἀλλ' ἐθαυματούργησε τοῦτο ὁ τῆς κτίσεως ἀρχιτέκτων ἐπὶ τὸν ποταμὸν τῆς Αἰγύπτου, ἐξ ἐλέους οὕτως αἰτιώμενος· ἱλεώσωμεν τοίνυν τὸν ἡμᾶς ἐλεοῦντα ἐν ταῖς ἀγαθαῖς καὶ ἱεραῖς πράξεσιν, ἵνα καὶ νῦν ἐλεήσηται ἡμᾶς τῇ αὐτῇ πλημμύρᾳ, τῷ ἤθει τῆς αὐτοῦ ἀγαθότητος, ὑμνοῦντας αὐτὸν εἰς τοὺς αἰῶνας. Εἶτα ὁ διάκονος τὸ Σοφία, πρόσχωμεν. Γενέσεως τὸ ἀνάγνωσμα· Αὕτη ἡ βίβλος γενέσεως οὐρανοῦ τε καὶ γῆς... Τέλος· ἐργάζεσθαι αὐτὸν καὶ φυλάσσειν. Βασιλειῶν τετάρτης τὸ ἀνάγνωσμα· Εἶπον οἱ ἄνδρες τῆς πόλεως Ἱεριχὼ πρὸς Ἐλισσαιέ. Τέλος· καὶ ἰάθη τὰ ὕδατα ἕως τῆς ἡμέρας ταύτης κατὰ τὸ ῥῆμα, ὃ ἐλάλησεν Ἐλισσαιέ. Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα· Τάδε λέγει Κύριος· ἀντλήσατε ὕδωρ μετ' εὐφροσύνης ἐκ τῶν πηγῶν τοῦ σωτηρίου.. Τέλος· Ὅτι ὑψώθη ὁ ἅγιος τοῦ Ἰσραὴλ ἐν μέσῳ αὐτῆς. Εἶτα ἀπόστολος[1]), προκείμενον, ἦχος πλ. β'· Πλησθησώμεθα ἐν τοῖς ἀγαθοῖς τοῦ οἴκου σου, ἅγιος ὁ ναός σου, θαυμαστὸς ἐν δικαιοσύνῃ. Πρὸς Κορινθίους ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα. См. выше стр. 687. Ἀλληλουάριον[2]), Φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων βοᾷ, λέγουσα... (Στίχος)· Εὐλόγησον τὸν στέφανον τοῦ ἐνιαυτοῦ... Εἶτα ὁ διάκονος τὸ Σοφία, ὀρθοὶ ἀκούσωμεν τοῦ ἁγίου εὐαγγελίου. Καὶ ὁ πατριάρχης· Εἰρήνη πᾶσιν. Ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου εὐαγγελίου τὸ ἀνάγνωσμα. См. выше стр. 687. Καὶ εὐθὺς ὁ διάκονος τὰ εἰρηνικά[3])· Ἐν εἰρήνῃ.. Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῆς εἰρήνης... Ὑπὲρ τοῦ ἁγίου οἴκου.. Ὑπὲρ τοῦ πατρὸς ἡμῶν πάπα καὶ πατριάρχου Παρθενίου[4]) (1788—1805)... Ὑπὲρ τῆς πόλεως ταύτης... Ὑπὲρ εὐκρασίας ἀέρων... Ὑπὲρ πλεόντων, ὁδοιπορούντων... Ὑπὲρ τοῦ ἁγιασθῆναι τὰ ὕδατα ταῦτα τῇ δυνάμει .. ἐκ γ'[5]). Ὑπὲρ τοῦ ῥυσθῆναι... Ἀντιλαβοῦ, σῶσον... Τῆς πα-

[1]) Варіанты беремъ изъ рукописи № 13 патріаршей библіотеки въ Каирѣ: Καὶ εὐθὺς τὸ προκείμενον τοῦ ἀποστόλου. [2]) Ἀλληλουάριον опущенъ. [3]) Ὁ διάκονος Ἐν εἰρήνῃ. [4]) Нѣтъ имени. [5]) Нѣтъ ἐκ γ'.

ναγίας ἀχράντου... Ὁ πατριάρχης[1]· Ὅτι πρέπει. Εἶτα[2]) ἄρχεται ὁ πατριάρχης καὶ ψάλλει μετὰ κατανύξεως τὸ παρὸν[3]) τροπάριον εἰς ἦχον πλ. β'· Εὔσπλαγχνε, μακρόθυμε καὶ πανοικτίρμων Κύριε, κατάπεμψον τὸ ἔλεός σου ἐπὶ τὸν λαόν σου. Ἐκ τρίτου[4]) τὸ τροπάριον μετὰ τῶν στίχων. Στίχος[5])· Ὁ ποταμὸς τοῦ Θεοῦ ἐπληρώθη ὑδάτων. Στίχος[6])· Ὅτι οὕτως ἡ ἑτοιμασία τὰς αὔλακας αὐτῆς μέθυσον. Καὶ πάλιν ὁ πατριάρχης ἄρχεται τοῦ δευτέρου[7]) τροπαρίου, ἦχος ὁ αὐτός· Ὡς οἰκτίρμων Κύριε, ἐσπλαγχνίσθητι ἐπὶ τὸν λαόν σου, καὶ ἀνάγαγε τοῦ Νείλου τὰ ὕδατα, καὶ ἐλέησον ἡμᾶς, ὡς φιλάνθρωπος. Τὸ αὐτὸ ἐκ γ' μετὰ τῶν στίχων[8]). Στίχος[9])· Πλήθυνον τὰ γεννήματα αὐτῆς ἐν ταῖς ἀμπέλοις. Στίχος[10])· Εὐλόγησον τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς. Καὶ πάλιν[11]) ὁ πατριάρχης· Δόξα, ὁ αὐτός· Τριὰς ὁμοούσιε, Πάτερ, Υἱὲ σὺν τῷ Πνεύματι, δέξαι μου τὴν δέησιν, καὶ εὐλόγησον τοῦ ποταμοῦ σου τὰ νάματα, ἵνα πάντες εὐφρανθῶμεν καὶ δοξάσωμεν τὸ ἅγιόν σου ὄνομα εἰς τοὺς αἰῶνας. Ὁ δὲ χορὸς τὸ Καὶ νῦν, Παναγία Δέσποινα, ἱκέτευσον τὸν Υἱόν σου καὶ πλάστην σου τοῦ ἐλεῆσαι τοὺς δούλους σου καὶ ἀναγαγεῖν τοῦ Νείλου τὰ ῥεῖθρα εἰς ἀγαλλίαμα πάντων τῶν ἐθνῶν, τῶν τιμώντων τὸ ἅγιόν σου ὄνομα εἰς τοὺς αἰῶνας. Εἶτα ἄρχεται ὁ διάκονος ἐν κατανύξει[12])· Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου... Ὁ μὴ βουλόμενος τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ἀλλὰ ἀναμένων αὐτοῦ ἐπιστροφὴν καὶ τὴν μετάνοιαν, ἐπάκουσον ἡμῶν δεομένων σου. Ὁ ἀνάγων νεφέλας ἐξ ἐσχάτου τῆς γῆς, ἀνάγαγε τὰ ποτάμια ῥεῖθρα τοῦ Νείλου καὶ ἐλέησον ἡμᾶς δεομένους σου. Ὁ προσκαλούμενος τὸ ὕδωρ τῆς θαλάσσης καὶ ἐκχέων αὐτὸ ἐπὶ πρόσωπον πάσης τῆς γῆς, κατάπεμψον τὴν εὐλογίαν σου ἐφ' ἡμᾶς δεομένους σου. Αὐτὸς Θεὲ πλουσιόδωρε, Δέσποτα πανοικτίρμων, ἐπίσκεψαι τὴν γῆν τῆς Αἰγύπτου... Εὔφρανον καὶ ἀνακαίνισον τὴν ἐπιφάνειαν τῆς γῆς τῆς Αἰγύπτου τῇ πλημμύρᾳ τῶν ὑδάτων τοῦ Νείλου καὶ ἐλέησον ἡμᾶς δεομένους σου. Τὰς αὔλακας αὐτῆς μέθυσον... Δέσποτα πολυέλεε, ἐπάκουσον ἡμῶν δεομένων σου. Εὐλόγησον τὸν στέφανον τοῦ ἐνιαυτοῦ.. πληθυνάτωσαν τῶν παντοδαπῶν γεννημάτων τῆς σῆς ἀγαθότητος, καὶ ἐλέησον ἡμᾶς δεομένους σου[13]). См. выше стр. 687—688. Καταδρόσισον καὶ κατάρδευσον τοῖς αὐτοῖς τοῦ Νείλου ὕδασι, καὶ τοὺς

---

[1]) Опущено: ὁ πατριάρχης. [2]) Μετὰ τὴν ἐκφώνησιν ἄρχεται. [3]) τὸ κάτωθι. [4]) Нѣтъ: ἐκ γ' τὸ τροπάριον μετὰ τῶν στίχων. [5]) Ὁ χορός. [6]) ὁ δεύτερος χορός. [7]) Словъ: τοῦ δευτέρου τροπαρίου, ἦχος ὁ αὐτός — нѣтъ. [8]) Нѣтъ этого замѣчанія. [9]) Ὁ χορός. [10]) Ὁ δεύτερος (χορός). [11]) Καὶ πάλιν — нѣтъ. [12]) Нѣтъ: ἐν κατανύξει. [13]) ὡς φιλάνθρωπος вмѣсто: δεομένους σου.

πέριξ χρήζοντας, καὶ δεομένους τόπους, φιλάνθρωπε, ἡμῶν δεομένων σου. Ὁ οἰκτίρμων καὶ ἐλεήμων, οἰκτείρησον καὶ ἐλέησον ἡμᾶς τοὺς ἁμαρτωλοὺς δούλους σου δεομένους. Εἶτα [1]) ὁ πατριάρχης· Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεός... Εἶτα λέγει ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν. Ὁ δὲ πατριάρχης ἀναγινώσκει [2]) τὴν εὐχὴν [3]) ταύτην μεγαλοφώνως· Δέσποτα παντοκράτορ [4]) καὶ Θεὲ τοῦ παντός, ἡ ὑπεραγία Τριάς, ὁ Πατήρ, ὁ Υἱὸς καὶ τὸ ἅγιον Πνεῦμα, ὁ εἷς καὶ μόνος Θεός, ὁ ὑπεράρχιος καὶ ὑπέρχρονος, ὁ ἄριστος καὶ ἀόρατος ἡγεμών, τὸ ἄμετρον καὶ ἀπειροδύναμον κράτος, ἡ ὑπερκατάληπτος σοφία, ὁ ὑπερουράνιος νοῦς, ὁ παντευμήχανος καὶ παντεπίσκοπος, τὸ τρισσοφαὲς κάλλος, τὸ ἀπρόσιτον καὶ ἀνέκφραστον, τὸ φῶς τὸ ἀεὶ διαλάμπον καὶ ἀμετάβλητον, ἡ ἀρχέτυπος τῶν ὅλων σφραγίς, ἡ αὐτοαγαθότης καὶ αὐτοουσία, καὶ αὐτοζωή, καὶ αὐτοδύναμις, αὐτοαδιάσειστον εἶναι τῶν ὄντων, καὶ τῶν λογικῶς ὑπαρχόντων ὁ λόγος, καὶ τῶν νοερῶς κινουμένων ἡ κίνησις, ἡ πανεύφορος αἰτία τῶν ἐγκοσμίων, καὶ ὁ ὑπέρτερος λαμπτὴρ τῶν ἀγγελικῶν οὐσιῶν, ἡ ὑπέρσοφος καὶ δυνατωτάτη ψυχή, ἡ ἀήττητος δύναμις, ἡ ποδηγοῦσα καὶ προηγουμένη. Σύ, ἡ νοητὴ μοίρα, ἡ διαμερίζουσα καὶ εἰδοποιοῦσα τὴν κτίσιν, ἡ σχηματίζουσα τὴν αὐτῆς σύστασιν, ἡ διαγλύφουσα τὰ φυτὰ καὶ διαπλάττουσα τὰ ζῶα, Σύ, ὁ τὴν τοῦ οὐρανοῦ κύκλῳ περιφέρων κίνησιν, ὁ πρόνοιαν ἀκατάπαυστον ἔχων τοῖς ἐν οὐρανῷ καὶ τοῖς ἐπὶ γῆς, ὁ τοῖς φυσικοῖς τὴν αὔξησιν ἐμφυτεύων καὶ τὴν εἰς ἄλληλα (sic) διαδοχὴν διαδέχεσθαι καὶ καρποφορεῖν ἐπιτηδεύων, Σύ, Πάτερ ἡμῶν ἀγαθὲ καὶ βασιλεῦ πραότατε, ἐπάκουσον ἡμῶν τῶν ἀναξίων καὶ ἁμαρτωλῶν σου δούλων ἐν τῇ ὥρᾳ ταύτῃ. διπλᾶς τὰς δεήσεις ποιοῦμεν, καὶ διπλᾶς τὰς ἀπολαύσεις τῶν αἰτήσεων παρὰ τῆς σῆς ἀμετρήτου ἀγαθότητος λήψεσθαι ἐκδεχόμεθα. Δεόμεθα ἵλεον γενέσθαι σε ἡμῖν τοῖς ἀμέτρως σοι πταίσασιν, ἀλλὰ καὶ ἐν ἀληθεῖ ἐπιγνώσει ἐπιστρέφουσι, καὶ δοῦναι ἄφεσιν τῶν πλημμελημάτων ἡμῶν, καὶ τοὺς οἰκτιρμούς σου ἀποδοῦναι ἐν τοῖς καρπογόνοις νάμασι τῶν πολυῤῥήτων τοῦ Νείλου ὑδάτων. Καὶ τοὺς γεωργοὺς οἴδαμεν, ὦ ἄριστε τοῦ παντὸς κυβερνῆτα, ἀροτριᾶν τὸ τῆς γῆς πρόσωπον καὶ ἀποσπᾶν ῥιζόθεν τὰς ἀκάνθας, καὶ ὁμαλίζειν ἐπιμελῶς, τὰ σπέρματα ἐν καιρῷ καταφέροντας καὶ ἐν καιρῷ τὰς ἐκείνων γονὰς ἀναδέχεσθαι. Σὺ δὲ ὁ οὐράνιος καὶ ἐπίγειος γεωργός, ὁ τὰς αὔλακας τῶν

---

1) Καί. 2) Нѣтъ словъ: ἀναγινώσκει и μεγαλοφώνως. 3) τὴν παροῦσαν εὐχήν· Κύριε ὁ Θεός, ὁ μέγας τῇ δυνάμει καὶ θαυμαστὸς τοῖς ἀποτελέσμασι. См ниже (стр. 988) Εὐχὴ ἑτέρα. 4) Молитва эта опущена, и чтеніе ея предоставлено усмотрѣнію настоятеля.

ἡμετέρων κατασκευάσας ψυχῶν, ἀροτρίασον αὐτὰς τῇ σῇ συνέσει καὶ ἀπόσπασον τοῖς οἰκτιρμοῖς σου τὰς ἀκανθώδεις ἡμῶν ἀνομίας. Ταῦτά ποτε καὶ Δαβὶδ ὁ πατρόθεος πρὸς σὲ ἱκετεύσατο, ὅτε τοῖς δάκρυσι τὴν κλίνην κατέβρεχε καὶ κέκραγε καθαρθῆναι αὐτοῦ τὰ ἀνομήματα τοῖς ἀμέτροις σου οἰκτιρμοῖς, ἵνα εὖ γένηται σώματι καὶ ψυχῇ καρπογονῆσαι τὸ μυστήριόν σου φυτεύμασιν, οἷς μόνος Σὺ οἶδας, καὶ τρόποις, οἷς ἐπίστασαι, συγχώρησον οὖν καὶ ἡμῖν τοῖς ἁμαρτωλοῖς καὶ ἀναξίοις δούλοις σου, ἵνα εὖ γένηται τοῖς σώμασι, καὶ καθαρισθῶσιν αἱ ψυχαί, καὶ προσδεχθῶσιν αἱ δεήσεις ἡμῶν, καὶ ἔλθῃ τὸ ἔλεός σου ἐν ταῖς τοῦ ποταμοῦ σου Νείλου ἀναβάσεσι, φεῖσαι, φιλάνθρωπε, ἡμετέρων πταισμάτων, τὰς σὰς δὲ δωρεὰς παράσχου ἡμῖν ἐν τῷ πλήθει τῶν τοῦ ποταμοῦ ῥείθρων, ἀνάγαγε τοῦ ποταμοῦ Νείλου τὰ ὕδατα ἐπὶ τῆς γῆς τῆς Αἰγύπτου. Δοκεῖ, Κύριε τῶν ἁπάντων, ἐκπειράζειν σου τὸ γλυκὺ ἦθος καὶ ἐνοχλεῖν ταῖς παρακλήσεσι σοῦ τὸ πρᾶον καὶ ἥμερον, ἀλλὰ κρεῖσσον κρούειν, καὶ θάῤῥος λαβεῖν, αἰτεῖν τε καὶ θαῤῥεῖν δοθῆναι, ἢ ὑποπεσεῖν τῇ ὀργῇ σου· καὶ παιδευθῆναι τῷ θυμῷ σου· σιδηρά ἐστιν ἡ ῥάβδος τοῦ θυμοῦ σου, Δέσποτα, καὶ τίς ζήσεται ἐν ταῖς μάστιξιν; αἱ μάστιγές σου, δικαιότατε κριτά, ἐσημειώθησαν ἐν τοῖς στόμασι τῶν ἁγίων σου προφητῶν, καὶ ἔμφοβοι γεγόναμεν, ἀναλῶσθαι κατεψηφίσω τοὺς τρυγητοὺς καὶ πεπαῦσθαι τοὺς σπόρους· ἔθνη κατακεκαυμένα ὑπάρχειν τοὺς ἐγκαταλιμπάνοντας τὰς ἐντολάς σου, καὶ ὡς ἀκάνθας ἐν ἀγρῷ ἐῤῥιμένας ἔφης, οὐρανόθρονε βασιλεῦ, ὅτι τρόμος λήψεται τοὺς ἀσεβεῖς καὶ ἡ ὀργή σου ἐπὶ τῶν ἀριθμῶν αὐτῶν τοῦ ἀπολέσαι αὐτοὺς καὶ παραδοῦναι εἰς σφαγήν. Ἔτι τὴν γῆν τὴν ἔγκαρπον στραφῆναι εἰς πίσσαν καὶ εἰς θεῖον, καὶ εἶναι καιομένην νυκτὸς καὶ ἡμέρας, καὶ ἐρημωθῆναι, καὶ κατοικεῖν ἐν αὐτῇ ὄρνεα καὶ θηρία παντοδαπά. Τούτων τῶν κακῶν, ὦ παντοδύναμε βασιλεῦ, τί χεῖρον γένοιτο ἄν; διὰ τοῦτο μετὰ συντετριμμένης καρδίας γόνυ ψυχῆς ἡμῶν κάμπτοντες, δάκρυσι θερμοῖς τὰ πρόσωπα βρέχομεν· δι' ἐξομολογήσεως δὲ καὶ κραυγῆς δημοσιεύομεν τὰς ἀθέσμους ἡμῶν πράξεις, καὶ βοῶντες λέγομεν· Σύ, Κύριε, κριτὴς ἡμῶν, Σὺ ἄρχων ἡμῶν, Σὺ βασιλεὺς ἡμῶν, καὶ ἐπὶ Σοὶ ἠλπίσαμεν, ἐπὶ Σοὶ τὰς χεῖρας ἐκτείνομεν, εἰς Σὲ θαῤῥοῦντες προσπίπτομεν καὶ κράζομεν τὸ ἡμάρτομεν, ἠνομήσαμεν, ἠσεβήσαμεν, καὶ ὀπίσω τῆς διανοίας ἡμῶν τῆς πονηρᾶς ἐπορεύθημεν· ἱερεῖς καὶ ὁ λαός σου ἐξέστημεν ἐπὶ τῷ αὐτῷ, ἀπεκλείσαμεν τοὺς οἰκτιρμούς σου καὶ τὴν φιλανθρωπίαν σου, καὶ σπλάγχνα ἐλέους Θεοῦ ἡμῶν διὰ τὴν κακίαν ἡμῶν καὶ τὴν πονηρίαν τῶν ἐπιτηδευμάτων, μεθ' ἧς ἀνεστράφημεν. Σὺ χρηστός, ἀλλὰ ἡμεῖς ἠνομήσαμεν. Σὺ μακρόθυμος, ἀλλ' ἡμεῖς πληγῶν ἄξιοι. Σὺ φοβερὸς εἶ, καὶ τίς ἀντιστήσεταί

Σοι; τρόμος λήψεται ἀπὸ Σοῦ ὄρη, καὶ μεγέθει βραχίονός Σου τίς ἀντερίσει; Ἐὰν κλείσῃς τὸν οὐρανόν, τίς ἀνοίξει; καὶ ἐὰν κλείσῃς τοὺς καταῤῥάκτας σου, τίς συνάξει; Γινώσκομέν Σου τὴν ἀγαθότητα, καίπερ ἀσυνετοῦντες. Μὴ ἀποῤῥίψῃς ἡμᾶς ἀπὸ τοῦ προσώπου σου, μὴ νικησάτω ἡ ἀνομία ἡμῶν τὸ ἔλεός σου, ἀλλὰ τάχυνον τοῦ ἐλεῆσαι ἡμᾶς, καὶ μὴ μακρύνῃς ἀφ' ἡμῶν τοὺς οἰκτιρμούς σου· τάχυνον λέγομεν, ἵνα μὴ προφθάσῃ ὁ δυσώδης καπνὸς τῶν ἁμαρτημάτων ἡμῶν εἰς τὴν ἀμόλυντόν σου ὀσμήν, καὶ λάβῃς τὸν ζυγὸν τῆς δικαιοκρισίας σου, καὶ ποιήσας κρίσιν, ψηφίσῃς τὴν ἀνταπόδοσιν. Οὐαί, ἡμῖν τότε τοῖς ταλαιπώροις, διότι ὁ ἀὴρ φλογώδης γενήσεται, τὸ δὲ παμπόθητον ὕδωρ ἀποστραφήσεται, ἐμφράξει τὰς φλέβας ἡ γῆ καὶ ἀποξηρανθήσεται ἅπαν τὸ πρόσωπον αὐτῆς, τὴν δὲ λοιπὴν εὔκαρπον χώραν καὶ αὐχμηρία δεινῶς λήψεται. Μία βοὴ τοῖς πετεινοῖς μετὰ τῶν χερσαίων κλαυθμοῦ πλήρης ἀκουσθήσεται. Πρὸς τὰ πετεινὰ πετόμενα τὸν δροσισμὸν τοῦ ἀέρος ἐπιποθοῦντα, κρώζειν λύπης ὑπὸ πολλῆς καὶ ἐνδείας ταχυμοροῦν ἔσονται, ἐκπίπτειν δὲ σπεύσουσι μηκέτι τὴν ξηρασίαν δυνάμενα. Ταὐτὸ δὲ καὶ τὰ κτήνη πεπονθότα τὴν τῆς δίψης στένωσιν ὀλολύζειν, τὴν γῆν ὁμοιοῦσθαι τῇ ξηρᾷ πέτρᾳ, τοὺς χόρτους μαραίνεσθαι καὶ τοὺς βλαστοὺς σὺν τοῖς δένδροις ἀποξηραίνεσθαι. Οὐκέτι σκαφεῖ ἡ γῆ, ἀγριωθήσονται αἱ πόλεις, βοήσουσι τὰ πλήθη καὶ κλαύσουσι τὰ νήπια, καὶ ἐπὶ τοὺς μαστοὺς τῶν μητέρων δραμοῦσι, τὰς δὲ μητέρας ἀφώνους καὶ τεθνηκυίας εὑρήσουσιν αὐτοῦ. Τῶν ὁμοίων οὖν ἡμεῖς οἱ τάλανες μνησθέντες καὶ βεβαρυμένοι ὑπὸ τοῦ πλήθους τῶν ἁμαρτιῶν, ἱκετεύομεν τὴν συμπαθεστάτην σου φιλανθρωπίαν, ἵνα ἡμᾶς ἐλεήσῃς. Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, καὶ ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν· ποίαν ἄλλην καταφυγὴν ἔχομεν, ἅγιε Πάτερ; ἢ ποῦ τὰς ὀδύνας λέγειν καὶ τοὺς πόνους ἐκβοᾶν, καὶ τὰς πληγὰς ἐνδεικνύειν, εἰ μὴ εἰς Σὲ τὸν πλάστην καὶ δημιουργὸν ἡμῶν; Γεωργὸς εἶ, Κύριε παντοκράτορ, καὶ καρποφόρησον ἡμᾶς τῇ σῇ ἐπιμελείᾳ, πηγὴ ὑπάρχεις ἡμῶν ζῶσα, καὶ πότισον τὰ διψῶντα ἡμῶν σπλάγχνα τῇ σῇ κυβερνήσει, θύρα μυστικὴ πέλεις ἐν εὐαγγελίοις, ἄνοιξον δὲ καὶ εἰσάγαγε ἡμᾶς. Σὺ κτίστης ἡμῶν, καὶ μνήσθητι τῶν κτισμάτων σου. Σὺ Πατὴρ ἡμῶν εἶ, καὶ ἄνοιξον τὰς πατρικάς σου ἀγκάλας, καὶ δέξαι ἡμᾶς, μὴ ἀποβάλῃς ἡμῶν τὰ δάκρυα καὶ τοὺς στεναγμοὺς διὰ τὸ πλῆθος τοῦ ἐλέους σου, μηδὲ ἀποῤῥίψῃς ἡμῶν τὰς αἰτήσεις διὰ τὴν ἄμετρόν Σου ἀγαθότητα, ἀλλὰ κέλευσον τὴν γῆν, ἐν ᾗ ῥέει ὁ ἐκ παραδείσου γεών, τὴν τοσαύτην ξηρότητα εἰς μαλακότητα μεταβαλεῖν, καὶ ἀναβρῦσαι τὰ νεογόνα τῶν ὑδάτων ῥεύματα, πρόσταξον τὴν γῆν ἀποδοῦναι τὰς διὰ τὰς ἁμαρτίας ἡμῶν κρατηθείσας πηγάς, καὶ ἔμπλησον τὸν δοῦλόν σου,

τὸν ποταμὸν Νεῖλον, τῶν τοῦ ἐλέους σου ῥείθρων, κατάστησον ἐν στάθμῃ εἰρηνικῇ τοὺς ἀέρας, χάρισαι τῇ γῇ σου εὐφορίαν καρπῶν πολυειδῶν, ῥῦσαι καὶ τὴν πόλιν σου ταύτην ἀπὸ πάσης ὀργῆς, καὶ ἀπὸ παντὸς κινδύνου, καὶ ἀπὸ παντὸς λιμοῦ, λοιμοῦ καὶ σεισμοῦ, διαφύλαξον τοὺς κατοικοῦντας ἐν ταύτῃ πάντας, λάλησον ἀγαθὰ εἰς τὴν καρδίαν τῶν κρατούντων, ἵνα ἐν τῇ γαλήνῃ αὐτῶν ἡσύχιον βίον διάγωμεν. Ἐπὶ πάντας, ἀγαθὲ Δέσποτα, ἔκχεον τοὺς οἰκτιρμούς Σου καὶ τὰ ἐλέη σου πρεσβείαις τῆς παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, προστασίαις τῶν τιμίων ἐπουρανίων δυνάμεων Ἀσωμάτων, τοῦ τιμίου ἐνδόξου προφήτου Προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, τοῦ τιμίου ἐνδόξου προφήτου Ἠλιοῦ τοῦ Θεσβήτου, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων, τοῦ ἁγίου ἐνδόξου πανευφήμου ἀποστόλου καὶ εὐαγγελιστοῦ Μάρκου, τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Νικολάου, ἀρχιεπισκόπου Μύρων τῆς Λυκίας, τοῦ θαυματουργοῦ, τῶν ὁσίων τριακοσίων δέκα καὶ ὀκτὼ θεοφόρων πατέρων, τῶν ἐν Νικαίᾳ, ὧν καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων Σου τῶν ἁγίων. Ὅτι σὺ εἶ ἡ τοῦ ἐλέους καὶ τῆς εὐσπλαγχνίας ἀνεξιχνίαστος ἄβυσσος, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Εὐχὴ ἑτέρα [1]· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ μέγας τῇ δυνάμει καὶ θαυμαστὸς τοῖς ἀποτελέσμασιν, ἄναρχε, ἀόρατε, ἀκατάληπτε, ἀνεξιχνίαστε, ὑπερούσιε καὶ ὑπέρθεε, ὁ λόγῳ σου τῷ παντουργῷ καὶ Πνεύματί σου τῷ τελεσιουργῷ ἐκ μὴ ὄντων εἰς τὸ εἶναι παραγαγὼν τὰ σύμπαντα, ὃς βουλήσει τὴν δύναμιν σύνδρομον ἔχων ἐν ἑαυτῷ· τῆς γὰρ δυνάμεώς σου μέτρον ἰσόρροπον τὸ θέλημά σου ἐστί, τὸ δὲ θέλημά σου προνοίας γνώρισμα ἐπὶ πᾶσαν τὴν κτίσιν ἀναδείκνυται· Σὺ γὰρ βουλήσει ἐν ἀρχῇ τῆς δημιουργίας σου, σοφίας δύναμιν ἐναρξάμενος τὸν οὐρανὸν καὶ τὴν γῆν ἐποίησας, καί γε σοφίας μείζονος γνώρισμα ἐνδεικνύμενος, τὸν μὲν οὐρανὸν περιφερῆ, ὡσεὶ καμάραν διέταξας, καὶ τοῦτον διὰ τῶν μεγάλων φωστήρων καὶ τῶν ἄλλων ἀστέρων κατεκόσμησας, τὴν δὲ γῆν ἐπὶ ὑδάτων ἑδράσας, χλόῃ τε καὶ χόρτῳ, καὶ ποικιλίᾳ σπερμάτων καὶ φυτῶν τερπνοτέραν ἀνέδειξας, ἀλλὰ καὶ στοιχείων θέσιν καὶ ἡλίου τροπάς, καὶ καιρῶν ἐναλλαγάς, τῇ κτίσει διαρκέσας συνέχεσθαι καὶ συντηρεῖσθαι ταύτην παρασκευάσας. Σὺ γὰρ εἶ ὁ Θεὸς ἡμῶν, ᾧ οἱ οὐρανοὶ τῶν οὐρανῶν, καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν, ἄβυσσοί τε καὶ πᾶσαι αἱ πηγαὶ ὑπείκουσι καὶ τῷ προστάγματι τῷ σῷ ἀπαρατρέπτως

---

[1]) Молитва эта прибавлена въ позднѣйшее время, а въ двухъ настоящихъ чинахъ ея нѣтъ.

ὑποτάσσονται (πρόσταγμα γὰρ ἔθου, ὃ οὐ παρελεύσεται). Σὺ γὰρ εἶ ὁ Θεὸς ἡμῶν, ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ τὰ ταπεινὰ ἐφορῶν καὶ ἐπισκεπτόμενος τὴν γῆν, καὶ μεθύων αὐτὴν ἐξ ὑδάτων πολλῶν. Σὺ γὰρ εἶ ὁ Θεὸς ἡμῶν, ὁ ἀνάγων νεφέλας ἐξ ἐσχάτων τῆς γῆς καὶ ἐξάγων ἀνέμους ἐκ θησαυρῶν τοῦ παντοδυνάμου σου νεύματος εἰς ἔργον ἔμμονον τῆς σῆς ἀγαθότητος. Σὺ εἶ ὁ Θεὸς ἡμῶν, ὁ τὴν τῶν ὑδάτων ἄβυσσον εἰς λίμνας καὶ ὑλώδεις χώρας ἐπαρκῶν εἰς πλησμονὴν καὶ εὐφορίαν τῶν ἐπιγείων σου ἀγαθῶν. Σὺ εἶ ὁ Θεὸς ἡμῶν, ὁ προσκαλούμενος τὸ ὕδωρ τῶν θαλασσῶν καὶ ἐκχέων αὐτὸ ἐπὶ πρόσωπον πάσης τῆς γῆς, καὶ πληθύνων τὰ γεννήματα αὐτῆς εἰς ἔνδειξιν προνοίας σου τῆς φιλανθρώπου. Σὺ γὰρ εἶ ὁ Θεὸς ἡμῶν, ὁ συνταράσσων τὸ κύτος τῆς θαλάσσης καὶ ὑψῶν τὰ κύματα αὐτῆς, μὴ τὰ κατὰ ψάμμον ὅρια ὑπερβαίνειν δυναμένης εἰς φυλακὴν τοῦ προστάγματός σου. Θαυμαστοὶ οἱ μετεωρισμοὶ τῆς θαλάσσης, Κύριε, θαυμαστοὶ οἱ μετεωρισμοὶ τῶν ὑδάτων, Δέσποτα, θαυμαστοὶ οἱ μετεωρισμοὶ καὶ αἱ ἀναβάσεις τοῦ ἐν Αἰγύπτῳ ποταμοῦ Νείλου, Παντοδύναμε· βροχὴν γὰρ ἑκούσιον ἀφοριεῖς καὶ χορηγεῖς ἐν αὐτῷ, Κύριε ὁ Θεὸς ἡμῶν, ὅθεν ὁ ποταμὸς τοῦ Θεοῦ ἐπληρώθη ὑδάτων. Ἐπῆραν οἱ ποταμοί, Κύριε, ἐπῆραν οἱ ποταμοὶ φωνὰς αὐτῶν ἀπὸ φωνῶν ὑδάτων πολλῶν, ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας καὶ ποιεῖς. Οὐκ ἔστιν ὅμοιός σοι ἐν θεοῖς, Κύριε, οὐκ ἔστιν ὅμοιός σοι ἐν θαυμασίοις, ὅτι Σὺ εἶ ὁ Θεὸς μόνος, ὁ ποιῶν θαυμάσια, καὶ ἐκτελῶν τεράστια μεγάλα τε καὶ ἀνεξιχνίαστα, ἔνδοξα τε καὶ ἐξαίσια. Σὲ τοίνυν τὸν ποιητὴν καὶ συνοχέα τοῦ παντὸς ἱκετεύομεν, καὶ σοῦ δεόμεθα, λέγοντες· Κύριε, ἐπίβλεψον ἐξ οὐρανοῦ ἁγίου σου, καὶ εὐσπλαγχνίσθητι ἐπὶ τὸ πλάσμα σου. Κύριε, ἄνοιξον τὴν χεῖρα τῆς πανσθενουργοῦ σου δυνάμεως, ὅπως τὰ σύμπαντα πλησθήσονται χρηστότητος. Κύριε, ἄνοιξον τὴν θύραν τοῦ ἐλέους σου, ἵνα καρποφορήσῃ πᾶσα ἡ γῆ. Κύριε, ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν καὶ πάριδε τὰ πταίσματα ἡμῶν, ὡς πολυέλεος. Μνήσθητι, Κύριε ὁ Θεὸς ἡμῶν, ὅτι ἔργα τῶν χειρῶν σου, μνήσθητι, Κύριε, ὅτι χοῦς ἐσμέν· μνήσθητι, Κύριε, τῆς ἀσθενείας καὶ τῆς ταπεινώσεως ἡμῶν, καὶ ἐλέησον ἡμᾶς, καὶ δώρησαι τὴν ἀνάβασίν τε καὶ πλημμύραν τοῦ ποταμοῦ Νείλου, εἰς ἕλη καὶ ὑλώδεις χώρας γενέσθαι, εἰς καρποφορίαν καὶ εὐθηνίαν τῆς ἀνίκμου καὶ ἀνύδρου ταύτης γῆς. Σὺ γὰρ Κύριε ὁ Θεὸς ἡμῶν, κατ' ἰδίαν ἀγαθότητα καὶ φιλανθρωπίαν τὸν Υἱόν σου τὸν μονογενῆ ἐξαποστείλας, καὶ ἐκ Παρθένου Μαρίας σάρκα φορέσαι καὶ ἐνανθρωπῆσαι ηὐδόκησας, σταυρόν τε καὶ θάνατον, καὶ ταφὴν τριήμερον σαρκὶ καταδέξασθαι ἠθέλησας διὰ τὴν τοῦ κόσμου σωτηρίαν, ὃς μὲν τῇ τρίτῃ ἡμέρᾳ ἀναστάς,

εἰς οὐρανοὺς ἀνελήφθη, ἔνθεν καὶ κατέπεμψε τὸ παρὰ σοῦ τοῦ Θεοῦ καὶ Πατρὸς ἐκπορευόμενον Πνεῦμα ἅγιον ἐπὶ τοὺς ἁγίους αὐτοῦ μαθητὰς καὶ ἀποστόλους, ὃ καὶ ἐφώτισε καὶ ἐθάῤῥυνεν αὐτοὺς ἐν τῷ κόσμῳ κηρῦξαι τὸ τῆς ἁγίας καὶ ὁμοουσίου, τρισυποστάτου τε καὶ ἀδιαιρέτου Τριάδος ὑπερούσιον καὶ ὑπέρθεον μυστήριον, ὡσαύτως δὲ καὶ τὸ τῆς ἐνανθρωπήσεως τοῦ Υἱοῦ σου μέγα καὶ ὑπὲρ φύσιν θαυμαστὸν καὶ ἀνερμήνευτον ἀποτέλεσμα καὶ διήγημα· Αὐτὸς[1]) οὖν, Κύριε ὁ Θεὸς ἡμῶν, καὶ νῦν τὸ Πνεῦμα σου τὸ ἅγιον κατάπεμψον καὶ ἁγίασον τὸ ὕδωρ τοῦτο (ἐκ γ΄). Καὶ δὸς ἡμῖν καὶ παντὶ τῷ λαῷ σου πλούσια τὰ ἐλέη σου πρεσβείαις τῆς ἀπειράνδρως σε τεκούσης ἁγνῆς θεομήτορος ἀειπαρθένου Μαρίας, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων δυνάμεων Ἀσωμάτων, τοῦ τιμίου ἐνδόξου προφήτου Προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, τοῦ τιμίου ἐνδόξου προφήτου Ἡλιοῦ τοῦ Θεσβήτου, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων, τοῦ ἁγίου ἐνδόξου πανευφήμου ἀποστόλου καὶ εὐαγγελιστοῦ Μάρκου, τῶν ἐν ἁγίοις πατέρων οἰκουμενικῶν διδασκάλων καὶ ἱεραρχῶν, τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Νικολάου, ἀρχιεπισκόπου Μύρων τῆς Λυκίας, τοῦ θαυματουργοῦ, τῶν ἁγίων ἐνδόξων καὶ πολυάθλων μαρτύρων, τοῦ ἁγίου ἐνδόξου μεγαλομάρτυρος Γεωργίου τοῦ τροπαιοφόρου καὶ θαυματουργοῦ, τῶν ἁγίων ἐνδόξων καὶ θαυματουργῶν ἀναργύρων, τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν Ἀντωνίου τοῦ μεγάλου, Μακαρίου τοῦ Αἰγυπτίου καὶ Σάββα τοῦ ἡγιασμένου, τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης καὶ τῶν λοιπῶν ἁγίων σου πάντων, ὧν καὶ τὴν ἁγίαν πανήγυριν ἐπιτελοῦμεν. (Καὶ φύλασσε, Κύριε, τοὺς ἁπανταχοῦ τῆς οἰκουμένης πιστοὺς καὶ εὐσεβεῖς χριστιανούς), καὶ φύλασσε, Κύριε, τοὺς δούλους σου, τοὺς εὐσεβεῖς χριστιανούς, τοὺς κατοικοῦντας ἐν τῇ πόλει ταύτῃ, καὶ φύλασσε, Κύριε, τοὺς δούλους τοὺς ἐπιτρόπους τῆς ἁγίας ἐκκλησίας ταύτης, καὶ φύλασσε, Κύριε, τοὺς δούλους σου, τοὺς περιεστῶτας, καὶ ἐλέησον αὐτοὺς κατὰ τὸ μέγα σου ἔλεος, πάσης ἀνάγκης ῥυόμενος. Μνήσθητι, Κύριε, πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν τῶν ἐλεούντων ἡμᾶς καὶ ἐλεησάντων, καὶ τῶν διακονούντων ἀδελφῶν ἡμῶν. Μνήσθητι, Κύριε, παντὸς ἱερατικοῦ τάγματος καὶ μοναχικοῦ σχήματος. Μνήσθητι, Κύριε, τῶν ἀδελφῶν τῶν αἰχμαλώτων. Μνήσθητι, Κύριε, τῶν ἐν ἀσθενείαις ταλαιπωρουμένων. Μνήσθητι, Κύριε, καὶ τοῦ περιεστῶτος λαοῦ σου καὶ πᾶσιν τοῖς ἐπικαλουμένοις τὴν σὴν ἐξ ὕψους βοήθειαν τοὺς οἰκτιρμούς σου δώρησαι. Ναί,

---

[1]) Слова эти поставлены въ скобки, а замѣчаніе: ἐκ τρίτου стоитъ безъ нихъ.

εὐδιάλλακτε καὶ μακρόθυμε καὶ πολυέλεε Κύριε, ἐπίβλεψον ἐξ ἁγίου κατοικητηρίου σου καὶ ἴδε καὶ ἐπίσκεψαι τὴν ἄμπελον ταύτην καὶ κατάρτισαι αὐτήν, ἣν ἐφύτευσεν ἡ δεξιά σου. Χάρισαι αὐτοῖς τε καὶ ἡμῖν πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα καὶ ζωὴν τὴν αἰώνιον[1]). Ὅτι σὺ εἶ ὁ δοτὴρ τῶν ἀγαθῶν καὶ Θεὸς πάσης παρακλήσεως καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρί... Εἶτα·[2]) Εἰρήνη πᾶσιν. Καὶ ὁ διάκονος· Τὰς κεφαλάς. Ὁ δὲ πατριάρχης ἐπεύχεται[3]) μυστικῶς· Κλῖνον, Κύριε, τὸ οὖς σου καὶ ἐπάκουσον ἡμῶν, ὁ ἐν Ἰορδάνῃ βαπτισθῆναι καταδεξάμενος καὶ ἁγιάσας τὰ ὕδατα, καὶ εὐλόγησον πάντας ἡμᾶς, τοὺς διὰ τῆς κλίσεως τοῦ ἑαυτῶν αὐχένος σημαίνοντας τὸ τῆς δουλείας πρόσχημα, καὶ καταξίωσον ἡμᾶς ἐμπλησθῆναι τοῦ ἁγιασμοῦ σου, διὰ τῆς τοῦ ποταμοῦ Νείλου ἀναβάσεως εἰς δόξαν ἀκατάπαυστον τῆς σῆς ἀγαθότητος. Ἀμήν. Ἐκφώνως· Σὺ γὰρ εἶ ὁ ἁγιασμὸς ἡμῶν καὶ σοὶ τὴν δόξαν καὶ εὐχαριστίαν καὶ προσκύνησιν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι νῦν καὶ ἀεί.. Εἶτα[4]) εὐλογεῖ τὰ ὕδατα μετὰ τοῦ τιμίου σταυροῦ, ψάλλων τὸ παρὸν τροπάριον ἐκ τρίτου, ἦχος α'· Ἐν Ἰορδάνῃ συ ἐβαπτίσθης, ὦ Κύριε, καὶ ἐν τῷ Νείλῳ ἐθαυμαστώθης, ὦ Δέσποτα· ὡς γὰρ ἐκεῖ ἡ Τριὰς πεφανέρωται, οὕτω κἀνταῦθα Τριὰς σεσημείωται ἐν τῷ πλήθει που τῶν ὀρέων σου, καὶ τροφὴ τῶν ἀνθρώπων καὶ τῶν κτηνῶν, ὁ πλημμυρήσας τὰ ὕδατα ὁ Θεὸς καὶ τὸν κόσμον χορτάσας δόξα σοι. Εἶτα[5]) ῥαντίζεται ὁ λαὸς καὶ ἀπόλυσις.

CLXI. № 13 Ἀκολουθία ὑπὲρ τῆς ἀναβάσεως τοῦ Νείλου, ἥτις ἐτελεῖτο πρότερον κατὰ τὴν ἐπομένην κυριακὴν τῆς Ἀναλήψεως, νῦν δὲ μετετέθη τῇ κυριακῇ τῶν ἁγίων πάντων. Рукопись патріаршей александрійской библіотеки (въ Каирѣ) въ листъ, 17 листовъ, писана въ началѣ настоящаго столѣтія, что видно изъ слѣдующей весьма обстоятельной вводной статьи: „Ἡ παροῦσα ἀκολουθία ἐφιλοπονήθη μὲν παρὰ τοῦ μακαριωτάτου, σοφωτάτου τε καὶ ἁγιωτάτου πατριάρχου Ἀλεξανδρείας κυρίου κυρίου Γερασίμου (1621--1636), τοῦ μετὰ τὸν Κύριλλον Λούκαριν (ὥς φασὶν) χρηματίσαντος, τῷ χρόνῳ ὅμως τῷ πανδαμάτορι καὶ αὕτη ὑποπεσοῦσα,

---

[1]) Ἐκφώνησις. [2]) Нѣтъ—εἶτα. [3]) Καὶ ὁ πατριάρχης λέγει τὴν εὐχὴν μυστικῶς [4]) Εἶτα λαμβάνει τὸν τίμιον σταυρὸν καὶ εὐλογεῖ τὰ ὕδατα ἐκ γ', κατάγων καὶ ἀνάγων αὐτὸν ὄρθιον, καὶ ψάλλων τὸ παρὸν ἐκ γ', ἦχος α'. [5]) Εἶτα ἀσπάζεται τὸν τίμιον σταυρόν, ὡσαύτως καὶ πᾶς ὁ λαός, ῥαντίζων αὐτοὺς καὶ τὸν ναόν, ὁ δὲ χορὸς ψάλλει τὰ τροπάρια. Ζήτει αὐτὰ ἔμπροσθεν. Εἶθ' οὕτως ἀπόλυσιν.

συνεφθάρη μετὰ καὶ τῶν ἄλλων αὐτοῦ καὶ σχεδὸν ἔρρευσε, καὶ μόλις που διεσώθη μία αὐτῆς ἀντιγραφή, πλήρης πολλῶν καὶ παντοίων σφαλμάτων, ἥνπερ ὁ μακαριώτατος, θειότατος, σοφώτατός τε καὶ ἁγιώτατος ἡμῶν πάππας καὶ πατριάρχης κύριος κύριος Θεόφιλος (съ 1805 г.), Λυβίας ὤν, διωρθώσατο, τὰ νῦν δὲ μετ᾽ ἀκριβοῦς ἐπιμελείας τε καὶ ζήλου ἀντέγραψεν ὁ ἐν ἐμπόροις ἐλάχιστος Δημήτριος Βλαστός, ὁ ἐκ τῆς νήσου Ῥόδου, ὡς ὁρᾶται, διὰ προτροπῆς καὶ παρακινήσεως τοῦ πανοσιολογιωτάτου ἁγίου μέγα ἀρχιμανδρίτου, κυρίου κυρίου Νεκταρίου, καὶ ἐπιτρόπου τοῦ θρόνου τῆς Ἀλεξανδρείας, ὅθεν οἱ ἀναγινώσκοντες ταύτην, εὔχεσθε ὑπὲρ ἡμῶν. Ἐν Αἰγύπτῳ τῇ δ′ Μαΐου ͵αωκβ′. Ὁ ἐλάχιστος γραφεὺς Δημήτριος Βλαστός.

л. 2. Μετὰ τὸ εἰπεῖν τὸν ἱερέα τὴν ὀπισθάμβωνον εὐχήν, ἐξερχόμεθα παρὰ τῇ φιάλῃ, ἐχούσῃ ὕδωρ, καὶ ψάλλομεν τὰ παρόντα τροπάρια, ἦχος πλ. δ′, δίς· Φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων βοᾷ, λέγουσα· θαῦμα παράδοξον... Ὅμοιον· Φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων βοᾷ, λέγουσα· δεῦτε ἴδετε πάντες πρᾶγμα θαυμάτων... Σήμερον τὰς εὐλογίας σου αἰτοῦμεν... Σήμερον ἄβυσσος ἄβυσσον ἐπικαλεῖται... Τὴν πέτραν δίς ποτε πατάξας Μωϋσῆς.. Κύριε ὁ Θεὸς ἡμῶν, ὁ λόγῳ σου τῷ παντουργῷ στερεώσας τὸν οὐρανόν... Ἰουδαίων τῷ ἔθνει τὰ πικρὰ ὕδατα εἰς γλυκύτατα μεταβαλών... Δόξα καὶ νῦν, ὁ αὐτός· Δεῦτε πάντα τὰ ἔθνη καὶ ἐνωτίσασθε πάντες οἱ κατοικοῦντες τὴν γῆν... См. выше стр. 982—983. Дальнѣйшій порядокъ такой же, какъ и въ предыдущей рукописи, за исключеніемъ первой молитвы, которая опущена въ настоящемъ чинѣ и помѣщена въ рукописи въ концѣ чина съ слѣдующею припискою: Ἰδοὺ καὶ ἑτέρα εὐχὴ ὁμοία τῇ πρώτῃ, ἐξ ὧν ἀναγινώσκει ὁ προεστὼς οἵαν βούλεται· Δέσποτα παντοκράτορ καὶ Θεὲ τοῦ παντός, ἡ ὑπεραγία Τριάς... См. выше стр. 985.

На рукописи есть замѣтка: Νεκτάριος ἱερομόναχος.

# ПРИБАВЛЕНІЕ.

CLXII. № 213. Εὐχολόγιον, рукопись Парижской національной библіотеки (Coislin) въ 16 долю листа, 211 листовъ[1]), писана четкимъ красивымъ почеркомъ 1027 года, какъ это видно изъ приписки въ концѣ рукописи: Ἐγράφη ἡ παροῦσα τοῦ Εὐχολογίου βίβλος καὶ ἐτελειώθη μηνὸς Αὐγούστου, ἰνδικτιῶνος ι', ἔτους ͵ϛφλε', κτηθεῖσα Στρατηγίῳ πρεσβυτέρῳ τῆς Μεγάλης ἐκκλησίας καὶ τῶν πατριαρχικῶν εὐκτηρίων, περιέχουσα πᾶσαν ἀκολουθίαν καὶ τάξιν ἀκριβῶς, καθὼς ἐν τῇ ἀρχῇ ὁ πίναξ δηλοῖ, ἐκτὸς τῶν λειτουργιῶν τοῦ ἁγίου Βασιλείου, καὶ τοῦ Χρυσοστόμου, καὶ τῆς τριτοέκτης, καὶ τῆς τῶν προηγιασμένων, θελήσει τοῦ γράψαντος καὶ κτησαμένου, διὰ τὸ ἔχειν ταῦτα εἰς Κοντάκια, μεθ' ὧν καὶ ἐνεργοῦσιν· ἔχειν δὲ αὐτὸν καὶ ἐν ἑτέρῳ βιβλιδαρίῳ εὐχὰς τῶν ἀντιφώνων τοῦ Ψαλτῆρος, ὡς στιχολογεῖ ἡ Μεγάλη ἐκκλησία κατὰ τὸν ἀριθμὸν αὐτῶν ὁ δ', καὶ τῶν ᾠδῶν εὐχὰς η', καὶ ἑτέρας εὐχὰς διαφόρους, λεγομένας κατὰ διαφόρους καιροὺς ἐπὶ κοίτην, μετὰ κοίτην, ἐπὶ κοινωνίᾳ, ἐπὶ ἐξομολογήσει, εἰς ὠφέλειαν ψυχῆς καὶ κατάνυξιν, καὶ λοιπὰ ἀμφότερα νδ', καὶ τὴν ἐκλογὴν τῶν διαφόρων ῥητῶν περὶ τῆς ἁγίας Τριάδος· ταῦτα γὰρ ὧδε οὐκ ἐγράφη. Сн. Biblioth. Coisliana, Paris, 1715 an. pag. 272.

л.л. 1—2 вставочные, содержащіе конецъ перваго и начало второго изъ евангельскихъ чтеній на утрени великаго пятка, письмо XIII в.

л. 3. Πίναξ ἀκριβὴς τῆς γραφῆς τοῦ βιβλίου. Εὐχολόγιον, ἐστὶ δὲ τὸ βιβλίον Στρατηγίῳ, κτηθὲν μοι θυηπόλῳ. Подробный перечень содержанія. Всего статей 142.

л. 8. Εὐχὴ ἐπὶ θεμελίου ἐκκλησίας καὶ ἐπὶ σταυροπηγίου.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐρασθεὶς καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομηθῆναι ἐκκλησίαν... p. 485 съ варіантами: ἐπὶ ἀνοικοδομῇ τοῦ πρὸς σὴν δοξολογίαν κτιζομένου οἴκου, ἢ ἐπ' ὀνόματι τοῦ ἁγίου τοῦδε, τοῦ σοῦ θεραπεύοντος, ἐν τῷ πλήθει τῶν σῶν ἐπουρανίων... ὅπως ἂν

---

[1]) Въ евхологіѣ имѣется 29 тетрадей, по 8 листовъ въ каждой, слѣдовательно, первоначально въ рукописи должно быть 232 листа. Исключая два листа вставочные изъ другой рукописи, мы не досчитываемся нынѣ въ рукописи цѣлыхъ 23 листовъ.

καὶ ἐν αὐτῷ ἀκαταπαύσταις ᾠδαῖς καὶ ὑμνολογίαις ἀνυμνῶμεν σὲ τὸν μόνον ἀληθινὸν Θεὸν ἡμῶν. Ἐκφώνησις· Σοὶ γὰρ πρέπει δόξα, τιμὴ καὶ προσκύνησις τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι νῦν καὶ ἀεί...

— Εὐχὴ ἄλλη ἐπὶ θεμελίῳ ἐκκλησίας.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὸ σὸν ἅγιον αἷμα ὑποβαλόμενος θεμέλιον τῇ ἁγίᾳ σου ἐκκλησίᾳ, p. 486.

л. 8 об. Τάξις, γινομένη ἐπὶ καθιερώσει ναοῦ καὶ ἱδρύσει τῆς ἐν αὐτῷ ἁγίας τραπέζης. Goar pag. 655—664. Особенности текста указаны ниже въ описаніи кодекса кардинала Виссаріона Криптоферратской библіотеки.

л. 19. Τάξις, γινομένη ἐπὶ σαλευθείσῃ ἁγίᾳ τραπέζῃ p. 490—491. Варіанты см. ниже въ тойже рукописи Крипто-ферратскаго монастыря.

л. 21. Ἄλλη τάξις, γινομένη ἐπὶ σαλευθείσῃ ἁγίᾳ τραπέζῃ. Goar. pag. 492, съ варіантами по Виссаріоновской рук. Грота-ферр. мон., но съ прибавленіемъ двухъ прошеній: Ὑπὲρ χρῃζόντων τῆς παρὰ τοῦ Κυρίου βοηθείας. Τῆς παναγίας ἀχράντου ὑπερευλογημένης Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας καὶ τοῦ ἁγίου, οὗ ἐστιν ἡ σαλευθεῖσα τράπεζα, μετὰ πάντων τῶν ἁγίων, которыя здѣсь читаются полнѣе.

л. 22. Εὐχὴ ἑτέρα εἰς τὴν κατάθεσιν τῶν ἁγίων λειψάνων. См. выше стр. 296, но съ пропускомъ слова: αὐτοῖς въ концѣ и съ заключеніемъ: μεθ' οὗ σοὶ πρέπει δόξα σὺν τῷ παναγίῳ σου Πνεύματι νῦν καὶ ἀεί.

л. 22. Εὐχὴ δευτέρα μετὰ τὴν κατάθεσιν τῶν ἁγίων λειψάνων. См. выше стр. 296, но съ особенностію: ἀθλητῶν τῆς εὐσεβείας вм. ἀθλησάντων ὑπὲρ τῆς εὐσεβείας.

Εὐχὴ εἰς τὴν ἀπαμφίασιν τῆς ἁγίας τραπέζης [1]), τὴν γινομένην τῇ ἁγίᾳ πέμπτῃ ὑπὸ τοῦ ἀρχιερέως μετὰ τὴν συμπλήρωσιν τῆς τριτοέκτης οὕτως·

Πρῶτον μὲν θυμιᾷ ὁ ἀρχιερεὺς τὴν ἁγίαν τράπεζαν κατὰ τὸ ἔθος πέριξ, καὶ εἶθ' οὕτως ποιεῖ τὴν εὐχὴν ταύτην καθ' ἑαυτόν, καὶ εἰς τὸ τέλος ἐκφωνεῖ, καὶ ἀποκρίνονται οἱ σὺν αὐτῷ τὸ Ἀμήν, καὶ τότε ἀπαμφιάζουσι τὴν ἁγίαν τράπεζαν, καὶ καταπλύνουσι μετὰ σπόγγων καινῶν, καὶ ὕδατος χλιαροῦ, καὶ ῥοδοστάγματος, καὶ ἀποσπογγίζουσιν αὐτὴν μετὰ ἐγχειρίων, εἶτα πάλιν ἀμφιάζουσι, καὶ πάλιν θυμιᾷ κατὰ τὸ ἔθος, καὶ οὕτως ποιεῖ τὴν ἑτέραν εὐχὴν καθ' ἑαυτόν, καὶ εἰς τὸ τέλος ἐκφωνεῖ,

---

[1]) Въ оглавленіи прибавлено: τῆς Μεγάλης ἐκκλησίας.

εἶτα διανέμει τὰ σπογγάρια, καὶ οὕτω γίνεται ὁ νιπτήρ· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τῷ ζωοποιῷ σου θανάτῳ τὸν θάνατον νεκρώσας... Goar pag. 498, но съ варiантами: καὶ νῦν κυκλοῦντας ἡμᾶς τοῦ σωτηρίου τύπου τὸν τάφον... καὶ τῆς ἐπουρανίου βασιλείας ἀνάδειξον. Ἐκφώνησις· Ὅτι παρὰ σοί ἐστιν ἡ πηγὴ τῆς ζωῆς καὶ τῆς τῶν ἀγαθῶν ἀπολαύσεως καὶ τῆς ἀθανάτου δόξης, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρὶ καὶ τῷ Υἱῷ.

л. 23. Εὐχὴ μετὰ τὴν ἔκπλυσιν.

Ὁ ἐλεήμων καὶ οἰκτίρμων Θεός, ὁ δι' ἄφατον ἀγαθότητα πρὸς λειτουργίαν τοῦ παναγίου καὶ ἀχράντου σου θυσιαστηρίου τὴν ἡμῶν ἀχρειότητα προσλαβόμενος, αὐτὸς καὶ νῦν ἐπίβλεψον ἐφ' ἡμᾶς. На этомъ обрывается данная молитва, такъ какъ въ рукописи недостаетъ нѣсколькихъ листовъ. Молитва напечатана Goar p. 498.

На отсутствующихъ листахъ, судя по оглавленiю, содержались: a) Τάξις τοῦ νιπτῆρος, b) Ἐπὶ ποιήσει μύρου τῇ μεγάλῃ ε', ὁμοίως εὐχαί Goar. pag. 504, c) Ἀκολουθία ἑτέρα τοῦ νιπτῆρος, γινομένη ἐν τοῖς μοναστηρίοις, ἔχουσα εὐχάς (y Goar. p. 594) и d) Κατήχησις τῆς μεγάλης παρασκευῆς (p. 279—281), конецъ котораго и имѣется въ данной рукописи.

л. 25. Τάξις γινομένη ἐπὶ χειροτονίᾳ ἐπισκόπου. Goar. pag. 249—251. Αὕτη δὲ ἡ ἀκολουθία γίνεται καὶ ἐπὶ πατριάρχου καὶ ἐπὶ μητροπολίτου καὶ ἐπισκόπου.

л. 27 об. Τάξις, γινομένη ἐπὶ χειροτονίᾳ προ(ε)σβυτέρου, ὀφείλοντος εἶναι χρόνων τριάκοντα τελείων. Goar p. 244, но съ варiантами: χάρτην ἔγγραφον... εἰς ἐπήκοον τῶν περιεστώτων ἔχοντα οὕτως... ποιῶν εἰς τὴν κεφαλὴν αὐτοῦ σταυροὺς τρεῖς καὶ ἔχων ἐπικειμένην αὐτὴν χεῖρα... Καὶ λέγει ὁ πρῶτος τῶν πρεσβυτέρων ἢ ἕτερος πρεσβύτερος... Ектенья, что въ епископскомъ поставленiи. φαινόλιον... Нѣтъ выраженiя: καὶ ἀσπάζεται μόνην τὴν τοῦ ἀρχιερέως χεῖρα...

л. 29. Τάξις [1]) ἀκολουθίας ἐν τῇ χειροτονίᾳ πρεσβυτέρου, τοῦ πληροῦντος ἀρχιδιακόνου [2]). Μετὰ τὸ εἰσενεχθῆναι τὰ ἅγια καὶ βληθῆναι τὸ καταπέτασμα, ἀποτίθησιν ὁ ἀρχιδιάκονος τὸ τοῦ πατριάρχου ὠμοφόριον ἐπάνω τοῦ καταπετάσματος ἐν τῷ δεξιῷ αὐτοῦ μέρει, καὶ ἵσταται ὄπι(σ)θεν

---

[1]) Въ оглавленiи: ἑτέρα τάξις ἐπὶ χειροτονίᾳ πρεσβυτέρου, γινομένη παρὰ τοῦ πατριάρχου εἰς τὸν πληροῦντα τὸ ἀρχιδιακονικὸν τῆς Μεγάλης ἐκκλησίας.

[2]) Cod. Cryptof. Bessarion: τὸ πληροῦν ἀρχιδιάκονον.

τοῦ πατριάρχου, ἀναμένων πληρωθῆναι τὸν μυστικὸν ὕμνον, καὶ τότε ὁ μὲν ἐν τῷ ἄμβωνι διάκονος σιγᾷ, προσάγεται δὲ ὑπὸ τοῦ πρωτοπρεσβυτέρου [1]), καὶ λέγοντος τοῦ ὑπεισερχομένου ἀρχιδιακόνου· Πρόσχωμεν, ὑπαναγινώσκει τὸ κιτατώριον ὁ πατριάρχης, λαμβάνων αὐτὸ ἐκ τοῦ χαρτοφύλακος. Καὶ τότε κλίνοντος τὰ γόνατα τοῦ χειροτονουμένου ἐν τῇ κρηπίδι τῆς ἁγίας τραπέζης, σφραγίζει αὐτοῦ τὴν κεφαλὴν τρίτον, καὶ ἔχων ἐπικειμένην τὴν χεῖρα, ποιεῖ τὴν πρώτην εὐχήν. Καὶ μετὰ τοῦτο ποιεῖ ὁ πρωτοπρεσβύτερος εὐχὴν διακόνου, ἔχοντος τοῦ πατριάρχου τὴν χεῖρα ὁμοίως. Καὶ ποιοῦντος τὴν β' εὐχήν, ἧς πληρωθείσης, ἐγείρει τὸν χειροτονούμενον καὶ φέρει τὸ ὄπισθεν τοῦ ὠραρίου ἔμπροσθεν, καὶ ἐνδύει αὐτὸν φαινόλιον, καὶ δίδωσιν αὐτῷ ἀγάπην καὶ ἱστᾷ αὐτὸν μετὰ τῶν πρεσβυτέρων. Ὁ δὲ μέλλων εἰσιέναι ἀρχιδιάκονος ἵσταται πλησίον τοῦ πατριάρχου, καὶ ἐπαίρων ὁ πατριάρχης ἐκ τῆς ἁγίας τραπέζης τὸ ὠμοφόριον, ἐπιδίδωσιν αὐτῷ, καὶ ἀπολύει τῷ ἑστῶτι ἐν τῷ ἄμβωνι διακόνῳ, καὶ λέγει· Πληρώσωμεν μέχρι τοῦ Ἀγαπήσωμεν ἀλλήλους, καὶ δίδωσιν ἀγάπην τῷ πατριάρχῃ ὁ χειροτονηθεὶς μετὰ τῶν πρεσβυτέρων, ἀφ' οὗ ἐφθάσθη ἀρχιδιάκονος. Μετὰ δὲ τὸ ῥηθῆναι τὸ ἅγιον μάθημα καὶ ἐπαρθῆναι τὸ καταπέτασμα, καὶ εἰπεῖν τὸ Ἄξιον καὶ δίκαιον, ἐπιδίδωσι τῷ χειροτονηθέντι ἄρτον ἐν ταῖς χερσί, καθὰ (sic) προείρηται μέχρι τοῦ εἰπεῖν· Τὰ ἅγια τοῖς ἁγίοις. Καὶ οὕτως ἀποδιδοὺς μεταδίδωσι τῷ πατριάρχῃ τῆς ἁγίας κοινωνίας, καὶ μεταλαμβάνει πρῶτος, καὶ εἰ συμβῇ ἐπισκόπους παρεῖναι, καὶ μεταλαμβάνων [2]) τὸ ποτήριον ἐκ τοῦ πατριάρχου, μεταδίδωσι τοῖς κοινωνοῦσιν ἐν τῷ ἱερατείῳ.

л. 30. Τάξις, γινομένη ἐπὶ χειροτονίᾳ διακόνου, ὀφείλοντος εἶναι χρόνων τελείων εἴκοσι καὶ πέντε. Goar pag. 210—211, но съ варіантами: εἰς ἐπήκοον τῶν περιεστώτων... Ектенья таже, что и въ чинѣ епископскаго поставленія. Καὶ πρώτου δεχομένου παρ' αὐτοῦ τὸ ἅγιον ποτήριον ἱερέως καὶ ἀρχιερέως... προσμένει μέχρις ἂν οἱ τοῦ βήματος μεταλάβωσι...

л. 32. Τάξις, γινομένη ἐπὶ χειροτονίᾳ διακονίσσης, ἥτις ὀφείλει εἶναι μ' χρόνων παρθένος ἁγνή. См. выше стр. 346, но съ тою разницею, что въ одномъ случаѣ выраженіе: κεφαλὴν замѣнено κάραν и прибавлено объ орарѣ замѣчаніе: τὰς δύο τούτου ἀρχάς.

л. 33 об. Τάξις, γινομένη ἐπὶ χειροτονίᾳ ὑποδιακόνου. Goar. pag. 204. Нужно исправить: τοῦτον τὸν φαινόλιον... μαντύλιον... λέγει γ'· Ὅσοι πιστοί... ἄπεισιν εἰς τοὺς ὑποδιακόνους.

---

[1]) Ὁ μέλλων χειροτονεῖσθαι. [2]) λαμβάνων.

л. 34. Τάξις, γινομένη ἐπὶ χειροτονίᾳ ἀναγνώστου καὶ ψάλτου. Изданъ у Гоара pag. 194—195, variae lectiones Cryptof. cod. Bessarionis.

л. 35. Εὐχὴ ἐπὶ προχειρίσει κηροφόρου καὶ δεποτάτου. См. выше стр. 436.

л. 35 об. Τάξις, γινομένη ἐπὶ προχειρίσει ἡγουμένου.

Περικειμένου τοῦ ἀρχιερέως φαινόλιον καὶ ὠμοφόριον, προσάγεται αὐτῷ ὁ προχειριζόμενος, παρόντων καὶ τῶν ἐκλεξαμένων αὐτὸν μοναχῶν, καὶ τοῦ διακόνου λέγοντος τοῦ Κυρίου δεηθῶμεν, σφραγίζει τὴν κεφαλὴν αὐτοῦ γ' ὁ ἀρχιερεὺς καὶ εὔχεται οὕτως· Ὁ Θεός, ὁ διὰ παντὸς τῆς ἀνθρώπων σωτηρίας. Goar pag. 395. Καὶ μετὰ τὸ Ἀμήν, εἰρηνεύει ὁ ἀρχιερεύς, καὶ τοῦ διακόνου λέγοντος· Τὰς κεφαλάς, εὔχεται πάλιν οὕτως· Κλῖνον, Κύριε, τὸ οὖς σου καὶ ἐπάκουσον τῆς δεήσεως ἡμῶν. pag. 395. Καὶ μετὰ τὸ Ἀμήν, αἴρει τὸ παλλίον, ὃ περίκειται ὁ προχειρισθείς, καὶ περιτίθησιν αὐτῷ ἕτερον, καὶ οὕτως ἀσπαζόμενος ἀπολύει αὐτόν.

л. 36. Εὐχὴ ἐπὶ προχειρίσει βασιλέως. Goar p. 726—727... ὃ ἵσταται ἐν τῷ ἄμβωνι τούτου ἔμπροσθεν, ἵσταται μὲν ὁ πατριάρχης, παρίσταται δὲ ὁ μέλλων στέφεσθαι βασιλεύς... εὔχεται ὁ ἀρχιερεύς· Κύριε ὁ Θεὸς ἡμῶν... ἀναστῆσαι βασιλέα. Во 2 молитвѣ: βασιλεῖ τῶν αἰώνων... ἤρεμον=у Гоара: ἤμερον... προαποτίθεται ἐκεῖσε ἐπὶ τραπέζης (у Гоара: ἐπιτραπὲν) στέμμα... εἰσάγεται ἡ βασίλισσα παρὰ τῶν πρεποσίτων... ἐπὶ τῶν βασιλέων... εἶτα μεθιστῶσιν (у Гоара: μεθίστησιν) αὐτὴν καὶ ἀποκαλύπτουσι τὸ μαφόριον καὶ ἁπλοῦσιν αὐτὸ πρὸς τὸ μὴ βλέπεσθαι, καὶ οὕτω προσάγουσιν αὐτὴν τῷ πατριάρχῃ, καὶ λαμβάνων ὁ πατριάρχης...

л. 38. Εὐχὴ (ἐπὶ) προχειρίσει καίσαρος, νωβελισίμου καὶ κουροπαλάτου. Goar p. 730.

л. 38 об. Εὐχὴ ἐπὶ προαγωγῇ ἀρχόντων, ἤτοι πατρικίων. Goar pag. 731—732, по Bess. cod. et S. Marci. Въ концѣ чина: καὶ δίδωσι τῷ τῆς καταστάσεως καὶ βάλλει ἐκεῖνος αὐτὸ τῷ (у Гоара: ἐνδύσας) πατρικίῳ...

л. 39 об. Εὐχή, γινομένη ἐν τῷ μεγάλῳ σεκρέτῳ, ἀπιόντος τοῦ πατριάρχου πρὸς ὁδοιπορίαν καὶ ἐπανιόντος. Goar. p. 685.

— Εὐχή, γινομένη ὁσάκις ἔλθῃ ὁ πατριάρχης εἰς τὸν βασιλέα, ἐξαιρέτως δὲ τῇ ε' τῆς διακαινισίμου. Μετὰ τὸν ἀσπασμόν, λέγοντος τοῦ ῥεφερενδαρίου συναπτήν, εὔχεται οὕτω· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ βασιλεὺς τῶν βασιλευόντων. Goar pag. 733... τοὺς ἄρχοντας αὐτῶν

ἐν ὑπακοῇ καὶ φόβῳ *ἀδωροδοκήτους* (у Гоара ἀπροσδόκητος) δι(α)φύλαξον... τῶν *ἀπὸ τῆς γῆς* ἀγαθῶν, ἐπὶ *τῆς βασιλείας* αὐτῶν δωρούμενος. Ὅτι εὐλόγηταί σου τὸ πανάγιον ὄνομα... Καὶ μετὰ τὸ Ἀμήν, λέγει· Εἰρήνη πᾶσιν. Ὁ διάκονος· Τὰς κεφαλάς. Ὁ ἀρχιερεὺς ἐπεύχεται· Σοὶ τῷ μόνῳ καὶ φιλανθρώπῳ κριτῇ. Goar p. 733. Варіанты: ταῖς πάντων ἡμῶν καρδίαις, *καὶ παράσχου αὐτῷ* πάντα πρὸς σωτηρίαν αἰτήματα (у Гоара вставка: *τῷ ὑπὸ σὲ βασιλεῖ*) καὶ κατάνυξον...

л. 40. Εὐχὴ ἄλλη ἐπὶ βασιλέως, εἰσερχομένου τοῦ πατριάρχου πρὸς αὐτόν. Goar p. 732—734. Варіантъ во вторoй молитвѣ: κατὰ τὸ *θέλημά σου* (у Гоара: ὄνομα σου) πολιτευόμενοι, *τύχωμεν*...

л. 40 об. Εὐχή, γινομένη ἐν τῷ δρόμωνι ὑπὸ τοῦ πατριάρχου. (Въ оглавленіи объ этой молитвѣ замѣчено: Ἡ αὐτὴ καὶ ἐπὶ πλοίου παντός, μέλλοντος πλεῖν). Μετὰ τὸ ῥηθῆναι τὸν ρκ' ψαλμόν, λέγοντος τοῦ διακόνου· Τοῦ Κυρίου δεηθῶμεν, εὔχεται οὕτω. (Издана у Гоара по Bess. cod. pag. 684). Здѣсь и обрывается эта молитва, такъ какъ въ рукописи недостаетъ нѣсколькихъ листовъ, содержавшихъ въ себѣ, какъ это видно изъ оглавленія въ началѣ рукописи, слѣдующіе молитвы и чины: a) κη'. Ἐπὶ χελανδίων ἀποστελλομένων κατὰ πόλεμον (у Гоара κατὰ πόλεως) εὐχή p. 985, b) κθ'. Ἀκολουθία τῶν βαπτισμάτων. Εἰς τὸ κατασφραγίσαι παιδίον τῇ ὀγδόῃ ἡμέρᾳ εὐχή, c) λ'. Τῇ τεσσαρακοστῇ ἡμέρᾳ εὐχή, d) λα'. Εἰς τὸ ποιῆσαι κατηχούμενον εὐχή, e) λβ'. Τῶν ἀφορκισμῶν εὐχαί, f) λγ'. Μετὰ τὸ ποιῆσαι κατηχούμενον πρὸς τὸν πρὸς ὥραν βαπτιζόμενον, ὅτε ἐμφυσᾷ, εὐχή, g) λδ'. Ἡ ἀποταγὴ καὶ συνταγή. Μετὰ τὴν ἀποταγὴν εὐχή, h) λε'. Τῶν ἁγίων βαπτισμάτων· Ὁ εὔσπλαγχνος καὶ λοιπαὶ εὐχαί, i) λς'. Ἄλλη ἔχουσα τὸ προοίμιον σύντομον εὐχή, k) λζ'. Εἰς τὸ ἀπολοῦσαι τοὺς νεοφωτίστους εὐχαί, l) λη'. Εἰς τὸ κουρεῦσαι παιδίον εὐχαί и m) μ'. Εἰς τεκνοποίησιν εὐχή. Конецъ этой молитвы и находится въ данной рукописи на слѣдующемъ листѣ.

л. 41. Εὐχὴ εἰς ἀδελφοποίησιν.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ πάντα πρὸς σωτηρίαν ἡμῖν χαρισάμενος Goar. p. 707. Εἰρήνη πᾶσιν. Ὁ διάκονος· Τὰς κεφαλάς. Ὁ ἱερεύς· Δέσποτα Κύριε ὁ Θεός, ὁ τὸν χορὸν τῶν ἁγίων. См. выше стр. 190, но конецъ читается нѣсколько иначе: Αὐτὸς εὐλόγησον καὶ νῦν τοὺς δούλους σου, οὓς εὐδόκησας παραστῆναι κατενώπιον τῆς ἁγίας δόξης σου... κληρονόμοι γένωνται τῆς βασιλείας. Ὅτι σὺ εἶ ὁ δοτὴρ τῶν ἀγαθῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν.

л. 41. Εὐχὴ ἐπὶ πώγωνος κουρᾷ ἢ κεφαλῆς.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι. . Goar p. 309.

л. 42. Εὐχὴ ἐπὶ τὸ ἀναδήσασθαι κεφαλὴν γυναῖκα. Goar p. 309.

л. 42 об. Ἀκολουθία τῶν ἁγίων Θεοφανίων.

Μετὰ τὸ ἀπολῦσαι τὴν θείαν λειτουργίαν οὐ λέγει ὁ διάκονος· Ἐν εἰρήνῃ προέλθατε, ἀλλ' εὐθέως γίνεται ὑπὸ τοῦ ἀρχιδιακόνου συναπτή· Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τῆς εἰρήνης... Ὑπὲρ τοῦ ἁγίου οἴκου... Ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν τοῦ δεῖνος ἱερωσύνης, ἀντιλήψεως, διαμονῆς καὶ τοῦ ἔργου τῶν χειρῶν αὐτοῦ τοῦ Κυρίου... Ὑπὲρ τοῦ ἁγιασθῆναι τὸ ὕδωρ.. Ὑπὲρ τοῦ καταπεμφθῆναι αὐτῷ τὴν χάριν τῆς ἀπολυτρώσεως... Ὑπὲρ τῶν εὐσεβεστάτων... Ὑπὲρ τοῦ συμπολεμῆσαι... Ὑπὲρ τῆς πόλεως.. Ὑπὲρ τῆς εὐκρασίας ἀέρων... Ὑπὲρ πλεόντων... Ὑπὲρ τοῦ ῥυσθῆναι... Καὶ ὑπὲρ πάντων τῶν χρῃζόντων... Τῆς παναγίας ἀχράντου... Καὶ τούτων λεγομένων, ὁ ἱερεὺς εὔχεται καθ' εαυτόν· Κύριε Ἰησοῦ Χριστὲ ὁ μονογενὴς Υἱός. Goar pag. 368. Καὶ πληρώσας τὴν εὐχήν, λέγει καθ' ἑαυτόν· Ἀμήν, καὶ εὐθέως ἀπάρχεται ἐν ἐκφωνήσει· Μέγας εἶ, Κύριε, καὶ θαυμαστὰ τὰ ἔργα σου... Goar. p. 370. Τοῖς τε κεχρημένοις (у Гоара: χριομένοις τὸν ἁγιασμόν, τὴν ὑγείαν) τὴν εὐλογίαν. Ὁ λαός· Ἀμήν. Ὁ ἱερεύς· Εἰρήνη πᾶσιν. Ὁ διάκονος· Τὰς κεφαλάς. Κλῖνον, Κύριε, τὸ οὖς σου καὶ ἐπάκουσον ἡμῶν. Goar pag. 371.

л. 45. Εὐχὴ ἄλλη εἰς τὸ ὕδωρ τῶν ἁγίων Θεοφανίων, λεγομένη ἐν τῇ φιάλῃ τοῦ μεσαυλοῦ Goar pag. 363.

л. 45 об. Εὐχαὶ τῆς γονυκλισίας τῆς ἁγίας Πεντηκοστῆς.

Μετὰ τὸ προκείμενον καὶ τὸ Κύριε ἐλέησον τῆς ἐκτενοῦς δεήσεως, τοῦ διακόνου λέγοντος· Κλίνοντες τὰ γόνατα, λέγει ὁ ἀρχιερεὺς ἐν ἐπηκόῳ τὴν πρώτην εὐχήν· Ἄχραντε, ἀμίαντε... Goar pag. 597. Καὶ ἐπισυνάπτει τὴν α' εὐχὴν τῶν ἀντιφώνων τοῦ λυχνικοῦ, καθ' ἑαυτὸν δέ· Εὐλογητὸς εἶ, Κύριε, Δέσποτα παντοκράτορ, ὁ φωτίσας τὴν ἡμέραν. Goar p. 598. Καὶ λεγομένης ταύτης καθ' ἑαυτόν, λαμβάνει καιρὸν ὁ ἑστὼς ἐν τῷ ἄμβωνι διάκονος καὶ λέγει· Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, ἀνάστησον καὶ διαφύλαξον. Καὶ οὕτω ποιεῖ συναπτήν· Ὑπὲρ τῆς ἄνωθεν.. Ὑπὲρ τῆς εἰρήνης κ. τ. λ. τῶν αἰτήσεων, ἕς οὗ (ἕως οὗ) παρὰ τοῦ ἀρχιδιακόνου ἀπολυθῇ, καὶ τότε λέγει· Τῆς παναγίας ἀχράντου, καὶ ἐκφωνεῖ ὁ ἀρχιερεύς· Σὸν γάρ ἐστι τὸ ἐλεεῖν καὶ σώζειν... Καὶ μετὰ τὴν ἐκφώνησιν ἀντίφωνον α'. Στίχος α'· Ἠγάπησα, ὅτι εἰσακούσεται... Ταῖς πρεσβείαις ἁγίων. Στίχος β'· Ὅτι ἔκλινε τὸ οὖς αὐτοῦ ἐμοί... Στίχος γ'· Ἐλεήμων Κύριος καὶ δίκαιος... Ταῖς πρεσβείαις... Στί-

χος δ'· Εὐαρεστήσω ἐνώπιον Κυρίου ἐν χώρᾳ ζώντων. Ταῖς πρεσβείαις. Δόξα καὶ νῦν. Εἶτα αὖθις λέγοντος τοῦ διακόνου· Ἔτι καὶ ἔτι κλίνοντες τὰ γόνατα, ποιεῖ ὁ ἀρχιερεὺς τὴν β' εὐχήν· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὴν σὴν εἰρήνην δεδωκὼς τοῖς ἀνθρώποις. Goar pag. 599. Καὶ ἐπισυνάπτει καθ' ἑαυτὸν τὴν β' εὐχὴν τῶν ἀντιφώνων· Κύριε, Κύριε, ὁ ῥυσάμενος ἡμᾶς ἀπὸ παντὸς βέλους. Goar p. 600. Ἐπισυνάπτοντος δὲ αὐτοῦ, λέγει ὁ διάκονος· Ἀντιλαβοῦ, σῶσον, καὶ ποιεῖ συναπτήν· Ὑπὲρ τῆς ἄνωθεν... Τῆς παναγίας ἀχράντου. Ὁ ἀρχιερεὺς ἐκφωνεῖ· Εὐδοκίᾳ καὶ ἀγαθότητι τοῦ μονογενοῦς... Εἶτα ἀντίφωνον β'. Στίχος α'· Ἐπίστευσα, διὸ ἐλάλησα... Σῶσον ἡμᾶς, Παράκλητε ἀγαθέ, ψάλλοντάς σοι Ἀλληλούϊα. Στίχος β'· Ἐγὼ δὲ ἐταπεινώθην σφόδρα... Σῶσον ἡμᾶς. Στίχος γ'· Τὰς εὐχάς μου τῷ Κυρίῳ ἀποδώσω... Σῶσον ἡμᾶς. Στίχος δ'· Ἐν αὐλαῖς οἴκου Κυρίου ἐν μέσῳ σου... Σῶσον ἡμᾶς. Δόξα, Ὁ μονογενὴς Υἱός. Καὶ νῦν, Τὴν ὑπερένδοξον τοῦ Χριστοῦ Μητέρα. Καὶ πάλιν λέγοντος τοῦ διακόνου· Ἔτι καὶ ἔτι κλίνοντες τὰ γόνατα, ποιεῖ ὁ ἀρχιερεὺς ἐν ἐκφωνήσει ὁμοίως τὴν γ' εὐχήν· Ἡ ἀεννάως βρύουσα ζωτικὴ καὶ φωτιστικὴ πηγή. Goar p. 601. Καὶ ἐπισυνάπτει τὴν γ' εὐχὴν καθ' ἑαυτόν· Ὁ Θεὸς ὁ μέγας καὶ αἰώνιος, ὁ ἅγιος καὶ φιλάνθρωπος. Goar pag. 601. Ἐπισυνάπτοντος δὲ αὐτοῦ, λέγει ὁ διάκονος· Ἀντιλαβοῦ, σῶσον... Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης... Τῆς παναγίας... Ὁ ἱερεὺς ἐκφωνεῖ· Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν. Καὶ μετὰ τὴν ἐκφώνησιν ἀντίφωνον γ' τοῦ Τρισαγίου. Στίχος α'· Αἰνεῖτε τὸν Κύριον πάντα τὰ ἔθνη... Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός... Στίχος β'· Ἐπαινέσατε αὐτὸν πάντες οἱ λαοί... Ἅγιος ὁ Θεός... Στίχος γ'· Ὅτι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ... Ἅγιος ὁ Θεός... (Στίχος δ')· Καὶ ἡ ἀλήθεια τοῦ Κυρίου μένει... Ἅγιος ὁ Θεός... Δόξα, Ἅγιος ὁ Θεός... Καὶ νῦν, Ἅγιος ὁ Θεός... Μετὰ δὲ τὸ τέλος τοῦ γ' ἀντιφώνου, τοῦ διακόνου ποιοῦντος τὴν συναπτὴν τὸ Πληρώσωμεν τὴν δέησιν.., λέγει ὁ ἀρχιερεὺς τὴν δ' εὐχὴν ὅλην καθ' ἑαυτὸν καὶ οὐδόλως ἐν ἐκφωνήσει· Σὸν ὡς ἀληθῶς καὶ μέγα ὄντως μυστήριον, Δέσποτα. Goar p. 601, но съ особымъ концемъ См. выше стр. 16. Καὶ ἐπισυνάπτει τὴν δ' εὐχὴν τῆς ἀπολύσεως· Ὁ Θεὸς ὁ μέγας καὶ ὕψιστος, ὁ μόνος ἔχων ἀθανασίαν. Goar p. 602. Καὶ ὅτε εἴπῃ ὁ διάκονος· Τῆς παναγίας, ἐκφωνεῖ ὁ ἀρχιερεύς· Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεός. Ὁ λαός· Ἀμήν. Ὁ ἀρχιερεύς· Εἰρήνη πᾶσιν. Καὶ τοῦ διακόνου λέγοντος τὸ Τὰς κεφαλάς, ἐπεύχεται ὁ ἱερεύς· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ κλίνας οὐρανούς. Goar p. 603. Ὁ λαός· Ἀμήν. Ὁ διάκονος· Ἐν εἰρήνῃ προέλθετε. Καὶ ἀπερχόμεθα εἰς τὸν ἅγιον Πέτρον καὶ εἰς τὸ μέγα βαπτηστήριον καὶ ποιοῦ-

μεν τὰ κατάγυρα, εἶτα γίνεται εἰς τὸ σκευοφυλάκιον ἡ διανομὴ τῶν κρηρίων (sic) παρὰ τοῦ πατριάρχου, καὶ ἐξερχόμεθα. Καὶ οὕτω μὲν ποιεῖ ἡ τοῦ Θεοῦ Μεγάλη ἐκκλησία τὴν τῶν εὐχῶν τῆς γονυκλισίας τῆς Πεντηκοστῆς ἀκολουθίαν, ὡς ἐγράφη, αἱ δὲ λοιπαὶ καὶ αἱ καθολικαὶ καὶ αἱ κατὰ τοὺς οἴκους καὶ τὰ μοναστήρια, ἄλλη ἄλλως ποιεῖ καὶ ἑτέρα ἑτέρως· αἱ μὲν γάρ, μετὰ τὸ προκείμενον καὶ τὴν ἐκτενήν, ἱκεσίας τὰς τέσσαρας ὁμοῦ, καὶ οὕτω τὸ Καταξίωσον, Κύριε, καὶ τὰ στιχηρά· Νῦν εἰς σημεῖον, καὶ τὴν λοιπὴν ἀκολουθίαν, αἱ δέ, μετὰ τὸ προκείμενον, τὰς εὐχὰς καὶ τὴν ἐκτενὴν ἐν τῷ τέλει τοῦ λυχνικοῦ, αἱ δέ, μετὰ τὸ προκείμενον καὶ τὴν ἐκτενήν, εὐχὴν μίαν καὶ στιχηρὸν α', καὶ πάλιν ἑτέραν εὐχὴν καὶ ἕτερον στιχηρόν, καὶ αὖθις ἑτέραν καὶ ἕτερον, αἱ δὲ τὰς τρεῖς πρὸ τῶν στιχηρῶν καὶ τὴν δ' μετὰ τὰ στιχηρά, καὶ οὕτω· Νῦν ἀπολύεις τὸν δοῦλόν σου, αἱ δὲ τὰς τρεῖς μόνας καὶ τὴν δ' οὐ λέγουσιν, οὐ καλῶς οὐδὲ δικαίως, ὡς ἕκαστος τῶν ἱερέων ἀκριβείας καὶ εἰδήσεως ἔχει, ἢ ἀμαθείας καὶ ἀγροικίας, ἢ καὶ ἴσως, ὡς καί τινες τῶν ἐκκλησιῶν παρέλαβον.

л. 55. Εὐχὴ ἀντιφώνου τοῦ λυχνικοῦ. Goar pag. 35 (pag. 28—29), но съ пропускомъ: Καὶ μετὰ τὸ προκείμενον καὶ τὸ Κύριε ἐλέησον, γίνεται ὑπὸ τοῦ ἱερέως εὐχὴ ἀντιφώνου α', ἐν ᾧ ψάλλεται· Ταῖς πρεσβείαις, ἔχουσα οὕτως· Εὐλογητὸς εἶ, Κύριε. Goar p. 35. Εὐχὴ ἀντιφώνου β', ἐν ᾧ ψάλλεται· Ὁ μονογενὴς Υἱός· Κύριε, Κύριε, ὁ ῥυσάμενος ἡμᾶς. Goar p. 36. Εὐχὴ ἀντιφώνου γ', τοῦ Τρισαγίου· Ὁ Θεὸς ὁ μέγας καὶ αἰώνιος Goar pag. 36. Εὐχὴ κατηχουμένων μετὰ τὸ Τρισάγιον τοῦ λυχνικοῦ. Ἰστέον δέ, ὅτι οἱ κατηχούμενοι τοῦ λυχνικοῦ οὐ πάντοτε γίνονται, ἀλλ' ἐν πέμπτῃ καὶ τρίτῃ μόνον, καὶ οὐδὲ ἐν ταύταις ἁπλῶς, ἀλλ' ὅτε μὴ ἔχει λειτουργίαν ἡ ἐκκλησία ἢ λιτήν· λειτουργίας γὰρ ἢ λιτῆς οὔσης, οὐ γίνονται. Ὁ Θεός, ὁ τῶν κρυπτῶν γνώστης. Goar p. 36. Κύριε ὁ Θεὸς ἡμῶν, καὶ νῦν προσερχόμεθα ἐν ὅλῃ καρδίᾳ. Goar pag. 37. Εὐχὴ πιστῶν β'· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὸ ἀπρόσιτον οἰκῶν φῶς Goar p. 37. Εὐχὴ γ' τῆς ἀπολύσεως· Ὁ Θεὸς ὁ μέγας καὶ ὕψιστος. Goar p. 29. Ὁ ἱερεύς· Εἰρήνη πᾶσιν. Καὶ τοῦ διακόνου λέγοντος· Τὰς κεφαλάς, ἐπεύχεται ὁ ἱερεύς· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ κλίνας οὐρανούς. Goar pag. 32. Ὁ διάκονος· Ἐν εἰρήνῃ προέλθωμεν.

л. 60. Εὐχὴ τῶν καταγύρων, γινομένη ἐν τῷ σκευοφυλακίῳ. Τοῦ διακόνου ποιοῦντος τὴν συναπτήν, ἐπεύχεται ὁ ἱερεύς· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ θησαυρὸς τῶν αἰωνίων ἀγαθῶν, ὁ παντὸς ἁγιασμοῦ χορηγός, ὁ κτίσας ἡμᾶς ἐπ' ἔργοις ἀγαθοῖς, ἵνα ἐν αὐτοῖς περιπατήσωμεν, ἐπίβλεψον ἐπὶ τὴν ταπείνωσιν ἡμῶν, καὶ ποίησον ἡμᾶς σκεύη σου ἡγιασμένα καὶ εὔχρηστα τῷ Δεσπότῃ ἀναδειχθῆναι πρὸς πᾶν ἔργον ἀγαθὸν ἐξηρτισμέ-

νους, ἐποικοδομεῖν ἐπὶ τῷ θεμελίῳ τῆς σῆς ἐπιγνώσεως χρυσόν, ἄργυρον, λίθους τιμίους, τὰς θείας καὶ ζωοποιοὺς ἐντολάς, πόλιν καὶ ἐνδιαίτημα τῆς σῆς ἀγαθότητος τὴν ἡμετέραν γενέσθαι ψυχήν, ἵνα, ἐνοικῶν ἐν ἡμῖν καὶ ἐμπεριπατῶν, ὁδοποιήσῃς ἡμῖν καὶ τὴν εἰς τὴν αἰώνιόν σου βασιλείαν ὁδὸν καὶ δόξαν. Ἐκφώνησις· Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, καὶ (ἐν) ἁγίοις ἐπαναπαύῃ καὶ σοὶ τὴν δόξαν. Ὁ ἱερεύς· Εἰρήνη πᾶσιν. Ὁ διάκονος· Τὰς κεφαλάς. Ὁ ἱερεύς· Δέσποτα ἅγιε, ὑποκλίναντές σοι τὸν αὐχένα τοῦ σώματος, δεόμεθα, δὸς ἡμῖν πάντοτε ἐν ὀρθῷ καὶ ἀκλινεῖ τῷ φρονήματι τὴν οὐράνιον δόξαν περισκοπεῖν, καὶ τῇ σῇ προσανέχειν μεγαλειότητι. Ἐκφώνησις· Ὅτι σὸν τὸ κράτος καὶ σοῦ ἐστιν ἡ βασιλεία. Сн. выше стр. 13.

л. 60 об. Εὐχή, λεγομένη ἐν τῷ βαπτιστήρῳ μετὰ τὸ λυχνικόν.

Καὶ νῦν εὐχαριστοῦμέν σοι, Δέσποτα, τῷ Θεῷ καὶ Πατρί, τῷ ἱκανώσαντι ἡμᾶς εἰς τὴν μερίδα τοῦ κλήρου τῶν ἁγίων ἐν τῷ φωτί, ὅτι ἐρρύσω ἡμᾶς ἐκ τῆς ἐξουσίας τοῦ σκότους, καὶ μετέστησας εἰς τὴν βασιλείαν τοῦ Υἱοῦ τῆς ἀγάπης σου, ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν, τὴν ἄφεσιν ἁμαρτιῶν, δι' οὗ αἰτοῦμεν καὶ τῆς ἐπουρανίου σου δόξης τὴν κληρονομίαν, ἵνα, οἱ συμμορφωθέντες τῷ θανάτῳ τῆς σαρκὸς αὐτοῦ διὰ τοῦ ἁγίου βαπτίσματος, διὰ τῆς κατὰ τὰς ἐντολὰς αὐτοῦ πολιτείας καὶ ἀποστροφῆς πάντων τῶν σαρκικῶν παθημάτων, κοινωνοὶ καὶ τῆς ἀναστάσεως αὐτοῦ καὶ τῆς αἰωνίου βασιλείας ἐν τῇ λαμπρότητι τῶν ἁγίων σου, ἐν τῷ φωτὶ τοῦ προσώπου σου γενώμεθα. Ἐκφώνησις· Ὅτι σὺ εἶ ὁ φωτισμὸς ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν... Ὁ ἱερεύς· Εἰρήνη πᾶσιν. Ὁ διάκονος· Τὰς κεφαλάς. Ὁ ἱερεύς· Κύριε, Κύριε, ὁ διὰ τῆς κατὰ σάρκα ἐπιφανείας τοῦ μονογενοῦς σου Υἱοῦ καὶ Θεοῦ ἡμῶν ἐγκαινίσας ἡμῖν ὁδὸν πρόσφατον καὶ ζῶσαν, τὴν δι' ὕδατος καὶ Πνεύματος ἀναγέννησιν, Αὐτός, Δέσποτα, τὴν ἐν αὐτῷ τῷ ἁγίῳ βαπτίσματι δεδομένην ἡμῖν τοῦ ἁγίου σου Πνεύματος χάριν ἀναφαίρετον ἐν ἡμῖν διατήρησον, φωτίζων ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα εἰς ἐπίγνωσιν τῆς σῆς ἀληθείας καὶ (ἐρ)γασίαν τῶν προσταγμάτων σου. Ἐκφώνησις· Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν, ὁ Θεὸς τοῦ ἐλεεῖν... Ὁ διάκονος· Σοφία. Χριστὸς ὁ Θεὸς ἡμῶν διὰ πρεσβειῶν τῆς παναχράντου αὐτοῦ Μητρὸς καὶ τοῦ ἁγίου καὶ ἐνδόξου προφήτου Προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, καὶ πάντων αὐτοῦ τῶν ἁγίων ἐλεήσοι καὶ σώσοι τὰς ψυχὰς ἡμῶν, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. См. выше стр. 13.

л. 60 об. Εὐχαὶ κατὰ παννυχίδα.

Тѣ-же, что выше стр. 13—15, но по тексту ближе всего стоятъ къ ркп. патріаршей Александрійской библіотеки № 104. (См. тамъ-же въ прим.).

л. 63 об. Εὐχαὶ μεσονυκτιναί. См. выше стр. 62—63.

л. 65. Εὐχὴ ἑωθινή. Тѣ-же молитвы и съ тѣми замѣчаніями, что въ cod. Bessarion. Crypt-ferrat. bibl.

л. 70 об. Εὐχαὶ τῶν ὡρῶν τῆς ἡμέρας.

Εὐχὴ ὥρας α΄. Ἀντίφωνον α΄· Ὁ Θεός, ὁ ἐπὶ τῶν χερουβὶμ καθεζόμενος καὶ ὑπὸ τῶν σεραφὶμ δοξαζόμενος. См. выше стр. 9. Εὐχὴ ὥρας α΄, ἀντίφωνον β΄· Ἀκουστὸν ποίησον ἡμῖν τὸ πρωῒ τὸ ἔλεός σου, ὁ Θεὸς ἡμῶν. См. выше стр. 35. Εὐχὴ ὥρας α΄, ἀντίφωνον γ΄· Ὁ ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ἡμῶν. См. выше стр. 35, но съ отличнымъ концемъ: ἀντικειμένων πνευμάτων πονηρίας, φώτισον τοὺς ὀφθαλμοὺς τῶν διανοιῶν ἡμῶν εἰς τὸ ἀπαύστως δοξάζειν σε σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ ζωοποιῷ σου Πνεύματι. Ἐκφώνησις· Ὅτι σὺ εἶ τὸ φῶς τὸ ἀληθινὸν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν. Εὐχὴ δ΄, ἤγουν ἀπολύσεως· Κύριε, Κύριε, σή ἐστιν ἡ ἡμέρα καὶ σή ἐστιν ἡ νύξ Goar pag. 45. Ἐκφώνησις· Ὅτι πρέπει σοι πᾶσα δόξα... Εὐχὴ τῆς κεφαλοκλισίας· Ὁ εὐήκοος καὶ ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ἡμῶν. См. выше стр. 36, но съ прибавкою: τοὺς κλίνοντας τὰς ἑαυτῶν κεφαλὰς ἐνώπιόν σου...

л. 71 об. Εὐχὴ πρωϊνή[1]).

Ὁ Θεὸς τῶν δυνάμεων, ὁ ὑπάρχων πρὸ τῶν αἰώνων καὶ μένων εἰς τοὺς αἰῶνας, ὁ Δημιουργὸς τῶν ἁπάντων, ὁ ποιήσας τὸν ἥλιον εἰς φωτισμὸν τῆς ἡμέρας καὶ τὴν νύκτα εἰς ἀνάπαυσιν πάσης σαρκός, εὐχαριστοῦμέν σοι, ὅτι διήγαγες ἡμᾶς ἐν εἰρήνῃ τὴν νύκτα, καὶ προσήγαγες τῇ ἀρχῇ τῆς ἡμέρας ἐν εὐχαριστίᾳ, καὶ δεόμεθά σου, ἐπίλαμψον ἡμῖν τὸν τῆς δικαιοσύνης σου ἥλιον καὶ ποίησον ἡμᾶς υἱοὺς φωτὸς καὶ υἱοὺς ἡμέρας, ἵνα τήν τε παροῦσαν ἡμέραν σωφρόνως διατελέσωμεν, καὶ πάντα τὸν χρόνον τῆς ζωῆς ἡμῶν ἀπροσκόπως διαβιώσωμεν. Ἐκφώνησις· Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ᾽ οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ... Εὐχὴ τῆς ἀπολύσεως· Κύριε ὁ Θεὸς ἡμῶν, τὸ φῶς τὸ ἀληθινόν, ὁ καταξιώσας ἡμᾶς πρὸς τὰς ἀρχὰς τῆς ἡμέρας ἐλθεῖν См. выше стр. 66. Ἐκφώνησις· Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεός.

л. 72. Εὐχὴ ὥρας α΄. См. выше стр. 36—37. Всѣ молитвы, кромѣ послѣдней, послѣ возгласа діакона: Σοφία, т. е. Πανάγιε Κύριε ὁ Θεὸς ἡμῶν. Третьяго часа имѣются только двѣ молитвы, которыя сходны съ напечатанными у насъ выше стр. 37, съ тою, однако, разницею, что возгласъ первой здѣсь читается такъ: Ὅτι

[1]) Въ оглавленіи онѣ называются: Ἕτεραι πρωϊναὶ εὐχαί.

σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα.., а возгласъ второй совершенно отсутствуетъ, такъ какъ въ рукописи снова недостаетъ нѣсколькихъ листовъ, содержащихъ въ себѣ молитвы (всѣ): a) νβ'. Τῆς τρίτης ὥρας, b) νγ'. Τῆς ἕκτης ὥρας εὐχαί, c) νδ'. Τῆς ἐννάτης ὥρας εὐχαί и d) Ἕτεραι τοῦ ἁγίου Βασιλείου μετὰ τὴν τῆς κλίνης ἐξανάστασιν καὶ ἑωθιναὶ τῶν ὡρῶν καὶ αἱ λοιπαὶ ἀμφότεραι. Изъ этихъ послѣднихъ въ рукописи мы находимъ далѣе:

л. 74. Εὐχὴ ἑωθινή.

Δέσποτα ὁ Θεός, ὁ πρὸ ἑωσφόρου γεννηθεὶς ἐκ τοῦ Πατρός, τὸ φῶς τὸ ἀληθινόν, ὃ φωτίζει πάντα ἄνθρωπον, ἐρχόμενον εἰς τὸν κόσμον, ὁ δι' ἄφατον ἀγαθότητα τὴν σὴν ἐπ' ἐσχάτων τῶν χρόνων ἐκτελέσας οἰκονομίαν, καὶ τῷ φωτὶ τῆς ἐπιφανείας σου πρὸς λῆξιν καταστήσας τὴν συνέχουσαν νύκτα τὴν ζωὴν ἡμῶν, καὶ τὴν ἀνέσπερον ἡμέραν ἀναδείξας τῆς σῆς ἐπιγνώσεως, Αὐτὸς καὶ νῦν, δεόμεθά σου, ἐξαπόστειλον τὸ φῶς σου τὸ ὑπερουράνιον, εἰς τὸ καταλάμψαι τοὺς νοεροὺς ὀφθαλμοὺς ἡμῶν, καὶ κυβέρνησον πᾶσαν κίνησιν τῆς καρδίας ἡμῶν κατὰ τὸ σοὶ εὐάρεστον, προσδεχόμενος ταύτας ἡμῶν τὰς ἑωθινὰς δεήσεις, καὶ ἀντικαταπέμπων ἐφ' ἡμᾶς καὶ ἐπὶ τὴν σὴν κληρονομίαν πλούσια τὰ ἐλέη σου, παντὸς σκανδάλου καὶ προσκόμματος, καὶ ταραχῆς σκότους ἡμῶν τε καὶ αὐτῶν ἐκκλίνων τοὺς πόδας, καὶ ἄγγελον φωτὸς φύλακα τῆς ψυχῆς καὶ τοῦ σώματος καὶ ὁδηγὸν παρεχόμενος, ἵνα ὑπ' αὐτοῦ ὁδηγούμενοι ἐν τῇ ὁδῷ τῶν ἐντολῶν σου, καταντήσωμεν εἰς τὴν σὴν εὐαρέστησιν, καὶ τύχωμεν τῶν ἐπηγγελμένων ἀγαθῶν, πρεσβείαις τῆς ἀχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τῶν θείων καὶ νοερῶν λειτουργῶν σου χερουβὶμ τῆς πρώτης ἱεραρχίας καὶ διακοσμήσεως, δοξάζοντες καὶ εὐχαριστοῦντες εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

л. 74 об. Εὐχὴ τῆς πρώτης ὥρας.

Πάτερ ἅγιε, ὁ τὸν ἥλιον τῆς δικαιοσύνης, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, εὐδοκήσας ἀνατεῖλαι ἡμῖν μετὰ τὴν νύκτα τοῦ νόμου καὶ τὴν ταύτης συμπλήρωσιν, ὁ τῷ προφήτῃ Δαβὶδ ἐμπνεύσας εἰπεῖν· τὸ πρωῒ παραστήσομαί σοι καὶ ἐπόψει με, Αὐτὸς καὶ ἐφ' ἡμᾶς τοὺς ἀναξίους, διὰ τὴν σὴν φιλανθρωπίαν παραστῆναι τολμῶντας τῷ προσώπῳ τῆς δόξης σου, ἐπίβλεψον ἐν οἰκτιρμοῖς καὶ χρηστότητι, καὶ παράσχου ἡμῖν τὴν παροῦσαν ἡμέραν, καὶ πάντα τὸν χρόνον τῆς ζωῆς ἡμῶν, διελθεῖν εὐλαβῶς καὶ εὐσχημόνως, συντηρῶν ἡμᾶς ἐξ ἀοράτων καὶ ὁρωμένων ἐχθρῶν, καὶ πᾶσαν ἐνθύμησιν καὶ πρᾶξιν ἀπταίστως ἐν ἡμῖν ἐνεργεῖσθαι ποιῶν, καὶ πάντοτε, ὡς ὑπὸ τοῖς σοῖς ὀφθαλμοῖς ὄντας καὶ ὁρωμένους, ἐν εὐθύτητι καθοδήγησον, πρεσβείαις τῆς ἀχράντου Δεσποίνης ἡμῶν

Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τῶν θείων καὶ νοερῶν σου λειτουργῶν, τῶν, οἷς ἐπαναπαύῃ, θρόνων τῆς πρώτης ἱεραρχίας καὶ διακοσμήσεως, εἰς δόξαν σὴν καὶ τοῦ μονογενοῦς σου Υἱοῦ καὶ τοῦ παναγίου καὶ ἀγαθοῦ καὶ ζωοποιοῦ Πνεύματος νῦν.

λ. 75. Εὐχὴ τῆς γ' ὥρας

Ἅγιε Παράκλητε, τὸ Πνεῦμα τῆς ἀληθείας, τὸ ἐν τοῖς ἁγίοις ἐνοικήσαν μαθηταῖς καὶ ἀποστόλοις διὰ τῆς εὐδοκίας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ πληρῶσαν αὐτοὺς τοῦ παρὰ σοῦ ἁγιασμοῦ καὶ τῆς χάριτος, τὸ φωστῆρας τούτους ἀπεργασάμενον καὶ δι' αὐτῶν φωτίσαν τὸν κόσμον, καταξίωσον καὶ ἐν ἡμῖν τοῖς ἁμαρτωλοῖς τὴν σὴν ποιῆσαι ἐνοίκησιν, καὶ ἀπέλασον ἀφ' ἡμῶν πάντα ζόφον κακίας ἐν τῷ φωτί σου, ἀπόπλυνον ἡμᾶς τῶν προλαβόντων ῥύπων τῆς ἁμαρτίας, καὶ τῶν ἔτι καθ' ἡμῶν φερομένων ὑπ' αὐτῆς ἀμετόχους συντήρησον, δὸς ἡμῖν τὴν μετοχὴν τῆς σῆς καθαρότητος ἐν τῷ ἀποκαθᾶραι πᾶσαν ψυχῆς κηλῖδα, καὶ ὅλην αὐτῆς ἁγιάσαι τὴν τριμερῆ δύναμιν, ὥστε πάντοτε τὴν σὴν ἐν αὐτοῖς οἴκησιν ἔχειν, καὶ τῇ σῇ γνώσει καὶ σοφίᾳ σου συνετίζεσθαι τὰ εὐθῆ καὶ συμφέροντα ἡμῖν τε καὶ παντὶ τῷ λαῷ σου, πρεσβείαις τῆς ἀχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τῶν αὔλων καὶ νοερῶν λειτουργῶν σου, τῶν θείων κυριοτήτων τῆς δευτέρας καὶ μέσης ἱεραρχίας καὶ διακοσμήσεως. Ὅτι παρὰ σοῦ πᾶσα εὐθύτης καὶ σωτηρία καὶ χορηγία τῶν ἀγαθῶν νῦν καὶ ἀεί.

λ. 75 οβ. Εὐχὴ τῆς ἕκτης ὥρας.

Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ διὰ τὴν ἡμετέραν ἐν τῷ ξύλῳ κατάκρισιν τὰς ἀχράντους σου χεῖρας ἐπὶ ξύλου τανύσας, καὶ τὸ χειρόγραφον τῆς πρὸς τὴν ἁμαρτίαν ὑποταγῆς ἡμῶν διαῤῥήξας, Αὐτὸς ἀπὸ πάσης ἐπιβουλῆς ῥῦσαι καὶ μεθοδείας τοῦ διαβόλου, καὶ τῇ σῇ κατασφάλισαι προνοίᾳ τὸν νοῦν ἡμῶν καὶ τὸ πνεῦμα, ἀπράκτους αὐτοῦ ποιῶν καὶ ἀνενεργήτους τὰς καθ' ἡμῶν ἐπιχειρήσεις, μηδὲ ἀνέξῃ τὴν ἐλευθερίαν ἀπολέσαι ἡμᾶς, ἣν διὰ τοῦ ζωοποιοῦ αἵματος τῆς ἁγίας πλευρᾶς σου ἐλάβομεν, μηδὲ πάλιν καθ' ἡμῶν ἐπιχαίρειν τῷ ἐπιβούλῳ γένηται δαίμονι, διὰ τοῦ τὴν αὐτοῦ δουλείαν καὶ τὴν ἐκ ταύτης αἰσχύνην ἐπαυχενίσαι ἡμῖν, ἀλλὰ τήρησον ἡμᾶς ἀδουλώτους καὶ ἀνεπαισχύντους τῇ σῇ βοηθείᾳ καὶ ἀντιλήψει, δυναμουμένους καὶ τῇ παρὰ σοῦ δεδομένῃ ἐξουσίᾳ εἰς τὸ πατεῖν ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ, σοὶ μόνῳ γνησίως δουλεύοντας, τὰ σοὶ εὐάρεστα μελετῶντας, τὰ σὰ ἔργα ἀμέπτως ἐπιτελοῦντας, καὶ σὲ ἀγαπῶντας ἐξ ὅλης καρδίας, τὸν ἀγαπήσαντα ἡμᾶς Δεσπότην, καὶ τοῖς ἑαυτοῦ σώσαντα πόνοις καὶ τραύμασι, καὶ τῆς σῆς θεραπείας καὶ νυκτὶ καὶ ἐν ἡμέρᾳ ὅλους ὄντας καὶ μηδέποτε ταύτης ἀφ-

ισταμένους, μηδὲ τῆς σῆς ἑνώσεως, ἵνα καὶ τῆς ἐκεῖθεν ἀπολαύειν καταξιωθῶμεν ἐγγύτητος, πρεσβείαις τῆς ἀχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τῶν ἀΰλων καὶ νοερῶν λειτουργῶν σου, τῶν θείων δυνάμεων τῆς δευτέρας καὶ μέσης ἱεραρχίας καὶ διακοσμήσεως, καὶ δοξάζωμέν σε σὺν τῷ Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

λ. 76. Εὐχὴ τῆς θ΄ ὥρας.

Δέσποτα Κύριε, ἡ ζωὴ τῶν ὅλων, ὁ ὑπὸ τῆς ἀφάτου σου φιλανθρωπίας καὶ τῆς πολλῆς πρὸς τοὺς ἁμαρτωλοὺς εὐσπλαγχνίας, μηδὲ νεκρὸς ὀφθῆναι παραιτησάμενος, ἀλλ' ἐπὶ τοῦ παναγίου σταυροῦ σου τὸ μὲν Πνεῦμα παραθέμενος τῷ Πατρὶ καὶ Θεῷ, τὸ δὲ ἄμωμον σῶμά σου ἀτίμως κρεμᾶσθαι παριδών, ἵνα τοιαύτῃ θριαμβεύσῃς οἰκονομίᾳ πᾶσαν τοῦ διαβόλου καθ' ἡμῶν τὴν ἰσχύν, Αὐτός, ἐν τῇ δυνάμει τῆς ζωοποιοῦ σου νεκρώσεως τὰς σαρκικὰς ἀποκτείνας ἡμῶν ἐπιθυμίας, ἃς ἡ ἐνοικοῦσα ἐν τοῖς μέλεσιν ἡμῶν ἁμαρτία κατὰ τῆς ψυχῆς ἐρεθίζει καὶ ἀνακινεῖ, λύτρωσαι ἀπὸ παντὸς ψυχοφθόρου πολέμου ἔξωθεν ἢ ἔνδοθεν ἐπισυνεστῶτος, καὶ περιφρούρησον ἡμῶν τὴν ζωὴν ἀνώλεθρον, ἣν ἐδωρήσω ἡμῖν διὰ τοῦ μεταποιήσαντος ἡμᾶς πρὸς ἀφθαρσίαν θανάτου σου, καὶ ἐνσκηνωσάτω, Κύριε, καὶ ἐν τῷ Πνεύματι καὶ ἐν τῇ σαρκὶ ἡμῶν ἡ τὰ πάντα ζωοποιοῦσα καὶ συγκροτοῦσα σωστική σου δύναμις, τὸ σαρκικὸν φρόνημα καθυποτάσσουσα τῷ πνεύματι, καὶ εἰρηνοποιοῦσα τὸν ἐν ἡμῖν πόλεμον, πρεσβείαις τῆς ἀχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας καὶ τῶν ἀΰλων καὶ νοερῶν λειτουργῶν σου, τῶν θείων ἐξουσιῶν τῆς δευτέρας καὶ μέσης ἱεραρχίας καὶ διακοσμήσεως, ἵνα ἐν τῇ σῇ δοξάζωμεν εἰρήνῃ τὸ πανάγιον ὄνομά σου σὺν τῷ Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν.

λ. 76 οβ. Εὐχὴ κατὰ τὴν ὥραν τὴν ἑσπερινήν.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὴν ἀνθρωπίνην ζωὴν ἡμέρᾳ καὶ νυκτὶ διορίσας, ἵνα δι' ἀμφοτέρων συνεχόμενοι ἀδιαλείπτως εὐχαριστῶμεν καὶ μεγαλύνωμεν τὴν σὴν βασιλείαν καὶ χοριότητα, καὶ νῦν τὴν ἑσπερινὴν εὐχαριστίαν φόβῳ προσάγοντας, πρόσδεξαι τῇ σῇ ἀγαθότητι, συμπαθῶς ἡμῖν ἐπικλίνων τὸ πανάγιον οὖς σου, καὶ προσδεχόμενος τὰς δεήσεις ἡμῶν, ἃς ἀναξίως τολμῶμέν σοι ἀναφέρειν, καὶ μὴ διὰ τὰς ἁμαρτίας ἡμῶν ἐν ὀργῇ ἀφ' ἡμῶν ἐκκλίνῃς, ἀλλὰ παράσχου καὶ τῶν μέχρι τῆς παρούσης ὥρας ἡμαρτημένων τὴν συγχώρησιν, ὁ εἰδὼς τὴν ἀσθένειαν καὶ τὸ τῆς φύσεως ἡμῶν ὀλισθηρόν, καὶ τὸ ἐπίλοιπον τῆς ἡμέρας διελθεῖν ἀναμάρτητον, ῥῦσαι ἡμᾶς ἐν τῇ ὁδηγίᾳ σου ἐνέδρας τοῦ πονηροῦ

καὶ παραπτώματος ὁρωμένου καὶ ἀφανοῦς. Πάτερ εὔσπλαγχνε, ὁ διὰ τῆς φωτιστικῆς καὶ ἡμερινῆς σου γεννήσεως ἡμᾶς γεννήσας, εὐδόκησον, ὡς υἱοὺς φωτὸς καὶ ἡμέρας, τὴν σὴν ὁμοιότητα διασώζειν ἀνόθευτον, καὶ πρὸς σὲ πάντοτε ἀνεμποδίστως ἐνατενίζειν, καὶ μὴ συγχωρήσῃς ὑπὸ τοῦ σκότους καταληφθέντας ἀπονυστάξαι τοὺς ὀφθαλμοὺς ἡμῶν, ἀλλὰ γρηγοροῦντας μετάστησον ἀπὸ τῆς ἡμέρας τῆς ζωῆς ταύτης πρὸς τὴν ἐκεῖθεν ἀτελεύτητον ἡμέραν, καὶ παράστησον τῷ ἀκορέστῳ φωτὶ τοῦ προσώπου σου, πρεσβείαις τῆς ἀχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, καὶ τῶν ἱερῶν λειτουργῶν σου, τῶν θείων ἀρχῶν τῆς τελευταίας ἱεραρχίας καὶ διακοσμήσεως, ἵνα τῆς αὐτοῦ καταξιωθέντες ἀπολαύσεως, δοξάζωμέν σε εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

л. 77 οб. Εὐχὴ ἀπιόντων εἰς κοίτην, ἤτοι ἀποδείπνου.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καὶ τῆς αἰωνίου ζωῆς χορηγός, ὁ καὶ τὴν ἐπίκαιρον ταύτην καὶ θνητὴν συνέχων ζωὴν ἡμῶν ἐν τῷ τάξαι νύκτα καὶ ἡμέραν εἰς ἀλλήλων διαδοχήν, ἵνα τῇ μὲν διὰ τῆς χορηγίας τῶν σῶν ἀγαθῶν ἐμπιπλῶνται καρδίαι, τῇ δὲ ἀπὸ τῶν ἡμερινῶν πόνων τῇ σαρκὶ δωρῆται ἡ ἄνεσις, Αὐτὸς καὶ νῦν, ἐπεὶ διὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου εὐδόκησας ἡμᾶς τοὺς ἀναξίους παρελθεῖν τὸ στάδιον τῆς ἡμέρας καὶ τοῖς ὅροις ἐπιβῆναι τῆς νυκτός, παράσχου ἡμῖν τῆς ψυχῆς καὶ τοῦ σώματος ἄνεσιν καὶ τὸν ὕπνον ἀνενόχλητον ἐκ πάσης βλάβης καὶ παντοίας διαβολικῆς ἐπηρείας ἀκάκωτον καὶ ἀτάραχον, ῥῦσαι ἡμᾶς ἀπὸ φόβου νυκτερινοῦ, ἀπὸ ῥαθυμίας καὶ σκοτώσεως λογισμῶν, ἵνα μὴ πρὸς θάνατον καθυπνώσωμεν, διέγειρον ἡμᾶς ἀπὸ τοῦ ὕπνου καὶ τῆς ἡσυχίας τῆς κοίτης ἡμῶν πεφωτισμένους τοὺς ὀφθαλμοὺς τῆς ψυχῆς, τὰς αἰσθήσεις ἀβλαβεῖς καὶ ἀνεμποδίστους ἐξ ἀκηδίας καὶ νωθρότητος ἵνα πεφωτισμένῃ διανοίᾳ καὶ γλώσσῃ προθύμῳ, καὶ χείλεσιν εἰς τὴν σὴν παραστῶμεν εὐχαριστίαν, πρεσβείαις τῆς ἀχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τῶν θείων καὶ νοερῶν λειτουργῶν σου καὶ ἀρχαγγέλων τῆς τελευταίας ἱεραρχίας καὶ διακοσμήσεως, καὶ δοξάζωμεν τὸ πανάγιον ὄνομά σου τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος νῦν καὶ ἀεί.

л. 78. Εὐχὴ τῶν μεσονυκτινῶν.

Κύριε ὁ Θεὸς ἡμῶν, τὸ ἀΐδιον ἀπαύγασμα τοῦ Πατρός, ὁ ἥλιος τῆς δικαιοσύνης, ὁ ἐν μέσῳ τῆς γῆς ἐπαρθεὶς καὶ τὴν ἀπὸ τοῦ αἰῶνος νύκτα μειώσας τῆς ἁμαρτίας, καταύγασον καὶ ἐν ταύτῃ τῇ ὥρᾳ τῆς νυκτὸς τοὺς νοεροὺς ὀφθαλμούς μου, καὶ πρὸς σὲ τούτους αἴρειν τολμῶντι ἐπίφανον τὸ πρόσωπόν σου καὶ ἐξαπόστειλον τὴν βοήθειάν σου, ῥυόμενος ἐκ τῆς καταδυναστείας τοῦ ἄρχοντος τοῦ σκότους, καὶ τῶν ἐπι-

συνισταμένων δι' αὐτοῦ τῆς κακίας παθῶν κατὰ τῆς ζωῆς ἡμῶν, στήριξον ἀκλόνητον καὶ νῦν καὶ πάντοτε παρεστῶτα, ὡς ἀχρεῖον οἰκέτην, σοὶ τῷ Θεῷ μου καὶ βασιλεῖ, ἀπὸ πάσης πονηρᾶς φαντασίας, καὶ τὴν ταπεινήν μου δέησιν ἀνεμπόδιστον καὶ ἀβδέλυκτον ποίησον ἀπὸ λογισμῶν ῥυπαρῶν καὶ προσερχομένων, ἵνα διὰ τῆς αὐτῶν δυσωδίας τὸ ἀνάξιον ἡμῶν πλεονάσωσιν, ἀλλὰ σύ, εὔσπλαγχνε, ἡ τὰ πάντα πληροῦσα εὐωδία, πλήρωσον καὶ ἡμᾶς τῆς σῆς ἐνεργείας, καὶ καθάρισον ἀπὸ πάσης ἀκαθαρσίας σαρκὸς καὶ πνεύματος, καὶ πρόσδεξαι ἡμᾶς ἐξομολογουμένους τῇ ἀγαθότητί σου ἐπὶ πᾶσιν, οἷς ἐποίησας μεθ' ἡμῶν, καὶ μὴ ἀντανέλῃς τοὺς οἰκτιρμούς σου, μηδὲ τὸ ἐπιβλέπειν ἀφέλῃς ἐπὶ τὸν δοῦλόν σου, ἀλλὰ καὶ ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ, καὶ ἐν παντὶ καιρῷ ἐφορῶν ἡμᾶς, συντήρησον ἐκ τῶν ἔργων τοῦ σκότους πρεσβείαις τῆς ἀχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τῶν ἁγίων ἀγγέλων τῆς τελευταίας ἱεραρχίας καὶ διακοσμήσεως δοξάζοντάς σε εἰς τοὺς αἰῶνας.

λ. 78 οβ. Εὐχὴ κατὰ τὴν ἑσπέραν.

Σοί, Κύριε, τῷ δεδωκότι ἡμῖν ἡμέραν εἰς ἐργασίαν καὶ νύκτα εἰς ἀνάπαυσιν, τὴν ἑσπερινὴν ἀποδιδόντες εὐχαριστίαν, αἰτούμεθα καὶ ἱκετεύομεν ὑπὸ τῆς σῆς χάριτος πάντοτε διαφυλάττεσθαι ἀπρόσκοποι, καὶ ἐν ἡμέρᾳ μὲν πρὸς ἐργασίαν τῶν θείων σου ἐντολῶν ἐνισχύεσθαι, ἐν νυκτὶ δὲ ἀφαντασίαστον καρποῦσθαι τὸν ὕπνον, ὃν εἰς ἀνάπαυσιν ἡμῖν δέδωκας, καὶ διὰ τῆς νῦν ἐπαινετῆς πολιτείας ἐπὶ τὴν μέλλουσαν προσαχθῆναί σου δόξαν.

λ. 79. Εὐχὴ ἀπιόντων ἐπὶ κοίτην.

Κύριε ὁ Θεὸς ἡμῶν, εἰς ὃν ἐπιστεύσαμεν καὶ οὗ τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα ἐπικεκλήμεθα, δὸς ἡμῖν εἰς ὕπνον ἀπιοῦσιν ἄνεσιν σώματος καὶ ψυχῆς, διατήρησον ἡμᾶς πάσης φαντασίας καὶ σκοτεινῆς ἡδυπαθείας ἐκτός, παῦσον τὰς ὁρμὰς τῶν παθῶν, σβέσον τὴν πύρωσιν τῆς ἐπανισταμένης σαρκός δώρησαι ἡμῖν σωφρόνως βιοῦν ἐν ἔργοις καὶ λόγοις, ὅπως ἐνάρετον πολιτείαν ἐπανῃρημένοι, τῶν ἐπηγγελμένων μὴ ἐκπέσωμεν ἀγαθῶν σου.

— Εὐχὴ ἑωθινή.

Δόξα σοι, Κύριε ὁ Θεός μου, ὁ τῇ θείᾳ σου καὶ φιλανθρώπῳ προνοίᾳ ἀξιώσας με τὸν ἀνάξιον ἐκ τοῦ ὕπνου ἀναστῆναι, καὶ τῆς εἰσόδου τυχεῖν τοῦ ἁγίου οἴκου σου, πρόσδεξαι, Κύριε, τὴν φωνὴν τῆς δεήσεώς μου, καὶ ἀξίωσον ἐν πνεύματι ταπεινώσεως καὶ καρδίᾳ συντετριμμένῃ τὴν ἐκ τῶν χειλέων μοι προσενεχθῆναί σοι αἴτησιν, ὅπως κἀγὼ κοινωνὸς γένωμαι τῶν εὐαρεστησάντων τὸ ὄνομά σου τὸ ἅγιον.

λ. 79 οб. Τάξις, γινομένη ἐπὶ λιτῇ μελλούσῃ τῆς Μεγάλης ἐκκλησίας ἐξέρχεσθαι.

Κάτεισιν ὁ ἀρχιερεὺς καὶ εἰσέρχεται εἰς τὸ θυσιαστήριον διὰ τῆς πλαγίας, προπορευομένου τοῦ κανστρισίου καὶ προσκυνοῦντος αὐτοῦ τρίτον, ἀνυψοῖ ὁ κανστρίσιος κατὰ τὴν ἐνδυτὴν τῆς ἁγίας τραπέζης ταβλίον καὶ ἀσπάζεται αὐτό, λαμβάνων δὲ καιρὸν ὁ ἀρχιδιάκονος ἐπιτρέπει τῷ διακόνῳ, καὶ μὴ λέγων τὸ Εὐλόγησον, δέσποτα, εὐθὺς φησιν· Ἐν εἰρήνῃ. Καὶ λαμβάνων ὁ ὑποδιάκονος τὸν σταυρὸν τὸν πρὸ τῆς ἁγίας τραπέζης, ἔρχεται σὺν αὐτῷ καὶ ἵσταται εἰς τὸ ἀριστερὸν τοῦ ἀρχιερέως μέρος, καὶ ὁ ἀρχερεὺς εὔχεται οὕτως· Κύριε ὁ Θεὸς ἡμῶν, μνήσθητι ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἀχρείων δούλων σου. Goar. p. 639. Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν... Ὁ λαός· Ἀμήν. Ὁ ἱερεύς· Εἰρήνη πᾶσιν. Ὁ διάκονος· Τὰς κεφαλάς. Ὁ ἱερεὺς ἐπεύχεται· Κύριε ἅγιε, ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ παντεφόρῳ σου ὄμματι ἐπιβλέπων ἐπὶ πᾶσαν τὴν κτίσιν... Goar. pag. 639. Ἐκφώνησις· Σὸν γάρ ἐστι τὸ ἐλεεῖν καὶ σώζειν, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν... Καὶ λαμβάνων καιρὸν ὁ ἀρχιδιάκονος ἐπιτρέπει τοῖς ψάλταις, καὶ ἀπάρχονται τοῦ τροπαρίου τῆς λιτῆς, εἰσερχομένου δὲ διακόνου ἑτέρου μετὰ θυμιατηρίου καὶ θυμιάματος καὶ λέγοντος τὸ Εὐλόγησον, δέσποτα, σφραγίζει τὸ θυμίαμα ὁ ἀρχιερεὺς καί φησι· Θυμίαμά σοι προσφέρομεν εἰς ὀσμὴν εὐωδίας, Χριστὲ ὁ Θεὸς ἡμῶν, ἀντικατάπεμψον οὖν ἡμῖν τὴν χάριν τοῦ παναγίου σου Πνεύματος. Καὶ οὕτω τοῦ διακόνου θυμιῶντος, αὐτὸς λαμβάνει τὸ εὐαγγέλιον ἀπὸ τῆς ἁγίας τραπέζης, καὶ ἵσταται ἐπάνωθεν τοῦ τὸν σταυρὸν βαστάζοντος, θυμιῶν δὲ ὁ διάκονος τὴν ἁγίαν τράπεζαν καὶ τὸν ἀρχιερέα, κατέχοντα τὸ ἅγιον εὐαγγέλιον, μεθίσταται πρὸς τὸ θυμιᾶσαι καὶ τὸν σταυρόν, εὐθέως οὖν λαμβάνει ὁ ἀρχιδιάκονος ἐκ τῶν χειρῶν τοῦ ἀρχιερέως τὸ εὐαγγέλιον καὶ ἀσπάζεται αὐτὸ ὁ ἀρχιερεύς. Προσάγοντος δὲ καὶ τὸν σταυρὸν τοῦ βαστάζοντος αὐτόν, ἀσπάζεται καὶ τοῦτον, καὶ οὕτως ἐξέρχονται πρῶτον μὲν ὁ διάκονος, ὁ κατέχων τὸ θυμιατήριον, εἶτα ὁ τὸν σταυρὸν βαστάζων, ἔπειτα ὁ ἀρχιδιάκονος μετὰ τοῦ εὐαγγελίου, καὶ ἐπὶ τούτοις ὁ ἀρχιερεὺς ὑπό τινος μὴ παρακρατούμενος. Ὅταν δὲ ἔλθωσιν εἰς τὸ τρίτον ποτάμιον, ὁ μὲν ἀρχιερεὺς ἵσταται μέσον, τὸ δὲ εὐαγγέλιον ἐκ δεξιῶν αὐτοῦ, καὶ ὁ σταυρὸς ἐξ ἀριστερῶν, ἔνθα καὶ τὸ θυμιατήριον. Λέγοντος δὲ τοῦ ἀρχιδιακόνου· Τοῦ Κυρίου δεηθῶμεν, ὁ ἀρχιερεύς φησιν· Εὐλογημένη ἡ δόξα Κυρίου ἐκ τοῦ τόπου τοῦ ἁγίου αὐτοῦ πάντοτε νῦν καὶ ἀεί... Εἶτα προσάγοντος τοῦ ἀρχιδιακόνου τὸ εὐαγγέλιον καὶ τὸν σταυρὸν τοῦ βαστάζοντος αὐτόν, ἀσπάζεται ἀμφότερα, καὶ ὁ τῶν ὑποδιακόνων δομέστικος φαινόλιον φέρει,

περιβάλλει τὸν αἴροντα τὸν σταυρόν, καὶ κατιόντων πάντων εἰς τὰς βασιλικὰς πύλας, στρέφεται πρὸς ἀνατολὰς ὁ ἀρχιερεὺς καὶ εὔχεται, καὶ οὕτω καλύπτων τὴν ἑαυτοῦ κεφαλὴν ἀπέρχεται τῆς ὁδοῦ. Ἐρχομένης δὲ τῆς λιτῆς εἰς τὸν φόρον ἢ εἰς ἕτερον τόπον, ἔνθα ἂν ᾖ τύπος, δοξάζουσιν οἱ ψάλται, καὶ γινομένης τῆς ἐκτενοῦς δεήσεως, ὁ ἀρχιερεὺς εὔχεται οὕτως· Κύριε ὁ Θεὸς ἡμῶν, τὴν ἐκτενῆ ταύτην ἱκεσίαν πρόσδεξαι. Goar. p. 639. Εἶτα σφραγίζει τρίτον ἐπὶ τὸ ἔμπροσθεν μέρος καὶ ἐκφωνεῖ· Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις... Ἔπειτα λέγει· Εἰρήνη πᾶσιν. Καὶ τοῦ διακόνου λέγοντος· Τὰς κεφαλὰς ἡμῶν, εὔχεται οὕτως· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καθήμενος ἐπὶ θρόνου δόξης. Goar. p. 639. Ἐκφώνησις· Εἴη τὸ πανάγιον ὄνομα τῆς φιλανθρωπίας σου εὐλογημένον καὶ δεδοξασμένον τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ... Καὶ εὐθέως ἀπάρχονται οἱ ψάλται τοῦ τροπαρίου, καὶ κινεῖται ἡ λιτή.

л. 81 об. Ἐν λιτῇ[1]) διὰ φόβον, γινομένῃ κε΄ τοῦ Σεπτεμβρίου καὶ Ἰουνίου ε΄ ἐν τῷ κάμπῳ τοῦ τριβουναλίου ἔξω τῆς χρυσῆς πόρτης, καὶ Ὀκτωβρίου κς΄ τοῦ ἁγίου Δημητρίου τῇ μνήμῃ σεισμοῦ καὶ τῶν Ἀβάρων, καὶ τῶν ἁγίων Ἀναργύρων ἔξω τῆς πόρτης τῶν Βλαχερνῶν, καὶ τῇ δ΄ μετὰ τὴν κυριακὴν τῶν ἁγίων πάντων ἔξω τῆς χερσαίου πόρτης, ἀπερχομένης τῆς λιτῆς εἰς τὴν Παλαιὰν Πέτραν. Μετὰ τὴν ἐκτενῆ ἱκεσίαν εὐχὴ τῆς κεφαλοκλισίας· Πάλιν σοῦ, Κύριε, τοῦ φιλανθρώπου Δεσπότου μνήμη παιδείας... Goar. p. 640.

— Τάξις, γινομένη τῇ α΄ Σεπτεμβρίου ἐν τῷ φόρῳ[2]), ἡ ὁμοία τάξις καὶ τῇ ια΄ τοῦ Μαΐου εἰς τὸ γενέθλιον τῆς πόλεως, πλὴν ἄλλη ἀκολουθία τῶν ἀντιφώνων καὶ τῶν λοιπῶν, καὶ ἡ λιτὴ δὲ γίνεται ἐν τῇ Μεγάλῃ ἐκκλησίᾳ. Чинъ напечатанъ нами въ „Описаніи литург. рукописей, хранящихся на прав. востокѣ“ т. I, ч. I. Τυπικά 1895 г. стр. 152—154 съ тою разницею, что послѣ великой ектеньи положенъ возгласъ: Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν...

л. 83 об. Τάξις, γινομένη ἐν τῷ κάμπῳ τοῦ τριβουναλίου, ἐν ταῖς ἐξ ἔθους ἐκεῖσε ἀπερχομέναις λιταῖς.

Μετὰ τὸ ἀνελθεῖν τὸν ἀρχιερέα καὶ δοξάσαι τοὺς ψάλτας, δέξασθαι δὲ καὶ τὸν λαόν, γίνονται ἀντίφωνα γ΄· τὸ Πρὸς Κύριον ἐν τῷ θλίβεσθαί με καὶ τὰ λοιπά, καὶ μετὰ τὸ γ΄ ἀντίφωνον, λέγοντος τοῦ ἀρχι-

---

[1]) Въ оглавленіи: Ἐν λιτῇ διὰ φόβον ἔξω τῶν πορτῶν εἰς τὴν ἐκτενῆ εὐχήν. [2]) Въ оглавленіи прибавлено: „καὶ ὑποστρεφούσης τῆς λιτῆς εἰς τὰς λειτουργίας“.

διακόνου· Πρόσχωμεν, φησὶν ὁ πατριάρχης· Ὑπὲρ τῆς οἰκουμενικῆς καταστάσεως... Ὑπὲρ τῶν εὐσεβεστάτων ἡμῶν βασιλέων... Ὑπὲρ τοῦ ἄσειστον καὶ ἄφλεκτον καὶ ἀναίμακτον διατηρηθῆναι.. Καὶ τοῦ λαοῦ λέγοντος τὸ Κύριε ἐλέησον, σφραγίζει τρίτον καὶ ἐκφωνεῖ· Ὅτι Θεὸς ἐλέους καὶ οἰκτιρμῶν... Καὶ μετὰ τὸ Ἀμὴν κάθηται ἐν τῷ θρόνῳ. Καὶ τοῦ διακόνου λέγοντος· Σοφία, λέγει τὸ προκείμενον, καὶ μετὰ τὸ Ἀλληλούϊα, λέγοντος τοῦ ἀρχιδιακόνου· Ὀρθοὶ ἀκούσωμεν τοῦ ἁγίου εὐαγγελίου, σφραγίζει τρίτον καὶ λέγει· Εἰρήνη πᾶσιν. Ὁ λαός· Καὶ τῷ πνεύματί σου. Εἶτα ἐκφωνεῖ· Ἐκ τοῦ κατὰ Ματθαῖον. Ὁ ἀρχιδιάκονος· Ἐν σοφίᾳ πρόσχωμεν. Καὶ οὕτως ἀρχόμενος συναναγινώσκει τῷ διακόνῳ πᾶσαν τὴν περιοχὴν τοῦ εὐαγγελίου, καὶ μετὰ τὴν ἐκτενήν, ὑποστρέφει ἡ λιτὴ εἰς τὸν ναὸν τοῦ Θεολόγου εἰς τὸ ἕβδο(μο)ν, καὶ τελεῖται ἡ θεία λειτουργία, ἡ εἰς τὸν ναὸν τοῦ ἁγίου Βαβύλα τῇ ε' τοῦ Ιουνίου μηνός. Conf. Goar. pag. 640.

л. 84. Τάξις, γινομένη ἐπὶ ἐγκαινίοις ναοῦ.

Τῆς λιτῆς τὸν τοιοῦτον ναὸν λαμβανούσης καὶ τῶν θυρῶν πασῶν κλειομένων, ἵσταται ὁ ἀρχιερεὺς ἔμπροσθεν τῶν μέσων πυλῶν, κεκλεισμένων καὶ αὐτῶν οὐσῶν, καὶ φωνοῦσι μὲν οἱ ἀναγνῶσται ἔξωθεν τὸ Ἄρατε πύλας, ἀντιφωνοῦσι δὲ οἱ ψάλται ἔσωθεν τὸ Τίς ἐστιν οὗτος... Τοῦ δὲ ἀρχιδιακόνου λέγοντος· Τοῦ Κυρίου δεηθῶμεν, ὁ ἀρχιερεὺς εὔχεται οὕτως· Ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ διὰ τῆς ἁγίας αὐτοῦ καὶ θεοφόρου σαρκός, ἣν ἐπὶ σωτηρίᾳ καὶ ἀνακλήσει τοῦ τῶν ἀνθρώπων γένους ἐξ ἡγιασμένης παρθενίᾳ γαστρὸς αὐτὸς ἑαυτῷ περιέθετο, ἐγκαινίσας ἡμῖν τῆς τῶν πρωτοτόκων ἐκκλησίας τῶν ἐν οὐρανοῖς ὑπογεγραμμένων τὴν εἴσοδον, ἔνθα ἦχος ἑορταζόντων καὶ φωνὴ ἀφράστου ἀγαλλιάσεως, Αὐτός, φιλάνθρωπε Δέσποτα, ἔπιδε ἐφ' ἡμᾶς τοὺς ἁμαρτωλοὺς καὶ ἀναξίους δούλους σου, τοὺς τὴν ἀνάμνησιν ἑορτάζοντας τοῦ ἐγκαινισμοῦ ταύτης τῆς ἁγιωτάτης σου ἐκκλησίας, καὶ δι' αὐτῆς τοῦ χοϊκοῦ σκήνους ἡμῶν μετὰ τῶν ψυχῶν, οὓς καὶ ναοὺς καὶ μέλη τοῦ Χριστοῦ σου διὰ τοῦ ἁγίου σου ἀπετέλεσας Πνεύματος, καὶ ταύτην μὲν μέχρι συντελείας αἰῶνος ἀσάλευτον μένειν τῷ παναγράντῳ σου Πνεύματι στηριζομένην καὶ παντοδαπαῖς κοσμουμένην ἀνάδειξον χάρισιν, ἡμᾶς δὲ καταξίωσον ἐν αὐτῇ αἰνέσεις καὶ δοξολογίας ἀκατακρίτως προσάγειν τῇ δόξῃ σου τοῦ ἀληθινοῦ Θεοῦ καὶ Πατρὸς καὶ τοῦ ἀγαπητοῦ σου Παιδός, καὶ τοῦ ζωοποιοῦ Πνεύματος, ἐν ἐπιγνώσει τῆς ἀληθείας σου πάντας ἡμᾶς ἀξίων πολιτεύεσθαι, ἵνα ἀπρόσκοποι καὶ βίῳ καὶ πολιτείᾳ τῇ ἁγίᾳ σου τελούμενοι χάριτι πρεσβείαις τῆς ἀχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας τὰς ὑπὲρ ἡμῶν αὐτῶν καὶ παντὸς τοῦ λαοῦ

προσφέρωμέν σοι ἀκαταγνώστους δεήσεις, μερίδα τινὰ λαβεῖν μετὰ τῶν ἁγίων σου τῆς ἐν οὐρανοῖς βασιλείας σου ἱκετεύοντες. Σὺ γὰρ εἶ Θεὸς πλούσιος ἐν ἐλέει καὶ οἰκτιρμοῖς καὶ μόνῃ χρηστότητι τοῦ κλήρου καταξιῶν τῶν εὐαρεστησάντων σοι τοὺς ἐλπίζοντας ἐπὶ σέ, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι νῦν καὶ ἀεί... Μετὰ δὲ τὸ Ἀμήν, εὐθὺς ἐπιφέρει τὴν εἰθισμένην τῆς εἰσόδου εὐχήν, ἔχουσαν οὕτως· Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καταστήσας ἐν οὐρανοῖς τάγματα Goar. p. 662. Καὶ ὅτε εἴπωσι τρίτον τὸ Ἄρατε πύλας, σφραγίζει ταύτας ἐκ γ', καὶ ἀνοιγομένη γίνεται κατὰ τάξιν ἡ εἴσοδος.

л. 84. Εὐχή, προσφερομένη τῷ καιρῷ τῆς μεταλήψεως τῶν θείων μυστηρίων· Δέσποτα ἅγιε, ἀμόλυντε, ἄχραντε, ὁ μὴ ἀπαξιώσας διὰ τὸ πολὺ ἔλεός σου τὴν ῥυπωθεῖσαν φύσιν ἡμῶν ὑπὸ τῆς ἁμαρτίας ἀναμαρτήτως καὶ ἀῤῥυπάντως ἀναλαβεῖν...

л. 86. Εὐχὴ ἑτέρα τῆς ἁγίας κοινωνίας· Κύριε, οὐκ εἰμὶ ἄξιος οὐδὲ ἱκανός, ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς... Нынѣ въ молитвахъ къ причащенію.

л. 87. Εὐχὴ μετὰ τὴν μετάληψιν τῆς ἁγίας κοινωνίας· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐξ οὐρανοῦ καταβὰς ἄρτος καὶ τῷ κόσμῳ ζωὴν παρασχόμενος, ὁ ζωοποιὸν ἀποφήνας τὸ τίμιον σῶμα καὶ αἷμά σου...

л. 87 об. Εὐχὴ ἐπὶ κολλύβοις μνήμῃ ἁγίου. См. выше стр. 35, но съ небольшею особенностію въ текстѣ: καὶ καταξίωσον ἡμᾶς μεταλαβεῖν ἐξ αὐτῶν ἐπὶ ὑγείᾳ...

— Εὐχὴ ἑτέρα ἐπὶ κολλύβοις μνήμῃ ἁγίου. Goar p. 524.

л. 88. Εὐχὴ ἐπὶ κολλύβοις μνήμῃ κοιμηθέντος. Goar p. 526.

л. 88 об. Εὐχὴ θυμιάματος· Σοὶ τῷ πεπληρωμένῳ πάσης εὐωδίας καὶ εὐφροσύνης, Κύριε ὁ Θεὸς ἡμῶν, ἐξ ὧν δέδωκας ἡμῖν, προσφέρομεν τὸ θυμίαμα τοῦτο, ἀναληφθήτω δεόμεθα ἐνώπιόν σου ἐκ τῶν χειρῶν ἡμῶν εἰς ὀσμὴν εὐωδίας, εἰς ἄφεσιν ἁμαρτιῶν ἡμῶν, εἰς ἱλασμὸν τοῦ λαοῦ σου, χάριτι τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι νῦν καὶ ἀεί.

— Εὐχὴ θυμιάματος ἐπὶ κεκοιμημένου· Ὁ ὢν καὶ προών, καὶ διαμένων εἰς τοὺς αἰῶνας, Κύριε, ὁ ὑπὸ πάσης νοητῆς δοξαζόμενος. Goar. p. 433.

— Εὐχὴ ἐπὶ τελευτήσαντος κοσμικοῦ· Ὁ Θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκός. Goar. p. 424. Εὐχὴ ἐπὶ τελευτήσαντος ἑτέρα· Ὁ Θεός, ὁ Θεὸς ἡμῶν, ὁ δημιουργὸς καὶ Σωτὴρ τῶν ἁπάντων, καὶ κριτὴς ζώντων καὶ νεκρῶν. Goar. pag. 534. Варіанты: Ἐν χώρᾳ φωτός = вм. ἐν ὥρᾳ φωτός. Конецъ: τῶν ἀπ' αἰῶνος εὐαρεστησάντων. Ἐκφώνησις· Ὅτι

σὺ εἶ ἡ ἀνάπαυσις τοῦ κεκοιμημένου δούλου σου, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν... Καὶ τοῦ διακόνου λέγοντος· Τὰς κεφαλάς, ἐπεύχεται ὁ ἱερεύς· Κύριε, Κύριε, ἡ τῶν θλιβομένων παραμυθία... Goar. p. 453. Ἐκφώνησις· Σὺ γὰρ εἶ ἡ ἀνάπαυσις τοῦ σοῦ δούλου, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν.

л. 89 об. Εὐχὴ ἐπὶ τελευτήσαντος ἱερέως· Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς ἡμῶν. Goar. p. 452. Ἐκφώνησις· Ὅτι σὺ εἶ ἡ ἀνάπαυσις τοῦ σοῦ δούλου, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν. Καὶ τοῦ διακόνου λέγοντος· Τὰς κεφαλάς, ἐπεύχεται ὁ ἱερεύς· Κύριε, Κύριε, τῶν θλιβομένων. Goar. pag. 453.

л. 90. Εὐχὴ εἰς κοιμηθέντα διάκονον· Ὁ οἴκησιν ἔχων τὸν οὐρανὸν καὶ πάντα περιέπων τὰ ἐν τῇ γῇ. См. выше стр. 293, но текстъ ближе къ ркп. Синайской библіотеки XV в. № 984 (См. тамъ-же прим.) Конецъ: τῆς σκιᾶς ἐπεξέλθωμεν. Ἐκφώνησις· Ὅτι προσκυνητὸν ὑπάρχει τὸ ὄνομά σου τοῦ Πατρός.

л. 90 об. Εὐχὴ ἄλλη ἐπὶ τελευτῇ κεκοιμημένου· Παρὰ σοῦ καὶ πρὸς σὲ τὰ πνεύματα τῶν ἐπεγνωκότων. Goar. p. 434.

— Εὐχὴ ἐπὶ τελευτῇ νηπίου· Ὁ φυλάσσων τὰ νήπια. Goar p. 478.

л. 91. Εὐχὴ ἐπὶ τελευτῇ μοναχοῦ· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν τῇ σοφίᾳ σου πλάσας ἐκ γῆς τὸν ἄνθρωπον. Goar. pag. 465.

— Εὐχή, λεγομένη ἐν λιτῇ ἐν ἡμέρᾳ ἑορτῆς· Ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας. Goar. pag. 640. Εἰρήνη πᾶσιν. Ὁ διάκονος· Τὰς κεφαλάς. Ὁ ἱερεύς· Δέσποτα Κύριε, κλῖνον τὰς καρδίας ἡμῶν. Goar. p. 641.

л. 91 об. Εὐχὴ ἀπολυτικὴ ἑσπέρας σαββάτου· Παντοδύναμε Χριστέ, ὁ Θεὸς καὶ Σωτὴρ ἡμῶν, ὁ ἐπὶ συντέλειαν τῶν αἰώνων, ὡς ἐν ἑσπέρᾳ διὰ σαρκὸς ἐν κόσμῳ λάμψας δικαιοσύνης ἥλιος, καὶ τὸ σκότος τῆς ἁμαρτίας καὶ τοῦ θανάτου διασκεδάσας...

— Εὐχὴ ἑτέρα ὁμοίως· Δέσποτα Θεὲ θεῶν καὶ Κύριε τοῦ ἐλέους, ὁ τοῖς ζωοποιοῖς σου παθήμασι λύσας τῆς τοῦ προπάτορος κατάρας τὸ ἐπιτίμιον...

л. 92. Εὐχὴ ἀπολυτικὴ κυριακῆς ὀπισθάμβωνος· Μεσίτα Θεοῦ καὶ ἀνθρώπων Χριστὲ ὁ Θεὸς ἡμῶν, πλαστουργὲ τῆς ἡμῶν φύσεως, ὁ σπείρας ὑπὲρ ἡμῶν ἐπὶ τοῦ σταυροῦ τὸ σωτήριον αἷμά σου. .

— Εὐχὴ ἑτέρα ὁμοίως· Φρικτὴ καὶ παράδοξος ὑπάρχει ἡ εἰς ἡμᾶς σου γεγονυῖα φιλάνθρωπος οἰκονομία, Χριστὲ ὁ Θεὸς ἡμῶν...

— Εὐχὴ ἑτέρα ὁμοίως· Ἄφατος ἡ πρὸς ἡμᾶς σου ἀγάπησις (sic) Κύριε. См. выше стр. 43, но съ разночтеніями: παρακαλοῦντα εἰ-

ρήνην... καὶ σοὶ τῇ μετοχῇ τοῦ παναγίου αὐτοῦ σώματος.. Ἐνταῦθα μὲν διὰ βίου καὶ θεωρίας καὶ πολιτείας ἀρίστης, ἐκεῖ δὲ λυθέντων τῶν ἐσόπτρων τῇ ἀληθείᾳ, τῇ ἀπόπτῳ θέᾳ τῆς δόξης σου, ἐν αὐτῷ τῷ μονογενεῖ σου Υἱῷ, μεθ' οὗ σοὶ πρέπει δόξα καὶ ἡ μεγαλοπρέπεια σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ.

л. 94. Εὐχὴ εἰς ἑορτὰς τῆς ὑπεραγίας Θεοτόκου· Τίς λαλήσει τὰς δυναστείας σου, Κύριε, τίς ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις τῆς περὶ ἡμᾶς σου ἀγαθότητος...

л. 94 об. Εὐχὴ ἑτέρα τῆς Θεοτόκου ὀπισθάμβωνος· Δέχου τοίνυν, εὐμενεστάτη, τίμια δῶρα καὶ σοὶ μόνῃ ἁρμόζοντα, παναγία Παρθένε, παρ' ἡμῶν τῶν ἀναξίων δούλων σου... См. выше стр. 297.

л· 95. Εὐχὴ ὀπισθάμβωνος εἰς τὴν ἑορτὴν τοῦ Προδρόμου· Ὁ τὸν ἐν σώματι ἄγγελον καὶ μέγαν ἐν γεννητοῖς γυναικῶν Ἰωάννην, πρὸ προσώπου τοῦ μονογενοῦς σου Υἱοῦ, Δέσποτα, ἐξαποστείλας...

— Εὐχὴ ἀπολυτικὴ εἰς μνήμην ἀποστόλων· Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ δωρησάμενος ἡμῖν τοὺς ἁγίους σου μαθητὰς καὶ ἀποστόλους, φύλακας, ἰατροὺς καὶ προστάτας...

л. 95 об. Εὐχὴ ἀπολυτικὴ εἰς μνήμην προφητῶν· Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τῇ ἐνεργείᾳ τοῦ παναγίου σου Πνεύματος τοὺς ἁγίους σου προφήτας φωτίσας...

л. 96. Εὐχὴ εἰς μνήμην ὁσίων καὶ ἱεραρχῶν ἀπολυτική· Δέσποτα Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ τοῦ Θεοῦ Λόγος καὶ Υἱὸς καὶ ἀμνός, ὁ καθαρώτατος ἱερεύς, ὁ μόσχος ὁ ἄμωμος...

— Εὐχὴ ὀπισθάμβωνος εἰς μνήμην μαρτύρων· Κύριε ἅγιε, ὁ ἐν ἁγίοις ἀναπαυόμενος, ὁ χαρισάμενος τοῖς ἁγίοις σου μάρτυσι τὸν καλὸν ἀγῶνα ἀγωνίσασθαι. См. выше стр. 68, но съ концемъ: πρεσβείαις τῆς ὑπερευλογημένης Μητρός σου καὶ πάντων τῶν ἁγίων σου. Ὅτι σὺ εἶ ὁ Σωτὴρ τῶν ψυχῶν ἡμῶν καὶ σοὶ πρέπει πᾶσα δόξα εἰς τοὺς αἰῶνας.

л. 96 об. Εὐχὴ ἐπὶ τῶν προσφερόντων ἀπαρχήν· Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, τὰ σὰ ἐκ τῶν σῶν προσφέρειν σοι. Goar pag. 522.

л. 97. Εὐχὴ ἐπὶ θυσίας κτηνῶν· Εὐλογητὸς εἶ, Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν... См. выше стр. 46.

— Εὐχὴ ἐπὶ μνήμης ἁγίων, γινομένη διὰ δόσεως κρεῶν, οἴνου, ἄρτων καὶ κολλύβων· Εὐλογήσας τὴν θυσίαν τοῦ Ἀβραάμ, Χριστὲ ὁ Θεὸς ἡμῶν. Goar. pag. 526.

л. 97 об. Εὐχὴ ἐπὶ τραπέζης· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐπουράνιος καὶ ζωοποιὸς ἄρτος, ἡ ἀληθινὴ τροφὴ τοῦ παντὸς κόσμου. Goar. p. 569.

л. 98. Εὐχὴ εἰς τὴν εὐλόγησιν τοῦ κανισκίου τῆς τραπέζης. Ibid.

л. 98 об. Εὐχὴ μετὰ τὸ ἀναστῆναι τῆς τραπέζης· Σοὶ τῷ ἀληθινῷ καὶ φιλανθρώπῳ Θεῷ. Goar. p. 569. Εὐχὴ μετὰ τὸ ἄριστον· Ὁ Θεός, ὁ τρέφων ἡμᾶς ἐκ νεότητος ἡμῶν. Ibid. Εὐχὴ ἑτέρα· Σοὶ τῷ χορηγῷ τῆς ζωῆς ἡμῶν, Χριστὲ ὁ Θεός, τῷ πᾶν ζῶον εὐδοκίᾳ ἐμπιπλῶντι, τῶν παρόντων ἀγαθῶν σου ἐμπλησθέντες, εὐχαριστίαν προσάγομεν καὶ δεόμεθά σου ἐμπλῆσαι ἡμᾶς πρὸς τῇ ἐγκοσμίῳ ταύτῃ εὐωχίᾳ, καὶ τῆς ἀκενώτου τῶν αἰωνίων σου δωρεῶν ἀπολαύσεως. Ὅτι σὺ εἶ ἡ ἀληθὴς εὐφροσύνη τῶν καρδιῶν ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρί.

— Εὐχὴ ἐπὶ ἀνομβρίας· Δέσποτα Κύριε ὁ Θεός, ὁ διὰ τὸν πρὸς σὲ ζῆλον ἐπακούσας Ἠλιοῦ τοῦ Θεσβήτου. Goar. pag. 613. Εὐχὴ ἄλλη ἐπὶ ἀνομβρίας· Δέσποτα Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ προσκαλούμενος τὸ ὕδωρ τῆς θαλάσσης καὶ ἐκχέων αὐτὸ ἐπὶ πρόσωπον πάσης τῆς γῆς, ὁ διὰ τὸν πρὸς σὲ ζῆλον ἐπακούσας Ἠλιοῦ τοῦ Θεσβήτου, καὶ τὸν κατὰ καιρὸν τῇ γῇ πεμπόμενον ὑετὸν ἐπισχεθῆναι κελεύσας, εἶτα πάλιν διὰ τῆς αὐτοῦ ἱκεσίας ὄμβρον καρποφόρον αὐτῇ χαρισάμενος. Αὐτός, Δέσποτα τῶν ἁπάντων, ὑπὸ τῆς ἰδίας σου εὐσπλαγχνίας δυσωπούμενος, πάριδε πάντα τὰ πεπλημμελημένα ἡμῖν, καὶ παντὸς λαοῦ σου τὰς ἐντεύξεις δεξάμενος, βροχὴν ἑκούσιον ἀφόρισον τῇ κληρονομίᾳ σου, καὶ τὰς αὔλακας τῆς γῆς μέθυσον, καὶ τὰ γεννήματα αὐτῆς πλήθυνον, ἀνατειλάτω ἡ γῆ ἔλεος, βλαστησάτω τὰ πεδία χόρτον τοῖς κτήνεσιν, ἐξαγέτω ἄρτον εἰς βρῶσιν καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων· οἱ γὰρ ὀφθαλμοὶ πάντων εἰς σὲ ἐλπίζουσι καὶ πάντα πρὸς σὲ προσδοκῶσι, δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον, ἐπὶ σοὶ πεποίθαμεν, ἐκτὸς σοῦ ἄλλον οὐκ οἴδαμεν, τὰ παρὰ σοῦ πλούσια ἐλέη ἀπεκδεχόμεθα. Ἐκφώνησις· Σὺ γὰρ εἶ ὁ Θεὸς ἡμῶν, Θεὸς τοῦ ἐλεεῖν καὶ σώζειν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρί.

л. 99 об. Εὐχὴ ἄλλη ἑτέρα ἐπὶ ἀνομβρίας· Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ ἀνάγων νεφέλας ἐξ ἐσχάτου τῆς γῆς. Goar. pag. 614. У Гоара пропущены: ἄνοιξον τοὺς καταρράκτας τοῦ οὐρανοῦ, ἔντειλαι ταῖς νεφέλαις τοῦ βρέξαι... и стоитъ: ἐξάγαγε вм. ἐξαγαγέτω.

л. 100. Εὐχὴ ἐπὶ σεισμοῦ· Ὁ φοβερὸς καὶ θαυμαστὸς καὶ μέγας, ὑπερένδοξός τε καὶ ἀληθινὸς Θεός. Goar. p. 623, но съ особенностями: οἱ δὲ στύλοι αὐτῆς ἐκ θεμελίων σαλεύονται, ὃν πάντα φρίσσει καὶ τρέμει... καὶ στήριξον τὴν κτίσιν, παῦσον τὸν κλόνον αὐτῆς..

— Εὐχὴ ἀπολυτικὴ ἐν ἡμέρᾳ κατανύξεως· Τῆς ἐν τόπῳ ἁγίῳ σου στάσεως καταξιωθέντες ἡμεῖς οἱ ἀνάξιοι, Κύριε ὁ Θεὸς ἡμῶν, καὶ μηδεμίαν ἀγαθοεργίαν ἔχοντες προσαγαγεῖν, συντριβὴν καρδίας καὶ πνεύματος ταπείνωσιν θύομέν σοι τῷ μηδενὸς χρῄζοντι τῶν ἡμετέρων ἀγαθῶν,

ἱλασμὸν ἁμαρτιῶν αἰτούμενοι παρὰ τῆς σῆς ἀγαθότητος καὶ φιλανθρωπίας, εἰσάκουσον τῆς δεήσεως ἡμῶν, ὁ τὸν τελώνην μὴ ἐξουδενώσας, ταπεινούμενον ἐνώπιόν σου, ἀλλὰ δικαιότερον ἀναδείξας τοῦ δικαιοῦντος ἑαυτὸν φαρισαίου, οὗτινος τὴν καύχησιν καὶ τὴν ἐβδελυγμένην σοι μεγαλοῤῥημοσύνην ἀπὸ τῆς γλώττης ἡμῶν ἀπελάσας, τὴν ἐγγίζουσάν σοι τοῦ τελώνου ταπείνωσιν δώρησαι, ὁ τοὺς ταπεινοὺς ὑψῶν καὶ τοὺς ὑψηλοὺς ταπεινῶν, καὶ καταξίωσον ἡμᾶς τῆς ἀποκειμένης τοῖς πτωχοῖς τῷ πνεύματι μακαριότητος ἐν τῇ βασιλείᾳ σου, διὰ τῶν οἰκτιρμῶν τοῦ Χριστοῦ σου, μεθ' οὗ εὐλογητὸς εἶ καὶ δεδοξασμένος σὺν τῷ παναγίῳ σου Πνεύματι...

л. 101. Τάξις, γινομένη ἐπὶ μνήστροις βασιλέων καὶ λοιπῶν. Начало у Goar. p. 310 и ближе всего сходенъ въ текстѣ съ cod. Bessar. p. 312. Καὶ σφραγίσας ἐκ γ' τὰς κεφαλὰς τῶν νυμφίων ὁ ἀ ρ χ ι ε ρ ε ύ ς, λέγει ὁ διάκονος συναπτήν· Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν.. Ὑπὲρ τῆς εἰρήνης... Ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν. Goar. pag. 312 v. lect. f. Ὑπὲρ τῶν εὐσεβεστάτων.. Ὑπὲρ τοῦ συμπολεμῆσαι.. Ὑπὲρ τῶν δούλων τοῦ Θεοῦ τοῦδε καὶ τῆσδε... Ὑπὲρ τοῦ παρασχεθῆναι αὐτοῖς... Ὑπὲρ τοῦ ῥυσθῆναι... Ἀντιλαβοῦ... Τῆς παναγίας... Καὶ τούτων λεγομένων, εὔχεται ὁ ἀρχιερεύς· Ὁ Θεὸς ὁ αἰώνιος. Goar. p. 381. Καὶ τοῦ διακόνου λέγοντος· Τὰς κεφαλάς, ἀρχιερεὺς ἐπεύχεται· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὴν ἐξ ἐθνῶν μνηστευσάμενος. Goar. pag. 382. Καὶ μετὰ τὸ Ἀμήν, ἐπιδίδωσι τῷ ἀνδρὶ τὸν χρυσοῦν δακτύλιον, τὸν σιδηροῦν δὲ τῇ γυναικί, ἐκεῖνοι ἀντιδιδόασι τούτους ἀλλήλοις, καὶ ο ὕ τ ω κ ρ α τ ή σ α ς, ὁ ἀ ρ χ ι ε ρ ε ὺ ς συμπλέκει τὰς δεξιὰς ἀλλήλων καὶ κρατοῦντες ἐξέρχονται.—Εἰ δὲ βούλονται ἐν ταυτῷ καὶ στεφανωθῆναι, εἰσέρχονται διὰ τοῦ μέσου ναοῦ, ἡγούμενοι μετὰ θυμιατοῦ, καὶ λέγουσι ψαλμὸν κζ' Μακάριοι πάντες, καὶ ἐλθόντες πρὸ τοῦ θυσιαστηρίου. Goar. pag. 328 not. c., какъ въ cod. Bessar. Такая же и ектенья, но съ прибавкою: Καὶ ὑπὲρ τῶν χρηζόντων... Τῆς παναγίας... Λεγομένων (τούτων) ὁ ἀρχιερεὺς εὔχεται· Ὁ Θεὸς ὁ ἅγιος, ὁ πλάσας τὸν ἄνθρωπον. Goar. p. 317, но съ инымъ концемъ: στεφάνωσον αὐτοὺς ἐν ἀγάπῃ, ἕνωσον αὐτοὺς εἰς σάρκα μίαν... Goar p. 320 not. h. Дальнѣйшій порядокъ, какъ въ кодексѣ Виссаріона Криптоферр. библіотеки not. c, l, n. Молитва: Ὁ Θεός, ὁ τὰ πάντα ποιήσας τῇ ἰσχύϊ σου... Goar. p. 319 имѣетъ разности: πεποιημένων ὑπὸ σοῦ, ὁ τ ὸ ὕ δ ω ρ ε ἰ ς ο ἶ ν ο ν μ ε τ α β α λ ὼ ν κ α ὶ ἐ μ π λ ή σ α ς· τ ῇ ε ὐ φ ρ ο σ ύ ν ῃ τ ῆ ς σ ῆ ς ἀ γ α θ ό τ η τ ο ς τ ο ὺ ς ἐ ν τ ῷ γ ά μ ῳ ἐ ν Κ α ν ᾷ τ ῆ ς Γ α λ ι λ α ί α ς, καὶ τὸ ποτήριον τὸ κοινὸν τοῦτο... и надписывается: εὐχὴ τοῦ κοινοῦ ποτηρίου. По возгласѣ ея, εἶτα δίδωσι

τῷ ἀνδρὶ πιεῖν, αὐτὸς κατέχων τὸ ποτήριον, καὶ αὖθις τῇ γυναικί, καὶ μετὰ τοῦτο ἐπιδίδωσι τὸ ποτήριον τῷ ἀνδρὶ καὶ πίνει ἐκεῖνος, εἶτα δίδωσι τῇ γυναικὶ τὸ ποτήριον καὶ πίνει κἀκείνη, καὶ αὖθις δίδωσι τῷ ἀνδρὶ τὸ ποτήριον, ὁ δὲ ἐκπιών, ἀποδίδωσι τὸ ποτήριόν τινι, ἢ ὡς ἔνιοι κλᾷ, καὶ οὕτως ἐξέρχονται.

л. 103 об. Εὐχὴ εἰς τὴν λύσιν τῶν στεφάνων· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὸν τοῦ ἐνιαυτοῦ στέφανον εὐλογήσας. Goar pag. 325.

л. 104. Εὐχὴ ἐπὶ διγάμων· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὸν Ἀβραὰμ φίλον καλέσας. См. выше стр. 743.

л. 104 об. Εὐχὴ ἐπὶ ὀρύξει φρέατος καὶ εὑρέσει ὕδατος· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ παντοκράτωρ καὶ παντοδύναμος, ὁ ποιῶν πάντα καὶ μετασκευάζων. Goar. p. 550.

— Εὐχὴ ἐπὶ μιαροῦ τινος ἐμπεσόντος εἰς φρέαρ. Goar. pag. 479 var. lection a; pag. 489 var. lect. a (cod. Cryptof. Bissar.).

л. 115. Τάξις γινομένη, εἰ συμβῇ μιαρόν τι ἢ ἀκάθαρτον προσφάτως ἐμπεσεῖν εἰς ἀγγεῖον οἴνου ἢ ἐλαίου. Χρὴ τὸ ἐμπεσὸν ἀκάθαρτον παραχρῆμα αἴρεσθαι καὶ ῥίπτεσθαι ἔξω καὶ ἕτερον ἀγγεῖον πλύνεσθαι καθαρίως ἔσωθεν καὶ ἔξωθεν, καὶ οὕτω τὸν ἱερέα λαβόντα θυμιατόν, θυμιᾶν αὐτὸ δεόντως ἔσωθεν καὶ ἔξωθεν, καὶ μετὰ τοῦτο βαλεῖν ὕδωρ τῶν ἁγίων θεοφανίων, ποιῶν τρεῖς σταυρούς, καὶ τότε μεταβαλεῖν τὸ ἔλαιον ἢ τὸν οἶνον εἰς αὐτὸ ἐκ τοῦ μιανθέντος ἀγγείου, καὶ ἅψαι κηροὺς δύο, καὶ θυμιᾶσαι, καὶ οὕτως ἐπεύξασθαι τῷ ἀγγείῳ· Ἅγιε Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τῇ σῇ εὐσπλάγχνῳ ἐπὶ γῆς ἐπιδημίᾳ πᾶσαν ἀκαθαρσίαν τοῦ ἐχθροῦ καταργήσας. Goar. p. 481 съ варіантомъ: ἀποστόλου Π α ύ λ ο υ. Καὶ ἐπιχέων αὖθις ἐκ τοῦ ὕδατος τῶν ἁγίων θεοφανίων τρίτον σταυροειδῶς, ἀπογευέσθω πρῶτον ὁ ἱερεὺς τοῦ οἴνου. Εἰ μέντοι συμβῇ τὸ ἐμπεσὸν ἀκάθαρτον χρονίσαν ἐν τῷ ἀγγείῳ τοῦ οἴνου ἢ τοῦ ἐλαίου σαπῆναι, ἐκχέεσθαι τὸν οἶνον ἢ τὸ ἔλαιον καὶ μηδένα αὐτῶν ἅπτεσθαι.

л. 106. Εὐχὴ ἐπὶ τῶν ἐν βρώμασι σκανδαλισθέντων. Goar. p. 535.

л. 106 об. Εὐχὴ ἐπὶ μιαροφογησάντων· Δέσποτα Κύριε ὁ Θεός, ὁ ἐν ὑψηλοῖς κατοικῶν... Goar. pag. 534, но съ варіантами: γευσαμένῳ κρεῶν, τῶν μὴ καθαρῶν, ὧν τὴν βρῶσιν... ἀκατακρίτως ἐ ν κ α θ α ρ ό τ η τ ι ψ υ χ ῆ ς τ ε κ α ὶ σ ώ μ α τ ο ς μεταλαβεῖν τῶν φρικτῶν κ α ὶ ἀ θ α ν ά τ ω ν μυστηρίων, τ ο ῦ ἀ χ ρ ά ν τ ο υ σώματος καὶ τ ο ῦ τ ι μ ί ο υ αἵματος τοῦ Χριστοῦ σου.

л. 107. Τάξις καὶ ἀκολουθία, ἡ γινομένη παρὰ τῶν ζ′ πρεσβυτέρων ἐπὶ ἐλαίῳ ἀῤῥώστου. Συναγομένων τῶν ζ′ ἱερέων ἐν τῷ ναῷ τῆς οἰκίας, ἐν ᾗ ἡ τοιαύτη ἀκολουθία, γίνεται παρ' ἑνὸς τούτων ἡ προσκομιδή, εἶτ'

οὖν ἡ πρόθεσις τῶν ἄρτων· προσκομίζονται δὲ προσφοραὶ ζ′ κατὰ τὸν ἀριθμὸν τῶν ἱερέων, εἶτα μετὰ τοῦτο πρὸ τῆς ἐνάρξεως τῆς λειτουργίας, λέγοντος τοῦ μέλλοντος κατὰ τὴν ἡμέραν ταύτην ἱερουργῆσαι τὸ Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, καὶ ψαλλομένου παρ' αὐτοῦ τοῦ Ν′ Ἐλέησόν με ὁ Θεός, κατέχει ὁ ῥηθεὶς ἱερεὺς τὸ ἀγγεῖον τοῦ ἐλαίου ἐπὶ τοῦτο ηὐτρεπισμένον, καὶ κατακενοῖ τοῦτο κατ' ὀλίγον πρὸς τὸ καὶ τὸν ψαλμὸν πληρωθῆναι, κενοῦντος αὐτοῦ ἐν κανδήλᾳ καινῇ, εἶτα λέγει· Τοῦ Κυρίου δεηθῶμεν, καὶ ποιεῖ τὴν εὐχὴν ταύτην· Κύριε, ἐν τῷ ἐλέει καὶ τοῖς οἰκτιρμοῖς σου... Goar. p. 335 съ варіантами: ἀπαλλαγὴν παντὸς πάθους, νόσου σωματικῆς, μολυσμοῦ σαρκὸς καὶ πνεύματος... δοξασθῇ τὸ πανάγιον ὄνομα. Ἐκφώνησις· Σὸν γάρ ἐστι τὸ ἐλεεῖν καὶ σώζειν ὁ Θεὸς ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ. Καὶ λέγοντος αὐτοῦ τὴν τοιαύτην ἐκφώνησιν, ἅπτει τὴν μολυβίδα αὐτοῦ· προηυτρεπισμένα γάρ εἰσι πάντα τὰ χρειώδη καὶ τετυπωμένα. Καὶ πάλιν λέγοντος αὐτοῦ· Τοῦ Κυρίου δεηθῶμεν, ὑπεισέρχεται ἕτερος ἱερεὺς καὶ ποιεῖ τὴν τοιαύτην εὐχὴν καὶ ἅπτει, καὶ ἁπλῶς καθ' ἑξῆς οἱ λοιποὶ καὶ τὴν εὐχὴν λέγουσι καὶ ἅπτουσιν ὁ καθ' εἷς. Εἶτα γίνεται ἔναρξις τῆς θείας λειτουργίας, καὶ λέγονται τὰ ἀντίφωνα, καὶ μετὰ τὴν εἴσοδον δοξάζει καὶ λέγεται· Οἱ τὴν χάριν λαβόντες, Καὶ νῦν, θεοτοκίον· Θείας γεγόναμεν κοινωνοὶ φύ(σεως), εἶτα τὸ Τρισάγιον, προκείμενον· Ἐγὼ εἶπα, Κύριε, ἐλέησόν με. Στίχος· Μακάριος, ὁ συνιῶν ἐπὶ πτωχόν. Ὁ ἀπόστολος καθολικῆς ἐπιστολῆς Ἰακώβου· Ἀδελφοί, ὑπόδειγμα λάβετε. Ἀλληλούϊα, Ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησον. Εὐαγγέλιον κατὰ Μάρκον· Τῷ καιρῷ ἐκείνῳ, προσκαλεσάμενος ὁ Ἰησοῦς τοὺς δώδεκα. Τέλος· καὶ ἤλειφον ἐλαίῳ πολλοὺς ἀῤῥώστους καὶ ἐθεράπευον. Κοινωνικόν· Ποτήριον σωτηρίου. Εἰ δὲ τελεῖται ἡ τοιαύτη ἀκολουθία ἐν ἡμέρᾳ ἑορτασίμῳ ἁγίου μεγάλου, ὡς ἐπὶ τὸ πλεῖστον γὰρ τοῦ ἁγίου Θεοδώρου, ποιῶσι (sic) τοῦτο τῷ α′ σαββάτῳ τῶν νηστειῶν, ἢ τῷ σαββάτῳ τοῦ Λαζάρου, καὶ ἁπλῶς λέγονται πρῶτον τὰ τῆς ἡμέρας, εἶτα τῶν ζ′ πρεσβυτέρων. Ἰστέον δέ, ὅτι καὶ τὸ προκείμενον καὶ ὁ ἀπόστολος καὶ τὰ λοιπὰ πάντα παρὰ τῶν ἱερέων λέγονται. Μετὰ δὲ τὸ ῥηθῆναι τὴν ὀπισθάμβωνον εὐχήν, ἡ κλάσις τοῦ ἄρτου, ὡς εἰώθασιν, ἐν τοῖς οἴκοις οὐ γίνεται, ἀλλ' εὐθὺς βάπτωσι τὰ ηὐτρεπισμένα μουνδίτζᾳ (sic) μετὰ βαμβακίου οἱ ἱερεῖς εἰς τὴν κανδήλαν, καὶ ψαλλόντων πάντων, οὐ τῶν ἱερέων μόνον, ἀλλὰ καὶ τῶν τῆς οἰκίας κοσμικῶν τὸ Πηγὴν ἰαμάτων ἔχοντες, ποιῶσι πάντες οἱ ἱερεῖς, ἀρξάμενοι ἀπὸ τοῦ λειτουργήσαντος, τῷ οἰκοδεσπότῃ τῆς οἰκίας καὶ μετ' αὐτὸν τοῖς ἐν τῷ οἴκῳ αὐτοῦ πᾶσι, τὴν εὐχὴν ταύτην· Πάτερ ἅγιε, ἰατρὲ ψυχῶν καὶ σω-

ματων. Goar. p. 338 съ варіантами: ἐκ τῆς περιεχούσης αὐτὸν σωματικῆς ἀσθενείας διὰ τῆς χάριτος τοῦ Χριστοῦ σου, καὶ ζωοποίησον αὐτὸν κατὰ τὸ σοὶ εὐάρεστον, τὴν ὀφειλομένην εὐχαριστίαν ἐν ἀγαθοεργίᾳ ἀποπληροῦντα. Ὅτι σὸν τὸ κράτος καὶ σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ. Καὶ ἐν τῇ ἐκφωνήσει ἀλείφωσιν αὐτοὺς σταυροειδῶς μέτωπον, ὦτα καὶ στῆθος καὶ τὰς χεῖρας. Καὶ μετὰ τὸ ἀλεῖψαι πάντας, πάλιν ἐπιβάπτωσι τὰ μουνδίτζα αὐτῶν, καὶ περιγυρεύουσι τὸν οἶκον πάντα, ψάλλοντες τὸ αὐτὸ τροπάριον· Πηγὴν ἰαμάτων, καὶ τὸ Ἅγιοι ἀνάργυροι, καὶ Τὴν χάριν ἰαμάτων, καὶ ποιοῦντες σταυροῦ τύπον μετὰ τοῦ ἁγίου ἐλαίου καθ' ἑκάστην θύραν καὶ θυρίδα, καὶ ὑπέρθυρον, καὶ παραστάδα, καὶ πεσσὸν μέχρι καὶ τοῦ μαγειρείου καὶ σταύλου, ἐὰν ἐστιν, εἶτα ὑποστρέφουσι καὶ συνάγονται πάντες εἰς τὴν οἰκίαν, ἐν ᾗ κοιμᾶσθαι εἴωθεν ὁ ἑορτάζων, καὶ δοξάζοντες ψάλλουσι τὸ Οἱ τὴν χάριν λαβόντες, καὶ θυμιᾷ εἷς, εἶτα λέγει ἕτερος· Σοφία· ὀρθοὶ ἀκούσωμεν, καὶ ἀναγινώσκει ὁ λειτουργήσας εὐαγγέλιον κατὰ Λουκᾶν· Διήρχετο ὁ Ἰησοῦς εἰς τὴν Ἰεριχώ, εἶτα ἡ ἐκτενὴς δέησις· Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεος. Ὑπὲρ τῶν εὐσεβεστάτων, ἡ Ὑπὲρ τοῦ ἵλεων καὶ εὐμενῆ γενέσθαι. Καὶ ὑπὲρ τοῦ συγχωρῆσαι ἡμῖν πᾶν πλημμέλημα. Ἔτι δεόμεθα ὑπὲρ τῶν δούλων τοῦ Θεοῦ τοῦδε καὶ τῆς συμβίου αὐτοῦ καὶ τῶν τέκνων, ἐὰν ἔχῃ, καὶ παντὸς τοῦ οἴκου αὐτοῦ, ὑγείας, σωτηρίας, ἐπισκέψεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν αὐτοῦ. Τὸ Κύριε ἐλέησον μʹ καὶ ἐκφώνησις· Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν. Ὁ λαός· Ἀμήν. Ὁ ἱερεύς· Σοφία. Ὁ λαός· Εὐλογεῖτε, ἅγιοι, εὐλόγησον, δέσποτα. Ὁ ἱερεύς· Ὁ ὢν εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε νῦν καὶ ἀεὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ λαός· Ἀμήν. Στερεώσοι ὁ Θεὸς τοὺς βασιλεῖς. Δόξα καὶ νῦν, καὶ ποιεῖ τὴν εὐχὴν τῆς ἀπολύσεως· Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν ταῖς πρεσβείαις τῆς ὑπεραγίας Θεοτόκου, τῶν ἁγίων καὶ θαυματουργῶν καὶ Ἀναργύρων καὶ πάντων τῶν ἁγίων ἐλέησον καὶ σῶσον. Ὁ λαός· Ἀμήν. Καὶ ὑποστρέφονται ἐν τῷ εὐκτηρίῳ τοῦ οἴκου, λέγουσι τὸ Εὐλογήσω τὸν Κύριον ἐν παντὶ καιρῷ, καὶ γίνεται ἡ κλάσις τοῦ ἄρτου καὶ ἡ διανομή, καὶ μετὰ τὸ διακλύσαι, λαμβάνουσι τὴν δόσιν καὶ ὑποχωροῦσιν. Εἰ δὲ πλουσιωτέρα ἐστὶν ἡ τοῦ κεκληκότος προαίρεσις, καὶ ἀριστῶ(μεν) μετ' αὐτοῦ. Ἰστέον δέ, ὁ μὲν λειτουργήσας μετὰ τὸ τέλος τῆς ἀκολουθίας σβέννυσι τὸ ἀπτρότουβον αὐτοῦ καὶ απομένει τὰ ἕξ, καὶ οὕτως ποιῶσι καὶ οἱ λοιποί, μετὰ τὸ λειτουργῆσαι σβεννύουσι· καθ' ἑκάστην γὰρ λειτουργεῖ εἷς μέχρις ὅτε πληρωθῶσιν οἱ ἑπτά. Εἰ μὲν τῇ μʹ γένηται ἡ ἀκολουθία ἐν σαββάτῳ, προηγιασμένων φυλαττομένων, εἰ δὲ ἔξω τῆς μʹ, προσκομιδῆς γινομένης καθ' ἑκάστην.

л. 109. Εὐχὴ ἄλλη ἐπὶ ἐλαίου ἀῤῥώστου· Ὁ πολὺς ἐν ἐλέει καὶ πλούσιος ἐν ἀγαθότητι, Κύριε. Goar. pag. 679.

л. 109 Εὐχὴ ἐπὶ πυρεττόντων· Κύριε ὁ Θεός, ὁ τὰ χρόνια καὶ δεινὰ πάθη λόγῳ μόνῳ θεραπεύσας pag. 549.

— Εὐχὴ ἐπὶ πᾶν εἶδος ἀῤῥωστίας· Δέσποτα, Δέσποτα παντοκράτορ, ἰατρὲ ψυχῶν καὶ σωμάτων. Goar. pag. 549.

л. 110. Εὐχὴ εἰς ψυχοῤῥαγοῦντας· Δέσποτα Κύριε, ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ Πατὴρ τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ πάντας ἀνθρώπους θέλων σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, δεόμεθα καὶ παρακαλοῦμέν σε... Ὅτι σὺ εἶ ὁ λύων τοὺς πεπεδημένους, ὁ ἀνορθῶν τοὺς κατεῤῥαγμένους, ἡ ἐλπὶς τῶν ἀπελπισμένων κρίσει τῇ παρὰ σοῦ ἐλεήσας, κέλευσον, Δέσποτα φιλάνθρωπε, ἀπολυθῆναι ἐν εἰρήνῃ τὸ πνεῦμα τοῦ δούλου σου καὶ καταπαῦσαι εἰς τὰς αἰωνίους μονὰς μετὰ τῶν ἁγίων σου, χάριτι τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ. Conf. Goar. pag. 587.

— Εὐχὴ ἐν τῷ τάφῳ, ἡνίκα βάλλῃ μύρον ἢ ἔλαιον σταυροειδῶς ἐπάνω τοῦ λειψάνου· Μνήσθητι, Κύριε ὁ Θεὸς ἡμῶν, τοῦ ἐν πίστει καὶ ἐλπίδι ζωῆς αἰωνίου κοιμηθέντος ἀδελφοῦ ἡμῶν τοῦδε. Goar. p. 437.

л. 110 об. Εὐχὴ ἐν ἀρχῇ σπόρου· Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ ποιήσας γῆν καὶ τὸν ἄνθρωπον ἐπ' αὐτῆς, ἐξ ἀρχῆς εἰπὼν ἐξαγαγέτω ἡ γῆ βοτάνην χόρτου, σπεῖρον σπέρμα κατὰ γένος καὶ καθ' ὁμοιότητα, καὶ μέχρι τοῦ νῦν διὰ τοῦ αὐτοῦ σου προστάγματος, ἐπιχορηγῶν σπέρμα τῷ σπείροντι καὶ τελεσφορῶν πάντα βουλήματι, κατάπεμψον καὶ νῦν τὴν εὐλογίαν σου ἐπὶ τὰ σπέρματα ταῦτα, καὶ εὐδόκησον ταῦτα πολυπλασιασθῆναι ἰσχύϊ σου, πλήθυνον τὰ γεννήματα τῆς γῆς, εὐφρανθήτω ἐν ταῖς σταγόσιν αὐτῆς ἀνατέλλουσα, ἵνα πληρούμενοι ἐκ τῶν ἀγαθῶν τοῦ οἴκου σου καὶ πρὸς ἐργασίαν τῶν ἐντολῶν σου διαναστῶμεν. Ἐκφώνησις· Ὅτι σὺ εἶ ὁ χορηγὸς τῆς ζωῆς ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρί. Conf. Goar. pag. 557.

— Εὐχὴ ἐπὶ θέρους· Σοί, Κύριε, τῷ τελειωτῇ πάντων καὶ κηδεμόνι καὶ λήγοντες καὶ ἀρχόμενοι τὴν εὐχαριστίαν ἐπὶ πᾶσι προσαναφέρομεν καὶ δεόμεθά σου, παράσχου ἡμῖν τὴν τῶν νέων καρπῶν μετάληψιν ἀκατάκριτον, καὶ συγκομιδὴν ἀνεπίβουλον, τὰ δράγματα πλήθυνον, τοὺς συγκομίζοντας ἐνίσχυσον, πολύχουν τὸν τῆς ἀρούρας καρπὸν ἐν τῇ ἅλωνι ποίησον, ἵνα καὶ ὁ θερίζων χαίρῃ μετὰ τοῦ σπείραντος καὶ ὁ ἀποκλείων μὴ ἀποκναίηται, ὡς τοῖς σοῖς ἀγαθοῖς εὐθηνούμενος.

л. 111. Εὐχὴ ἑτέρα· Ὁ Θεὸς ἡμῶν, ὁ διὰ τὴν πολλήν σου εὐσπλαγχνίαν ἀγαγὼν ἡμᾶς καὶ κατὰ καιρὸν τοῦτον, ὁ ποιήσας τὸν οὐρανὸν

καὶ τὴν γῆν, ὁ πλάσας θέρος καὶ ἔαρ, ὁ εὐλογήσας τὸν κύκλον τοῦ ἐνιαυτοῦ, καὶ στεφανώσας αὐτὸν τῇ τῆς ποικίλης χλόης καρποφορίᾳ ἐν ἄνθεσί τε καὶ δένδρεσι (sic), ὁ κελεύσας τὴν γῆν ἐξενεγκεῖν καρποὺς παντοδαποὺς εἰς ἀποτροφὴν τοῦ γένους τῶν ἀνθρώπων καὶ παντὸς ζώου, Αὐτός, Κύριε, καὶ τὸν καρπὸν τοῦτον εὐλόγησον καὶ πλήθυνον, καὶ παράσχου τοῖς δούλοις σου τὴν μετ' εἰρήνης συγκομιδὴν αὐτοῦ καὶ ἀπόλαυσιν. Conf. Goar. p. 524.

— Εὐχὴ εἰς τὸ φυτεῦσαι ἀμπελῶνα· Σὺ εἶ ἡ ἄμπελος, Χριστέ, ἡ ἀληθινή. Goar. p. 551, но съ варiантами: Σὺ καὶ τὸν Ἰσραήλ, ὡς ἄμπελον ἐξ Αἰγύπτου μετῆρας, ἐξέβαλες ἔθνη καὶ καταφυτεύσας αὐτήν... ἐπὶ τὸν ἀμπελῶνά σου τοῦτον, φύτευσον, ῥίζωσον, βάθυνον... ἀπὸ πάσης χιόνος καὶ ζάλης, κρυστάλλου φερομένου βιαίως, ἀπὸ φρίκης κεκρυμμένου καὶ πνεύματος καύσωνος, ἀπὸ καταιγίδος καὶ δαίμονος Τυφῶνος, ἀπὸ πάσης ἁπαξαπλῶς ἐφόδου ὁρατοῦ καὶ ἀοράτου ἐχθροῦ... κατάρτισαι αὐτήν, ἣν ἐφύτευσε... εἰς ὥρας τρυγῆσαι καὶ προσκομίσαι ἐξ αὐτῆς...

л. 111 об. Εὐχὴ ἐν ἀρχῇ τρύγης κοινῆς· Ὁ προσκυνητὸς Σωτὴρ καὶ πάντων Θεός, ὁ τὴν ἄμπελον φυτευθῆναι τῷ δικαίῳ σου Νῶε καθυποδείξας, καὶ τὸ σταφυλῆς αἷμα τὸν οἶνον τὸν λαόν σου ποτίσας, εὐλόγησον τὴν παροῦσαν τρύγην, ἧς μετ' εὐχαριστίας σοι ἀπαρχόμεθα, ὡς ἂν τῶν σῶν δωρεῶν λαβόντες, καὶ τὰ σὰ ἐκ τῶν σῶν σοὶ προσφέροντες δοξάζωμεν τὸ πανάγιον ὄνομά σου τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ. См. выше стр. 72.

л. 112. Εὐχὴ ἐπὶ τρύγῃ· Ὁ Θεός, ὁ Θεὸς ἡμῶν, ὁ εὐδοκήσας ἄμπελον κληθῆναι τὸν μονογενῆ σου Υἱὸν καὶ Θεόν, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, καὶ δι' αὐτοῦ καρπὸν ἡμῖν ἀθανασίας χαρισάμενος, αὐτὸς καὶ τοῦτον τὸν καρπὸν τῆς ἀμπέλου εὐλόγησον καὶ τοὺς δούλους σου τοὺς μεταλαμβάνοντας ἐξ αὐτοῦ, τῆς ἀληθινῆς ἀμπέλου μετόχους ποίησον, ἀνεπηρέαστον τὴν ζωὴν διαφύλαξον, εἰρήνην αὐτοῖς διὰ παντὸς χαριζόμενος καὶ ταῖς αἰωνίοις σου καὶ ἀναφαιρέτοις δωρεαῖς τὰς ψυχὰς αὐτῶν κατακόσμησον, πρεσβείαις τῆς ἁγίας Θεοτόκου καὶ πάντων τῶν ἁγίων, τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων. Ἐκφώνησις· Ἀγαθότητι καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ... Conf. Goar. p. 552.

— Εὐχὴ εἰς μετάληψιν σταφυλῆς· Εὐλόγησον, Κύριε, τὸν καρπὸν τοῦτον. См. выше стр. 47, но съ варiантами: ἵνα ᾖ ἐν ἡμῖν εἰς εὐφροσύνην προσενέγκαι σοι δῶρον ἐξιλασμὸν ἁμαρτιῶν διὰ τοῦ ἱεροῦ καὶ ἁγίου σώματος τοῦ Χριστοῦ σου... Conf. Goar. pag. 553.

л. 112 об. Εὐχή, γινομένη ὑπὸ τοῦ πατριάρχου, ὅτε πρὸς συνήθειαν ἐπιτελεῖ τὴν τρύγην ὁ βασιλεὺς καὶ τῇ ιε' Αὐγούστου μηνὸς ἐν Βλαχέρναις. Goar. p. 552.

л. 113. Εὐχὴ ἐπὶ οἴκῳ κτιζομένῳ· Ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ ποιήσας τὸν οὐρανὸν ἐν συνέσει. Goar pag. 483 съ варіантами: Ἔδρασον αὐτὸν (вм. ἵδρυσον) ἐπὶ τὴν στερεὰν πέτραν, ἣν κατὰ τὴν σὴν θείαν (ἐν)εὐαγγελίοις φωνὴν οὐκ ἄνεμος...

л. 113 об. Εὐχὴ ἐπὶ εὐλογίᾳ οἴκου· Ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, ὁ καταξιώσας ὑπὸ τὴν σκηνὴν τοῦ Ζακχαίου εἰσελθεῖν. Goar. pag. 484.

— Εὐχὴ οἴκῳ περιεργαζομένῳ· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐπάνω πάσης ἀρχῆς καὶ ἐξουσίας. См. выше стр. 836.

л. 114. Εὐχὴ εἰς ἀγάπην, ἤτοι εἰρήνην· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τῆς ἀγάπης φυτουργός. Goar. p. 706 съ вставкою: δὸς ἡμῖν τὸ αὐτὸ φρονεῖν κατὰ Χριστὸν Ἰησοῦν, χάρισαι ἡμῖν προσλαμβάνεσθαι ἀλλήλους...

л. 114 об. Εὐχὴ ἐπὶ τοῖς ἀπὸ ἔχθρας εἰρηνεύουσιν· Εὐχαριστοῦμέν σοι, Δέσποτα φιλάνθρωπε, τῷ βασιλεῖ τῶν αἰώνων. Goar. p. 705.

л. 115. Εὐχὴ ἐπὶ ἀποδημούντων· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ συνοδεύσας τῷ θεράποντί σου Ἰακώβ. См. выше стр. 33.

— Εὐχὴ ἐπὶ ἐξομολογουμένων· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τῷ Πέτρῳ καὶ τῇ πόρνῃ διὰ δακρύων ἄφεσιν ἁμαρτιῶν δωρησάμενος. Goar. p. 537. Ἐκφώνησις· Ὅτι Θεὸς ἐλέους οἰκτιρμῶν καὶ φιλανθρωπίας ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν.

л. 115. Εὐχὴ ἐπὶ πενθούντων· Κύριε, Κύριε, ὁ καὶ τοὺς ἐν θλίψει βιωτικῇ περιπίπτοντας παρακαλῶν, καὶ πάντων τῶν ἐν ὀλιγοψυχίᾳ ὄντων ἀντίληψις ὑπάρχων, αὐτὸς καὶ τὰ νῦν τοὺς τῷ πένθει τούτῳ κατεχομένους ψυχαγώγησον, πᾶσαν λύπην καὶ θλίψιν ἐγκειμένην ταῖς καρδίαις αὐτῶν ἀπόσμηξον, καὶ τὴν σὴν εὐφροσύνην δώρησαι αὐτοῖς. Ὅτι εὐλόγηται καὶ δεδόξασται τὸ πανάγιον ὄνομά σου τοῦ Πατρός...

— Εὐχὴ ἐπὶ τῶν προπετῶς ὀμνυόντων· Ὁ Θεός, ὁ τῆς τοῦ ἀνθρώπου φύσεως τὸ εὐάλωτον καὶ ἀσθενὲς ἐπιστάμενος. Goar. pag. 534.

— Εὐχὴ ἐπὶ λογισμῶν αἰσχρῶν· Δέσποτα Κύριε ὁ Θεός μου, οὗ ἐν ταῖς χερσί σου οἱ κλῆροι μου... Goar. p. 536. Варіанты: αἰσχυνθήτωσαν οἱ ἐπανιστάμενοί μοι καὶ ἐντραπήτωσαν οἱ ζητοῦντές με... καὶ τῆς αὐτοῦ στρατιᾶς ἰσχὺς τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος νῦν...

л. 116. Εὐχὴ ἐπὶ μετανοούντων· Ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, ὁ διὰ τοῦ προφήτου σου Νάθαν μετανοήσαντι τῷ Δαβὶδ Goar. pag. 536. Ὅτι σὺ εἶ ὁ Θεὸς τῶν μετανοούντων καὶ σοὶ πρέπει δόξα, τιμὴ καὶ προσκύνησις τῷ Πατρὶ καὶ τῷ Υἱῷ.

л. 116 об. Εὐχὴ ἐπὶ τῶν ἐξ ἐπιτιμίων λυομένων· Εὔσπλαγχνε, ἀγαθὲ καὶ φιλάνθρωπε Κύριε, ὁ διὰ τοὺς σοὺς οἰκτιρμοὺς ἐξαποστείλας τὸν μονογενῆ σου. Goar. pag. 531.

л. 117. Εὐχὴ ἐπὶ χειμαζομένων ὑπὸ πνευμάτων ἀκαθάρτων· Ὁ Θεὸς ὁ αἰώνιος, ὁ λυτρωσάμενος ἡμᾶς ἐκ τῆς αἰχμαλωσίας τοῦ διαβόλου p.581. — Εὐχὴ ἄλλη ἐπὶ χειμαζομένων· Ὁ πᾶσιν ἀκαθάρτοις πνεύμασιν ἐπιτιμήσας. Goar. pag. 582.

л. 117 об. Εὐχὴ ἐπὶ θλιβομένοις καὶ χειμαζομένοις· Ἐπάκουσον ἡμῶν, Κύριε ὁ Θεὸς ἡμῶν, τῶν ἐν στενώσει ψυχῆς καὶ πνεύματος ἀκηδίᾳ κεκραγότων πρὸς σέ, μὴ συγχωρήσῃς ἡμᾶς πειρασθῆναι, ὑπὲρ ὃ φέρειν δυνάμεθα, ἀλλὰ ποίησον σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν, εἰς τὸ δύνασθαι ἡμᾶς ὑπενεγκεῖν, ῥῦσαι ἡμᾶς ἀπὸ πάσης ἐπαγωγῆς ἐπηρτημένης κακῶν, ἀπὸ θλίψεως καὶ στενοχωρίας, ἀπὸ πονηρῶν πνευμάτων καὶ ἀντικειμένης δυνάμεως, περικράτησον τὴν ἀσθένειαν τῶν ψυχῶν ἡμῶν, κατεύθυνον τοὺς πόδας ἡμῶν εἰς ὁδὸν εὐθεῖαν, εἰς ἐπίγνωσιν ἀληθείας καὶ τὴν ἐπὶ σοὶ πεποίθησιν, ἔδρασον τὰς καρδίας ἡμῶν, καὶ δὸς ἡμῖν ἐν συνειδήσει καθαρᾷ μετὰ παῤῥησίας κηρύττειν τὸν λόγον σου καὶ λατρεύειν σοι ἀπερισπάστως πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν. Ἐκφώνησις· Ὅτι σὺ εἶ τῶν χειμαζομένων λιμὴν καὶ τῶν ἐν λύπῃ παράκλησις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρί.

л. 118. Εὐχὴ εἰς ἀνοίξια ἐκκλησίας ὑπὸ αἱρετικῶν βεβηλωθείσης Νικηφόρου πατριάρχου[1]· Ὁ Θεὸς τῶν δυνάμεων, ὁ θρόνον ἔχων τὸν οὐρανόν, τὴν δὲ γῆν ὑποπόδιον, ὁ ἀντίτυπα τοῦ οὐρανίου σκηνώματός σου τοὺς ἁγίους τούτους οἴκους ἀναδείξας εἰς κατασκήνωσιν τῆς ἁγίας δόξης σου, ἡμῶν δὲ τῶν ἁμαρτωλῶν καταφύγιον μέγα καὶ λιμένος σωτήριον, πρὸς ἱλασμὸν πλημμελημάτων ἡμῶν καὶ παντὸς ῥύπου ψυχικοῦ καὶ σωματικοῦ, καθάρσιον διὰ τῆς ἐπιτελουμένης ἐν αὐτοῖς θείας καὶ ἀναιμάκτου θυσίας, δυσωποῦμέν σε τὸν ἀγαθὸν Θεὸν ἡμῶν, γενοῦ ἡμῖν ἵλεως τοῖς ἀναξίοις, προσδεχόμενος ἡμᾶς καὶ ἐπὶ ταύτῃ τῇ ἐντεύξει ἡμῶν· πίστει γὰρ ἀδιστάκτῳ προσερχόμεθα, οὐκ εἰς τὴν ἀναξιότητα ἡμῶν ἀποβλέποντες, ἀλλ' εἰς τὴν σὴν θαῤῥοῦντες ἐπιείκειαν καὶ τῆς φιλανθρωπίας σου τὸ ἀμέτρητον, ὁμολογεῖν δὲ ἄξιον, ὅτι τὰ σὰ χαρίσματα, ὡς ἀληθῶς ἀμεταμέλητα, καὶ ἡ χύσις τῆς δωρεᾶς τοῦ παναγίου Πνεύματος ἀνελάττωτος, διὰ τὸ πλῆθος δὲ τῶν ἁμαρτιῶν ἡμῶν, συγχωρήσας παρὰ τῶν ἀθετησάντων τὴν σωτήριον οἰκονομίαν τοῦ μονογενοῦς Υἱοῦ καὶ Θεοῦ ἡμῶν, δι' ἧς εὐδόκησας ἐν τῷ παρελθόντι χρόνῳ τοὺς θείους καὶ ἱεροὺς σου χρανθῆναι καὶ βεβηλωθῆναι ναούς, ἀλλὰ δεόμεθα τῆς σῆς ἀμνησικάκου εὐσπλαγχνίας, κλῖνον τὸ οὖς σου καὶ ἐπάκουσον ἡμῶν, ὁ Θεὸς ὁ

---

[1]) Въ оглавленіи эта и слѣдующія три молитвы носятъ такое надписаніе: „Εἰς ἀνοίξια ἐκκλησίας βεβηλωθείσης ὑπὸ αἱρετικῶν εὐχαί“.

Σωτὴρ ἡμῶν, καὶ ἐν ταύτῃ τῇ ὥρᾳ, ἐν ᾗ ἐπικαλούμεθα τὴν ἀνέκφραστόν σου φιλανθρωπίαν, καὶ ἀνάδειξον τὸν οἶκον τοῦτον τῇ ἐπιφοιτήσει τοῦ ζωαρχικοῦ καὶ καινοποιοῦ σου Πνεύματος καὶ νῦν οἰκητήριον τοῦ παναγίου σου ὀνόματος, ναὸν ἅγιόν σου καὶ σκήνωμα δόξης σου, τόπον καταπαύσεως, κιβωτὸν ἁγιάσματός σου, λελαμπρυσμένον τῷ φωτὶ τοῦ προσώπου σου, τὴν ἀρχαίαν εὐκοσμίαν καὶ εὐπρέπειαν ἀμφιεννύμενον, καὶ τὴν ἄφθονόν σου χάριν καταπλουτιζόμενον, τοῦ ἀμέμπτως ἐπιτελεῖσθαι τῆς ἁγιαστίας ἐν αὐτῷ τὰ θεῖα μυστήρια, καὶ εἴ τι μολυσμοῦ καὶ κηλῖδος παρὰ τῶν αἱρετιζόντων δυσσεβῶν, τῶν τολμησάντων βεβήλους καὶ ἀνοσίους χεῖρας θρασέως αὐτῷ ἐπαφεῖναι, προστέτριπται, Αὐτός, Δέσποτα, καθάρισον καὶ ὕψωσον πάλιν τὴν δόξαν αὐτοῦ καὶ ἀνάστησον τὰ κατεσκαμμένα σου θυσιαστήρια, καὶ περιποίησαι τὰ καθαιρεθέντα τὰ ἅγιά σου, ὁ ἀναστήσας τὴν σκηνὴν Δαβίδ, τὴν πεπτωκυῖαν, καὶ ἀνοικοδομήσας τὰ πεπτωκότα αὐτῆς καὶ τὰ κατεσκαμμένα ἀνορθώσας, τήρησον αὐτὸν ἀπὸ πάσης προσβολῆς ἐναντίας ἀνεπηρέαστον καὶ ἀνέπαφον, κραταίωσον μέχρι τῆς συντελείας τοῦ αἰῶνος ἀκλόνητον, καὶ πᾶσαν τὴν ἐκκλησίαν σου διαμένειν εὐδόκησον ἀκατάσειστον, ἅγνισον δὲ καὶ ἡμᾶς τοὺς ταπεινούς, καὶ ἀπόσμηξον πάντα ῥύπον καὶ σπῖλον ψυχικόν τε καὶ σωματικόν, ἐξ ἁμαρτίας ἡμῖν ἐπερχόμενον, καὶ ἐν τῇ πίστει τῇ εἰς σὲ στήριξον, καὶ ἐν τῇ ἀγάπῃ κραταίωσον, καὶ ἐν τῇ ἐλπίδι βεβαίωσον, καὶ τὸν φόβον σου ἐνίδρυσον ἐν ταῖς καρδίαις ἡμῶν, καὶ ἄνοιξον ἡμῖν σπλάγχνα οἰκτιρμῶν φιλανθρωπίας σου, καὶ χάρισαι τὴν εἰς τὰ ἅγια τῶν ἁγίων σου εἴσοδον, καταξιῶν ἐπιστασίαν ἁγίων καὶ μακαρίων δυνάμεων παραγενέσθαι καὶ συνεισελθεῖν τοῖς δούλοις σου, χειραγωγοῦσαν ἡμᾶς καὶ φωτίζουσαν ἡμῶν τὸ ἡγεμονικόν, ἵνα ἐν καθαρῷ συνειδότι καὶ νῷ ἀνεπιθολώτῳ ἐπιβαίνοντες ἐν ναῷ ἁγίῳ σου, προσκυνήσωμεν ἐν ταῖς αὐλαῖς σου, Κύριε, καὶ ἀποδώσωμεν τὰς εὐχὰς ἡμῶν δεκτὰς ἐπὶ τὸ ἅγιον καὶ ὑπερουράνιόν σου θυσιαστήριον, τὰς μυστικὰς λατρείας καὶ πνευματικὰς μυσταγωγίας σοι προσφέροντες. Ἐκφώνησις· Χάριτι καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ καὶ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ σοὶ πρέπει δόξα, ἅμα τῷ ἁγίῳ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν...

л. 119 об. Εὐχὴ ἑτέρα εἰς τὸ αὐτὸ Ταρασίου πατριάρχου· Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, δυσωπουμέν σε. Goar. p. 494. Читай: προσετρίβη μώμησις вм. λώβησις.

л. 120. Εὐχὴ ἐπὶ ἀνοίξει ναοῦ, βεβηλωθέντος ὑπὸ ἐθνικῶν· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὸν ναὸν τοῦτον ἀναδείξας κατοικητήριόν σου. Goar. p. 495. Варіанты: ἐναλλάσσοντος μικρὸν τοῦ ἀρχιερέως ἀπὸ τοῦ παρὰ τῶν ἀθέων ἐθνικῶν ἄχρι τοῦ δόξης, καὶ λέγοντος οὕτω (у Гоара: ἀπὸ

τοῦ θυσιαστηρίου...) Εἶτα ἐπισυνάπτοντος τὰ ἑξῆς ἀπὸ τοῦ Αὐτὸς πάλιν.

л. 120 об. Εὐχή, λεγομένη ἐν τῇ εἰσόδῳ, πρὸ τῆς συνήθους, ἐπὶ ἀνοίξει ναοῦ, ἐν ᾧ συνέβη θανεῖν ἄνθρωπον βίαις[1]· Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ διὰ πολλὴν καὶ ἄφατον ἀγαθότητα. Goar. pag. 496—497. Εἶτα ἐπιφέροντος τὸ Αὐτὸς πάλιν καὶ τὰ ἑξῆς.

л. 121. Περὶ αἱρέσεων. Ὅπως χρὴ δέχεσθαι τοὺς ἀπὸ αἱρέσεων τῇ ἁγίᾳ τοῦ Θεοῦ καὶ ἀποστολικῇ ἐκκλησίᾳ προσερχομένους. Περὶ τῶν ὀφειλόντων χρισθῆναι μύρῳ. Goar. pag. 695 и var. lect. a—e.

л. 123. Περὶ αἱρέσεων διδόντων λιβέλλους· Νεστοριανοὺς δὲ καὶ Εὐτυχιανιστάς, Ἀπολιναριαστάς, Ἰακωβίτας ἤτοι Θεοδοτιανοὺς καὶ Γαϊανιστὰς καὶ Ἰουλιανιστὰς χρὴ ποιεῖν λιβέλλους καὶ ἀναθεματίζειν Θεόδωρον Μοψουεστίας, Παῦλον Σαμοσατέα, Εὐτυχέα, Διόσκορον, Σεβῆρον καὶ τοὺς φρονοῦντας τὰ αὐτῶν καὶ πάσας τὰς προαναφερομένας αἱρέσεις, καὶ μεταλαμβάνειν τῆς ἁγίας κοινωνίας.

л. 123. Περὶ τῶν ἀναβαπτιζομένων· Εὐνομιανοὺς μέντοι τοὺς εἰς μίαν κατάδυσιν. Goar. pag. 695. Τούτων ἕκαστον ἵστησιν ἔσω τῆς πύλης τῆς ἐκκλησίας, καὶ ἐπιθεὶς τὴν χεῖρα ἐπὶ τὴν κεφαλὴν ποιεῖ εὐχὰς κατηχουμένων, καὶ γινομένων κατηχουμένων καὶ προσελθούσης ἐπ' αὐτῶν τῆς τῶν κατηχουμένων τάξεως, ὡς ἀνωτέρω γέγραπται, ἀναβαπτίζεται.

л. 123 об. Εὐχὴ ἐπὶ αἱρετικῶν ἀναβαπτιζομένων· Ὁ Θεὸς ὁ μέγας καὶ μεγαλώνυμος, ὁ τὸ πρὶν σκότος φωτίσας τῷ λόγῳ τοῦ στόματός σου. Goar. p. 700.

л. 124. Ὅπως χρὴ ἀναθεματίζειν ἐγγράφως τὴν αἵρεσιν αὐτῶν τοὺς ἀπὸ Μανιχαίων προσιόντας τῇ ἁγίᾳ τοῦ Θεοῦ καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ. Cotel. Patres apostolici t. 1 p. 543 not.; А. Дмитріевскій, Прилож. стр. 26—45. Καὶ διηνεκῶς ταρταρωθείη, εἴ τις οὐχ ὁμο(λο)γεῖ μιᾶς φύσεως τὴν ἁγίαν καὶ ὁμοούσιον καὶ ἀδιαίρετον Τριάδα, τὸν Πατέρα καὶ τὸν Υἱὸν καὶ τὸ ἅγιον Πνεῦμα, ἀλλ' ἐπείσακτόν τινα ἄγγελον ὁμολογούμενον τὸν Υἱόν, καὶ ἐξ ἑτέρας πάλιν ἐλάττονος φύσεως τὸ Πνεῦμα τὸ ἅγιον, τὸ ὁμοδύναμον Πατρὸς καὶ Υἱοῦ.—Ἀνάθεμα ἔστω, εἴτις οὐχ ὁμολογεῖ τὸν Θεὸν ποιητὴν εἶναι τοῦ οὐρανοῦ καὶ τῆς γῆς καὶ πάντων τῶν κτισμάτων, καὶ πλάστην τοῦ Ἀδάμ, καὶ δημιουργὸν τῆς Εὔας, ἀλλὰ τὸν ἀντικείμενον λέγει ἄρχοντα καὶ ποιητὴν τοῦ παντός, καὶ πλάστην τῆς ἀνθρωπείας φύσεως.—Ἀνάθεμα ἔστω, εἴτις οὐχ ὁμο-

[1]) Въ оглавленіи надписывается: Καὶ ἑρμηνεία ἐπὶ ἀνοίξει ναοῦ, ᾧ συνέβη θανεῖν ἄνθρωπον βιαίως, ἢ ζῶον ἄλογον καὶ ἀκάθαρτον ἔθανεν ἢ ἐγέννησεν, εὐχή.

λογεῖ τὸν Υἱὸν τοῦ Θεοῦ καὶ Λόγον ἀναλλοιώτως ἐξ αὐτοῦ πρὸ τῶν αἰώνων γεννηθέντα, καὶ ἐπ' ἐσχάτων τῶν χρόνων ἐκ τῆς ἀχράντου καὶ Θεοτόκου Μαρίας σαρκωθέντα, διὰ τὴν πολλὴν αὐτοῦ εὐσπλαγχνίαν, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν γενέσθαι ἄνθρωπον καὶ ἀναλαβέσθαι πάντα ἡμέτερα χωρὶς ἁμαρτίας, καὶ οὐ μεταλαμβάνει τῶν ἀθανάτων καὶ ζωοποιῶν μυστηρίων ἐν φόβῳ, ὡς αὐτῆς τῆς σαρκὸς τῆς δεσποτικῆς, καὶ τοῦ ἁγίου καὶ τιμίου αἵματος τοῦ ἐκχυθέντος ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς, ἀλλ' ὡς ἄρτου ψιλοῦ καὶ κράματος κοινοῦ.—Ἀνάθεμα ἔστω, εἴτις οὐ προσκυνεῖ τὸν τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ σταυρόν, οὐχ ὡς τυραννικὸν ὅπλον, ἀλλ' ὡς σωτηρίαν παντὸς τοῦ κόσμου, καὶ δόξαν γενόμενον, καὶ τοῦ ἐχθροῦ τὰς μηχανὰς καὶ ῥομφαίας εἰς τέλος καταργήσαντα καὶ ἀπολέσαντα, καὶ τὴν κτίσιν τῶν εἰδώλων λυτρωσάμενον καὶ νίκην τῷ κόσμῳ ἀναδείξαντα.—Ἀνάθεμα, εἴτις οὐ προσκυνεῖ τὴν σεβάσμιον καὶ ἁγίαν εἰκόνα τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ὡς χαρακτῆρα τοῦ σαρκωθέντος δι' ἡμᾶς Λόγου Θεοῦ, καὶ δοξάζει ὡς ἀνιστορῶν αὐτὸν ἐν τῷ εἰκόνος ὁμοιώματι, καὶ τῆς ἀχράντου αὐτοῦ Μητρὸς καὶ πάντων τῶν ἁγίων αὐτοῦ, ἀλλ' εἴδωλα ἀποκαλῶν αὐτάς. Ἀνάθεμα ἔστω. Ἀνάθεμα Παύλῳ τῷ Σαμουσαταίῳ καὶ Λουκᾷ καὶ Βλασίῳ, καὶ Βαρνάβᾳ, καὶ Ἀντωνίῳ, καὶ Ῥοδινάκῃ, καὶ Ἄνθῃ, καὶ Νικολάῳ, καὶ Λέοντι, καὶ Πέτρῳ, καὶ τοῖς λοιποῖς ἅπασι, τοῖς τριςκατάρατοις διδασκάλοις τ ῆ ς  ν έ α ς  τ α ύ τ η ς  α ἱ ρ έ σ ε ω ς καὶ προδρόμοις τοῦ Ἀντιχρίστου καὶ τοῦ σατανᾶ πλάσμασιν. Ἀνάθεμα αὐτοῖς.—Ταῦτα τοῦ προσερχομένου λέγοντος ἐπ' ἐκκλησίας, ποιοῦμεν αὐτὸν χριστιανόν, εἶτ' οὖν ἡγούμεθα, ὡς χριστιανὸν ἀβάπτιστον, οἷα τυχόν ἐστι τὰ τῶν χριστιανῶν παιδία, τὰ μέλλοντα βαπτίζεσθαι, τῇ δὲ β' ἡμέρᾳ τοῖς κατηχουμένοις συναριθμοῦμεν, λέγοντες ἐπ' αὐτῷ τὴν εὐχήν, ἣν ἐπὶ τῶν κατηχουμένων παίδων φαμέν, καὶ τ ὰ  ἑ ξ ῆ ς  χ ρ ώ μ ε θ α  τ α ῖ ς  τ ῶ ν  ἐ ξ ο ρ κ ι σ μ ῶ ν εὐχ(α)ῖς, καὶ οὕτως ἀκολούθως ἐπιτελοῦμεν πάντα τὰ ἐπὶ τῷ βαπτίσματι νενομισμένα.

л. 130 об. Τάξις, γινομένη ἐπὶ τοῖς ἀπὸ Μανιχαίων ἐπιστρέφουσι πρὸς τὴν καθαρὰν καὶ ἀληθῆ πίστιν ἡμῶν τῶν χριστιανῶν. Goar. p. 700. Разница весьма незначительная лишь въ изложеніи. Въ отрицаніяхъ, кромѣ Манента и Манихея, упоминается и Кубрикій.

л. 132. Μεθοδίου, τοῦ ἁγιωτάτου πατριάρχου, διάταξις[1]) περὶ τῶν διαφόρῳ τρόπῳ καὶ ἡλικίᾳ ἐπιστρεφόντων. Goar. p. 689, но съ осо-

[1]) Этотъ діатаксисъ изданъ проф. А. Алмазовымъ „Тайная исповѣдь" т. III, II, отд. I, стр. 5—6, но съ нѣкоторыми пропусками.

бенностями: περιζωσθεὶς χρισθήτω μύρῳ, ὡ ς ο ἱ βαπτιζόμενοι, καὶ φ ο ρ ε σ ά τ ω ἱμάτια καινά... ἐ π ὶ ὀκτὼ ἡμέρας... καθὼς καὶ ο ἱ φ ω τ ι ζ ό μ ε ν ο ι τῇ ἐκκλησίᾳ καὶ τῇ λειτουργίᾳ τὰς η' ἡμέρας и др., въ Codex Cryptof. у Гоара въ variae lect. p. 693. Εὐχὴ ἱλασμοῦ εἰς τὸν ἀπὸ ἀρνήσεως ἐπιστρέφοντα πρὸς ἡμετέραν πίστιν. Goar. pag. 689. Εὐχὴ ἄλλη εἰς ἱλασμὸν μετὰ τὸ εἰπεῖν ψαλμὸν Ν' καὶ λζ' καὶ ἑκατοστὸν δεύτερον, Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τας κλεῖς βασιλείας σου. p. 690. Εὐχὴ πρὸς χριστιανοὺς ὑπαχθέντας ἐθνικῇ πλάνῃ, ἐπιστρέψαντας δὲ καὶ τῇ ἐκκλησίᾳ προσδραμόντας· Κύριε, Κύριε, ὁ τῶν ἁπάντων ποιητὴς καὶ Δεσπότης, ἡ πηγὴ τῆς ἀγαθότητος.. p. 690. Εὐχὴ ἐπὶ ἀποστατήσαντος παιδὸς καὶ μαγαρίσαντος καὶ μ ε τ α ν ο ο ῦ ν τ ο ς· Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ θέλων πάντας ἀνθρώπους σωθῆναι p. 691. Εἰρήνη πᾶσιν. Καὶ τοῦ διακόνου λέγοντος· Τὰς κεφαλάς, ἐπεύχεται ὁ ἱερεύς· Ὁ κλίνας οὐρανοὺς καὶ καταβὰς ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων. p. 691. Καὶ λαμβάνων ἅγιον μύρον, σφραγίζει εἰς τὸ μέτωπον καὶ τὰς χεῖρας καὶ τοὺς πόδας, εὔχεται· Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ διὰ τῆς ἀποστολῆς τοῦ παναγίου σου Πνεύματος p. 692

л. 136. Εὐχὴ εἰς τὸ ποιῆσαι ἐθνικὸν κατηχούμενον. p. 283.

л. 137. Περὶ Μελχισεδεκιτῶν τῶν καὶ Θεοδοτιανῶν καὶ Ἀθιγγάνων. Ἐκ τεσσάρων κακῶν εἰς ἓν συνελθόντων ἡ αἵρεσις αὕτη συνέστηκεν· ἴδιον μὲν γὰρ οἱ ταύτῃ κεκρατημένοι παρὰ πάντας τοὺς ἄλλους αἱρετικοὺς ἔχοντες δόγμα, τὸν παρὰ τῇ θείᾳ γραφῇ φερόμενον...

л. 139. Χρὴ οὖν τοὺς ἀπὸ Ἀθιγγάνων προσιόντας καὶ βαπτίζεσθαι μέλλοντας τοῦτο λέγειν· Ὁ δεῖνα, ὁ ἀπὸ Μελχισεδεκιτῶν τῶν καὶ Θεοδοτιανῶν καὶ Ἀθιγγάνων. А. Дмитріевскій. Прилож. стр. 46—53.

л. 140. Τάξις, γινομένη ἐπὶ τοῖς ἀπὸ Σαρακηνῶν ἐπιστρέφουσι πρὸς τὴν καθαρὰν καὶ ἀληθῆ πίστιν ἡμῶν τῶν χριστανῶν. Conf. Migne. Patr. Curs. Complet. t. CXL col. 124—135.

л. 145 об. Πῶς δεῖ δέχεσθαι τὸν ἐξ Ἑβραίων τῇ τῶν χριστιανῶν πίστει προσερχόμενον. Goar. p. 282—283. Ἔκθεσις ἀκριβεστέρα περὶ τοῦ πῶς δέχεσθαι τὸν ἐξ Ἑβραίων τῇ τῶν χριστιανῶν πίστει προσερχόμενον. А. Дмитріевскій. Прилож. стр. 68—82; Conf. Patres apostolic. t. 1, pag. 504—507, not. 1.

л. 151 об. Λόγος (въ оглавленіи прибавлено: Γ ρ η γ ο ρ ί ο υ τοῦ Νικαίας) διαλαμβάνων, ὅτι οὐ χρὴ ταχέως ἐπιτιθέναι χεῖρα βαπτίζουσαν Ἑβραίοις (въ оглавленіи: βαπτίζειν Ἑβραίους), εἰ μήτις ἀκριβῶς τούτους πρότερον δοκιμάσει· Τὴν ἀλήθειαν ἀρχὴν εἶναι τῶν τοῦ Θεοῦ λόγων

ὁ μέγας ἡμᾶς διδάσκει Δαβὶδ καὶ πάντων αὐτὴν ἰσχυροτέραν ὁ σοφὸς ἀποδείκνυσιν Ἔσδρας... Слово занимаетъ 13 листовъ рукописи.

л. 164 об. Εὐχὴ ἐπὶ τοῦ μέλλοντος λαμβάνειν μαντίον· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἀξίους σου εἶναι νομοθετήσας τοὺς τὰ βιωτικὰ πάντα κα(τα)λιπόντας... р. 385. Εἰρήνη πᾶσιν. Ὁ διάκονος· Τὰς κεφαλάς. Ὁ ἱερεὺς εὔχεται· Κύριε ὁ Θεὸς ἡμῶν, ἡ ἐλπὶς καὶ καταφυγὴ πάντων τῶν ἐλπιζόντων ἐπὶ σέ. р. 385. Чтеніе правильное: ζυγόν σου τὸν χρηστὸν (вмѣсто: τὸν Χριστόν) καὶ τὸ ἐλαφρόν σου. Εἶτα κουρεύει αὐτὸν σταυροειδῶς, περιβάλλει τε αὐτὸν τὸ παλλίον, λέγων οὕτως· Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα λαμβάνει τὸ παλλίον, τὸν ἀρραβῶνα τοῦ μεγάλου καὶ ἀγγελικοῦ σχήματος, εἴπωμεν ὑπὲρ αὐτοῦ Κύριε, ἐλέησον. Παραλαβόντες δὲ αὐτὸν οἱ ἀδελφοὶ εἰς τὸ διακονικόν, κουρεύουσιν, λέγοντες τὸν Ἄμωμον, καὶ ἐλθὼν εἰς τὴν ἐκκλησίαν, ἀσπάζεται τοὺς ἀδελφούς.

л. 165 об. Εὐχὴ ἐπὶ τῆς μελλούσης λαμβάνειν σχῆμα μοναζούσης· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὴν παρθενίαν οὕτως ἀγαπήσας. Goar. р. 382, но съ инымъ концемъ: πρὸς τὸ αὐτὴν εὐαρέστως πολιτευσαμένην, ὡς λαμπάδα φέρειν σοι τῆς σωφροσύνης τὴν φαιδρότητα, τῷ ἐλαίῳ τῶν αὐτῆς...

л. 166. Ἀκολουθία τοῦ προσχήματος τῶν μοναχῶν καὶ εὐχαί. Πρὸ τοῦ κουρευθῆναι ἐρωτᾶται πρῶτον ταῦτα ὑπὸ τοῦ ἱερέως· Ἑκουσίᾳ σου γνώμῃ προσῆλθες τῷ Χριστῷ и т. д. Goar. р. 379. Въ молитвѣ: Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς ἡμῶν р. 378 находимъ слѣдующіе варіанты: διαφύλαξον αὐτὸν ἕως θανάτου... καὶ πραότητα αὐτῷ διὰ παντὸς χαριζόμενος, διὰ τῶν οἰκτιρμῶν τοῦ Χριστοῦ σου, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ζωοποιῷ σου Πνεύματι.

л. 167. Κάθισμα τοῦ ἁγίου καὶ μεγάλου σχήματος, ἦχος δ'. Πρὸς Ταχὺ προκαταλαβέτωσαν. Οἱ θέλοντες ἔρχεσθαι, φησὶν ὁ Κύριος, ὀπίσω μου. Goar. р. 403. Ἄλλο, ἦχος πλ. β'. Πρὸς Τῆς εὐσπλαγχνίας τὴν πηγήν. Ψυχὴν καὶ σάρκα Θεῷ πίστει ἀκλινεῖ προσαναθέμενος, καὶ κόσμου τερπνὰ καὶ συγγενεῖς ἐγκαταλείψας, ζυγὸν τὸν ἐλαφρὸν νῦν ἀράμενος, βίου ὅλου μελέτην τὸν θάνατον λογίζου. Τὸ κοντάκιον, ἦχος α'· Ἀγκάλας πατρικάς. Στιχηρά, ἦχος β'. Πρὸς Ὅτε ἐκ τοῦ ξύλου. Πίστει προσερχόμενον πρὸς σέ... Ἔχων τὴν πηγὴν τῶν οἰκτιρμῶν... Τεῖχος ὑπερβήσομαι ἐν σοί... Goar. р. 405. Ὁ κανών, φέρων ἀκροστιχίδα τήνδε· Εὐδόκιμον τέλος εὐδοκίμῳ μοι, Χριστέ, παράσχου, Θεοφάνους р. 403.

л. 171. Τάξις, γινομένη τοῦ ἁγίου καὶ μεγάλου σχήματος[1]). Ἀπὸ ἑσπέρας εἰσφέρονται τὰ ἱμάτια τοῦ μέλλοντος κουρεύεσθαι εἰς τὸ θυ-

[1]) Въ заглавіи объ этомъ чинѣ такъ говорится: Εἶτα τὰ περὶ τοῦ μεγάλου καὶ ἀγγελικοῦ σχήματος, καθίσματα, στιχηρά, κανὼν καὶ οὕτω πᾶσα ἡ

σιαστήριον καὶ ἀποτίθενται ἐν τῷ θαλασσιδίῳ τῆς ἁγίας τραπέζης, καὶ εἰς τὸν ὄρθρον ψάλλεται ὁ κανὼν τοῦ σχήματος, καὶ τὸ πρωῒ εἰς τὴν λειτουργίαν ψάλλεται ἀντίφωνον α'· Εὐλόγει ἡ ψυχή μου. Ἀντίφωνον β'· Αἴνει ἡ ψυχή μου τὸν Κύριον. Ἀντίφωνον γ'· Οἱ μακαρισμοί. Ἵσταται δὲ ὁ τὸ σχῆμα μέλλων λαμβάνειν, ἀρχομένου τοῦ α' ἀντιφώνου τῆς λειτουργίας, ἔνδον τῆς βασιλικῆς πύλης, φορῶν τὰ πρὸς συνήθειαν καθημερινὰ ἱμάτια αὐτοῦ μέχρι τῆς εἰσόδου. Ψάλλονται δὲ οἱ μακαρισμοί, ἦχος δ'· Ὅτε ἐν τῷ πάθει ὁ λῃστής... Ὅσοι τὰ ἐν κόσμῳ ποθεινὰ ἐγκατελίπετε... Ὁ θέλων πάντας εἰς ἐπίγνωσιν ἐλθεῖν... Goar. pag. 414. Πάντων τῶν προσκαίρων καὶ φθαρτῶν σὺ κατεφρόνησας, μόνον τὸν ἀθάνατον νυμφίον τε ἐπόθησας, φέρων καὶ τὸ σημεῖον τοῦ σταυροῦ ἐπωμίδιον μετὰ πίστεως, καὶ ἀκολουθῶν τῷ Χριστῷ. Πάσας τῆς σαρκὸς τὰς ἡδονὰς ἀποσεισάμενος... Τρίβον τὴν πλατεῖαν καὶ εὐρύχωρον ἀφέμενος... θεοτοκίον· Χαῖρε παρθενίας τὸ ὑπέρτιμον καλλώπισμα... Goar. p. 414. Εἶτα ἡ εἴσοδος, μετὰ δὲ τὴν εἴσοδον, τοῦ διακόνου λέγοντος· Σοφία, ψάλλουσιν οἱ συμπαρόντες τὰ ἀντίφωνα, καὶ καθ' ἑκάστην δόξαν βραχὺ μεθιστάμενος ἕως τῆς ἀπάρξεως τοῦ τρίτου ἀντιφώνου, ἐν ᾧ λέγεται τροπάριον· Ποῦ ἐστιν ἡ τοῦ κόσμου προσπάθεια, φθάνει ἐν τῷ ἄμβωνι, καὶ λεγομένου ἑτέρου τροπαρίου· Δεῦτε πρός με πάντες οἱ κοπιῶντες, ἔρχεται εἰς τὴν σωλαίαν, κἀκεῖ ἵσταται ἕως εἴπῃ στίχον· Δεῦτε προσκυνήσωμεν. Καὶ τούτου λεγομένου, ἔρχεται πλησίον τῶν ἁγίων θυρίων, ἅμα δὲ καὶ προσπίπτει μέχρι συμπληρώσεως ἀντιφώνου, εἶθ' οὕτως ἀνισταμένου αὐτοῦ, ὁ ἱερεὺς τὰ προτεταγμένα. Ἔστι δὲ τὸ α' ἀντίφωνον οὕτω· ἦχος δ', Ἤθελον δάκρυσιν ἐξαλεῖψαι. Στίχος· Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου. Τίς χειμαζόμενος καὶ προστρέχων.. Στίχος· Ἐξελεξάμην παραῤῥιπτεῖσθαι ἐν τῷ οἴκῳ τοῦ Θεοῦ... Ἐν τῇ πηγῇ τῇ μυστικῇ τῆς ἀναγεννήσεως.. Δόξα, Ῥῦσαι ἡμᾶς ἐκ τῶν ἀναγκῶν ἡμῶν... Ἀρχομένου δὲ τοῦ β' ἀντιφώνου, μεθίσταται ὁ τὸ σχῆμα λαμβάνων τῶν βασιλικῶν πυλῶν ὀλίγον. Ἀντίφωνον β', ἦχος δ'· Ζάλη ἁμαρτημάτων... Στίχος· Εἰπάτωσαν οἱ λελυτρωμένοι ὑπὸ Κυρίου, οὓς ἐλυτρώσατο ἐκ χειρὸς ἐχθρῶν... Ἀντιλαβοῦ μου κατὰ τὸ λόγιόν σου... Δόξα καὶ νῦν, Ἐξ ἀχράντων λαγόνων σου... Goar. pag. 414, not. g. Ἀρχομένου δὲ τοῦ γ' ἀντιφώνου, ἔρχεται ἕως τοῦ ἄμβωνος καὶ πάλιν ἵσταται. Ἀντίφωνον γ', ἦχος δ'· Ποῦ ἐστιν ἡ τοῦ

---

τάξις καὶ ἀκολουθία, τά τε ἀντίφωνα καὶ οἱ μακαρισμοί, τὰ πρὸ τῆς εἰσόδου, τὰ μετὰ τὴν εἴσοδον, τὰ πρὸ τοῦ εὐαγγελίου, μετὰ τὸ εὐαγγέλιον, ἡ ἐρώτησις καὶ ἀπόκρισις, αἱ κατηχήσεις, αἱ εὐχαὶ καὶ τὰ λοιπά. Εἰσὶ δὲ εὐχαὶ σὺν τοῦ ἀποκουκουλίσματος (sic) ἀμφότεραι ζ'.

κόσμου προσπάθεια... Δεῦτε, τέκνα, ἀκούσατέ μου. Καὶ τούτου λεγομένου ἔρχεται εἰς τὴν σωλαίαν, κἀκεῖ ἵσταται, καὶ λέγεται τροπάριον, ἦχος δ'· Δεῦτε πρός με πάντες οἱ κοπιῶντες... Στίχος· Ἐπλανήθην ὡς πρόβατον... Πρόβατόν εἰμι τῆς λογικῆς σου ποίμνης... Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν καὶ κλαύσωμεν... Καὶ τούτου λεγομένου, ἔρχεται καὶ προσπίπτει εἰς τὰ ἅγια θυρία καὶ οὐκ ἀνίσταται μέχρι συμπληρώσεως τοῦ ἀντιφώνου. Τροπάριον, ἦχος δ'· Κύριε, Κύριε, ἐπίβλεψον ἐξ οὐρανοῦ p. 504. Ὁ διὰ σὲ θεοπάτωρ προφήτης Δαβίδ, μελῳδικῶς. Καὶ εἶθ' οὕτως ἀνισταμένου αὐτοῦ, ἐπερωτᾷ αὐτὸν ὁ ἱερεὺς λέγων· Τί προσῆλθες, ἀδελφέ, προσπίπτων τῷ ἁγίῳ θυσιαστηρίῳ; Goar. p. 407. Отвѣтовъ нѣтъ ни на одинъ вопросъ. Оглашеніе, что у Goar. p. 407, но съ нѣкоторыми разночтеніями: πρὸς πάντα θλιβερὰ τῆς χαροποιοῦ κατὰ Θεὸν ζωῆς... ἀγγελοειδοῦς διαγωγῆς... διατριβῆς, ἀρκούντως ἠγωνίσω πρὸς τὰς βλασφημία, καταλαλία, παῤῥησία... Ἐρώτησις· Ταῦτα πάντα οὕτως καθομολογεῖς... Εὐχή· Ὁ πανοικτίρμων οὖν Θεὸς καὶ πολυέλεος. Goar p. 409, съ варіантомъ: Ἀντωνίου, Εὐθυμίου καὶ τῶν σὺν αὐτοῖς.

л. 177. Ἑτέρα κατήχησις ἔχουσα οὕτως· Ὁ Κύριος ἡμῶν καὶ Θεὸς Ἰησοῦς Χριστός, προσκαλούμενος ἡμᾶς ἐπὶ τὴν τῆς σωτηρίας ὁδόν, λέγει· Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ περιφορτισμένοι, κἀγὼ ἀναπαύσω ἡμᾶς, ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς καὶ μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν· ὁ γὰρ ζυγός μου χρηστὸς καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστι, κόπον λέγων τὸν τῆς ἁμαρτίας. Ὅταν γὰρ τοῦ κόπου τῆς ἁμαρτίας ἀπαλλαγῶμεν, εἰς εὔδιον λιμένα καταντῶμεν τῆς σωτηρίας, τουτέστι τὸν Κύριον ἡμῶν καὶ Θεὸν Ἰησοῦν Χριστόν· τότε γὰρ αὐτὸς ὑποδέχεται ἡμᾶς, οἷον ἐκ ζάλης καὶ τρικυμίας τῶν τοῦ διαβόλου παγίδων ἐλευθερουμένους, ἐπιτίθησι δὲ ἡμῖν τὸν ζυγὸν τῶν ἐντολῶν αὐτοῦ τὸν χρηστόν τε καὶ ἐλαφρόν, ὑποβάλλων ἡμᾶς τῇ πνευματικῇ ζεύγλῃ τοῦ θελήματος αὐτοῦ, καταδεσμῶν ἡμᾶς τῷ φόβῳ τῆς κρίσεως, ἵνα μηκέτι κατὰ σκοπέλων καὶ κρημνῶν τῆς ἁμαρτίας φερώμεθα, ἀλλὰ τὸν φόρτον πάσης πράξεως τοῦ θελήματος ἀποσεισάμενοι, ἐλευθερίαν δικαιοσύνης τὸ ἀρχαῖον ἀξίωμα ἀπολάβωμεν, ἧς τὸ τέλος βασιλείας οὐρανῶν κληρονομία, ἄφθαρτος καὶ ἀμάραντος τετηρημένη ἐν οὐρανοῖς, ἀκολουθήσωμεν ἀγαθῷ Δεσπότῃ, θέλοντι τὴν σωτηρίαν ἡμῶν· εἰς τοῦτο γὰρ ἡμᾶς ἔπλασεν, θέμενος ἐπ' ἔργοις ἀγαθοῖς, ἵνα ἐν αὐτοῖς περιπατήσαντες, ποιήσωμεν τὸ θέλημα αὐτοῦ τὸ ἀγαθὸν καὶ εὐάρεστον καὶ τέλειον, θῶμεν τὸν φόβον αὐτοῦ ἐν ταῖς καρδίαις ἡμῶν, κατανοήσωμεν, ἅπερ ἐπηγγείλατο ἡμῖν

ἀγαθά, ὅτι συγκληρονόμους ἡμᾶς αὐτοῦ ἐποίησεν, ἐὰν τηρήσωμεν αὐτοῦ τὰς ἐντολάς, χωρίσωμεν ἑαυτοὺς τοῦ ἀλλοτρίου, ἐπιγνῶμεν τοῖς ἀγαθοῖς ἔργοις τὸν Θεὸν ἡμῶν, μνησθῶμεν τῶν πρώτων συνθηκῶν, ὧν συνεθέμεθα μέλλοντες προσιέναι τῷ ἁγίῳ βαπτίσματι· ὑπεσχόμεθα γὰρ αὐτῷ ἀπέχεσθαι τοῦ διαβόλου καὶ πάντων τῶν ἔργων αὐτοῦ καὶ δουλεύειν αὐτῷ μόνῳ, τῷ Σωτῆρι Θεῷ, καὶ ποιεῖν πάντα τὰ προστάγματα αὐτοῦ. Γνῶμεν, ὅτι αἱ φωναὶ ἡμῶν ἀνάγραπτοί εἰσιν, ἴδωμεν, ὅτι περὶ πάντων ἀπόκειται κρίσις καὶ ἀνταπόδοσις, καὶ ταῦτα ἀπαντήσεται ἡμῖν ἐπὶ τοῦ ἀπαραλογίστου βήματος, ὅταν πάντες γυμνοὶ καὶ τετραχηλισμένοι παριστάμεθα ἐνώπιον ἀγγέλων καὶ ἀνθρώπων, εἰσπραττόμενοι δίκας περὶ τῶν ἁμαρτιῶν ἡμῶν, ὅταν, ἀμελήσασιν ἡμῖν τῆς ἑαυτῶν σωτηρίας, κατηγορήσῃ ὁ ἀλλότριος, ὅτι λόγῳ μὲν τῷ Θεῷ συνεταξάμεθα, ἔργῳ δὲ αὐτῷ δεδουλεύκαμεν, ὅτε οὐκ ἔστι πρεσβεία εὐπρόσδεκτος ἁγίων, ἢ δικαίων δυσωπούντων ὑπὲρ ἡμῶν, ἀλλὰ πᾶς ἄνθρωπος, ἧς ἐπεπόθησεν ἐργασίας, ταύτης καὶ ἀπολαύσει. Καὶ εἰ μὲν τῷ Δεσπότῃ ἐδούλευσε, τῆς βασιλείας αὐτοῦ καταξιωθήσεται, εἰ δὲ ταῖς τοῦ πονηροῦ παρεσύρη ἀπάταις, τοῦ ἡτοιμασμένου ἐκείνῳ σκότους. Ἀδελφοί, ἕως ἔχωμεν καιρόν, ἐργασώμεθα τὸ ἀγαθόν, καὶ μὴ ῥαθυμίᾳ ἑαυτοὺς παραδώσωμεν, μὴ πλούτῳ ἐπαρθῶμεν, μὴ τρυφῇ ἑαυτοὺς καταναλώσωμεν, μὴ δόξῃ θαῤῥήσωμεν· πάντα γὰρ τὰ πρόσκαιρα, μάταια, ἀκούσωμεν τοῦ ἀποστόλου λέγοντος, ὅτι παράγει τὸ σχῆμα τοῦ κόσμου τούτου, πάντα οὐδέν εἰσι, καὶ εἰς οὐδὲν λογισθήσονται, ταῦτα εἰδότες, ἀγαπητοί, τῆς ἀληθοῦς μετανοίας ἐπιλαβώμεθα καὶ προσδράμωμεν ἐν ἐξομολογήσει τῷ φιλανθρώπῳ Σωτῆρι τῶν ψυχῶν ἡμῶν· φιλόψυχος γάρ ἐστι καὶ ἀγαθός, μὴ βουλόμενος τὸν θάνατον ἡμῶν τῶν ἁμαρτωλῶν, ἀλλὰ τὴν ἐπιστροφὴν καὶ τὴν ζωήν, καὶ οὐκ ἀποστρέφεται ἡμᾶς προσερχομένους αὐτῷ, οὐδὲ ὀνειδίζει τὰ πρότερα, ἀλλὰ μᾶλλον προσδέχεται καὶ ἀσμενίζει καὶ περιπτύσσεται, καὶ τὸ πρότερον ἀξίωμα ἀποδίδωσι, καὶ χαρὰν ἐπιτελεῖ ἐν οὐρανοῖς μετὰ τῶν ἁγίων ἀγγέλων αὐτοῦ ἐπὶ τοῖς μετανοοῦσι καὶ ἐπιστρέφουσι καρδίαν ἐπ' αὐτόν. Ἰδοὺ οὖν καὶ αὐτός, ἀδελφέ, προσέρχῃ αὐτῷ καὶ ἁγνείαν καὶ σωφροσύνην καὶ πᾶσαν ἐπαγγέλῃ δικαιοσύνην, βλέπε μὴ στραφῇς εἰς τὰ ὀπίσω· πᾶς γὰρ ὁ ἐπιβαλὼν τὴν χεῖρα ἐπ' ἄροτρον καὶ στραφεὶς εἰς τὰ ὀπίσω, οὐκ ἔστιν εὔθετος εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. Τοῦτο οὖν γίνωσκε, ὅτι εἰς κόπον καὶ θλίψιν ἐκλήθης, οὐχὶ εἰς ἄνεσιν· καὶ γὰρ καὶ πεινᾶσαι ἔχεις καὶ διψᾶσαι, καὶ γυμνητεῦσαι, καὶ χαμαὶ κοιτῆσαι, καὶ ὑβρισθῆναι, καὶ βληθῆναι, καὶ διωχθῆναι, καὶ πάντα τὰ θλιβερὰ ἔχεις παθεῖν. Ἐὰν δὲ ὑπομείνῃς διὰ τὸν Θεόν, θάρσει, ὅτι πρὸς ὀλίγον ὁ κάματος, καὶ εἰς αἰῶνα αἰῶνος ἡ ἀνάπαυσις καὶ ἡ δόξα·

κτησώμεθα ταπεινοφροσύνην καὶ ὑπακοήν· καὶ γὰρ ὁ Κύριος καὶ Θεὸς διὰ τῆς ταπεινοφροσύνης κατέβαλε τὸν ὑπερήφανον διάβολον, ὑπήκουσε δέ, ταπεινώσας ἑαυτὸν μεχρὶ θανάτου, θανάτου δὲ σταυροῦ. Ἀναλάβωμεν πρὸς πάντας ἀγάπην, ἥτις ἐστὶ κεφάλαιον νόμου καὶ προφητῶν· περὶ ταύτης γὰρ ὁ Κύριος λέγει, ὅτι ἐν τούτῳ γνώσονται πάντες, ὅτι ἐμοὶ μαθηταὶ ἐστέ, ἐὰν ἀγάπην ἔχητε ἐν ἀλλήλοις ἐν φόβῳ Θεοῦ. Μισήσωμεν τὸν κόσμον καὶ τὰ ἐν αὐτῷ, ἀποστραφῶμεν πᾶσαν ἡδονὴν καὶ πᾶσαν σαρκικὴν ἐπιθυμίαν, ἀναλάβωμεν τὴν πανοπλίαν τοῦ Θεοῦ, πρὸς τὸ δύνασθαι ἡμᾶς στῆναι πρὸς τὰς μεθοδίας τοῦ διαβόλου, νήψωμεν, γρηγορήσωμεν, ὅτι ᾗ ὥρᾳ οὐκ οἴδαμεν ὁ Κύριος ἡμῶν ἔρχεται, εὐτρεπίσωμεν ἑαυτοὺς ὡς αἱ φρόνιμοι παρθένοι, ὅπως συνεισέλθωμεν αὐτῷ, μὴ ἀμελήσωμεν, ἵνα μὴ ἔξω μείνωμεν, ὡς αἱ μωραὶ παρθένοι κρούουσαι καὶ λέγουσαι· Κύριε, Κύριε, ἄνοιξον ἡμῖν, καὶ ἀκούσωμεν οὐκ οἶδα ὑμᾶς. Πᾶσαν τὴν μέριμναν ἡμῶν ἐπὶ τὸν Θεὸν ἐπιῤῥίψωμεν, ὅτι αὐτῷ μέλει περὶ ἡμῶν, ὅπως λυτρώσηται ἡμᾶς ἐκ πασῶν παγίδων τοῦ ἐχθροῦ καὶ σώσῃ ἡμᾶς εἰς τὴν βασιλείαν αὐτοῦ τὴν οὐράνιον, πρεσβείαις τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας καὶ πάντων τῶν ἁγίων αὐτοῦ νῦν καὶ ἀεί. Καὶ στραφεὶς ὁ ἱερεὺς σφραγίζει ἐπὶ τὴν κεφαλὴν τοῦ λαμβάνοντος τὸ σχῆμα γʹ, μετὰ δὲ τὸ κατασφραγίσαι αὐτόν, προσπίπτει ὁ κατηχούμενος ἕως τῆς συμπληρώσεως τῆς εὐχῆς καὶ κεφαλοκλισίας, καὶ στραφεὶς ὁ ἱερεὺς κατὰ ἀ ν α τ ο λ ά ς, τοῦ διακόνου λέγοντος· Τοῦ Κυρίου δεηθῶμεν, ἐπεύχεται αὐτὸς εἰς ἐπήκοον ταῦτα· Ὁ ὤν, Δέσποτα παντοκράτορ, ὕψιστε βασιλεῦ τῆς δόξης. Goar. p. 409. Лучшее чтенiе: ἀκατάσειστον θ ε μ ε λ ι ω μ έ ν ο ν ἐπὶ τὴν ἀκρότομον... Ὁ λαός· Ἀμήν. Ὁ ἱερεύς· Εἰρήνη πᾶσιν. Ὁ λαός· Καὶ τῷ πνεύματί σου. Ὁ διάκονος· Τὰς κεφαλάς. Ὁ ἱερεὺς εὔχεται· Ἅγιε Κύριε τῶν δυνάμεων p. 410 и варiанты: ὃν προσεκαλέσατο ἡ δ ε ξ ι ά σ ο υ εἰς τὸν πνευματικόν σου νυμφῶνα... τὰς ἐκ τῆς σαρκὸς ἐ π α ν α σ τ ά σ ε ι ς... Конецъ: ὅ π ω ς καταξιωθῇ τῆς οὐρανίου σου βασιλείας. Χάριτι καὶ οἰκτιρμοῖς... Εἶτα ἐγείρει αὐτὸν καὶ κρατήσας τῆς δεξιᾶς αὐτοῦ χειρός, εἰσφέρει ἐν τῷ θυσιαστηρίῳ καὶ ποιεῖ μετάνοιαν καὶ ἀνιστάμενος ἀσπάζεται τὸ ἅγιον εὐαγγέλιον, καὶ ἐκτείνας τὴν χεῖρα αὐτοῦ ὁ κατηχητής, λέγει πρὸς αὐτόν· Ἰδοὺ ὁ Χριστὸς ἀοράτως ἐνταῦθα πάρεστι... p. 410. Καὶ ὅταν συντάξηται, λέγει πρὸς αὐτὸν πάλιν ὁ ἱερεύς· Λάβε τὸ ψαλίδιον καὶ ἐπίδος μοι αὐτό. Καὶ ἐπιδόντος αὐτοῦ τὸ ψαλίδιον, λέγει πρὸς αὐτὸν ὁ ἱερεύς· Ἰδοὺ ἐκ τῆς χειρὸς τοῦ Χριστοῦ... Καὶ λαβὼν ὁ ἱερεὺς ἐκ τῶν χειρῶν αὐτοῦ τὸ ψαλίδιον, λέγει οὕτως· Εὐλογητὸς ὁ Θεός... καὶ κουρεύει αὐτὸν σταυροειδῶς, λέγων οὕτως· Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα κείρεται τὴν κόμην...

Καὶ εὐθέως παραλαμβάνουσιν αὐτὸν οἱ ἀδελφοὶ εἰς τὸ διακονικὸν καὶ κουρεύουσι, λέγοντες τὸν ἄμωμον, τοῦ τε ἱερέως ποιοῦντος τὴν εὐχὴν τοῦ Τρισαγίου, λέγει ὁ διάκονος συναπτὴν τοιαύτην· Ἐν εἰρήνῃ... Ὑπὲρ τῆς ἄνωθεν... Ὑπὲρ τοῦ ἁγίου οἴκου... Ὑπὲρ τοῦ ἀδελφοῦ ἡμῶν... и т. д. какъ у Гоара p. 412—413. Εἶτα (т. е. послѣ возгласа: Ὅτι ἅγιος εἶ) τὸ Τρισάγιον, προκείμενον, ἦχος γ'· Κύριος φωτισμός... Κύριος ὑπερασπιστής.. Ὁ ἀπόστολος πρὸς Κολοσσαεῖς ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα· Ἀδελφοί, ἐνδύσασθε ὡς ἐκλεκτοὶ τοῦ Θεοῦ... Τέλος· ᾄδοντες ἐν τῇ καρδίᾳ ὑμῶν τῷ Κυρίῳ. Ἀλληλουάριον, ἦχος πλ. δ'· Οὗτος ὁ πτωχὸς ἐκέκραξε. Εὐαγγέλιον· Ἐκ τοῦ κατὰ Ματθαῖον· Εἶπεν ὁ Κύριος, ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμέ. Τέλος· οὐ μὴ ἀπολέσει τὸν μισθὸν αὐτοῦ. Καὶ μετὰ τὸ ῥηθῆναι τὸ ἅγιον εὐαγγέλιον, φέρουσι τὸν ἀποκαρθέντα οἱ ἀδελφοὶ μέσον τῆς βασιλικῆς πύλης, φοροῦντα κολόβιον καὶ ἅπτοντα κηρόν, καὶ μετὰ τὴν συμπλήρωσιν τοῦ εὐαγγελίου ἄρχεται τὸ α' ἀντίφωνον, καὶ ἅπτουσιν οἱ παρόντες κηρούς, ἕως οὗ ὁ ἀσπασμὸς γένηται. Ἀντίφωνον α', ἦχος δ'· Ἤνοικται ἡ θύρα τῆς μετανοίας... Στίχος· Πρόσεχε ὁ λαός μου τὸν νόμον... Ὁ ζυγός μου χρηστός ἐστι... Δόξα καὶ νῦν, θεοτοκίον· Ἡ λαμπὰς ἡ ἄσβεστος... Ἀντίφωνον β', ἦχος γ'· Εὐαγγελικῆς φωνῆς... (ἀσκητικῷ θεσμῷ ἀνδρείως πορεύθητι εἰς ναὸν τοῦ Κυρίου). Στίχος· Ἰδοὺ δὴ τί καλόν... Ἐγγὺς Κύριος τοῖς ὑπομένουσιν αὐτόν... Δόξα καὶ νῦν, θεοτοκίον· Ἁγιόπρωτε σεμνή... Ἀρχομένου δὲ τοῦ γ' ἀντιφώνου, ἔρχεται πλησίον τῶν ἁγίων θυρίων. Ἀντίφωνον γ', ἦχος δ'· Ἀκολουθήσωμεν, ἀδελφοί... ἐπιθυμίας φύγωμεν πλάνον κόσμον καὶ κοσμοκράτορα, γενώμεθα καθαρῶς τοῦ ποιήσαντος ἡμᾶς... Στίχος· Ἐξαπόστειλον τὴν χεῖρά σου ἐξ ὕψους... Καὶ τούτου λεγομένου, κρατήσας τῆς χειρὸς αὐτοῦ ὁ ἱερεύς, εἰσάγει αὐτὸν εἰς τὸ βῆμα, καὶ λέγεται τροπάριον, ἦχος α'· Ὁ βασιλεὺς τῶν οὐρανῶν... (διὸ προθύμως συμφώνως πάντες προσέλθωμεν). Δόξα καὶ νῦν, θεοτοκίον· Χαίρεις παρ' ἡμῶν, ἁγία Θεοτόκε παρθένε... Goar. p. 415. Εἰσελθόντος δὲ αὐτοῦ εἰς τὸ βῆμα, ἐνδύει αὐτὸν ὁ ἀνάδοχος, λέγοντος τοῦ ἱερέως ταῦτα· Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα ἐνδύεται и т. д. Слова тѣже, что у Гоара pag. 411, но порядокъ въ одѣваніи одеждъ такой: ἱμάτιον, κουκούλιον, ἀνάλαβον, παλλίον, λῶρος и σανδάλια. Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα ἔλαβε τὸ μοναδικὸν σχῆμα ἐν ὀνόματι τοῦ Πατρός... Ἐνδυομένου δὲ αὐτοῦ, ψάλλεται τροπάριον, ἦχος δ'· Πρὸς Ἤνοικται ἡ θύρα τῆς μετανοίας. Ἐνδύσασθε χιτῶνα τῆς σωτηρίας... Στίχος· Αὕτη ἡ πύλη τοῦ Κυρίου... Στίχος β'· Ἀγαλλιᾶσθε τῷ Θεῷ... Στίχος γ'· Εἰσέλθετε ἐνώπιον αὐτοῦ... Στίχος δ'· Εἰσέλθετε εἰς τὰς πύλας αὐτοῦ... Δόξα καὶ νῦν, θεοτοκίον· Ἔχοντές σε,

Θεοτόκε, ἐλπίδα καὶ προστασίαν... Καὶ μετὰ τὸ ἀμφιασθῆναι αὐτόν, λέγει ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν, καὶ κλίνοντος αὐτοῦ τὸν αὐχένα, καὶ τοῦ ἱερέως ποιοῦντος τὰς ὑποτεταγμένας εὐχάς, ψάλλεται τροπάριον, ἦχος πλ. β'· Ἀγαλλιάσθω ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ... Στίχος· Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ... Στίχος β'· Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος... Στίχος γ'· Ἀγαλλιάσθωσαν ἐνώπιον τοῦ Θεοῦ... Δόξα καὶ νῦν, θεοτοκίον· Μονογενές, ὁμοούσιε τῷ Πατρί σου καὶ τῷ Πνεύματι. Αἱ δὲ εὐχαί, ἃς ποιεῖ ὁ ἱερεύς, εἰσὶν αὗται· Κύριος ὁ Θεὸς ἡμῶν, ὁ πιστὸς ἐν ταῖς ἐπαγγελίαις σου... p. 411. Βаріантъ: τῷ δὲ κουκουλίῳ τὴν ταπεινοφροσύνην περικεφαλαίαν σωτηρίου περιθέμενος. Ὁ λαός· Ἀμήν. Ὁ ἱερεύς· Εἰρήνη πᾶσιν. Καὶ τοῦ διακόνου λέγοντος· Τὰς κεφαλὰς ἡμῶν, ὁ ἱερεὺς ἐπεύχεται· Κύριε ὁ Θεὸς ἡμῶν, εἰσάγαγε τὸν δοῦλόν σου τόνδε p. 412. Καὶ μετὰ τὸ τελειῶσαι αὐτόν, ἐπαίρει ὁ διάκονος τὸ ἅγιον εὐαγγέλιον καὶ ἵσταται ἔξω τοῦ θυσιαστηρίου, καὶ προσκυνεῖ πρῶτον ὁ λαβὼν τὸ σχῆμα καὶ ἵσταται πλησίον τοῦ διακόνου, κατέχοντος τὸ εὐαγγέλιον, καὶ λοιπὸν διέρχονται πάντες οἱ ἀδελφοί, προσκυνοῦντες τὸ εὐαγγέλιον, καὶ εἶθ' οὕτως ἀσπάζονται αὐτόν. Ἐν δὲ τῷ ἀσπασμῷ ψάλλεται τροπάριον, ἦχος α'· Ἐπιγνῶμεν, ἀδελφοί, τοῦ μυστηρίου τὴν δύναμιν... Στίχος α'· Ἀγαπήσατε τὸν Κύριον πάντες οἱ ὅσιοι αὐτοῦ... Στίχος β'· Ἀγαλλιάσονται τὰ χείλη μου, ὅταν ψάλλωσι.., Στίχος γ'· Δεῦτε ἀκούσατε καὶ διηγήσομαι ὑμῖν... Δόξα καὶ νῦν, θεοτοκίον· Χαῖρε, Θεοτόκε παρθένε, χαῖρε καύχημα τῆς οἰκουμένης... Καὶ μετὰ τὸ γενέσθαι τὸν ἀσπασμόν, εἰσελθόντος αὐτοῦ εἰς τὸ θυσιαστήριον, ἄρχεται ὁ διάκονος· Εἴπωμεν πάντες, Κύριε ἐλέησον. Τελεσθείσης δὲ τῆς θείας λειτουργίας, ἅπτοντες οἱ ἀδελφοὶ κηρούς, συναπέρχονται μετὰ τοῦ νεοφωτίστου εἰς τράπεζαν, τῶν ἀναδόχων αὐτοῦ κατεχόντων τῆς δεξιᾶς χειρός, καὶ οὕτως αὐτὸν ὀφικεύοντες, ψάλλουσι τροπάριον, ἦχος δ'· Κύριε, Κύριε, ἐπίβλεψον ἐξ οὐρανοῦ... Στίχος α'· Ὁ ποιμένων τὸν Ἰσραὴλ πρόσχες... Στίχος β'· Ὁ καθήμενος ἐπὶ τῶν χερουβίμ... Στίχος γ'· Ἐξέγειρον τὴν δυναστείαν σου.., Στίχος δ'· Ὁ Θεός, ἐπίστρεψον ἡμᾶς καὶ ἐπίφανον.. Στίχος ε'· Ἀφῆκας τὰς ἀνομίας τῷ λαῷ σου... Στίχος ς'· Κύριε, καταφυγὴ ἐγεννήθης... Εἶτα ἀνισταμένου αὐτοῦ ἀπὸ τῆς τραπέζης, συναπέρχονται αὐτῷ εἰς τὴν ἐκκλησίαν, ψάλλοντες τὸ προγεγραμμένον τροπάριον· Κύριε, Κύριε, ἐπίβλεψον ἐξ οὐρανοῦ... Στίχος α'· Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου, Κύριε... Στίχος β'· Ἡ καρδία μου καὶ ἡ σάρξ μου... Στίχος γ'· Καὶ γὰρ στρουθίον εὗρεν ἑαυτῷ οἰκίαν... Τὰς δὲ ἑπτὰ ἡμέρας ὁ νεοφώτιστος προσκαρτερεῖ τῇ ἐκκλησίᾳ, σχολάζων ἀπὸ τῶν ἔργων, τῇ δὲ ἑβδόμῃ ἡμέρᾳ ποιεῖ αὐτῷ εὐχὴν ὁ ἱερεὺς καὶ ἀποκουκουλίζει αὐτόν.

л. 187. Εὐχὴ εἰς τὸ ἀποκουκουλίσαι. Goar. p. 419.

л. 188. Κατήχησις σύντομος λαμβάνειν ὁ μέλλοντος σχῆμα μοναχοῦ [1])· Τί προσῆλθες, ἀδελφέ, προσπίπτων τῷ ἁγίῳ θυσιαστηρίῳ; и далѣе, какъ въ чинѣ великой схимы, не раздѣляя вопросовъ отвѣтами; нѣтъ и оглашенія, но прямо послѣ: Βλέπε, τέκνον, οἵας συνθήκας δίδως... слѣдуютъ: Ταῦτα πάντα οὕτως καθομολογεῖς и молитва: Ὁ πανοικτίρμων οὖν Θεὸς καὶ πολυέλεος... Καὶ σφραγίζει ἐπὶ τὴν κεφαλὴν αὐτοῦ γ', καὶ τοῦ διακόνου λέγοντος· Τοῦ Κυρίου δεηθῶμεν, ὁ ἱερεὺς ἐπεύχεται· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἀξίους εἶναι νομοθετήσας τοὺς τὰ βιωτικά... Goar. pag. 385. Καὶ τοῦ διακόνου λέγοντος· Τὰς κεφαλάς, ἐπεύχεται ὁ ἱερεύς· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὴν παρθενίαν οὕτως ἀγαπήσας Goar. p. 389. Εἶτα ἐγείρει αὐτόν, καὶ κρατήσας τῆς δεξιᾶς χειρός, εἰσφέρει ἐν τῷ θυσιαστηρίῳ καὶ ποιεῖ μετάνοιαν, καὶ ἀνιστάμενος προσκυνεῖ τὸ ἅγιον εὐαγγέλιον, καὶ ἐκτείνας τὴν χεῖρα αὐτοῦ ὁ κατηχητής, λέγει· Ἰδοὺ ὁ Χριστὸς ἀοράτως... Καὶ ὅταν συντάξηται, λέγει πρὸς αὐτὸν ὁ ἱερεύς· Λάβε τὸ ψαλίδιον... Καὶ ἐπιδιδόντος τὸ ψαλίδιον, λέγει πρὸς αὐτὸν ὁ ἱερεύς· Ἰδοὺ ἐκ τῆς χειρὸς τοῦ Χριστοῦ.. Καὶ λαβὼν ὁ ἱερεὺς ἐκ τῆς χειρὸς αὐτοῦ τὸ ψαλίδιον, λέγει· Εὐλογητὸς ὁ Θεός... καὶ κουρεύει αὐτὸν σταυροειδῶς, λέγων· Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα κείρεται... Καὶ ἀπὸ τοῦ εὐαγγελίου εἰσερχομένου αὐτοῦ ἀπὸ (sic) κολοβίου ἐν τῷ θυσιαστηρίῳ, ἐνδύει αὐτὸν ὁ ἀνάδοχος, λέγοντος τοῦ ἱερέως ταῦτα· Ὁ ἀδελφὸς ἡμῶν ὁ δεῖνα ἐνδύεται χιτῶνα... Одежды: μαντίον, κουκούλιον, ἀνάλαβον, παλλίον, λῶρος, σανδάλια. Ἐνδυομένου δὲ αὐτοῦ, ψάλλεται τροπάριον, ἦχος δ'· Ἐνδύσασθε χιτῶνα τῆς σωτηρίας. Καὶ μετὰ τὸ ἀμφιασθῆναι αὐτόν, τοῦ διακόνου λέγοντος· Τοῦ Κυρίου δεηθῶμεν, καὶ κλίνοντος τὸν αὐχένα τοῦ λαμβάνοντος τὸ σχῆμα, ἐπεύχεται ὁ ἱερεύς· Κύριε ὁ Θεὸς ἡμῶν, ὁ πιστὸς ἐν ταῖς ἐπαγγελίαις σου. Goar. p. 411. Ὁ λαός· Ἀμήν. Ὁ ἱερεύς· Εἰρήνη πᾶσιν. Καὶ τοῦ διακόνου λέγοντος· Τὰς κεφαλάς, ὁ ἱερεὺς ἐπεύχεται· Κύριε ὁ Θεὸς ἡμῶν, εἰσάγαγε τὸν δοῦλόν σου τόνδε. Goar. p. 412.

л. 192. Ἀκολουθία ἐπὶ κουρεύματος μοναζούσης γυναικός [2]). Μετὰ τὴν ἀπόλυσιν τοῦ ὄρθρου, καθέζονται αἱ μονάζουσαι... (листъ вырванъ)

---

[1]) Въ оглавленіи эта статья называется: Ἑτέρας ἀκολουθίας κατήχησις σύντομος λαμβάνειν μέλλοντος σχῆμα μοναχοῦ, ἔχουσα εὐχὰς ε'. [2]) Въ оглавленіи: Ἑτέρα τάξις καὶ ἀκολουθία τῶν μοναζουσῶν, ἤγουν τὰ ψαλλόμενα κατὰ προσθήκην τῶν ἀνδρῶν τροπάρια καὶ οἱ λοιποὶ τόποι, ἔχουσα καὶ εὐχὰς τοῦ νιπτῆρος, αἱ δὲ λοιπαὶ ἐγράφη εἰς τὸ τῶν ἀνδρῶν Σχηματολόγιον.

(ὑ)ποτύπωσιν σωτηρίου ταπεινώσεως и т. д. первая молитва въ чинѣ омовенія ногъ, начинающаяся: Κύριε καὶ Θεὲ ὑπεράγαθε, ὁ ἀπρόσιτος τῇ θεότητι. Goar. pag. 592. Варіанты: συγκαταβάσεως ἀπομιμουμένους τὸ ὑπερένδοξον καὶ τοὺς τῆς ἁμαρτίας μολυσμοὺς ἀπονίψασθαι τὴν δούλην σου ἡ δεῖνα καταξίωσον διὰ τῆς τοῦ ὕδατος τούτου προσψαύσεως, ἵνα, καθαρὰ ψυχῇ τε καὶ σώματι γενομένη, εὐαρέστως σοι λατρεύσῃ. Ἐκφώνως· Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρί. Καὶ μετὰ τὸ Ἀμήν, Εἰρήνη πᾶσιν. Εὐχὴ β'· Δέσποτα Κύριε τῆς δόξης, ὁ ὑποδείξας ἡμῖν μέτρα ταπεινώσεως... Goar. p. 592. Варіанты: ἀναγορευσάμενος... διατήρησον ἀρρύπους ἀεὶ νιπ(τ)ομένους δάκρυσι καὶ καθαιρομένους τῷ φωτὶ τῆς καθαρτικῆς σου χάριτος, ἵνα, εἰλικρινῶς σοι πάντοτε προσπίπτοντες, εὐαρέστως σοι λατρεύωμεν. Ἐκφώνως· Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις... Καὶ μετὰ τὸ Ἀμήν, λέγει ὁ διάκονος· Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως. Εὐαγγέλιον κατὰ Ἰωάννην· Τῷ καιρῷ ἐκείνῳ, εἰδὼς ὁ Ἰησοῦς, ὅτι πάντα δέδωκεν αὐτῷ ὁ Πατήρ, ἕως· καὶ λαβὼν λέντιον, διέζωσεν ἑαυτόν. Καὶ ζώννυται ἡ ἡγουμένη λέντιον, εἶτα βάλλει ὕδωρ εἰς τὸν νιπτῆρα ἕως· ᾧ ἦν διεζωσμένος· καὶ εὐθὺς ἄρχεται νίπτειν τὴν μέλλουσαν κουρευθῆναι, καὶ ψάλλουσι στιχηρά, ἦχος δ'· Νίψον μου τοὺς πόδας, τιμία μου μῆτερ, καὶ ὑπόδησόν μου τὸ ὑπόδημα τῆς σωφροσύνης, ἵνα μὴ ἐλθὼν ὁ ἐχθρός, εὕρῃ τὴν πτέρναν μου γυμνὴν καὶ ὑποσκελίσῃ τὰ διαβήματά μου. Στίχος α'· Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου. Τὸ αὐτό. Στίχος β'· Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας καὶ... Τὸ αὐτό. Δόξα καὶ νῦν, Ἔχοντές σε, Θεοτόκε, ἐλπίδα καὶ προστασίαν. Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς... Εὐαγγέλιον β' κατὰ Ἰωάννην· Τῷ καιρῷ ἐκείνῳ, ὅτε ἔνιψεν ὁ Ἰησοῦς τοὺς πόδας τῶν μαθητῶν. Goar. pag. 593. Καὶ οὕτως τροπάριον, ἦχος πλ. β'· Πρὸς Ἄβυσσος ἐσχάτη. Κύριον φωνεῖτε, ὦ μαθηταί, καὶ διδάσκαλόν με· καὶ γὰρ πέφυκα, Χριστέ, ἐβόας, διὸ μιμεῖσθε τὸν τύπον, ὃν τρόπον ἐν ἐμοὶ ἐθεάσασθε. Στίχος· Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι, πλυνεῖς με.. Καὶ τούτου λεγομένου, ῥαντίζουσι τὰ ἑαυτῶν πρόσωπα ἥ τε ἡγουμένη καὶ αἱ μονάζουσαι ἐκ τοῦ ὕδατος τοῦ νιπτῆρος, καὶ οὕτως εἰσέρχονται ἐν τῇ ἐκκλησίᾳ καὶ ψάλλουσι τροπάρια τῆς ε' ᾠδῆς τῆς μεγάλης παρα-

---

Чинъ этотъ въ славянскомъ переводѣ напечатанъ проф. Н. Красносельцевымъ въ книгѣ: «Къ исторіи православнаго богослуженія. По поводу нѣкоторыхъ церковныхъ службъ и обрядовъ, нынѣ неупотребляющихся». Казань, 1889, стр. 151—169.

σκευῆς Πρὸς· Πρός σὲ ὀρθρίζω... Ῥυφθέντες πόδας[1]... Δόξα καὶ νῦν· Μεγάλων χαρισμάτων, ἁγνὴ Παρθένε μόνη Μήτηρ... καὶ εὐθέως ἐκτενή. Ἀρχομένης δὲ τῆς λειτουργίας, μετὰ τὸ Ἀγκάλας πατρικάς, ἄρχονται ψάλλειν στιχηρὰ ἰδιόμελα, ἀντίφωνον α'· (Ἤ)θελον δάκρυσιν ἐξαλεῖψαι. Στίχος· Ὡς ἀγαπητὰ τὰ σκηνώματα. Πάντας θέλων σώζεσθαι ὁ μόνος φιλάνθρωπος Κύριος καὶ Θεὸς ἡμῶν, σὲ νῦν προσδέχεται, ὦ παρθένε, τὴν ταύτην ἐξ ὅλης ψυχῆς ἀγαπήσασαν· αὐτῷ σεμνὸν δεῖξον βίον, εὐαρεστῆσαι προθυμουμένη, κράζουσα· πρὶν ἀπόλλωμαι, Κύριε, σῶσόν με. Στίχος· Ἐξελεξάμην παραῤῥιπτεῖσθαι. Ἄνοιξον σπλάγχνα φιλανθρωπίας, Ἰησοῦ Χριστὲ ὁ Θεός, τῇ ποθούσῃ σε, δέξαι με, θέλουσάν σου ὀπίσω τοῦ τερπνοῦ νυμφίου μου ἕπεσθαι, μὴ τῷ ἐχθρῷ συγχωρήσῃς χάριν ἐμοῦ ἐγκαυχᾶσθαι· Κύριε, μή με παρίδῃς, μὴ ἀπώσῃ τὴν δούλην σου. Δόξα καὶ νῦν, Ῥῦσαι ἡμᾶς ἐκ τῶν ἀναγκῶν ἡμῶν. Ἀντίφωνον β', ἦχος δ'· Ποῦ ἐστιν ἡ τοῦ κόσμου προσπάθεια. Στίχος· Ζήσεται ἡ ψυχή μου καὶ αἰνέσει σε καὶ τὰ κρίματα. Σταύρωσον τὰ μέλη, φιλόχριστε, νέκρωσον τὰ πάθη τῇ ἐγκρατείᾳ, καὶ τῷ νυμφίῳ σου προσδραμοῦσα, κράζον· ποῦ ποιμένεις, νυμφίε, ποῦ δὲ καὶ κοιτάζεις, εἰπέ μοι, ὅτι σὲ ποθοῦσα προσέδραμον, ἐπ' ὤμων τὸν σταυρόν σου ἀραμένη, ἵνα εἰσέλθω εἰς τὸν νυμφῶνα, λαμπαδηφοροῦσα, ὡς παρθένος ἁγνή. Στίχος· Ἐπλανήθην ὡς πρόβατον ἀπολωλός. Θέκλαν ἐκμιμοῦμαι τὴν μάρτυρα, Παύλῳ δὲ πεισθεῖσα ἀνακράζω· ἐκδυσαμένη τὴν παλαιάν μου στολήν, ἥν μοι ἡ τοῦ ὄφεως πλάνη πάλαι κατεσκεύασε δεινῶς, νῦν δὲ προστρέχω τῷ Κυρίῳ μου καὶ ἀναλαμβάνω τὸν σταυρὸν αὐτοῦ, τὸν τῆς ἀφθάρτου βασιλείας καὶ χιτῶνα καὶ στολισμὸν καὶ περιβόλαιον. Δόξα καὶ νῦν, Ἡ λαμπὰς ἡ ἄσβεστος. Ἀρχομένου δὲ τοῦ τρίτου ἀντιφώνου, ἔρχεται ἡ μέλλουσα κουρεύεσθαι ἔμπροσθεν τῶν ἁγίων θυρῶν, καὶ ψάλλονται στιχηρά, ἦχος δ'· Κύριε, ἄνοιξον τὰς πύλας τοῦ νυμφῶνος τῇ δούλῃ σου, πίστει καὶ πόθῳ προσπιπτούσῃ, καὶ ἀξίωσον αὐτήν, Παντοδύναμε, τῆς ἁγίας σου κλήσεως, καὶ συναρίθμησον αὐτὴν τῇ ποίμνῃ σου, Ἰησοῦ ὁ Θεὸς ἡμῶν, ὁ θέλων σῶσαι πάντας ἡμᾶς. Στίχος· Ἀνοίξατέ μοι πύλας δικαιοσύνης, εἰσελθὼν ἐν αὐταῖς. Κύριε, ὅπλα μοι παράσχου κατὰ τοῦ πολεμήτορος· πίστιν, ἐλπίδα καὶ ἀγάπην, καὶ ἐνίσχυσόν με, Παντοδύναμε, κατ' αὐτοῦ, ὡς φιλάνθρωπος, ἵνα, νικήσασα αὐτόν, πατήσω καὶ συντρίψω, Ἰησοῦ ὁ Θεὸς ἡμῶν, ὁ θέλων σῶσαι πάντας ἡμᾶς. Στίχος· Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ. Καὶ τούτου λεγομένου, πίπτει εἰς τὰ ἅγια θυρία ἡ κουρευομένη μέχρι συπληρώσεως τοῦ θεοτοκίου· ψάλλουσι δὲ στιχη-

[1]) Для другихъ тропарей оставлено лишь мѣсто, а въ самой рукописи они не написаны.

ρόν, ἦχος δ'· Δεῦτε πρός με πάντες οἱ κοπιῶντες. Δόξα καὶ νῦν, Ὁ διὰ σὲ θεοπάτωρ προφήτης. Καὶ μετὰ τὴν συμπλήρωσιν τοῦ θεοτοκίου, ἀνιστᾷ αὐτὴν ὁ ἱερεὺς καὶ ἐπερωτᾷ· Τί προσῆλθες, ἀδελφή, προσπίπτουσα καὶ τὰ ἑξῆς. Καὶ μετὰ τὸ λαβεῖν ἐκ τῶν χειρῶν αὐτῆς τὸ ψαλίδιον καὶ ἀποθρίξαι αὐτήν, λαμβάνουσιν αὐτὴν αἱ ἀδελφαὶ καὶ φέρουσιν εἰς τὸ διακονικὸν καὶ κουρεύουσιν αὐτήν, ψάλλουσαι τὸν ἄμωμον, καὶ εἰς τὸ Ἀλληλούϊα εἰσάγουσιν αὐτὴν μετὰ λαμπάδων καὶ τοῦ τελευταίου χιτῶνος, ἄζωστον, ἄσκεπον καὶ ἀνυπόδετον ἔσωθεν τῶν βασιλικῶν πυλῶν. Καὶ μετὰ τὴν συμπλήρωσιν τοῦ ἁγίου εὐαγγελίου ἄρχονται, ψάλλοντες ἀντίφωνον α', ἦχος γ'· Εὐαγγελικῆς φωνῆς σπουδαίως πρόσταγμα νῦν πεπλήρωκας, καταλιποῦσα πᾶσαν συγγένειαν, καὶ τὸν σταυρὸν ἐπ' ὤμων σου ἀραμένη, ἀσκητικῷ θεσμῷ ἀνδρείως πορεύθητι, ἀθλοῦσα νομίμως εἰς ναὸν τῆς Θεοτόκου, καὶ τῷ ἁγίῳ σχήματι σήμερον Χριστὸς κατακοσμίσει σε, ὁ παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος. Στίχος· Ἀρχὴ σοφίας φόβος Κυρίου, σύνεσις δὲ ἀγαθὴ πᾶσι τοῖς ποιοῦσιν αὐτήν. Ἀρχὴ ὁδοῦ ἀγαθῆς φοβεῖσθαι Κύριον, διό, παρθένε σεμνή, νῦν πρόσελθε αὐτῷ εὐσεβῶς, καὶ λάβε τὴν πανοπλίαν τοῦ ἀγγελικοῦ σχήματος, μετὰ φόβου καὶ πόθου δουλεύουσα αὐτῷ, ἵνα λάβῃς παρ' αὐτοῦ μετὰ τῶν πέντε φρονίμων παρθένων τὸ μέγα ἔλεος. Στίχος· Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου. Ἐγγὺς Κύριος τοῖς ὑπομένουσιν αὐτόν, ἀγαθὸν γυναικί, ὅταν ἄρῃ ζυγὸν ἐκ νεότητος αὐτῆς ἐπὶ τὸ αὐτό, κατὰ μόνας ἐπ' ἐλπίδι οἰκήσῃ. Δόξα καὶ νῦν, Ἁγιόπρωτε σεμνή, ἐγκώμιον οὖσα τῶν οὐρανίων ταγμάτων. Ἀντίφωνον β', ἦχος δ'· Χριστός με προσκαλεῖται εἰς τὸν νυμφῶνα αὐτοῦ, νοητῶς ὑποδεικνύων μοι τὴν στενὴν καὶ τεθλιμμένην ὁδόν· δι' αὐτὸν γὰρ ἀπαρνοῦμαι πάντα κόσμον καὶ τὴν στολὴν τὴν ἐπίκηρον, ὡς Θέκλα ἀποδύομαι καὶ περιβάλλομαι στολὴν τὴν ἄφθαρτον, ἀπαύστως ψάλλουσα· ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου, Κύριε, καθήλωσα σὺν τοῖς παθήμασι σάρκα καὶ προσπάθειαν, καὶ νοῦν, καὶ καρδίαν, καὶ συσταυροῦμαί σοι τῷ ζωοδότῃ Θεῷ, Αὐτός, πολυεύσπλαγχνε, τὸν χιτῶνα τὸν ἄφθαρτον περίβαλέ με, μόνε Σωτήρ. Στίχος· Ἰδοὺ δὴ τί καλὸν ἢ τί τερπνόν, ἀλλ' ἢ τὸ κατοικεῖν. Καὶ τούτου λεγομένου, ἔρχεται ἡ κουρευθεῖσα μέχρι τοῦ ἄμβωνος, καὶ ψάλλουσι στιχηρόν, ἦχος δ'· Τῆς ἐναρέτου πολιτείας ἤδη, παρθένε, ἠξίωσαι, τὴν ψυχὴν καὶ τὸ σῶμα προσενεγκοῦσα τῷ Δεσπότῃ, Αὐτὸς δὲ ὁ δεξάμενος τὰς συνθήκας σου, ἐν τῇ παστάδι τῇ ἐπουρανίῳ τὴν μερίδα σου κατατάξειεν, ὡς φιλάνθρωπος. Στίχος· Ὅτι ἐκεῖ ἐνετείλατο Κύριος τὴν εὐλογίαν (καὶ) ζωὴν ἕως τοῦ αἰῶνος. Σήμερον εὐφραίνονται θεῖαι δυνάμεις, βλέπουσαι, παρθένε, τὴν σὴν φαιδρὰν ἀναγέννησιν, χαίρει δὲ καὶ ὁ κάλλει εὐπρεπὴς Χριστὸς νυμφίος

ὁ σός, Αὐτῷ τὴν παρθενίαν σπεῦσον συντηρῆσαι, ἵνα εὕρῃς ἐν νυμφῶνι οὐρανίῳ τὴν ἀνάπαυσιν. Ἔχοντές σε, Θεοτόκε, ἐλπίδα καὶ προστασίαν ἐχθρῶν. Ἀντίφωνον γ', ἦχος πλ. δ'· Τὰ τῶν ἀγγέλων στρατεύματα ἐξίστανται ἐπὶ τῷ τελουμένῳ σήμερον ἐν τῇ συνταγῇ σου· Χριστῷ προσῆλθες γὰρ σεμνή, καὶ τὴν κόμην σου ἀποκείρασα, ὥσπερ Θέκλα διὰ τοῦ Παύλου αὐτῷ ἐνυμφεύθης, ὅθεν, φιλόχριστε, μετὰ πόθου δέχου καὶ τὸ σχῆμα τῆς οὐρανίου ζωῆς—Καὶ τούτου ψαλλομένου, ἔρχεται ἡ κουρευθεῖσα ἔμπροσθεν τῶν ἁγίων θυρῶν, καὶ ψάλλεται στιχηρὸν πλ. β'. Πρός· Ὁ ἀναβαλλόμενος. Στίχος· Εἰσέλθετε εἰς τὰς πύλας αὐτοῦ ἐν ἐξομολογήσει. Ὁ ἀναβαλλόμενος φῶς, ὡς ἱμάτιον, Αὐτὸς ὁδός μοι ὤφθη καὶ θύρα σωτηρίας, χεῖρας ὑφαπλώσας μοι, σήμερον ἐναγκαλίζεται καὶ βοᾷ· δεῦρο νυμφεύθητί μοι, θύγατερ· ἡρμοσάμην γάρ σε διὰ τῆς Παύλου Θέκλᾳ διδαχῆς· ὢ τοῦ θαύματος, δίχα προικὸς νυμφοστολεῖ με καὶ συνεισάγει με ἄνευ νυμφεύσεως, καὶ προῖκα ἐνοπρεπῆ χαρίζεταί μοι, κἀγὼ ἐνυμφεύθην Αὐτῷ, λαβοῦσα τὸ ἐπάγγελμα. Στίχος· Ἐξαπόστειλον τὴν χεῖρά σου ἐξ ὕψους, ἐξελοῦ με καὶ ῥῦσαί με ἐκ χειρὸς υἱῶν ἀλλοτρίων. Καὶ τούτου λεγομένου, κρατήσας τῆς χειρὸς αὐτῆς, ὁ ἱερεὺς εἰσάγει αὐτὴν εἰς τὸ θυσιαστήριον, καὶ ψάλλουσι στιχηρόν, ἦχος α'. Πρός· Ὁ βασιλεὺς τῶν οὐρανῶν. Ὁ βασιλεὺς τῶν οὐρανῶν τὰς χεῖρας ὑφαπλώσας, ἡμᾶς προσκαλεῖται εἰς τὴν ἄνω πόλιν, Οὗτος τοῖς κρούουσιν ἀνοίγει τὸν νυμφῶνα, Οὗτος τοῖς ζητοῦσιν εὑρίσκεται. Θεὸς ὤν, διό, παρθένε, προθύμως δεῦρο νυμφεύθητι ἀφθάρτως, γάμος πρόκειται, οὗ ὁ νυμφὼν ἀχειροποίητος, οὗ ἡ στολὴ οὐρανοΰφαντος, Οὗτος ὡραῖος κάλλει, Αὐτός ἐστι, προσέλθωμεν καὶ λάβωμεν ἄφεσιν καὶ τὸ μέγα ἔλεος ταῖς ψυχαῖς ἡμῶν.—Χαίροις παρ' ἡμῶν, ἁγία Θεοτόκε παρθένε. Εἰσελθούσης δὲ αὐτῆς ἐν τῷ θυσιαστηρίῳ καὶ τῶν ἀναδόχων λαμβανόντων τὰ ἱστάτια (ἱμάτια?) ἐκ τοῦ θαλλασιδίου, ἐνδύουσιν αὐτήν, λέγοντος τοῦ ἱερέως· Ἡ ἀδελφὴ ἡμῶν ἡ δεῖνα ἐνδύεται τὸν χιτῶνα καὶ τὰ ἑξῆς, καθὼς ἐγράφη καὶ εἰς τὸ ἀνδρεῖον. Ἐνδυομένης δὲ αὐτῆς, ψάλλουσι τροπάριον, ἦχος δ'· Ἐνδύσασθε χιτῶνα τῆς σωτηρίας. Στίχος α'· Αὕτη ἡ πύλη Κυρίου, δίκαιοι. Στίχος β'· Ἀγαλλιᾶσθω τῷ Θεῷ τῷ βοηθῷ. Στίχος γ'· Εἰσέλθετε ἐνώπιον αὐτοῦ ἐν ἀγαλλιάσει. Ἔχοντές σε, Θεοτόκε, ἐλπίδα. Καὶ μετὰ τὸ ἐνδύσασθαι αὐτήν, ποιεῖ ὁ ἱερεὺς εὐχὰς γ'. Ζήτει ταύτας εἰς τὸ ἀνδρεῖον. Καὶ τῆς πρώτης εὐχῆς ἀρχομένης, ψάλλεται στιχηρόν, ἦχος πλ. β'· Ἀγαλλιάσθω ἡ ψυχή μου. Ἄλλον ψαλλόμενον εἰς γυναῖκας, ἦχος πλ. β'· Συγχάρητέ μοι, πᾶσαι ἐν Χριστῷ ἀδελφαί, καὶ μελῳδοῦσαι εὐχαριστήσωμεν Χριστῷ τῷ Θεῷ, ὅτι σήμερον πληροῦται ἐν ἐμοί· αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος· ἰδοὺ γὰρ ὀνομάζομαι νύμφη θεόκλητος,

ἀγαλλιάσθω ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ· ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου καὶ χιτῶνα εὐφροσύνης, καὶ πλήρη με ἐποίησεν χαρᾶς καὶ κατανύξεως, Αὐτὸν δοξολογοῦσα καθικετεύω, ὑπεράγαθε Κύριε, ἀξίαν με ἀνάδειξον τοῦ σοῦ νυμφῶνος, μόνε Σωτήρ. Στίχος α'· Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν. Στίχος β'· Ἀγαλλιάσθωσαν ἐνώπιον τοῦ Θεοῦ. Δόξα καὶ νῦν, Μεγάλων χαρισμάτων. Καὶ μετὰ ταῦτα ἐξέρχεται ὁ διάκονος, κατέχων τὸ εὐαγγέλιον ἔξω τῶν ἁγίων θυρῶν, καὶ ἀσπάζεται πρῶτον ἡ νεοφώτιστος, ἔπειτα ἡ ἡγουμένη καὶ καθ' ἑξῆς αἱ ἀδελφαί. Ἐν δὲ τῷ ἀσπάζεσθαι ψάλλεται στιχηρὸν ἰδιόμελον, ἦχος α'· Ἐπιγνοῦσαι, ἀδελφαί, τοῦ μυστηρίου τὴν δύναμιν, ὅτι τὴν ἐκ τῆς ἁμαρτίας πρὸς πνευματικὴν ἑστίαν ἀναδραμοῦσαν ἀμνάδα ἱεράν, ὁ πανάγαθος νυμφίος προϋπαντήσας ἀσπάζεται, καὶ ταύτῃ τῆς οἰκείας δόξης χαρίζεται τὰ γνωρίσματα, καὶ μυστικὴν τοῖς ἄνω ἐπιτελεῖ εὐφροσύνην, χαίρων τῇ ταύτης ἐπιστροφῇ, σπεύσωμεν καὶ ἡμεῖς ἀξίως πολιτεύσασθαι τοῦ προσδεξαμένου φιλανθρώπου Θεοῦ, καὶ παρέχοντος ἀεὶ σωτηρίαν ταῖς ψυχαῖς ἡμῶν. Στίχος α'· Ἀγαπήσατε τὸν Κύριον πάντες οἱ ὅσιοι αὐτοῦ. Στίχος β'· Ἀγαλλιάσεται τὰ χείλη μου, ὅταν ψάλλω σοι. Στίχος γ'· Δεῦτε ἀκούσατε καὶ διηγήσομαι ὑμῖν. Δόξα καὶ νῦν, Χαῖρε, Θεοτόκε παρθένε, χαῖρε καύχημα τῆς οἰκουμένης. Ζήτει, ἐὰν κοινωνῇ καὶ ποῦ καὶ πότε Μετὰ δὲ τὴν ἀπόλυσιν τῆς λειτουργίας, ἐξέρχονται αἱ μονάζουσαι ἅμα τῇ νεοφωτίστῳ εἰς τὴν τράπεζαν καὶ ψάλλουσι κατὰ τὴν ὁδὸν στιχηρόν, ἦχος δ'· Κύριε, Κύριε, ἐπίβλεψον. Στίχος α'· Ὁ ποιμένων τὸν Ἰσραήλ. Στίχος β'· Ἐξέγειρον τὴν δυναστείαν σου... Στίχος γ'· Ὁ Θεός, ἐπίστρεψον ἡμᾶς καὶ ἐπίφανον. Δόξα καὶ νῦν, Ἡ λαμπὰς ἡ ἄσβεστος. Τὸ αὐτὸ καὶ μετὰ τὸ ἀναστῆναι ἀπὸ τῆς τραπέζης, ἀπερχομένης αὐτῆς ἐν τῇ ἐκκλησίᾳ. Ἐσθιουσῶν δὲ αὐτῶν, ψάλλουσι στιχηρὰ κατὰ ἀλφάβητον Ἀνδρέου Κρητός, ἦχος πλ. α'· Ἀνάλαβε, παρθένε, τὴν πανοπλίαν τοῦ Χριστοῦ, βάδιζε τρίβον ἀκλινῶς τῶν ἐντολῶν αὐτοῦ, σεμνή, γνῶθι τὴν κλῆσιν, ἐν ᾗ σὲ κέκληκεν Αὐτός, δράμε, δίωξον, φθάσον τῆς οὐρανῶν βασιλείας τὸν νυμφῶνα, βοῶσα· ὦ Χριστέ μου, θεῖε Λόγε, τὴν ψυχήν μου στήριξον, σοὶ προστρέχειν, σοὶ δουλεύειν, σοῦ συντηρεῖν τὰς ἁγίας ἐντολάς.—β'· Ἐνδέδυσαι χιτῶνα τῆς μετανοίας τὴν στολήν, ζώνῃ περίζωσαι ὀσφὺν τῆς σωφροσύνης τὸν δεσμόν· ηὗρες γὰρ τρίβον τὴν σὲ προσφέρουσαν Θεῷ, θύρα σοι ἤνοικται, θάρσει, πρὸς ἀσφαλῆ σωτηρίαν, μὴ σιγήσῃς βοῶσα· ὦ Χριστέ μου, θεῖε Λόγε, τὴν ψυχήν μου στήριξον.—Ἰδοὺ Χριστῷ ἐνυμφεύθη τῷ ἀθανάτῳ βασιλεῖ, κόσμον περίβαλε σαυτῇ τὸν (sic) διαυγῆ τῶν ἀρετῶν, λαμπάδι ἔργων φαιδρῶν ἀπάντησον Αὐτῷ, μέλλει ἔρχεσθαι, νῆφε, ὁ σὸς νυμφίος· παρθένε, μὴ νυστάξῃς, βοῶσα· ὦ Χριστέ μου, θεῖε Λόγε,

τὴν ψυχήν μου στήριξον σοὶ προστρέχειν.—Νεκρώθητι τῷ βίῳ, ἵνα συζήσῃς τῷ Χριστῷ, ξένην ποίησον σαυτὴν φιληδονίας τῶν ἐν γῇ, ὄμμα δὲ στῆσον μὴ βλέπειν ὅλως πονηρά, πρόφθασον ἀπολαῦσαι τῆς οὐρανῶν βασιλείας τοῦ νυμφῶνος, βοῶσα, ὦ Χριστέ μου, θεῖε Λόγε, τὴν ψυχήν μου στήριξον.—Ῥᾳστώνην τὴν τοῦ βίου καταλιποῦσα, ὦ σεμνή, στενοχωρίᾳ τῆς σαρκὸς ψυχήν σου πλάτυνον Θεῷ, τρέχε γενναίως· αὐτὸν γὰρ ἔχεις συνεργόν, ὑπομονῇ καὶ ἐλπίδι τῶν οὐρανίων τραφεῖσα ἀγαθῶν ἐκβοῶσα, ὦ Χριστέ μου, θεῖε Λόγε, τὴν ψυχήν μου στήριξον σοὶ προστρέχειν.—Φυλάττειν, ὦ Παρθένε, σὺ διδαχθεῖ(σ)α ἐντολάς, χαῖρε, εὐφραίνου τῇ ψυχῇ, ἀγαλλομένη ἐν Χριστῷ, ψαλμοῖς καὶ ὕμνοις αὐτὸν γεραίρουσα πιστῶς, ὡς Θεὸν καὶ Σωτῆρα καὶ βασιλέα τῆς δόξης, ἀσιγήτως βοῶσα· ὦ Χριστέ μου, θεῖε Λόγε, τὴν ψυχήν μου στήριξον, σοὶ προστρέχειν, σοὶ δουλεύειν.—Τοῦ αὐτοῦ ἄλλα, ἦχος ὁ αὐτός· Ἁγνὸς ὑπάρχει ὁ γάμος ἀμίαντος, ὦ παρθένε, ἄσβεστόν σου τὴν λαμπάδα διατήρει καθ' ἑκάστην, ἀγρύπνει προσδεχομένη τὴν ἔλευσιν τοῦ νυμφίου, μὴ νυστάξῃς τοῖς πάθεσι καὶ στερηθῇς τῆς εἰσόδου, τῆς σοφίας τοὺς λόγους ἄκουε, νύμφη, εἰς ὑπάντησίν σοι προτρέπει τοῦ ἀμωμήτου νυμφίου.—Ἐν δὲ τῷ μέλλειν ἀναστῆναι τῆς (τρα)πέζης, ψάλλουσι στιχηρόν, ἦχος βαρύς· Εἰ καὶ τὸν ἔξωθεν ἀπεδύσω χιτῶνα, ἀλλὰ ἔνδον μὴ ἀποδύσῃ, ὦ παρθένε, ἐὰν γὰρ ὑπάρχῃς ἐνδεδυμένη τοῦτον, πειρασμός σου οὐκέτι κυριεύσει· βλέπε οἵων ῥημάτων ἤκουσας, βλέπε οἵῳ νυμφίῳ συνηρμόσθης, βλέπε οὖν τὸν ἐχθρὸν μὴ γυμνώσῃ σε, ὡς τὸν Ἀδὰμ καὶ τὴν Εὔαν, καὶ ξένην ποιήσῃ σε τῆς βασιλείας, ὡς ἐκείνους τοῦ παραδείσου· συνετάξω γὰρ τῷ Χριστῷ, τὸ πνεῦμα τὸ ἅγιον στηρίξει τὴν ψυχήν σου. Δόξα, καὶ ψάλλεται στιχηρόν, ἦχος δ'· Ὁ πάνσοφός μοι Παῦλος νυμφαγωγεῖ εἰς οὐρανοὺς μυστικῶς, ἐπικομίζων μοι τοὺς ἀρραβῶνας τοῦ Χριστοῦ· δι' αὐτὸν γάρ μοι κόσμος ἐσταύρωται, κἀγὼ τῷ κόσμῳ νενέκρωμαι καὶ συνάπτομαι τῷ ἀφθάρτῳ νυμφίῳ μου ἐν ὕμνοις κραυγάζουσα, λύχνος τοῖς ποσί μου ὁ νόμος σου, καὶ φῶς ταῖς τρίβοις μου, Κύριε, κατεύθυνόν μου τὰ διαβήματα, καὶ ὅλην με ἁγίασον σώματι καὶ πνεύματι, καὶ νικηφόρον με τοῖς ἐχθροῖς ἀνάδειξον, καὶ ἀξίωσόν με, παντοδύναμε, τὸν τῆς νίκης στέφανον κομίσασθαί με, μόνε Σωτήρ. Καὶ νῦν θεοτοκίον. Καὶ μετὰ τοῦτο ἐγείρονται τῆς τραπέζης, καὶ λαβοῦσα τῆς χειρὸς αὐτῆς ἡ ἡγουμένη ἀπάγει αὐτὴν εἰς τὴν ἐκκλησίαν, ὀφικευουσῶν τῶν μοναζουσῶν μετὰ κηρῶν καὶ ψαλλουσῶν, στιχηρόν, ἦχος δ'· Κύριε, Κύριε, ἐπίβλεψον ἐξ οὐρανοῦ. Δόξα καὶ νῦν. Ἡ λαμπὰς ἡ ἄσβεστος, ὁ θρόνος τῆς δικαιοσύνης.

л. 197 об. Τὰ λείποντα τροπάρια εἰς τὸ σχῆμα τῶν ἀνδρῶν· Πρὸ τοῦ εὐαγγελίου εἰς τὸ β′ ἀντίφωνον τῶν ἀνδρῶν τροπάριον β′, ἦχος δ′· Πλῦνόν με τοῖς δάκρυσί μου, Σωτήρ, ὅτι ῥερύπομαι ἐν πολλαῖς ἁμαρτίαις... Στίχος· Ἀπὸ τῶν ἀνατολῶν καὶ δυσμῶν... Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου, Κύριε, μὴ χωρίσῃς με τῶν καλῶν προβάτων σου... Ἀντίφωνον β′. Μετὰ τὸ τέλος τοῦ εὐαγγελίου τροπάριον β′, ἦχος γ′· Ἀρχὴ ὁδοῦ ἀγαθῆς φοβεῖσθαι τὸν Κύριον... Ἀντιφώνου γ′, τροπάριον β′, ἦχος δ′· Νῦν ὁ παράδεισος ἀληθῶς ἀνοικτὸς ὑμῖν τοῖς ποθοῦσιν εἰσελθεῖν ἐν αὐτῷ... Τροπάριον β′, ψαλλόμενον ἀπὸ τοῦ εὐαγγελίου, ἐνδυομένου τοῦ ἀποκαρέντος, μετὰ τὸ εἰπεῖν· Ἐνδύσασθε χιτῶνα τῆς σωτηρίας. Σήμερον τῆς βασιλείας τὴν ὁδὸν ἡμῖν ὑποδείκνυσιν...

л. 198 об. Ἀκολουθία καὶ τυπικὸν τοῦ ἁγίου λού(σ)ματος τῶν Βλαχερνῶν[1]).

Τῇ ε′ ἑσπέρᾳ εἰς τὸ λυχνικὸν ἄρχεται ὁ πρωτεμβατάτης· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε... Καὶ λέγουσι τὸν ψαλμόν· Εὐλόγει ἡ ψυχή μου, καὶ ἄρχεται ὁ αὐτὸς τὸ Κύριε ἐκέκραξα, καὶ τελειοῦται τὸ λυχνικὸν τῆς ἡμέρας. Μετὰ τὸ ποιῆσαι αὐτὸν τὴν ἐκτενήν, καὶ ἐὰν συμφθάζουσιν οἱ δέκαρχοι τὸν δεῖπνον αὐτῶν, φέρουσι τὰ κηρία, ὁ δὲ πρωτεμβατάτης βάλλει θυμίαμα ἐν τῷ θυμιατηρίῳ καὶ ἀπέρχεται εἰς τὰ προβαλλακτά, καὶ θυμιῶν τὴν ἁγίαν στακτήν, ἐξέρχεται δὲ ὁ περιχύτης ὁ ἑβδομάριος καὶ λαμβάνων τὸ θυμιατήριον ἐκ τῶν χειρῶν τοῦ πρωτεμβατάτου, εἰσέρχεται ἔσω καὶ θυμιᾷ, ποιεῖ δὲ ὁ πρωτεμβατάτης εἰς τὴν κεφαλὴν τοῦ περιχύτου, λέγων· Παναγία Τριὰς ὁ Θεὸς ἡμῶν, εὐλόγησον καὶ κατεύθυνον τὰ ἔργα τῶν χειρῶν ἡμῶν, πάντοτε νῦν καὶ ἀεί. Καὶ εἰσέρχεται τοῦ στακτοῦσαι (sic), καὶ ὁ πρωτεμβατάτης, κλείων τὴν ἁγίαν πύλην, ὑποστρέφει καὶ θυμιᾷ ἔξω τὸν δεῖπνον, καὶ ἐπιστρέφοντος αὐτοῦ, δίδει ὁ δέκαρχος τὰ κηρία, καὶ ἐκφωνεῖ ὁ πρωτεμβατάτης τὸ Δόξα τῷ Θεῷ ἡμῶν πάντοτε νῦν. Καὶ ἀπάρχεται τὸ Ὁ κατοικῶν. Ζήτει, ἐὰν ψάλλουσι κανόνα. Καὶ οἱ μὲν ἀπέρχονται μετὰ τοῦ πρωτεμβατάτου, ζήτει, ποῦ ἀπέρχονται, οἱ δὲ ἀπομένουσι, ψάλλοντες τὸ Ὁ κατοικῶν, ἀμφότεροι. Καὶ εἰ μὲν ἐστὶν ἑορτὴ διὰ μέσης τῆς ἑβδομάδος, ψάλλουσι τὸ ἀπολυτίκιον τῆς ἑορτῆς, καὶ ὕστερον τὸ κοντάκιον τῆς ἑορτῆς, ἐὰν δὲ ἑορτὴ

---

[1]) Въ оглавленіи объ этомъ чинѣ говорится: Ἀκολουθία καὶ τυπικὸν τοῦ ἁγίου λούματος τῶν Βλαχερνῶν, περιέχον ἀκριβῶς τὴν ὅλην ἀκολουθίαν, τά τε τροπάρια καὶ τὰς εὐχάς, καὶ εἴ τι ἕτερα γίνεται, ἀπὸ τῇ ε′ ἑσπέρᾳ μέχρι τῆς ἀπολύσεως τοῦ λούματος· εὐχαὶ δὲ εἰσὶ σὺν τῆς ἐκτενοῦς (sic) εὐχῆς καὶ εἰς τὸ ποιῆσαι ἀδελφὸν ἀμφότεραι ϛ′.

οὐκ ἔστι, μετὰ τὸ πληρῶσαι τὸ Ὁ κατοικῶν, ψάλλεις ταῦτα· Δόξα σοι, Χριστὲ ὁ Θεός, ὁ καταξιώσας ἡμᾶς ἐλθεῖν εἰς τὴν ἑσπέραν ταύτην καὶ προσάγειν σοι ὕμνον εὐχαριστήριον, ἀνατίθημί σοι τῷ Θεῷ τὴν μέριμνάν μου, τῷ τρέφοντι καὶ ζωογονοῦντί με, εὐεργέτα τῶν ἁπάντων, Κύριε, δόξα σοι. Δόξα. Ἀντιλήπτωρ τῆς ψυχῆς μου γενοῦ, ὁ Θεός... Καὶ νῦν, Ὡς θυμίαμα καλὸν εἰς οὐρανοὺς ἀνέρχεται, Θεοτόκε, πρὸς ὃν ἔτεκες Θεόν, πρέσβευε ὑπὲρ ἡμῶν, πάντα φθόνον, πάντα πειρασμὸν ἀποδίωξον ἀφ' ἡμῶν, Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς, κατευθυνθήτω ἡ εὐωδία τοῦ ἁγίου σου Πνεύματος, μὴ ἐγκαταλίπῃς με εἰς τέλος, Κύριε, μήποτε ἰσχύσει εἰς ἐμὲ ὁ ὑπερήφανος· ἐνεδρεύει γὰρ ὡς λέων, ἁρπάσαι με, βουλόμενος τὸν πτωχὸν καὶ πένητα, ἀλλὰ δέομαί σου, βασιλεῦ τῶν αἰώνων, βοηθός μου γενοῦ, Σωτήρ, καὶ σῶσόν με. Ἦχος β'· Ἡ βασιλεία σου, Χριστὲ ὁ Θεός, βασιλεία πάντων τῶν αἰώνων, καὶ ἡ δεσποτεία σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ, ὁ σαρκωθεὶς ἐκ Πνεύματος ἁγίου, ὁ ἐκ τῆς ἀειπαρθένου Μαρίας ἐνανθρωπήσας, φῶς ἡμῖν ἔλαμψε, Χριστὲ ὁ Θεός, ἡ σὴ παρουσία, φῶς ἐκ φωτὸς τοῦ Πατρὸς τὸ ἀπαύγασμα, πᾶσαν κτίσιν ἐφαίδρυνας, πᾶσα πνοὴ αἰνεῖ σε τὸν χαρακτῆρα τῆς δόξης τοῦ Πατρός, ὁ ὢν καὶ προὼν καὶ ἐκλάμψας ἐκ Παρθένου Θεός, ἐλέησον ἡμᾶς. Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς... Ἐλπὶς τοῦ κόσμου ἀγαθή, Goar. pag. 702, съ варiантомъ: σπλαγχνίσθητι εἰς ἀπερίστατον λαόν... Παναγία Θεοτόκε, τὸν χρόνον τῆς ζωῆς μου μὴ ἐγκαταλίπῃς με, Goar. p. 680. Κύριε ἐλέησον γ', καὶ ποιοῦσι τὴν ἀπόλυσιν.

л. 199 об. Ἀκολουθία τοῦ α' λού(σ)ματος.

Εἰστήκει ὁ ἱερεὺς μετὰ θυμιατοῦ εἰς τὴν πύλην τοῦ λοετροῦ, παρισταμένων πάντων γυμνῶν καὶ κρατούντων ε' κηροὺς ἅπτοντας, καὶ λέγει· Εὐλογημένη ἡ εἴσοδος τοῦ οἴκου τῆς τεκούσης σε, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν. Ὁ λαός· Ἀμήν. Καὶ παρ' αὐτὰ λέγουσιν· Χαῖρε, ἡ πύλη τοῦ Θεοῦ, χαῖρε, Πανάχραντε παρθένε ἁγνή, χαῖρε, Δέσποινα καὶ προστασία τοῦ κόσμου, χαῖρε τεῖχος καὶ καταφυγὴ καὶ σκέπη τοῦ γένους ἡμῶν.—Ὑπὸ τὴν σὴν εὐσπλαγχνίαν καταφεύγομεν, Θεοτόκε... Στίχος α'· Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον... Χαῖρε, ἡ πύλη τοῦ βασιλέως τῆς δόξης, ἣν ὁ Ὕψιστος μόνος διώδευσε, καὶ μένειν ἐσφραγισμένην εὐδόκησας εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν. (Στίχος·) Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν. Χαῖρε, ἡ μόνη καὶ ἀληθὴς Θεοτόκος, ἣν ὁ Λόγος Μητέρα ἐκτήσατο, καὶ πύλην τῶν σωζομένων ἀνέδειξας ἀνεῳγμένην τῷ λαῷ αὐτοῦ. Δόξα. Χαῖρε, ἡ δι' ἀγγέλου τὴν χαρὰν τοῦ κόσμου δεξαμένη, χαῖρε, ἡ τεκοῦσα τὸν ποιητὴν καὶ Κύριον, χαῖρε, ἡ ἀξιωθεῖσα γενέσθαι Μήτηρ Θεοῦ. Καὶ νῦν. Χαῖρε, κεχαριτωμένη, ἀγαλ-

λίαμα τῶν ἀγγέλων, χαῖρε, Παρθένε, τῶν προφητῶν τὸ κήρυγμα, χαῖρε, ἡ εὐλογημένη, ὁ Κύριος μετὰ σοῦ. Ὁ λαός· Κύριε ἐλέησον γ'. Ὁ ἱερεύς· Τοῦ Κυρίου δεηθῶμεν. Ὁ λαός· Κύριε ἐλέησον. Ὁ ἱερεύς· Ἡ τὸ χαῖρε κεχαριτωμένη δι' ἀγγέλου δεξαμένη, καὶ χαρὰν τῷ κόσμῳ κυήσασα, Χριστὸν τὸν ἀληθινὸν Θεὸν ἡμῶν, αὐτῷ πρέσβευε σωθῆναι τὰς ψυχὰς ἡμῶν, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ λαός· Ἀμήν. Εὐλογεῖτε, ἅγιοι, εἰς πολλὰς ἑβδομάδας. Καὶ οὕτως ἀλείφονται τὴν ἁγίαν στακτήν, καὶ ποιεῖ ὁ ἱερεὺς τὴν εὐχὴν τοῦ σαπωνίου, λέγων· Τοῦ Κυρίου δεηθῶμεν. Ὁ λαός· Κύριε ἐλέησον. Ὁ ἱερεύς· Κύριε, ὁ ἐν τῷ ἐλέει καὶ τοῖς οἰκτιρμοῖς σου ἰώμενος τὰ συντρίμματα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, Αὐτὸς Δέσποτα, εὐλόγησον καὶ τὸ σαπώνιον τοῦτο, ὥστε γενέσθαι τοῖς χριομένοις ἐξ αὐτοῦ εἰς θεραπείαν, εἰς ἀπαλλαγὴν παντὸς πάθους, νόσου σωματικῆς, μολυσμοῦ σαρκὸς καὶ πνεύματος καὶ παντὸς κακοῦ, ἵνα καὶ ἐν τούτοις δοξασθῇ σου τὸ πανάγιον ὄνομα. Σὸν γάρ ἐστι τὸ ἐλεεῖν καὶ σώζειν... Καὶ σφραγίζει τὸν κρατοῦντα τὸ σαπώνιον γ' εἰς τὴν κεφαλήν, καὶ εἰσερχόμενος καταπλύνει τὸν κόλυμβον καὶ τὰ ὀρθομάρμαρα (?), καὶ τὸν πάτον ὅλον τοῦ λοετροῦ· τὸν δὲ κόλυμβον μετὰ σκάμματος, εἶθ' οὕτως μετὰ (ὕ)δατος, καὶ ποιεῖ ζευκτὰ γ' ἀνὰ β' οἱ θέλοντες βαστάσαι τὰ βαστακτά, καὶ ποιεῖ αὐτὴν ὁ ἱερεὺς εὐχήν, κρατῶν τὰς κεφαλὰς αὐτῶν τῶν δύο, ὁμοίως τῶν γ' ζευκτῶν, λέγων οὕτως· Παναγία Τριὰς ὁ Θεὸς ἡμῶν, εὐλόγησον, ἁγίασον, κατεύθυνον τὸ ἔργον τῶν χειρῶν ἡμῶν πάντοτε, νῦν. Καὶ οὕτως εἰσέρχεται ὁ πρεσβύτερος (με)τὰ θυμιατοῦ, καὶ οἱ μὲν βαστάζοντες σταυροὺς ἀπὸ μερσίνης δ', καὶ ἄλλος τὰ λῶρα, ὁ δὲ ἑβδομάριος ζυγὴν φατλίων, καὶ ὁ ἱερεὺς τὸ θυμιατήριον, καὶ εἰσέρχονται ἔσω, καὶ μετὰ τὸ ἀποσπογγίσαι τὸν ἅγιον κόλυμβον καὶ ἀσφαλίσαι τὴν ἀπόρροιαν αὐτοῦ, λέγει ὁ ἱερεύς· Τοῦ Κυρίου δεηθῶμεν. Ὅτι πρέπει σοι πᾶσα δόξα... Καὶ εἶθ' οὕτως ἀπάρχεται ψάλλειν τὸ πᾶν τοῦ λα(οῦ)· Μεγαλύνομέν σε, Θεοτόκε· ὁ γὰρ ἐκ σοῦ σαρκωθεὶς Θεὸς σώζει ἀεὶ τοὺς σὲ μεγαλύνοντας.—Ἁγία Δέσποινα Θεοτόκε, τὰ ἰάματά σου κατάπεμψον ἡμῖν. Δόξα, καὶ πάλιν· Μεγαλύνομέν σε, Θεοτόκε... Τὸ αὐτὸ Καὶ νῦν. Ἐκ τῆς σῆς παλάμης, Θεοτόκε, μύρον ἀεὶ τοῖς πιστοῖς Χριστοῦ βρύει πηγὴ ἀπαύστως ἰάματα. Ἁγία Δέσποινα, τὴν βοήθειάν σου κατάπεμψον. Ἁγία Δέσποινα, τὴν ἀντίληψίν σου κατάπεμψον. Καὶ λέγει γ', τὸ Κύριε ἐλέησον. Ὁ ἱερεύς· Τοῦ Κυρίου δεηθῶμεν. Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις. Ὁ λαός· Ἀμήν. Εὐλογεῖτε, ἅγιοι, εὐλόγησον, πάτερ. Καὶ πίπτουσι πάντες εἰς τὸ ἔδαφος, καὶ ὁ ἱερεὺς ἵσταται ἔμπροσθεν τοῦ ἁγίου κολύμβου καὶ ἄρχεται τῆς ἐκτενοῦς εὐχῆς, λέγων· Δεόμεθά σου, Δέσποτα φιλάνθρωπε, ὑπὲρ πάσης ψυχῆς θλιβομένης, κα-

